Digitized by the Internet Archive
in 2014

https://archive.org/details/oldtestamentin02swet

. Rob't Palmer 1892

THE OLD TESTAMENT

IN GREEK

ACCORDING TO THE SEPTUAGINT

London C. J. CLAY AND SONS
CAMBRIDGE UNIVERSITY PRESS WAREHOUSE
AVE MARIA LANE



Cambridge DEIGHTON BELL AND CO.
Leipzig F. A. BROCKHAUS
New York MACMILLAN AND CO.

Bible
Greek (O.T)
S

THE OLD TESTAMENT

IN GREEK

ACCORDING TO THE SEPTUAGINT

EDITED FOR THE
SYNDICS OF THE UNIVERSITY PRESS

BY

HENRY BARCLAY SWETE D.D.
FELLOW OF GONVILLE AND CAIUS COLLEGE
REGIUS PROFESSOR OF DIVINITY

VOL. II.

I CHRONICLES—TOBIT

CAMBRIDGE
AT THE UNIVERSITY PRESS
1930

427903
23.9.44

All rights reserved

CAMBRIDGE
PRINTED BY C. J. CLAY M.A. AND SONS
AT THE UNIVERSITY PRESS

THE first volume of this manual edition of the Cambridge Septuagint was prefaced by a brief sketch of its history and plan[1]. In publishing a second volume it will suffice to call attention to fresh details. Some of these have been treated in the introduction to a separate issue of the Psalter[2]; but as the *Psalms in Greek* may escape the notice of readers who use the complete edition, such anticipations of the present volume are reprinted here together with other particulars which belong to its contents.

1. It is well known that the ninth and tenth Psalms of the Hebrew Bible form a single Psalm in the Greek of the Septuagint, and that this is also the case with the Hebrew Psalms cxiv., cxv. On the other hand each of the Hebrew Psalms cxvi., cxlvii., falls into two Psalms in the Greek. Consequently, there is a double numeration of the Psalms from ix. 22 to cxlvi. 11 (Gk); and in the particular Psalms which are differently divided, there is also to some extent a double numeration of the verses. In this edition the 'Hebrew' numbers are added to the 'Greek' and distinguished from the latter by being enclosed in brackets.

The Psalter has been broken up into its five books—a division which though not directly recognised in the Greek MSS. is sufficiently marked by the doxologies with which the first four conclude. The twenty-two stanzas of Psalm cxviii. (= cxix.) are parted by slight breaks in the type. A smaller type has been employed throughout the Psalms to distinguish the titles and the διάψαλμα.

In all the MSS. which have been used for this edition, excepting the London papyrus fragments, the Psalms are written 'stichometrically,' the στίχοι usually corresponding or being intended to correspond to the members of the Hebrew parallelisms. This arrangement has been followed in the text; the second line of each couplet (and where the

[1] *The Old Testament in Greek*, vol. i. (Camb., 1887), pp. xi.—xvii.

[2] *The Psalms in Greek* (Camb., 1889), pp. vi. ff.

parallelism forms a triplet, the third line) having been thrown slightly back to mark its subordination to the first. The several MSS. differ however both as to the number of the lines and occasionally also as to the grouping of the words, and these variations have been recorded in the notes. The division of lines in the text is generally conformed to that in the MS. which it represents; but in Ps. cxviii. (=cxix.), where ℵ throws the majority of the verses into single lines, it has been thought better to adhere to the usual division. Similar arrangements have been adopted in the other Books which are written *στιχηδόν*, viz.: Proverbs, Ecclesiastes, Canticles, Job, and the two Wisdoms.

2. It has been found inexpedient to exhibit in the text the numbered sections into which the Books of Proverbs, Ecclesiastes and Canticles are divided, apparently by the first hand[1], in B, and the last two less thoroughly in ℵ; and the effect of admitting these numbers into the foot-notes would have been to overcrowd and confuse the latter. A table shewing the verse or word in a verse at which each of the sections begins will be found below[2]; their purpose and method is an interesting problem, but one upon which this is not the place to enter.

3. In the non-canonical books of this volume and in the extra-canonical portions of Esther, where there is either no Hebrew original, or none now known to exist, the secondary verse-numeration is that of the Latin Bible. The Latin verses often differ so seriously from the Greek, as well in their numbering and position as in the character of their text, that comparison becomes tedious and difficult; and it is hoped that the method which has been adopted may be found serviceable by students both of the LXX. and the Vulgate. In some cases the correspondence is doubtful; in many it extends to a part of a verse only. When the Latin stops short in the middle of a Greek verse, a short hyphen in the margin indicates the inferior limit of the former.

4. A remarkable divergence in the arrangement of the Septuagint and Old Latin versions of Ecclesiasticus xxx.—xxxvi. calls for notice here. In

[1] See Cozza, *Prolegg.* c. xx.

[2] The sections in B begin severally as follows: Prov. i. 1, 7, 8, 20; ii. 1, 13, 16 (*μή σε καταλάβῃ*), 21; iii. 1, 13, 27, 29, 31, 33, 34, 35; iv. 1, 4 (*φύλασσε*), 10, 20; v. 1, 15, 22; vi. 12, 21; vii. 1 (*νιέ, τίμα*); viii. 1; ix. 7, 13; x. 1, 19; xi. 31; xiii. 20; xiv. 6; xvi. 10, 16; xvii. 17; xix. 20; xx. 22; xxii. 10, 17; xxiii. 12, 22; xxiv. 1, 13, 21, 24, 38, 47, 67; xxv. 1, 7 (*ἃ εἶδον*), 16, 21; xxvi. 4, 12; xxvii. 1, 11, 25; xxviii. 17 (*παίδευε*); xxix. 17, 28. Eccles. i. 1, 12; ii. 14 (*καὶ ἔγνων*), 20, 24 (*καί γε τοῦτο*); iii. 14; iv. 1, 4, 15; v. 9, 17; vi. 7; vii. 13, 23; viii. 1, 9 (*καὶ ἔδωκα*), 15, 17 (*καὶ καρδίᾳ*), ix. 7, 13; x. 1, 14, [a section not numbered]; xi. 9; xii. 8. Cant. i. 1, 4 (*εἴλκυσαν*), ib. (*εἰσήνεγκεν*), ib. (*ἀγαλλιασώμεθα*), 5, 8, 11, 12 (*νάρδος*), 15, 16; ii. 1, 3, [three sections not numbered]; iii. 6; iv. 1, 16; v. 1 (*εἰσῆλθον*), 2, ib. (*ἄνοιξον*), 3, 9, 10, 17; vi. 1, 3, 10 (*ἰδεῖν*), 12; vii. 1, ib. (*ἡ ἐρχομένη*), 8, ib. (*καὶ ἔσονται*), 9 (*πορευόμενος*); viii. 5, ib. (*ὑπὸ μῆλον*), 10, 11, 13.

In ℵ section-numbers occur only in the first four chapters of Ecclesiastes and in Canticles, and the few sections that have been noted are much larger than those in B. They begin as follows: Eccles. i. 1; ii. 2; iii. 1; iv. 9. Cant. i. 1, 15; iii. 6; vi. 3.

these chapters the Greek order fails to yield a natural sequence, whereas the Latin arrangement, which is also that of the Syriac and Armenian versions, makes excellent sense. Two sections, c. xxx. 25—xxxiii. 13^a (*ὡς καλαμώμενος...φυλὰς Ἰακώβ*) and c. xxxiii. 13^b—xxxvi. 16^a (*λαμπρὰ καρδία... ἔσχατος ἠγρύπνησα*), have exchanged places in the Latin, and the change is justified by the result. On examination it appears that these sections are nearly equal, containing in B 154 and 159 *στίχοι* respectively, whilst ℵ exhibits 160 in each. There can be little doubt that in the *exemplar* from which, so far as is certainly known, all our Greek MSS. of this book are ultimately derived the pairs of leaves on which these sections were severally written had been transposed, whereas the Latin translator, working from a MS. in which the transposition had not taken place, has preserved the true order[1]. Under the circumstances it has been judged best to follow the guidance of the Latin, regarding it as the representative of a Greek text earlier in this particular than that which is known to us through our existing MSS.[2]

5. The Greek additions to the Book of Esther are distinguished from the chapters of the Hebrew text by successive letters of the alphabet[3], and divided into verses which agree in length, although not in numeration, with those of the corresponding Latin.

6. In the Book of Tobit the text of ℵ differs so materially from the text of either B or A that it was found inconvenient to display its variants in the *apparatus criticus*. The Sinaitic Tobit has therefore been printed *in extenso* beneath the Vatican text, but in a smaller type, to denote its secondary character. To assist comparison it has been divided into verses corresponding as nearly as possible with those of the standard text.

The published texts of seven MSS. have been collated for the present volume. Three of these (BℵA) are described in the first volume; a few particulars must be added here.

[1] The solution is due to O. F. Fritzsche (*kurzgefasstes exeg. Handbuch zu den Apokryphen*, v. pp. 169, 170).

[2] The transposition has rendered it necessary to print *κατακληρονομήσεις* in Sir. xxxvi. 16^b, instead of *κατεκληρονόμησα*, the reading of all our Uncial authorities. As Fritzsche observes (*Handbuch*, v. p. 475), it is clear that *κατεκληρονόμησα* is the result of a desperate effort on the part of the scribes to bring the verb into harmony with *ἠγρύπνησα*, which immediately precedes it in the Greek order. The imperative is suggested in the Latin order by the foregoing *σύναγε*, but it is quite possible that the future stood here originally; the O. L. has *hereditabis*, and it is supported by the important cursive 106 (Parsons), which reads *κατακληρονομήσεις*.

[3] This method, in a slightly different form, is adopted by Dr Field (*Vetus Test. graec.*, Oxon. 1859).

Codex Vaticanus.

This MS. continues to supply the text of the edition wherever it is available. In the Psalter ten leaves of the original Codex have been lost, and the missing portion is supplied in the manuscript by the same recent cursive hand by which the *prima manus* has been replaced in the gaps of Genesis and 2 Kings. In Genesis the text of A was in this edition installed into the place vacated by the first hand of B; in the Psalms the text of ℵ is the natural substitute[1].

Codex Sinaiticus (including Cod. Friderico-Augustanus).

According to Tischendorf the poetical books in ℵ are the work of the third of its four scribes, whom he distinguishes as C. Of the numerous correctors who have dealt with the text of ℵ, the second, ℵ$^{c.a}$, a hand of the seventh century, has been everywhere active in these Books. His corrections have not unfrequently been erased or otherwise set aside either by himself, or by a subsequent reviser, who is not identified. In the notes to the Psalms the symbol ℵ$^{c.b}$ has been employed for the corrector of ℵ$^{c.a}$; but it is necessary to apprise the reader that Tischendorf has elsewhere employed this expression for another hand of the seventh century to which he denies any part in the correction of the poetical books[2]. In the remaining books of this class the ambiguity has been avoided by another method of notation.

Codex Alexandrinus.

The scribe of the third volume of the Codex Alexandrinus derived his text from a liturgical Psalter, and from it introduced into this great Bible of the fifth century a quantity of foreign matter relating to the Psalms. They are preceded in A by the Epistle of S. Athanasius to Marcellinus (ff. 525 *r*—530 *r*)[3], the Argument of Eusebius Pamphili[4], a table of the contents of the Psalms, apparently due to the same author[5], and canons

[1] See Dr Sanday's remark in the *Academy* of Dec. 24, 1887: "in the latter part of the Psalms, would not the text of ℵ be nearer to what the text of B *would have been*, if it were extant, than the text of A?"

[2] *Prolegg. ad Cod. Sin. Petr.* p. 9*. "Libros vero versibus scriptos C^{a} maximam partem omnium solus et magna quidem cum diligentia tractavit, C^{b} plane non attigit."

[3] It is headed ΑΘΑΝΑCΙΟΥ ΑΡΧΙΕ-ΠΙCΚΟΠΟΥ ΑΛΕ|ΞΑΝΔΡΙΑC ΕΙC ΤΟΥC ΨΑΛΜΟΥC. The colophon is ΑΘΑΝΑCΙΟΥ ΑΡΧΙΕΠΙCΚΟΠΟΥ | ΑΛΕΞΑΝΔΡΙΑC ΕΠΙCΤΟΛΗ | ΠΡΟC ΜΑΡΚΕΛΛΙΝΟΝ.

[4] Υποθεcεις (sic) Εγcεβειου του Παμφιλου.

[5] περιοχαι εις τους ψαλμους. *α'. Προτροπὴ θεοσεβείας καὶ ἀποτροπὴ τοῦ ἐναντίου. β'. Προφητία περὶ Χριστοῦ καὶ κλήσεως ἐθνῶν. κ.τ.λ.* These περιο-

of the Psalms for day and night use (ff. 531 *r*—532 *v*)[1]. After the Psalms, to which the *ψαλμὸς ἰδιόγραφος* is appended as the 151st, fourteen Canticles occur in the following order: Exod. xv. 1—19 (*ᾠδὴ Μωυσέως ἐν τῇ Ἐξόδῳ*), Deut. xxxii. 1—43 (*ᾠδὴ Μωυσέως ἐν τῷ Δευτερονομίῳ*), 1 Reg. ii. 1—10 (*προσευχὴ Ἄννας μητρὸς Σαμουήλ*), Esa. xxvi. 9—20 (*προσευχὴ Ἐζεκίου* [sic]), Ion. ii. 3—10 (*προσευχὴ Ἰωνᾶ*), Hab. iii. 1—19 (*προσευχὴ Ἀμβακούμ*), Esa. xxxviii. 10—20 (*προσευχὴ Ἐζεκίου*), the Prayer of Manasseh, Dan. iii. 23 [2—21, Tisch.] (*προσευχὴ Ἀζαρίου*), Dan. iii. 23 [28—65] (*ὕμνος τῶν πατέρων ἡμῶν*), *Magnificat* (*προσευχὴ Μαρίας τῆς θεοτόκου*), *Nunc dimittis* (*προσευχὴ Συμεών*), *Benedictus* (*προσευχὴ Ζαχαρίου*), the Morning Hymn (*ὕμνος ἑωθινός*); the subscription being ωλα ιλ.

Nine leaves of the Psalter are missing in A, with a corresponding loss in its text of Pss. xlix. 19—lxxix. 10.

For the *apparatus criticus* of the Psalms it has been thought desirable to employ the testimony of three other uncial MSS. The first two, like the archetype of A, were liturgical Psalters; the third consists of fragments of the first book which, if not of very early date, appear to preserve an early text. Each of these MSS. possesses features of singular interest.

Psalterium Graeco-Latinum Veronense.

A bilingual Psalter of Western origin and attributed to the 6th century[2], in quarto, exhibiting at each opening the Greek text in Latin letters on the left-hand page and on the right a Latin version which is in the main Old Latin[3]. The MS. is without punctuation, but written *στιχηρῶς*. A few portions of the Psalms (i. 1—ii. 7, lxv. 20—lxviii. 3, lxviii. 26—33) have been replaced or supplied by a hand of the tenth century, to which the corrections throughout the MS. are generally due. The *ψαλμὸς ἰδιόγραφος* seems to have had no place in this Psalter *prima manu*; it is added in Greek and Latin by the later hand. The Canticles on the other hand appear to be in the first hand and are without correction[4]. Eight Canticles are given in the following order: Exod. xv. 1—21, Deut. xxxii. 1—44, 1 Reg. ii. 1—10, Esa. v. 1—9, Ion. ii. 3—10, Hab. iii. 1—19, *Magnificat*, Dan. iii. 23 [27—67].

This Psalter, which is the property of the Chapter of Verona, was published by Giuseppe Bianchini, a native and at one time a Canon of

χαί, under the title of *ὑποθέσεις*, are prefixed to Eusebius's Commentary on the Psalms (Montfaucon, *Coll. nov. patr.* i. 2—6: Paris, 1706), but "would seem to belong to some other work" (Lightfoot, *Eusebius of Caes.*, Dict. C. B. ii. p. 337).

[1] They may be seen in Mr Hotham's art. *Psalmody*, Dict. C. A. ii. p. 1748.

[2] Blanchini, *Vindic.* i. (title to Psalter): "Psalterium duplex cum canticis...prodit ex insigni Codice Graeco-latino amplissimi Capituli Veronensis uncialibus characteribus ante septimum saeculum exarato." Cf. *Nouveau traité de diplomatique*, iii. 142.

[3] Rönsch, *Itala u. Vulgata*, p. 19.

[4] Blanchini, *Vindic.* i. pp. 258 *n.*, 278.

Verona, in his *Vindiciae canonicarum scripturarum* (tom. i., Romae, 1740). A copper-plate facsimile of Ps. cxlii. 1—6 precedes his text, which is followed[1] by a too brief description of the MS. and of the editor's manner of dealing with its contents. A specimen of the handwriting may also be seen in the *Nouveau traité de diplomatique*[2].

In the use of this MS. the transliteration of the Greek text into Latin letters creates ambiguities in places, and these are increased by Bianchini's somewhat uncertain practice with regard to the orthography. If his facsimile may be trusted, he has not only according to his professed intentions[3] aspirated the *t*, *c*, and *f* which the scribe had used to represent θ, χ, and ϕ, but he has tacitly corrected the spelling in other cases, changing (e.g.) *etros* into *echthros* and *acediasen* into *ecediasen*. The Latin text appears to have undergone similar corrections; *praecem* has become *precem*, and *manum*, *manuum*. Bianchini's MS. copy of the Verona Psalter is still preserved at Munich[4], and might throw light on some of these doubts; but a collation or a facsimile edition of the Psalter itself is to be desired.

In the notes of this edition the later hand has been distinguished as R^a; where his work has undergone revision, the symbol R^b has been employed.

The Verona MS. was not used by Parsons[5], nor does it seem to have taken its place hitherto in the *apparatus criticus* of the Greek Psalms except that which is contained in Lagarde's *Specimen*, where it is used for Ps. i.—v. Its claims are however asserted by Tischendorf, who accords it a high place among the "egregia novae editionis subsidia[6]."

Psalterium purpureum Turicense.

A quarto volume bound in hog's skin, written in uncials on vellum of the thinnest sort dyed purple. The characters are of silver, gold and vermilion, silver being used for the text, gold for the numbers titles and initial letters of the Psalms, and vermilion for the Latin renderings of the first few words of each verse which are inscribed in the ample margin. There are no accents or breathings, but *compendia scribendi* are frequent, and some of them such as do not occur in the earliest MSS. There is no punctuation properly so called, but a double point resembling a semicolon is used to mark the commencement of a verse when it falls in the course of a line. When perfect this MS. contained the Psalms, followed by the Canticles. Of the 223 leaves which remain 209 are occupied by the Psalms; the quire marks shew that they originally filled 288. The following Psalms and portions of Psalms are missing: Pss. i.—xxv.; xxx. 2—xxxvi. 20; xli. 6—xliii. 3; lviii. 14—lix. 5; lix. 9—10; lix. 13—lx. 1; lxiv. 12—lxxi. 4; xcii. 3—xciii. 7; xcvi. 12—xcvii. 8. The Canticles have also suffered loss: the first five have entirely disappeared, with parts of the sixth. The remaining portion includes 1 Reg. ii.

[1] P. 278.

[2] iii. pl. xlii. (1) and l. c. The plate represents Ps. xcvi. 1, 2. A portion of it is reproduced in Westwood, *Palaeographia sacra pictoria*, pl. 10.

[3] Blanchini *Vindic.* l.c.

[4] Lagarde, *Nov. psalt. gr. edit. specimen*, p. 3, *n.*

[5] *Praef. ad libr. Psalmorum* (ad init.).

[6] *Prolegg. ad Vet. Test. Gr.* lviii.—lix.

6—10, (ζ') *Magnificat*, (η') Esa. xxxviii. 10—20, (θ') the Prayer of Manasseh, (ι') Dan. iii. 23 [2—21], (ια') *ib.* [28—33], (ιβ') *ib.* [34—67], (ιγ') *Benedictus*, (ιδ') *Nunc dimittis*. The 'Morning Hymn' follows on the last two pages, but it is imperfect through the loss of the lower part of the leaf.

This 'purple' Psalter is the pride of the municipal library of Zurich[1], where it has lain for at least two centuries. In a letter dated 1711 J. H. Hirzel deplores the neglect into which the MS. had fallen and of which there is still evidence in the loss of $7\frac{3}{4}$ quires at the beginning of the book, and in the numerous lacunae throughout the greater portion of the remainder. Attention was called to the importance of its text in a dissertation by J. J. Breitinger[2], published in 1748, and a collation was obtained by Parsons, the *continuator* of Holmes, who cites it as MS. 262[3]. Finally, the entire MS. was copied in 1856 by Tischendorf, who after comparing his copy with the original in the autumn of 1869 gave it to the world in the fourth volume of his *Monumenta sacra inedita* (Nov. Coll.)[4], adding prolegomena, and a coloured representation of Ps. cxxxvii. 6—cxxxviii. 2[5]. The collation of the Zurich Psalter for the present edition is based upon Tischendorf's reproduction.

The earlier history of this princely[6] MS. is unknown. But the employment of the Latin Vulgate by a contemporary hand in the margin of the Psalms and of certain of the Canticles[7] clearly indicates its Western origin. A peculiar division of Ps. cxviii. (=cxix.) connects it with the use of the Roman Church. The Psalm is made to fall into twelve sections beginning at vv. 1, 16, 33, 49, 65, 73, 81, 97, 113, 132, 145, 161. These sections generally correspond to the portions which were said severally under one *gloria* in the Gregorian Psalter[8]. With regard to the age

[1] Cf. H. Omont, *Catalogue des manuscrits grecs des Bibliothèques de Suisse* (Leipzig, 1886), pp. 57—59.

[2] *De antiquissimo Turicensis bibliothecae Graeco Psalmorum libro in membrana purpurea...epistola...perscripta a J. J. Breitinger, Ling. Graec. apud Turicenses Prof. &c. Turici*, 1748.

[3] *Praef. ad libr. Psalmorum* (sub num. 262).

[4] Pp. xi.—xix., 1—223.

[5] A facsimile of Ps. lx. 6—lxi. 2 is also given by Breitinger, who adds a convenient plate of the *compendia scribendi* and the initial letters.

[6] Cf. Mabillon *de re diplom.* p. 43: "hic scribendi modus principibus et magnatibus peculiaris erat, nec tamen promiscue ab istis usurpatus."

[7] The Canticles distinguished in this way are the Song of Hannah, *Magnificat*, the Prayer of Hezekiah, *Benedicite*, *Benedictus*, *Nunc dimittis*—all of which find place in the Western offices.

[8] In the Roman Breviary Ps. cxviii. is distributed into eleven sections, each under one *gloria*, two being said at prime, and three at terce sext and none respectively. The same arrangement existed in the Ambrosian Psalter, and in the Sarum (Procter and Wordsworth, pp. 44—68). Nine of these sections (1, 2, 3, 4, 6, 7, 8, 10, 11) are exactly reproduced in the Zurich MS. One, the fifth, is divided into two; another, the ninth, begins at v. 132 (*aspice*) instead of v. 129 (*mirabilia*). But the exceptions are easily explained. In each case the scribe has been led away from the Gregorian division by attending to the liturgical marks in his Greek archetype. The second *stasis* of the Psalm as sung in the Greek nocturns begins in the middle of the fifth Gregorian section; the third *stasis*, at v. 132. In the margin of v. 132 the scribe of T has copied δο$^{\xi}$ (i.e. δόξα), thus betraying the source of his departures from the Western distri-

of the MS., it appears to be determined within certain limits by the character of the uncials. The somewhat compressed forms of ϵ, θ, ο, c, and the shape of such crucial letters as ⌐, Δ, Η and π, justify Tischendorf's conclusion: "septimo...saeculo adscribentes vix errabimus[1]."

The Zurich Psalter is free from many of the blunders which disfigure earlier MSS. The most noticeable fault is an inveterate habit of writing the forms of the aorist conjunctive for those of the future indicative. Corrections are few, as might be expected in so sumptuous a book; those which occur seem to be due to the scribe or to his *diorthota*. The readings of this MS. are in frequent agreement with Codex Alexandrinus, and to a still more remarkable extent with the second corrector of Codex Sinaiticus.

FRAGMENTA PAPYRACEA LONDINENSIA, Brit. Mus. pap. xxxvii. (A, B, C).

Fragments of the Psalms written on 30 leaves of papyrus ($8\frac{3}{4} \times 7$ inches), 12 to 19 lines filling a page. The handwriting, which is singularly fresh and black, slopes considerably, and wavers between uncials and minuscules; the letters α, Δ, ϵ, Η, Μ, γ frequently assume a cursive form. Breathings and accents are freely employed, the latter however with great irregularity both of form and of position. The words are not separated, and there is no break at the end of a Psalm. The titles of the Psalms are not distinguished from the text and the numbers are added in the margin only in two instances (κδ', λγ'), and possibly by another hand. A single point is occasionally used. Only two portions of this Psalter (x. 2—xviii. 6, xx. 14—xxxiv. 6) are preserved at the British Museum, but Tischendorf hints that other scraps may exist elsewhere in England. The London fragments (32 leaves, including two which are blank on both sides) are mounted and enclosed in glass frames, which fill three book-like cases; one of the leaves is exhibited to the public.

This papyrus was purchased in 1836 from Dr Hogg, who bought it at Thebes in Egypt where it had been "discovered among the rubbish of an ancient convent[2]." An account of the MS. was first given by Tischendorf in *Theol. Studien u. Kritiken* (1844). Cureton announced his intention of editing it, but other engagements having compelled him to relinquish the task, it was taken in hand by Tischendorf, and the text in uncial type with prolegomena and a facsimile appeared in the first volume of his *Monumenta sacra inedita* (Nov. Coll.), Lips., 1855[3].

The age of this fragment has been very differently estimated. Notwithstanding the mixed character of the writing and the use of accents,

bution. Other Greek liturgical notes occur at the end of Pss. cxviii., cxxviii., cxxxiii., cxlii., cl., each of which seems to have closed a κάθισμα in the Psalter from which the Zurich book was copied.

[1] *Prolegg.* p. xiii. Thiersch (*de Pentateuchi vers. Alex.*, Erlangae, 1841, p. 87 *n.*) strangely places it before the Codex Alexandrinus.

[2] E. Hogg, M.D.: *Visit to Alexandria*, &c., Lond. 1835, ii. p. 310 sqq.

[3] Pp. xxxviii.—xxxviii., 219—278.

Tischendorf assigned it a place among the very earliest of existing Biblical MSS.[1] On the strength of Tischendorf's judgement it was described in the plate and letterpress of the Palaeographical Society's publication[2] as a MS. of the 4th or 5th century. This view is however retracted in the Introduction to the facsimiles, and the London papyrus is there adjudged to the 6th or 7th century[3]. Dr V. Gardthausen on palaeographical grounds refuses to place it earlier than the 7th[4]. On the other hand Lagarde, who examined the MS. in 1852 or 1853, has recently expressed himself in terms which transcend Tischendorf's estimate[5].

This MS. is the work of a careless and illiterate scribe, but it presents a text of much value. Its readings are often unique, or agree with the Hebrew or the versions or patristic citations against all other known MSS. The corrections, which are few and appear to be *prima manu*, or the work of a contemporary, deal merely with clerical errors.

In the rest of the poetical books the witness of BℵA has been supplemented by the surviving fragments of the great Paris palimpsest, the last of the Greek Bibles of the fourth and fifth centuries.

Codex Ephraemi Syri rescriptus Parisiensis, Bibliothèque Nationale 9[6].

A folio of fine vellum, written in single columns of 40—46 lines, usually 41, each line when full consisting of some 40 letters. The characters are somewhat larger and more elaborate than those of BℵA; capitals occur freely, as in A; punctuation is rare, confined to a single point nearly level with the top of the letters, and followed by a space of a letter's breadth; there are no breathings or accents *prima manu*. These and other indications seem to point to a date not later than the middle of the fifth century.

Of the 209 leaves which have survived the wreck of this great MS. Bible, the first 64 contain fragments of the LXX.; of these 19 belong to Job, 6 to Proverbs, 8 to Ecclesiastes, 7 to the Wisdom of Solomon, 23 to Sirach, whilst of Canticles only one leaf remains. The Old and New Testament portions of the MS. appear to have been written by different but contemporary hands.

This MS., as its title denotes, is a palimpsest. In the twelfth century the original writing throughout the Codex was washed out by a scribe who afterwards wrote over it in a cursive hand a Greek translation of certain homilies and other works of Ephraim, the Syrian deacon.

[1] *Prolegg. ad vet. test.* p. lx.: "insigne hoc monumentum papyraceum, quo nullus codicum sacrorum antiquior videtur."

[2] *Facsimiles*, i. (Lond. 1873—83) pl. 38 (representing Ps. xxxii. 19—xxxiii. 2).

[3] The same view is taken in the *Catalogue of Ancient MSS. in the British Museum*, pt. 1 (Greek), Lond. 1881, which offers a photograph of Ps. xxiii. 10—xxiv. 7.

[4] *Griechische Palaeographie* (Leipzig, 1879), pp. 163—4.

[5] *Psalterii spec.* (Göttingen, 1887) p. 4: "biblicorum omnium quos noverim antiquissimus."

[6] H. Omont, *Inventaire sommaire des manuscrits grecs de la biblioth. nation.* I. (Paris, 1886) p. 2.

The O. T. fragments of this Codex were edited by Tischendorf in 1845[1], as a sequel to his edition of the N. T. of C, which had appeared in 1843. The editor was confronted by unusual difficulties. The MS., already defaced by the scribe of Ephraim, has been discoloured in a recent attempt (1834) to restore the original writing. Many of the leaves are badly torn, many more are scarcely legible. From a table in Tischendorf's prolegomena[2] it appears that only three or four pages can be read with comparative ease; one of these, which contains Ecclesiastes v. 5—17, is represented by a plate at the end of his volume. A large proportion are stated to be in a condition all but desperate; and the broken lines of the facsimile are a frank confession of the editor's imperfect success. These facts suggest the need of caution in the use of C, until some attempt has been made to verify Tischendorf's results[3].

Tischendorf, who regards this Codex as the work of an Egyptian scribe, believes that it travelled from Egypt to Palestine, Syria or Asia Minor, and from thence to Constantinople, where it became a palimpsest. In the early years of the sixteenth century it was brought to the West by Andrew John Lascaris, and became the property of Lorenzo de' Medici. Subsequently the volume passed into the hands of Catharine de' Medici, and was conveyed to Paris, where it found place in the Royal Library.

The O. T. fragments of C have been corrected by a second hand (C^a) of the sixth or seventh century. The corrections are usually few, but more frequent in Ecclesiasticus.

The Editor desires to renew his acknowledgments (already offered in the notice prefixed to the Psalter[4]) to Professor Nestle of Tübingen for his generous assistance in carefully revising the text and notes of the Psalms, with especial reference to the variants of the Alexandrine MS., the Zurich Psalter, and the London papyrus fragments. He is also indebted to the Rev. H. A. Redpath, Vicar of Sparsholt, Berks, and Editor of the forthcoming Oxford Concordance to the LXX., who within the last few months has worked through the proofs of this volume, with the exception of the Psalms, and has liberally communicated a considerable number of errata and omissions which had escaped notice. A debt of another kind and one which no words can interpret is due to the Lady Margaret Pro-

[1] *Codex Ephr. Syri rescriptus sive fragmenta Veteris Testamenti* ed. C. Tischendorf, Lips., 1845.

[2] Pp. 5, 6.

[3] Dr Ceriani (*Rendiconti del R. Istituto Lombardo*, II. xxi., fasc. xii.) had on this ground suggested that it might be prudent to reserve the variants of C for the larger edition of the Cambridge Septuagint. But it has been thought best to employ all existing materials which fall within the scope of the manual edition, guarding at the same time against misapprehensions which might arise from too trustful a dependence upon their testimony.

[4] *The Psalms in Greek*, p. xiii.

fessor of Divinity, Dr Hort, whose patient care has watched over this edition since its commencement in 1883. Lastly, if this work has any claim to the accuracy in minute details which in undertakings of the kind is at once so essential to usefulness and so hard to attain, the credit belongs in no small measure to the vigilance of the readers and the attention of the workmen and officers of the University Press.

After the above was in type, the Editor received from Dr Nestle a list of errata and omissions detected in the first volume of this work and affecting the text and 'hands' of B. The list was obtained by comparing the text and apparatus of vol. i. with Dr Nestle's Supplement to Tischendorf's edition of the LXX., and where the two representations differed, with the facsimile and notes of Cozza; and the result bears witness to the accuracy and serviceableness of Dr Nestle's unpretending work. His corrections are placed at the end of this volume for the sake of those who already possess vol. i., and will for the future be bound up with copies of the volume to which they refer until the time comes for the revision which must precede a second edition.

In preparing the present volume the Editor has endeavoured to test his own results by the *Supplementum editionum*, and he trusts that greater accuracy has been secured. But no one who recognises the difficulties of this kind of work will anticipate immunity from error, or be otherwise than grateful for the friendly criticism which assists him to the attainment of ultimate success. In no corner of the field of literary labour is the saying of Koheleth more certainly true: ἀγαθοὶ δύο ὑπὲρ τὸν ἕνα.

א = Codex Sinaiticus (= S, Lagarde, Nestle).

A = Codex Alexandrinus (= III, Parsons).

B = Codex Vaticanus (= II, Parsons).

C = Codex Ephraemi Syri rescriptus Parisiensis.

R = Psalterium Graeco-Latinum Veronense.

T = Psalterium Turicense (= 262, Parsons).

U = Fragmenta papyracea Londinensia.

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Α

I 1—3 ΑΔΑΜ, Σήθ, Ἐνώς, [2]Καινάν, Μαλελεήλ, Ἰάρεδ, [3]Ἑνώχ, Μαθθουσάλα, Λάμεχ, [4]Νῶε. υἱοὶ Νῶε· Σήμ, Χάμ, Ἰάφεθ. [5]Υἱοὶ Ἰάφεθ· Γάμερ, Μαγώγ, Μαδάιμ, Ἰωνάν, Ἐλεισά, Θοβέλ, Μόσοχ καὶ Θειράς. [6]καὶ υἱοὶ Γάμερ· Ἀσχανὰζ καὶ Ἐρειφὰθ καὶ Θοργαμά. [7]καὶ υἱοὶ Ἰωνάν· Ἐλεισὰ καὶ Θαρσείς, Κίτιοι καὶ Ῥόδιοι. [8]Καὶ υἱοὶ Χάμ· Χοὺς καὶ Μεστράιμ, Φοὺδ καὶ Χανάαν. [9]καὶ υἱοὶ Χούς· Σαβὰτ καὶ Εὐειλὰτ καὶ Σαβατὰ καὶ Ῥεγμὰ καὶ Σεβεκαθά. καὶ υἱοὶ Ῥεγμά· Σαβὰν καὶ Ἰουδαδάν. [10]καὶ Χοὺς ἐγέννησεν τὸν Νεβρώδ· οὗτος ἤρξατο I 17 εἶναι γίγας κυνηγὸς ἐπὶ τῆς γῆς. [17]Υἱοὶ Σήμ· Αἰλὰμ καὶ Ἀσσοὺρ I 24—26 [24]καὶ Ἀρφαξάδ, Σαλά, [25]Ἔβερ, Φάλεχ, Ῥαγαύ, [26]Σερούχ, Ναχώρ, B

Inscr παραλειπομενων βασιλεων| Ιουδα α A I **1—45** pl retractavit A spiritus accentus passim adpinx $A^{b\,vid}$ **1** Σηθ] Σης A **3** Μαθουσαλα A **4** Ιαφεθ] om I $B^{*\,vid}$ (hab B^{a}) **5** Μαγωα A | Μαδαϊ A | Ελισα A **6** Ασχα·|ναζ B Ασχενεζ A | Ερειφαθ] Ριφαε·| A | Θοργαμα] Θορραμ A **7** Ελισα A | Κιτιοι] ι 1° sup ras A^{a} (Κητιοι A^{*vid}) | om και 3° A **8** Μεστραιαμ A | Φουτ A **9** Σαβατ] Σαβα A | Ευιλα A | Σαβαθα A | Σεβεθαχα A | Σαβαν] Σαβα A | Ιουδαδαν] Δαδαν A **10** ειναι] pr του A **11—16** και Μεσραιμ· εγεννησεν τους| Λωδιειμ· και τους Αναμειμ·| και τους Λαβειν· και τους Νεφθαλιμ·| και τους Πατροσωνειμ· και τους Χασ|λωνιειμ· οθεν εξηλθεν εκειθε| Φυλιστιειμ· και τους Χαφοριειμ· (και τους Πατροσωνιειμ...Χαφοριειμ sup ras $A^{a?}$)| και Χανααν εγεννησεν τον Σι|δωνα πρωτοτοκον| και τον Χετταιον·| και τον Ιεβουσαιον| και τον Αμορραιον| και τον Γεργεσαιον| και τον Ευαιον| και τον Αρουκαιον| και τον Ασενναιον·| και τον Αραδιον| και τον Σαμαραιον| και τον Αμαθι·| A (om B) **17—23** υιοι Σημ· Αιλαμ· και Ασσουρ·| και Αρφαξαδ· και Λουδ· και Αραμ·| και υιοι Αραμ· Ως· και Ουδ· και Γα|θερ· και Μοσοχ· και Αρφαξαδ·| εγεννησεν τον Καιναν· και Κα|ιναν εγεννησεν τον Σαλα·| και Σαλα εγεννησεν τον Εβερ·| και τω Εβερ εγεννηθησαν δυο| υιοι· ονομα τω ενι Φαλεκ· οτι| εν ταις ημεραις αυτου διεμερι|σθη η γη· και ονομα τω αδελφω| αυτου Ιεκταν· και Ιεκταν εγεν|νησεν τον Ελμωδαδ· και τον Σα|λεφ· και τον Αραμωθ· και τον| Κεδουραν· και τον Αιξην· και το| Δεκλαμ· και τον Γεμιαν· και το|| Αβιμεηλ. και τον Σαβαν· και τον Ουφειρ· και τον Ευι και τον Ωραμ παν|τες ουτοι υιοι Ιεκταν A (om B) **25** Φαλεχ $B^{*\,b}$ (Φαλεγ B^{ab})] Φαλεκ A

Β Θάρα, [27]Ἀβραάμ, [28]υἱοὶ δὲ Ἀβραάμ· Ἰσαὰκ καὶ Ἰσμαήλ. [29]αὗται 27—29
δὲ αἱ γενέσεις πρωτοτόκου Ἰσμαήλ, Ναβαιὼθ καὶ Κηδάρ, Ναβδαήλ,
Μασσά, [30]Μαμά, Ἰδουμά, Μανασσή, Χονδάν, Θαιμάν, [31]Ἰεττούρ, 30
31
Ναφές, Κέδμα· οὗτοι υἱοὶ Ἰσμαήλ. [32]Καὶ υἱοὶ Χεττούρας παλλακῆς 32
Ἀβραάμ, καὶ ἔτεκεν αὐτῷ τὸν Ζεμβράν, Ἰεξάν, Μαδιάμ, Μαδάμ,
Σοβάκ, Σῶε· καὶ υἱοὶ Ἰεξὰν Δαιδὰν καὶ Σαβαί· [33]καὶ υἱοὶ Μαδιὰμ 33
Γαφὲρ καὶ Ὄφερ καὶ Ἐνὼχ καὶ Ἀβειδὰ καὶ Ἐλλαδά· πάντες οὗτοι
υἱοὶ Χεττούρας. [34]Καὶ ἐγέννησεν Ἀβραὰμ τὸν Ἰσαάκ. καὶ 34
υἱοὶ Ἰσαάκ· Ἰακὼβ καὶ Ἠσαύ. [35]Υἱοὶ Ἠσαύ· Ἐλειφὰς καὶ 35
Ῥαγουὴλ καὶ Ἰεοὺλ καὶ Ἰεγλόμ, Κόρε. [36]υἱοὶ Ἐλειφάς· Θαιμὰν 36
καὶ Ὠμάρ, Σωφὰρ καὶ Γοωθὰμ καὶ Κενὲζ καὶ τῆς Θαμνὰ Ἀμαλήκ.
[37]καὶ υἱοὶ Ῥαγουήλ· Νάχες, Ζάρες, Σομὲ καὶ Ὀμοζέ. [38]υἱοὶ Σηείρ· 37
38
Λωτάν, Σωβάλ, Σεβεγών, Ἀνά, Δησών, Ὠνάν. [39]καὶ υἱοὶ Λωτάν· 39
Χορρεὶ καὶ Αἱμὰν καὶ Αἰλὰθ καὶ Ναμνά. [40]υἱοὶ Σωβάλ· Σωλάμ, 40
Μαχανάμ, Γαιβήλ, Σὼβ καὶ Ὠνάν. υἱοὶ δὲ Σεβεγών· Ἀὶθ καὶ
Σωνάν. [41]υἱοὶ Σωνάν· Δαισών. υἱοὶ δὲ Δαισών· Ἐμερὼν καὶ 41
Ἀσεβὼν καὶ Γεθρὰμ καὶ Χαρράν. [42]καὶ υἱοὶ Ὤσαρ· Βαλαὰμ καὶ 42
Ζουκὰμ καὶ Ὠνάν. υἱοὶ Δαισών· Ὦς καὶ Ἀρράν. [43]Καὶ οὗτοι 43
οἱ βασιλεῖς αὐτῶν· Βάλακ υἱὸς Βεώρ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ
Δενναβά. [44]καὶ ἀπέθανεν Βάλακ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ Ἰωβὰβ 44
υἱὸς Ζάρα ἐκ Βοσόρρας. [45]καὶ ἀπέθανεν Ἰωβάβ, καὶ ἐβασίλευσεν 45

A **27** Αβρααμ] pr Αβραμ· αυτος A **29** Ναβδαιηλ] και Ναβδαηλ A | Μασσα] Μαβσαν A **30** Μαμα] Μασμα B^{ab}A | Ιδουμα Μανασση] και Ιδ. Μασση A | Χονδαν] Χοδδαδ A **31** Ιεττουρ] pr και A | Κεδμα] και Κεδαμ A | ουτοι] + εισιν A | υιοι] pr οι A **32** ετεκεν] + υιον A | Ζεμραν A | Ιεξαν 1°] και Ιεκσαν A | Μαδιαμ Μαδαμ] και Μαδαν και Μαδιαν A | Σοβακ] Ιεσ|βοκ· A | Σωε] Σωνε· A | Ιεξαν 2°] Ιεκσαν A | Δαιδαν και Σαβαι] Σαβα· και| Δαιδαν A + και υιοι Δαιδαν· Ραγουηλ· και| Ναβδαιηλ· και Ασσουριειμ και Λατουσ|ιειμ και Ασωνειν| A **33** Γαφερ] Γαιφαρ A | Αβιδα A | Ελλαδα] Ελδαα A **34** Ιακωβ και Ησαυ] και Ησαυ και Ιακωβ A **35** Ελιφαζ A | Κορε] pr και A **36** Ελιφαζ A | Γοθαμ A | Κενεζ] Κεζεζ A | και της Θαμνα] Θαμνα δε η παλλακη Ελιφαζ·| ετεκεν αυτη τον A **37** Ναχεθ A | Ζαρε B^{ab}A | Σομμε A | Ομοζε] Μοχε A **38** υιοι] pr και A | Σηειρ] Σηθιρ A | Σεβετων A | Ωναν] και Ασαρ και Ρισων A **39** Χορρι A | και Αιλαθ και Ναμνα] αδελφη δε (δ 2° sup ras A^{b}) Λωταν Θαμνα·| A **40** Σωλαμ] Ιωλαμ A | Μαναχαμ] και Μαναχαθ A | Γαιβαλ Σωβ] και| Γαοβηλ· και Σωφαρ· A | Αιθ και Σωναν] Αια και Ωναμ A **41** υιοι Σωναμ] ουτοι δε υιοι Ανα A | Δαισων 1°] + και Ελιβαμα·| θυγατηρ Ανα· A | υιοι δε] και υιοι A | Εμερων] Αμαδα A | Ασεβων] Εσεβαν A | Γεθραμ] Ιεθραν A **42** Ωσαρ] Ασαρ A | Βαλααμ... Ωναν] Βαλααν· και Αζουκαν·| και Ιωακαν· και Ουκαμ· A | υιοι 2°] + δε A **43** αυτων] + οι βασιλευσαντες εν Εδωμ·| προ του βασιλευσαι βασιλεα τοις υιοις| Ισλ· A | Βεωρ] Βαιωρ A **44** Ιωβαβ A (item 45)

46 ἀντ' αὐτοῦ Ἀσὸμ ἐκ τῆς γῆς Θαιμανῶν. 46καὶ ἀπέθανεν Ἀσόμ, Β
καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἀδὰδ υἱὸς Βαράδ, ὁ πατάξας Μαδιὰμ ἐν
47 τῷ πεδίῳ Μωάβ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Γεθθάιμ. 47καὶ ἀπέ-
49 θανεν Ἀδάδ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ 49Βαλαεννὼρ υἱὸς Ἀχοβώρ.
50 50καὶ ἀπέθανεν Βαλαεννὼρ υἱὸς Ἀχοβώρ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ
51 Ἀδὰδ υἱὸς Βαράδ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Φόγωρ. 51καὶ ἀπέθανεν
Ἀδδά, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Σαμαὰ ἐκ Μασέκκας· καὶ ἀπέθανεν
Σαμαά, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Σαοὺλ ἐκ Ῥοβὼθ τῆς παρὰ
ποταμόν. καὶ ἀπέθανεν Σαούλ. καὶ ἦσαν ἡγεμόνες Ἐδώμ· ἡγε-
52 μὼν Θαιμάν, ἡγεμὼν Γωλά, ἡγεμὼν Ἰεθέτ, 52ἡγεμὼν Ἐλειβαμᾶς,
53 ἡγεμὼν Ἠλιᾶς, ἡγεμὼν Φεινών, 53ἡγεμὼν Κενέζ, ἡγεμὼν Θαιμάν, ἡγε-
54 μὼν Μαζάρ, 54ἡγεμὼν Μεδιήλ, ἡγεμὼν Ζαφωείν· οὗτοι ἡγεμόνες Ἐδώμ.
II 1 1Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσραήλ· Ῥουβήν, Συμεών, Λευεί,
2 Ἰουδά, Ἰσσαχάρ, Ζαβουλών, 2Δάν, Ἰωσήφ, Βενιαμείν, Νεφθαλεί,
3 Γάδ, Ἀσήρ. 3Υἱοὶ Ἰούδα· Ἦρ, Αὐνάν, Σηλών, τρεῖς· ἐγεννήθησαν αὐτῷ ἐκ τῆς θυγατρὸς Αὔας τῆς Χανανείτιδος. καὶ ἦν Ἦρ
ὁ πρωτότοκος Ἰούδα πονηρὸς ἐναντίον Κυρίου, καὶ ἀπέκτεινεν αὐτόν·
4 4καὶ Θαμὰρ ἡ νύμφη αὐτοῦ ἔτεκεν αὐτῷ τὸν Φάρες καὶ τὸν Ζάρα.
5 6 πάντες υἱοὶ Ἰούδα πέντε. 5υἱοὶ Φάρες· Ἀρσὼν καὶ Ἰεμουήλ. 6καὶ
υἱοὶ Ζάρα· Ζαμβρεὶ καὶ Αἰθὰμ καὶ Αἱμουὰν καὶ Χαλκὰ καὶ Δάρα,
7 πάντες πέντε. 7καὶ υἱοὶ Χαρμεί· Ἀχὰρ ὁ ἐμποδοστάτης Ἰσραήλ, ὃς
8 9 ἠθέτησεν εἰς τὸ ἀνάθεμα. 8καὶ υἱοὶ Αἰθάμ· Ζαρειά. 9καὶ υἱοὶ Ἐσερὼν
10 οἳ ἐτέχθησαν αὐτῷ· ὁ Ἰραμεὴλ καὶ ὁ Ῥὰμ καὶ ὁ Χαβὲλ καὶ Ἀράμ. 10καὶ
Ἀρρὰν ἐγέννησεν τὸν Ἀμειναδάβ, καὶ Ἀμειναδὰβ ἐγέννησεν τὸν Ναασ-
11 σὼν ἄρχοντα τοῦ οἴκου Ἰούδα. 11καὶ Ναασσὼν ἐγέννησεν τὸν Σαλμών,
12 καὶ Σαλμὼν ἐγέννησεν τὸν Βόος. 12καὶ Βόος ἐγέννησεν τὸν Ὠβήδ,
13 καὶ Ὠβὴδ ἐγέννησεν τὸν Ἰεσσαί, 13καὶ Ἰεσσαὶ ἐγέννησεν τὸν πρωτό-

46 Γεθθαμ A **47—49** αντ αυτου] + Σαμαα εκ Μασεκκας· | απεθανεν δε A Σαμαα· και εβασιλευσε | αντ αυτου Σαουλ· εκ Ροωβωθ· της | παρα ποταμον· και απεθανεν Σαουλ· | και εβασιλευσεν αντ αυτου A **49** Βαλαεννῶ· | A (item 50) | Αχωβωρ B **50** om υιος Βαραδ A | Φογωρ] + και ονομα τη γυναικι αυτου | Μεταβεηλ· θυγατηρ· Ματραδ· | A **51** Αδδα] Αδαδ A | om και εβασιλευσεν (2°) ...Σαουλ 2° A | ηγεμων Θαιμαν] ηγεμονες Θαμανα A | Ιεθεθ A **52** Ελιβαμας A | Φινων A **53** Μαζαρ] Μαβσαρ A **54** Μεδιηλ] Μαγεδιηλ A | Ζαφωειν] Ηραμ A **II 1** ταυτα] pr και A | Λευι A | Ιουδας A **2** Βενιαμειν] post α ras 1 lit A? | Νεφθαλειμ A **3** Αυας] Σαυας B^{ab}A | Χαναανιτιδος A | Ηρ 2°] ανηρ A **4** η] ην A **5** Αρσων] Εσρων $B^{a?b?mg}$ Εσρωμ A **6** Ζαμβρι A | Αιθαν A | Αιμουαν] Αιμαν A | Χαλχαλ A **7** Χαρμι A **8** Αιθαν A | Ζαρεια] Αζαρια A **9** Εσερων] Εσρων B^{ab} Εσρωμ A | Χαβελ] Χαλεβ A **10** Αρραν] Αραμ A | Αμιναδαβ A (bis) **11** Σαλμαν A (bis) | Βοοζ A (item 12) **12** Ιωβηδ A (bis)

Β τοκον αὐτοῦ Ἐλιάβ· Ἀμειναδὰβ ὁ δεύτερος, Σαμαὰ ὁ τρίτος, [14]Ναθα- 14
ναὴλ ὁ τέταρτος, Ζαδδαὶ ὁ πέμπτος, [15]Ασομ ὁ ἕκτος, Δαυεὶδ ὁ ἕβδομος. 15
[16]καὶ ἀδελφὴ αὐτῶν Σαρουιά· καὶ υἱοὶ Σαρουιά· Ἀβεισὰ καὶ Ἰωὰβ καὶ 16
Ἀσαήλ, τρεῖς. [17]καὶ Ἀβειγαία ἐγέννησεν τὸν Ἀμεσσάβ· καὶ πατὴρ 17
Ἀμεσσὰβ Ἰόθορ ὁ Ἰσμαηλείτης. [18]Καὶ Χαλὲβ υἱὸς Ἑσερὼν 18
ἐγέννησεν τὴν Γαζουβὰ γυναῖκα καὶ τὴν Ἐλιώθ. καὶ οὗτοι υἱοὶ αὐτῆς·
Ἰωάσαρ καὶ Ἰασοὺβ καὶ Ὀρνά. [19]καὶ ἀπέθανεν Γαζουβά, καὶ ἔλαβεν 19
ἑαυτῷ Χαλὲβ τὴν Ἐφράθ, καὶ ἔτεκεν αὐτῷ τὸν Ὦρ. [20]καὶ Ὦρ 20
ἐγέννησεν τὸν Οὐρεί, καὶ Οὐρεὶ ἐγέννησεν τὸν Βεσελεήλ. [21]καὶ 21
μετὰ ταῦτα εἰσῆλθεν Ἑσερὼν πρὸς τὴν θυγατέρα Μαχεὶρ πατρὸς
Γαλαάδ, καὶ οὗτος ἔλαβεν αὐτήν, καὶ αὐτὸς ἑξήκοντα ἦν ἐτῶν, καὶ
ἔτεκεν αὐτῷ τὸν Σερούχ. [22]καὶ Σερούχ ἐγέννησεν τὸν Ἰαείρ. καὶ 22
ἦσαν αὐτῷ εἴκοσι τρεῖς πόλεις ἐν τῇ Γαλαάδ. [23]καὶ ἔλαβεν Γεδσοὺρ 23
καὶ Ἀρρὰν τὰς κώμας Σαεὶρ ἐξ αὐτῶν, τὴν Καανὰθ καὶ τὰς κώμας
αὐτῆς, ἑξήκοντα πόλεις· πᾶσαι αὗται υἱῶν Μαχεὶρ πατρὸς Γαλαάδ.
[24]καὶ μετὰ τὸ ἀποθανεῖν Ἑσερὼν ἦλθεν Χαλὲβ εἰς Ἐφράθα· καὶ 24
ἡ γυνὴ Ἑσερὼν Ἀβιά, καὶ ἔτεκεν αὐτῷ τὸν Ἀσχὼ πατέρα Θεκῶε.
[25]καὶ ἦσαν υἱοὶ Ἰραμεὴλ πρωτοτόκου Ἑσερὼν ὁ πρωτότοκος Ῥάν, 25
καὶ Βαναιὰ καὶ Ἀραιὰ καὶ Ἀμβρὰμ καὶ Ἄσαν ἀδελφὸς αὐτοῦ. [26]καὶ 26
ἦν γυνὴ ἑτέρα τῷ Ἰερεμεήλ, καὶ ὄνομα αὐτῇ Ἀταρά· αὕτη ἐστὶν
μήτηρ Ὀζόμ. [27]καὶ ἦσαν υἱοὶ Ἀρὰμ πρωτοτόκου Ἰερεμαὴλ Μάας 27
καὶ Ἰαμεὶν καὶ Ἄκορ. [28]καὶ ἦσαν υἱοὶ Ὀζὸμ Σαμαὶ καὶ Ἰαδᾶε, καὶ υἱοὶ 28
Σαμαὶ Ναδὰβ καὶ Ἀβεισούρ. [29]καὶ ὄνομα τῆς γυναικὸς Ἀβεισοὺρ 29
Ἀβειχαία, καὶ ἔτεκεν αὐτῷ τὸν Ἀχαβὰρ καὶ τὸν Μωήλ. [30]υἱοὶ 30
Ναδάβ· Ἀλσάλαδ καὶ Ἐφράιμ· καὶ ἀπέθανεν Σάλαδ οὐκ ἔχων τέκνα.
[31]καὶ υἱοὶ Ἐφράιμ Ἰσεμιήλ, καὶ υἱοὶ Ἰσεμιὴλ Σωσάν, καὶ υἱοὶ 31

A **13** Ελιαβ] pr τον B^{ab}A | Αμναδαβ A | Σαμαια A **14** Ζαδδαι] Ζαβδαι B^{ab} Ραδδαι A **16** Σαρουια 1°] + και Αβι|γαια· A | Σαρουια 2°] Σαρουιας A | Αβισσα κ. Ιωβαβ A **17** Αμεσσα A (bis) | Ιεθερ A | Ισμαηλιτης A **18** Εσρωμ A | εγεννησεν] ελαβεν A | Γαζουβα] Αζουβα A | Ελιωθ] Ιεριωθ A | Ιασουβ] Σωβαβ A **19** Εφραθ] Φραθ A **20** Ουρι A (bis) **21** Εσρωμ A | ην εξηκοντα A | Σερουχ] Σεγουβ A (item 22) **22** Σερουκ B* (Σερουχ B^{ab}) | Αειρ A **23** Γεσσουρ A | Αραμ A | Σαειρ] Ιαειρ B^{ab} Ιαρειρ A | Καναθ A | πατρος] προς (sic) A **24** Εσρωμ A (bis) | Ασχω] Ασδωδ A | Θεκως A **25** Ιερεμεηλ A | πρωτοτοκου] πρωτοτοκος A | Εσρων A | Ραμ A | Βαναια] Βαναα A | Αραια] Αραν A | om και Αμβραμ A | Ασομ A **26** Ιερεμηλ A | Αταρα] Ετερα A | Οζομ] Ουνομα A **27** Αραμ] Ραμ A | Ιερεμεηλ A | Ιαμειν] Ιαβειν A **28** Οζομ] Ουνομα A | Σαμμαι A (bis) | Αβισουρ A (post A ras pl litt A^3) **29** Αβειχαια] Αβιγαια A | Αχαβαρ] Οζα A | Μωηλ] Μωδαδ A (δ 2° sup ras A^a) **30** Αλσαλαδ] Σαλαδ A | Εφραιμ] Αφ·φαιμ A (item 31) **31** Ισεμιηλ] Ιεσει A (bis)

32 Σωσὰν Ἀχαί. 32καὶ υἱοὶ Ἰδουδά· Ἀχεισαμάς, Ἰέθερ, Ἰωναθάν· καὶ B
33 ἀπέθανεν Ἰέθερ οὐκ ἔχων τέκνα. 33καὶ υἱοὶ Ἰωναθάν· Θάλεθ καὶ
34 Ὀζάμ. οὗτοι ἦσαν υἱοὶ Ῥαμεήλ. 34καὶ οὐκ ἦσαν τῷ Σωσὰμ υἱοὶ
ἀλλ' ἢ θυγατέρες· καὶ τῷ Σωσὰμ παῖς Αἰγύπτιος, καὶ ὄνομα αὐτῷ
35 Ἰωχήλ. 35καὶ ἔδωκεν Σωσὰν τὴν θυγατέρα αὐτοῦ τῷ Ἰωχὴλ παιδὶ
36 αὐτοῦ εἰς γυναῖκα, καὶ ἔτεκεν αὐτῷ τὸν Ἐθθεί. 36καὶ Ἐθθεὶ ἐγέννησεν
37 τὸν Ναθάν, καὶ Ναθὰν ἐγέννησεν τὸν Ζαβέδ, 37καὶ Ζαβὲδ ἐγέννησεν
38 τὸν Ἀφαμήλ, καὶ Ἀφαμὴλ ἐγέννησεν τὸν Ὠβήδ, 38καὶ Ὠβὴδ ἐγέννη-
39 σεν τὸν Ἰησοῦν, καὶ Ἰησοῦς ἐγέννησεν τὸν Ἀζαρίαν, 39καὶ Ἀζαριὰ
40 ἐγέννησεν τὸν Χέλλης, καὶ Χέλλης ἐγέννησεν τὸν Ἐμάς, 40καὶ Ἐμὰς
41 ἐγέννησεν τὸν Σοσομαί, καὶ Σοσομαὶ ἐγέννησεν τὸν Σαλούμ, 41καὶ
Σαλοὺμ ἐγέννησεν τὸν Ἰεχεμείαν, καὶ Ἰεχεμείας ἐγέννησεν τὸν Ἐλει-
42 σαμά. 42καὶ υἱοὶ Χαλὲβ ἀδελφοῦ Ἰερεμήλ· Μαρεισὰ ὁ πρωτότοκος
43 αὐτοῦ, οὗτος πατὴρ Ζείφ· καὶ υἱοὶ Μαρεισὰ πατρὸς Χεβρών. 43καὶ υἱοὶ
44 Χεβρών· Κόρεε καὶ Θαποὺς καὶ Ῥέκομ καὶ Σεμάα. 44καὶ Σεμάα
ἐγέννησεν τὸν Ῥάμεε πατέρα Ἰακλάν, καὶ Ἰεκλὰν ἐγέννησεν τὸν
45 Σαμαί· 45καὶ υἱὸς αὐτοῦ Μεών, καὶ Μεὼν πατὴρ Γεδσούρ. 46καὶ
46 Γαιφαὴλ παλλακὴ Χαλὲβ ἐγέννησεν τὸν Ἀρρὰν καὶ τὸν Ἰωσὰν καὶ
47 τὸν Γεζοῦε. καὶ Ἀρρὰν ἐγέννησεν τὸν Γεζοῦε. 47καὶ υἱοὶ Ἰησοῦ·
Ῥάγεμ καὶ Ἰωαθὰμ καὶ Σωγὰρ καὶ Φάλεκ καὶ Γαιφὰ καὶ Σάγαε.
48 48καὶ ἡ παλλακὴ Χαλὲβ Μωχὰ ἐγέννησεν τὸν Σάβερ καὶ τὸν Θαράμ.
49 49καὶ ἐγέννησεν Σάγαε πατέρα Μαρμηνὰ καὶ τὸν Σαοὺ πατέρα
50 Μαχαβηνὰ καὶ πατέρα Γαιβάλ· καὶ θυγάτηρ Χαλὲβ Ἀσχά. 50οὗτοι
ἦσαν υἱοὶ Χαλέβ. υἱοὶ [a]Ὡρ πρωτοτόκου Ἐφράθα· Σωβὰρ πατὴρ
51 Καριαθιαρείμ, 51Σαλωμὼν πατὴρ Βαιθά, Λαμμὼν πατὴρ Βαιθαλάεμ,

31 Αχαι] Ααδαι A **32** Ιδουδα] Ιεδδαε A | Αχισαμμα A | Ιεθερ 1°] A pr και A | Ιωναθαν] pr και A **33** Θαλεθ] Φαλεθ A | Οζαμ] Οζαζα A | Ραμεηλ] Ιερεμεηλ A **34** Σωσαν A (bis) **35** τω Ιωχηλ] om τω A | Ιεθθι A **36** Ιεθθει A **37** Αφαμηλ 1° B[b]] Αφαμηδ B* Οφλαδ A | Αφαμηλ 2°] Οφλαδ A | Ιωβηδ A (item 38) **38** Ιησουν] Ιηου A | Ιησους] Ιηου A **39** Αζαρια] Αζαριας A | Εμας] Ελεασα A (item 40) **40** Σαλλουμ A (item 41) **41** Ιεκομιαν, Ιεκομιας A | Ελισαμα A **42** Χαλεμ A | Ιερεμεηλ A | Μαρεισα 1°] Μαρισας A | ο πρωτοτ.] om ο A | Μαρεισα 2°] Μαρισα A **43** Κορε A | Θαπους] Θαφφου A | Ροκομ A | om και Σεμαα A **44** Ραμεε] Ραεμ] A | Ιακλαν] Ιερκααν A | Ιεκλαν] Ιερκααν A | τον Σαμαι] Σαμμαι A **45** Μεων] Μαων A (bis) | Γεδσουρ] Βηθσουρ A **46** Γαιφα η παλλ. A | Ιωσα] A **47** Ιησου] Ιαδαι A | Ρεγεμ A | Σωγαρ] Γηρσωμ A | Φαλεκ] Φαλετ A | Σαγαε] Σαγαφ A (item 49) **48** Σεβερ A | Θαραμ] Θαρχνα A **49** Μαδμηνα A | Σαουλ A | Μαχαμηνα A | Γαιβαα A | Ασχα] Αχσα A **50** Σωβαλ A **51** Βαιθα Λαμμων] Βαι|θλαμμων· A | Βαιθαλαεμ] Βεθλεεμ A

Β Ἀρεὶμ πατὴρ Βαιθγαιδών. [52]καὶ ἦσαν υἱοὶ τῷ Σωβὰλ πατρὶ Καρι- 52
αθιαρείμ, Αἰώ, Ἐσειρά, Μωναιώ, [53]Ἐμοσφεώς, πόλεις Ἰαείρ· Αἰθαλεὶμ 53
καὶ Μειφειθεὶμ καὶ Ἡσαμαθεὶμ καὶ Ἡμασαραείμ· ἐκ τούτων ἐξήλθοσαν
οἱ Σαραθαῖοι καὶ υἱοὶ Ἐσθάαμ. [54]υἱοὶ Σαλωμών· Βαιθλάεμ, Μετω- 54
φαθεί, Ἀταρὼθ οἴκου Ἰωὰβ καὶ ἥμισυ τῆς Μαλαθεί, Ἡσαρεί, [55]πατριαὶ 55
γραμμάτων κατοικοῦντες Γαμές, Ἀργαθιείμ, Σαμαθιείμ, Σωχαθιείμ·
οὗτοι οἱ Κειναῖοι οἱ ἐλθόντες ἐκ Μεσημὰ πατρὸς οἴκου Ῥηχά.

[1]Καὶ οὗτοι ἦσαν υἱοὶ Δανεὶδ οἱ τεχθέντες αὐτῷ ἐν Χεβρών· ὁ 1 III
πρωτότοκος Ἀμνὼν τῇ Ἀχεινάαμ τῇ Ἰσραηλείτιδι, ὁ δεύτερος Δαμνιὴλ
τῇ Ἀβιγαίᾳ τῇ Καρμηλίᾳ, [2]ὁ τρίτος Ἀβεσσαλὼμ υἱὸς Μωχὰ θυγατρὸς 2
Θοαμαὶ βασιλέως Γεδσούρ, ὁ τέταρτος Ἀδωνειὰ υἱὸς Ἀγγείθ, [3]ὁ 3
πέμπτος Σαβατειὰ τῆς Σαβειτάλ, ὁ ἕκτος Ἰθαρὰμ τῇ Ἀλὰ γυναικὶ
αὐτοῦ. [4]ἓξ ἐγεννήθησαν αὐτῷ ἐν Χεβρών. καὶ τριάκοντα καὶ τρία 4
ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ. [5]καὶ οὗτοι ἐτέχθησαν αὐτῷ ἐν 5
Ἰερουσαλήμ· Σάμαν, Σωβάν, Ναθὰν καὶ Σαλωμών, τέσσαρες τῇ
Βηρσάβεε θυγατρὶ Ἀμιήλ, [6]καὶ Βαὰρ καὶ Ἐλεισὰ καὶ Ἐλιφαλὴθ 6
[7]καὶ Νάγαι καὶ Νάφαθ καὶ Ἰανοῦε [8]καὶ Ἐλεισαμὰ καὶ Ἐλειδὰ καὶ 7 8
Ἐλειφάλα, ἐννέα· [9]πάντες υἱοὶ Δανείδ, πλὴν τῶν υἱῶν τῶν παλλα- 9
κῶν· καὶ Θημὰρ ἀδελφὴ αὐτῶν. [10]Υἱοὶ Σαλωμών· Ῥοβοάμ, 10
Ἀβειὰ υἱὸς αὐτοῦ, Ἀσὰ υἱὸς αὐτοῦ, Ἰωσαφὰτ υἱὸς αὐτοῦ, [11]Ἰωρὰμ 11
υἱὸς αὐτοῦ, Ὀζειὰ υἱὸς αὐτοῦ, Ἰωὰς υἱὸς αὐτοῦ, [12]Ἀμασίας υἱὸς 12
αὐτοῦ, Ἀζαριὰ υἱὸς αὐτοῦ, Ἰωαθὰν υἱὸς αὐτοῦ, [13]Ἀχὰς υἱὸς αὐτοῦ, 13
Ἐζεκίας υἱὸς αὐτοῦ, Μανασσῆς υἱὸς αὐτοῦ, [14]Ἀμνὼν υἱὸς αὐτοῦ, 14
Ἰωσειὰ υἱὸς αὐτοῦ. [15]καὶ υἱοὶ Ἰωσειά· πρωτότοκος Ἰωανάν, ὁ δεύτερος 15
Ἰωακείμ, ὁ τρίτος Σεδεκιά, ὁ τέταρτος Σαλούμ. [16]καὶ υἱοὶ Ἰωακείμ· 16

A **51** Αρει· A | Βαιθγαιδων] Βαιθγεδωρ A **52** Αιω Εσειρα Μων.] Αραα· Εσει· Αμμανιθ'| Θυμασφας· A **53** πολεις Ιαειρ] Καριαθιαειρ A | Μειφειθειμ] Ηφιθειν A | Ησαμαθειν A | Ημασαραειν A | υιοι Εσθααμ] οι Εσθαωλαιοι A **54** Βαιθλεεμ A | Μετωφαθει] και Νετω|φαθι· A | Ιωβαβ A | Μαλαθει] Μαναθ A | Ησαραει A **55** γραμματαιων A | Γαμες] εν Γαβης A | Σαμαθιειμ] pr και A | Σωκαθιειμ A | Κιναιοι A | εκ Μεσημα] εξ Αιμαθ A | Ρηχαβ A III **1** Αχιναμ A | Ισραηλιτιδι A | Δαμνιηλ] Δαλουια A | Αβιγαια A **2** Θοαμαι] Θολμει A | Γεσουρ A | Αδωνια A **3** Σαβατεια της Σαβειταλ] Σαφατιας της Αβιταλ A | Ιθαραμ] Ιεθραμ A | Αλα] Αγλα A **4** Χεβρων] +και εβασιλευσεν εκει επτα ετη και| εξαμηνον· A **5** Σαμαα A | Σωβαβ A | om και 2° A **6** Βααρ] Ιεβααρ A | Ελεισα] Ελισαμα A | Ελιφαλετ A (item 8) **7** Ναγε A | Ναφεγ A | Ιανουε] Ιαφιε A **8** Ελισαμα A | Ελιεδα A **9** αδελφη] pr η A **10** υιος 1°] pr ο A **11** Οζιας A **12** Αζαριας A | Ιωναθαν A **13** Αχας...αυτου (3°) sup ras $A^{1?}$ vel forte a? **14** Αμνων] Αμως $B^{ab}A^{1?}$ vel forte a? | Ιωσιας A **15** Ιωσια A | Σεδεκιας A | Σαλλουμ A

17 Ἰεχονίας υἱὸς αὐτοῦ, Σεδεκίας υἱὸς αὐτοῦ. 17 καὶ υἱοὶ Ἰεχονία· Ἀσίρ, B
18 Σαλαθιὴλ υἱὸς αὐτοῦ, 18 Μελχειρὰμ καὶ Φαλδαίας καὶ Σανεσὰρ καὶ
19 Ἰεκενιὰ καὶ Ὡσαμὼθ καὶ Δενεθεί. 19 καὶ υἱοὶ Σαλαθιήλ· Ζοροβάβελ·
20 Μοσολόαμος καὶ Ἀνανιά, καὶ Σαλωμεθὲι ἀδελφὴ αὐτῶν, 20 καὶ Ἀσουβὲ
21 καὶ Ὀσὰ καὶ Βαραχιαὶ καὶ Ἀσαδιὰ καὶ Ἀροβάσουκ, πέντε. 21 καὶ
υἱοὶ Ἀνανιά, Φαλεττί, καὶ Ἰσαβὰ υἱὸς αὐτοῦ, Ῥαφὰλ υἱὸς αὐτοῦ,
22 Ὀρνὰ υἱὸς αὐτοῦ, Ἀβδειὰ υἱὸς αὐτοῦ, Σεχενιὰ υἱὸς αὐτοῦ. 22 καὶ
υἱὸς Σεχενιά· Σαμαιά. καὶ υἱὸς Σαμαιά· Χαττούς, καὶ Ἰωὴλ καὶ Μαρεὶ
23 καὶ Νωαδειὰ καὶ Σαφάθ, ἕξ. 23 καὶ υἱοὶ Νωαδειά· Ἐλειθανὰ καὶ Ἐζκιὰ
24 καὶ Ἐζρεικάν, τρεῖς. 24 καὶ υἱοὶ Ἐλειθενάν· Ὀδολιὰ καὶ Ἀσεὶβ καὶ
Φαρὰ καὶ Ἰακοὺν καὶ Ἰωανὰν καὶ Δαλαιὰ καὶ Μανεί, ἑπτά.

IV 1 1 Καὶ υἱοὶ Ἰούδα· Φάρες, Ἀρσὼν καὶ Χαρμεὶ καὶ Ὦρ, Σουβάλ,
2 2 καὶ Ῥαδὰ υἱὸς αὐτοῦ· καὶ Σουβὰλ ἐγέννησεν τὸν Ἰεθ, καὶ Ἰεθ
ἐγέννησεν τὸν Ἀχειμελ καὶ τὸν Λάαθ· αὗται αἱ γενέσεις τοῦ Ἀραθεί.
3 3 καὶ οὗτοι υἱοὶ Αἰτάν· Ἀζραὴλ καὶ Ῥαγμὰ καὶ Ἰαβάς, καὶ ὄνομα
4 ἀδελφῆς αὐτῶν Ἐσηλεββών. 4 καὶ Φανουὴλ πατὴρ Γεδώρ, καὶ Ἀζὴρ
πατὴρ Ὡσάν· οὗτοι υἱοὶ 5 Ὦρ τοῦ πρωτοτόκου Ἐφράθα πατρὸς
6 Βαιθλάδεν. 5 καὶ τῷ Σαρὰ πατρὶ Θεκῶε ἦσαν δύο γυναῖκες, Ἀωδὰ
7 καὶ Θοαδά. 6 καὶ ἔτεκεν αὐτῷ Ἀωδὰ τὸν Ὀχαιὰ καὶ τὸν Ἡφὰλ
8 καὶ τὸν Θαιμὰν καὶ τὸν Ἀσηράν· πάντες οὗτοι υἱοὶ Ἰώδας. 7 καὶ
υἱοὶ Ἀοάδας· Ἄρεθ καὶ Σάαρ καὶ Σεννών. 8 καὶ Κὼε ἐγέννησεν
τὸν Ἐννὼν καὶ τὸν Σαβαθά, καὶ γεννήσεις ἀδελφοῦ Ῥηχὰβ υἱοῦ

17 Ιεχονιου A **18** Μελχιραμ A | Φαλδαιας...Δενεθει] Φαδαιας (sic) και Σα|νεσαρ' και Ιεκενια· και Ωσαμω· και Ναβαδιας·| sup ras A^a **19** Ζοροβαβελ] + και Σεμει·| και υιοι Ζοροβαβελ· A | Μοσολλαμος A | Σαλωμεθι A **20** Ασουβε] Ασεβα A | Οσα] Οοα A | Βαραχια·] A | Ασαδια A | Ασοβαεσδ'· A **21** Φαλλετια A | Ισαβα] Ιεσεια A | Ραφαλ] Ραφαια A | Ορνα υιος αυτου Αβδια (sic) sup ras A^a | Σεχενιας A **22** Σαμαια 1° $B^{ab}A$] Σαμαα B^* | υιος 2°] υιοι A | Χεττους (X sup ras $A^{b?}$) A | om και 4° A | Μαρει] Βερια A | Νωαδια A (item 23) | Σαφατ A **23** Ελειθανα] Ελιωηναι A | Εσρικαμ A **24** Ελειθαναν] Ελιωνναι A | Οδολια] Ωδονια A | Ασειβ] Ελιασειβ A | Φαρα] Φαλαια A | Ιακουν] Ακκουβ A | Ιωαναμ A | Δαλαια A | Μανει] Ανανι A IV **1** om και 1° A | Αρσων] Εσρωμ A | Χαρμι A | Σουβαλ] pr και A **2** Ραδα] Ρεια A | τον Ιεθ και Ιε (sic) εγεννησεν τον Αχιμαϊ sup ras et in mgg A^a (om τον Ιεθ...εγεννησεν [2°] A*) | Λααθ] Λαδ A | Αραθει] Σαραθι A **3** Αιταμ A | Αζραηλ] Ιεζριηλ (ρι sup ras 3 vel 4 litt) $A^{b?}$ | Ραγμα] Ιε|σμα A | Ιαβας] Ιγαβης A | Εσηλλελφων A **4** Αζηρ] Εζερ A | του πρωτοτ.] om του A | Βαιθλαεμ A **5** Σαρα] Ασχουρ A | Θεκωμ'| A | Αωδα κ. Θοαδα] Αλαα· κ. Νοορα·| A **6** Αωδα] η Νοορα A | Ωχαια] Ωχα|ζαμ A | Ασηραν] Ασθηρα A | Ιωδας] Νοορα A **7** Λοαδας (forte Λοαδας) B^*] Θοαδας B^b Αλαα· A | Αρεθ] Σαρεθ A | Σεννων] Εθναδι A **8** Κωε $B^{*\,b?}$A] Θεκωε (Θε superscr) $B^{a?\,vid}$ | Εννων] Εγνωβ A | Σαβαθα] Σωβηβα A | γεννησεις $B^{*\,b}$A] γεννησις $B^{ab\,et\,c\,(vid)}$

B Ἰαρείμ. [9]Καὶ ἦν Ἰγαβὴς ἔνδοξος ὑπὲρ τοὺς ἀδελφοὺς αὐτοῦ· 9
καὶ ἡ μήτηρ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ἰγαβὴς λέγουσα Ἔτεκον ὡς
γάβης. [10]καὶ ἐπεκαλέσατο Ἰγαβὴς τὸν θεὸν Ἰσραὴλ λέγων Ἐὰν 10
εὐλογῶν εὐλογήσῃς με, καὶ πληθύνῃς τὰ ὅριά μου, καὶ ἦν ἡ χείρ σου
μετ' ἐμοῦ, καὶ ποιήσῃς γνῶσιν τοῦ μὴ ταπεινῶσαί με. καὶ ἐπήγαγεν
ὁ θεὸς πάντα ὅσα ᾐτήσατο. [11]Καὶ Χαλὲβ πατὴρ Ἀσχὰ ἐγέννησεν 11
τὸν Μαχείρ· οὗτος πατὴρ Ἀσσαθών. [12]ἐγέννησεν τὸν Βαθραίαν 12
καὶ τὸν Βεσσῆε καὶ τὸν Θαιμάν, πατέρα πόλεως Ναὰς ἀδελφοῦ
Ἐσελὼν τοῦ Χενεζεί· οὗτοι ἄνδρες Ῥηχάβ. [13]καὶ υἱοὶ Κενέζ· Γοθο- 13
νιὴλ καὶ Σαραιά. καὶ υἱοὶ Γοθονιήλ· Ἀθάθ. [14]καὶ Μαναθεὶ ἐγέννησεν 14
τὸν Γοφερά. καὶ Σαραιὰ ἐγέννησεν τὸν Ἰωβὰβ πατέρα Ἀγεαδδαείρ,
ὅτι τέκτονες ἦσαν. [15]καὶ υἱοὶ Χαλὲβ υἱοῦ Ἰεφοννή· Ἦρ, Ἀδαὶ καὶ 15
Νόομ. καὶ υἱοὶ Ἀδά· Κενέζ. [16]καὶ υἱὸς αὐτοῦ Γεσεήλ, Ἀμηαχεὶ καὶ 16
Ζαφὰ καὶ Ζαιρὰ καὶ Ἰσεραήλ. [17]καὶ υἱοὶ Ἐσρεί· Ἰεθερεί, Ἱῶραδ καὶ 17
Ἄφερ καὶ Ἀμών. καὶ ἐγέννησεν Ἰέθερ τὸν Μαιὼν καὶ τὸν Σεμὲν καὶ
τὸν Μαρὲθ πατέρα Ἐσθαιμών. [18]καὶ ἡ γυνὴ αὐτοῦ, αὕτη Ἀδειά, ἔτεκεν 18
τὸν Ἰάρεδ πατέρα Γεδὼρ καὶ τὸν Ἀβεισὰ πατέρα Σωχὼν καὶ τὸν
Χετιὴλ πατέρα Ζαμών· καὶ οὗτοι υἱοὶ Γελιὰ θυγατρὸς Φαραὼ ἣν
ἔλαβεν Νωρωήλ. [19]καὶ υἱοὶ γυναικὸς τῆς Ἰδουίας ἀδελφῆς Νάχεθ 19
καὶ Δαλειλὰ πατὴρ Κεειλά, καὶ Σεμεγὼν πατὴρ Ἰωμάν, καὶ Μαναὴμ
πατρὸς Κεειλὰ Ἀταμεὶ καὶ Ἐσθαιμωνὴ Νωχαθεί. [20]καὶ υἱοὶ Σεμιών· 20
Ἀμνὼν καὶ Ἀνὰ υἱὸς Φανὰ καὶ Ἰνών. καὶ υἱοὶ Σεεί· Ζωάν. καὶ
υἱοὶ Ζωάβ, [21]υἱοὶ Σηλὼμ υἱοῦ Ἰούδα, Ἦρ πατὴρ Ληχά, καὶ Μαδὰθ 21
πατὴρ Μαιχά· καὶ γενέσεις οἰκιῶν ἐφρὰθ ἄβακ τῷ οἴκῳ Ἐσοβά·
[22]καὶ Ἰωακεὶμ καὶ ἄνδρες Σωχηθὰ Ἰωαδὰ καὶ Σαιά, οἳ κατῴκησαν 22

A **9** Ιγαβης 2°] Ιαγβης A **10** Ιγαβης] Γαβης A | ποιησεις A | om μη B* (hab B^{ab} [superscr]) A **11** Ασχας A **12** εγεννησεν] pr και Ασσαθων A | Βαθραιαν] Βα|θρεφα A | Βεσσηε] Φεσση A | Θαιμαν] Θανα A | πολεως A] ποχεως B | Εσελωμ A | Χενεζει] Κενεζι A | Ρηχαβ] Ρηφα A **14** Μανα|θι A | Γοφορα A | Σαρια A | Ιωαβ A | Αγεαδδαειρ] γης Ρα|σειμ A **15** υιου B | Ηρα A | Αδαι] Αλα A | Νααμ A | Αδα] Αλα A **16** υιοι A | αυτου... Ιεσεραηλ] Ιαλλελη (λ 2° sup ras A$^{a?}$ Ιαλλελημ A*^{vid}) Ζιφαι κ. Ζαιφα·| κ. Θηρια κ. Εσεραηλ A **17** υιοι Εσρει· Ιεθερει] υιοι·| Εζρι Ιεθερ· A (sic) | Ιωραδ] Μωραδ A | Αφερ] Γαφερ A | Αμων] Ιαλων A | Σεμεν] Σεμμαι A | Μαρεθ] Ιεσαβα A | Εσθεμων A **18** Αδεια] Ιδια A | Αβεισα] Αβερ· A | Χετιηλ] Ιεκθιηλ A* (improb ι 3° A$^{?}$) | Γελια] Βεθθια A | Νωρωηλ] Μωρηδ·| A **19** Ιδουιας] Ιουδαιας A | Ναχεθ] Ναχεμ A | Δαλειλα] Δανα A | Σεμεγων] Σωμειων A | Ιωμαν A | Μαναημ] υιοι Ναημ A | Αταμει] ο Ταρμι A | Ιεσθεμωη A | Νωχαθει] Μαχαθα A **20** Σεμειων A | Ανα] Ρανων A | Φανα] Αναν A | Ινων] Θιλων A | Σεει] Ες A | Ζωαν] Ζωχαθ A | Ζωαβ] Ζωχαθ A **21** Ληχαδ A | Μαδαθ] Ααδα A | Μαιχα] Μαρησα A | εφραθ αβακ] εβδαθ αββυυς A **22** Σωχηθα] Χωζηβα A | Ιωαδα] και Ιωας A | Σαια] Σαραφ A

23 ἐν Μωάβ· καὶ ἀπέστρεψεν αὐτοὺς ἀβεδηρεὶν ἀθουκιείν. [23]οὗτοι κερα- B
μεῖς οἱ κατοικοῦντες ἐν Ἀζαεὶμ καὶ Γαβαηρὰ μετὰ τοῦ βασιλέως·
ἐν τῇ βασιλείᾳ αὐτοῦ ἐνίσχυσαν καὶ κατῴκησαν ἐκεῖ.
24 [24]Υἱοὶ Συμεών· Ναμουὴλ καὶ Ἰαμείν, Ἰαρείν, Ζάρες, Σαούλ· [25]Σαλὲμ
26 υἱὸς αὐτοῦ, Μαβασὰμ υἱὸς αὐτοῦ, Μασμὰ υἱὸς αὐτοῦ, [26]Σεμεεὶ υἱὸς
27 αὐτοῦ. [27]τῷ Σεμεεὶ υἱοὶ ἑκκαίδεκα καὶ θυγατέρες τρεῖς· καὶ τοῖς
ἀδελφοῖς αὐτῶν οὐκ ἦσαν υἱοὶ πολλοί· καὶ πᾶσαι αἱ πατριαὶ αὐτῶν
28 οὐκ ἐπλεόνασαν ὡς υἱοὶ Ἰούδα. [28]καὶ κατῴκησαν ἐν Βηρσάβεε καὶ
29 Σάμα καὶ Μωαλδὰ καὶ Ἑσηρεουλάβ· [29]Ἀβελλὰ καὶ Βοόσαλ καὶ
30 Θουλάεμ [30]καὶ Βαθοὺν καὶ Ἑρμὰ καὶ Ὠκλὰ [31]καὶ Βαιθμαρεμὼθ
καὶ Ἡμισυσεσορὰμ καὶ οἶκον Βραουμσεωρείμ· αὗται πόλεις αὐτῶν
32 ἕως βασιλέως Δαυείδ. [32]καὶ ἐπαύλεις αὐτῶν· Αἰτὰν καὶ Ῥεμμὼν
33 καὶ Θόκκα καὶ Αἰσάρ, πόλεις πέντε. [33]καὶ πᾶσαι ἐπαύλεις αὐτῶν
κύκλῳ τῶν πόλεων τούτων ἕως Βάλατ· αὕτη κατάσχεσις αὐτῶν
34 καὶ ὁ καταλοχισμὸς αὐτῶν. [34]καὶ Μοσοβὰβ καὶ Ἰεμολὸχ καὶ Ἰωσειὰ
35 υἱὸς Ἀμασειὰ [35]καὶ Ἰωήλ· καὶ οὗτος υἱὸς Ἰσαβιὰ υἱὸς Σαραὰ υἱὸς
36 Ἀσιήλ· [36]καὶ Ἐλιωναὶ καὶ Ἰωκάβα καὶ Ἰασουιὰ καὶ Ἀσιὰ υἱοὶ Ἀωσὰλ
37 38 υἱοῦ Σαφὰλ [37]υἱοῦ Ἀμὼν υἱοῦ Ἰδιὰ υἱοῦ Σαμὰρ υἱοῦ Συμεών. [38]οὗτοι
οἱ διελόντες ἐν ὀνόμασιν ἀρχόντων ἐν ταῖς γενέσεσιν αὐτῶν· καὶ
39 ἐν οἴκοις πατριῶν αὐτῶν ἐπληθύνθησαν εἰς πλῆθος. [39]Καὶ
ἐπορεύθησαν ἕως τοῦ ἐλθεῖν Γέραρα ἕως τῶν ἀνατολῶν τῆς Γαί,
40 τοῦ ζητῆσαι νομὰς τοῖς κτήνεσιν αὐτῶν. [40]καὶ εὗρον νομὰς πίονας
καὶ ἀγαθάς· καὶ ἡ γῆ πλατεῖα ἐναντίον αὐτῶν, καὶ εἰρήνη καὶ ἡσυχία,
41 ὅτι ἐκ τῶν υἱῶν Χὰμ τῶν κατοικούντων ἐκεῖ ἔμπροσθεν. [41]καὶ

22 και 4° bis scr A | αβεδηρειν αθουκιειν] αβεδ'| δηριν αθουκιειμ A A **23** κειραμεις A | Αζαειμ] Αταειμ A | Γαβαηρα] Γαδηρα A **24** Ιαρειν] Ιαρειβ A | Ζαρες] Ζαραε A **25** Μαβασαν A | Μασμα υιος αυτου (α in αυτ. sup ras A^1)] + Αμουηλ υιος αυτου·| Σαβουδ υιος αυτου·| Ζακχουρ υιος αυτου| A **26** Σεμει A (item 27) **27** τω Σ.] pr και A | υιοι 3°] sub υ latere vid lit rotund cuiusdam vestigia in B **28** Σαμαα A | Μωλαδα A | Εσηρεουλαβ] Εσερ'σουλ' A **29** Αβελλα] pr ῆ $B^{a?b\,(mg)}$ και εν| Βαλαα A | Βοοσαλ] Βοασομ A | Θουλαεμ] Θωλαδ A **30** Βαθουν] Βαθουλ A | Ωκλα] εν Σικελαγ A **31** Βαιθμαρειμωθ] εν Βαιθ'μαρχαβωθ A | Ημισυσεσοραμ] Ημισυσωσ. B^{ab} Ημισυεωσιμ A | Βαρουμ'|σεωρειμ A **32** επαυλεις] pr αι $A^?$ (superscr) Αιταν και ην (sic) Ρε sup ras $A^{a?}$ | Θοκκα] Θοχχαν A | Αισαν A **33** επαυλεις] pr αι A | κυκλω] pr των A | Βαλατ] Βααλ A | κατασχεσις] pr η A **34** Ιεμολοχ] Αμαληκ A | Ιωσια B^b Ιωσιας A | Αμασια B^bA **35** ουτος] Ιηου B^b (superscr) A | Σαραια A **36** Ελιωνηι A | Ιακαβα A | Ασαια A **36—37** υιοι Αωσαλ...Συμεων] και Εδιηλ· και Ισμαηλ·| και Βαναια· και Ζουζα υιος Σεφεϊ·| υιου Αλλων· υιου Εδια· υιου Σαμα|ριου· υιου Σαμαιου·| A **38** διελοντες] διελθοντες A **39** αυτων] εαυτων A **40** πιονας] πειονας B* πλειονας B^{ab}A

Β ἦλθοσαν οὗτοι γεγραμμένοι ἐπ' ὀνόματος ἐν ἡμέραις Ἐζεκίου βασιλέως
Ἰούδα καὶ ἐπάταξαν τοὺς οἴκους αὐτῶν καὶ τοὺς Μιναίους οὓς εὗροσαν
ἐκεῖ, καὶ ἀνεθεμάτισαν αὐτοὺς ἕως τῆς ἡμέρας ταύτης· καὶ ᾤκησαν
ἀντ' αὐτῶν, ὅτι νομαὶ τοῖς κτήνεσιν αὐτῶν ἐκεῖ. 42καὶ ἐξ αὐτῶν 42
ἀπὸ τῶν υἱῶν Συμεὼν ἐπορεύθησαν εἰς ὄρος Σηεὶρ ἄνδρες πεντακόσιοι,
καὶ Φαλαεττιὰ καὶ Νωαδειὰ καὶ Ῥαφαιὰ καὶ Ὀζειὴλ υἱοὶ Ἰεσειθὲν
ἄρχοντες αὐτῶν· 43καὶ ἐπάταξαν τοὺς καταλειφθέντας τοὺς καταλοί- 43
πους τοῦ Ἀμαλὴκ ἕως τῆς ἡμέρας ταύτης.

1Καὶ υἱοὶ Ῥουβὴν πρωτοτόκου Ἰσραήλ· ὅτι οὗτος ὁ πρωτότοκος, 1 V
καὶ ἐν τῷ ἀναβῆναι ἐπὶ τὴν κοίτην τοῦ πατρὸς αὐτοῦ ἔδωκεν εὐλογίαν
αὐτοῦ τῷ υἱῷ αὐτοῦ Ἰωσὴφ υἱῷ Ἰσραήλ, καὶ οὐκ ἐγενεαλογήθη εἰς
πρωτοτοκεῖα, 2ὅτι Ἰούδας δυνατὸς ἰσχύι καὶ ἐν τοῖς ἀδελφοῖς αὐτοῦ, 2
καὶ εἰς ἡγούμενον ἐξ αὐτοῦ, καὶ ἡ εὐλογία τοῦ Ἰωσήφ· 3υἱοὶ Ῥουβὴν 3
πρωτοτόκου Ἰσραήλ· Ἐνὼχ καὶ Φαλλούς, Ἀρσὼν καὶ Χαρμεί. 4υἱοὶ 4
Ἰωήλ· Σεμεεὶ καὶ Βαναιὰ υἱὸς αὐτοῦ. καὶ υἱοὶ Γοὺγ υἱοῦ Σεμεεί·
5υἱὸς αὐτοῦ Ἠχά, υἱὸς αὐτοῦ Ῥηχά, υἱὸς αὐτοῦ Ἰωήλ, 6υἱὸς αὐτοῦ 5 6
Βεήλ, ὃν μετῴκισεν Θαλγαβανάσαρ βασιλεὺς Ἀσσούρ· οὗτος ἄρχων
τῶν Ῥουβήν. 7καὶ ἀδελφοὶ αὐτοῦ τῇ πατρίδι αὐτοῦ ἐν τοῖς κατα- 7
λοχισμοῖς αὐτῶν κατὰ γένεσιν αὐτῶν· ὁ ἄρχων Ἰωὴλ καὶ Ζαχαριὰ
καὶ Βάλεκ υἱὸς Ὀζοὺζ υἱὸς Σάμα υἱὸς Ἰωήλ. 8οὗτος κατῴκησεν ἐν 8
Ἀροὴρ καὶ ἐπὶ Ναβαὺ καὶ Βεελμασσών, 9καὶ πρὸς ἀνατολὰς κατῴ- 9
κησεν ἕως ἐρχομένων τῆς ἐρήμου ἀπὸ τοῦ ποταμοῦ Εὐφράτου, ὅτι
κτήνη αὐτῷ πολλὰ ἐν γῇ Γαλαάδ. 10καὶ ἐν ἡμέραις Σαοὺλ ἐποίησαν 10
πόλεμον πρὸς τοὺς παροίκους, καὶ ἔπεσον ἐν χερσὶν αὐτῶν κατοι-
κοῦντες ἐν σκηναῖς ἕως πάντες κατ' ἀνατολὰς τῆς Γαλαάδ.

11Υἱοὶ Γὰδ κατέναντι αὐτῶν κατῴκησαν ἐν τῇ Βασὰν ἕως Ἐλχά· 11
12Ἰωὴλ πρωτότοκος, καὶ Σαβὰτ ὁ δεύτερος, καὶ Ἰανεὶν ὁ γραμματεὺς 12
ἐν Βασάν. 13καὶ οἱ ἀδελφοὶ αὐτῶν κατ' οἴκους πατριῶν αὐτῶν· 13
Μιχαήλ, Μοσολὰμ καὶ Σέβεε καὶ Ἰωρεὲ καὶ Χιμὰ καὶ Ζοῦε καὶ Ὠβήδ,

A **41** *οικους*] *οικητορας* A **42** *Σηειρ* A | *Φαλεττια* A | *Νωαδια* A | *Οζιηλ* A | *Ιεσειθεν*] *Ιεσει*·| A **43** *τους καταλοιπους τους καταλιφθεντας* A | *εως*] pr *και κατωκησαν εκει*·| A V **1** *πρωτοτοκος*]+*αυτου* A | *Ιωσηφ*] pr *τω* A | *πρωτοτοκια* $B^{b}A$ **2** *Ιουδα*] A* (*Ιουδας* [*s* superscr] A^{1}) **3** *υιοι* (*υιου* B)] pr *και* A | *Αρσων*] *Εσρων* A | *Χαρμι* A **4** *Σεμειν* (1°) A **5** *Ηχα*] *Μιχα* A | *Ιωηλ*] *Βααλ* A **6** *Βεηλ*] *Βεηρα* A | *Θαγλαθ*'| *Φαλνασαρ* A **7** *αδελφοι* (*αδελφη* B)] pr *οι* A | *πατριδι*] *πατρια* A | *γενεσιν*] *γενεσις* A **8** *Βαλε* A | *Βεελμαων* A **9** *αυτω*] *αυτων* A **10** *εποιησαντο* A | *χειρσιν* B* (*χερσιν* $B^{b}A$) **11** *Ελχα*] *Σελχα* A **12** *πρωτοτοκος*] pr *ο* A | *Σαβατ*] *Σαφαμ* A | *Ιανειν*] *Ιαναι* A **13** *Μοσολαμ*] *και Μοσολλαμ* A | *Σεβεε*] *Σοβαθε* A | *Ιωρες* A | *Χιμα*] *Ιαχᾶ*·| A | *Ιωβηδ* A

ὀκτώ. [14]οὗτοι υἱοὶ Ἀβειχαιὰ υἱοὶ Οὐρεὶ υἱοῦ Ἰδαὶ υἱοῦ Γαλαὰδ υἱοῦ Μειχαὴλ υἱοῦ Ἰσαὶ υἱοῦ Ἰουρεὶ υἱοῦ Ζαβουχὰμ [15]υἱοῦ Ἀβδεὴλ υἱοῦ Γουνεί· ἄρχων οἴκου πατριῶν, [16]κατοίκων ἐν Γαλαάμ, ἐν Βασὰμ καὶ ἐν ταῖς κώμαις αὐτῶν καὶ πάντα τὰ περίχωρα Γεριὰμ ἕως ἐξόδου. [17]πάντων ὁ καταλογισμὸς ἐν ἡμέραις Ἰωαθὰμ βασιλέως Ἰούδα καὶ ἐν ἡμέραις Ἱεροβοὰμ βασιλέως Ἰσραήλ.

[18]Υἱοὶ Ῥουβὴν καὶ Γὰδ καὶ ἥμισυ φυλῆς Μανασσὴ ἐξ υἱῶν δυνάμεως, ἄνδρες αἴροντες ἀσπίδας καὶ μάχαιραν καὶ τείνοντες τόξον καὶ δεδιδαγμένοι πόλεμον, τεσσεράκοντα καὶ τέσσαρες χιλιάδες καὶ ἑπτακόσιοι καὶ ἑξήκοντα ἐκπορευόμενοι εἰς παράταξιν. [19]καὶ ἐποίουν πόλεμον μετὰ τῶν Ἀγαρηνῶν καὶ Τουραίων καὶ Ναφεισαδαίων καὶ Ναδαβαίων, [20]καὶ κατίσχυσαν ἐπ' αὐτῶν· καὶ ἐδόθησαν εἰς χεῖρας αὐτῶν οἱ Ἀγεραῖοι καὶ πάντα τὰ σκηνώματα αὐτῶν· ὅτι πρὸς τὸν θεὸν ἐβόησαν ἐν τῷ πολέμῳ καὶ ἐπήκουσεν αὐτοῖς, ὅτι ἤλπισαν ἐπ' αὐτόν. [21]καὶ ᾐχμαλώτευσαν τὴν ἀποσκευὴν αὐτῶν, καμήλους πεντακισχιλίας, καὶ προβάτων διακοσίας πεντήκοντα χιλιάδας, ὄνους δισχιλίους, καὶ ψυχὰς ἀνδρῶν ἑκατὸν χιλιάδας· [22]ὅτι τραυματίαι πολλοὶ ἔπεσον, ὅτι παρὰ τοῦ θεοῦ ὁ πόλεμος. καὶ κατῴκησαν ἀντ' αὐτῶν ἕως τῆς μετοικεσίας.

[23]Καὶ οἱ ἡμίσεις φυλῆς Μανασσὴ κατῴκησαν ἀπὸ Βασὰν ἕως Βαιλεὶμ καὶ Σανεὶρ καὶ ὄρος Ἀερμών· καὶ ἐν τῷ Λιβάνῳ αὐτοὶ ἐπλεονάσθησαν. [24]καὶ οὗτοι ἀρχηγοὶ οἴκου πατριῶν αὐτῶν· Ὄφερ καὶ Σεὲ καὶ Ἐλειὴλ καὶ Ἐσδριὴλ καὶ Ἱερμειὰ καὶ Ὠδουιὰ καὶ Ἰελειήλ, ἄνδρες ἰσχυροὶ δυνάμει, ἄνδρες ὀνομαστοί, ἄρχοντες τῶν οἴκων πατριῶν αὐτῶν. [25]Καὶ ἠθέτησαν ἐν θεῷ πατέρων αὐτῶν, καὶ ἐπόρνευσαν ὀπίσω θεῶν λαῶν τῆς γῆς οὓς ἐξῆρεν ὁ θεὸς ἀπὸ προσώπου αὐτῶν. [26]καὶ ἐπήγειρεν ὁ θεὸς Ἰσραὴλ τὸ πνεῦμα Φαλὼχ βασιλέως Ἀσσοὺρ καὶ τὸ πνεῦμα Θαγναφαμάσαρ βασιλέως Ἀσσούρ, καὶ μετῴκισεν τὸν Ῥουβὴν καὶ τὸν Γαδδεὶ καὶ τὸ ἥμισυ φυλῆς Μανασσή, καὶ ἤγαγεν αὐτοὺς εἰς Χαὰχ καὶ Χαβὼρ καὶ ἐπὶ ποταμὸν Χωζὰρ ἕως τῆς ἡμέρας ταύτης.

13 οκτω] επτα $B^{b}A$ **14** Αβιχαια A | Ουρι A | Ιδαι] Αδαι A | Μιχαηλ A | Ισαι] Ιεσσαι A | Ιουραι] Ιεδδαι A | Ζαβουχαμ] Αχιβουζ A **15** Αβδιηλ A | Γουνι A **16** κατοικουν A | Γαλααδ A | Βασαν A | Γεριαμ] Σαρων A **17** Ιωθαν A **18** υιοι] υιου B | Γαδδι A | εντεινοντες A | τεσσαρακοντα B^{1} | τεσσαρες και τεσσερακοντα A | om και 8° A **19** Αγαραιων A | Τουραιων] Τουραια] B Ιτουραιων A | Ναφισαιων A **20** Αγοραιοι A **22** πολλαι A | κατωκησανταυτων A* (κατωκ. αντ αυτων A^{1}) **23** κατωκησαν] + εν γη A | Βαιλειμ] Βααλειμ B^{ab} Βααλ'·Ερμων· A **24** Σεει] Ιε|σει A | Ελιηλ A | Εσδριηλ] Ιεζριηλ A | Ιερε|μια A | Ιεδιηλ A **25** λαων] pr των A **26** Φαλωχ] Φαλως A | Θαγλαθ'·φαλνασαρ A | Γαδδι A | Χααχ] Χαλα A | Χωζαρ] Γωζᾶ·| A

B [1]Υἱοὶ Λευεί· Γεδσών, Καὰθ καὶ Μαραρεί. [2]καὶ υἱοὶ Καάθ· 1 (27) VI (V)
2 (28)
Ἀμβρὰμ καὶ Ἰσσάαρ, Χεβρὼν καὶ Ὀζιήλ. [3]καὶ υἱοὶ Ἀμβράν· 3 (29)
Ἀαρὼν καὶ Μωυσῆς καὶ Μαριάμ. καὶ υἱοὶ Ἀαρών· Ναδὰβ καὶ
Ἀβιούδ, Ἐλεαζὰρ καὶ Ἰθαμάρ. [4]Ἐλεαζὰρ ἐγέννησεν τὸν Φινεές, 4 (30)
Φινεὲς ἐγέννησεν τὸν Ἀβεισού, [5]Ἀβεισοὺ ἐγέννησεν τὸν Βωέ, καὶ 5 (31)
Βωὲ ἐγέννησεν τὸν Ὀζεί, [6]Ὀζεὶ ἐγέννησε τὸν Ζαραιά, Ζαραιὰ 6 (32)
ἐγέννησεν τὸν Μαρειήλ, [7]καὶ Μαρειὴλ ἐγέννησεν τὸν Ἀμαρειά, καὶ 7 (33)
Ἀμαρειὰ ἐγέννησεν τὸν Ἀχειτώβ, [8]καὶ Ἀχειτὼβ ἐγέννησεν τὸν 8 (34)
Σαδώκ, καὶ Σαδὼκ ἐγέννησεν τὸν Ἀχειμάας, [9]καὶ Ἀχειμάας ἐγέν- 9 (35)
νησεν τὸν Ἀζαριά, καὶ Ἀζαρίας ἐγέννησεν τὸν Ἰωανάς, [10]καὶ 10 (36)
Ἰωανὰς ἐγέννησεν τὸν Ἀζαρίαν· οὗτος ἱεράτευσεν ἐν τῷ οἴκῳ ᾧ
ᾠκοδόμησεν Σαλωμὼν ἐν Ἰερουσαλήμ. [11]καὶ ἐγέννησεν Ἀζαριὰ τὸν 11 (37)
Ἀμαριά, καὶ Ἀμαριὰ ἐγέννησεν τὸν Ἀχειτώβ, [12]καὶ Ἀχειτὼβ ἐγέν- 12 (38)
νησεν τὸν Σαδώκ, καὶ Σαδὼκ ἐγέννησεν τὸν Σαλώμ, [13]καὶ Σαλὼμ 13 (39)
ἐγέννησεν τὸν Χελκείαν, καὶ Χελκείας ἐγέννησεν τὸν Ἀζαριά,
[14]καὶ Ἀζαρίας ἐγέννησεν τὸν Σαραιά, καὶ Σαραίας ἐγέννησεν τὸν 14 (40)
Ἰωσαδάκ. [15]καὶ Ἰωσαδὰκ ἐπορεύθη ἐν τῇ μετοικίᾳ μετὰ Ἰούδα καὶ 15 (41)
Ἰερουσαλὴμ ἐν χειρὶ Ναβουχοδονοσόρ. [16]Υἱοὶ Λευεί· Γεδσών, 16 (1) (VI)
Καὰθ καὶ Μαραρεί. [17]καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Γεδσών· 17 (2)
Λοβενεὶ καὶ Σεμεεί. [18]υἱοὶ Καάθ· Ἀμβρὰμ καὶ Ἰσσαάρ, Χεβρὼν καὶ 18 (3)
Ὀζιήλ. [19]υἱοὶ Μαραρεί· Μοολεὶ καὶ Ὁμουσεί. καὶ αὗται αἱ πατριαὶ 19 (4)
τοῦ Λευεὶ κατὰ πατριὰς αὐτῶν. [20]τῷ Γεδσών, τῷ Λοβενεὶ υἱῷ αὐτοῦ, 20 (5)
Ἰέεθ υἱὸς αὐτοῦ, Ζεμμὰ υἱὸς αὐτοῦ, [21]Ἰωὰβ υἱὸς αὐτοῦ, Ἀδεὶ υἱὸς 21 (6)
αὐτοῦ, Ἰαάρα υἱὸς αὐτοῦ, Ἰεθρεὶ υἱὸς αὐτοῦ. [22]υἱοὶ Καάθ· Ἀμεινα- 22 (7)
δὰβ υἱὸς αὐτοῦ, Κόρε υἱὸς αὐτοῦ, Ἀρεσεὶ υἱὸς αὐτοῦ, [23]Ἐλκανὰ 23 (8)

A VI **1** Λευι A | Γεδεων A | Μεραρει B^b Μεραρι A **2** Αμραμ A (item 3) **4** Φινεες bis B^bA | Αβισου A (item 5) **5** Βωε 1°]+*s* (superscr) B^b Βωκαι A | Βωε 2°] Βωκαι A | Οζι A (item 6) **6** εγεννησεν A | Ζαραια 1°] Ζαραιᾶ| A | Ζαραια 2°] Ζαριας A | Μαρειηλ] Μαραιωθ A (item 7) **7** Αμαρεια] Αμαρια B^b (bis) Αμαριαν (1°) Αμαριας (2°) A | Αχιτωβ A (item 8) **8** Αχιμαας A (item 9) **9** Αζαρια] Αζαριαν A | Ιωαναν] Ιωαναν A **11** Αζαριας A | Αμαρια] Αμαριαν (1°) Αμαριας (2°) A | Αχιτωβ A (item 12) **12** Σαλωμ] Σελλουμ A (item 13) **13** εγεννησεν 1°] εγε| sup ras B^{avid} | Χελκιαν B^bA | Χελκιας B^bA | Αζαριαν A **14** τον Σαραιαν A | Ιωσεδεκ A (item 15) **15** Ιερουσαλημ] Ιηλ'· A | χειρι] χερ|σιν A **16** Λευι A (item 19) | Γεδσων] Γηρσων A (item 17, 20) | Μεραρει B^b Μεραρι A (item 19) **17** Λοβενι A | Σεμει A **18** Αμραμ A **19** Μοολι A | Ομουσι A **20** Λοβε|νι (νι $A^{a?(mg)}$) A | Ιεθ A | Ζαμμα A **20—21** υιος αυτου· Ιωαχ (sic: seq ras 2 litt) υιος αυτου· Αδδι (sic) υιος αυτου| sup ras et in mg $A^{a?}$ **21** Ιααρα] Ζαρα A | Ιεθρι (sic) υιο sup ras A^a **22** Αμειναδαβ] Ισσααρ A | Αρεσει] Ασειρ A **23—26** Ελκανα υιος| αυτου·

(9) 24 καὶ Ἀβιαθὰρ υἱὸς αὐτοῦ, Ἀσερεὶ υἱὸς αὐτοῦ, [24]Κάαθ υἱὸς αὐτοῦ, B
(10) 25 Ὀριὴλ υἱὸς αὐτοῦ, Ὀζειὰ υἱὸς αὐτοῦ, Σαοὺλ υἱὸς αὐτοῦ. [25]καὶ υἱοὶ
(11) 26 Ἐλκανά· Ἀμεσσεὶ καὶ Ἀλειμώθ, [26]Ἐλκανὰ υἱὸς αὐτοῦ, Σουφεὶ υἱὸς
(12) 27 αὐτοῦ, Καΐναθ υἱὸς αὐτοῦ, [27]Ἐλιὰβ υἱὸς αὐτοῦ, Ἰδαὲρ υἱὸς αὐτοῦ,
(13) 28 Ἐλκανὰ υἱὸς αὐτοῦ. [28]υἱοὶ Σαμουήλ· ὁ πρωτότοκος Σανεὶ καὶ
(14) 29 Ἀβιά. [29]υἱοὶ Λοβενεὶ υἱὸς αὐτοῦ, Σομεὶ υἱὸς αὐτοῦ, Ὀζὰ υἱὸς αὐτοῦ,
(15) 30 (16) 31 [30]Σομεὰ υἱὸς αὐτοῦ, Ἁμὰ υἱὸς αὐτοῦ, Ἀσαβὰ υἱὸς αὐτοῦ. [31]Καὶ
οὗτοι οὓς κατέστησεν Δανεὶδ ἐπὶ χεῖρας ᾀδόντων ἐν οἴκῳ Κυρίου
(17) 32 ἐν τῇ καταπαύσει τῆς κιβωτοῦ. [32]καὶ ἦσαν λειτουργοῦντες ἐναντίον
τῆς σκηνῆς οἴκου μαρτυρίου ἐν ὀργάνοις ἕως οὗ ᾠκοδόμησεν Σαλω-
μὼν τὸν οἶκον ἐν Ἰερουσαλήμ· καὶ ἔστησαν κατὰ τὴν κρίσιν
(18) 33 αὐτῶν ἐπὶ τὰς λειτουργίας αὐτῶν. [33]καὶ οὗτοι οἱ ἑστηκότες καὶ
οἱ υἱοὶ αὐτῶν ἐκ τῶν υἱῶν τοῦ Καάθ· Αἱμὰν ὁ ψαλτῳδὸς υἱὸς
(19) 34 Ἰωὴλ υἱοῦ Σαμουὴλ [34]υἱοῦ Ἐλκανὰ υἱοῦ Ἠαὰλ υἱοῦ Ἐλειὴλ υἱοῦ
(20) 35 (21) 36 Θεῖε [35]υἱοῦ Σοὺφ υἱοῦ Ἐλκανὰ υἱοῦ Μὲθ υἱοῦ Ἀμαθειοὺ [36]υἱοῦ
(22) 37 Ἐλκανὰ υἱοῦ Ἰωὴλ υἱοῦ Ἀζαριὰ υἱοῦ Σαφανιὰ [37]υἱοῦ Θάαθ υἱοῦ
(23) 38 Ἀσεὶρ υἱοῦ Ἀβιασὰρ υἱοῦ Κόρε [38]υἱοῦ Ἰσσαὰρ υἱοῦ Καὰθ υἱοῦ
(24) 39 Λευεὶ υἱοῦ Ἰσραήλ. [39]καὶ ἀδελφὸς αὐτοῦ Ἀσὰφ ὁ ἑστηκὼς ἐν
(25) 40 δεξιᾷ αὐτοῦ· Ἀσὰφ υἱὸς Βαραχιὰ υἱοῦ Σαμαὰ [40]υἱοῦ Μειχαὴλ υἱοῦ
(26) 41 (27) 42 Μαασαὶ υἱοῦ Μελχειὰ [41]υἱοῦ Ἀθανεὶ υἱοῦ Ζαραὶ υἱοῦ Ἀζειὰ [42]υἱοῦ
(28) 43 Αἰθὰν υἱοῦ Ζαμμὰμ υἱοῦ Σεμεεὶ [43]υἱοῦ Ἦχα υἱοῦ Γεεδσὼν υἱοῦ
(29) 44 Λευεί. [44]καὶ υἱοὶ Μεραρεὶ ἀδελφοῦ αὐτῶν ἐξ ἀριστερῶν· Αἰθὰμ
(30) 45 (31) 46 υἱὸς Κεισαὶ υἱοῦ Ἀβδεὶ υἱοῦ Μαλὼχ [45]υἱοῦ Ἀσεβεὶ [46]υἱοῦ Ἀμεσσειὰ
(32) 47 υἱοῦ Βανεὶ υἱοῦ Σέμμηρ [47]υἱοῦ Μοολεὶ Μοσεὶ υἱοῦ Μερραρεὶ
(33) 48 υἱοῦ Λευεί. [48]Καὶ ἀδελφοὶ αὐτῶν κατ' οἴκους πατριῶν

και Αβιασαφ υιος αυτου Ασειρ| υιος αυτου· Θααθ υιος αυτου· Ουριηλ υι|ος A
αυτου· Οζιας υιος αυτου· Σαουλ υιος| αυτου (pr κ A*vid) *και υιοι Ελκανα*
Αμασι και Οχιμωθ| Ελκανα υιος αυτου· Σουφι υιος αυτου Κναθ'| sup ras
Aa1 **26** om *υιος* 3° A (?A*) **27** Ιδαερ] Ιεροβοαμ A **28** Σανι A
29 *υιοι*]+Μαραρει (superscr) Ba+Μεραρει Bb+Μεραρι· Μοολι A | Λοβενι A|
Σεμει A | Αζα A **30** Σομεα] Σαμα A | Αμα *υιος* (Αμα *υ* sup ras Ba vid)]
Αγγια *υιος* A | Ασαβα] Ασαια A **32** *οικον*]+κυ A | *κρισιν*] *κρασι*] A
33 *του Κααθ* sup ras A1 | *υιος*] *υιου* B **34** Ηαλ] Ιερεαμ A | Ελιηλ
A | Θειε] Θοουε A **35** Μεθ] Μααθ A | Αμαθειου] Αμας A **36** Αζαριου
A | Σαφανιου A **37** Αβιασαφ Ba(vid)b **38** Λευι A (item 43, 47)
39 Βαρα·|χια A **40** Μιχαηλ A | Μαασαι] Βαασια A | Μελχια A
41 Ζααραι] Αζαριου A | Αζεια] Αδαια A **42** Αιθαν] Ουρι A | Ζαμμα A |
Σεμει A **43** Ηχα] Ιεεθ A | Γεεδσων] Γηρσων A **44** Μεραρι A
(item 47) | Αιθαν A | Κεισαν A | Αβδι A **45** Ασεβι A **46** Αμεσσεια]
Μαεσσια A+*υιου* Χελχιου·| *υιου* Αμασαι·| A | Βανει] Βαανι A **47** Μοολι
A | Μοσει] *υιου* Ομουσι A

Β αὐτῶν οἱ Λευεῖται δεδομένοι εἰς πᾶσαν ἐργασίαν λειτουργίας σκηνῆς οἴκου τοῦ θεοῦ. [49]καὶ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ θυμιῶντες 49 (34) ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων καὶ ἐπὶ τὸ θυσιαστήριον τῶν θυμιαμάτων εἰς πᾶσαν ἐργασίαν ἅγια τῶν ἁγίων καὶ ἐξιλάσκεσθαι περὶ Ἰσραὴλ κατὰ πάντα ὅσα ἐνετείλατο Μωυσῆς παῖς τοῦ θεοῦ. [50]Καὶ οὗτοι υἱοὶ Ἀαρών· Ἐλεαζὰρ υἱὸς αὐτοῦ, 50 (35) Φινεὲς υἱὸς αὐτοῦ, Ἀβεισοὺ υἱὸς αὐτοῦ, [51]Βωκαὶ υἱὸς αὐτοῦ, Ὀζελ 51 (36) υἱὸς αὐτοῦ, Ζαραιὰ υἱὸς αὐτοῦ, [52]Μαρειὴλ υἱὸς αὐτοῦ, Ἀλιαρεὶα 52 (37) υἱὸς αὐτοῦ, Ἀχειτὼβ υἱὸς αὐτοῦ, [53]Σαδὼκ υἱὸς αὐτοῦ, Ἀχεισάμα 53 (38) υἱὸς αὐτοῦ. [54]Καὶ αὗται αἱ κατοικίαι αὐτῶν ἐν ταῖς κώμαις 54 (39) αὐτῶν ἐν τοῖς ὁρίοις αὐτῶν τοῖς υἱοῖς Ἀαρὼν τῇ πατριᾷ αὐτῶν τοῦ Καὰθ εἰ, ὅτι αὐτοῖς ἐγένετο ὁ κλῆρος. [55]καὶ ἔδωκαν αὐτοῖς 55 (40) τὴν Χεβρὼν ἐν γῇ Ἰουδαίᾳ καὶ τὰ περισπόρια αὐτῆς κύκλῳ αὐτῆς. [56]καὶ τὰ πεδία τῆς πόλεως καὶ τὰς κώμας αὐτῆς ἔδωκαν τῷ Χαλὲβ 56 (41) υἱῷ Ἰεφοννή. [57]καὶ τοῖς υἱοῖς Ἀαρὼν ἔδωκαν τὰς πόλεις τῶν 57 (42) φυγαδευτηρίων, τὴν Χεβρών, καὶ τὴν Λοβνὰ καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Σελνὰ καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Ἐσθαμὼ καὶ τὰ περισπόρια αὐτῆς, [58]καὶ τὰ Ἰεθθὰρ καὶ τὰ περισπόρια 58 (43) αὐτῆς, καὶ τὴν Δαβεὶρ καὶ τὰ περισπόρια αὐτῆς, [59]καὶ τὴν Ἀσὰν 59 (44) καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Ἀττὰν καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Βασάμυς· [60]καὶ ἐκ φυλῆς Βενιαμεὶν καὶ τὴν Γάβαι 60 (45) καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Γαλέμεθ καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Ἀγχὼχ καὶ τὰ περισπόρια αὐτῆς· πᾶσαι αἱ πόλεις αὐτῶν τρισκαίδεκα πόλεις κατὰ πατριὰς αὐτῶν. [61]καὶ τοῖς υἱοῖς 61 (46) Καὰθ τοῖς καταλοίποις ἐκ τῶν πατριῶν ἐκ τῆς φυλῆς ἐκ τοῦ ἡμίσους φυλῆς Μανασσὴ κλήρῳ πόλεις δέκα. [62]καὶ τοῖς υἱοῖς 62 (47) Γεδσὼν κατὰ πατριὰς αὐτῶν ἐκ φυλῆς Ἰσσαχάρ, ἐκ φυλῆς Ἀσήρ, ἐκ φυλῆς Νεφθαλεί, ἐκ φυλῆς Μανασσὴ ἐν τῇ Βασὰν πόλεις τρισκαίδεκα. [63]καὶ τοῖς υἱοῖς Μεραρεὶ κατὰ πατριὰς αὐτῶν ἐκ 63 (48) φυλῆς Ῥουβήν, ἐκ φυλῆς Δάν, ἐκ φυλῆς Ζαβουλὼν κλήρῳ πόλεις

A **48** Λευιται A **49** αγια] αγιαν A **50** Ααρων] Ααρω sup ras A^1 | Φινεες A | Αβισου A **51** Οζι A **52** Μαρειηλ] Μεραωθ A | Αλιαρεια] Αμαρια A | Αχιτωβ A **53** Αχεισαμα] Αχιμαας A **54** om αυτων 4° A | Κααθι A **55** Ιουδα A **57** Σελνα] Νηλων A **58** τα Ιεθθαρ] την Ιεθερ A | περισπορια 1°] σπορια A **59** Ατταν... Βασαμυς] Βαιθσαμυς· και τα περισπορια αυτης· και| την Βαιθθηρ και τα περισπορια αυτης·| A **60** εκ] απο της A | Γαβεε A | την Γαλεμεθ] Γαλημεθ A | αυτης 2°]+και την Λαβεε· και τα περισπορια αυτης| και την Αναθωθ· και τα περισπορια| αυτης· A | Αγχως A **61** υιοι A **62** Γεδσων] Γηρσων A | Νεφθαλι A | τρισκαιδεκα] δεκα τρεις A **63** Μεραρι A | Δαν] Γαδ A

(49) 64 δέκα δύο. [64]καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ τοῖς Λευείταις τὰς πόλεις Β
(50) 65 καὶ τὰ περισπόρια αὐτῶν· [65]καὶ ἔδωκαν ἐν κλήρῳ ἐκ φυλῆς
υἱῶν Ἰούδα καὶ ἐκ φυλῆς υἱῶν Συμεὼν τὰς πόλεις ταύτας ἃ ἐκά-
(51) 66 λεσεν αὐτάς. [66]καὶ ἀπὸ τῶν πατριῶν υἱῶν Καάθ, καὶ ἐγένοντο
(52) 67 πόλεις τῶν ὁρίων αὐτῶν ἐκ φυλῆς Ἐφράιμ. [67]καὶ ἔδωκαν αὐτῷ
τὰς πόλεις τῶν φυγαδευτηρίων, τὴν Συχὲμ καὶ τὰ περισπόρια
αὐτῆς ἐν ὄρει Ἐφράιμ, καὶ τὴν Γάζερ καὶ τὰ περισπόρια αὐτῆς,
(53) 68 [68]καὶ τὴν Ἰκαὰμ καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Βαιθωρὼν καὶ
(54) 69 τὰ περισπόρια αὐτῆς, [69]καὶ τὴν Ἐγλὰμ καὶ τὰ περισπόρια αὐτῆς,
(55) 70 καὶ τὴν Γεθωρὼν καὶ τὰ περισπόρια αὐτῆς· [70]καὶ ἀπὸ τῶν
ἡμίσους φυλῆς Μανασσὴ τὴν Ἀμὰρ καὶ τὰ περισπόρια αὐτῆς,
(56) 71 κατὰ πατριὰν τοῖς υἱοῖς Καὰθ τοῖς καταλοίποις. [71]τοῖς υἱοῖς
Γεδσὼν ἀπὸ πατριῶν ἡμίσους φυλῆς Μανασσὴ τὴν Γωλὰν ἐκ
τῆς Βασὰν καὶ τὰ περιπόλια αὐτῆς, καὶ τὴν Ἀσηρὼθ καὶ τὰ περι-
(57) 72 σπόρια αὐτῆς· [72]καὶ ἐκ φυλῆς Ἰσσαχὰρ τὴν Κέδες καὶ τὰ περι-
σπόρια αὐτῆς, καὶ τὴν Δεβερεὶ καὶ τὰ περισπόρια αὐτῆς, καὶ
(59) 74 τὴν Δαβὼρ καὶ τὰ περισπόρια αὐτῆς· [74]καὶ ἐκ φυλῆς Ἀσὴρ τὴν
Μαασὰ καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Ἀβαρὰν καὶ τὰ περι-
(60) 75 σπόρια αὐτῆς, [75]καὶ τὴν Ἰκὰκ καὶ τὰ περισπόρια αὐτῆς, καὶ
(61) 76 τὴν Ῥοὼβ καὶ τὰ περισπόρια αὐτῆς· [76]καὶ ἀπὸ φυλῆς Νεφθαλεὶ
τὴν Κέδες ἐν τῇ Γαλειλαίᾳ καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Χαμὼθ
καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Καριαθάιμ καὶ τὰ περισπόρια
(62) 77 αὐτῆς. [77]τοῖς υἱοῖς Μεραρεὶ τοῖς καταλοίποις ἐκ φυλῆς Ζαβουλὼν
τὴν Ῥεμμὼν καὶ τὰ περισπόρια αὐτῆς, καὶ τὴν Θαχχειὰ καὶ
(63) 78 τὰ περισπόρια αὐτῆς [78]ἐκ τοῦ πέραν τοῦ Ἰορδάνου, καὶ τὴν Ἰερειχὼ

64 Λευιταις A **65** κληρω εκ φυλης] ω εκ φυ sup ras $A^{a?}$ | α] ας A | αυ- A
τας] + επ ονοματος $B^{ab\,mg}A$ **68** Ιεκμααν A **69** Εγλαμ] Ηλων A | Γεθωρων] Γεθρεμμων A **70** των ημισους] του ημισου (sic) A | post Μανασση ras φ $A^{?\,vid}$ | Αμαρ] Ενηρ A | αυτης] + και την Ιβλααμ· και τα πε|ρισπορια αυτης· A | πατριας A **71** Γεδσων] Γηρσων A | om απο πατριων A | ημισυς A **71—75** υιοις| Γηρσων ημισυς φυλης (η sup ras A^{b}) Μανναση || την Γαυλων εκ της Βασαν και τα περι|σπορια αυτης· και την Ραμωθ και τα| περισπορια αυτης· και εκ φυλης| Ισσαχαρ την Κεδεε και τα περισπο|ρια αυτης· και την Γαδερ και τα περι|σπορια αυτης· και την Αμως και τα| περισπορια αυτης· και την Αναμ| και τα περισπορια αυτης· και εκ φυ|λης Ασηρ την Μασαλ και τα περισπορια| αυτης και την Αβδων και τα περισπορια αυτης ℔ την Ιακακ| partim ad calc et in mgg partim sup ras A^{a} **76** Νεφ-θαλειμ A | Γαλιλαια $B^{b}A$ | Χαμων A **77** Μεραρι A | την Ρεμμων] pr την Ιεκομα| και τα περισπορια αυτης· και την Καδης· και τα πε|ρισπορια αυτης· και A | Θαχχεια] Θαβωρ A **78** εκ του π.] εν τω π. A | om και 1° A | Ιεριχω B^{b}

Β κατὰ δυσμὰς τοῦ Ἰορδάνου· ἐκ φυλῆς Ῥουβὴν τὴν Βύσορ ἐν τῇ ἐρήμῳ καὶ τὰ περισπόρια αὐτῆς, [79]καὶ τὴν Καδαμὼς καὶ τὰ περι- 79 (64)
σπόρια αὐτῆς, καὶ τὴν Μαέφλα καὶ τὰ περισπόρια αὐτῆς· [80]καὶ 80 (65)
ἐκ φυλῆς Γὰδ τὴν Ῥαμμὼν Γαλαὰδ καὶ τὰ περισπόρια αὐτῆς, καὶ
τὴν Μαναὶθ καὶ τὰ περισπόρια αὐτῆς, [81]καὶ τὴν Ἐσεβὼν καὶ τὰ 81 (66)
περισπόρια αὐτῆς, καὶ τὴν Γαζὲρ καὶ τὰ περισπόρια αὐτῆς.

[1]Καὶ τοῖς υἱοῖς Ἰσσαχάρ· Θολάεκ καὶ Φοὺτ καὶ Ἰασσοὺρ καὶ 1 VII
Σεμερών, τέσσαρες. [2]καὶ υἱοὶ Θολέ· Ὀζεί, Ῥαφαρὰ καὶ Ῥειὴλ καὶ 2
Ἐλικάν, Βασὰν καὶ Ἰσαμουήλ, ἄρχοντες οἴκων πατριῶν αὐτῶν τῷ
Θωλαεὶ ἰσχυροὶ δυνάμει κατὰ γενέσεις αὐτῶν. ὁ ἀριθμὸς αὐτῶν
ἡμέραις Δαυεὶδ εἴκοσι καὶ δύο χιλιάδες καὶ ἑξακόσιοι. [3]καὶ υἱοὶ 3
Ζειρρεί· Ζαρειά, Μειχαήλ· καὶ υἱοὶ Ζαρειὰ Μειβδειὰ καὶ Ῥαήλ, Εἰσιά,
πέντε, ἄρχοντες πάντες. [4]καὶ ἐπ᾽ αὐτῶν κατὰ γενέσεις αὐτῶν 4
κατ᾽ οἴκους πατρικοὺς αὐτῶν ἰσχυροὶ παρατάξασθαι εἰς πόλεμον
τριάκοντα καὶ ἓξ χιλιάδες, ὅτι ἐπλήθυναν γυναῖκας καὶ υἱούς. [5]καὶ 5
ἀδελφοὶ αὐτῶν εἰς πάσας πατριὰς Ἰσσαχὰρ καὶ ἰσχυροὶ δυνάμει
ὀγδοήκοντα καὶ ἑπτὰ χιλιάδες, ὁ ἀριθμὸς αὐτῶν τῶν πάντων.

[6]Βενιαμεὶν καὶ Ἀβειρὰ καὶ Ἀδειήλ, τρεῖς. [7]καὶ υἱοὶ Βάδεε· Ἀσε- 6
βὼν καὶ Ὀζεὶ καὶ Ὀζειὴλ καὶ Ἀρειμώθ, Οὐρεί, πέντε, ἄρχοντες 7
οἴκων πατρικῶν ἰσχυροὶ δυνάμει, καὶ ὁ ἀριθμὸς αὐτῶν εἴκοσι καὶ
δύο χιλιάδες καὶ τριάκοντα τέσσαρες. [8]καὶ υἱοὶ Ἀβαχεί· Ἀμαρίας 8
καὶ Ἰωὰς καὶ Ἐλιέζερ καὶ Ἐλειθαιναὰ καὶ Ἀμαρειὰ καὶ Αὐρημὼθ
καὶ Ἀβιοὺδ καὶ Ἀναθὼθ καὶ Γεμέεθ. πάντες οὗτοι υἱοὶ Ἀμαχείρ,
[9]καὶ ὁ ἀριθμὸς αὐτῶν κατὰ γενέσεις αὐτῶν, ἄρχοντες οἴκων πατριῶν 9
αὐτῶν ἰσχυροὶ δυνάμει, εἴκοσι χιλιάδες καὶ διακόσιοι. [10]καὶ υἱοὶ 10

A **79** και 1°] pr |και την Ιασα· και τα περισπορια (σ sup ras $A^{1(vid)}$) αυτης·| A | Καδαμως] Καμηδωθ A | Μαεφλα] Φααθ A **80** Ραμμων] Ραμωθ A | Μααναιμ A **81** Γαζηρ A VII **1** τοις υιοις] ουτοι υιοι A | Θολαεκ (Θωλ. Mai)] Θωλα A | Φουα A | Ιασσουρ] Ιασουβ A | και 4° bis scr A | Σαμραμ A **2** Θολε (Θωλ. Mai)] Θωλα A | Οζι A | Ραφαρα] και Ραφαια A | Ρειηλ] Ιερεηλ A | Ειικαν] Ιεμου A | Βασαν] και Ιεβασαν A | Ισαμουηλ] Σαμουηλ A | οικων] κατ οικον A | Θωλαει] Θωλα A | ημεραις] pr εν A | εξακοσιοι] α sup ras A^1 **3** Ζειρρει] Οζι A | Ζαρεια] Ιεζρια (Ιεζραα A^{*vid} Ιεζρια A^1)· και υιοι Ιεζρια·| A | Μιχαηλ A | om υιοι Ζαρεια A | Μειβδεια κ. Ραηλ Εισια] Οβδια και Ιωηλ και Ιεσια A | πεντες B^* (πεντε B^{ab}) **4** επ] μετ A **5** αδελφοι] pr οι A | om και 2° A **6** Αβειρα] Βο|χορ A | Ιαδιηλ A **7** Βαδεεα· Σεβων B Βαλε| Ασεβων A | Οζι A | Οζιηλ A | Αρειμωθ] Ιε|ριμουθ A | Ουρει (Ουρι A)] pr και $B^{b(vid)}$A | εικοσι] A **8** Αβαχει] Βοχορ A | Αμαριας] Ζαμαριας A | Ελειθαναν] Ελιω|ηναι A | Αμαρεια] Αμαρια A | Αυρημωθ] Ιεριμωθ A | Αβιουδ] Αβιου A | Γεμεεθ] Ελμεθεμ A | Αμαχειρ] Βοχορ A

Ἀριήλ· Βαλαάν. καὶ υἱοὶ Βαλαάν· Ἰαοὺς καὶ Βενιαμεὶν καὶ Ἀὼθ Β
11 καὶ Χανάαν καὶ Ζαιθὰν καὶ Ῥαμεσσαὶ καὶ Ἀχεισάδαρ. [11]πάντες
οὗτοι υἱοὶ Ἀριήλ, ἄρχοντες τῶν πατριῶν ἰσχυροὶ δυνάμει, ἑπτὰ καὶ
δέκα χιλιάδες καὶ διακόσιοι, ἐκπορευόμενοι δυνάμει τοῦ πολεμεῖν·
12 [12]καὶ Σαπφεὶν καὶ Ἀπφείν, καὶ υἱοὶ Ῥαώμ, υἱὸς αὐτοῦ Ἀέρ.
13 [13]Υἱοὶ Νεφθαλεί· Ἰεισιήλ, Γωνεὶ καὶ Ἰσσειὴρ καὶ Σαλωμών, υἱοὶ
Βαλάμ.
14 [14]Υἱοὶ Μανασσή· Ἀσερειήλ, ὃν ἔτεκεν ἡ παλλακὴ αὐτοῦ ἡ Σύρα·
15 ἔτεκεν τὸν Μαχεὶρ πατέρα Γαλαάδ. [15]καὶ Μαχεὶρ ἔλαβεν γυναῖκα τῷ
Ἀμφεὶν καὶ Μαμφείν· καὶ ὄνομα ἀδελφῆς αὐτοῦ Μοωχά, καὶ ὄνομα
16 τῇ δευτέρᾳ Σαπφαάδ. [16]καὶ ἔτεκεν Μοωχὰ γυνὴ Μαχεὶρ υἱόν, καὶ
17 ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Σοῦρος· υἱὸς αὐτοῦ Οὐλάμ, [17]Βαδάμ.
18 οὗτοι υἱοὶ Γαλαὰδ υἱοῦ Μαχεὶρ υἱοῦ Μανασσή. [18]καὶ ἀδελφὴ αὐτοῦ
19 ἡ Μαλέχεθ ἔτεκεν τὸν Ἰσαδὲκ καὶ τὸν Ἀβιέζερ καὶ τὸν Μαελά. [19]καὶ
ἦσαν υἱοὶ Σεμειρά· Ἰααεὶμ καὶ Σύχεμ καὶ Λακεεὶμ καὶ Ἀλιαλείμ.
20 [20]Καὶ υἱοὶ Ἐφράμ· Σωθάλαθ. υἱοὶ Λααδά· υἱὸς αὐτοῦ Νοομέ, [21]υἱὸς
21 αὐτοῦ Ζάβεδ· καὶ ἀπέκτειναν αὐτὸν ἄνδρες Γὲθ οἱ τεχθέντες ἐν γῇ,
22 ὅτι κατέβησαν τοῦ λαβεῖν τὰ κτήνη αὐτῶν. [22]καὶ ἐπένθησεν Ἐφράιμ
πατὴρ αὐτῶν ἡμέρας πολλάς, καὶ ἦλθον ἀδελφοὶ αὐτῶν τοῦ πορα-
23 καλέσαι αὐτόν. [23]καὶ εἰσῆλθεν πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔλαβεν
ἐν γαστρὶ καὶ ἔτεκεν υἱόν, καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Βαργαά,
24 ὅτι Ἐν κακοῖς ἐγένετο ἐν οἴκῳ μου [24]καὶ ἐν ἐκείνοις τοῖς κατα-
λοίποις· καὶ ᾠκοδόμησεν Βαιθωρὼν τὴν κάτω καὶ τὴν ἄνω. καὶ
25 υἱοὶ Ὀζάν· Σεηρὰ [25]καὶ Ῥάφη υἱοὶ αὐτοῦ, Σάραφ καὶ Θάλεες υἱοὶ

10 Αριηλ] Αδιηλ A | Ιαους] Ιεως A | Αωθ] Αμειδ A | Χαναναν A | Ζαιθαν] A Ηθαν A | Ραμεσσαι] Θαρσεις A | Αχεισαδαρ] Αχισααρ A **11** ουτοι υιοι sup ras (pr ras 3 forte litt) A | Αριηλ] Αδιηρ (ρ sup ras A^b) A **12** Σαπφειν] Σαφειμ A | Απφειν] Αφειμ A | Ραωμ] Ωρα· Ασοβ· A | Αορ A **13** Νεφθαλι A | Ιεισιηλ] Ιασιηλ A | Γω|υνι A | Ισσειηρ] Σααρ A | Σαλωμων] Σελλουμ A | Βαλαμ] Βαλλα A **14** Ασερειηλ] Εσριηλ A **15** Αμφειν] Αφφειν A | Μαμφειν] Σεφ|φειμ A | Μοοχα A (item 16) | Σαλπααδ A+και εγεννηθησα| τω Σαλπααδ θυγατερες· A **16** γυνη] pr η A | αυτου]+ Φαρες· και ονομα αδελ|φου αυτου A | Σουρος] Σορος A | Ουλαμ]+και υιοι Ουλαμ· A **17** Βαδαν A | υιου 1°] υιοι A* (υιου A^2) **18** αδελφη] pr η A | Ισαδεκ] Σουδ A | Μοολα A **19** Σεμιρα· Αειν· A | Λακεια A | Αλιαλειμ] Ανιαμ A **20—21** Σωθαλαθ...Ζαβεδ] Σωθαλα και Βαραδ· υιοι αυτου· και Θααθ·| υιος αυτου· Ελεαλα· υιος αυτου·| Νομεε υιος αυτου· Ζαβεδ· υιος αυ|του· Σωθελε· υιος αυτου Εζερ υιος| αυτου· και Ελεαδ· A **21** Ζαβεδ]+υιος αυτου| Σωθελε $B^{ab\,mg}$ | αυτον] αυτους A | Γεθ] Γαιθ A | γη] pr τη A | του λαβειν] om του A **22** αδελφοι αυτων] οι αδ. αυτου A **23** Βαργαα] Βαρια A | μου]+και η θυγατηρ| αυτου Σααρα A **25** υιοι αυτου (1°) B^b] υιου B^* (υιοι B^1) υιος αυτου A | Σαραφ] και Ρασεφ· A | Θαλεες] Θαλε A

Β αὐτοῦ, Θάεν υἱὸς αὐτοῦ. [26]τῷ Λαδδὰν υἱῷ αὐτοῦ υἱοὶ Ἀμιουείδ, 26
υἱοὶ Ἐλειμασαί, [27]υἱοὶ Νούμ, υἱοὶ Ἰησοῦε, υἱοὶ αὐτοῦ. [28]καὶ κατά- 27
σχεσις αὐτῶν καὶ κατοικία αὐτῶν· Βαιθὴλ καὶ αἱ κῶμαι αὐτῆς, κατ' ἀνα- 28
τολὰς Νααρνάν, πρὸς δυσμαῖς Γάζερ καὶ αἱ κῶμαι αὐτῆς, καὶ Συχὲμ
καὶ αἱ κῶμαι αὐτῆς ἕως Γαιὰν καὶ αἱ κῶμαι αὐτῆς· [29]καὶ ἕως ὁρίων 29
υἱῶν Μανασσή, Βαιθσαὰν καὶ αἱ κῶμαι αὐτῆς, Θαλμὴ καὶ αἱ κῶμαι
αὐτῆς· καὶ Βαλὰδ καὶ αἱ κῶμαι αὐτῆς, Μαγεδδεὶ καὶ αἱ κῶμαι αὐτῆς,
Δὼρ καὶ αἱ κῶμαι αὐτῆς· ἐν ταύτῃ κατῴκησαν οἱ υἱοὶ Ἰωσὴφ υἱοῦ
Ἰσραήλ.

[30]Υἱοὶ Ἀσήρ· Ἰνινὰ καὶ Ἰσουὰ καὶ Ἰσουὶ καὶ Βεριγὰ καὶ Σορέ, καὶ 30
ἀδελφὴ αὐτῶν. [31]υἱοὶ Βεριχά· Γάβερ καὶ Μελλειή, οὗτος πατὴρ Βηζαίθ. 31
[32]καὶ Χάβερ ἐγέννησεν τὸν Ἰφαμὴλ καὶ τὸν Σαμὴρ καὶ τὸν Χωθὰν καὶ 32
τὴν Σωλὰ ἀδελφὴν αὐτῶν. [33]καὶ υἱοὶ Ἀφαλήχ· Βαισηχί, Ἰμαβαὴλ 33
καὶ Ἀσείθ· οὗτοι υἱοὶ Ἰαφαλήλ. [34]καὶ υἱοὶ Σέμμηρ· Ἀχιουὶα καὶ 34
Ὠβάβ, Ἀκαρὰν [35]καὶ Βαλαάμ· ἀδελφοὶ αὐτοῦ Σωχὰθ καὶ Ἰμανὰ 35
καὶ Ζέμη καὶ Ἀμαά. [36]υἱοὶ Σωφάς· Χουχί, Ἀναρφὰρ καὶ Σουλὰ 36
καὶ Σαβρεὶ καὶ Ἰμαρή, [37]Σόβαλ καὶ Ὦδ καὶ Σεμὰ καὶ Σαλεισὰ καὶ 37
Θερὰ καὶ Βαιαλά. [38]καὶ υἱοὶ Ἰέθηρ· Ἰφινὰ καὶ Φασφαὶ καὶ Ἀρά· 38
[39]καὶ υἱοὶ Ὠλά· Ὀρέχ, Ἀνειὴλ καὶ Ῥασειά. [40]πάντες οὗτοι υἱοὶ 39
Ἀσήρ, πάντες ἄρχοντες πατριῶν ἐκλεκτοὶ ἰσχυροὶ δυνάμει, ἄρχοντες 40
ἡγούμενοι· ἀριθμὸς αὐτῶν εἰς παράταξιν τοῦ πολεμεῖν, ἀριθμὸς αὐτῶν
ἄνδρες εἴκοσι ἓξ χιλιάδες.

[1]Καὶ Βενιαμεὶν ἐγέννησεν Βελεληὴλ πρωτότοκον αὐτοῦ καὶ Σαβὰ 1 VIII
τὸν δεύτερον, Ἰαφαὴλ τὸν τρίτον, [2]Ἰωὰ τὸν τέταρτον, καὶ Ῥαφὴ τὸν 2

A **25—27** Θαεν...αυτου] τω| Γαλααδα (Γαλ sup ras A*) υιω αυτου· Καθααν υιος αυτου·| Αμιουδ· υιος αυτου· Ελισαμα· υιος αυτου·| Νουμ· υιος αυτου· Ιησουε υιος αυτου·| A **28** κατασχεσεις A | κατ] κατα A | Ναααραν A | Γαιαν] Γαζης A **29** Βαιθσαν A | Θαλμη] Θααναχ A | Βαλααδ A | Μαγεδδω A | ταυτη] ταυταις A | υιου BA[2]] υιοι A* **30** Ινινα] Ιεμνα A | Ιεσουα A | Ιεσουι A | Βεριγα] Βαρια A | Σορε] Σαραι A | και 5°] η A **31** υιοι] pr και A | Βεριχα] Βαρια A | Γαβερ] Χαβερ A | Μελλειη] Μελχιηλ A | ουτος] αυτος A | Βηζαιθ] Βερζαιε A **32** Ιφαμηλ] Ιαφαλητ A | Σαμηρ] Σωμηρ A | Χωθαμ A **33** Αφαληχ] Ιαφαλητ A | Βαισηχι] Φεσηχι A | Ιμαβαηλ] Βαμαηλ A | Ιαφαλητ A **34** Σεμμηρ] Σωμηρ A | Αχιουια] Αχιουρα A | και Ωβαβ] Ογα· και Οβα· A | Ακαραν] και Αραμ A **35** Βαλααμ] υιος Ελαμ A | Σωχαθ] Σωφαρ A | Ζεμη] Σελλης A **36** Σωφα A | Χουχι (Χουχει Bab)] Σουε A | Αναρφαρ] Αρναφαρ A | Σουλα] Σουαλ A | Σαβρει] Βαρι A | Ιμαρη] Ιεμρα A **37** Σοβαλ] και Βασαρ A | Σεμα] Σαμμα A | Θερα] Ιεθερ A | Βαιαιλα] Βεηρα A **38** Ιεθηρ] Ιεθερ A | Ιφινα] Ιεφιηλ A | Φασφα A **39** Ανιηλ] pr και A | Ρασια A **40** om αριθμος αυτων 2° A VIII **1** Βελεληλ] τον Βαλε| A | Σαβα] Ασβηλ A | Ιαφαηλ] και Ααρα A **2** Ιωα] και| Νωα A

3 4 πέμπτον. 3καὶ ἦσαν υἱοὶ τῷ Βάλε· Ἀλεὶ καὶ Γηρὰ καὶ Ἀβιοὺδ 4καὶ B
5 Ἀβεισάμας καὶ Νοομὰ καὶ Ἀχιὰ 5καὶ Γερὰ καὶ Σωφαρφὰκ καὶ Ὠίμ.
6 6οὗτοι υἱοὶ Ἀώδ· οὗτοί εἰσιν ἄρχοντες πατριῶν τοῖς κατοικοῦσιν Γάβερ,
7 καὶ μετῴκισαν αὐτοὺς εἰς Μαχαναθεί· 7καὶ Νοομὰ καὶ Ἀχειὰ καὶ Γηρά·
8 οὗτος Ἰγαάμ, ἐγέννησεν τὸν Ναανὰ καὶ τὸν Ἰαχειχώλ. 8καὶ Σααρὴλ
ἐγέννησεν ἐν τῷ πεδίῳ Μωὰβ μετὰ τὸ ἀποστεῖλαι αὐτὸν Σωσὶν καὶ
9 τὴν Ἰβααδὰ γυναῖκα αὐτοῦ. 9καὶ ἐγέννησεν ἐκ τῆς Ὥδα γυναικὸς
10 αὐτοῦ τὸν Ἰωβὰβ καὶ τὸν Ἰεβιὰ καὶ τὸν Μισὰ καὶ τὸν Μελχὰς 10καὶ
τὸν Ἰδὼς καὶ τὸν Σαβιὰ καὶ τὸν Ἰμαμά· οὗτοι ἄρχοντες πατριῶν.
11 12 11καὶ ἐκ τῆς Ὠσιμὲν ἐγέννησεν τὸν Ἀβιτὼβ καὶ τὸν Ἀλφάαδ. 12καὶ
υἱοὶ Ἀλφάαδ· Ὠβήδ, Μεσσαάμ, Σήμηρ· οὗτος ᾠκοδόμησεν τὴν Ὠνὰν
13 καὶ τὰς κώμας αὐτῆς· 13καὶ Βεριγὰ καὶ Σάμα· οὗτοι ἄρχοντες τῶν
πατριῶν τοῖς κατοικοῦσιν Αἰλάμ, καὶ οὗτοι ἐξεδίωξαν τοὺς κατοι-
14 15 κοῦντας Γέθ. 14καὶ ἀδελφὸς αὐτοῦ Σωκὴλ καὶ Ἰαρειμὼθ 15καὶ Ἀζα-
16 βαβιὰ καὶ Ὠρὴρ καὶ Ὥδηδ 16καὶ Μειχαὴλ καὶ Σαφὰν καὶ Ἰωχάν,
17 υἱοὶ Βαρειγά· 17καὶ Ζαβαδιὰ καὶ Μοσολλὰμ καὶ Ἁζακεὶ καὶ Ὥβαρ
18 19 18καὶ Σαμαρεὶ καὶ Ζαρειὰ καὶ Ἰωάβ, υἱοὶ Ἐλχάαδ· 19καὶ Ἰακεὶμ
20 καὶ Ζαχρεὶ καὶ Ζαβδεί· 20καὶ Ἐλιωλιαὰ καὶ Σαλθεὶ καὶ Ἐλιηλεὶ
21 22 21καὶ Ἀβιὰ καὶ Βεριγὰ καὶ Βαραιὰ καὶ Σαμαράθ, υἱοὶ Σαμαείθ· 22καὶ
23 Ἰσφὰν καὶ Ὥββδη καὶ Ἐλεὴλ 23καὶ Ἀβαδὼν καὶ Ζεχρεὶ καὶ Ἁνὰν
24 25 24καὶ Ἁνανιὰ καὶ Ἀμβρεὶ καὶ Αἰλὰμ καὶ Ἀνωθαὶθ 25καὶ Ἀθεὶν καὶ
26 Ἰεφερειὰ καὶ Φελιήλ, υἱοὶ Σωιήκ· 26καὶ Ἰσμασαριὰ καὶ Σαραιὰ καὶ
27 Ὀγοθολιὰ 27καὶ Ἰασαραιὰ καὶ Σαραιὰ καὶ Ἠλιὰ καὶ Ζαχρεὶ υἱοὶ

3 Αλει] Αρεδ· | A **4** Αβεισαμας] Αβισουε A | Νοομα] Μα|αμαν A | om και A Αχια A **5** Γηρα A | και 2°] κα B | Σωφαρφακ] Σωφαν· και Αχιρᾶ| A | Ωιμ] Ιωιμ A **6** Αωδ] Ωδ A | Γαβερ] Γαβες A | Μαχαναθει] Μαναχαθι A **7** Αχια A | Ιγλααμ A | εγεννησεν] pr και A | Ναανα] Αζα A | Ιαχειχωλ] Ιαχιχαδ A **8** Σααρημ A | αυταν B^{edit} | Σωσιν] Ωσιμ A | Ιβααδα] Βααρα A **9** Ιεβια] Σεβια A | Μισα] Μωσα A | Μελχαμ A **10** Ιδως] Ιεους A | Σεβια A | Ιμαμα] Μαρμα A **11** Ωσιμεν] Ωσιμ A | Αλφααλ A **12** Αλφαα A | Μεσσααμ] και Μισααλ A | Σημηρ] Σεμμηρ A | Ωναν] Ωνω A+και την Λοδ· A **13** Βαριγα A | Αιλαμ] Αδαμ A **14** αδελφος] οι αδελφοι A | Σωκηλ] Σωσηκ A | Ιαριμουθ A **15** Αζαβαδια A | Ωρηρ] Αρωδ A | Ωδηδ] Ωδερ A **16** Μιχαηλ A | Σαφαν] Εσφαχ A | Ιωχαν] Ιωαχα και Ιεζια A | Βαριγα A **17** Αζακι A **18** Σαμαρει] Ιεσαμαρι A | Ζαρεια] Εζλια A | Ιωαβ] Ιωβαβ A | Ελχααδ] Ελφααλ A **19** Ζεχρι A | Ζαβδι A **20** Ελιωλιαα] Ελιωηναι A | Σαλθει] Σαλει A | om και 3° A | Ελιηλι A **21** Αβια] Αλαια A | Σαμαειθ] Σαμαι A **22** Ισφαν] Εσφαν A | Ωβδη] Ωβηδ A **23** Αβδων A | Ζοχρι A **24** Ανανιας A*^{vid} | Αμβρι A | Αιλαμ] Αηλαμ A | Ανα-θωθια A **25** Ιεφερεια] Ιεφαδια A | Φελιηλ] Φανουηλ A | Σωιηκ] Σωσηκ A **26** Ισμασαρια] Σαμσαρια A | Σαραια] Σααρια A | Ογοθολια] Γοθολιας A **27** Ιασαραια] Ιαρασια A | Ζεχρι A

Β Ἰραάμ. [28]οὗτοι ἄρχοντες πατριῶν, κατὰ γενέσεις αὐτῶν ἄρχοντες· 28
οὗτοι κατῴκησαν ἐν Ἰερουσαλήμ. [29]καὶ ἐν Γαβαὼν κατῴκησεν 29
πατὴρ Γαβαών, καὶ ὄνομα γυναικὶ αὐτοῦ Μολχά· [30]καὶ υἱὸς αὐτῆς 30
ὁ πρωτότοκος Ἀβαλών, καὶ Σοὺρ καὶ Κεὶς καὶ Βααλακαὶμ καὶ Ἀδὰδ
[31]καὶ Δοὺρ καὶ ἀδελφὸς αὐτοῦ καὶ Ζάχουρ καὶ Μακαλώθ· [32]καὶ 31
Μακαλὼθ ἐγέννησεν τὸν Σεμαά. καὶ γὰρ οὗτοι κατέναντι τῶν ἀδελ- 32
φῶν αὐτῶν κατῴκησαν ἐν Ἰερουσαλὴμ μετὰ τῶν ἀδελφῶν αὐτῶν.
[33]καὶ Νὴρ ἐγέννησεν τὸν Κείς, καὶ Κεὶς ἐγέννησεν τὸν Σαούλ, καὶ 33
Σαοὺλ ἐγέννησεν τὸν Ἰωναθὰν καὶ τὸν Μελχεσοὲ καὶ τὸν Ἀμειναδὰβ
καὶ τὸν Ἀσάβαλ. [34]καὶ υἱοὶ Ἰωναθὰν Μεριβάαλ· καὶ Μεριβάαλ ἐγέν- 34
νησεν τὸν Μιχιά. [35]καὶ υἱοὶ Μιχιά· Φιθὼν καὶ Μελχὴλ καὶ Θερέε 35
καὶ Ζάκ. [36]καὶ Ζὰκ ἐγέννησεν τὸν Ἰὰδ καὶ Ἰαδά, καὶ Ἰαδὰ ἐγέννησεν 36
τὸν Σαλαιμὰθ καὶ τὸν Σαλμὼ καὶ τὸν Ζαμβρεί, καὶ ἐγέννησεν Ζαμβρεὶ
τὸν Μαισά· [37]καὶ Μαισὰ ἐγέννησεν τὸν Βανά· Ῥαφαὶ υἱὸς αὐτοῦ, 37
Σαλασὰθ υἱὸς αὐτοῦ, Ἐσὴλ υἱὸς αὐτοῦ. [38]καὶ τῷ Ἐσὴλ ἓξ υἱοί, καὶ 38
ταῦτα τὰ ὀνόματα αὐτῶν· Ἐζρεικαὶ πρωτότοκος αὐτοῦ, καὶ Ἰσμαὴλ
καὶ Σαραιὰ καὶ Ἀβδειὰ καὶ Ἀνάν· πάντες οὗτοι υἱοὶ Ἐσήλ. [39]καὶ 39
υἱοὶ Ἄσηλ ἀδελφοῦ αὐτοῦ· Αἰλὰμ πρωτότοκος αὐτοῦ, καὶ Γὰγ ὁ
δεύτερος· Ἐλιφάλεις ὁ τρίτος. [40]καὶ ἦσαν υἱοὶ Αἰλεὶμ ἰσχυροὶ ἄνδρες 40
δυνάμει, τείνοντες τόξον καὶ πληθύνοντες υἱοὺς καὶ υἱοὺς τῶν υἱῶν,
ἑκατὸν πεντήκοντα. πάντες οὗτοι ἐξ υἱῶν Βενιαμείν.

[1]Καὶ πᾶς Ἰσραὴλ ὁ συνλογισμὸς αὐτῶν, καὶ οὗτοι καταγεγραμ- 1 IX
μένοι ἐν βιβλίῳ τῶν βασιλέων Ἰσραὴλ καὶ Ἰούδα μετὰ τῶν κατοι-
κισθέντων εἰς Βαβυλῶνα ἐν ταῖς ἀνομίαις αὐτῶν. [2]Καὶ οἱ 2
κατοικοῦντες πρότερον ἐν ταῖς κατασχέσεσιν αὐτῶν ἐν ταῖς πόλεσιν
Ἰσραήλ, υἱοὶ Λευεῖται, οἱ ἱερεῖς καὶ οἱ δεδομένοι. [3]καὶ ἐν Ἰερουσαλὴμ 3

A **27** Ιραααμ] Ιεροαμ A **28** *αρχοντες* 2°] *αρχηγοι* A **29** *γυναικι*] pr *τη* A | Μολχα] Μιλχα Ba? b? (Mai) Μααχα A **30** *αυτης*] *αυτη* A | *ο πρωτοτ.*] om *ο* A | Αβαλων] Αβδων A | Σουρ] Ισουρ A | Βααλακαιμ] Βααλ· *και* Νηρ· A | Αδαδ] Ναδαβ A **31** *Δουρ*] Γεδουρ A | *αδελφοι* A | om *και* 3° A | Ζακχουρ A **32** om *και* Μακαλωθ A | Σαμεα A | om *γαρ* A **33** Μελχισουε A | Αμιναδαβ A | Ασαβαλ] Ιεβααλ A **34** *υιοι*] *υιος* A | Μεφριβααλ A (bis) | Μιχα A (item 35) **35** Μελχηλ] Μαλωθ A | Θαρεε A | Ζακ] Χααζ (item 36) A **36** Ιαδ *και* Ιαδα] Ιωιαδα A | Ιαδα 2°] Ιωιαδα A | Σαλαιμαθ] Γαλεμαθ A | Σαλμω] Αζμωθ A | Ζαμρι A (bis) | Ζ. *εγεννησεν* A **36**? **37**? Μαισα] sup M vestigia appar ras et litur in B **37** Βαανα A | Ραφαια A | Σαλασαθ] Ελεασα A **38** Εζρεικαι (Εζρεικε Bab)] Εζρικαμ A | *πρωτοτ.*] pr *ο* A | Αβδια A **39** Ασηλ] Εσελεκ A | Αιλαμ] Ουλαμ A | *πρωτοτ.*] pr *ο* A | *και* Γαγ (ι Γ sup ras B?)] Ιδιας A | Ελιφαλεις] *και* Ελι|φαλετ A **40** Αιλειμ] Ουλαμ A | *πεντηκοντα*] *ενενηκοντα* A | *παντε* A* (*παντες* Aa?) IX **1** *κατοικισθ.*] *αποικισθ.* A **2** *υιοι Λ. οι ιερεις*] *οι ειερεις· οι Λευειται* A

κατῴκησαν ἀπὸ τῶν υἱῶν Ἰούδα καὶ ἀπὸ τῶν υἱῶν Βενιαμὶν καὶ B
4 τῶν υἱῶν Ἐφραὶμ καὶ Μανασσή. 4καὶ Γωθὶ καὶ υἱὸς Σαμμιοὺ υἱοῦ
5 Ἀμρεί, υἱοὶ υἱῶν Φάρες καὶ υἱοῦ Ἰούδα. 5καὶ ἐκ τῶν Σηλωνεὶ Ἀσαιὰ
6 πρωτότοκος αὐτοῦ. 6ἐκ τῶν υἱῶν Ζάρα Ἐπειὴλ καὶ ἀδελφοὶ αὐτῶν
7 ἑξακόσιοι καὶ ἐνενήκοντα. 7καὶ ἐκ τῶν υἱῶν Βενιαμὶν Σαλὼμ υἱὸς
8 Μοολλὰμ υἱὸς Ὀδυιὰ υἱὸς Ἀανά, 8καὶ Βαναὰμ υἱὸς Ἰραάμ· καὶ
οὗτοι υἱοὶ Ὀζεὶ υἱοῦ Μαχείρ· καὶ Μασεαλὴμ υἱὸς Σαφατιὰ υἱοῦ
9 Ῥαγουὴλ υἱοῦ Βαναιά, 9καὶ ἀδελφοὶ αὐτῶν κατὰ γενέσεις αὐτῶν
ἐννακόσιοι πεντήκοντα ἕξ, πάντες οἱ ἄνδρες ἄρχοντες πατριῶν
10 κατ᾽ οἴκους πατριῶν αὐτῶν. 10Καὶ ἀπὸ τῶν ἱερέων Ἰωδαὲ καὶ
11 Ἰωαρεὶμ καὶ Ἰαχεὶν 11καὶ Ἀζαριὰ υἱοὶ Χελκειὰ υἱοῦ Μοσολλὸμ υἱοῦ
12 Σαδὼκ υἱοῦ Μαρμὼθ υἱοῦ Ἀχειτὼβ ἡγούμενος οἴκου τοῦ θεοῦ, 12καὶ
Ἀδαιὰ υἱὸς Ἰραὰμ υἱοῦ Πασχὼρ υἱοῦ Μαλχειά, καὶ Μαασαιὰ υἱὸς
13 Ἀδιὴλ υἱοῦ Ἰεδειοὺ υἱοῦ Μοσολλὰμ υἱοῦ Μασελμὼθ υἱοῦ Ἐμήρ, 13καὶ
ἀδελφοὶ αὐτῶν, ἄρχοντες οἴκων πατριῶν, χίλιοι ἑπτακόσιοι ἑξήκοντα,
14 ἰσχυροὶ δυνάμει εἰς ἐργασίαν λειτουργίας οἴκου τοῦ θεοῦ. 14Καὶ ἐκ
τῶν Λευειτῶν Σαμαιὰ υἱὸς Ἀσὼβ υἱοῦ Ἐσρεικὰν υἱοῦ Ἀσαβιὰ ἐκ τῶν
15 υἱῶν Μεραρεί, 15καὶ Βακβὰρ καὶ Ῥαραιήλ, Γαλαὰδ καὶ Μανθανίας υἱὸς
16 Μειχὰ υἱοῦ Ζεχρεὶ υἱοῦ Ἀσάφ, 16καὶ Ἀβδειὰ υἱὸς Σαμειὰ υἱοῦ Γαλαὰδ
υἱοῦ Ἰωθών, καὶ Βαραχεὶ υἱὸς Ὀσσὰ υἱοῦ Ἠλκανὰ ὁ κατοικῶν ἐν ταῖς
17 κώμαις Νωτεφατεί. 17οἱ πυλωροί· Σαλώμ, Ἀκούμ, Ταμμὰμ καὶ Αἰμὰμ
18 καὶ ἀδελφοὶ αὐτῶν, Σαλὼμ ὁ ἄρχων· 18καὶ ἕως ταύτης ἐν τῇ πύλῃ
τοῦ βασιλέως κατ᾽ ἀνατολάς· αὗται αἱ πύλαι τῶν παρεμβολῶν υἱῶν
19 Λευεί. 19καὶ Σαλωμὼν υἱὸς Κωρὴβ υἱοῦ Ἀβιασὰφ υἱοῦ Κόρε καὶ οἱ

3 των υιων (3°)] pr απο A **4** om και 1°, 2°, 3° A | Γωθι A | Σαμμιου] A
Αμιουδ A | Αμρι A **5** εκ] απο A | Σηλωνι A | Ασαια] Ασα A | πρωτοτ.]
pr ο A | αυτου]+και υιοι αυτου A **6** Επειηλ] Ιεηλ A **7** Σαλω A |
Μοσολλαμ A | υιος 2°, 3°] υιου A | Ωδουια A | Αανα] Ασανουα A **8** Βα-
νααμ] Ιεβναα A | Ιρααμ] Ιεροαμ A | και 2°]+Ηλα A | ουτοι υιοι] υιος A |
Οζι A | Μαχειρ] Μοχορε A | Μασεαλημ] Μασαλλαμ A | Βαναια] Ιεβανααι A
10 Ιωαρειβ A **11** Αζαριας A | Χελχιου A | Μαρμωθ] Μαριωθ A | Αχιτωβ A
12 Αδαια] Σαδιας A | Ιρααμ] Ιεραμ A | Πασχωρ] Φασχωρ A | Μαλχεια]
Μελχιου A | Μαασαια] Μασαι A | Ιεδειου] Ιεζριου A | Μασελμωθ] Μοσολ-
λαμωθ A | Εμηρ] Εμμηρ A (lineol superscr $A^{1\,vel\,a?}$) **13** αδελφοι] pr οι A |
εξηκοντα] ενενηκοντα A **14** Λευιτων A | Εζρικαμ A | Ασαβιου A | εκ των
(2°)] υιου A | Μεραρι A **15** Βακαρ] Βακβακαρ A | Ραραιηλ] Αρες A | Γαλααδ]
και Γωληλ A | Μανθανιας] Ματθανιας A | Μιχα A | Ζεχρι A **16** Αβδεια]
Οβδια A | Σαμεια] Σαμιου A | Γαλααδ] Γωληλ A | Ιωθων] Ιδουθων A |
Βαραχιας A | Οσσα] Ασα A | Ελκανα A | Νε|τωφαθι A **17** οι πυλωροι]
και οι πυρωλοι (sic) A | Σαλλωμ (1°) A | Ακουμ] και Ακουβ A | Ταμμαν] και
Τελμαν A | Αιμαν A **18** κατ] κατα A | αι πυλαι] om αι A | Λευι A
19 Σαλωμων] Σαλωμ· A | Κωρηβ] Χωρη A

Β ἀδελφοὶ αὐτοῦ εἰς οἶκον πατρὸς αὐτοῦ, οἱ Κορεῖται, ἐπὶ τῶν ἔργων
τῆς λειτουργίας φυλάσσοντες τὰς φυλακὰς τῆς σκηνῆς· καὶ πατέρες
αὐτῶν ἐπὶ τῆς παρεμβολῆς φυλάσσοντες τὴν εἴσοδον. 20 καὶ Φινεὲς 20
υἱὸς Ἐλεαζὰρ ἡγούμενος ἦν ἐπ' αὐτῶν ἔμπροσθεν, καὶ οὗτοι μετ' αὐ-
τοῦ. 21 Ζαχαρίας υἱὸς Μασαλαμὶ πυλωρὸς τῆς θύρας τῆς σκηνῆς τοῦ 21
μαρτυρίου. 22 πάντες οἱ ἐκλεκτοὶ ταῖς πύλαις ἐν ταῖς πύλαις δια- 22
κόσιοι καὶ δέκα δύο· οὗτοι ἐν ταῖς αὐλαῖς αὐτῶν, ὁ καταλοχισμὸς
αὐτῶν· τούτους ἔστησεν Δαυεὶδ καὶ Σαμουὴλ ὁ βλέπων τῇ πίστει
αὐτῶν. 23 καὶ οὗτοι καὶ οἱ υἱοὶ αὐτῶν ἐπὶ τῶν πυλῶν ἐν οἴκῳ 23
Κυρίου, ἐν οἴκῳ τῆς σκηνῆς, τοῦ φυλάσσειν. 24 κατὰ τοὺς τέσσαρας 24
ἀνέμους ἦσαν αἱ πύλαι, κατ' ἀνατολάς, θάλασσαν, βορρᾶν, νότον.
25 καὶ ἀδελφοὶ αὐτῶν ἐν ταῖς αὐλαῖς αὐτῶν τοῦ εἰσπορεύεσθαι κατὰ 25
ἑπτὰ ἡμέρας ἀπὸ καιροῦ εἰς καιρὸν μετὰ τούτων· 26 ὅτι ἐν πίστει 26
εἰσὶν τέσσαρες δυνατοὶ τῶν πυλῶν. οἱ Λευεῖται ἦσαν ἐπὶ τῶν παστο-
φορίων, καὶ ἐπὶ τῶν θησαυρῶν οἴκου τοῦ θεοῦ παρεμβαλοῦσιν· 27 ὅτι 27
§ ℵ ἐπ' αὐτοὺς φυλακή· καὶ οὗτοι ἐπὶ τῶν κλειδῶν § τὸ πρωὶ πρωὶ ἀνοί- 28
γειν τὰς θύρας τοῦ ἱεροῦ. 28 καὶ ἐξ αὐτῶν ἐπὶ τὰ σκεύη τῆς λει-
τουργίας, ὅτι ἐν ἀριθμῷ εἰσοίσουσιν. 29 καὶ ἐξ αὐτῶν κατεσταμένοι 29
ἐπὶ τὰ σκεύη καὶ ἐπὶ πάντα σκεύη τὰ ἅγια, καὶ ἐπὶ τῆς σεμιδάλεως,
τοῦ οἴνου, τοῦ ἐλαίου, τοῦ λιβανωτοῦ καὶ τῶν ἀρωμάτων. 30 καὶ ἀπὸ 30
τῶν υἱῶν τῶν ἱερέων ἦσαν μυρεψοὶ τοῦ μύρου καὶ εἰς τὰ ἀρώματα.
31 καὶ Ματταθίας ἐκ τῶν Λευειτῶν, οὗτος ὁ πρωτότοκος τῷ Σαλὼμ 31
τῷ Κορείτῃ, ἐν τῇ πίστει ἐπὶ τὰ ἔργα τῆς θυσίας τοῦ τηγάνου τοῦ
μεγάλου ἱερέως. 32 καὶ Βαναίας ὁ Κααθείτης ἐκ τῶν ἀδελφῶν αὐτῶν 32
ἐπὶ τῶν ἄρτων τῆς προθέσεως, τοῦ ἑτοιμάσαι σάββατον κατὰ σάβ-
βατον. 33 καὶ οὗτοι ψαλτῳδοί, ἄρχοντες τῶν πατριῶν τῶν Λευειτῶν, 33
διατεταγμέναι ἐφημερίαι· ὅτι ἡμέρα καὶ νὺξ ἐπ' αὐτοῖς ἐν τοῖς ἔργοις.
34 οὗτοι ἄρχοντες τῶν πατριῶν, κατὰ γενέσεις αὐτῶν ἄρχοντες· 34
οὗτοι κατοίκησαν ἐν Ἰερουσαλήμ. 35 Καὶ ἐν Γαβαὼν κατῴ- 35
κησεν πατὴρ Γαβαωνεὶ Ἰήλ, καὶ ὄνομα γυναικὸς αὐτοῦ Μωχά·

ℵA 19 Κοριται A | παρεμβολης]+ ·|κυ A 20 εμπροσθεν]+ κυ A 21 Μα-
σαλαμι] Μοσολλαμ A 22 om και 1° A 23 οι υιοι] om οι A 24 τεσ-
σαρες A | κατ] κατα A¹ 26 Λευιται A 27 om πρωι 2° ℵ | ανυγειν ℵ
28 εισοισουσιν]+ αυτα| και εν αριθμω· εξοισουσιν αυτα· A 29 καθεσταμενοι
ℵA | σκευη 2°] pr τα ℵA | om του ελαιου ℵ* (hab ℵ^a (mg)) 31 Ματταθι|ας
B* (Ματτθι|ας B^b vid) | Λευιτων A | Κορειτης B Κοριτη A 32 Βαναιας
ℵA | Κααθιτης A | om κατα σαββατον ℵ* (hab ℵ^a) 33 Λευιτων ℵA | διατε-
ταγμενοι ℵ^a (om οι ℵ*) | εφημεριαι ℵ 34 πατριων]+των Λευιτων A |
αρχοντες 2°] αιχοντες A pr και ℵ | κατωκησαν A | Ιεηλημ ℵ 35 κατωκησαν
ℵ | Ιηλ] Ιεηλ ℵ Ιειηλ A | γυναικος] pr της ℵ

36 [36]καὶ υἱὸς αὐτοῦ ὁ πρωτότοκος Σαβαδών, καὶ Ἰσεὶρ καὶ Κεὶς καὶ Βάαλ καὶ Β
37 Νὴρ καὶ Ναδὰβ [37]καὶ Ἰεδοὺρ καὶ ἀδελφὸς καὶ Ζαχαριὰ καὶ Μακελλώθ.
38 [38]καὶ Μακελλὼθ ἐγέννησεν τὸν Σαμαά· καὶ οὗτοι ἐν μέσῳ τῶν ἀδελ-
φῶν αὐτῶν κατῴκησαν ἐν Ἰερουσαλὴμ ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν.
39 [39]καὶ Νὴρ ἐγέννησεν τὸν Κείς, καὶ Κεὶς ἐγέννησεν τὸν Σαούλ, καὶ
Σαοὺλ ἐγέννησεν τὸν Ἰωναθὰν καὶ τὸν Μελχεισοῦε καὶ τὸν Ἀμειναδὰβ
40 καὶ τὸν Ἰεβάαλ. [40]καὶ υἱὸς Ἰωναθὰν Μαρειβάαλ· καὶ Μαρειβάαλ ἐγέν-
41 νησεν τὸν Μειχά. [41]καὶ υἱοὶ Μειχά· Φαιθὼν καὶ Μάλαχ καὶ Θαράχ.
42 [42]καὶ Ἀχὰζ ἐγέννησεν τὸν Ἰαδά, καὶ Ἰαδὰ ἐγέννησεν τὸν Γαμέλεθ καὶ
43 τὸν Γαζάωθ καὶ τὸν Ζαμβρεί, καὶ Ζαμβρεὶ ἐγέννησεν τὸν Μασσά, [43]καὶ
Μασσὰ ἐγέννησεν τὸν Βαανά, Ῥαφαὶα υἱὸς αὐτοῦ, Ἐσαὴλ υἱὸς αὐτοῦ.
44 [44]καὶ τῷ Ἐσὴλ ἓξ υἱοί, καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Ἐσδρεικὰν πρωτό-
τοκος αὐτοῦ, Ἰσμαὴλ καὶ Σαριὰ καὶ Ἀβδειὰ καὶ Ἀνάν· οὗτοι υἱοὶ Ἐσήλ.
X 1 [1]Καὶ ἀλλόφυλοι ἐπολέμησαν πρὸς Ἰσραήλ, καὶ ἔφυγον ἀπὸ προσ-
2 ώπου ἀλλοφύλων καὶ ἔπεσον τραυματίαι ἐν ὄρει Γελβοῦε. [2]καὶ κατε-
δίωξαν ἀλλόφυλοι ὀπίσω Σαοὺλ καὶ ὀπίσω υἱῶν αὐτοῦ· καὶ ἐπάταξαν
ἀλλόφυλοι τὸν Ἰωναθὰν καὶ τὸν Ἀμειναδὰβ καὶ τὸν Μελχεισοῦε υἱοὺς
3 Σαούλ. [3]καὶ ἐβαρύνθη ὁ πόλεμος ἐπὶ Σαούλ· καὶ εὗρον αὐτοὺς οἱ
4 τοξόται ἐν τόξοις καὶ πόνοις, καὶ ἐπόνεσαν ἀπὸ τῶν τόξων. [4]καὶ
εἶπεν Σαοὺλ τῷ αἴροντι τὰ σκεύη αὐτοῦ Σπάσαι τὴν ῥομφαίαν σου
καὶ ἐκκέντησόν με ἐν αὐτῇ, μὴ ἔλθωσιν οἱ ἀπερίτμητοι οὗτοι καὶ
ἐμπαίξωσίν μοι. καὶ οὐκ ἐβούλετο ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ὅτι
ἐφοβεῖτο σφόδρα· καὶ ἔλαβεν Σαοὺλ τὴν ῥομφαίαν καὶ ἐπέπεσεν
5 ἐπ᾽ αὐτήν. [5]καὶ εἶδεν ὁ αἴρων τὰ σκεύη αὐτοῦ ὅτι ἀπέθανεν Σαούλ,
6 καὶ ἔπεσεν καὶ αὐτὸς ἐπὶ τὴν ῥομφαίαν αὐτοῦ. [6]καὶ ἀπέθανεν Σαοὺλ
καὶ τρεῖς υἱοὶ αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ πᾶς ὁ οἶκος αὐτοῦ ἐπὶ τὸ

36 υιος B𝔑[a]] pr ο 𝔑*A | Σαβδων A | Κεις] Κιρ 𝔑 **37** Ιεδουρ] Γεδουρ A | 𝔑Λ
αδελφοι A | και 3°] κα 𝔑* (και 𝔑[a]) om A | Ζαχχουρ A | Μακεδωθ A (item 38)
38 om και Μακ. 𝔑 | Σαμα A | αυτων· κατωκησαν A | om εν μεσω των αδ.
αυτων (2°) 𝔑* (hab 𝔑[a (mg)]) | εν μεσω (2°)] μετα A **39** Μελχισουε 𝔑A | Αμι-
ναδαβ A | Ιεβααλ] Ισβααλ 𝔑 Βααλ A **40** υιος] υιους 𝔑 | Ιωναθαμ 𝔑 | Μαρει-
βααλ] Μαρειβαλ (1°) 𝔑 Μεχριβαλα A (bis) | Μιχα A (item 41) **41** Φιθων
A | Μαλωχ A | Θαρα·| A **42** Αχαζ] Χααζ A | Γαλεμεθ A | Γαζαωθ] Αζμωθ
A | Ζαμβρι A (bis) | om και Ζαμβρει 𝔑 | Μασα 𝔑A (item 43) **43** Βανα A |
Ραφαιαν 𝔑 | Ραφαια υιος αυτου sup ras A[1] | Εσαηλ] Ελεασα υιος αυτου· Εσηλ
A **44** Εσαηλ 𝔑 (bis) | Εξρεικαν...Ισμαηλ bis scr 𝔑* (om 2° 𝔑[a]) | Εσδρεικαν]
Εξρικαμ A | Ισμαηλ] pr και A | Αβδια A X **1** Γελβουθ᾽ A **2** αυτου] ουκ sup
ras A[1] | Αμερναδαβ B[b vid] Αμιναδαβ 𝔑A | Μελχισουε A Μελχισεδεκ 𝔑 **3** αυ-
τους] αυτον A | τοξοις] pr τοις 𝔑A | επονεσεν 𝔑A **4** και εκκεντησον] κα, κ
1° sup ras A[b] | την ρομφ. (2°)] + αυτου A | επεπεσεν] επεσεν 𝔑A **5** ιδεν A
(item 7) | και 3°] + γε A | αυτου 2°] + και απεθανεν·| (seq ras 4 vel 5 litt) A

Β αὐτὸ ἀπέθανεν. 7 καὶ εἶδεν πᾶς ἀνὴρ Ἰσραὴλ ὁ ἐν τῷ αὐλῶνι ὅτι 7
ἔφυγεν Ἰσραήλ, καὶ ὅτι ἀπέθανεν Σαοὺλ καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ κατέ-
λειπον τὰς πόλεις αὐτῶν καὶ ἔφυγον· καὶ ἦλθον ἀλλόφυλοι καὶ κατῴ-
κησαν ἐν αὐταῖς. 8 Καὶ ἐγένετο τῇ ἐχομένῃ καὶ ἦλθον ἀλλόφυλοι 8
τοῦ σκυλεύειν τοὺς τραυματίας, καὶ εὗρον τὸν Σαοὺλ καὶ τοὺς υἱοὺς
αὐτοῦ πεπτωκότας ἐν τῷ ὄρει Γελβοῦε. 9 καὶ ἐξέδυσαν αὐτόν, καὶ 9
ἔλαβον τὴν κεφαλὴν αὐτοῦ καὶ τὰ σκεύη αὐτοῦ, καὶ ἀπέστειλαν εἰς
γῆν ἀλλοφύλων κύκλῳ τοῦ εὐαγγελίσασθαι τοῖς εἰδώλοις αὐτῶν καὶ
τῷ λαῷ· 10 καὶ ἔθηκαν τὰ σκεύη αὐτῶν ἐν οἴκῳ θεοῦ αὐτῶν, καὶ τὴν 10
κεφαλὴν αὐτοῦ ἔθηκαν ἐν οἴκῳ Δαγών. 11 καὶ ἤκουσαν πάντες οἱ 11
κατοικοῦντες Γαλαὰδ ἅπαντα ἃ ἐποίησαν ἀλλόφυλοι τῷ Σαοὺλ καὶ
τῷ Ἰσραήλ. 12 καὶ ἠγέρθησαν ἐκ Γαλαὰδ πᾶς ἀνὴρ δυνατός, καὶ 12
ἔλαβον τὸ σῶμα Σαοὺλ καὶ τὸ σῶμα τῶν υἱῶν αὐτοῦ, καὶ ἤνεγκαν
αὐτὰ εἰς Ἰαβείς, καὶ ἔθαψαν τὰ ὀστᾶ αὐτῶν ὑπὸ τὴν δρῦν ἐν Ἰαβείς·
καὶ ἐνήστευσαν ἑπτὰ ἡμέρας. 13 καὶ ἀπέθανεν Σαοὺλ ἐν ταῖς ἀνομίαις 13
αὐτοῦ αἷς ἠνόμησεν τῷ θεῷ κατὰ τὸν λόγον Κυρίου, διότι οὐκ ἐφύ-
λαξεν· ὅτι ἐπηρώτησεν Σαοὺλ ἐν τῷ ἐνγαστριμύθῳ τοῦ ζητῆσαι, καὶ
ἀπεκρίνατο αὐτῷ Σαμουὴλ ὁ προφήτης, 14 καὶ οὐκ ἐζήτησεν Κύριον· καὶ 14
ἀπέκτεινεν αὐτόν, καὶ ἐπέστρεψεν τὴν βασιλείαν τῷ Δαυεὶδ υἱῷ Ἰεσσαί.

1 Καὶ ἦλθεν πᾶς Ἰσραὴλ πρὸς Δαυεὶδ ἐν Χεβρὼν λέγοντες Ἰδοὺ 1 XI
ὀστᾶ σου καὶ σάρκες σου ἡμεῖς· 2 καὶ ἐχθὲς καὶ τρίτην ὄντος Σαοὺλ 2
βασιλέως σὺ ἦσθα ὁ ἐξάγων καὶ εἰσάγων τὸν Ἰσραήλ. καὶ εἶπεν
Ἰσραὴλ Κύριός σοι Σὺ ποιμανεῖς τὸν λαόν μου τὸν Ἰσραήλ, καὶ σὺ
ἔσῃ εἰς ἡγούμενον ἐπὶ Ἰσραήλ. 3 καὶ ἦλθον πάντες πρεσβύτεροι 3
Ἰσραὴλ πρὸς τὸν βασιλέα εἰς Χεβρών, καὶ διέθετο αὐτοῖς ὁ βασι-
λεὺς Δαυεὶδ διαθήκην ἐν Χεβρὼν ἐναντίον Κυρίου, καὶ ἔχρισαν τὸν
Δαυεὶδ εἰς βασιλέα ἐπὶ Ἰσραὴλ κατὰ τὸν λόγον Κυρίου διὰ χειρὸς

ℵA **7** om ανηρ ℵ | ο εν] ου εν ℵ* (ο εν ℵ^{a}) | Ισραηλ 2°] pr πας ℵ | om και 4° ℵ | κατελιπον ℵ | κατωκισα] ℵ | αυτοις ℵ **8** σκυλευσαι A | τους τραυμ. B*ℵ^{1}A] ο τραυμ. B$^{b\,vid}$ τας τρ. ℵ* **9** απεστιλαν ℵ | αυτων] αυτοις ℵ **10** οικω 1°] ω sup ras B^{2} | om κεφαλην ℵ* (superscr ℵ^{a}) **11** απαντα] παντα A | και 2°] εν A **12** το σωμα 1°] om το ℵ | το σωμα 2°] τα σωματα A | om εν ℵ* (hab ℵ$^{a\,mg\,sinistr}$) **13** αυτων A* vid (αυτου A^{b}) | θεω] κω A | Κυριου] pr του ℵ | ενγαστριμ. B*^{b} εγγ. B^{ab} | αυτω] pr αυτο ℵ$^{a\,mg\,sinistr}$ **14** εξεζητησεν A | Κυριον] κς ℵ τον κν Σαουλ A | αυτον]+καθοτι ουκ ηρωτησεν εν κω A | απεστρεψεν ℵ | Δαδ ℵA (ita ubique) XI **2** βασιλεως] βασιλευς ℵ | ο εξαγων και εισαγων] ο εισαγαγων και εξαγαγων ℵ | om Ισραηλ 2° ℵA | Κυριος]+ο θς| σου A | ποιμανεις] πενεις ℵ* (οιμ superscr ℵ^{a}) | συ 3°] σοι ℵ | om εση ℵ*A (hab B ℵ^{a}) | Ισραηλ 3°] Ιηλμ ℵ* (Ιηλ ℵ^{1}) **3** εις 1°] εν A | εναντι A | εις βασ.] εις βα sup ras A$^{a?}$

4 Σαμουήλ. [4]Καὶ ἐπορεύθη ὁ βασιλεὺς καὶ ἄνδρες αὐτοῦ εἰς Β
Ἰερουσαλήμ, αὕτη Ἰεβούς, καὶ ἐκεῖ οἱ Ἰεβουσαῖοι οἱ κατοικοῦντες
5 τὴν Ἰεβοὺς [5]εἶπαν τῷ Δαυεὶδ Οὐκ εἰσελεύσῃ ὧδε. καὶ προκατε-
6 λάβετο τὴν περιοχὴν Σειών, αὕτη ἡ πόλις Δαυείδ. [6]καὶ εἶπεν Δαυεὶδ
Πᾶς τύπτων Ἰεβουσαῖον ἐν πρώτοις, καὶ ἔσται εἰς ἄρχοντα καὶ εἰς
στρατηγόν· καὶ ἀνέβη ἐπ' αὐτῇ ἐν πρώτοις Ἰωὰβ υἱὸς Σαρουειά, καὶ
7 ἐγένετο εἰς ἄρχοντα. [7]καὶ ἐκάθισεν Δαυεὶδ ἐν τῇ περιοχῇ· διὰ τοῦτο
8 ἐκάλεσεν αὐτὴν Πόλιν Δαυείδ· [8]καὶ ᾠκοδόμησεν τὴν πόλιν κύκλῳ·
9 καὶ ἐπολέμησεν καὶ ἔλαβεν τὴν πόλιν. [9]καὶ ἐπορεύετο Δαυεὶδ πο-
10 ρευόμενος, καὶ Κύριος Παντοκράτωρ μετ' αὐτοῦ. [10]καὶ οὗτοι οἱ ἄρ-
χοντες τῶν δυνατῶν οἳ ἦσαν τῷ Δαυείδ, οἱ κατισχύοντες μετ' αὐτοῦ
ἐν τῇ βασιλείᾳ αὐτοῦ μετὰ παντὸς Ἰσραὴλ τοῦ βασιλεῦσαι αὐτὸν
11 κατὰ τὸν λόγον Κυρίου ἐπὶ Ἰσραήλ. [11]καὶ οὗτος ὁ ἀριθμὸς τῶν
δυνατῶν τοῦ Δαυείδ· Ἰεσεβαδὰ υἱὸς Ἀχαμανεὶ πρῶτος τῶν τριά-
κοντα· οὗτος ἐσπάσατο τὴν ῥομφαίαν αὐτοῦ ἅπαξ ἐπὶ τριακοσίους
12 τραυματίας ἐν καιρῷ ἑνί. [12]καὶ μετ' αὐτὸν Ἐλεαζὰρ υἱὸς Δωδαὶ ὁ
13 Ἀρχωνεί, οὗτος ἦν ἐν τοῖς τρισὶν δυνατοῖς. [13]οὗτος ἦν μετὰ Δαυεὶδ
ἐν Φασοδομή, καὶ οἱ ἀλλόφυλοι συνήχθησαν ἐκεῖ εἰς πόλεμον, καὶ
ἦν μερὶς τοῦ ἀγροῦ πλήρης κριθῶν, καὶ ὁ λαὸς ἔφυγεν ἀπὸ προσ-
14 ώπου ἀλλοφύλων. [14]καὶ ἔστη ἐν μέσῳ τῆς μερίδος καὶ ἔσωσεν
αὐτήν, καὶ ἐπάταξεν τοὺς ἀλλοφύλους· καὶ ἐποίησεν Κύριος σωτη-
15 ρίαν μεγάλην. [15]καὶ κατέβησαν τρεῖς ἐκ τῶν τριάκοντα ἀρχόντων
εἰς τὴν πέτραν πρὸς Δαυεὶδ εἰς τὸ σπήλαιον Ὀδολλάμ, καὶ παρεμ-
16 βολὴ τῶν ἀλλοφύλων ἐν τῇ κοιλάδι τῶν γιγάντων. [16]καὶ Δαυεὶδ τότε
ἐν τῇ περιοχῇ, καὶ τὸ σύστεμα τῶν ἀλλοφύλων τότε ἐν Βαιθλέεμ.
17 [17]καὶ ἐπεθύμησεν Δαυεὶδ καὶ εἶπεν Τίς ποτιεῖ με ὕδωρ ἐκ τοῦ λάκκου
18 Βηθλέεμ τοῦ ἐν τῇ πύλῃ; [18]καὶ διέρρηξαν οἱ τρεῖς τὴν παρεμβολὴν

4 αυτου] om ℵ* (hab ℵ$^{a\ mg}$) Ισλ A | εις] om ℵ επι A | Ιεβους 2°] γην A ℵA **5** ειπαν]+δε οι| κατοικουντες Ιεβους A | Σιων ℵA **6** Ιεβουσαιον] pr τον ℵ* (om ℵ^{a}) εβ sup ras 3 litt A^{1} | εστε ℵ | ειστρατηγον A | αυτη B* (αυτην B^{a}) | Σαρουια ℵ Σαρουιας A **8** οικοδομησεν ℵ **9** πορευομενος]+μετ αυτου ℵ* (om ℵ^{a})+και μεγαλυνομενος A **10** τη βασ.] om τη ℵ | επι] εν ℵ **11** του Δ.] του sup ras A^{1} | Ιεσσαιβαδα ℵ Ισβααμ A | Αχαμαννι ℵ Αχαμανι A | πρωτος] πρωτοτοκος A | εσπατο A* (εσπασατο A^{1}) | τριακοσιας ℵ* (τριακοσιους ℵ^{a}) **12** Δωδε ℵ | Αρχωνει] Αχωνει ℵ Αχωχι A | τρισι A | δυνατος A **13** Φασοδομι] A | εις πολεμον εκει ℵ | πληρεις A **15** τρεις] pr οι A | παρεμβ.] pr η A | εν τη κ.] pr παρεμβεβληκει A **16** συστεμα] υποστεμα A | Βαιθλεεμ] τη Βηθλεεμ ℵ τη Βεθλ. A **17** Βαιθλεεμ ℵ **18** και διερρηξαν...πυλη om ℵ* (hab ῑ διερρηξαν οι γ' την παρεμβολην| των αλλοφυλων ῑ υδρευσαντο υδωρ| εκ του λακκου του εν Βεθλεεμ ος ην| εν τη πυλη ℵ$^{a\ mg\ sup}$)

Β τῶν ἀλλοφύλων καὶ ὑδρεύσαντο ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν Βαιθλέεμ,
ὃς ἦν ἐν τῇ πύλῃ, καὶ ἔλαβον πρὸς Δαυείδ, καὶ οὐκ ἤθελεν Δαυεὶδ
τοῦ πιεῖν αὐτό· καὶ ἔσπεισεν αὐτὸ τῷ κυρίῳ [19]καὶ εἶπεν Ἱλεώς μοι 19
ὁ θεὸς τοῦ ποιῆσαι τὸ ῥῆμα τοῦτο· εἰ αἷμα ἀνδρῶν τούτων πίομαι
ἐν ψυχαῖς αὐτῶν; ὅτι ἐν ψυχαῖς αὐτῶν ἤνεγκαν· καὶ οὐκ ἐβούλετο
πιεῖν αὐτό. ταῦτα ἐποίησαν οἱ τρεῖς δυνατοί. [20]καὶ Ἀβεισὰ ἀδελφὸς 20
Ἰωάβ, οὗτος ἦν ἄρχων τῶν τριῶν, οὗτος ἐσπάσατο τὴν ῥομφαίαν
αὐτοῦ ἐπὶ τριακοσίους τραυματίας ἐν καιρῷ ἑνί· καὶ οὗτος ἦν ὀνο-
μαστὸς ἐν τοῖς τρισίν, [21]ἀπὸ τῶν τριῶν ὑπὲρ τοὺς δύο ἔνδοξος, καὶ ἦν 21
αὐτοῖς εἰς ἄρχοντα, καὶ ἕως τῶν τριῶν οὐκ ἤρχετο. [22]καὶ Βαναὶα υἱὸς 22
Ἰωδάε υἱὸς ἀνδρὸς δυνατοῦ, πολλὰ ἔργα αὐτοῦ ὑπὲρ Καβασαήλ·
οὗτος ἐπάταξεν τοὺς δύο ἀριὴλ Μωάβ, καὶ οὗτος κατέβη καὶ ἐπάταξεν
τὸν λέοντα ἐν τῷ λάκκῳ ἐν ἡμέρᾳ χιόνος, [23]καὶ οὗτος ἐπάταξεν τὸν 23
ἄνδρα τὸν Αἰγύπτιον, ἄνδρα ὁρατὸν πεντάπηχυν· καὶ ἐν χειρὶ τοῦ
Αἰγυπτίου δόρυ ὡς ἀντίον ὑφαινόντων· καὶ κατέβη ἐπ' αὐτὸν Βαναίας
ἐν ῥάβδῳ καὶ ἀφείλατο ἐκ τῆς χειρὸς τοῦ Αἰγυπτίου τὸ δόρυ, καὶ
ἀπέκτεινεν αὐτὸν ἐν τῷ δόρατι αὐτοῦ. [24]ταῦτα ἐποίησεν Βαναίας 24
υἱὸς Ἰωάδ, καὶ τούτῳ ὄνομα ἐν τοῖς τρισὶν τοῖς δυνατοῖς· [25]ὑπὲρ 25
τοὺς τριάκοντα ἔνδοξος οὗτος, καὶ πρὸς τοὺς τρεῖς οὐκ ἤρχετο, καὶ
κατέστησεν αὐτὸν Δαυεὶδ ἐπὶ τὴν πατριὰν αὐτοῦ. [26]Καὶ δυνα- 26
τοὶ τῶν δυνάμεων· Ἀσαὴλ ἀδελφὸς Ἰωάβ, Ἐλεανὰν υἱὸς Δωδῶε
Βαιθλάεμ, [27]Σαμαὼθ ὁ Ἀδί, Χέλλης ὁ Φελωνεί, [28]Ὠραὶ υἱὸς ἐκ τῆς 27 28
Ὀθεκώ, Ἀβιέζερ ὁ Ἀναθωθεί, [29]Σοβοχαὶ ὁ Ἀθεί, Ἠλεὶ ὁ Ἀχωνεί, 29
[30]Νεερὲ ὁ Νεθωφατεί, Χθάοδ υἱὸς Νοοζὰ ὁ Νετωφατεί, [31]Αἰρεὶ υἱὸς 30 31

ℵA **18** Βεθλεεμ ℵ Βηθλεεμ A | ελαβον] + και ηλθον $B^{a\,mg}$ℵA | ηθελεν] ηθελησεν A **19** τουτων] τουτο ℵ* (τουτων ℵ$^{?}$) | ψυχαις 2°] α sup ras A^{b} | ηνεγκαν] + αυτον A | ηβουλοντο ℵ* (εβουλετο ℵ^{1}) | πιειν] πιν ℵ | αυτο] αυτον A **20** Αβεσσα A | αδελφος] pr ο A | τριων] πατριων A | εσπατο A* ^{vid} (εσπασατο [ασ sup ras] A^{1}) | τριακοσιας ℵ* (τριακοσιους ℵ^{a}) εξακοσιους A | om και 2° A | τοις τρ.] ταις τρ. A **21** αυτοις] αυτος A **22** Βαναια] Καναια B^{b} Βαναιας A | υπερ] hactenus Cod Sin-Petr | Καβασαηλ] Βασαηλ ℵ^{vid} (certe sic inc Cod Frid-Aug) | ουτος 1°] ουτες B^{edit} **23** om ουτος ℵ | αορατον ℵ* (ορ. ℵ^{1}) | χειρι] pr τη A | ως] ωσει ℵ | υφαινοντων pr των ℵ | Βανεας ℵ (item 24) | αφειλετο ℵ **24** Ιωαδ] Ιωδαε ℵA | τουτω] τουτο ℵ | τρισι A **25** ενδοξος] pr ην A (η sup ras $A^{a\,?}$) **26** δυναται] pr οι A | Ιωαβ] Ιωα A | Δωδωαι A | Βαιθλαεμ] Καθλαεμ ℵ pr εκ A **27** Σαμαωθ...Φελωνει] Σαμωθ· Θαδι Χελλης·| ο Φαλλωνι A **28** εκ της Οθεκω] εκ κης Οθε|κωϊ· A | Αναθωθι A **29** Σοβοχαι ο Αθει] Σοβοχε ο Ιαθει ℵ και Σοβ'·|βο|χαι ο Ασωθι· A | Ηλι (sup ras) A^{a} | ο Αχωνει] ο Αναχωνει ℵ* (ο Αχωνει ℵ^{1}) ο Αχωρ (sup ras seq ras) A^{a} **30** Νεερε...Νετωφατει] Νεερε ο Νοτωφαθει Χοαδδ...Νετωφαθει ℵ Μοορα ο Νετω|φαθι (M. ο Νετω sup ras pl litt A^{2})· Ελαδ· υιος Βαανα ο Νετωφαθι· A **31** Αιρει] Αιθει ℵ Ηθου A

32 Ῥεβιὲ ἐκ βουνοῦ Βενιαμείν, Βαναίας ὁ Φαραθωνεί, 32 Οὐρεὶ ἐκ ναχαλεὶ Β
33 Γάας, Ἀβιὴλ ὁ Γαραβαιθθί, 33 Ἀζβὼν ὁ Βεερμείν, Σαμαβὰ ὁ Ὠμεί·
34 34 Βενναίας ὁ Σομολογεννουνείν, Ἰωναθὰν υἱὸς Σωλὰ ὁ Ἀραχεί,
35 35 Ἀχεὶμ υἱὸς Ἀχὰρ ὁ Ἀραρεί, Ἐλφὰτ υἱὸς Σθύρ, 36 Ὀφαρ Μοχόρ, Ἀχειὰ
37 ὁ Φεδωνεί, 37 Ἡσερὲ ὁ Χαρμαδαί, Ναναραὶ υἱὸς Ἀζωβαί, 38 Ἰωὴλ υἱὸς
39 Ναθάν, Μεβαὰλ υἱὸς Ἀγαρεί, 39 Σέλη ὁ Ἀμμωνεί, Ναχὼρ ὁ Βερθεὶ
40 αἴρων σκεύη υἱῷ Σαρονία, 40 Ἰρὰ ὁ Ἠθηρεί, Γαρηοβαί, Ἰοθηρεί·
41 41 Οὐρεὶ ὁ Χεττεί, Ζαβὲτ υἱὸς Ἀχαιά, 42 Ἀδεινὰ υἱὸς Σαιζὰ τοῦ
43 Ῥουβὴν ἄρχων καὶ ἐπ' αὐτῷ τριάκοντα, 43 Ἀνὰν υἱὸς Μοωχὰ καὶ
44 Ἰωσαφὰτ ὁ Βαιθανεί, 44 Ὀζειὰ ὁ Ἀσταρωθεί, Σαμαθὰ καὶ Ἰειά,
45 υἱοὶ Κωθὰν τοῦ Ἀραρεί, 45 Ἐλθειὴλ υἱὸς Σαμερὶ καὶ Ἰωάζαε ὁ ἀδελ-
46 φὸς αὐτοῦ ὁ Ἰεασεί, 46 Λειὴλ ὁ Μιεὶ καὶ Ἰαριβεὶ καὶ Ἰωσειὰ υἱὸς αὐτοῦ,
47 Ἐλλάαμ καὶ Ἐθεμὰ ὁ Μωαβείτης, 47 Δαλειὴλ καὶ Ἰωβὴθ καὶ Ἐσσειὴλ
XII 1 ὁ Μειναβειά. 1 Καὶ οὗτοι οἱ ἐλθόντες πρὸς Δανειὸ εἰς Σωκλά,
ἔτι συνεχομένου ἀπὸ προσώπου Σαοὺλ υἱοῦ Κείς. καὶ οὗτοι ἐν τοῖς
2 δυνατοῖς βοηθοῦντες ἐν πολέμῳ, 2 καὶ τόξῳ ἐκ δεξιῶν καὶ ἐξ ἀριστε-
ρῶν, καὶ σφενδονῆται ἐν λίθοις καὶ τόξοις, ἐν τοῖς ἀδελφοῖς Σαοὺλ
3 ἐκ Βενιαμείν· 3 ὁ ἄρχων Ἀχιέζερ, καὶ Ἰωὰ ὁ υἱὸς Ἀμὰ τοῦ Γεβω-

31 Ρεβιε] Ραβειαι ℵ Ρηβαι A | Φαραθωθει ℵ* (Φαραφωνει ℵ$^{c.a}$) Φαραθωνι A ℵA **32** Ουρι A | ναχαλη A | Γαραβαιθθι] Γαραβεθ ℵ Σαραβεθθει A **33** Αζβων] Αζμωθ A | Βεερμειν B ℵ$^{c.a}$] Βεερβειν ℵ* Βαρσαμι A | Σαμαβα ο Ωμει] Εαμαβα ο Σωμει ℵ Ελιαβα ο Σαλαβωνι A **34** Βενναιας ο Σομολογ.] Βενεας ο Σομογεννουνιν ℵ υιοι Ασαμ'· ο Γωυνι A | Σωλα ο Αραχει B^{*b}] Σ. ο Αραρει B^{ab} ℵ Σαγη ο Αραρι A **35** Αχιαμ υ. Σαχαρ ο Αραρι A | Ελφατ] Ελιφαλ A **35—36** Σθυρ Οφαρ Μοχορ] Σουρ· Οφ. Μ. ℵ Ωρα· Φερομεχου|ραθι A **36** Αχια ℵA | Φελλωνι A **37** Ησεραι ℵ Ασαραι A | Χαρμαδαι] Καρμηλι A | Νααραι] Νοορα A | Αζωβε ℵ Αζβι A **38** υιος 1ο] αδελφος A | Μεβααλ] Μαβαρ A | Αγαρει] Αταραι A **39** Σελη] Σελ|λης' A | Αμμωνειμ ℵ Αμμωνι A | Ναχωρ ο Βερθει] Νααραι ο Βηρωθ A | αιρων σκευη] διδω|νικευη (sic) ℵ | υιω Σαρουια] Ιωαβ' υιου Σαρουιας A **40** Ιρα ο Ηθηρει] Ια ο Ιθηρει ℵ Ιρας ο Ιεθερι A | Γαρηοβε ℵ Γαρηβ' A | Ιοθηρει] Ιεθερι A **41** Ουρει ο Χεττει] Ουριας Χετθι A | Ζαβατ A | υιος] υιω ος ℵ | Αχαια] Αχεα ℵ Ολι A **42** Αδινα A | Σαιζα] Σεζα ℵ Σεχα A **43** Ανναν ℵ | Μοωχα] Μαχα A | Ιωσαφας ℵ* (Ιωσαφατ ℵ$^{c.a}$) | Βαιθανει] Βεθανει ℵ Μαθθανι A **44** Οζια A | ο Ασταρωθει] Θεσταρωθει ℵ ο Ασταρωθι A | Σαμαθα] Σαμμα A | Ιεια] Εια ℵ Ιειηλ A | Κωθαν του Αραρει (Αρα| B^{b})] Χωθα| τ. Αραρι A **45** Ελθειηλ] Ιεδιηλ A | Σαμαρι A | Ιεασει] Θωσαει A **46** Λιηλ ℵ Ιελιηλ A | ο Μιει] ο Μαωεν A | Αριβι ℵ Ιαριβαι A | Ιωσια A | Ελλαμ ℵ^{vid} Ελναααμ A | και 3ο] κα ℵ | Εθεμα] Ιεθεμα A | post ο 2ο appar ras α vel δ in B | Μωαβιτης A **47** Αλιηλ A | Ιωβηδ A | Ε|σειηλ ℵ Εσσιηλ A | Μειναβεια] Μεσωβια A XII **1** Σωκλα] Σικελαγ A **2** τοξω] pr εν ℵ | εν τοις αδελφοις] εκ των αδελφων ℵA | εκ B ℵ$^{c.a}$A] και ℵ* **3** ο αρχων] om ο A | Ιωα ο] Ιωας ℵ Ιωρας A | Αμα] Σαμαα A | Γεβωθειτου] Ταβαθιτου A

Β θείτου, καὶ Ἰωὴλ καὶ Ἰωφάλητ υἱοὶ Ἀσμώθ, καὶ Βερχειά, καὶ Ἰηοὺλ
ὁ Ἀναθωθεί, [4]καὶ Σαμαίας ὁ Γαβαωνείτης δυνατὸς ἐν τοῖς τριάκοντα 4
καὶ ἐπὶ τῶν τριάκοντα, Ἱερμίας καὶ Ἰεζὴλ καὶ Ἰωανὰν καὶ Ἰωαζαβὰδ
ὁ Γαδαραθειείμ, [5]Ἀζαὶ καὶ Ἀρειμοὺθ καὶ Βαδαιὰ καὶ Σαμαραιὰ καὶ 5
Σαφατιὰ ὁ Χαραιφεί, [6]Ἠλκανὰ καὶ Ἰησουνεὶ καὶ Ὀζρειὴλ καὶ Ἰωζάρα, 6
Καινὰ καὶ Σοβοκὰμ καὶ οἱ Κορεῖται, [7]καὶ Ἐλιὰ καὶ Ζαβτιδιὰ υἱοὶ Ῥαὰμ 7
καὶ οἱ τοῦ Γεδώρ. [8]καὶ ἀπὸ τοῦ Γεδδεὶ ἐχωρίσθησαν πρὸς Δανεὶδ 8
ἀπὸ τῆς ἐρήμου ἰσχυροὶ δυνατοὶ ἄνδρες παρατάξεως πολέμου, αἴ-
ροντες θυρεοὺς καὶ δόρατα, καὶ πρόσωπον λέοντος πρόσωπα αὐτῶν,
καὶ κοῦφοι ὡς δορκάδες ἐπὶ τῶν ὀρέων τῷ τάχει· [9]Ἄζα ὁ ἄρχων, 9
Ἀβδειὰ ὁ δεύτερος, Ἐλιὰβ ὁ τρίτος, [10]Μασεμμανὴ ὁ τέταρτος, Ἱερε- 10
μειὰ ὁ πέμπτος, [11]Ἐθοὶ ὁ ἕκτος, Ἐλιὰβ ὁ ἕβδομος, [12]Ἰωὰν ὁ ὄγδοος, 11 12
Ἐλιαζὲρ ὁ ἔνατος, [13]Ἱερεμειὰ ὁ δέκατος, Μελχαβανναὶ ὁ ἑνδέκατος. 13
[14]οὗτοι ἐκ τῶν υἱῶν Γὰδ ἄρχοντες τῆς στρατιᾶς, εἷς τοῖς ἑκατὸν 14
μικρὸς καὶ μέγας τοῖς χιλίοις. [15]οὗτοι οἱ διαβάντες τὸν Ἰορδάνην 15
ἐν τῷ μηνὶ τῷ πρώτῳ, καὶ οὗτος πεπληρωκὼς ἐπὶ πᾶσαν κρηπῖδα
αὐτοῦ, καὶ ἐξεδίωξαν πάντας τοὺς κατοικοῦντας αὐλῶνας ἀπὸ ἀνα-
τολῶν ἕως δυσμῶν. [16]καὶ ἦλθον ἀπὸ τῶν υἱῶν Βενιαμὶν καὶ Ἰούδα 16
εἰς βοήθειαν τοῦ Δανείδ. [17]καὶ Δανεὶδ ἐξῆλθεν εἰς ἀπάντησιν αὐ- 17
τῶν καὶ εἶπεν αὐτοῖς Εἰ εἰς εἰρήνην ἥκατε πρός μέ, εἴη μοι καρδία
καθ' ἑαυτὴν ἐφ' ὑμᾶς· καὶ εἰ τοῦ παραδοῦναί με τοῖς ἐχθροῖς μου
οὐκ ἐν ἀληθείᾳ χειρός, ἴδοι ὁ θεὸς τῶν πατέρων ὑμῶν καὶ ἐλέγξαιτο.

ℵA **3** Ιωηλ] Αζιηλ A | Ιωφαλητ] Φαλλητ A | Αζμωθ A | Βερχεια] Βαραχια A | Αναβωθει ℵ Αναθωθι A **4** Σαμεας ℵ | Αγαβωνιτης ℵ* Γαβαωνιτης ℵ$^{c.a}$A +και Βερχεια και Ι|ηουλ ο Αναθωθει| και Σαμεας ο Γα|βαωνιτης ℵ | Ιερμιας] Ιερμειας B^{a} Ιερεμιηας ℵ* (Ιερεμιας ℵ^{1}) και Ιερεμιας A | Ιεζιηλ A | Ιωζαβαδ A | Γαδαραθειειμ] Γαδαρα ℵ Γαδηρωθι A **5** Αζα] Ελιωζι· A | Αρειμουθ] Αριθμους ℵ Ιαριμουθ (I sup ras) A | Βαδαια] Βααδια A | Σαμαρια ℵA | Σαφατεια ℵ | Χαραιφει] Αρουφι A **6** Ιησουνει] Ιεσια A | Οζρειηλ] Ελιηλ A | Ιωζαρα] Ιωζααρ A | om Καινα A | Σοβοκαμ] Σοβ|αμ ℵ Ιεσβααμ A | Κοριται ℵA **7** Ελια ℵ Ιωηλα A | Ζαβδια ℵA | Ρααμ (Ra non inst spiritum tamen adpinx B^{b})] Ιεροαμ A | και οι] υιοι ℵA | Γεδδωρ ℵ **8** Γαδδει ℵ Γαδ'· A | εχωρισθησαν] διεχωρ. A | απο 2°] επι A | ανδρες δυνατοι ℵ | δορκαδος A | τω ταχει] εν τ. A **9** Αζα] Αζερ A | Αβδια A | Ελειαβ ℵ **10** Μασεμανηη ℵ Μασμα·| A | τεταρτος] δ' A | Ιερμια ℵ Ιερεμια A **11** Εθοι] Εθθει A | Ελιαβ] Ελιηλ A **12** Ιωαν] Ιωναν A | ο ογδοος] ογδους ℵ | Ελιαζερ] Ελεζαβαδ A **13** Ιερεμεια] Ιερμια ℵ Ιερεμιας A | Μελχαβαννεα ℵ Μαχαβαναι A | ενδεκατος] ια' ℵ **14** om Γαδ ℵ | στρατειας B$^{ab\,(vid)}$ **15** οι τοι B*^{vid} (ουτ. B^{ab}) | εξεδιωξαν] εδιωξαν ℵ | om απο ℵ | ες B* (εως B^{ab}) **16** βοηθειαν ℵ **17** αυτων] αυτοις A | αυτοις] αυτοι B* (s superscr B^{ab}) | ειη μοι] ει εμοι A | om ει του παραδουναι με ℵ | υμων] ημων ℵA | ελεγξαιτο] ελεγξετο ℵ ελεγξαι· A

18 [18]καὶ πνεῦμα ἐνέδυσε τὸν Ἀμασαὶ ἄρχοντα τῶν τριάκοντα, καὶ Β
εἶπεν
Πορεύου καὶ ὁ λαός σου,
Δαυεὶδ υἱὸς Ἰεσσαί·
εἰρήνη εἰρήνη σοι,
καὶ εἰρήνη τοῖς βοηθοῖς σου·
ὅτι ἐβοήθησέν σοι ὁ θεός σου.
καὶ προσεδέξατο αὐτοὺς Δαυείδ, καὶ κατέστησεν αὐτοὺς ἄρχοντας
19 τῶν δυνάμεων. [19]καὶ ἀπὸ Μανασσὴ προσεχώρησαν πρὸς Δαυεὶδ
ἐν τῷ ἐλθεῖν τοὺς ἀλλοφύλους ἐπὶ Σαοὺλ εἰς πόλεμον· καὶ οὐκ ἐβοή-
θησαν αὐτοῖς, ὅτι ἐν βουλῇ ἐγένετο παρὰ τῶν στρατηγῶν τῶν
ἀλλοφύλων λεγόντων Ἐν ταῖς κεφαλαῖς τῶν ἀνδρῶν ἐκείνων
20 ἐπιστρέψει πρὸς τὸν κύριον αὐτοῦ Σαούλ. [20]ἐν τῷ πορευθῆναι
αὐτὸν εἰς Σωγλὰμ προσεχώρησαν αὐτῷ ἀπὸ Μανασσὴ Ἐδνὰ καὶ
Τωζαβὰθ καὶ Ῥωδιὴλ καὶ Μειχαὴλ καὶ Ἰωσαβαὶθ καὶ Ἐλιμοὺθ
21 καὶ Σεμαθεί· ἀρχηγοὶ χιλιάδων εἰσὶν τοῦ Μανασσή. [21]καὶ αὐτοὶ
συνεμάχησαν τῷ Δαυεὶδ ἐπὶ τὸν γεδδούρ, ὅτι δυνατοὶ ἰσχύος πάντες·
22 καὶ ἦσαν ἡγούμενοι ἐν τῇ στρατείᾳ ἐν τῇ δυνάμει, [22]ὅτι ἡμέραν
ἐξ ἡμέρας ἤρχοντο πρὸς Δαυεὶδ εἰς δύναμιν μεγάλην ὡς δύναμις
23 θεοῦ. [23]Καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀρχόντων τῆς στρα-
τείας, οἱ ἐλθόντες πρὸς Δαυεὶδ εἰς Χεβρὼν τοῦ ἀποστρέψαι τὴν
24 βασιλείαν Σαοὺλ πρὸς αὐτὸν κατὰ τὸν λόγον Κυρίου. [24]υἱοὶ Ἰούδα
θυρεωφόροι καὶ δορατοφόροι ἓξ χιλιάδες καὶ ὀκτακόσιοι δυνατοὶ παρα-
25 τάξεως. [25]τῶν υἱῶν Συμεὼν δυνατοὶ ἰσχύος εἰς παράταξιν ἑπτὰ
26 χιλιάδες καὶ ἑκατόν. [26]τῶν υἱῶν Λευεὶ τετρακισχίλιοι ἑξακόσιοι·
27 [27]καὶ Ιωαδὰς ὁ ἡγούμενος τῷ Ἀαρών, καὶ μετ' αὐτοῦ τρεῖς χιλιάδες
28 καὶ ἑπτακόσιοι· [28]καὶ Σαδὼκ νέος δυνατὸς ἰσχύι, καὶ τῆς πατρικῆς
29 οἰκίας αὐτοῦ ἄρχοντες εἴκοσι δύο. [29]καὶ τῶν υἱῶν Βενιαμεὶν τῶν
ἀδελφῶν Σαοὺλ τρεῖς χιλιάδες· καὶ ἔτι τὸ πλεῖστον αὐτῶν ἀπεσκόπει

18 ενεδυσε B[ab]] ενεδυσαι B* ενεδυσεν ℵ ενεδυναμωσεν A | Αμασε ℵ | ℵA αρχοντα] pr τον A | πορευου Δα̃δ υιος Ιεσσαι| και ο λαος σου· A | ο λαος] om ο ℵ | om και 4° A | om σου 3° ℵ | προσεταξατο ℵ* (προσεδεξατο ℵ[c.a]) **19** εβοηθησεν A **20** Σωγλαμ] Σωκαγ ℵ Σικελαγ A | Τωζαβαθ] Ιωζαβαδ A | Ρωδιηλ] Ιεδιηλ A | Μιχαηλ B[b]ℵA | Ιωσαβαιθ] Ιωσαβεθ ℵ Ιωζαβεδ A | Ελιμουθ] Ελιουδ A | Σεμαθει] Γαλαθι A **21** αυτοι] ουτοι A | συνεμαχησαν] pr ει ℵ | εν 1°] επι A | στρατια ℵA | om εν τη δυναμει A **23** στρατιας ℵA | επιστρεψαι A **24** υιου ℵ | θυρεοφοροι B[ab]ℵA | om και δορατοφοροι A | παραταξεως] πραξεως ℵ **26** των] και A | Λευι A | τετρακισχιλιοι BA (ι 1° sup ras A[a])] τετρακιχιλιαι (sic) ℵ | εξακοσιοι] εξακοσιαι ℵ pr και A **27** Τωαδας] Τωαδαε ℵ Ιωαδαε A | ο ηγ.] om ο ℵ | τω A.] των A. A | χιλιαδες] χιλιοι ℵ | om και 3° ℵ **28** ισχυει ℵ | δυο] pr και A **29** των υιων] pr εκ A

Β τὴν φυλακὴν οἴκου Σαούλ. 30 καὶ ἀπὸ υἱῶν Ἐφράιμ εἴκοσι χιλιάδες 30
καὶ ὀκτακόσιοι, δυνατοὶ ἰσχύι, ἄνδρες ὀνομαστοὶ κατ᾽ οἴκους πατριῶν
αὐτῶν. 31 καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσὴ δέκα ὀκτὼ χιλιάδες, 31
καὶ οἱ ὠνομάσθησαν ἐν ὀνόματι τοῦ βασιλεῦσαι τὸν Δανείδ. 32 καὶ 32
ἀπὸ τῶν υἱῶν Ἰσσαχὰρ γινώσκοντες σύνεσιν εἰς τοὺς καιρούς, γινώ-
σκοντες τί ποιήσαι Ἰσραήλ, διακόσιοι, καὶ πάντες ἀδελφοὶ αὐτῶν
μετ᾽ αὐτῶν. 33 καὶ ἀπὸ Ζαβουλὼν ἐκπορευόμενοι εἰς παράταξιν πολέ- 33
μου ἐν πᾶσιν σκεύεσιν πολεμικοῖς πεντήκοντα χιλιάδες, βοηθῆσαι τῷ
Δανεὶδ οὐ χεροκένως. 34 καὶ ἀπὸ Νεφθαλεὶ ἄρχοντες χίλιοι, καὶ 34
μετ᾽ αὐτῶν ἐν θυρεοῖς καὶ δόρασιν τριάκοντα ἑπτὰ χιλιάδες. 35 καὶ 35
ἀπὸ τῶν Δανειτῶν παρατασσόμενοι εἰς πόλεμον εἴκοσι ὀκτὼ χιλιάδες
καὶ ὀκτακόσιοι. 36 καὶ ἀπὸ τοῦ Ἀσὴρ ἐκπορευόμενοι βοηθῆσαι εἰς 36
πόλεμον τεσσεράκοντα χιλιάδες. 37 καὶ ἐκ πέραν τοῦ Ἰορδάνου ἀπὸ 37
Ῥουβὴν καὶ Γαδδεὶ καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσὴ ἐν πᾶσιν
σκεύεσιν πολεμικοῖς ἑκατὸν εἴκοσι χιλιάδες. 38 πάντες οὗτοι ἄνδρες 38
πολεμισταὶ παρατασσόμενοι παράταξιν ἐν ψυχῇ εἰρηνικῇ, καὶ ἦλθον
εἰς Χεβρὼν τοῦ βασιλεῦσαι τὸν Δανεὶδ ἐπὶ πάντα Ἰσραήλ· καὶ ὁ
κατάλοιπος Ἰσραὴλ ψυχὴ μία τοῦ βασιλεῦσαι τὸν Δανείδ. 39 καὶ 39
ἦσαν ἐκεῖ ἡμέρας τρεῖς ἐσθίοντες καὶ πίνοντες, ὅτι ἡτοίμασαν οἱ ἀδελ-
φοὶ αὐτῶν. 40 καὶ οἱ ὁμοροῦντες αὐτοῖς ἕως Ἰσσαχὰρ καὶ Ζαβουλὼν 40
καὶ Νεφθαλεὶ ἔφερον αὐτοῖς ἐπὶ τῶν καμήλων καὶ τῶν ὄνων καὶ
τῶν ἡμιόνων καὶ ἐπὶ τῶν μόσχων βρώματα, ἄλευρα, παλάθας, στα-
φίδας, οἶνον καὶ ἔλαιον, μόσχους καὶ πρόβατα εἰς πλῆθος, ὅτι εὐφρο-
σύνη ἐν Ἰσραήλ.

XIII 1 Καὶ ἐβουλεύσατο Δανεὶδ μετὰ τῶν χιλιάρχων καὶ τῶν ἑκατον- 1
τάρχων παντὶ ἡγουμένῳ· 2 καὶ εἶπεν Δανεὶδ πάσῃ ἐκκλησίᾳ Ἰσραήλ 2
Εἰ ἐφ᾽ ὑμῖν ἀγαθὸν καὶ παρὰ Κυρίου θεοῦ ἡμῶν εὐωδώθη, ἀποστεί-
λωμεν πρὸς τοὺς ἀδελφοὺς ὑμῶν τοὺς ὑπολελειμμένους ἐν πάσῃ γῇ

ℵA **29** φυλακην] φυλην A **30** om και 1° ℵ | κατ οικους] κατοικουντες ℵ | αυτων] + ι B* (improb B^{a1}) **31** φυλους ℵ | χιλιαδες] + χιλιοι ℵ | om και 2° A **32** Εισσαχαρ A | τι] οτι A | ποιησει ℵ | Ισραηλ] + εις τας αρχας| αυτων A | om αυτων 1° ℵ **33** και] οι ℵ | χεροκενως A] χορεκαινως B* (χεροκαινως B^{ab}) χαιροκαινως ℵ **34** Νεφθαλειμ A **35** Δανιτων ℵA | οκτω] pr και A **36** τεσσαρακ. B^{b} | χιλιαδας A **37** Γαδδειν ℵ Γαδδι A | φυλους ℵ* (φυλης ℵ$^{c.a}$) | σκευεσιν πολεμικοις εκατον sup ras A^{a} **38** οι καταλοιποι ℵ* (οι καταλοιπος ℵ$^{c.a}$) | om του βασιλευσαι τον Δαδ (2°) A **39** om και πινοντες ℵ | ητοιμασαν] + αυτοις A^{a2mg} **40** ομοροουντες ℵ ομυρουντες A | Νεφθαλειμ ℵ | om των ημιονων και επι A* (hab sup ras et in mg A^{a}] XIII **2** παση 1°] pr τη A | ημων] υμων A | ευοδωθη ℵA | υμων] ημων ℵA | υπολελιμμ. ℵA

Ἰσραήλ, καὶ μετ᾽ αὐτῶν οἱ ἱερεῖς οἱ Λευεῖται ἐν πόλεσιν κατασχέ- B
3 σεως αὐτῶν, καὶ συναχθήσονται πρὸς ἡμᾶς, 3καὶ μετενέγκωμεν τὴν
κιβωτὸν τοῦ θεοῦ ἡμῶν πρὸς ἡμᾶς· ὅτι οὐκ ἐζήτησαν αὐτὴν ἀφ᾽ ἡμε-
4 ρῶν Σαούλ. 4καὶ εἶπεν πᾶσα ἡ ἐκκλησία τοῦ ποιῆσαι οὕτως, ὅτι
5 εὐθὴς ὁ λόγος ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ. 5καὶ ἐκκλησίασεν
Δαυὶδ τὸν πάντα Ἰσραὴλ ἀπὸ ὁρίων Αἰγύπτου καὶ ἕως εἰσόδου
6 Ἡμὰθ τοῦ εἰσενέγκαι τὴν κιβωτὸν τοῦ θεοῦ ἐκ πόλεως Ἰαρείμ. 6καὶ
ἀνήγαγεν αὐτὴν Δαυείδ· καὶ πᾶς Ἰσραὴλ ἀνέβη εἰς πόλιν Δαυείδ,
ἣ ἦν τοῦ Ἰούδα, τοῦ ἀναγαγεῖν ἐκεῖθεν τὴν κιβωτὸν τοῦ θεοῦ Κυρίου
7 καθημένου ἐπὶ χερουβὶν οὗ ἐπεκλήθη ὄνομα αὐτοῦ. 7καὶ ἐπέθηκαν
τὴν κιβωτὸν τοῦ θεοῦ ἐπὶ ἅμαξαν καινὴν ἐξ οἴκου Ἀμιναδάβ· καὶ
8 Ὀζὰ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἦγον τὴν ἅμαξαν. 8καὶ Δαυὶδ καὶ πᾶς
Ἰσραὴλ παίζοντες ἐναντίον τοῦ θεοῦ ἐν πάσῃ δυνάμει, καὶ ἐν ψαλ-
τῳδοῖς καὶ ἐν κινύραις καὶ ἐν νάβλαις, ἐν τυμπάνοις καὶ ἐν κυμβά-
9 λοις καὶ ἐν σάλπιγξιν. 9καὶ ἦλθοσαν ἕως τῆς ἅλωνος· καὶ ἐξέτεινεν
Ὀζὰ τὴν χεῖρα αὐτοῦ τοῦ κατασχεῖν τὴν κιβωτόν, καὶ ἐξέκλινεν
10 αὐτὴν ὁ μόσχος. 10καὶ ἐθυμώθη Κύριος ἐπὶ Ὀζά, καὶ ἐπάταξεν αὐ-
τὸν ἐκεῖ διὰ τὸ ἐκτεῖναι τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κιβωτόν· καὶ ἀπέ-
11 θανεν ἐκεῖ ἀπέναντι τοῦ θεοῦ. 11καὶ ἠθύμησεν Δαυὶδ ὅτι διέκοψεν
Κύριος διακοπὴν ἐν Ὀζά, καὶ ἐκάλεσεν τὸν τόπον ἐκεῖνον Διακοπὴ
12 Ὀζὰ ἕως τῆς ἡμέρας ταύτης. 12καὶ ἐφοβήθη Δαυὶδ τὸν θεὸν ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ λέγων Πῶς εἰσοίσω τὴν κιβωτὸν τοῦ θεοῦ πρὸς ἐμαυ-
13 τόν; 13καὶ οὐκ ἀπέστρεψεν Δαυὶδ τὴν κιβωτὸν πρὸς ἑαυτὸν εἰς
πόλιν Δαυείδ, καὶ ἐξέκλινεν αὐτὴν εἰς οἶκον Ἀβεδδαρὰ τοῦ Γεθθαίου.
14 14καὶ ἐκάθισεν ἡ κιβωτὸς τοῦ θεοῦ ἐν οἴκῳ Ἀβεδδαρὰ τρεῖς μῆνας·
καὶ εὐλόγησεν ὁ θεὸς Ἀβεδδαρὰμ καὶ πάντα τὰ αὐτοῦ.

XIV 1 1Καὶ ἀπέστειλεν Χειρὰμ βασιλεὺς Τύρου ἀγγέλους πρὸς Δαυὶδ
καὶ ξύλα κέδρινα καὶ οἰκοδόμους καὶ τέκτονας ξύλων τοῦ οἰκοδο-
2 μῆσαι αὐτῷ οἶκον. 2καὶ ἔγνω Δαυὶδ ὅτι ἡτοίμασεν αὐτὸν Κύριος
ἐπὶ Ἰσραήλ, ὅτι ηὐξήθη εἰς ὕψος ἡ βασιλεία αὐτοῦ διὰ τὸν λαὸν
3 αὐτοῦ Ἰσραήλ. 3Καὶ ἔλαβεν Δαυὶδ ἔτι γυναῖκας ἐν Ἰερουσαλήμ·

2 Λευιται ℵA | πολεσι A | ημας] υμας ℵ **3** εξεζητησαν $A^{a?}$ **5** εξεκ- ℵA
κλησιασεν A | om εισοδου A **6** χερουβιν ℵ **7** Αμιναδαβ ℵA | ημαξαν (2°)
A **8** om και 1° ℵ | εναντι ℵ | om εν 3° ℵ | εν 5°] pr και A **9** αλωνος]
+ Χειλῶ· | A | om την χειρα αυτου ℵ | και 3°] οτι B^{ab} (superscr ℵA) **10** εθυ-
μωθη]+οργη ℵ | Κυριος]+οργη A **11** pl retractavit usque ad XVI **21** A^{b}
12 προς εμαυτον την κιβωτον του θῦ A **13** om την κιβωτον ℵ | προς
εαυτον] pr το ℵ | πολιν] pr την A | Γεθθαιου] Χετταιου A **14** μηνας]
ημερας A | Αβεδδαραμ] Αβεδδαραν ℵ τον Αβεδδαρα A XIV **1** Χιραμ ℵ |
om και 3° ℵ* (superscr $ℵ^{c.a}$) | οικοδομους]+τοιχων A **2** ητοιμακεν ℵ

Β καὶ ἐτέχθησαν Δαυεὶδ ἔτι υἱοὶ καὶ θυγατέρες. 4 καὶ ταῦτα τὰ ὀνό- 4
ματα αὐτῶν τῶν τεχθέντων οἳ ἦσαν αὐτῷ ἐν Ἰερουσαλήμ· Σαμάα, 5
Ἰσοβοάμ, Ναθάν, Σαλωμὼν 5 καὶ Βααρ καὶ Ἐκτᾶε καὶ Ἐλειφάλεθ 6 7
6 καὶ Νάγεθ καὶ Νάφαθ καὶ Ἰανουνὺ 7 καὶ Ἐλεισαμάε καὶ Βαλεγδᾶε
καὶ Ἐμφάλετ. 8 Καὶ ἤκουσαν ἀλλόφυλοι ὅτι ἐχρίσθη Δαυεὶδ 8
βασιλεὺς ἐπὶ πάντα Ἰσραήλ, καὶ ἀνέβησαν πάντες οἱ ἀλλόφυλοι
ζητῆσαι τὸν Δαυείδ· καὶ ἤκουσεν Δαυείδ, καὶ ἐξῆλθεν εἰς ἀπάντησιν
αὐτοῖς. 9 καὶ ἀλλόφυλοι ἦλθον καὶ συνέπεσον ἐν τῇ κοιλάδι τῶν 9
γιγάντων. 10 καὶ ἠρώτησεν Δαυεὶδ διὰ τοῦ θεοῦ λέγων Εἰ ἀναβῶ 10
ἐπὶ τοὺς ἀλλοφύλους καὶ δώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου; καὶ
εἶπεν αὐτῷ Κύριος Ἀνάβηθι, καὶ δώσω αὐτοὺς εἰς τὰς χεῖράς σου.
11 καὶ ἀνέβη εἰς Φααλφαθισείμ, καὶ ἐπάταξεν αὐτοὺς ἐκεῖ Δαυείδ· 11
καὶ εἶπεν Δαυείδ Διέκοψεν τοὺς ἐχθρούς μου ἐν χειρί μου ὡς
διακοπὴ ὕδατος· διὰ τοῦτο ἐκάλεσεν τὸ ὄνομα τοῦ τόπου ἐκείνου
Διακοπὴ Φαρισίν. 12 καὶ ἐνκατέλιπον τοὺς θεοὺς αὐτῶν, καὶ εἶπεν 12
Δαυεὶδ κατακαῦσαι ἐν πυρί. 13 καὶ προσέθεντο ἔτι ἀλλόφυλοι καὶ 13
συνέπεσαν ἔτι ἐν τῇ κοιλάδι τῶν γιγάντων. 14 καὶ ἠρώτησεν Δαυεὶδ 14
ἔτι ἐν θεῷ, καὶ εἶπεν αὐτῷ ὁ θεός Οὐ πορεύσῃ ὀπίσω αὐτῶν· ἀπο-
στρέφου ἀπ' αὐτῶν, καὶ παρέσῃ αὐτοῖς πλησίον τῶν ἀπίων. 15 καὶ 15
ἔσται ἐν τῷ ἀκοῦσαί σε τὴν φωνὴν τοῦ συνσεισμοῦ αὐτῶν ἄκρων
τῶν ἀπίων, τότε ἐξελεύσῃ εἰς τὸν πόλεμον, ὅτι ἐξῆλθεν ὁ θεὸς
ἔμπροσθέν σου τοῦ πατάξαι τὴν παρεμβολὴν τῶν ἀλλοφύλων. 16 καὶ 16
ἐποίησεν καθὼς ἐνετείλατο αὐτῷ ὁ θεός, καὶ ἐπάταξεν τὴν παρεμ-
βολὴν τῶν ἀλλοφύλων ἀπὸ Γαβαὼν ἕως Γάζαρα. 17 καὶ ἐγένετο 17

ℵA **3** ετεθησαν ℵ* (ετεχθ. ℵc.a) | Δαυειδ 2°] αυτω A **4** om οι ℵ* (hab ℵc.a mg) | Σαμαια ℵ Σαμμαου A | Ισοβοαμ] και Σωβαβ A | Σαλωμων] pr και A **5** Βααρ] Ιεβααρ A | Εκταε] Ελισαυ A | Ελειφαλετ ℵ Ελιφαλετ A **6** Ναγετ ℵ | Ναφατ ℵ Ναφαγ A | Ιανουνυ] Ιαφιε A **7** Ελισαμα A | Βαλεγδαε] Βαλλιαδα A | Εμφαλετ] Ενφαλετ ℵ Ελιφαλετ A **8** ηκουσεν Δ. και εξηλθεν] εξηλθεν Δαδ ως ηκουσεν A | υπαντησιν A **9** συνεπεσαν ℵA | om εν ℵ | γιγαντων] των sup ras Aa **10** και (1°)...χειρας σου sup ras Aa | ηρωτησεν] επηρωτησεν Aa | ει αναβω] η αναβητω ℵ | om Κυριος A **11** Φααλφαθισειμ] Φαλααδ'φαθεισει ℵ Βααλ'φαρασειν A | διεκοψεν] διακοψον ℵ + θς A | διακοπη] διακοπῃ ℵ | Φαρισιν] Φαριειν ℵ Φαρασειν A **12** εγκατελιπον Bb εγκατελειπεν A + εκει A | κατακαυσαι] + αυτους A **13** προσεθετο ℵ | αλλοφυλοις ℵ | ετι 2°] εκει A **14** Δαυειδ] + και ειπεν ℵ* (om ℵc.a) | ετι] οτι A | και ειπεν αυτω] αυτω· και ειπεν ℵ* και αυτω ειπεν ℵc.a | πορευθη ℵ | αιτιων B* (απιων BcA) **15** συσσεισμου Bab | αυτων ακρων] των ακρων ℵ του ακρου A | αιτιων B* (απιων Bc) | σου] μου ℵ **16** αυτω] μοι ℵ | απο] π superscr B? | Γαβω̃] ℵ | Γαζαρα (α 2° superscr B?)] Γαζαραν ℵ Γαζηρα A

ὄνομα Δανειὸ ἐν πάσῃ τῇ γῇ, καὶ Κύριος ἔδωκεν τὸν φόβον αὐτοῦ B
ἐπὶ πάντα τὰ ἔθνη.

XV 1 [1]Καὶ ἐποίησεν αὐτῷ οἰκίας ἐν πόλει Δανείδ, καὶ ἡτοίμασεν τὸν
2 τόπον τῇ κιβωτῷ τοῦ θεοῦ καὶ ἐποίησεν αὐτῇ σκηνήν. [2]τότε εἶπεν
Δανείδ Οὐκ ἔστιν ἆραι τὴν κιβωτὸν τοῦ θεοῦ ἀλλ' ἢ τοὺς Λευείτας,
3 ὅτι αὐτοὺς ἐξελέξατο Κύριος καὶ λειτουργεῖν αὐτῷ ἕως αἰῶνος. [3]καὶ
ἐξεκκλησίασεν Δανειὸ τὸν πάντα Ἰσραὴλ εἰς Ἰερουσαλὴμ τοῦ ἀνε-
4 νέγκαι τὴν κιβωτὸν Κυρίου εἰς τὸν τόπον ὃν ἡτοίμασεν αὐτῇ. [4]καὶ
5 συνήγαγεν Δανειὸ τοὺς υἱοὺς Ἀαρὼν τοὺς Λευείτας. [5]τῶν υἱῶν Καάθ,
6 Οὐριὴλ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἑκατὸν δέκα· [6]τῶν υἱῶν
Μερραρεί, Ἀσαὶ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ διακόσιοι πεντή-
7 κοντα· [7]τῶν υἱῶν Γηρσάμ, Ἰωὴλ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ
8 ἑκατὸν πεντήκοντα· [8]τῶν υἱῶν Ἐλεισαφάτ, Σαμαίας ὁ ἄρχων καὶ οἱ
9 ἀδελφοὶ αὐτοῦ διακόσιοι· [9]τῶν υἱῶν Χεβρών, Ἐνὴρ ὁ ἄρχων καὶ οἱ
10 ἀδελφοὶ αὐτῶν ὀγδοήκοντα· [10]τῶν υἱῶν Ὀζιήλ, Ἀμιναδὰβ ὁ ἄρχων
11 καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἑκατὸν δέκα δύο. [11]Καὶ ἐκάλεσεν Δανειὸ
τὸν Σαδὼκ καὶ Ἀβιαθὰρ τοὺς ἱερεῖς καὶ τοὺς Λευείτας, τὸν Ἀριήλ,
12 Ἀσαιά, Ἰωήλ, Σαμαίαν, Ἐνήλ, Ἀμιναδάβ, [12]καὶ εἶπεν αὐτοῖς Ὑμεῖς
ἄρχοντες πατριῶν τῶν Λευειτῶν· ἁγνίσθητε ὑμεῖς καὶ οἱ ἀδελφοὶ
ὑμῶν, καὶ ἀνοίσετε τὴν κιβωτὸν τοῦ θεοῦ Ἰσραὴλ οὗ ἡτοίμασα αὐτῇ.
13 [13]ὅτι οὐκ ἐν τῷ πρότερον ὑμᾶς εἶναι διέκοψεν ὁ θεὸς ἡμῶν ἐν ἡμῖν,
14 ὅτι οὐκ ἐζητήσαμεν ἐν κρίματι. [14]καὶ ἡγνίσθησαν οἱ ἱερεῖς καὶ οἱ
15 Λευεῖται τοῦ ἀνενέγκαι τὴν κιβωτὸν θεοῦ Ἰσραήλ. [15]καὶ ἔλαβον οἱ
υἱοὶ τῶν Λευειτῶν τὴν κιβωτὸν τοῦ θεοῦ, ὡς ἐνετείλατο Μωυσῆς ἐν
16 λόγῳ θεοῦ κατὰ τὴν γραφήν, ἐν ἀναφορεῦσιν ἐπ' αὐτούς· [16]καὶ
εἶπεν Δανειὸ τοῖς ἄρχουσιν τῶν Λευειτῶν Στήσατε τοὺς ἀδελφοὺς

17 *ονομα*] pr *το* A XV **1** *τη κιβωτω* B𝔑$^{c.a}$] *την κιβωτον* 𝔑* *της κιβωτου* A 𝔑A **2** *αλλ η*] *αλλα* 𝔑 | *Λευιτας* 𝔑A | *αυτος* A* (*αυτους* A^{1}) | *και*] pr *αιρετ*| *την κιβωτον κυ* A **3** *εξεκκλησιασεν* (*εξεκλ.* B)] *συνηγαγε*| A **3—7** *Δαδ τον παντα Ιηλ...Ιωηλ ο αρχων* sup ras A^{a} **3** *ανενεγκειν* A^{a} | *Κυριου*] pr *του* 𝔑 *του θυ* A^{a} | om *εις τον τοπον* 𝔑* (hab 𝔑$^{c.a\ mg}$) **4** *Ααρων*] + *και* 𝔑A^{a} | *Λευειτας* B𝔑] *Λευιτας* A^{a} **5** *δεκα*] *εικοσι* A^{a} **6** *Μεραρει* 𝔑 *Μεραρι* A^{a} | *Ασαιας* A^{a} | *πεντ.*] pr *και* A **7** *Γηρσων* A^{a} | *πεντηκοντα*] *και τριακοντα* A **8** *Ελισαφαν* A | *Σαμαιας*] *Σαμεας* 𝔑 *Σεμαια* A **9** *Ενηρ*] *Ενηλ* 𝔑 *Ελιηλ* A | *αυτων*] *αυτου* A **10** *Οζιηλ* A | *Αμιναδαβ* 𝔑A | *δεκα δυο*] *δωδεκα* 𝔑 **11** *Λευιτας* 𝔑A | *Αριηλ*] *Ουριηλ* A | *Ασαιαν* A | *Ιωηλ*] pr *και* A | *Σαμαιαν*] *Σαμαι* 𝔑 *Σεμειαν* A | *Ενηλ* (*Εμ. Mai*)] *Ανελημ* 𝔑 *και Ελιηλ* A | *Αμιναδαβ* 𝔑A pr *και* A **12** *Λευιτ.* 𝔑A (item 14, 15, 17, 22, 26) | *ανοισεται* A | *ητοιμασας* 𝔑 | *αυτη*] *αυτῃ*| A **13** *υμας*] *ας* sup ras A$^{a?}$ | *ημων*] *υμων* 𝔑 **14** *αρχιερεις* 𝔑* (*ιερεις* 𝔑$^{c.a}$) | *ανενεγκειν* A* *ανενεγκειν* A^{b} | *θεου*] pr *του* 𝔑 pr *του κυ* A **15** *Μωσης* 𝔑 | *επ αυτους*] *εφ ε*|*αυτους* A **16** *αρχουσι* 𝔑 | *Λευιτων* A

Β αὐτῶν τοὺς ψαλτῳδοὺς ἐν ὀργάνοις, νάβλαις, κινύραις καὶ κυμβάλοις, τοῦ φωνῆσαι εἰς ὕψος ἐν φωνῇ εὐφροσύνης. 17 καὶ ἔστησαν οἱ Λευεῖται τὸν Αἱμὰν υἱὸν Ἰωήλ· ἐκ τῶν ἀδελφῶν αὐτοῦ Ἀσὰφ υἱὸς Βαραχιά, καὶ ἐκ τῶν υἱῶν Μερραρεὶ ἀδελφῶν αὐτοῦ Αἰθὰν υἱὸς Κεισαίου. 18 καὶ μετ' αὐτῶν ἀδελφοὶ αὐτῶν οἱ δεύτεροι, Ζαχαρίας καὶ Ὀζειὴλ καὶ Σεμειραμὼθ καὶ Ἰειὴλ καὶ Ἐλιωὴλ καὶ Ἐλιαβὰ καὶ Βαναιὰ καὶ Μαασσαιὰ καὶ Ἰματταθιὰ καὶ Ἐλειφενὰ καὶ Μακελλειὰ καὶ Ἀβαεδὸμ καὶ Ἰεειὴλ καὶ Ὀζείας, οἱ πυλωροί. 19 καὶ οἱ ψαλτῳδοί· Αἱμάν, Ἀσὰφ καὶ Αἰθὰν ἐν κυμβάλοις χαλκοῖς τοῦ ἀκουσθῆναι ποιῆσαι· 20 Ζαχαρίας καὶ Ὀζιήλ, Σεμειραμώθ, Εἰθήλ, Ὠνεί, Ἐλιάβ, 20 Μασσαίας, Βαναίας ἐν νάβλαις ἐπὶ ἀλαιμώθ· 21 καὶ Μετταθίας καὶ 21 Ἐνφαναίας, Μακενιὰ καὶ Ἀβδεδὸμ καὶ Ἰειὴλ καὶ Ὀζείας ἐν κινύραις ἁμασενὶθ τοῦ ἰσχῦσαι· 22 καὶ Κωνενιὰ ἄρχων τῶν Λευειτῶν ἄρχων 22 τῶν ᾠδῶν, ὅτι συνετὸς ἦν. 23 καὶ Βαραχιὰ καὶ Ἠλκανὰ πυλωροὶ τῆς 23 κιβωτοῦ. 24 καὶ Σομνιὰ καὶ Ἰωσαφὰτ καὶ Ναθαναὴλ καὶ Ἀμασαὶ καὶ 24 Ζαχαριὰ καὶ Βαναὶ καὶ Ἐλιέζερ οἱ ἱερεῖς, σαλπίζοντες ταῖς σάλπιγξιν ἔμπροσθεν τῆς κιβωτοῦ τοῦ θεοῦ. καὶ Ἀβδεδὸμ καὶ Ἰειά, πυλωροὶ τῆς κιβωτοῦ τοῦ θεοῦ. 25 Καὶ ἦν Δαυεὶδ καὶ πρεσβύτεροι Ἰσραὴλ 25 καὶ οἱ χιλίαρχοι οἱ πορευόμενοι τοῦ ἀναγαγεῖν τὴν κιβωτὸν τῆς διαθήκης ἐξ οἴκου Ἀβδοδὸμ ἐν εὐφροσύνῃ. 26 καὶ ἐγένετο ἐν τῷ κατα- 26 σχῦσαι τὸν θεὸν τοὺς Λευείτας αἴροντας τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου, καὶ ἔθυσαν ἀν' ἑπτὰ μόσχους καὶ ἀν' ἑπτὰ κριούς. 27 καὶ 27 Δαυεὶδ περιεζωσμένος ἐν στολῇ βυσσίνῃ, καὶ πάντες οἱ Λευεῖται αἴροντες τὴν κιβωτὸν διαθήκης Κυρίου καὶ οἱ ψαλτῳδοί, Ἰεχονίας ὁ

ℵA **16** *οργανοις*] + *ωδων* A | *κινυραις*] pr *και* A | *ευφροσυνης εν φωνη* ℵ **17** Βαραχεια ℵ | Μεραρει ℵ Μεραρι A | Αιθαμ ℵ | Κισαιου A **18** αδελφοι] pr οι A | Οζειηλ] Ιηουλ A | Σιμιραμωθ A | Ελιωηλ] Ιωηλ ℵ Ανι| A | Ελιβα ℵ* (Ελιαβα ℵ[1]) Ελιαβ A | Μαασαια ℵ Αμασια A[vid] | Ιματταθια] Ματταθια ℵ Ματταθιας A | Ελιφενα] Ελιφαλα A | Μακελλεια] Μακκελλα ℵ Μακενια A | Αβδεδωμ ℵ Αβδεδομ A | Ιειηλ ℵA | Οζιας A **19** Ασαβ ℵ | *ποιησαι*] pr *και* ℵ* (om ℵ[c.a]) **20** Οζιηλ A | Σεμ. Ειθ. Ωνει] Σαμειραμωθειθ Ηλωνει· ℵ Σεμιραμωθ· Ιθιηλ· *και* Ανανι· A | Ελιαβ] pr *και* A | Μασαιας ℵ *και* Μαα|σιας A | Βαναιας] pr *και* A | αλεμωθ ℵ αλημωθ A **21** Ματταθιας A | Ενφαναιας] Ενφανιας ℵ Ελιφα|λαιας A | Μακενια] *και* Μακενιας A | Ιειηλ] Ιθιηλ A[vid] | Οζιας A | *ισχυσαι*] *ενισχυσαι* A **22** Χωνενια A **23** πυλωροι] pr *και* ℵ **24** Σομνια] Σοβνεια ℵ Σωβενια A | Αμασε ℵ | Ζαχαριας A | Αβδοδομ ℵ | Ιεια Bℵ[1]] Εια ℵ* Ιεαια A | *της κιβωτου* (2°)] *τη κιβωτω* ℵ **25** *πρεσβυτεροι*] pr οι ℵA | om Ισραηλ ℵ* (superscr ℵ[c.a]) | *οι πορευομ.*] om οι A | *διαθηκης*] + *κυ* A | Αβδεδομ A **26** om *αν* 1° ℵA | om *αν* 2° ℵ* (superscr ℵ[1]) A **27** *περιεζωσμενος*] περιζωσαμενος ℵ | om *εν* ℵ (superscr ℵ[1]) A | Λευιται A | *διαθηκης*] pr *της* ℵ | Ιεχονιας] Ει|εχονιας ℵ *και* Χενενιας A

ἄρχων τῶν ᾠδῶν τῶν ἀδόντων· καὶ ἐπὶ Δανεὶδ στολὴ βυσσίνη. B
28 [28]καὶ πᾶς Ἰσραὴλ ἀνάγοντες τὴν κιβωτὸν διαθήκης Κυρίου ἐν σημασίᾳ καὶ ἐν φωνῇ σωφὲρ καὶ ἐν σάλπιγξιν καὶ ἐν κυμβάλοις,
29 ἀναφωνοῦντες νάβλαις καὶ ἐν κινύραις. [29]καὶ ἐγένετο κιβωτὸς διαθήκης Κυρίου καὶ ἦλθεν ἕως πόλεως Δανείδ· καὶ Μελχὸλ θυγάτηρ Σαοὺλ παρέκυψεν διὰ τῆς θυρίδος, καὶ εἶδεν τὸν βασιλέα Δανεὶδ ὀρχούμενον καὶ παίζοντα, καὶ ἐξουδένωσεν αὐτὸν ἐν τῇ ψυχῇ αὐτῆς.
XVI 1 [1]καὶ εἰσήνεγκαν τὴν κιβωτὸν τοῦ θεοῦ, καὶ ἀπηρείσαντο αὐτὴν ἐν
μέσῳ τῆς σκηνῆς ἧς ἔπηξεν αὐτῇ Δανείδ, καὶ προσήνεγκαν ὁλο-
2 καυτώματα καὶ σωτηρίου ἐναντίον τοῦ θεοῦ. [2]καὶ συνετέλεσεν Δανεὶδ ἀναφέρων ὁλοκαυτώματα καὶ σωτηρίου, καὶ εὐλόγησεν τὸν
3 λαὸν ἐν ὀνόματι Κυρίου. [3]καὶ διεμέρισεν παντὶ ἀνδρὶ Ἰσραήλ, ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικός, τῷ ἀνδρὶ ἄρτον ἕνα ἀρτοκοπικὸν καὶ
4 ἀμορείτην. [4]Καὶ ἔταξεν κατὰ πρόσωπον τῆς κιβωτοῦ διαθήκης Κυρίου ἐκ τῶν Λευειτῶν λειτουργοῦντας, ἀναφωνοῦντας, καὶ ἐξομολο-
5 γεῖσθαι καὶ αἰνεῖν Κύριον τὸν θεὸν Ἰσραήλ· [5]Ἀσὰφ ὁ ἡγούμενος, καὶ δευτερεύων αὐτῷ Ζαχαρίας, Ειεὶηλ, Σαμαρειμώθ, Ειεὶηλ, Ματταθίας, Ἐλιὰβ καὶ Βαναίας καὶ Ἀβδοδόμ, καὶ Ειεὶηλ ἐν ὀργάνοις, νάβλαις,
6 κινύραις, καὶ Ἀσὰφ ἐν κυμβάλοις ἀναφωνῶν, [6]καὶ Βαναίας καὶ Ὀζειὴλ οἱ ἱερεῖς ἐν ταῖς σάλπιγξιν διὰ παντὸς ἐναντίον τῆς κιβωτοῦ
7 τῆς διαθήκης τοῦ θεοῦ [7]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Τότε ἔταξεν Δανεὶδ ἐν ἀρχῇ τοῦ αἰνεῖν τὸν κύριον ἐν χειρὶ Ἀσὰφ καὶ τῶν ἀδελφῶν αὐτοῦ.

Ὠδή.

8 [8]Ἐξομολογεῖσθε, ἐπικαλεῖσθε αὐτὸν ἐν ὀνόματι αὐτοῦ,
γνωρίσατε ἐν λαοῖς τὰ ἐπιτηδεύματα αὐτοῦ.
9 [9]ᾄσατε αὐτῷ καὶ ὑμνήσατε αὐτῷ,
διηγήσασθε πᾶσιν τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησεν Κύριος.

28 αναγαοντες ℵ* (αναγοντ. ℵ[1]) | σωφειρ ℵ | κινυραις] κιννυρα superscr A[b] ℵA **29** διαθηκης] pr της A | ηλθεν] καθεν A[b?c?vid] | Μελχορλ ℵ | θυγατηρ] pr η A | ιδεν A XVI **1** εισενεγκαν ℵ* (εισην. ℵ[c.a]) | απηρισαντο ℵA | θεου] κυ A **3** om ανδρι 1° ℵ | αρτοκοπιακον A | αμοριτην ℵA **4** λιτουργουντων ℵ* (λιτουργουντας ℵ[c.a]) | Κυριον τον θεον] κν̄ θν̄ ℵ τον κν̄ θν̄ A **5** δευτερευων] δευτε|ρων ℵ δευτερος ων A | Ειεηλ 1°] Ιειηλ B[?vid] ℵ ο Ιειηλ A | Σαμαριμωθ ℵ Σεμραμωθ A | Ειεηλ 2°] Ιαθιηλ A | Βενιας ℵ* (Βαν. ℵ[c.a]) | Αβδεδομ A | Ειεηλ 3°] Ιειηλ A | ναβλαις] εν ναβλες A | κινυραις] pr και A | Ασσαφ ℵ **6** om και Οζειηλ ℵ* (hab ℵ[c.ā mg]) κ. Οζιηλ A | οι ιερεις] pr και ℵ | εναντι ℵ | θεου] κν̄ ℵ **7** κυριον] θν̄ ℵ | αυτου] αυτων ℵ | om ωδη ℵ **8** εξομολογειεσθαι ℵA | επικαλεισθαι ℵA **9** αυτω 2°] αυτον ℵ | διηγησασθαι A | πασιν] pr εν ℵ

B [10]αἰνεῖτε ἐν ὀνόματι ἁγίῳ αὐτοῦ, 10
εὐφρανθήσεται καρδία ζητοῦσα τὴν εὐδοκίαν αὐτοῦ.
[11]ζητήσατε καὶ ἰσχύσατε, 11
ζητήσατε τὸ πρόσωπον αὐτοῦ διὰ παντός.
[12]μνημονεύετε τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησεν, 12
τέρατα καὶ κρίματα τοῦ στόματος αὐτοῦ.
[13]σπέρμα Ἰσραὴλ παῖδες αὐτοῦ, 13
υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.
[14]Κύριος ὁ θεὸς ἡμῶν, 14
ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.
[15]μνημονεύομεν εἰς αἰῶνα διαθήκης αὐτοῦ, 15
λόγου αὐτοῦ ὃν ἐνετείλατο εἰς χιλίας γενεάς,
[16]ὃν διέθετο τῷ Ἀβραάμ, 16
καὶ τὸν ὅρκον αὐτοῦ τῷ Ἰσαάκ.
[17]ἔστησεν αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα, 17
τῷ Ἰσραὴλ διαθήκην αἰώνιον,
[18]λέγων Σοὶ δώσω τὴν γῆν Χανάαν 18
σχοίνισμα κληρονομίας ὑμῶν.
[19]ἐν τῷ γενέσθαι αὐτοὺς ὀλιγοστοὺς ἀριθμῷ 19
ὡς ἐσμικρύνθησαν καὶ παρῴκησαν ἐν αὐτῇ.
[20]καὶ ἐπορεύθησαν ἀπὸ ἔθνους εἰς ἔθνος 20
καὶ ἀπὸ βασιλείας εἰς λαὸν ἕτερον.
[21]οὐκ ἀφῆκεν ἄνδρα τοῦ δυναστεῦσαι αὐτούς, 21
καὶ ἤλεγξεν περὶ αὐτῶν βασιλεῖς
[22]Μὴ ἅψησθε τῶν χριστῶν μου· 22
ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.
[23]ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ, 23
ἀναγγείλατε ἐξ ἡμέρας εἰς ἡμέραν σωτηρίαν αὐτοῦ.
[25]ὅτι μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, 25
φοβερός ἐστιν ἐπὶ πάντας τοὺς θεούς.
[26]ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν εἴδωλα, 26
καὶ ὁ θεὸς ἡμῶν οὐρανὸν ἐποίησεν.
[27]δόξα καὶ ἔπαινος κατὰ πρόσωπον αὐτοῦ, 27
ἰσχὺς καὶ καύχημα ἐν τόπῳ αὐτοῦ.

ℵA **10** om *αινειτε* ℵ* (superscr ℵc.a) **12** *μνημονευεται* ℵ *μνημονευσατε* A **14** *Κυριος*] pr *αυτος* A **15** *μνημονευομεν*] *μνημονευων* A **16** *Ισακ* ℵ **18** *υμων*] *ημων* ℵ **19** *γενεσθαι*] *λεγεσθαι* A | *ως*] *εως* A **21** *περι*] *υπερ* A | *βασιλις* ℵ **22** *εν*] om ℵ pr *και* A **23** *ημεραν*] *ημερας* ℵ | *σωτηριαν*] *το σωτηριον* ℵA **27** *τοπω*] pr *τω* A

28 [28]δότε τῷ κυρίῳ πατρὶ τῶν ἐθνῶν, B
δότε τῷ κυρίῳ δόξαν καὶ ἰσχύν,
29 [29]λάβετε δῶρα καὶ ἐνέγκατε κατὰ πρόσωπον αὐτοῦ,
καὶ προσκυνήσατε Κυρίῳ ἐν αὐλαῖς ἁγίαις αὐτοῦ.
30 [30]φοβηθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ,
κατορθωθήτω ἡ γῆ καὶ μὴ σαλευθήτω.
31 [31]εὐφρανθήτω ὁ οὐρανὸς καὶ ἀγαλλιάσθω ἡ γῆ,
καὶ εἰπάτωσαν ἐν τοῖς ἔθνεσιν Κύριος βασιλεύων.
32 [32]βοββήσει ἡ θάλασσα σὺν τῷ πληρώματι·
ξύλον ἀγροῦ καὶ πάντα τὰ ἐν αὐτῷ.
33 [33]τότε εὐφρανθήσεται τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ προσώπου Κυρίου,
ὅτι ἦλθεν κρῖναι τὴν γῆν.
34 [34]ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθόν,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
35 [35]καὶ εἴπατε Ἔσωσεν ἡμᾶς ὁ θεὸς τῆς σωτηρίας ἡμῶν·
καὶ ἐξελοῦ ἡμᾶς ἐκ τῶν ἐθνῶν,
τοῦ αἰνεῖν τὸ ὄνομα τὸ ἅγιον σου
καὶ καυχᾶσθαι ἐν ταῖς αἰνέσεσίν σου.
36 [36]εὐλογημένος Κύριος ὁ θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος.
καὶ ἐρεῖ πᾶς ὁ λαός Ἀμήν.
Καὶ ᾔνεσαν τῷ κυρίῳ.
37 [37]Καὶ κατέλιπον ἐκεῖ ἔναντι τῆς κιβωτοῦ διαθήκης Κυρίου τὸν
Ἀσὰφ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ τοῦ λειτουργεῖν ἐναντίον τῆς κιβω-
38 τοῦ διὰ παντὸς τὸ τῆς ἡμέρας εἰς ἡμέραν. [38]καὶ Ἀβδοδὸμ καὶ οἱ
ἀδελφοὶ αὐτοῦ ἑξήκοντα καὶ ὀκτώ· καὶ Ἀβδοδὸμ υἱὸς Ἰδειθὼν καὶ
39 Ὀσσὰ εἰς πυλωρούς· [39]καὶ τὸν Σαδὼκ τὸν ἱερέα καὶ τοὺς ἀδελφοὺς
αὐτοῦ τοὺς ἱερεῖς ἐναντίον τῆς σκηνῆς Κυρίου ἐν Βαμὰ τῇ ἐν Γαβαών,
40 [40]τοῦ ἀναφέρειν ὁλοκαυτώματα τῷ κυρίῳ ἐπὶ τοῦ θυσιαστηρίου τῶν
ὁλοκαυτωμάτων διὰ παντὸς τὸ πρωὶ καὶ τὸ ἑσπέρας, καὶ κατὰ
πάντα τὰ γεγραμμένα ἐν νόμῳ Κυρίου ὅσα ἐνετείλατο ἐφ' υἱοῖς
41 Ἰσραὴλ ἐν χειρὶ Μωυσῆ τοῦ θεράποντος τοῦ θεοῦ. [41]καὶ μετ' αὐτοῦ

28 πατρι] αι πατριαι A | ισχυν] + δοτε τω κω̄ δοξαν ονοματος αυτου· A ℵA **29** προσωπον] pr το ℵ | Κυριω] pr τω A **30** κατορθωθητω] pr και ℵ* (om ℵ?) **31** ο bis scr ℵ* (om 1° ℵc.a) | βασιλευων] εβασιλευσεν A **32** βοββησει] βομβησει Ba ℵ (βομβησι) βοησει A | η θαλασσα] om η A | ξυλον] pr και ℵA **34** εξομολογεισθαι ℵA **35** εσωσεν] σωσον A | της σωτηριας BℵC.a mg] ο σωτηρ ℵ* **36** αιωνος] + και εως του αιωνος A **37** κατελιπον] κατελειπεν A | εναντιον A **38** Ιδεθων ℵ Ιδιθουμ A | Οσσα] Οσα ℵ Ωσηε A **39** της σκηνης] om της ℵ **40** ενετειλατο BℵC.a mg A] εγενετο ℵ* | υιοις] υιους A **41** αυτου 1°] αυτων ℵ

Β Αἱμὰν καὶ Ἰδειθὼν καὶ οἱ λοιποὶ ἐκλεγέντες ἐπ᾽ ὀνόματος τοῦ αἰνεῖν
τὸν κύριον, Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· 42 καὶ μετ᾽ αὐτῶν 42
σάλπιγγες καὶ κύμβαλα τοῦ ἀναφωνεῖν καὶ ὄργανα τῶν ᾠδῶν τοῦ
θεοῦ· υἱοὶ Ἰδειθὼν εἰς τὴν πύλην. 43 καὶ ἐπορεύθη ἅπας ὁ λαὸς 43
ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐπέστρεψεν Δαυεὶδ τοῦ εὐλογῆσαι
τὸν οἶκον αὐτοῦ.

1 Καὶ ἐγένετο ὡς κατῴκησεν Δαυεὶδ ἐν οἴκῳ αὐτοῦ, καὶ εἶπεν Δαυεὶδ 1 XVII
πρὸς Ναθὰν τὸν προφήτην Ἰδοὺ ἐγὼ κατοικῶ ἐν οἴκῳ κεδρίνῳ, καὶ
ἡ κιβωτὸς διαθήκης Κυρίου ὑποκάτω δέρρεων. 2 καὶ εἶπεν Ναθὰν 2
πρὸς Δαυείδ Πᾶν τὸ ἐν ψυχῇ σου ποίει, ὅτι θεὸς μετὰ σοῦ. 3 Καὶ 3
ἐγένετο ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ναθάν
4 Πορεύου καὶ εἰπὸν πρὸς Δαυεὶδ τὸν δοῦλόν μου Οὕτως εἶπεν Κύριος 4
Οὐ σὺ οἰκοδομήσεις οἶκον τοῦ κατοικῆσαί με ἐν αὐτῷ. 5 ὅτι οὐ 5
κατῴκησα ἐν οἴκῳ ἀπὸ τῆς ἡμέρας ἧς ἀνήγαγον τὸν Ἰσραὴλ ἕως
τῆς ἡμέρας ταύτης, καὶ ἤμην ἐν σκηνῇ καὶ ἐν καλύμμασι 6 ἐν πᾶσιν 6
οἷς διῆλθον ἐν παντὶ Ἰσραήλ· εἰ λαλῶν ἐλάλησα πρὸς μίαν φυλὴν
τοῦ Ἰσραὴλ τοῦ ποιμαίνειν τὸν λαόν μου λέγων ὅτι Οὐκ ᾠκοδο-
μήκατέ μοι οἶκον κέδρινον; 7 καὶ νῦν οὕτως ἐρεῖς τῷ δούλῳ μου 7
Δαυείδ Τάδε λέγει Κύριος Παντοκράτωρ Ἔλαβόν σε ἐκ τῆς μάνδρας
ἐξόπισθεν τῶν ποιμνίων τοῦ εἶναι εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου
Ἰσραήλ, 8 καὶ ἤμην μετὰ σοῦ ἐν πᾶσιν οἷς ἐπορεύθης, καὶ ἐξωλέ- 8
θρευσα πάντας τοὺς ἐχθρούς σου ἀπὸ προσώπου σου, καὶ ἐποίησά
σοι ὄνομα κατὰ τὸ ὄνομα τῶν μεγάλων τῶν ἐπὶ τῆς γῆς. 9 καὶ 9
θήσομαι τόπον τῷ λαῷ μου Ἰσραὴλ καὶ καταφυτεύσω αὐτόν, καὶ
κατασκηνώσει καθ᾽ ἑαυτὸν καὶ οὐ μεριμνήσει ἔτι, καὶ οὐ προσθήσει
ἀδικία τοῦ ταπεινῶσαι αὐτὸν καθὼς ἀρχῆς. 10 καὶ ἀφ᾽ ἡμερῶν ὧν 10
ἔταξα κριτὰς ἐπὶ τὸν λαόν μου Ἰσραήλ, καὶ ἐταπείνωσα ἅπαντας
τοὺς ἐχθρούς σου, καὶ αὐξήσω σε· καὶ οἰκοδομήσει σὲ Κύριος. 11 καὶ 11
ἔσται ὅταν πληρωθῶσιν ἡμέραι σου καὶ κοιμηθήσῃ μετὰ τῶν πατέ-
ρων σου, καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σέ, ὃ ἔσται ἐκ τῆς

ℵA **41** Ιδιθωμ ℵ Ιδιθουμ A | εκλεγοντες ℵ **42** υιοι] pr και οι A | Ιδιθων ℵ Ιδιθουν A | πολιν ℵ* (πυλην ℵc.a) **43** απας] πας A | om αυτου 2° ℵ* (hab ℵc.a (mg)) XVII **1** Αθαν ℵ* (Ναθαν [N superscr] ℵ?) **2** ψυχῃ] pr τῃ ℵA | θεος] pr ο ℵA **3** Ναθαν]+λεγων A **4** δουλον] παιδα ℵA | συ] σοι ℵ | οικοδομησεις]+μοι Bab(vid) A **5** κατοικησα ℵ | ανηγαγεν ℵ | καλυμματι] καταλυματι ℵA **6** του Ισραηλ] om του ℵA+ενι των κριτων (των 2° sup ras Ab)| Ισλ· οις ενετειλαμην A | οικοδομηκατε ℵ **7** ηγουμενον]+μου ℵ | om μου 2° ℵ*vid hab ℵc.a mg) **8** εξωλοθρ. Bb **9** προσθησει Bℵc.a] μνησθησει (sic) ℵ*vid | αρχης] pr απ A **10** σε 2°] σοι A **11** ημεραι] pr αι ℵA | om και 2° A

κοιλίας σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ· [12] αὐτὸς οἰκοδο- B
μήσει μοι οἶκον, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως αἰῶνος.
[13] ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν, καὶ τὸ
ἔλεός μου οὐκ ἀποστήσω ἀπ' αὐτοῦ ὡς ἀπέστησα ἀπὸ τῶν ὄντων
ἔμπροσθέν σου. [14] καὶ πιστώσω αὐτὸν ἐν οἴκῳ μου καὶ ἐν βασιλείᾳ
αὐτοῦ ἕως αἰῶνος, καὶ θρόνος αὐτοῦ ἔσται ἀνορθωμένος ἕως αἰῶνος.
[15] κατὰ πάντας τοὺς λόγους τούτους καὶ κατὰ πᾶσαν τὴν ὅρασιν
ταύτην, οὕτως ἐλάλησεν Ναθὰν πρὸς Δανείδ. [16] Καὶ ἦλθεν ὁ
βασιλεὺς Δανεὶδ καὶ ἐκάθισεν ἀπέναντι Κυρίου, καὶ εἶπεν Τίς εἰμι
ἐγώ, Κύριε ὁ θεός, καὶ τίς ὁ οἶκός μου, ὅτι ἠγάπησάς με ἕως αἰῶνος;
[17] καὶ ἐσμικρύνθη ταῦτα ἐνώπιόν σου ὁ θεός, καὶ ἐλάλησας ἐπὶ τὸν
οἶκον τοῦ παιδός σου ἐκ μακρῶν, καὶ ἐπεῖδές με ὡς ὅρασις ἀνθρώ-
που καὶ ὕψωσάς με, Κύριε ὁ θεός. [18] τί προσθήσει ἔτι Δανεὶδ πρὸς
σὲ τοῦ δοξάσαι; καὶ σὺ τὸν δοῦλόν σου οἶδας, [19] καὶ κατὰ τὴν καρ-
δίαν σου ἐποίησας τὴν πᾶσαν μεγαλωσύνην. [20] Κύριε, οὐκ ἔστιν
ὅμοιός σοι, καὶ οὐκ ἔστιν πλὴν σοῦ κατὰ πάντα ὅσα ἠκούσαμεν ἐν
ὠσὶν ἡμῶν. [21] καὶ οὐκ ἔστιν ὡς ὁ λαός σου Ἰσραὴλ ἔθνος ἔτι ἐπὶ
τῆς γῆς, ὡς ὡδήγησεν αὐτὸν ὁ θεὸς τοῦ λυτρώσασθαι ἑαυτῷ λαόν,
τοῦ θέσθαι αὐτῷ ὄνομα μέγα καὶ ἐπιφανές, τοῦ ἐκβαλεῖν ἀπὸ προσ-
ώπου λαοῦ σου οὓς ἐλυτρώσω ἐξ Αἰγύπτου ἔθνη. [22] καὶ ἔδωκας τὸν
λαόν σου Ἰσραὴλ σεαυτῷ λαὸν ἕως αἰῶνος, καὶ σὺ Κύριος αὐτοῖς εἰς
θεόν. [23] καὶ νῦν, Κύριε, ὁ λόγος σου ὃν ἐλάλησας πρὸς τὸν παῖδά
σου καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ πιστωθήτω ἕως αἰῶνος, [24] λεγόντων
Κύριε Κύριε Παντοκράτωρ θεὸς Ἰσραήλ· καὶ οἶκος Δανεὶδ παιδός σου
ἀνορθωμένος ἐναντίον σου. [25] ὅτι σὺ ἤνοιξας τὸ οὖς τοῦ παιδός
σου τοῦ οἰκοδομῆσαι αὐτῷ οἶκον· διὰ τοῦτο εὗρεν ὁ παῖς σου τοῦ
προσεύξασθαι κατὰ πρόσωπόν σου. [26] καὶ νῦν, Κύριε, σὺ εἶ αὐτὸς
θεός, καὶ ἐλάλησας ἐπὶ τὸν δοῦλόν σου τὰ ἀγαθὰ ταῦτα. [27] καὶ νῦν
ἤρξαι εὐλογῆσαι τὸν οἶκον τοῦ παιδός σου τοῦ εἶναι εἰς τὸν αἰῶνα
ἐναντίον σου· ὅτι σὺ εὐλόγησας, καὶ εὐλόγησον εἰς τὸν αἰῶνα.

13 *υιον* B𝔐$^{c.a\ mg}$ A] *λαον* 𝔐* | *αποστησω απ αυτου* B𝔐$^{c.a}$ A] *απεστησα απ* 𝔐A *αυτων* 𝔐* | om *οντων* A **14** *θρονος*] pr *ο* 𝔐 | *ανορθωμενος* A **15** *λογους*] *λ* sup ras (ubi prius *δ*) B$^{?}$ **16** *απεναντιον* 𝔐 | *Κυριε*] *κς* 𝔐 **17** *επιδες* 𝔐A | *κε*] *κ* non inst B^{b} **18** om *ετι* 𝔐* (superscr 𝔐^{1}) **19** *εποιησας*] + *και* 𝔐* (om 𝔐$^{c.a}$) **21** *εθνος* B𝔐$^{?}$A] *εθνη* 𝔐* | *εαυτονω* 𝔐*^{vid} (*εαυτω* 𝔐^{1}) | *ους*] *ου* A **22** *Κυριος*] *κε* 𝔐A **23** *πιστωθητω*] + *η χερ σου* 𝔐 **24** *θεος*] pr *ο* A | *οικος*] pr *ο* A **25** *συ*] + *κε* A | *ους του παιδος σ* in mgg et sup ras A^{a} (om *του παιδος* A*^{vid}) | *του οικοδομησαι*] om *του* A **26** *αυτος*] pr *ο* 𝔐 | *θεος*] pr *ο* A **27** *ηρξαι*] *ηρξω* 𝔐A | *ευλογησαι*] *του ευλογιν* 𝔐 *του ευλογησαι* A | *εναντιον*] *ναντιο* sup ras A^{a}? | *συ*] *σοι* 𝔐 + *κε* A

B [1]Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἐπάταξεν Δανεὶδ τοὺς ἀλλοφύλους καὶ ἐτροπώσατο αὐτούς, καὶ ἔλαβεν τὴν Γὲθ καὶ τὰς κώμας αὐτῆς ἐκ χειρὸς ἀλλοφύλων. [2]καὶ ἐπάταξεν τὴν Μωάβ, καὶ ἦσαν Μωὰβ παῖδες τῷ Δανεὶδ φέροντες δῶρα. [3]καὶ ἐπάταξεν Δανεὶδ τὸν Ἀδραάζαρ βασιλέα Σουβὰ Ἡμάθ, πορευομένου αὐτοῦ ἐπιστῆσαι χεῖρα αὐτοῦ ἐπὶ ποταμὸν Εὐφράτην. [4]καὶ προκατελάβετο Δανεὶδ αὐτῶν χίλια ἅρματα καὶ ἑπτὰ χιλιάδας ἵππων καὶ εἴκοσι χιλιάδας ἀνδρῶν· καὶ παρέλυσεν Δανεὶδ πάντα τὰ ἅρματα, καὶ ὑπελίπετο ἐξ αὐτῶν ἑκατὸν ἅρματα. [5]καὶ ἦλθεν Σύρος ἐκ Δαμασκοῦ βοηθῆσαι Ἀδραάζαρ βασιλεῖ Σουβά, καὶ ἐπάταξεν ἐν τῷ Σύρῳ εἴκοσι καὶ δύο χιλιάδας ἀνδρῶν. [6]καὶ ἔθετο Δανεὶδ φρουρὰν ἐν Συρίᾳ τῇ κατὰ Δαμασκόν, καὶ ἦσαν τῷ Δανεὶδ εἰς παῖδας φέροντας δῶρα· καὶ ἔσωζεν Κύριος Δανεὶδ ἐν πᾶσιν οἷς ἐπορεύετο. [7]καὶ ἔλαβεν Δανεὶδ τοὺς κλοιοὺς τοὺς χρυσοῦς οἳ ἦσαν ἐπὶ τοὺς παῖδας Ἀδραάζαρ, καὶ ἤνεγκεν αὐτοὺς εἰς Ἰερουσαλήμ. [8]καὶ ἐκ τῆς Μεταβηχὰς καὶ ἐκ τῶν ἐκλεκτῶν πολέμων τῶν Ἀδραάζαρ ἔλαβεν Δανεὶδ χαλκὸν πολὺν σφόδρα· ἐξ αὐτοῦ ἐποίησεν Σαλωμὼν τὴν θάλασσαν τὴν χαλκῆν καὶ τοὺς στύλους καὶ τὰ σκεύη τὰ χαλκᾶ. [9]καὶ ἤκουσεν Θῶα βασιλεὺς Ἡμὰθ ὅτι ἐπάταξεν Δανεὶδ τὴν πᾶσαν δύναμιν Ἀδραάζαρ βασιλέως Σουβά, [10]καὶ ἀπέστειλεν τὸν Ἰδουραὰμ υἱὸν αὐτοῦ πρὸς τὸν βασιλέα Δανεὶδ τοῦ ἐρωτῆσαι αὐτὸν τὰ εἰς εἰρήνην καὶ τοῦ εὐλογῆσαι αὐτὸν ὑπὲρ οὗ ἐπολέμησεν τὸν Ἀδραάζαρ καὶ ἐπάταξεν αὐτόν, ὅτι ἀνὴρ πολέμιος Θῶα ἦν τῷ Ἀδραάζαρ· καὶ πάντα σκεύη ἀργυρᾶ καὶ χρυσᾶ. [11]καὶ ταῦτα ἡγίασεν Δανεὶδ τῷ κυρίῳ μετὰ τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου οὗ ἔλαβεν ἐκ πάντων τῶν ἐθνῶν, ἐξ Ἰδουμαίας καὶ Μωὰβ καὶ ἐξ υἱῶν Ἀμμὼν καὶ ἐκ τῶν ἀλλοφύλων καὶ ἐξ Ἀμαλήκ. [12]καὶ Ἀβεσσὰ υἱὸς Σαρουίας ἐπάταξεν τὴν Ἰδουμαίαν ἐν κοιλάδι τῶν ἁλῶν, ὀκτὼ καὶ δέκα χιλιάδας, [13]καὶ ἔθετο ἐν τῇ κοιλάδι φρουράς· καὶ ἦσαν πάντες οἱ Ἰδουμαῖοι παῖδες Δανείδ· καὶ ἔσωζεν Κύριος ἐν πᾶσιν οἷς XVIII 1

ℵA XVIII **2** Μωαβ 2°] Μωαβιται A **3** Αδραζαρει ℵ Αδραζαρ A | Σουβα· Ημαθ· A **4** αυτων 1°] αυτω A | ανδρων]+πεζων A | υπελειπετο A | εκατον] ει|κοσι ℵ* ρ′ ℵ[1] | αρματα 2° Bℵᶜᵃᐟ A] ρηματα ℵ* **5** Αδραζα ℵ* Αδραζαρ ℵᶜᵃᐟ A | om και 3° A **6** Δαμασκω ℵ | εσωσεν ℵ | Δανειδ] τον Δαδ ℵA **7** om Δανειδ ℵ | χρυσους]+Δαδ ℵ | Αδραζαρ ℵA **8** Μεταβηχας] Ματεβεθ A | πολεμων] πολεων A | τω Αδραζαρ ℵ των Αδραζαρ A **9** Θωα] Θοου A | Αδραζαρ ℵA **10** Ιδουραμ ℵ Δουραμ A | ειs] ιs sup ras Aᵃᐟ | Αδραζαρ (bis) ℵA | Θωα] Θοου A | χρυσα· και αργυρα· A **11** om ταυτα ℵ* (hab ℵᶜᵃᐟ⁽ᵐᵍ⁾) | χρυσειου A | εθν|ων ℵ* (εθνω| ὠν ℵᐟ) **12** Αβισα A | Σαρουια ℵ | κοιλαδι] pr τη ℵ | αλλων ℵ* (αλων ℵᐟ) | χιλιαδες A **13** εσωσεν A | Κυριος]+τον Δαδ A

14 ἐπορεύετο. 14Καὶ ἐβασίλευσεν Δανεὶδ ἐπὶ πάντα Ἰσραήλ, καὶ B
15 ἦν ποιῶν κρίμα καὶ δικαιοσύνην τῷ παντὶ λαῷ αὐτοῦ. 15καὶ Ἰωὰβ
υἱὸς Σαρουιὰ ἐπὶ τῆς στρατείας, καὶ Ἰωσαφὰτ υἱὸς Ἀχειὰ ὑπομνη-
16 ματογράφος, 16καὶ Σαδὼκ υἱὸς Ἀχειτὼβ καὶ Ἀχειμελεχ υἱὸς Ἀβιαθὰρ
17 ἱερεῖς, καὶ Ἰησοῦς γραμματεύς, 17καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἐπὶ τῶν
ἱερέων καὶ Φαλτειά· καὶ υἱοὶ Δανεὶδ οἱ πρῶτοι διάδοχοι τοῦ βασι-
λέως.

XIX 1 1Καὶ ἐγένετο μετὰ ταῦτα ἀπέθανεν βασιλεὺς υἱῶν Ἀμμών, καὶ
2 ἐβασίλευσεν Ἀνὰν υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. 2καὶ εἶπεν Δανεὶδ Ποιήσω
ἔλεος μετὰ Ἀνὰν υἱοῦ Ἀνάς, ὡς ἐποίησεν ὁ πατὴρ αὐτοῦ μετ' ἐμοῦ
ἔλεος· καὶ ἀπέστειλεν ἀγγέλους Δανεὶδ τοῦ παρακαλέσαι αὐτὸν περὶ
τοῦ πατρὸς αὐτοῦ. καὶ ἦλθον παῖδες Δανεὶδ εἰς γῆν υἱῶν Ἀμμὼν
3 τοῦ παρακαλέσαι αὐτόν. 3καὶ εἶπον ἄρχοντες Ἀμμὼν πρὸς Ἀνάν
Μὴ δοξάζων τὸν πατέρα σου ἐναντίον σου ἀπέστειλέν σοι παρακα-
λοῦντας; οὐχ ὅπως ἐξεραυνήσωσιν τὴν πόλιν τοῦ κατασκοπῆσαι τὴν
4 γῆν ἦλθον παῖδες αὐτοῦ πρὸς σέ; 4καὶ ἔλαβεν Ἀνὰν τοὺς παῖδας
Δανεὶδ καὶ ἐξύρησεν αὐτούς, καὶ ἀφεῖλεν τῶν μανδυῶν αὐτῶν τὸ
5 ἥμισυ ἕως τῆς ἀναβολῆς, καὶ ἀπέστειλεν αὐτούς. 5καὶ ἦλθον ἀπαγ-
γεῖλαι τῷ Δανεὶδ περὶ τῶν ἀνδρῶν, καὶ ἀπέστειλεν εἰς ἀπάντησιν
αὐτοῖς, ὅτι ἦσαν ἠτιμωμένοι σφόδρα· καὶ εἶπεν ὁ βασιλεύς Καθίσατε
ἐν Ἰερειχὼ ἕως τοῦ ἀνατεῖλαι τοὺς πώγωνας ὑμῶν, καὶ ἀνακάμψατε.
6 6καὶ εἶδον οἱ υἱοὶ Ἀμμὼν ὅτι ᾐσχύνθη λαὸς Δανεὶδ· καὶ ἀπέστειλεν
Ἀνὰν καὶ οἱ υἱοὶ Ἀμμὼν χίλια τάλαντα ἀργυρίου τοῦ μισθώσασθαι
ἑαυτοῖς ἐκ Συρίας Μεσοποταμίας καὶ ἐκ Συρίας Μοοχὰ καὶ παρὰ
7 Σωβὰλ ἅρματα καὶ ἱππεῖς. 7καὶ ἐμισθώσαντο ἑαυτοῖς ἅρματα καὶ
ἱππεῖς, δύο καὶ τριάκοντα χιλιάδας ἁρμάτων, καὶ τὸν βασιλέα Μωχὰ
καὶ τὸν λαὸν αὐτοῦ, καὶ ἦλθον καὶ παρενέβαλον κατέναντι Μαιδαβά·
καὶ οἱ υἱοὶ Ἀμμὼν συνήχθησαν ἐκ τῶν πόλεων αὐτῶν καὶ ἦλθον εἰς

14 *τω παντι*] *παντι τω* ℵ **15** Σαρουιας A | *στρατιας* ℵA | Αχεια] ℵA Αχιλουδ A | *υπομνηματογρ.*] pr *ο* A **16** Αχιτωβ ℵA | Αχιμελεχ A | Αβιεαθερ ℵ* (Αβιαθαρ ℵ¹) | Ιησους] Σους ℵ Σουσα A | *γραμματευς*] pr *ο* ℵ **17** Βανεας ℵ | *των ιερεων*] *του Χερηθι* A | Φαλτια ℵ *του Φαλεθθι* A XIX **1** *βασιλευς*] pr Ναας A | Ανναν ℵ | *ς αυτου*| *αντ αυτου* sup ras A¹ **2** Ανας] Ναας ℵA | Αμμαν ℵ **3** *αρχοντες*] pr *οι* A | *δοξαζων*]+Δαδ A | om *εναντιον σου* ℵ | *οπως*] *ουτως* A | *εξεραυνησωσιν* (*εξερευν.* B^{ab})] *εραυνησουσιν* A **4** Αννᾶ| ℵ **5** Δανειδ] pr *βασιλει* ℵ | Ειεριχω ℵ Ιεριχω B^{b}A | *εως*] pr *και* ℵ **6** *ιδον* ℵ | *οι υιοι* 1° (*υ* sup ras A^{a})] om *οι* ℵA | *εαυτοις*] *αυτοις* ℵ *αυτους* A | Μοοχα] Μαχα A | *παρα Σωβαλ*] *παρα Σωβα* ℵ *εκ Σουβα* A **7** *εαυτοις*] *αυτοις* ℵ | om *αρματα και ιππεις* A | Μαιδαβα] Βαιδαβα ℵ *του Μηδαβα* A | *οι υιοι*] om *οι* A

Β τὸ πολεμῆσαι. [8]καὶ ἤκουσεν Δανείδ, καὶ ἀπέστειλεν τὸν Ἰωὰβ καὶ 8
πᾶσαν τὴν στρατείαν τῶν δυνατῶν. [9]καὶ ἐξῆλθον οἱ υἱοὶ Ἀμμὼν 9
καὶ παρατάσσονται εἰς πόλεμον παρὰ τὸν πυλῶνα τῆς πόλεως· καὶ
οἱ βασιλεῖς οἱ ἐλθόντες παρενέβαλον καθ' ἑαυτοὺς ἐν τῷ πεδίῳ·
[10]καὶ εἶδεν Ἰωὰβ ὅτι γεγόνασιν ἀντιπρόσωποι τοῦ πολεμεῖν πρὸς 10
αὐτὸν κατὰ πρόσωπον καὶ ἐξόπισθεν· καὶ ἐξελέξατο ἐκ παντὸς
νεανίου ἐξ Ἰσραήλ, καὶ παρετάξαντο ἐναντίον τοῦ Σύρου. [11]καὶ 11
τὸ κατάλοιπον τοῦ λαοῦ ἔδωκεν ἐν χειρὶ Ἀβεσσὰ ἀδελφοῦ αὐτοῦ,
καὶ παρετάξαντο ἐξ ἐναντίας υἱῶν Ἀμμών. [12]καὶ εἶπεν Ἐὰν κρα- 12
τήσῃ ὑπὲρ ἐμὲ Σύρος, καὶ ἔσῃ μοι εἰς σωτηρίαν· καὶ ἐὰν υἱοὶ
Ἀμμὼν κρατήσωσιν ὑπὲρ σέ, καὶ σώσω σε. [13]καὶ Κύριος τὸ ἀγα- 13
θὸν ποιήσει. [14]καὶ παρετάξατο Ἰωὰβ καὶ ὁ λαὸς ὁ μετ' αὐτοῦ 14
κατέναντι Σύρων εἰς πόλεμον, καὶ ἔφυγον ἀπ' αὐτοῦ. [15]καὶ οἱ 15
υἱοὶ Ἀμμὼν εἶδον ὅτι ἔφυγον Σύροι, καὶ ἔφυγον καὶ αὐτοὶ ἀπὸ
προσώπου Ἰωὰβ καὶ ἀπὸ προσώπου ἀδελφοῦ αὐτοῦ, καὶ ἦλθον
εἰς τὴν πόλιν· καὶ ἦλθεν Ἰωὰβ εἰς Ἰερουσαλήμ. [16]καὶ εἶδεν 16
Σύρος ὅτι ἐτροπώσατο αὐτὸν Ἰσραήλ, καὶ ἀπέστειλαν ἀγγέλους·
καὶ ἐξήγαγον τὸν Σύρον ἐκ τοῦ πέραν τοῦ ποταμοῦ, καὶ Σωφὰρ
ἀρχιστράτηγος δυνάμεως Ἀδραάζαρ ἔμπροσθεν αὐτῶν. [17]καὶ ἀπηγ- 17
γέλη τῷ Δανείδ, καὶ συνήγαγεν τὸν πάντα Ἰσραήλ, καὶ διέβη τὸν
Ἰορδάνην καὶ ἦλθεν ἐπ' αὐτοὺς καὶ παρετάξατο ἐπ' αὐτούς· καὶ
¶ ℵ παρατάσσεται Σύρος ἐξ ἐναντίας Δανεὶδ καὶ ἐπολέμησαν αὐτόν.¶
[18]καὶ ἔφυγεν Σύρος ἀπὸ προσώπου Δανείδ, καὶ ἀπέκτεινεν Δανεὶδ 18
ἀπὸ τοῦ Σύρου ἑπτὰ χιλιάδας ἁρμάτων καὶ τεσσεράκοντα χιλιάδας
πεζῶν, καὶ τὸν Σαφὰθ ἀρχιστράτηγον δυνάμεως ἀπέκτεινεν. [19]καὶ 19
εἶδον παῖδες Ἀδραάζαρ ὅτι ἐπταίκασιν ἀπὸ προσώπου Ἰσραήλ, καὶ
διέθεντο μετὰ Δανεὶδ καὶ ἐδούλευσαν αὐτῷ· καὶ οὐκ ἠθέλησεν Σύρος
τοῦ βοηθῆσαι Ἀμμὼν ἔτι.

ℵA **8** στρατιαν ℵA **9** οι υιοι] om οι A | βασιλεις οι] s ο sup ras A^a (βασιλειοσι A^{*vid}) **10** γεγοναν ℵA | om εξ A | παρεταξατο A **11** εδωκεν] ωκε͂ sup ras A^b | αδελφου] pr του ℵ | παρεταξατο A **12** κρατησει A | Συρος] pr ο (superscr) $A^{a?}$ | υιοι] pr οι ℵ | σωσω σε] σωσε A+ανδριζου και ενισχυσω|μεν (ε 1° sup ras A^a) περι του λαου ημων· και περι τῶ| πολεων του θυ̃ ημων· A **13** αγαθον] + εν οφθαλμοις αυτου A | ποιησαι ℵ **14** εφυ ℵ* (εφυγον ℵ$^{c.a?}$) **15** ιδον ℵ | αδελφου] pr Αβεσσα του A | αυτου] αυτων ℵ | ηλθον] εισηλθον A **16** ιδεν A | απεστιλεν ℵ (απεστιλαν ℵ$^{?}$) απεστειλεν A | περα A | Σωφαρ] Εσωφαρ ℵ* Εσωφαχ ℵ$^{c.a?}$ Σωφαχ A | Εδρα|αζαρ ℵ* (Αδρ. ℵ$^{?}$) Αδραζαρ A **17** παρεταξαντο ℵ | επ 2°] προς A | παρατασσεται (παρατασσετε A)] παρεταξατο ℵ | Συρος εξ εν. Δ.] Δαδ̄ εξ εν. του Συρου A | επολεμησεν ℵA | αυτον] + κ̄ς ℵ^{vid} **18** τεσσαρακ. B^{ab} | Σαφαθ] Σωβαχ A | αρχιστρατ.] pr τον A | απεκτειναν (2°) A **19** Αδραζαρ A

XX 1 [1]Καὶ ἐγένετο ἐν τῷ ἐπιόντι ἔτει ἐν τῇ ἐξόδῳ τῶν βασιλέων καὶ B
ἤγαγεν Ἰωὰβ πᾶσαν τὴν δύναμιν τῆς στρατείας, καὶ ἔφθειραν τὴν
χώραν υἱῶν Ἀμμών· καὶ ἦλθεν καὶ περιεκάθισεν τὴν Ῥάββαν. καὶ
Δαυεὶδ ἐκάθητο ἐν Ἰερουσαλήμ· καὶ ἐπάταξεν τὴν Ῥαββὰ καὶ κατέ-
2 σκαψεν αὐτήν. [2]καὶ ἔλαβεν Δαυεὶδ τὸν στέφανον Μολχὸλ βασιλέως
αὐτῶν ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, καὶ εὑρέθη ὁ σταθμὸς αὐτοῦ τάλαντον
χρυσίου, καὶ ἐν αὐτῷ λίθος τίμιος, καὶ ἦν ἐπὶ τὴν κεφαλὴν Δαυείδ·
3 καὶ σκῦλα τῆς πόλεως ἐξήνεγκεν πολλὰ σφόδρα. [3]καὶ τὸν λαὸν τὸν
ἐν αὐτῇ ἐξήγαγεν καὶ διέπρισεν πρίοσιν καὶ ἐν σκεπάρνοις σιδηροῖς,
καὶ οὕτως ἐποίησεν Δαυεὶδ τοῖς παισὶν υἱοῖς Ἀμμών· καὶ ἀνέστρεψεν
4 Δαυεὶδ καὶ πᾶς ὁ λαὸς αὐτοῦ εἰς Ἰερουσαλήμ. [4]Καὶ ἐγένετο μετὰ
ταῦτα καὶ ἐγένετο ἔτι πόλεμος ἐν Γάζερ μετὰ τῶν ἀλλοφύλων· τότε
ἐπάταξεν Σοβοχαὶ Θωσαθεὶ τὸν Σαφοὺτ ἀπὸ τῶν υἱῶν τῶν γιγάντων
5 καὶ ἐταπείνωσεν αὐτόν. [5]καὶ ἐγένετο ἔτι πόλεμος μετὰ τῶν ἀλλο-
φύλων, καὶ ἐπάταξεν Ἐλλὰν υἱὸς Ἰαεὶρ τὸν Ἐλεμεὲ ἀδελφὸν Γολιὰθ
6 τοῦ Γεθθαίου, καὶ ξύλον δόρατος αὐτοῦ ὡς ἀντίον ὑφαινόντων. [6]καὶ
ἐγένετο ἔτι πόλεμος ἐν Γέθ, καὶ ἦν ἀνὴρ ὑπερμεγέθης, καὶ δά-
κτυλοι αὐτοῦ ἓξ καὶ ἓξ, εἴκοσι τέσσαρες· καὶ οὗτος ἦν ἀπόγονος
7 γιγάντων. [7]καὶ ὠνείδισεν τὸν Ἰσραήλ, καὶ ἐπάταξεν αὐτὸν Ἰωναθὰν
8 υἱὸς Σαμαά, υἱὸς ἀδελφοῦ Δαυείδ. [8]οὗτος ἐγένετο Ῥαφὰ ἐν Γέθ·
πάντες ἦσαν τέσσαρες γίγαντες, καὶ ἔπεσον ἐν χειρὶ Δαυεὶδ καὶ
ἐν χειρὶ παίδων αὐτοῦ.

XXI 1 [1]Καὶ ἔστη διάβολος ἐν τῷ Ἰσραήλ, καὶ ἐπέσεισεν τὸν Δαυεὶδ
2 τοῦ ἀριθμῆσαι τὸν Ἰσραήλ. [2]καὶ εἶπεν ὁ βασιλεὺς Δαυεὶδ πρὸς
Ἰωὰβ καὶ πρὸς τοὺς ἄρχοντας τῆς δυνάμεως Πορεύθητε δὴ ἀριθμήσατε
τὸν Ἰσραὴλ ἀπὸ Βηρσάβεε καὶ ἕως Δάν, καὶ ἐνέγκατε πρὸς μέ, καὶ
3 γνώσομαι τὸν ἀριθμὸν αὐτῶν. [3]καὶ εἶπεν Ἰωάβ Προσθείη Κύριος
ἐπὶ τὸν λαὸν αὐτοῦ ὡς αὐτοὶ ἑκατονταπλασίως, καὶ οἱ ὀφθαλμοὶ
κυρίου μου τοῦ βασιλέως βλέποντες· πάντες τῷ κυρίῳ μου παῖδες·
ἵνα τί ζητεῖ κύριός μου τοῦτο; ἵνα μὴ γένηται εἰς ἁμαρτίαν τῷ Ἰσραήλ.

XX **1** στρατιας A | ηλθαν A | περιεκαθισαν A | Ραββαθ A (bis) | επα- A
ταξεν]+Ιωαβ A **2** Μολχομ A **3** αυτη] seq ras 1 lit in A | εξη-
γαγεν] εξηνεγκεν A | τοις παισιν] πασιν ταις πολεσιν (sic) A | υιοις] υιων A
4 Σοββοχαι A | Θωσαθει] ο Ουσαθι A | Σαφουτ] Σεφφι A **5** Ελλαν]
Ελεαναν A | Ιαειρ] Αδειρ A | Ελεμεε] Λεεμει A | ξυλον δορατος] το ξ. του δ.
A **7** Σαμαας A **8** ουτος εγενετο] ουτοι εγενοντο A | Γεθ] εθ (pr ras
1 lit) A | επεσαν A | om Δ. και εν χειρι A* (hab A^{a}) XXI **2** om ο βασι-
λευς A | om vid δη B$^{a\,(vid)\,b}$ | αριθμησατε] om α 1^{o} B* (hab B$^{?\,mg\,sinistr}$)
3 κυριου] κυριοι A | ινα τι A] om τι B* και ινατι B^{ab} | κυριος] pr ο A |
Ισραηλ] pr λαω A

Β [4]καὶ ἦλθεν εἰς Ἰερουσαλήμ. [5]καὶ ἔδωκεν Ἰωὰβ τὸν ἀριθμὸν τῆς 4 5
ἐπισκέψεως τοῦ λαοῦ τῷ Δαυείδ· καὶ ἦν πᾶς Ἰσραὴλ χίλιαι χιλιάδες
καὶ ἑκατὸν χιλιάδες ἀνδρῶν ἐσπασμένων μάχαιραν. [6]καὶ τὸν Λευεὶ 6
καὶ τὸν Βενιαμεὶν οὐκ ἠρίθμησεν ἐν μέσῳ αὐτῶν, ὅτι κατίσχυσεν
λόγος τοῦ βασιλέως τὸν Ἰωάβ. [7]καὶ πονηρὸν ἐναντίον τοῦ θεοῦ περὶ 7
τοῦ πράγματος τούτου, καὶ ἐπάταξεν τὸν Ἰσραήλ. [8]καὶ εἶπεν Δαυεὶδ 8
πρὸς τὸν θεόν Ἡμάρτηκα σφόδρα ὅτι ἐποίησα τὸ πρᾶγμα τοῦτο·
καὶ νῦν περίελε δὴ τὴν κακίαν παιδός σου, ὅτι ἐματαιώθην σφόδρα.
[9]καὶ ἐλάλησεν Κύριος πρὸς Γὰδ ὁρῶντα [10]Πορεύου καὶ λάλησον 9 10
πρὸς Δαυεὶδ λέγων Οὕτως λέγει Κύριος Τρία αἴρω ἐγὼ ἐπὶ σέ·
ἔκλεξαι σεαυτῷ ἓν ἐξ αὐτῶν καὶ ποιήσω σοι. [11]καὶ ἦλθεν Γὰδ πρὸς 11
Δαυεὶδ καὶ εἶπεν αὐτῷ Οὕτως λέγει Κύριος Ἔκλεξαι σεαυτῷ [12]ἢ 12
τρία ἔτη λιμοῦ, ἢ τρεῖς μῆνας φεύγειν σε ἐκ προσώπου ἐχθρῶν σου,
καὶ μάχαιρα ἐξ ἐχθρῶν σου τοῦ ἐξολεθρεῦσαι, ἢ τρεῖς ἡμέρας ῥομ-
φαίαν Κυρίου καὶ θάνατον ἐν τῇ γῇ, καὶ ἄγγελος Κυρίου ἐξολεθρεύων
ἐν πάσῃ κληρονομίᾳ Ἰσραήλ· καὶ νῦν ἴδε τί ἀποκριθῶ τῷ ἀπο-
στείλαντι λόγον. [13]καὶ εἶπεν Δαυεὶδ πρὸς Γάδ Στενά μοι καὶ τὰ 13
τρία σφόδρα· ἐμπεσοῦμαι δὴ εἰς χεῖρας Κυρίου, ὅτι πολλοὶ οἱ οἰκτειρ-
μοὶ αὐτοῦ σφόδρα, καὶ εἰς χεῖρας ἀνθρώπων οὐ μὴ ἐμπέσω. [14]καὶ 14
ἔδωκεν Κύριος θάνατον ἐν Ἰσραήλ, καὶ ἔπεσον ἐξ Ἰσραὴλ ἑβδομή-
κοντα χιλιάδες ἀνδρῶν. [15]καὶ ἀπέστειλεν ὁ θεὸς ἄγγελον εἰς Ἰερου- 15
σαλὴμ τοῦ ἐξολεθρεῦσαι αὐτήν· καὶ ὡς ἐξολόθρευεν, εἶδεν Κύριος
καὶ μετεμελήθη ἐπὶ τῇ κακίᾳ, καὶ εἶπεν τῷ ἀγγέλῳ τῷ ἐξολοθρεύοντι
Ἱκανούσθω σοι, ἄνες τὴν χεῖρά σου· καὶ ὁ ἄγγελος Κυρίου ἑστὼς
ἐν τῷ ἅλῳ Ὀρνὰ τοῦ Ἰεβουσαίου. [16]καὶ ἐπῆρεν Δαυεὶδ τοὺς ὀφθαλ- 16
μοὺς αὐτοῦ καὶ εἶδεν τὸν ἄγγελον Κυρίου ἑστῶτα ἀνὰ μέσον τῆς γῆς
καὶ τοῦ οὐρανοῦ, καὶ ἡ ῥομφαία αὐτοῦ ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ,
ἐκτεταμένη ἐπὶ Ἰερουσαλήμ· καὶ ἔπεσεν Δαυεὶδ καὶ οἱ πρεσβύτεροι
περιβεβλημένοι ἐν σάκκοις ἐπὶ πρόσωπον αὐτῶν. [17]καὶ εἶπεν 17

A **4** *και*] pr *το δε ρημα του βασιλεως εκραταιωθη| επι τω* Ιωαβ· *και εξ-*
ηλθεν Ιωαβ· *και| διηλθεν εν παντι οριω* Ισλ· A **6** *και* 1°] pr *και* Ιουδας
τετρακοσιαι| και ογδοηκοντα χιλιαδες ανδρω| εσπασμενων μαχαιραν· A | Λευι
A | *κατισχυσεν*] *προσωχθισεν* A | λογος] pr o A **7** *πονηρον*]+*εφανη* A
9 *ορωντα*]+Δαδ·| λεγων A **10** *αιρω*] *ερω* A | *εκλεξαι*] pr *και* A | om
εξ A **12** *φυγειν* A | *μαχαιραν* A | om *εξ* A | *εξολοθρ.* B$^{\text{I}}$ | om *εν* 2° A |
αποστ.]+*με* A **13** *και* 2°] om A* (hab $\mathfrak{H}$ A$^{\text{b(mg)}}$) | *τρια*]+*ταυτα* A
14 *επεσαν* A **15** *εξολοθρευσαι* B$^{\text{b}}$ | *εξολοθρευεν*] *εξωλοθρευεν* B$^{\text{b}}$ *εξω-*
λεθρευσεν A | *Ιεβουσαιου*] in fine appar parva ras in B **16** *ιδεν* A | *του*
ουρανου] pr *ανα μεσον* A

Δανεὶδ πρὸς τὸν θεόν Οὐκ ἐγὼ εἶπα τοῦ ἀριθμῆσαι τῷ λαῷ; καὶ ἐγώ B
εἰμι ὁ ἁμαρτών, κακοποιῶν ἐκακοποίησα· καὶ ταῦτα τὰ πρόβατα τί
ἐποίησαν; Κύριε ὁ θεός, γενηθήτω ἡ χείρ σου ἐν ἐμοὶ καὶ ἐν τῷ
οἴκῳ τοῦ πατρός μου, καὶ μὴ ἐν τῷ λαῷ σου εἰς ἀπώλειαν, Κύριε.
18 [18]καὶ ἄγγελος Κυρίου εἶπεν τῷ Γὰδ τοῦ εἰπεῖν πρὸς Δανεὶδ ἵνα
ἀναβῇ τοῦ στῆσαι θυσιαστήριον τῷ κυρίῳ ἐν ἅλῳ Ὀρνὰ τοῦ Ἰεβου-
19 σαίου. [19]καὶ ἀνέβη Δανεὶδ κατὰ τὸν λόγον Γὰδ ὃν ἐλάλησεν ἐν
20 ὀνόματι Κυρίου. [20]καὶ ἐπέστρεψεν Ὀρνά, καὶ εἶδεν τὸν βασιλέα καὶ
τέσσαρας υἱοὺς αὐτοῦ μετ' αὐτοῦ μεθαχαβείν· καὶ Ὀρνὰ ἦν ἀλοῶν
21 πυρούς. [21]καὶ ἦλθεν Δανεὶδ πρὸς Ὀρνᾶν, καὶ Ὀρνὰ ἐξῆλθεν ἐκ τῆς
22 ἅλω καὶ προσεκύνησεν τῷ Δανεὶδ τῷ προσώπῳ ἐπὶ τὴν γῆν. [22]καὶ
εἶπεν Δανεὶδ πρὸς Ὀρνά Δός μοι τὸν τόπον σου τῆς ἅλω καὶ
οἰκοδομήσω ἐπ' αὐτῷ θυσιαστήριον τῷ κυρίῳ· ἐν ἀργυρίῳ ἀξίῳ δός
23 μοι αὐτόν, καὶ παύσεται ἡ πληγὴ ἐκ τοῦ λαοῦ. [23]καὶ εἶπεν Ὀρνὰ
πρὸς Δανείδ Λάβε σεαυτῷ, καὶ ποιησάτω ὁ κύριός μου ὁ βασιλεὺς
τὸ ἀγαθὸν ἐναντίον αὐτοῦ· ἴδε δέδωκα τοὺς μόσχους εἰς ὁλοκαύτωσιν
καὶ τὸ ἄροτρον εἰς ξύλα καὶ τὸν σῖτον εἰς θυσίαν, τὰ πάντα δέδωκα.
24 [24]καὶ εἶπεν ὁ βασιλεὺς Δανεὶδ τῷ Ὀρνά Οὐχί, ὅτι ἀγοράζων ἀγοράζω
ἐν ἀργυρίῳ ἀξίῳ· ὅτι οὐ μὴ λάβω ἃ ἐστιν σοὶ Κυρίῳ, τοῦ ἀνενέγκαι
25 ὁλοκαύτωσιν δωρεὰν Κυρίῳ. [25]καὶ ἔδωκεν Δανεὶδ τῷ Ὀρνὰ ἐν
26 τῷ τόπῳ αὐτοῦ σίκλους χρυσίου ὁλκῆς ἑξακοσίους. [26]καὶ ᾠκοδό-
μησεν Δανεὶδ ἐκεῖ θυσιαστήριον Κυρίῳ, καὶ ἀνήνεγκεν ὁλοκαυτώματα
καὶ σωτηρίου· καὶ ἐβόησεν πρὸς Κύριον, καὶ ἐπήκουσεν αὐτῷ ἐν
πυρὶ ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὸ θυσιαστήριον τῆς ὁλοκαυτώσεως καὶ
27 κατανάλωσεν τὴν ὁλοκάυτωσιν. [27]καὶ εἶπεν Κύριος πρὸς τὸν ἄγγελον,
καὶ κατέθηκεν τὴν ῥομφαίαν εἰς τὸν κολεόν.
28 [28]Ἐν τῷ καιρῷ ἐκείνῳ ἐν τῷ ἰδεῖν τὸν Δανεὶδ ὅτι ἐπήκουσεν αὐτῷ
29 ἐν τῷ ἅλῳ Ὀρνὰ τοῦ Ἰεβουσαίου, καὶ ἐθυσίασεν ἐκεῖ. [29]καὶ σκηνὴ
Κυρίου ἣν ἐποίησεν Μωυσῆς ἐν τῇ ἐρήμῳ καὶ θυσιαστήριον τῶν
30 ὁλοκαυτωμάτων ἐν τῷ καιρῷ ἐκείνῳ ἐν Βαμὼθ ἐν Γαβαών. [30]καὶ

17 τω λαω (1°)] pr εν A | αμαρτων] ημ. A* vid (η ras A²) | απωλειαν A Κυριε] λειαν κε sup ras et in mg Aᵇ **18** τω Γαδ ειπεν A | του ειπειν (ειπεν B* ι superscr Bᵃᵇ)...αναβη] τω ειπειν προς Δαδ κε ινα λαβη (τω...λα sup ras et in mg Aᵃ²) A | Ιεβουσαιου] Ιοβ. B* vid **20** τεσσαρες υιοι A | μεθαχαβειν] κρυβομενοι A **21** Ορναν] Ορνα A **22** αυτον] αυτο A | om εκ A **23** ιδε] ιδου A | αροτρον] + και τας αμαξας A | εδωκα 2° A **24** ολοκ.] pr εις A **25** εν τω τοπω] περι του τοπου A **27** κατεθηκεν] κα|θηκεν A **28** επηκουσεν] εισηκουσεν A | αυτω] + κς A | τω αλω] om τω A | εθυασεν A* (superscr σι Aᵃ²) **29** Βαμωθ εν Γαβαων] Βαμα τη εν Γαβαωνι A

B οὐκ ἠδύνατο Δαυεὶδ τοῦ πορευθῆναι ἔμπροσθεν αὐτοῦ τοῦ ζητῆσαι
τὸν θεόν, ὅτι οὐ κατέσπευσεν ἀπὸ προσώπου τῆς ῥομφαίας ἀγγέλου
Κυρίου. 1καὶ εἶπεν Δαυεὶδ Οὗτός ἐστιν ὁ οἶκος Κυρίου τοῦ θεοῦ, 1 XXII
καὶ τοῦτο τὸ θυσιαστήριον εἰς ὁλοκαύτωσιν τῷ Ἰσραήλ. 2Καὶ 2
εἶπεν Δαυεὶδ συναγαγεῖν πάντας τοὺς προσηλύτους ἐν γῇ Ἰσραήλ·
καὶ κατέστησεν λατόμους λατομῆσαι λίθους ξυστοὺς τοῦ οἰκοδομῆσαι
οἶκον τῷ θεῷ. 3καὶ σίδηρον πολὺν εἰς τοὺς ἧλους τῶν θυρωμάτων 3
καὶ τῶν πυλῶν καὶ τοὺς στροφεῖς ἡτοίμασεν Δαυεὶδ καὶ χαλκὸν
εἰς πλῆθος, οὐκ ἦν σταθμός. 4καὶ ξύλα κέδρινα, οὐκ ἦν ἀριθμός· 4
ὅτι ἐφέροσαν οἱ Σειδώνιοι καὶ οἱ Τύριοι ξύλα κέδρινα εἰς πλῆθος τῷ
Δαυείδ. 5καὶ εἶπεν Δαυεὶδ Σαλωμὼν ὁ υἱός μου παιδάριον ἁπαλόν, 5
καὶ ὁ οἶκος τοῦ οἰκοδομῆσαι τῷ κυρίῳ εἰς μεγαλωσύνην ἄνω, εἰς ὄνομα
καὶ εἰς δόξαν εἰς πᾶσαν τὴν γῆν ἑτοιμάσω αὐτῷ· καὶ ἡτοίμασεν
Δαυεὶδ εἰς πλῆθος ἔμπροσθεν τῆς τελευτῆς αὐτοῦ. 6Καὶ ἐκά- 6
λεσεν Σαλωμὼν τὸν υἱὸν αὐτοῦ, καὶ ἐνετείλατο αὐτῷ τοῦ οἰκοδομῆσαι
τὸν οἶκον τῷ κυρίῳ θεῷ Ἰσραήλ. 7καὶ εἶπεν Δαυεὶδ Σαλωμών Τέκνον, 7
ἐμοὶ ἐγένετο ἐπὶ ψυχῇ τοῦ οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι Κυρίου
θεοῦ. 8καὶ ἐγένετό μοι λόγος Κυρίου λέγων Αἷμα εἰς πλῆθος ἐξέχεας, 8
καὶ πολέμους μεγάλους ἐποίησας· οὐκ οἰκοδομήσεις οἶκον τῷ ὀνόματί
μου, ὅτι αἵματα πολλὰ ἐξέχεας ἐπὶ τὴν γῆν ἐναντίον μου. 9ἰδοὺ 9
υἱὸς τίκτεταί σοι, οὗτος ἔσται ἀνὴρ ἀναπαύσεως, καὶ ἀναπαύσω αὐτὸν
ἀπὸ πάντων τῶν ἐχθρῶν κυκλόθεν, ὅτι Σαλωμὼν ὄνομα αὐτῷ, καὶ
εἰρήνην καὶ ἡσυχίαν δώσω ἐπὶ Ἰσραὴλ ἐν ταῖς ἡμέραις αὐτοῦ. 10οὗτος 10
οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου, καὶ οὗτος ἔσται μοι εἰς υἱὸν
κἀγὼ αὐτῷ εἰς πατέρα, καὶ ἀνορθώσω θρόνον βασιλείας αὐτοῦ ἐν
Ἰσραὴλ ἕως αἰῶνος. 11καὶ νῦν, υἱέ, ἔσται μετὰ σοῦ Κύριος, καὶ 11
εὐοδώσει καὶ οἰκοδομήσεις οἶκον τῷ κυρίῳ θεῷ σου, ὡς ἐλάλησεν
περὶ σοῦ. 12ἀλλ' ἢ δῴη σοι σοφίαν καὶ σύνεσιν Κύριος, καὶ κατι- 12
σχύσαι σε ἐπὶ Ἰσραὴλ καὶ τοῦ φυλάσσεσθαι καὶ τοῦ ποιεῖν τὸν νόμον
Κυρίου τοῦ θεοῦ σου. 13τότε εὐοδώσει ἐὰν φυλάξῃς τοῦ ποιεῖν τὰ 13
προστάγματα καὶ τὰ κρίματα ἃ ἐνετείλατο Κύριος τῷ Μωυσῇ ἐπὶ
Ἰσραήλ· ἀνδρίζου καὶ ἴσχυε, μὴ φοβοῦ μηδὲ πτοηθῇς. 14καὶ ἰδοὺ 14

A 30 του ζητ.] om του A | om ου A | αγγελος A^{2} XXII 1 om Κυριου A
4 εφορασαν A | Σειδωνιοι B*^{c} (Σιδ. B^{b}) 6 κυριω θεω] ονοματι κῡ θῡ A 8 μοι] επ εμε A | εποιησας] επολ pro εποι B*^{vid} (εποι B^{1} sed in ι parva ras latet inferius) | της γης A | μου 2°] εμου A 9 εχθρων] + αυτου sup ras A^{a} (om A*) | κυκλοθεν sup ras et in mg A^{a} 10 αυτω] + εσομαι A 11 υιε] + μου A 12 κατισχυσε σαι A 13 ευοδωσει] ευοδωθησει A

ἐγὼ κατὰ τὴν πτωχείαν μου ἡτοίμασα εἰς οἶκον Κυρίου χρυσίου Β
ταλάντων ἑκατὸν χιλιάδας, καὶ ἀργυρίου ταλάντων χιλίας χιλιάδας,
καὶ χαλκὸν καὶ σίδηρον οὗ οὐκ ἔστιν σταθμός, ὅτι εἰς πλῆθός
ἐστιν· καὶ ξύλα καὶ λίθους ἡτοίμασα, καὶ πρὸς ταῦτα πρόσθες.
15 [15]καὶ μετὰ σοῦ πρόσθες εἰς πλῆθος ποιούντων ἔργα, τεχνῖται καὶ
οἰκοδόμοι λίθων καὶ τέκτονες ξύλων, καὶ πᾶς σοφὸς ἐν παντὶ
16 ἔργῳ, [16]ἐν χρυσίῳ, ἐν ἀργυρίῳ, ἐν χαλκῷ καὶ ἐν σιδήρῳ, οὐκ
17 ἔστιν ἀριθμός· ἀνάστηθι καὶ ποίει, καὶ Κύριος μετὰ σοῦ. [17]καὶ ἐνε-
τείλατο Δαυεὶδ τοῖς παισὶν ἄρχουσιν Ἰσραὴλ ἀντιλαβέσθαι τῷ
18 Σαλωμὼν υἱῷ αὐτοῦ [18]Οὐχὶ Κύριος μεθ' ὑμῶν; καὶ ἀνέπαυσεν
ὑμᾶς κυκλόθεν, ὅτι ἔδωκεν ἐν χερσὶν τοὺς κατοικοῦντας τὴν γῆν,
19 καὶ ὑπετάγη ἡ γῆ ἐναντίον Κυρίου καὶ ἐναντίον λαοῦ αὐτοῦ. [19]νῦν
δότε καρδίας ὑμῶν καὶ ψυχὰς ὑμῶν τοῦ ζητῆσαι τῷ κυρίῳ θεῷ
ὑμῶν, καὶ ἐγέρθητε καὶ οἰκοδομήσατε ἁγίασμα τῷ θεῷ ὑμῶν, τοῦ
εἰσενέγκαι τὴν κιβωτὸν διαθήκης Κυρίου καὶ σκεύη τὰ ἅγια τοῦ
θεοῦ εἰς οἶκον τὸν οἰκοδομούμενον τῷ ὀνόματι Κυρίου.

XXIII 1 [1]Καὶ Δαυεὶδ πρεσβύτης καὶ πλήρης ἡμερῶν, καὶ ἐβασίλευσεν
2 Σαλωμὼν τὸν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ ἐπὶ Ἰσραήλ. [2]καὶ συνήγαγεν
τοὺς πάντας ἄρχοντας Ἰσραὴλ καὶ τοὺς ἱερεῖς καὶ τοὺς Λευείτας.
3 [3]καὶ ἠρίθμησαν οἱ Λευεῖται ἀπὸ τριακονταετοῦς καὶ ἐπάνω, καὶ ἐγένετο
ὁ ἀριθμὸς αὐτῶν κατὰ κεφαλὴν αὐτῶν εἰς ἄνδρας τριάκοντα καὶ ὀκτὼ
4 χιλιάδας· [4]ἀπὸ τῶν ἐργοδιωκτῶν ἐπὶ τὰ ἔργα οἴκου εἴκοσι τέσσαρες
5 χιλιάδες, καὶ γραμματεῖς καὶ κριταὶ ἑξακισχίλιοι, [5]καὶ τέσσαρες
χιλιάδες αἰνοῦντες τῷ κυρίῳ ἐν τοῖς ὀργάνοις οἷς ἐποίησεν τοῦ αἰνεῖν
6 τῷ κυρίῳ. [6]καὶ διεῖλεν αὐτοὺς Δαυεὶδ ἐφημερίας τοῖς υἱοῖς Λευεί,
7 τῷ Γεδσών, Καάθ, Μαραρεί· [7]καὶ τῷ Παροσόμ, τῷ Ἐδὰν καὶ τῷ
8 Σεμεεί. [8]υἱοὶ τῷ Ἐδάν· ὁ ἄρχων Ἰὴλ καὶ Ζεθὸμ καὶ Ἰωήλ. καὶ τρεῖς
9 [9]υἱοὶ Σεμεεί· Ἀλωθεὶμ καὶ Εἰειὴλ καὶ Λίδάν, τρεῖς· οὗτοι ἄρχοντες
10 πατριῶν τῶν Ἐδάν. [10]καὶ τοῖς υἱοῖς Σεμεεί· Ἰεὲθ καὶ Ζιζὰ καὶ Ἰῶας

14 πτωχιαν A | σταθμος] σ sup ras A^1 **16** εν 1°] ε sup ras A^1 | om εν A 4° A **18** χερσιν] χειρι υμων A | λαου] pr του A **19** τω θεω] pr $\overline{κω}$ A | εισενεγκε A (seq ras 1 lit) XXIII **2** τους παντας] παντας τους A | Λευιτ. A (item 3, 26) **4** των εργοδιωκτων] τουτων εργοδιωκται A **5** χιλιαδες] +πυλωροι και δ' χειλιαδες $B^{ab\,mg}$ +π. και τεσσαρες χιλιαδες A | εποιησαν A **6** Λευι A | Γεδσων] Γηρσων A | Μεραρι A (item 21) **7** Παροσωμ] Γηρσων A | Εδαν] Λεαδαν A | Σεμει A **8** υιω BA | τω Εδαν] Λεαδαν A | Ιηλ] Ιειηλ A | Ζαιθομ A | Ιωηλ] +τρις A | om και 3° B^a (hab B^{*b}A) | om τρεις A **9** υιου B^{*b} (υιοι B^{ab}A) | Σεμει A | Αλωθειμ] Σαλωμειθ A | Ειειηλ] Αζιηλ A | και τρεις Αιδαν B* om και τρεις B^{ab} om τρεις A | Αιδαν] pr κ $B^{ab\,mg\,sinistr}$ (quasi και Δαν?) Αραν A | πατριων] pr των A | των Εδαν] τω Λεαδαν A **10** υιοι B* (υιοις B^{ab}) | Σεμει A (bis) | om και Ιωας και Βεριa A

Β καὶ Βεριά· οὗτοι υἱοὶ Σεμεεί, τέσσαρες. 11καὶ ἦν Ἰεὲθ ὁ ἄρχων, καὶ 11
Ζιζὰ ὁ δεύτερος· καὶ Ἰὼας καὶ Βεριὰ οὐκ ἐπλήθυνεν υἱούς, καὶ ἐγένετο
εἰς οἶκον πατριᾶς εἰς ἐπίσκεψιν μίαν. 12υἱοὶ Καάθ· Ἀμβράμ, Ἰσσάαρ, 12
Χεβρών, Ὀζειήλ, τέσσαρες. 13υἱοὶ Ἀμβράμ· Ἀαρὼν καὶ Μωσῆς. 13
καὶ διεστάλη Ἀαρὼν τοῦ ἁγιασθῆναι ἅγια ἁγίων αὐτὸς καὶ οἱ υἱοὶ
αὐτοῦ ἕως αἰῶνος, τοῦ θυμιᾶν ἐναντίον τοῦ κυρίου, λειτουργεῖν καὶ
ἐπεύχεσθαι ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἕως αἰῶνος. 14καὶ Μωυσῆς ἄνθρωπος 14
τοῦ θεοῦ, υἱοὶ αὐτοῦ ἐκλήθησαν εἰς φυλὴν τοῦ Λευεί. 15υἱοὶ Μωυσῆ· 15
Γηρσὰμ καὶ Ἐλιέζερ. 16υἱοὶ Γηρσάμ· Σουβαὴλ ὁ ἄρχων. 17καὶ 16 17
ἦσαν υἱοὶ τῷ Ἐλιέζερ Ῥααβιὰ ὁ ἄρχων, καὶ οὐκ ἦσαν υἱοὶ ἕτεροι·
καὶ υἱοὶ Ῥααβιὰ ηὐξήθησαν εἰς ὕψος. 18υἱοὶ Ἰσσαάρ· Σαλωμὼθ ὁ 18
ἄρχων. 19υἱῶν Χεβρών· Ἰδουὴλ ὁ ἄρχων, Ἀμαδιὰ ὁ δεύτερος, Ὀζιὴλ 19
ὁ τρίτος, Ἰκεμίας ὁ τέταρτος. 20υἱοὶ Ὀζιήλ· Μειχᾶς ὁ ἄρχων καὶ 20
Ἰσειὰ ὁ δεύτερος. 21υἱοὶ Μεραρεί· Μοολεὶ καὶ Ὁμουσεί, υἱοὶ Μοήλ· 21
Ἐλεαζὰρ καὶ Κείς. 22καὶ ἀπέθανεν Ἐλεαζάρ, καὶ οὐκ ἦσαν αὐτῷ 22
υἱοὶ ἀλλ' ἢ θυγατέρες, καὶ ἔλαβον αὐτὰς υἱοὶ Κεὶς ἀδελφοὶ αὐτῶν.
23υἱοὶ Μουσεί· Μοολεὶ καὶ Αἰδαθ καὶ Ἀρειμώθ, τρεῖς. 24οὗτοι υἱοὶ 23 24
Λευεὶ κατ' οἴκους πατριῶν αὐτῶν, ἄρχοντες τῶν πατριῶν αὐτῶν
κατὰ τὴν ἐπίσκεψιν αὐτῶν κατὰ τὸν ἀριθμὸν ὀνομάτων αὐτῶν κατὰ
κεφαλὴν αὐτῶν, ποιοῦντες τὰ ἔργα λειτουργίας οἴκου Κυρίου ἀπὸ
εἰκοσαετοῦς καὶ ἐπάνω. 25ὅτι εἶπεν Δανεὶδ Κατέπαυσεν Κύριος 25
ὁ θεὸς Ἰσραὴλ τῷ λαῷ αὐτοῦ, καὶ κατεσκήνωσεν ἐν Ἰερουσαλὴμ
ἕως αἰῶνος. 26καὶ οἱ Λευεῖται οὐκ ἦσαν αἴροντες τὴν σκηνὴν καὶ 26
τὰ πάντα σκεύη αὐτῆς εἰς τὴν λειτουργίαν αὐτῆς· 27ὅτι ἐν τοῖς λόγοις 27
Δανεὶδ τοῖς ἐσχάτοις ἐστὶν ὁ ἀριθμὸς υἱῶν Λευεὶ ἀπὸ εἰκοσαετοῦς
καὶ ἐπάνω, 28ὅτι ἔστησεν αὐτοὺς ἐπὶ χεῖρα Ἀαρὼν τοῦ λειτουργεῖν 28
ἐν οἴκῳ Κυρίου ἐπὶ τὰς αὐλὰς καὶ ἐπὶ τὰ παστοφόρια, καὶ ἐπὶ τὸν
καθαρισμὸν τῶν πάντων ἁγίων, καὶ ἐπὶ τὰ ἔργα λειτουργίας τοῦ
θεοῦ· 29εἰς τοὺς ἄρτους τῆς προθέσεως, εἰς τὴν σεμίδαλιν τῆς θυσίας, 29
καὶ εἰς τὰ λάγανα τὰ ἄζυμα, καὶ εἰς τήγανον, καὶ εἰς τὴν πεφυραμένην,

A **11** Βαρια A | επληθυναν A | εγενοντο A **12** Αμραμ A (item 13) | Ισσααρ] pr και A | Οζειηλ] και Οζιηλ A **14** Λευι A (item 24) **17** ησαν 2°] +τω Ελιεζερ A | ζερ υιοι ετεροι και in mgg et sup ras A^a (om υιοι ετ. και A*) | ηυξησαν A* ($ηυξηθησαν A^{a?}$) **18** Σαλουμωθ A **19** Ιδουδ] Ιερια A | Αμαδια] Αμαρια A | Οζιηλ] Ιαζιηλ A **20** Μειχας] Μιχα A | Ισεια] Ιεσσια A **21** Μοολι A (item 23) | Ομουσει] Μουσι A | Μοηλ] Μοολι A | Ελιαζαρ A **23** Μουσι A | Αιδαθ] Εδερ A | Αρειμωθ] Ιαριμωθ A | τρει B* (τρεις B^{ab}) **24** om αυτων 4° A **25** Ισραηλ τω] τω Ισλ· A **26** τα παντα] παντα τα A **27** υιων Λευει] των Λευιτω· | Λευι A **28** επι 1°] επει B* (επι B^b) | του θεου] pr οικου A

30 καὶ εἰς πᾶν μέτρον· [30]καὶ τοῦ στῆναι πρωὶ τοῦ αἰνεῖν, ἐξομολογεῖσθαι B
31 τῷ κυρίῳ, καὶ οὕτως τὸ ἑσπέρας· [31]καὶ ἐπὶ πάντων τῶν ἀναφερομένων
ὁλοκαυτωμάτων τῷ κυρίῳ ἐν τοῖς σαββάτοις καὶ ἐν ταῖς νεομηνίαις
καὶ ἐν ταῖς ἑορταῖς, κατὰ ἀριθμόν, κατὰ τὴν κρίσιν ἐπ' αὐτοῖς διὰ
32 παντὸς τῷ κυρίῳ. [32]καὶ φυλάξουσιν τὰς φυλακὰς σκηνῆς τοῦ
μαρτυρίου καὶ τὰς φυλακὰς υἱῶν Ἀαρὼν ἀδελφῶν αὐτῶν, τοῦ λειτουρ-
XXIV 1 γεῖν ἐν οἴκῳ Κυρίου. [1]Καὶ τοὺς υἱοὺς Ἀαρὼν διαιρέσει Ναδὰβ
2 καὶ Ἀβιούδ, Ἐλεαζὰρ καὶ Ἰθαμάρ· [2]καὶ ἀπέθανεν Ναδὰβ καὶ
Ἀβιοὺδ ἐναντίον τοῦ πατρὸς αὐτῶν, καὶ υἱοὶ οὐκ ἦσαν αὐτοῖς· καὶ
3 ἱεράτευσεν Ἐλεαζὰρ καὶ Ἰθαμὰρ υἱοὶ Ἀαρών· [3]καὶ διεῖλεν αὐτοὺς
Δανείδ, καὶ Σαδὼκ ἐκ τῶν υἱῶν Ἐλεαζάρ, καὶ Ἀχειμέλεχ ἐκ τῶν
υἱῶν Ἰθαμάρ, κατὰ τὴν ἐπίσκεψιν αὐτῶν, κατὰ τὴν λειτουργίαν
4 αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν. [4]καὶ εὑρέθησαν οἱ υἱοὶ Ἐλεαζὰρ
πλείους εἰς ἄρχοντας τῶν δυνατῶν παρὰ τοὺς υἱοὺς Ἰθαμάρ· καὶ
διεῖλεν αὐτούς, τοῖς υἱοῖς Ἐλεαζὰρ ἄρχοντας εἰς οἴκους πατριῶν ἓξ καὶ
5 δέκα, τοῖς υἱοῖς Ἀαρὼν Ἰθαμὰρ κατ' οἴκους πατριῶν. [5]καὶ διεῖλεν αὐτοὺς
κατὰ κλήρους τούτους πρὸς τούτους, ὅτι ἦσαν ἄρχοντες τῶν ἁγίων
καὶ ἄρχοντες Κυρίου ἐν τοῖς υἱοῖς Ἐλεαζὰρ καὶ ἐν τοῖς υἱοῖς Ἰθαμάρ.
6 [6]καὶ ἔγραψεν αὐτοὺς Σαμαίας υἱὸς Ναθαναὴλ ὁ γραμματεὺς ἐκ τοῦ
Λευεὶ κατέναντι τοῦ βασιλέως καὶ τῶν ἀρχόντων, καὶ Σαδὼκ ὁ ἱερεύς,
καὶ Ἀχειμέλεχ υἱὸς Ἀβιαθάρ, καὶ ἄρχοντες τῶν πατριῶν τῶν ἱερέων
καὶ τῶν Λευειτῶν· οἴκου πατριᾶς εἷς εἷς τῷ Ἐλεαζὰρ καὶ εἷς εἷς τῷ
7 Ἰθαμάρ. [7]καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ πρῶτος τῷ Ἰαρείμ, τῷ Ἀναιδειὰ
8 ὁ δεύτερος, [8]τῷ Χαρὴβ ὁ τρίτος, τῷ Σεωρεὶμ ὁ τέταρτος, [9]τῷ Μελχειὰ
9 10 ὁ πέμπτος, τῷ Βενιαμεὶν ὁ ἕκτος, [10]τῷ Κὼς ὁ ἕβδομος, τῷ Ἀβιὰ
11 12 ὁ ὄγδοος, [11]τῷ Ἰησοῦ ὁ ἔνατος, τῷ Ἰσχανιὰ ὁ δέκατος, [12]τῷ Ἐλιαβιεὶ
13 ὁ ἑνδέκατος, τῷ Ἰακεὶμ ὁ δωδέκατος, [13]τῷ Ὀχχοφφὰ ὁ τρισκαιδέ-
14 κατος, τῷ Γελβὰ ὁ τεσσαρεσκαιδέκατος, [14]τῷ Ἐμμὴρ ὁ πεντεκαιδέ-
15 κατος, τῷ Χηζεὶν ὁ ἑκκαιδέκατος, [15]τῷ Ἀφεσὴ ὁ ἑπτακαιδέκατος, τῷ

29 μετρον] in μ ras aliq $B^{?}$ XXIV **1** τοις υιοις A | διαιρεσει Ναδαβ και] A διαιρεσει|ς (sic) υιοι Ααρων Ναδαβ και sup ras et in mg A^{a} **3** διειδεν A | Αχιμε|λεκ A **4** οι υιοι] om οι A | εξ και δεκα] εκκαιδεκα A | τοις υιοις 2°] pr και A | om Ααρων A | πατριων 2°]+οκτω A **6** Σαμμαιας A | Λευι A (item 20) | ο ιερευς] του ιερεως A | Αχιμελεχ A | υιος 2°] υιοι A^{*} (υιου $A^{?}$) | Λευιτων A **7** ο κληρος] ολοκληρος A | Ιαρειμ] Ιαρειβ A | Αναιδεια] Ιδεια A **8** Χαρηβ] Χαρημ A | τω Σεωρειμ] του Σεωριν A **9** Μελχια A | Βενιαμειν] Μειαμειν A **10** Κως] Ακκως A | ογδος A **11** Ισχανια] Σεκενια A **12** Ελιαβιει] Ελιασειβ A | Ιακειμ] Ελιακειμ A **13** Οχχοφφα] Οφφα A | Γελβα] Ισβααλ A **14** Εμμηρ] Βελγα A | πεμπτεκαιδ. B* (πεντεκαιδ. B^{ab}) | Χηζειν] Εμμηρ A **15** Αφεση] Ιεζειρ A

Β Φεταὰ ὁ ὀκτωκαιδέκατος, [16]τῷ Ἐζεκὴλ ὁ ἐννεακαιδέκατος, τῷ Ἀχεὶμ ὁ 16
εἰκοστός, [17]τῷ Γαμοὺλ ὁ εἷς καὶ εἰκοστός, τῷ Ἀδαλλαὶ ὁ δεύτερος καὶ 17
εἰκοστός, [18]τῷ Μαασαὶ ὁ τρίτος καὶ εἰκοστός. [19]αὕτη ἡ ἐπίσκεψις 18 19
αὐτῶν κατὰ τὴν λειτουργίαν αὐτῶν τοῦ εἰσπορεύεσθαι εἰς οἶκον
Κυρίου κατὰ τὴν κρίσιν αὐτῶν διὰ χειρὸς Ἀαρὼν πατρὸς αὐτῶν, ὡς
ἐνετείλατο Κύριος ὁ θεὸς Ἰσραήλ. [20]Καὶ τοῖς υἱοῖς Λευεὶ τοῖς 20
καταλοίποις· τοῖς υἱοῖς Ἀμβρὰμ Ἰωβαήλ, Ἰεδειά· [21]τῷ Ῥααβιὰ ὁ ἄρχων. 21
[22]καὶ τῷ Ἰσσαρεὶ Σαλωμώθ· τοῖς υἱοῖς Σαλωμὼθ Ἰνάθ. [23]υἱοὶ Ἰηδει- 22 23
μού· Ἀμαδιὰ ὁ δεύτερος, Ἰασὴ ὁ τρίτος, Ἰοκὸμ ὁ τέταρτος. [24]Ὀζειὴλ 24
Μειχά· υἱοὶ Μειχὰ Σαμήρ· [25]ἀδελφὸς Μειχὰ Ἰσιά· υἱὸς Ἰσιὰ Ζαχαριά. 25
[26]υἱοὶ Μεραρεὶ Μοολεὶ καὶ Ὁμουσεί. υἱοὶ Ὀζειά· [27]τοῦ Μεραρεὶ τῷ Ὀζειά, 26 27
υἱοὶ αὐτοῦ Ἰσοὰμ καὶ Ζακχοὺρ καὶ Ἀβαί. [28]τῷ Μοολεὶ Ἐλεαζὰρ καὶ 28
Ἰθαμάρ· καὶ ἀπέθανεν Ἐλεαζὰρ καὶ οὐκ ἦσαν αὐτῷ υἱοί. [29]τῷ Κείς· 29
υἱοὶ τοῦ Κεὶς Ἰραμαήλ. [30]καὶ υἱοὶ τοῦ Μουσεὶ Μοολλεὶ καὶ Ἠλὰ 30
καὶ Ἀρειμώθ. οὗτοι υἱοὶ τῶν Λευειτῶν κατ᾽ οἴκους πατριῶν αὐτῶν.
[31]καὶ ἔλαβον καὶ αὐτοὶ κλήρους καθὼς οἱ ἀδελφοὶ αὐτῶν υἱοὶ Ἀαρὼν 31
ἐναντίον τοῦ βασιλέως καὶ Σαδὼκ καὶ Ἀχειμέλεχ καὶ ἄρχων τῶν
πατριῶν τῶν ἱερέων καὶ τῶν Λευειτῶν πατριάρχαι Ἀραάβ, καθὼς
οἱ ἀδελφοὶ αὐτοῦ οἱ νεώτεροι. [1]Καὶ ἔστησεν Δαυεὶδ ὁ βασιλεὺς 1 XXV
καὶ οἱ ἄρχοντες τῆς δυνάμεως εἰς τὰ ἔργα τοὺς υἱοὺς Ἀσὰφ καὶ
Αἱμὰν καὶ Ἰδιεθὼν τοὺς ἀποφθεγγομένους ἐν κινύραις καὶ ἐν νάβλαις
καὶ ἐν κυμβάλοις· καὶ ἐγένετο ὁ ἀριθμὸς αὐτῶν κατὰ κεφαλὴν αὐτῶν
ἐργαζομένων ἐν τοῖς ἔργοις αὐτῶν. [2]υἱοὶ Ἀσάφ· Σακχούς, Ἰωσὴφ 2
καὶ Ναθαλίας καὶ Ἐραήλ· υἱοὶ Ἀσὰφ ἐχόμενοι τοῦ βασιλέως. [3]τῷ 3
Ἰδιεθών, υἱοὶ Ἰδιεθών· Τουνὰ καὶ Οὐρεὶ καὶ Σαιὰ καὶ Σεμεεὶ καὶ Ἀσαβιὰ

A **15** Φεταια] Αφεσση A **16** Εζεκηλ] Φεθεια A | Αχειμ] Εζεκηλ A **17** Γαμουλ] Ιαχειν A | Αδαλλαι] Γαμουηλ A | δευτερος] seq ras 1 lit in A **18** Μαασαι] Δαλαια A | εικοστος]+τω Μοοζαλ ο τεταρτος και εικοστος A **20** Αμραμ A | Ιωβαηλ] Σουβαηλ· A | Ιεδεια] Ιαδαια· Αραδεια· A **21** αρχων]+Ιεσιας A **22** Ισσααρι A **23** υιοι] pr και A | Ιηδειμου] Ιεδιον· | A | Αμαδια] Αμαριας· A | Ιαση] Ιαζιηλ A | Ιοκομ] Ιεκεμια· A **24** Οζειηλ] υιοι Οζιηλ A | Μιχα A (bis: item 25) **25** αδελφοις A | Ισια 1°] Ασια A | υιος] υιοι A | Ζαχαριας A **26** Μεραρι A | Μοολι A | Ομουσει] Μουσι A | Οζεια] Οζια· υιοι Βοννι| A **27** του Μεραρει] υιοι Μεραρι A | Οζια A | Ισσοαμ A | Αβαι] Ωβδι A **28** Μοολι A | om και Ιθαμαρ...υιοι A **30** Μοουσει] Μουσι A | Μοολλει] Μοολι A | Ηλα] Εδερ A | Αρειμωθ] Ιεριμωθ A | Λευιτων A (item 31) **31** Αχιμελεχ A | αρχων των] αρχοντων A | πατριαρχαι] πατριαι A | Αρααβ] Αρως A XXV **1** Ιδιθουμ A **2** Σακχους] Ζακχουρ A | Ιωσηφ] pr και A | Ναθανιας A | Εραηλ] Ιε|σιηλ A | εχομενα A **2—3** ως του Ιδι|θουμ υιοι in mg et sup ras A^a (om υιοι Ιδιθουμ A*) **3** Ιδιθουμ A (bis) | Τουνα] Γοδολιας· A | και Ουρει] Σουρι· A | Σαια] Ιεεια A | Σεμει A | Ασαβιας A

καὶ Ματταθίας, ἕξ, μετὰ τὸν πατέρα αὐτῶν Ἰδιεθὼν ἐν κινύρᾳ ἀνα- B
4 κρουόμενος ἐξομολόγησιν καὶ αἴνεσιν τῷ κυρίῳ. 4τῷ Αἱμανεί, υἱοὶ
Αἱμάν· Βουκείας καὶ Μανθανίας καὶ Ἀζαραὴλ καὶ Σουβαὴλ καὶ Ἀμσοὺ
καὶ Ἰερεμὼθ καὶ Ἀνανίας καὶ Ἠλιαθὰθ καὶ Γοδολλαθεὶ καὶ Ῥωμεί·
5 υἱοὶ Ὠδ καὶ Ἰειβασάκα καὶ Μανθεὶ καὶ Ὠθηρεὶ καὶ Μελζώθ. 5πάντες
οὗτοι υἱοὶ τῷ Αἱμὰν τῷ ἀνακρουομένῳ τῷ βασιλεῖ ἐν λόγοις θεοῦ
ὑψῶσαι κέρας· καὶ ἔδωκεν θεὸς τῷ Αἱμὰν υἱοὺς δέκα τέσσαρες καὶ
6 θυγατέρας τρεῖς. 6πάντες οὗτοι μετὰ τοῦ πατρὸς αὐτῶν ὑμνῳδοῦντες
ἐν οἴκῳ θεοῦ ἐν κυμβάλοις καὶ ἐν νάβλαις καὶ ἐν κινύραις ἐχόμενα
7 τοῦ βασιλέως, καὶ Ἀσαφ καὶ Ἰδειθοὺν καὶ Αἱμανεί. 7καὶ ἐγένετο
ὁ ἀριθμὸς αὐτῶν μετὰ τοὺς ἀδελφοὺς αὐτῶν, δεδιδαγμένοι ᾄδειν Κυρίῳ,
8 πᾶς συνίων διακόσιοι ὀγδοήκοντα καὶ ὀκτώ. 8καὶ ἔβαλον καὶ αὐτοὶ
κλήρους ἐφημεριῶν κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν, τελείων
9 καὶ μανθανόντων. 9καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ πρῶτος υἱῶν αὐτοῦ
καὶ ἀδελφῶν αὐτοῦ τῷ Ἀσάφ, τῷ Ἰωσήφ, Γαλουιὰ ὁ δεύτερος, Ἡνειά,
10 ἀδελφοὶ αὐτοῦ καὶ υἱοὶ αὐτοῦ δέκα δύο· 10ὁ τρίτος Ζαχχούθ, υἱὸς
11 αὐτοῦ· καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· 11ὁ τέταρτος Ἰεσδρεί, υἱοὶ αὐτοῦ
12 καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· 12ὁ πέμπτος Ναθάν, υἱοὶ αὐτοῦ καὶ
13 ἀδελφοὶ αὐτοῦ δέκα δύο· 13ὁ ἕκτος Βουκείας, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ
14 αὐτοῦ δέκα δύο· 14ὁ ἕβδομος Ἰσεριήλ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ
15 δέκα δύο· 15ὁ ὄγδοος Ἰωσειά, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο·
16 16ὁ ἔνατος Μανθανίας, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· 17ὁ
17 18 δέκατος Ἐμεεί, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· 18ὁ ἑνδέκατος
19 Ἀζαριά, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· 19ὁ δωδέκατος Ἀριά,
20 υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· 20ὁ τρισκαιδέκατος Σουβαήλ,
21 υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· 21ὁ τεσσαρεσκαιδέκατος
22 Ματταθίας, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· 22ὁ πεντεκαιδέκατος
23 Ἐρειμώθ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· 23ὁ ἑκκαιδέκατος

3 Ιδιθουν (3°) A | ανακρουομενοι A **4** Αιμανει] Αιμαν A | Βουκειας] A Βοκκιας A | Ματ|θανιας A | Αζαραηλ] Οζιηλ A | om και Αμσου A | Ιε|ριμουθ A | Ηλιαθαθ] Ανανι· και Ελι|αθα A | Γεδολλαθι A | Ρωμει] Ρωμεμθι· A **5** υιοι Ωδ] Εζερ· A | Ιειβασακα] Σεβα· καιταν· (sic) A | Μανθει] Μεαλωθι A | Ωθηρει] Ιω|εθιρι· A | Μελζωθ] Μααζιωθ A **5** τεσσαρας B^{b} | θυγατερες τρις A **6** οικω θεου] οικω κυ· A | Ιδιθουν A | Αιμαν A **7** τους αδελφους] των αδελφων A | om και 2° A **9** ο κληρος] ολοκληρος A | τω Ιωσηφ] του Ι. A | Γαλουια] Γοδολιας A | Ηνια A | δεκα δυο] δωδεκα A (item infra [10—31] 20^{ies} ter) **10** Ζακχουρ A | υιος] υιοι A **11** Ιεσδρι A **12** Ναθανιας A **13** Βουκειας] Κοκκιας A **14** Ισεριηλ] Ισρεηλα· A **15** Ιωσεια] Ισιας· A **16** Ματθανιας A **17** Εμεει] Σεμει A **18** Αζαρια] Εζριηλ A **19** Αρια] Ασαβια A **21** Ματταθιας] Ματθιας A **22** Ερειμωθ] Ιερημωθ· A **23** δεκατος Αναν sup ras A^{1} (pr ras 1 lit)

Β Ἀνανίας, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· [24] ὁ ἑπτακαιδέκατος 24
Βακατά, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· [25] ὁ ὀκτωκαιδέκατος 25
Ἀνανίας, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· [26] ὁ ἐννεακαιδέκατος 26
Μεθαθεί, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· [27] ὁ εἰκοστὸς Αἰμαθά, 27
υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· [28] ὁ εἰκοστὸς πρῶτος Ἠθεί, 28
υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· [29] ὁ εἰκοστὸς δεύτερος Γοδομαθεί, 29
υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· [30] ὁ τρίτος καὶ εἰκοστὸς Μεαζώθ, 30
υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο· [31] ὁ τέταρτος καὶ εἰκοστὸς Ῥο- 31
μελχεί, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο. [1] Εἰς διαιρέσεις τῶν 1 XXVI
πυλῶν υἱοὶ Κορεείμ· Μοσολαὴλ υἱὸς Κωρή· ἐκ τῶν υἱῶν Ἀβιά, Σαφάρ. 2
[2] καὶ τὴν Μοσαληὰ υἱοῦ Ζαχαρίου ὁ πρωτότοκος Ἰδερήλ, Ζαχαρίας, 3
Ἰενουήλ, [3] Ἰωλάμ, Ἰωνᾶς, Ἐλιωναὶς ὁ ἕβδομος. [4] καὶ τῷ Ἀβδοδὸμ υἱοί· 4
Σαμαίας ὁ πρωτότοκος, Ἰωζαβάθ, Ἰωάθ, Σαχάρ, Ναάς, Ἰειήλ, [5] Ἀμειήλ, 5
Ἰσσαχάρ, Ἰαφθοσλααθί· ὅτι εὐλόγησεν αὐτὸν ὁ θεός. [6] καὶ τῷ Σαμαίᾳ 6
υἱῷ αὐτοῦ ἐτέχθησαν υἱοὶ τοῦ πρωτοτόκου Ῥωσαὶ εἰς τὸν οἶκον τὸν
πατρικὸν αὐτοῦ, ὅτι δυνατοὶ ἦσαν. [7] υἱοὶ Σαμαί· Γοονεὶ καὶ Ῥαφαὴλ 7
καὶ Ὠβηδ καὶ Ἐληζαβὰθ καὶ Ἀχιούδ, υἱοὶ δυνατοί, Ἐννοὺ καὶ Σαβχειὰ
καὶ Ἰσβακώμ. [8] πάντες ἀπὸ τῶν υἱῶν Ἀβδοδόμ, αὐτοὶ καὶ οἱ ἀδελφοὶ 8
αὐτῶν καὶ υἱοὶ αὐτῶν ποιοῦντες δυνατῶς ἐν τῇ ἐργασίᾳ, οἱ πάντες
ἑξήκοντα δύο τῷ Ἀβδοδόμ. [9] καὶ τῷ Μοσομαμεὶδ υἱοὶ καὶ ἀδελφοὶ 9
δέκα καὶ ὀκτὼ δυνατοί. [10] καὶ τῷ Ἰοσσὰ τῶν υἱῶν Μερραρεὶ υἱοὶ 10
φυλάσσοντες τὴν ἀρχήν, ὅτι οὐκ ἦν πρωτότοκος· καὶ ἐποίησεν αὐτὸν
ὁ πατὴρ αὐτοῦ ἄρχοντα τῆς διαιρέσεως τῆς δευτέρας. [11] Ταβλαὶ 11

A **24** Βακατα] Ιεσβακαταν· A **25** Ανανι A **26** Μεθαθει] Μελληθι A **27** Αιμαθα] Ελιαθ A **28** πρωτος] pr και A | Ηθει] Ιεθιρι· A **29** Γοδομαθει] Γεδδελθι A **30** Μεαζωθ] Μααζιωθ· A **31** Ρομελχει (superscr ωθ B^{ab})] Ρωμεθ'μιεζερ A | αδελφοι] pr οι A XXVI **1** εις] και A | διαιρεσις A | πυλων] φυλων B | υιοι] υιοις A | Κορεειμ] Κορε A | Μοσολαηλ] Μοσολλαμ A | Κωρη] Κωρης A | Αβια Σαφαρ] Ασαφ A **2** την Μοσαληα] τω| Μασελλαμια A | υιου] υιοι· A | Ζαχαριου] Ζαχαριας A | Ιδερηλ] Ιαδιηλ A | Ζαχαριας] Ζαβα|διας ο τριτος· Ναθανα· ο τεταρτος· A **2—3** Ιενουηλ Ιωλαμ] Ιενουηλωλαμ· ο πεμπτος· A **3** Ιωνας] Ιωνᾶ· ο εκτος A | Ελιωναις] Ελιωηαι· A **4** Σαμειας A | Ιωζαβαθ] Ιωζαβαδ· ο δευτερος· | A | Ιωαθ] Ιωαα· ο τριτος· A | Σαχαρ] Σαχιαρ· ο τεταρτος· | A | Ναας Ιειηλ] Ναθαναηλ· ο πεμπτος· A **5** Αμειηλ] Αμιηλ· ο εκ|τος· A | Ισσαχαρ]+ο εβδομος A | Ιαφθοσλααθι] Φολλαθι· | ο ογδοος· A **6** Σαμεια A | τω πρωτοτοκω A **7** Σαμαι] Σεμεια A | Γοονει] Γοθνι A | Ωβηδ] Ιωβηδ A | Ελιηζαβαθ] Ελζαβαδ A | Αχιου A | δυνατοι]+ισχυι A | Εννου] Ελιου A | Σαβχεια] Σαμαχιας A | Ισβακωμ] Ιε|βακωβ A **8** Αβδεδομ (1°) A **9** Μοσομαμειδ] Μεσολλεμια A | οκτω και A **10** Ιοσσα] Ωσα A | των υιων] pr απο A | Μεραρι A | ην]+αυτω A **11** Ταβλαι] Χελχειας ο δευτερος· Ταβε|λιας A

ὁ τρίτος, Ζαχαρίας· πάντες οὗτοι υἱοὶ καὶ ἀδελφοὶ τῷ Ἰοσσὰ τρισκαί- B
12 δεκα. 12τούτοις αἱ διαιρέσεις τῶν πυλῶν τοῖς ἄρχουσι τῶν δυνατῶν
13 ἐφημερίαι καθὼς οἱ ἀδελφοὶ αὐτῶν λειτουργεῖν ἐν οἴκῳ Κυρίου. 13καὶ
ἔβαλον κλήρους κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν κατ᾽ οἴκους
14 πατριῶν αὐτῶν εἰς πυλῶνα καὶ πυλῶνα. 14καὶ ἔπεσεν ὁ κλῆρος
τῶν πρὸς ἀνατολὰς τῷ Σαλαμειὰ καὶ Ζαχαριά, υἱοὶ Σωάζ· τῷ Μελχειὰ
15 ἔβαλον κλήρους, καὶ ἐξῆλθεν ὁ κλῆρος βορρᾶ· 15τῷ Ἀβδοδὸμ νότον
16 κατέναντι οἴκου ἐσεφείν· 16εἰς δεύτερον τῷ Ἰοσσὰ πρὸς δυσμαῖς
μετὰ τὴν πύλην παστοφορίου τῆς ἀναβάσεως· φυλακὴ κατέναντι
17 φυλακῆς. 17πρὸς ἀνατολὰς ἓξ τὴν ἡμέραν, βορρᾶ τῆς ἡμέρας τέσσαρες,
18 νότον τῆς ἡμέρας τέσσαρες, καὶ εἰς τὸ ἐσεφεὶν δύο 18εἰς διαδε-
χομένους, καὶ τῷ Ἰοσσὰ πρὸς δυσμαῖς μετὰ τὴν πύλην τοῦ παστο-
φορίου τρεῖς. φυλακὴ κατέναντι φυλακῆς τῆς ἀναβάσεως πρὸς
ἀνατολὰς τῆς ἡμέρας ἕξ, καὶ τῷ βορρᾷ τέσσαρες, καὶ τῷ νότῳ τέσσαρες,
καὶ ἐσεφεὶμ δύο εἰς διαδεχομένους, καὶ πρὸς δυσμαῖς τέσσαρες, καὶ
19 εἰς τὸν τρίβον δύο διαδεχομένους. 19αὗται αἱ διαιρέσεις τῶν πυλωρῶν
20 τοῖς υἱοῖς Καὰθ καὶ τοῖς Μερραρεί. 20καὶ οἱ Λευεῖται ἀδελφοὶ αὐτῶν
ἐπὶ τῶν θησαυρῶν οἴκου Κυρίου καὶ ἐπὶ τῶν θησαυρῶν τῶν καθη-
21 γιασμένων. 21υἱοὶ Χαδὰν οὗτοι, Γηρσωνεί· τῷ Λαδὰν καὶ Ἰαιηὶλ τοῦ
Ἰού· υἱοὶ Ἰειὴλ ἄρχοντες πατριῶν τῷ Λαδάν· τῷ Γηρσωνεὶ Ἰειήλ.
22 22υἱοὶ Ἰειὴλ Ζεθὸμ καὶ Ἰωὴλ οἱ ἀδελφοί, ἐπὶ τῶν θησαυρῶν οἴκου
23 24 Κυρίου. 23τῷ Ἀμβρὰμ καὶ Ἰσσάαρ Χεβρὼν καὶ Ὀζειήλ. 24καὶ Ἰωὴλ
25 ὁ τοῦ Γηρσὰμ τοῦ Μωσῆ ἐπὶ τῶν θησαυρῶν. 25καὶ τῷ ἀδελφῷ αὐτοῦ
τῷ Ἐλιέζερ Ῥαβίας υἱὸς καὶ Ὡσαίας καὶ Ἰωρὰμ καὶ Ζεχρεὶ καὶ
26 Σαλωμώθ. 26αὐτὸς Σαλωμὼθ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐπὶ πάντων
τῶν θησαυρῶν τῶν ἁγίων, οὓς ἡγίασεν Δαυεὶδ ὁ βασιλεὺς καὶ οἱ
ἄρχοντες τῶν πατριῶν χιλίαρχοι καὶ ἑκατόνταρχοι καὶ ἀρχηγοὶ τῆς

11 Ζαχαριας]+ο τεταρτος A | ουτοι] ου||τοι B* υ pro ου Bᵃ ο|υτοι Bᵇ | A
Ιοσσα] Ωσα A | τρισκαιδεκα] δεκατρις A **12** η διαιρεσις A | αρχουσιν A
14 προς] κατα A | Σαλαμεια B* (Σαλαμια Bᵇ)] Σελεμια A | Σωαζ] Ιωιας A | Μελχια A **15** εσεφειν] ασαφειν A **16** εις δευτερον] τω Σεφι|ειμ A | Ιοσσα] Ωσα A | δυσμας A | παστοφοριου] pr του A | om φυλακη κατεναντι A
17 προς] κατ A | την ημεραν εξ] εξ· την ημεραν A | om νοτον...τεσσαρες A | εσεφειν] ασαφειν A | δυο]+δυο A **18** Ιοσσα] Ιας A | δυσμαις 2°] δυσμας A **19** διαιρεσις A | Κααθ] Κορε A | τοις Μερραρει] τοις υιοις Μεραρι A **20** Λευιται A **21** Χαδαν] Λεδαν A | ουτοι] υιοι A | Γηρσωνει] τω Γηρσωνι A | Λαδαν 1°] Λεδαν A | om και Ιαιηλ...Ιειηλ 1° A | Λαδαν 2°] Λααδᾶ· A **22** υιοι] pr και A | Ιειηλ] Ιεηλ A | Ζοθομ A | οι αδελφοι] ο αδελφος αυτου A **23** Αμβραμ] Αμραμι A | Ισσααρ] Ισσααρι A | Οζιηλ A
24 Ιωηλ] Σουβαηλ A | Μωυση A | επι] pr ηγουμενος A **25** Ρααβιας A | υιος]+αυτου A | Ζεχρι A **26** ους] ου A

B δυνάμεως· [27]ἃ ἔλαβεν ἐκ πόλεων καὶ ἐκ τῶν λαφύρων, καὶ ἡγίασεν 27
ἀπ᾽ αὐτῶν τοῦ μὴ καθυστερῆσαι τὴν οἰκοδομὴν τοῦ οἴκου τοῦ θεοῦ·
[28]καὶ ἐπὶ πάντων τῶν ἁγίων τοῦ θεοῦ Σαμουὴλ τοῦ προφήτου καὶ 28
Σαοὺλ τοῦ Κεὶς καὶ Ἀβεννὴρ τοῦ Νὴρ καὶ Ἰωὰβ τοῦ Σαρουιά, πᾶν
ὃ ἡγίασεν διὰ χειρὸς Σαλωμὼθ καὶ τῶν ἀδελφῶν αὐτοῦ. [29]τῷ Ἰσσαρεὶ 29
Χωνενειὰ καὶ υἱοὶ τῆς ἐργασίας τῆς ἔξω ἐπὶ τὸν Ἰσραὴλ τοῦ γραμματεύειν καὶ διακρίνειν. [30]τῷ Χεβρωνεὶ Ἀσαβίας καὶ οἱ ἀδελφοὶ αὐτοῦ 30
οἱ δυνατοί, χίλιοι καὶ ἑπτακόσιοι ἐπὶ τῆς ἐπισκέψεως τοῦ Ἰσραὴλ
πέραν τοῦ Ἰορδάνου πρὸς δυσμαῖς εἰς πᾶσαν λειτουργίαν Κυρίου
καὶ ἐργασίαν τοῦ βασιλέως. [31]τοῦ Χεβρωνεὶ Τουδείας ὁ ἄρχων τῶν 31
Χεβρωνεί, κατὰ γενέσεις αὐτῶν κατὰ πατριάς· ἐν τῷ τεσσερακοστῷ
ἔτει τῆς βασιλείας αὐτοῦ ἐπεσκέπησαν, καὶ εὑρέθη ἀνὴρ δυνατὸς
ἐν αὐτοῖς ἐν Ῥιαζὴρ τῆς Γαλααδείτιδος. [32]καὶ οἱ ἀδελφοὶ αὐτοῦ 32
υἱοὶ δισχίλιοι οἱ δυνατοί, ἑπτακόσιοι οἱ ἄρχοντες πατριῶν· καὶ κατέ-
στησεν αὐτοὺς Δαυεὶδ ὁ βασιλεὺς ἐπὶ τοῦ Ῥουβηνεὶ καὶ Γαδδεὶ καὶ
ἡμίσους φυλῆς Μανασσὴ εἰς πᾶν πρόσταγμα Κυρίου καὶ λόγον
βασιλέως. [1]Καὶ οἱ υἱοὶ Ἰσραὴλ κατ᾽ ἀριθμὸν αὐτῶν ἄρχοντες τῶν 1 XXVII
πατριῶν χιλίαρχοι καὶ ἑκατόνταρχοι καὶ γραμματεῖς οἱ λειτουργοῦντες
τῷ λαῷ καὶ εἰς πᾶν λόγον τοῦ βασιλέως κατὰ διαιρέσεις, πᾶν λόγον
τοῦ εἰσπορευομένου καὶ ἐκπορευομένου μῆνα ἐκ μηνός, εἰς πάντας
τοὺς μῆνας τοῦ ἐνιαυτοῦ, διαίρεσις μία εἴκοσι καὶ τέσσαρες χιλιάδες.
[2]καὶ ἐπὶ τῆς διαιρέσεως τῆς πρώτης τοῦ μηνὸς τοῦ πρώτου Σοβὰλ 2
ὁ τοῦ Ζαββιήλ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες
χιλιάδες. [3]ἀπὸ τῶν υἱῶν Φάρες ἄρχων πάντων τῶν ἀρχόντων τῆς 3
δυνάμεως τοῦ μηνὸς τοῦ πρώτου. [4]καὶ ἐπὶ τῆς διαιρέσεως τοῦ μηνὸς 4
τοῦ δευτέρου Δωδειὰ ὁ Ἐκχώχ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι
καὶ τέσσαρες χιλιάδες, ἄρχοντες δυνάμεως. [5]ὁ τρίτος τὸν μῆνα τὸν 5
τρίτον Βαναίας ὁ τοῦ Ἰωδαὲ ὁ ἱερεὺς ὁ ἄρχων, καὶ ἐπὶ τῆς διαιρέσεως
αὐτοῦ τέσσαρες καὶ εἴκοσι χιλιάδες. [6]αὐτὸς Βαναίας δυνατώτερος 6
τῶν τριάκοντα καὶ ἐπὶ τῶν τριάκοντα, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ

A **27** πολεων BA$^{?}$] των πο|λεμων A* | δαφυρων B **28** om του θεου A | Σαρουιας A | ηγιασαν A **29** Ισσαρει] Ικααρι A | Χωνενεια] Χωχενιας A | υιοι]+αυτου A **30** Χεβρωνι A | οι δυνατοι] υιοι δ. A | Κυριου] τω κω A **31** του Χεβρωνει] τω Χεβρωνι A | Τουδειας] Ιωριας A | τεσσαρακοστω B^{ab} | Ριαζηρ] Ιαζηρ A | Γαλααδιτιδος A **32** δισχιλιοι οι δυν.] δυναται χιλιοι A | οι αρχ.] om οι A | Ρουβηνι A | Γαδδι A | ημισεις BA | παν προσταγμα Κυριου] παντα λογον του θυ A XXVII **1** οι υιοι] om οι A | παν λογον (2°)] εις παντα λογον A | om και 6° A **2** Σοβαλ] Ισβοαμ A **4** Δωδια A | Εκχωχ] Αωθι A **6** τα και επι (1°)...υιος αυτου sup ras A^{a} | αυτου 1°] αυτων A^{a}

7 Λαιβαζὰθ υἱὸς αὐτοῦ. 7ὁ τέταρτος εἰς τὸν μῆνα τὸν τέταρτον Ἀσαὴλ Β
ὁ ἀδελφὸς Ἰωὰβ καὶ Ἀβδείας ὁ υἱὸς αὐτοῦ καὶ οἱ ἀδελφοί, καὶ ἐπὶ
8 τῆς διαιρέσεως αὐτοῦ τέσσαρες καὶ εἴκοσι χιλιάδες. 8ὁ πέμπτος
τῷ μηνὶ τῷ πέμπτῳ ὁ ἡγούμενος Σαλαὼθ ὁ Ἐσρᾶε, καὶ ἐπὶ τῆς
9 διαιρέσεως αὐτοῦ εἴκοσι τέσσαρες χιλιάδες. 9ὁ ἕκτος τῷ μηνὶ τῷ
ἕκτῳ Ὀδονίας ὁ τοῦ Ἐκκὴς ὁ Θεκωνείτης, καὶ ἐπὶ τῆς διαιρέσεως
10 αὐτοῦ τέσσαρες καὶ εἴκοσι χιλιάδες. 10ὁ ἕβδομος τῷ μηνὶ τῷ
ἑβδόμῳ Χέσλης ὁ ἐκ Φαλλοὺς ἀπὸ τῶν υἱῶν Ἐφράιμ, καὶ ἐπὶ τῆς
11 διαιρέσεως αὐτοῦ τέσσαρες καὶ εἴκοσι χιλιάδες. 11ὁ ὄγδοος τῷ μηνὶ
τῷ ὀγδόῳ Σοβοχαὶ ὁ Ἰσαθεὶ τῷ Ζαριά, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ
12 τέσσαρες καὶ εἴκοσι χιλιάδες. 12ὁ ἔνατος τῷ μηνὶ τῷ ἐνάτῳ Ἀβιέζερ
ἐξ Ἀναθὼθ ἐκ γῆς Βενιαμείν, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ τέσσαρες
13 καὶ εἴκοσι χιλιάδες. 13ὁ δέκατος τῷ μηνὶ τῷ δεκάτῳ Μεηρὰ ὁ ἐκ
Νετουφὰτ τῷ Ζαρεί, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ τέσσαρες καὶ
14 εἴκοσι χιλιάδες. 14ὁ ἑνδέκατος τῷ μηνὶ τῷ ἑνδεκάτῳ Βαναίας ὁ ἐκ
Φαραθὼν τῶν υἱῶν Ἐφράιμ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ τέσσαρες
15 καὶ εἴκοσι χιλιάδες. 15ὁ δωδέκατος εἰς τὸν μῆνα τὸν δωδέκατον
Χολδειὰ ὁ ἐκ Νετωφατεὶ τῷ Γοθονιήλ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ
16 τέσσαρες καὶ εἴκοσι χιλιάδες. 16Καὶ ἐπὶ τῶν φυλῶν Ἰσραήλ,
τῶν Ῥουβὴν ἡγούμενος Ἐλιέζερ ὁ τοῦ Ζεχρεί· τῷ Συμεὼν Σαφατίας
17 ὁ τοῦ Μαχά· 17τῷ Λευεὶ Ἀσαβίας ὁ τοῦ Σαμουήλ· τῷ Ἀαρὼν Σαδώκ·
18 18τῷ Ἰούδᾳ Ἐλιὰβ τῶν ἀδελφῶν Δανείδ· τῷ Ἰσσαχὰρ Ἀμβρεὶ ὁ τοῦ
19 Μεισαήλ· 19τῷ Ζαβουλὼν Σαμαίας ὁ τοῦ Ἀβδειού· τῷ Νεφθαλεὶ Ἐρειμὼθ
20 ὁ τοῦ Ἐσρειήλ· 20τῷ Ἐφράιμ Ὡσὴ ὁ τοῦ Ὀζειού· τῷ ἡμίσει φυλῆς
21 Μανασσὴ Ἰωὴλ ὁ τοῦ Φαλαδαιά· 21τῷ ἡμίσει φυλῆς Μανασσὴ τῶν
ἐν τῇ Γαλαὰδ Ἰαδδαὶ ὁ τοῦ Ζαβδειού· τοῖς υἱοῖς Βενιαμεὶν Ἀσειὴρ
22 ὁ τοῦ Ἀβεννήρ· 22τῷ Δὰν Ἀζαραὴλ ὁ τοῦ Ἰωράμ. οὗτοι πατριάρχαι
23 τῶν φυλῶν Ἰσραήλ. 23καὶ οὐκ ἔλαβεν Δανεὶδ τὸν ἀριθμὸν αὐτῶν
ἀπὸ εἰκοσαετοῦς καὶ κάτω, ὅτι Κύριος εἶπεν πληθῦναι τὸν Ἰσραὴλ

6 Λαιβαζαθ] Αμιραζαθ A 7 Αβδειας] Ζαβδιας A 8 Σαλαωθ] A Σαμαωθ A | Εσραε] Ιεζραελ A 9 τω μηνι] om τω A | Οδονιας] Ειρα A | ο τοι] υιος A | Θεκωιτης A (bis) | τεσσαρες κ. εικοσι] εικοσι κ. τεσσαρες A 10 Χεσλης] Χελλης A 11 ογδος A | om ο Ισαθει τω Ζαρια A 12 εξ] pr ο A 13 Μεηρα] Μοοραι A | Ζαραι A 15 Χολδαι A | Νετωφατι A 16 των P.] τω P. A | Ζεχρι A | Μααχα A 17 Λευι A | Σαμοιηλ] Καμοιηλ A 18 Αμβρει] Αμαρι A | Μεισαηλ] Μιχαηλ A 19 τω Ζ.] ras τ A² | Αβδιου A | Νεφθαλι A | Ερειμωθ] Ιερμουθ A | Εσρειηλ] Οζιηλ A 20 Οζιου A | τω ημισυ A | Φαλαδαια] Φαλδι A 21 τω ημισει] τη ημισει B | των εν τη Γ.] τω εν Γ. A | Ζαβδιου A | Ασειηρ] Ασιηλ A 22 Αζαραηλ] Εζριηλ A

B ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ. [24]καὶ Ἰωὰβ ὁ τοῦ Σαρουιὰ ἤρξατο 24
ἀριθμεῖν ἐν τῷ λαῷ, καὶ οὐ συνετέλεσεν· καὶ ἐγένετο ἐν τούτοις
ὀργὴ ἐπὶ Ἰσραήλ, καὶ οὐ κατεχωρίσθη ὁ ἀριθμὸς ἐν βιβλίῳ λόγων
τῶν ἡμερῶν τοῦ βασιλέως Δανείδ. [25]καὶ ἐπὶ τῶν θησαυρῶν τοῦ 25
βασιλέως Ἀσμὼθ ὁ τοῦ Ὠδιήλ, καὶ ἐπὶ τῶν θησαυρῶν τῶν ἐν ἀγρῷ
καὶ ἐν ταῖς κώμαις καὶ ἐν τοῖς ἐποικίοις καὶ ἐν τοῖς πύργοις Ἰωναθὰν
ὁ τοῦ Ὀζειού. [26]ἐπὶ δὲ τῶν γεωργούντων τὴν γῆν τῶν ἐργαζομένων 26
Ἐσδρεὶ ὁ τοῦ Χοβούδ. [27]καὶ ἐπὶ τῶν χωρίων Σεμεεὶ ὁ ἐκ Ῥαήλ, 27
καὶ ἐπὶ τῶν θησαυρῶν τῶν ἐν τοῖς χωρίοις τοῦ οἴνου Ζαχρεὶ ὁ τοῦ
Σεφνεί. [28]καὶ ἐπὶ τῶν ἐλαιώνων καὶ ἐπὶ τῶν συκαμίνων τῶν ἐν 28
τῇ πεδινῇ Βαλανᾶς ὁ Γεδωρείτης· ἐπὶ δὲ τῶν θησαυρῶν τοῦ ἐλαίου
Ἰωάς. [29]καὶ ἐπὶ τῶν βοῶν τῶν νομάδων τῶν ἐν τῷ Ἀσειδὼν 29
Ἀσαρταῖς ὁ Σαρωνείτης, καὶ ἐπὶ τῶν βοῶν τῶν ἐν τοῖς αὐλῶσιν
Σωφὰν ὁ τοῦ Ἀδαί. [30]ἐπὶ δὲ τῶν καμήλων Ἀβίας ὁ Ἰσμαηλείτης. 30
ἐπὶ δὲ τῶν ὄνων Ἰαδίας ὁ ἐκ Μεραθών. [31]καὶ ἐπὶ τῶν προβάτων 31
Ἰαζεὶζ ὁ Γαρείτης. πάντες οὗτοι προστάται ὑπαρχόντων Δανεὶδ τοῦ
βασιλέως. [32]Καὶ Ἰωναθὰν ὁ πατράδελφος Δανεὶδ σύμβουλος, 32
ἄνθρωπος συνετός· καὶ Ἰεὴλ ὁ τοῦ Ἀχαμεὶ μετὰ τῶν υἱῶν τοῦ βασιλέως.
[33]Ἀχειτόφελ σύμβουλος τοῦ βασιλέως, καὶ Χουσεὶ ὁ πρῶτος φίλος 33
τοῦ βασιλέως. [34]καὶ μετὰ τοῦτον Ἀχειτόφελ ἐχόμενος Ἰωδὰε ὁ τοῦ 34
Βαναίου καὶ Ἀβιαθάρ· καὶ Ἰωὰβ ἀρχιστράτηγος τοῦ βασιλέως.

[1]Καὶ ἐξεκλησίασεν Δανεὶδ πάντας τοὺς ἄρχοντας Ἰσραὴλ ἄρχον- 1 XXVII
τας τῶν κριτῶν, καὶ τοὺς ἄρχοντας τῶν ἐφημεριῶν τῶν περὶ τὸ σῶμα
τοῦ βασιλέως, καὶ ἄρχοντας τῶν χιλιάδων καὶ τῶν ἑκατοντάδων, καὶ
τοὺς γαζοφύλακας, καὶ τοὺς ἐπὶ τῶν ὑπαρχόντων αὐτοῦ, καὶ τοὺς
δυνάστας, καὶ τοὺς μαχητὰς ἐν Ἰερουσαλήμ. [2]καὶ ἔστη Δανεὶδ ἐν 2
μέσῳ τῆς ἐκκλησίας καὶ εἶπεν Ἀκούσατέ μου, ἀδελφοὶ καὶ λαός
μου. ἐμοὶ ἐγένετο ἐπὶ καρδίαν οἰκοδομῆσαι οἶκον ἀναπαύσεως τῆς
κιβωτοῦ διαθήκης Κυρίου καὶ στάσιν ποδῶν κυρίου ἡμῶν, καὶ ἡτοί-

A **24** του Σαρουια] της Σ. A | Ισραηλ] pr τον A **25** Αζμωθ A | Οζιου A
26 Εσδρει] Εζραι A | Χοβουδ] Χελουβ A **27** Σεμει A | εκ Ραηλ] Ραμαθαιος A | Ζαχρει] Ζαβδι A | Σεφνι A **28** πεδεινη B* (πεδινη B^{ab}A) Βαλανας] Βαλλανα A | Γεδωρειτης] Γεδωρ A **29** Ασειδων] Σαρων A | Ασαρταις] Σατραι A | Σαρωνιτης A | Σωφαν] Σωφατ A **30** Αβιας] Ουβιας A | Ισμαηλιτης A | Μαραθων A **31** Ιαζειζ] Ιωσζιζ A | Γαρειτης] Αγαριτης A **32** συνετος]+και γραμματευς αυτος· A | Ιεηλ] Ιεριηλ A | Αχαμει] Αχαμανι A **33** Αχειτοφελ] και Αχιτοφελ A | Χουσι A | ο πρ.] om ο A **34** μετα τουτον] μετ αυτον A | Αχιτοφελ A | Ιωαδαε A XXVIII **1** τους αρχ. 2°] pr παντας A | εν Ιερ.] pr της στριας (sic) A **2** Δαυειδ]+ο βασιλευς A

μασα τὰ εἰς τὴν κατασκήνωσιν ἐπιτήδεια· 3καὶ ὁ θεὸς εἶπεν Οὐκ οἰκο- B
δομήσεις ἐμοὶ οἶκον τοῦ ἐπονομάσαι τὸ ὄνομά μου ἐπ' αὐτῷ, ὅτι
4 ἄνθρωπος πολεμιστὴς εἶ σὺ καὶ αἷμα ἐξέχεας. 4καὶ ἐξελέξατο Κύριος
ὁ θεὸς Ἰσραὴλ ἐν ἐμοὶ ἀπὸ παντὸς οἴκου πατρός μου εἶναι βασιλέα
ἐπὶ Ἰσραὴλ εἰς τὸν αἰῶνα· καὶ ἐν Ἰούδᾳ ἡρέτικεν τὸ βασίλειον,
καὶ ἐξ οἴκου Ἰούδα τὸν οἶκον τοῦ πατρός μου· ἐν ἐμοὶ ἠθέλησεν,
5 τοῦ γενέσθαι με βασιλέα ἐπὶ τῷ παντὶ Ἰσραήλ. 5καὶ ἀπὸ πάντων
τῶν υἱῶν μου, ὅτι πολλοὺς υἱοὺς ἔδωκέν μοι Κύριος, ἐξελέξατο ἐν
Σαλωμὼν τῷ υἱῷ μου καθίσαι αὐτὸν ἐπὶ θρόνου βασιλείας Κυρίου
6 ἐπὶ τὸν Ἰσραήλ. 6καὶ εἶπέν μοι ὁ θεός Σαλωμὼν ὁ υἱός σου κληρονο-
μήσει τὸν οἶκόν μου καὶ τὴν αὐλήν μου, ὅτι ἡρέτικα ἐν αὐτῷ εἶναί
7 μου υἱόν, κἀγὼ ἔσομαι αὐτῷ εἰς πατέρα. 7καὶ κατορθώσω τὴν
βασιλείαν αὐτοῦ ἕως αἰῶνος, ἐὰν ἰσχύσῃ τοῦ φυλάξασθαι τὰς ἐντολάς
8 μου καὶ τὰ κρίματά μου ὡς ἡ ἡμέρα αὕτη. 8καὶ νῦν κατὰ πρόσωπον
πάσης ἐκκλησίας Κυρίου καὶ ζητήσατε τὰς ἐντολὰς Κυρίου τοῦ θεοῦ
ἡμῶν, ἵνα κληρονομήσητε τὴν γῆν τὴν ἀγαθὴν τοῖς υἱοῖς ἡμῶν ἕως
9 αἰῶνος. 9καὶ νῦν, Σαλωμών, γνῶθι τὸν θεὸν τῶν πατέρων σου
καὶ δούλευε ἐν καρδίᾳ τελείᾳ καὶ ψυχῇ θελούσῃ, ὅτι πάσας καρδίας
ἐτάζει Κύριος καὶ πᾶν ἐνθύμημα γιγνώσκει· ἐὰν ζητήσῃς αὐτόν,
εὑρεθήσεταί σοι· καὶ ἐὰν καταλείψῃς αὐτόν, καταλείψει σε εἰς τέλος.
10 10ἴδε, τοίνυν· Κύριος ἡρέτικέν σε οἰκοδομῆσαι αὐτῷ οἶκον εἰς ἁγίασμα·
11 ἴσχυε καὶ ποίει. 11Καὶ ἔδωκεν Δαυεὶδ Σαλωμὼν τῷ υἱῷ αὐτοῦ τὸ
παράδειγμα τοῦ ναοῦ καὶ τῶν οἴκων αὐτοῦ καὶ τῶν ζακχὼ αὐτοῦ
καὶ τῶν ὑπερῴων καὶ τῶν ἀποθηκῶν τῶν ἐσωτέρων καὶ τοῦ οἴκου
12 τοῦ ἐξιλασμοῦ, 12καὶ τὸ παράδειγμα ὃ εἶχεν ἐν πνεύματι αὐτοῦ τῶν
αὐλῶν οἴκου Κυρίου, καὶ πάντων τῶν παστοφορίων τῶν κύκλῳ τῶν
13 εἰς τὰς ἀποθήκας Κυρίου καὶ τῶν ἀποθηκῶν τῶν ἁγίων, 13καὶ τῶν
καταλυμάτων τῶν ἐφημεριῶν τῶν ἱερέων καὶ τῶν Λευειτῶν εἰς πᾶσαν
ἐργασίαν λειτουργίας οἴκου Κυρίου, καὶ τῶν ἀποθηκῶν τῶν λειτουρ-

3 αιμα] αι μματα A 4 πατρος 1°] pr του A | μου 2°] + και εν τοις υιοις του A
πρς μου· A 5 παν|των υιων A | εδωκεν] δεδωκεν A | τον Ισραηλ] om
τον A 6 κληρονομησει] οικοδομησει A 7 ισχυσει A 8 Κυριου 1°]
+ και την (sic) ωσιν θυ ημων φυλασ|σεσθαι A | τας εντ.] pr πασας A | του
θεου] om του A | αγαθην] + και κατα|κληρονομησεται A | ημων 2°] υμων
A + μεθ υμας A 9 Σαλωμων] + υιε μου A | δουλευε] + αυτω A | εταζει]
εξεταζει A | γινωσκει A | καταλειψης] καταλιψεις A 10 ιδε τοινυν] ειδε
νυν A | Κυριος] pr οτι A 11 κων αυτου και ζακ|χω (sic) in mg et sup
ras $A^{a?}$ (om αυτ. κ. ζ. A^{*}) 12 Κυριου 2°] pr οικου A 13 Λευιτων
A (item 21)

Β γησίμων σκευῶν. [14]καὶ τὸν σταθμὸν τῆς ὁλκῆς αὐτῶν τῶν τε χρυσῶν 14
καὶ ἀργυρῶν, [15]λυχνιῶν τὴν ὁλκὴν ἔδωκεν αὐτῷ καὶ τῶν λύχνων. 15
[16]ἔδωκεν αὐτῷ ὁμοίως τὸν σταθμὸν τῶν τραπεζῶν τῆς προθέσεως, 16
ἑκάστης τραπέζης χρυσῆς καὶ ὡσαύτως τῶν ἀργυρῶν, [17]καὶ τῶν 17
κρεαγρῶν καὶ σπονδείων καὶ τῶν φιαλῶν τῶν χρυσῶν, καὶ σταθμὸν
τῶν χρυσῶν καὶ τῶν ἀργυρῶν, ἑκάστου σταθμοῦ. [18]καὶ τὸν τοῦ 18
θυσιαστηρίου τῶν θυμιαμάτων ἐκ χρυσίου δοκίμου σταθμὸν ὑπέδει-
ξεν αὐτῷ, καὶ τὸ παράδειγμα τοῦ ἅρματος τῶν χερουβεὶν τῶν δια-
πεπετασμένων ταῖς πτέρυξιν καὶ σκιαζόντων ἐπὶ τῆς κιβωτοῦ δια-
θήκης Κυρίου. [19]πάντα ἐν γραφῇ χειρὸς Κυρίου ἔδωκεν Δαυεὶδ 19
Σαλωμὼν κατὰ τὴν περιγενηθεῖσαν αὐτῷ σύνεσιν τῆς κατεργασίας
τοῦ παραδείγματος. [20]καὶ εἶπεν Δαυεὶδ Σαλωμὼν τῷ υἱῷ αὐτοῦ Ἴσχυε 20
καὶ ἀνδρίζου καὶ ποίει, μὴ φοβοῦ μηδὲ πτοηθῇς· ὅτι Κύριος ὁ θεός
μου μετὰ σοῦ, οὐκ ἀνήσει σε καὶ οὐ μή σε ἐνκαταλίπῃ ἕως τοῦ
συντελέσαι σε πᾶσαν ἐργασίαν λειτουργίας οἴκου Κυρίου. τὸ παρά-
δειγμα τοῦ ναοῦ καὶ τοῦ οἴκου αὐτοῦ καὶ σακχὼ αὐτοῦ καὶ τὰ ὑπερῷα
καὶ τὰς ἀποθήκας τὰς ἐσωτέρας καὶ τὸν οἶκον τοῦ ἱλασμοῦ, καὶ
τὸ παράδειγμα οἴκου Κυρίου. [21]καὶ ἰδοὺ αἱ ἐφημερίαι τῶν ἱερέων 21
καὶ τῶν Λευείτων εἰς πᾶσαν λειτουργίαν οἴκου Κυρίου, καὶ μετὰ
σοῦ ἐν πάσῃ πραγματείᾳ, καὶ πᾶς πρόθυμος ἐν σοφίᾳ κατὰ πᾶσαν
τέχνην, καὶ οἱ ἄρχοντες καὶ πᾶς ὁ λαὸς εἰς πάντας τοὺς λόγους
σου. [1]Καὶ εἶπεν Δαυεὶδ ὁ βασιλεὺς πάσῃ τῇ ἐκκλησίᾳ Σαλωμὼν 1 XXIX
ὁ υἱός μου, εἰς ὃν ᾑρέτικεν ἐν αὐτῷ Κύριος, νέος καὶ ἁπαλός, καὶ
τὸ ἔργον μέγα, ὅτι οὐκ ἀνθρώπῳ ἀλλ' ἢ Κυρίῳ θεῷ. [2]κατὰ πᾶσαν 2
τὴν δύναμιν ἡτοίμακα εἰς οἶκον θεοῦ μου χρυσίον, ἀργύριον, χαλκόν,
σίδηρον, ξύλα, λίθους σόομ καὶ πληρώσεως καὶ λίθους πολυτελεῖς
καὶ ποικίλους, καὶ πάντα λίθον τίμιον, καὶ πάριον πολύ. [3]καὶ 3
ἔτι ἐν τῷ εὐδοκῆσαί με ἐν οἴκῳ θεοῦ μου ἔστιν μοι ὃ περιπεποίημαι
χρυσίον καὶ ἀργύριον, καὶ ἰδοὺ δέδωκα εἰς οἶκον θεοῦ μου εἰς ὕψος,
ἐκτὸς ὧν ἡτοίμακα εἰς τὸν οἶκον τῶν ἁγίων, [4]τρισχίλια τάλαντα 4
χρυσίου τοῦ ἐκ Σουφεὶρ καὶ ἑπτακισχίλια τάλαντα ἀργυρίου δοκίμου,
ἐξαλιφῆναι ἐν αὐτοῖς τοὺς τοίχους τοῦ ἱεροῦ [5]διὰ χειρὸς τεχνιτῶν. 5

A **13** σκευων]+της λατρειας οικου κῡ A **17** σπονδιων A | σταθμον] pr τον B^{ab}A | αργυρων]+κεφφουρε A **20** και 4°] ουδ A | ενκαταλιπη (εγκ. B^{ab})] εγκαταλειπη A | εως του] εως ου A | το παραδ. 1°] pr και ειδον A | σακχω] ζακχω A **21** Κυριου] του θῡ A | πραγματια A XXIX **1** ανθρωπω]+η οικοδομη· A **2** πολυν A **3** τον οικον] om τον A **4** δοκιμου] δοκιμιου B^{ab} (cum parva ras ante μ) | εξαλει|φθηναι A

καὶ τίς ὁ προθυμούμενος πληρῶσαι τὰς χεῖρας αὐτοῦ σήμερον Κυρίῳ ; B
6 [6]καὶ προεθύμησαν ἄρχοντες πατριῶν καὶ οἱ ἄρχοντες τῶν υἱῶν Ἰσραήλ,
καὶ οἱ χιλίαρχοι καὶ οἱ ἑκατόνταρχοι, καὶ οἱ προστάται τῶν ἔργων, καὶ
7 οἱ οἰκοδόμοι τοῦ βασιλέως· [7]καὶ ἔδωκαν εἰς τὰ ἔργα οἴκου Κυρίου
χρυσίου τάλαντα πεντακισχίλια καὶ χρυσοῦς μυρίους, καὶ ἀργυρίου
ταλάντων δέκα χιλιάδας, καὶ χαλκοῦ τάλαντα μύρια ὀκτακισχίλια,
8 καὶ σιδήρου ταλάντων χιλιάδας ἑκατόν. [8]καὶ οἷς εὑρέθη παρ' αὐτοῖς
λίθος, ἔδωκαν εἰς τὰς ἀποθήκας οἴκου Κυρίου διὰ χειρὸς Βεσιὴλ
9 τοῦ Γηρσομνεί. [9]καὶ εὐφράνθη ὁ λαὸς ὑπὲρ τοῦ προθυμηθῆναι,
ὅτι ἐν καρδίᾳ πλήρει προεθυμήθησαν τῷ κυρίῳ, καὶ Δανεὶδ ὁ βασιλεὺς
10 εὐφράνθη μεγάλως. [10]καὶ εὐλόγησεν ὁ βασιλεὺς Δανεὶδ τὸν κύριον
ἐνώπιον τῆς ἐκκλησίας λέγων Εὐλογητὸς εἶ, Κύριε ὁ θεὸς Ἰσραήλ,
11 ὁ πατὴρ ἡμῶν ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος. [11]σύ, Κύριε,
ἡ μεγαλωσύνη καὶ ἡ δύναμις καὶ τὸ καύχημα καὶ ἡ νίκη καὶ ἡ ἰσχύς,
ὅτι σὺ πάντων τῶν ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς δεσπόζεις· ἀπὸ
12 προσώπου σου ταράσσεται πᾶς βασιλεὺς καὶ ἔθνος. [12]παρὰ σοῦ
ὁ πλοῦτος καὶ ἡ δόξα, σὺ πάντων ἄρχεις, Κύριε ὁ ἄρχων πάσης
ἀρχῆς, καὶ ἐν χειρί σου ἰσχὺς καὶ δυναστεία, καὶ ἐν χειρί σου,
13 Παντοκράτωρ, μεγαλῦναι καὶ κατισχῦσαι τὰ πάντα. [13]καὶ νῦν,
Κύριε, ἐξομολογούμεθά σοι καὶ αἰνοῦμεν τὸ ὄνομα τῆς καυχήσεώς
14 σου. [14]καὶ τίς εἰμι ἐγὼ καὶ τίς ὁ λαός σου ὅτι ἰσχύσαμεν προ-
θυμηθῆναί σοι κατὰ ταῦτα ; ὅτι σὰ τὰ πάντα, καὶ τῶν σῶν δεδώ-
15 καμέν σοι. [15]ὅτι πάροικοί ἐσμεν ἐναντίον σου, καὶ κατοικοῦντες
ὡς πάντες οἱ πατέρες ἡμῶν· ὡς σκιὰ αἱ ἡμέραι ἡμῶν ἐπὶ γῆς, καὶ
16 οὐκ ἔστιν ὑπομονή. [16]Κύριε ὁ θεὸς ἡμῶν, πρὸς πᾶν τὸ πλῆθος τοῦτο
ὃ ἡτοίμακα οἰκοδομηθῆναι οἶκον τῷ ὀνόματι τῷ ἁγίῳ σου, ἐκ χειρός
17 σου ἐστίν, καὶ σοὶ τὰ πάντα. [17]καὶ ἔγνων, Κύριε, ὅτι σὺ εἶ ὁ
ἐτάζων καρδίας, καὶ δικαιοσύνην ἀγαπᾷς· ἐν ἁπλότητι καρδίας προε-
θυμήθην πάντα ταῦτα, καὶ νῦν τὸν λαόν σου τὸν εὑρεθέντα ὧδε
18 εἶδον ἐν εὐφροσύνῃ προθυμηθέντα σοι. [18]Κύριε ὁ θεὸς Ἀβραὰμ
καὶ Ἰσαὰκ καὶ Ἰσραὴλ τῶν πατέρων ἡμῶν, φύλαξον ταῦτα ἐν δια-
νοίᾳ καρδίας λαοῦ σου εἰς τὸν αἰῶνα, καὶ κατεύθυνον τὰς καρδίας
19 αὐτῶν πρὸς σέ. [19]καὶ Σαλωμὼν τῷ υἱῷ μου δὸς καρδίαν ἀγαθὴν

6 προεθυμωθησαν A | πατριων] pr των A | οικοδομοι] οικονομοι A **7** οικου] A pr του A **8** Βεσιηλ] in σ ras aliq B[2] Ιειηλ A | Γηρσωνι A **9** ηυφρανθη A (bis) **11** συ 1°] σοι A **12** δυναστια A | σου 3°] +ελαιος A **14** των σων] pr εκ A **15** κατοικουντες] παροικουντες A | γης] pr της A **16** om παν A **17** παντα ταυτα] ταυτα παντα A **18** om και 3° A

Β ποιεῖν τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου καὶ τὰ προστάγματά
σου, καὶ τοῦ ἐπὶ τέλος ἀγαγεῖν τὴν κατασκευὴν τοῦ οἴκου σου.
[20]καὶ εἶπεν Δαυεὶδ πάσῃ τῇ ἐκκλησίᾳ Εὐλογήσατε Κύριον τὸν θεὸν 20
ἡμῶν· καὶ εὐλόγησεν πᾶσα ἡ ἐκκλησία Κύριον τὸν θεὸν τῶν πατέρων
αὐτῶν, καὶ κάμψαντες τὰ γόνατα προσεκύνησαν Κυρίῳ καὶ τῷ
βασιλεῖ. [21]καὶ ἔθυσεν Δαυεὶδ τῷ κυρίῳ θυσίας, καὶ ἀνήνεγκεν 21
ὁλοκαυτώματα τῷ θεῷ τῇ ἐπαύριον τῆς πρώτης ἡμέρας, μόσχους
χιλίους, κριοὺς χιλίους, ἄρνας χιλίους, καὶ τὰς σπονδὰς αὐτῶν, καὶ
θυσίας εἰς πλῆθος παντὶ τῷ Ἰσραήλ. [22]καὶ ἔφαγον καὶ ἔπιον ἐναντίον 22
Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μετὰ χαρᾶς, καὶ ἐβασίλευσαν τὸν Σαλωμὼν
υἱὸν Δαυείδ, καὶ ἔχρισαν αὐτὸν τῷ κυρίῳ εἰς βασιλέα καὶ Σαδὼκ εἰς
ἱερωσύνην. [23]καὶ ἐκάθισεν Σαλωμὼν ἐπὶ θρόνου Δαυεὶδ τοῦ πατρὸς 23
αὐτοῦ, καὶ εὐδοκήθη, καὶ ἐπήκουσαν αὐτοῦ πᾶς Ἰσραήλ. [24]οἱ ἄρχοντες 24
καὶ οἱ δυνάσται καὶ οἱ υἱοὶ Δαυεὶδ τοῦ βασιλέως πατρὸς αὐτοῦ ὑπετά-
γησαν αὐτῷ. [25]καὶ ἐμεγάλυνεν Κύριος τὸν Σαλωμὼν ἐπάνωθεν, 25
ἐναντίον παντὸς Ἰσραήλ· καὶ ἔδωκαν αὐτῷ δόξαν βασιλέως ὃ
οὐκ ἐγένετο ἐπὶ παντὸς βασιλέως ἔμπροσθεν αὐτοῦ.

[26]Καὶ Δαυεὶδ υἱὸς Ἰεσσαὶ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ [27]ἔτη τεσσερά- 26 27
κοντα, ἐν Χεβρὼν ἔτη ἑπτά, ἐν Ἰερουσαλὴμ ἔτη τριάκοντα τρία. [28]καὶ 28
ἐτελεύτησεν ἐν γήρει καλῷ, πλήρης ἡμερῶν, πλούτῳ καὶ δόξῃ· καὶ
ἐβασίλευσεν Σαλωμὼν υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. [29]οἱ δὲ λοιποὶ λόγοι 29
τοῦ βασιλέως Δαυεὶδ οἱ πρότεροι καὶ οἱ ὕστεροι γεγραμμένοι εἰσὶν ἐν
λόγοις Σαμουὴλ τοῦ βλέποντος καὶ ἐπὶ λόγων Ναθὰν τοῦ προφήτου
καὶ ἐπὶ λόγων Γὰδ τοῦ βλέποντος, [30]περὶ πάσης τῆς βασιλείας αὐτοῦ 30
καὶ τῆς δυναστείας αὐτοῦ, οἳ ἐγένοντο ἐπ' αὐτῷ καὶ ἐπὶ τὸν Ἰσραὴλ
καὶ ἐπὶ πάσας βασιλείας τῆς γῆς. κατενίσχυσεν Σαλωμὼν υἱὸς
Δαυεὶδ ἐπὶ τῆς βασιλείας αὐτοῦ· καὶ Κύριος ὁ θεὸς αὐτοῦ μετ' αὐτοῦ
καὶ ηὔξησεν αὐτὸν εἰς ὕψος.

Α **20** Κυριον τον θεον] τō| κν̄ θν̄ A | Κυριω] pr τω A **22** εβασιλευσαν] +εκ δευτερου A | Σαδωχ A **23** ηυδοκηθη A | επηκουσαν] υπηκουσεν A **24** οι υιοι Δ. του βασιλεως] παντες υιοι του βασ. Δαδ A **25** εδωκεν A **27** τεσσαρακ. $B^{a?b}$ | εν 2°] pr και A **28** πλη|ρεις A | δοξη] δοξης A* (s ras $A^{?}$) | Σαλωμω A* ($Σαλωμων A^{1}$) **30** οι] pr και οι καιροι εγενοντο A | om κατενισχυσεν...εις υψος $B^{c}A$
Subscr παραλειπομενων| α B παραλειπομενων| των βασιλειων Ιουδα α A

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Β

I 1 ΚΑΙ ἐνίσχυσεν Σαλωμὼν υἱὸς Δαυεὶδ ἐπὶ τὴν βασιλείαν αὐτοῦ, Β
καὶ Κύριος ὁ θεὸς αὐτοῦ μετ᾽ αὐτοῦ καὶ ἐμεγάλυνεν αὐτὸν εἰς ὕψος·
2 2καὶ εἶπεν Σαλωμὼν πρὸς πάντα Ἰσραήλ, τοῖς χιλιάρχοις καὶ τοῖς
ἑκατοντάρχοις καὶ τοῖς κριταῖς καὶ πᾶσιν τοῖς ἄρχουσιν ἐναντίον
3 Ἰσραήλ, τοῖς ἄρχουσιν τῶν πατριῶν. 3καὶ ἐπορεύθη Σαλωμὼν καὶ
πᾶσα ἡ ἐκκλησία εἰς τὴν ὑψηλὴν τὴν ἐν Γαβαών, οὗ ἐκεῖ ἦν ἡ σκηνὴ
τοῦ μαρτυρίου τοῦ θεοῦ ἣν ἐποίησεν Μωυσῆς παῖς Κυρίου ἐν τῇ
4 ἐρήμῳ. 4ἀλλὰ κιβωτὸν τοῦ θεοῦ ἀνήνεγκεν Δαυεὶδ ἐκ πόλεως Καρι-
5 αθιαρείμ, ὅτι ἡτοίμασεν αὐτῇ σκηνὴν εἰς Ἰερουσαλήμ. 5καὶ τὸ θυσια-
στήριον τὸ χαλκοῦν ὃ ἐποίησεν Βεσελεὴλ υἱὸς Οὐρείου υἱοῦ 6Ωρ ἐκεῖ
ἦν ἔναντι τῆς σκηνῆς Κυρίου· καὶ ἐξεζήτησεν αὐτὸ Σαλωμὼν καὶ ἡ
6 ἐκκλησία, 6καὶ ἤνεγκεν ἐκεῖ Σαλωμὼν ἐπὶ τὸ θυσιαστήριον τὸ χαλκοῦν
ἐνώπιον Κυρίου τὸ ἐν τῇ σκηνῇ, καὶ ἤνεγκεν ἐπ᾽ αὐτὸ ὁλοκαύτωσιν
7 χιλίαν. 7Ἐν τῇ νυκτὶ ἐκείνῃ ὤφθη ὁ θεὸς τῷ Σαλωμὼν καὶ
8 εἶπεν αὐτῷ Αἴτησαί τί σοι δῶ. 8καὶ εἶπεν Σαλωμὼν πρὸς τὸν θεόν
6Ο ἐποίησας μετὰ Δαυεὶδ τοῦ πατρός μου ἔλεος μέγα, καὶ ἐβασίλευσάς
9 με ἀντ᾽ αὐτοῦ. 9καὶ νῦν, Κύριε ὁ θεός, πιστωθήτω τὸ ὄνομά σου
ἐπὶ Δαυεὶδ πατέρα μου, ὅτι σὺ ἐβασίλευσάς με ἐπὶ λαὸν πολὺν
10 ὡς ὁ χοῦς τῆς γῆς. 10νῦν σοφίαν καὶ σύνεσιν δός μοι, καὶ ἐξελεύ-
σομαι ἐνώπιον τοῦ λαοῦ τούτου καὶ εἰσελεύσομαι· ὅτι τίς κρινεῖ τὸν
11 λαόν σου τὸν μέγαν τοῦτον; 11καὶ εἶπεν ὁ θεὸς πρὸς Σαλωμών
Ἀνθ᾽ ὧν ἐγένετο τοῦτο ἐν τῇ καρδίᾳ σου, καὶ οὐκ ᾐτήσω πλοῦτον
χρημάτων οὐδὲ δόξαν οὐδὲ τὴν ψυχὴν τῶν ὑπεναντίων, καὶ ἡμέρας

Inscr παραλειπομενων των βασιλειων Ιουδα β A I 2 και τους εκατον- A
ταρχους ϛ τους $A^{b(mg)}$ (om και τους εκ. A*) 3 εκκλησια]+μετ αυτου A
4 σκηνην]+Δαδ A 5 Ουριου B^{b}A | εκκλησια]+ολη A 6 ηνεγκεν]
ανηνεγκεν A (bis) | αυτο] αυτου A 7 post δω ras aliq $B^{?}$ 8 ο]
συ A 9 χνους] χους A 11 την ψυχην] om την A

Β πολλὰς οὐκ ᾐτήσω, καὶ ᾔτησας σεαυτῷ σοφίαν καὶ σύνεσιν ὅπως κρίνῃς τὸν λαόν μου ἐφ' ὃν ἐβασίλευσά σε ἐπ' αὐτόν· 12 τὴν σοφίαν καὶ τὴν σύνεσιν δίδωμί σοι, καὶ πλοῦτον καὶ χρήματα καὶ δόξαν δώσω σοι, ὡς οὐκ ἐγενήθη ὅμοιός σοι ἐν τοῖς βασιλεῦσι τοῖς ἔμπροσθέ σου, καὶ μετὰ σὲ οὐκ ἔσται οὕτως. 13 καὶ ἦλθεν Σαλωμὼν ἐκ Μαβὰ τῆς ἐν Γαβαὼν τῆς ἐν Ἰερουσαλὴμ πρὸ προσώπου σκηνῆς μαρτυρίου, καὶ ἐβασίλευσεν ἐπὶ Ἰσραήλ. 14 Καὶ συνήγαγεν Σαλωμὼν ἅρματα καὶ ἱππεῖς, καὶ ἐγένοντο αὐτῷ χίλια καὶ τετρακόσια ἅρματα καὶ δώδεκα χιλιάδες ἱππέων· καὶ κατέλιπεν αὐτὰ ἐν πόλεσιν τῶν ἁρμάτων, καὶ ὁ λαὸς μετὰ τοῦ βασιλέως ἐν Ἰερουσαλήμ. 15 καὶ ἔθηκεν ὁ βασιλεὺς τὸ χρυσίον καὶ τὸ ἀργύριον ἐν Ἰερουσαλὴμ ὡς λίθους, καὶ τὰς κέδρους ἐν τῇ Ἰουδαίᾳ ὡς συκαμίνους τὰς ἐν τῇ πεδινῇ εἰς πλῆθος. 16 καὶ ἡ ἔξοδος τῶν ἱππέων τῷ Σαλωμὼν ἐξ Αἰγύπτου, καὶ ἡ τιμὴ τῶν ἐμπόρων τοῦ βασιλέως· πορεύεσθαι ἠγόραζον. 17 καὶ ἐνέβαινον καὶ ἐξῆγον ἐξ Αἰγύπτου ἅρμα ἓν ἑξακοσίων ἀργυρίου, καὶ ἵππον ἑκατὸν καὶ πεντήκοντα· καὶ οὕτως πᾶσιν τοῖς βασιλεῦσιν τῶν Χετταίων καὶ βασιλεῦσιν Συρίας ἐν χερσὶν αὐτῶν ἔφερον.

1 Καὶ εἶπεν Σαλωμὼν τοῦ οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι Κυρίου καὶ οἶκον τῇ βασιλείᾳ αὐτοῦ. 2 καὶ συνήγαγεν Σαλωμὼν ἑβδομήκοντα χιλιάδας ἀνδρῶν καὶ ὀγδοήκοντα χιλιάδας λατόμων ἐν τῷ ὄρει, καὶ οἱ ἐπιστάται ἐπ' αὐτῶν τρισχίλιοι ἑξακόσιοι. 3 Καὶ ἀπέστειλεν Σαλωμὼν πρὸς Χειρὰμ βασιλέα Τύρου λέγων Ὡς ἐποίησας μετὰ τοῦ πατρός μου Δαυὶδ καὶ ἀπέστειλας αὐτῷ κέδρους τοῦ οἰκοδομῆσαι αὐτῷ οἶκον κατοικῆσαι ἐν αὐτῷ, 4 καὶ ἰδοὺ ἐγὼ ὁ υἱὸς αὐτοῦ οἰκοδομῶ οἶκον τῷ ὀνόματι Κυρίου θεοῦ μου, ἁγιάσαι αὐτὸν αὐτῷ τοῦ θυμιᾶν ἀπέναντι αὐτοῦ θυμίαμα καὶ πρόθεσιν διὰ παντός, καὶ τοῦ ἀναφέρειν ὁλοκαυτώματα διὰ παντὸς τὸ πρωὶ καὶ τὸ δείλης, καὶ ἐν τοῖς σαββάτοις καὶ ἐν ταῖς νουμηνίαις καὶ ἐν ταῖς ἑορταῖς τοῦ κυρίου θεοῦ ἡμῶν, εἰς τὸν αἰῶνα τοῦτο ἐπὶ τὸν Ἰσραήλ. 5 καὶ ὁ οἶκος ὃν ἐγὼ οἰκοδομῶ μέγας, ὅτι μέγας ὁ

1 (18) 1 (1) 2 (2) 3 (3) 4 (4) 5 (4)

II (II)

A **11** εβασιλευσα σε] εβασιλευσας A **12** δοξαν και χρηματα A | ως] + συ A | βασιλευσιν A | εμπροσθε B*] εμπροσθεν B^{ab}A **13** Μαβα] Βαμα A | της εν (2°)] εις A | προ] απο A | σκηνης μαρτυριου] της σκηνης του μαρτ. A **14** κατελειπεν A | om εν 2° A **15** τας εν] om τας A | πεδεινη B* (B^{a}A) **16** ιππεων] ιππων A | τω Σ.] των Σ. A **17** ενεβαινον] ανεβαινον A | ιππον] ιππων A | Χετταιων] Γεθθαιων A | βασιλευσι (2°) A

II **2** ανδρων] seq ras 2 linearum in A: sup ras νοτοφορων και ογδηκον A^{b} **3—8** plurima retractavit spiritus et accentus passim adpinxit A^{b} **3** αυτω 2°] εαυτω A **4** ο υιος] om ο A | το πρωι] inter ο et π ras aliq B^{2} | νεομηνιαις A | του κυριου θεου] κυ του θυ A

(5) 6 θεὸς ἡμῶν παρὰ πάντας τοὺς θεούς. [6]καὶ τίς ἰσχύσει οἰκοδομῆσαι Β
αὐτῷ οἶκον ; ὅτι ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐ φέρουσιν
αὐτοῦ τὴν δόξαν· καὶ τίς ἐγὼ οἰκοδομῶν αὐτῷ οἶκον ; ὅτι ἀλλ' ἢ
(6) 7 τοῦ θυμιᾶν κατέναντι αὐτοῦ. [7]καὶ νῦν ἀπόστειλόν μοι ἄνδρα
σοφὸν καὶ εἰδότα τοῦ ποιῆσαι ἐν τῷ χρυσίῳ καὶ ἐν τῷ ἀργυρίῳ,
ἐν τῷ χαλκῷ καὶ ἐν τῷ σιδήρῳ καὶ ἐν τῇ πορφύρᾳ καὶ ἐν τῷ
κοκκίνῳ, καὶ ἐπιστάμενον γλύψαι γλυφὴν μετὰ τῶν σοφῶν τῶν
μετ' ἐμοῦ ἐν Ἰούδᾳ καὶ ἐν Ἰερουσαλήμ, ἃ ἡτοίμασεν Δαυεὶδ ὁ
(7) 8 πατήρ μου. [8]καὶ ἀπόστειλόν μοι ξύλα κέδρινα καὶ ἀρκεύθινα καὶ
πεύκινα ἐκ τοῦ Λιβάνου, ὅτι ἐγὼ οἶδα ὡς οἱ δοῦλοί σου οἴδασιν
κόπτειν ξύλα ἐκ τοῦ Λιβάνου· καὶ ἰδοὺ οἱ παῖδες σοῦ μετὰ τῶν
(8) 9 παίδων μοῦ [9]πορεύσονται ἑτοιμάσαι μοι ξύλα εἰς πλῆθος, ὅτι ὁ
(9) 10 οἶκος ὃν ἐγὼ οἰκοδομῶ μέγας καὶ ἔνδοξος. [10]καὶ ἰδοὺ τοῖς ἐργα-
ζομένοις τοῖς κόπτουσιν ξύλα εἰς βρώματα δέδωκα σῖτον εἰς δό-
ματα τοῖς παισίν σου, κόρων εἴκοσι χιλιάδας, καὶ κριθῶν κόρων
(10) 11 εἴκοσι χιλιάδας, καὶ οἴνου μέτρων εἴκοσι χιλιάδας. [11]καὶ εἶπεν
Χειρὰμ βασιλεὺς Τύρου ἐν γραφῇ καὶ ἀπέστειλεν πρὸς Σαλωμών
Ἐν τῷ ἀγαπῆσαι Κύριον τὸν λαὸν αὐτοῦ ἔδωκέν σε ἐπ' αὐτοὺς
(11) 12 βασιλέα. [12]καὶ εἶπεν Χειρὰμ Εὐλογητὸς Κύριος ὁ θεὸς Ἰσραὴλ
ὃς ἐποίησεν τὸν οὐρανὸν καὶ τὴν γῆν, ὃς ἔδωκεν τῷ Δαυεὶδ
υἱὸν σοφὸν καὶ ἐπιστάμενον σύνεσιν καὶ ἐπιστήμην, ὃς οἰκοδο-
(12) 13 μήσει οἶκον τῷ κυρίῳ καὶ οἶκον τῇ βασιλείᾳ αὐτοῦ. [13]καὶ νῦν
ἀπέσταλκά σοι ἄνδρα σοφὸν καὶ εἰδότα σύνεσιν τὸν Χειρὰμ τὸν
(13) 14 πατέρα μου· [14]ἡ μήτηρ αὐτοῦ ἀπὸ θυγατέρων Δάν, καὶ ὁ πατὴρ
αὐτοῦ ἀνὴρ Τύριος, εἰδότα ποιῆσαι ἐν χρυσίῳ καὶ ἐν ἀργυρίῳ
καὶ ἐν χαλκῷ καὶ ἐν σιδήρῳ, ἐν λίθοις καὶ ξύλοις, καὶ ὑφαίνειν
ἐν τῇ πορφύρᾳ καὶ ἐν τῇ ὑακίνθῳ καὶ ἐν τῇ βύσσῳ καὶ ἐν
τῷ κοκκίνῳ, καὶ γλύψαι γλυφάς, καὶ διανοεῖσθαι πᾶσαν δια-
νόησιν, ὅσα ἂν δῷς αὐτῷ μετὰ τῶν σοφῶν σου καὶ σοφῶν Δαυεὶδ
(14) 15 κυρίου μου πατρός σου. [15]καὶ νῦν τὸν σῖτον καὶ τὴν κριθὴν καὶ
τὸ ἔλαιον καὶ τὸν οἶνον, ἃ εἶπεν ὁ κύριός μου, ἀποστειλάτω τοῖς

6 αυτω οικοδομησαι A | του ουνου ου φερουσιν sup ras A^a **7** εν A 3°] pr και A | κοκκινω]+και εν τη υακινθω A | γλυψαι] pr του A | α] ων A **10** δεδωκα] δωδεκα A | κορων 2°] κορου A | μετρων] inter με et τρων ins τρων κ' χειλιαδας κ ελαιου με $B^{ab(mgg)}$ | χιλιαδας 3°]+και ελαιου| καδων εικοσι χιλιαδας A **11—14** retractavit A^b **11** βασιλεα] pr εις A **12** Δαυειδ]+τω βασιλει $B^{ab}A$ | επιστημην και συνεσιν A | τη βασιλεια] τε^κ βασιλειας $A^{b\,vid}$ (τη βασιλειας $A^{*?}$) | αυτου] εαυτου A **13** πατερα μου] παιδα μου $B^{ab\,mg}$ A^b ($A^{*?}$) **14** κοκκινων A | πατρος] pr του A **15** α] ον A

Β παισὶν αὐτοῦ. 16καὶ ἡμεῖς κόψομεν ξύλα ἐκ τοῦ Λιβάνου κατὰ 16 (15)
πᾶσαν τὴν χρείαν σου, καὶ ἄξομεν αὐτὰ σχεδίαις ἐπὶ θάλασσαν
Ἰόππης, καὶ σὺ ἄξεις αὐτὰ εἰς Ἰερουσαλήμ. 17καὶ συνήγαγεν Σα- 17 (16)
λωμὼν πάντας τοὺς ἄνδρας τοὺς προσηλύτους ἐν γῇ Ἰσραὴλ μετὰ
τὸν ἀριθμὸν ὃν ἠρίθμησεν αὐτοὺς Δαυεὶδ ὁ πατὴρ αὐτοῦ, καὶ
εὑρέθησαν ἑκατὸν πεντήκοντα χιλιάδες καὶ τρισχίλιοι ἑξακόσιοι.
18καὶ ἐποίησεν ἐξ αὐτῶν ἑβδομήκοντα χιλιάδας νωτοφόρων, καὶ 18 (17)
ὀγδοήκοντα χιλιάδας λατόμων, καὶ τρισχιλίους ἑξακοσίους ἐπὶ τὸν
λαόν.

III 1Καὶ ἤρξατο Σαλωμὼν τοῦ οἰκοδομεῖν τὸν οἶκον Κυρίου ἐν Ἰερου- 1
σαλὴμ ἐν ὄρει τοῦ Ἀμορειά, οὗ ὤφθη Κύριος τῷ Δαυεὶδ πατρὶ αὐτοῦ,
ἐν τῷ τόπῳ ᾧ ἡτοίμασεν Δαυεὶδ ἐν ἅλῳ Ὀρνὰ τοῦ Ἰεβουσαίου.
2καὶ ἤρξατο οἰκοδομὴ ἐν τῷ μηνὶ τῷ δευτέρῳ ἐν τῷ ἔτει τῷ τετάρτῳ 2
τῆς βασιλείας αὐτοῦ. 3Καὶ ταῦτα ἤρξατο Σαλωμὼν τοῦ οἰκο- 3
δομῆσαι τὸν οἶκον τοῦ θεοῦ· μῆκος πήχεων ἡ διαμέτρησις ἡ πρώτη
πήχεων ἑξήκοντα, καὶ εὖρος πήχεων εἴκοσι. 4καὶ αἰλὰμ κατὰ 4
πρόσωπον τοῦ οἴκου, μῆκος ἐπὶ πρόσωπον πλάτος τοῦ οἴκου πήχεων
εἴκοσι, καὶ ὕψος πήχεων ἑκατὸν εἴκοσι· καὶ κατεχρύσωσεν αὐτὸν
ἔσωθεν χρυσίῳ καθαρῷ. 5καὶ τὸν οἶκον τὸν μέγαν ἐξύλωσεν ξύλοις 5
κεδρίνοις, καὶ κατεχρύσωσεν χρυσίῳ καθαρῷ, καὶ ἔγλυψεν ἐπ' αὐτοῦ
φοίνικας καὶ χαλαστά. 6καὶ ἐκόσμησεν τὸν οἶκον λίθοις τιμίοις εἰς 6
δόξαν, καὶ χρυσίῳ χρυσίου τοῦ ἐκ Φαρουάιμ, 7καὶ ἐχρύσωσεν τὸν 7
οἶκον καὶ τοὺς τοίχους καὶ τοὺς πυλῶνας καὶ τὰ ὁροφώματα καὶ τὰ
θυρώματα χρυσίῳ, καὶ ἔγλυψεν χερουβεὶν ἐπὶ τῶν τοίχων. 8καὶ 8
ἐποίησεν τὸν οἶκον τοῦ ἁγίου τῶν ἁγίων, μῆκος αὐτοῦ ἐπὶ πρόσωπον,
πλάτος πήχεων εἴκοσι, καὶ τὸ μῆκος πήχεων εἴκοσι, καὶ ἐχρύσωσεν
αὐτὸν χρυσίῳ καθαρῷ εἰς χερουβεὶν εἰς τάλαντα ἑξακόσια. 9καὶ 9
ὁλκὴ τῶν ἥλων, ὁλκὴ τοῦ ἑνὸς πεντήκοντα σίκλοι χρυσίου· καὶ τὸ
ὑπερῷον ἐχρύσωσεν χρυσίῳ. 10καὶ ἐποίησεν ἐν τῷ οἴκῳ τῷ ἁγίῳ 10
τῶν ἁγίων χερουβεὶν δύο, ἔργον ἐκ ξύλων, καὶ ἐχρύσωσεν αὐτὰ
χρυσίῳ. 11καὶ αἱ πτέρυγες τῶν χερουβεὶν τὸ μῆκος πήχεων εἴκοσι, 11

A **16** συ αξεις] συναξεις A **17** εξακοσιοι] pr και A **18** επι] inter ε et π ins ργοδιωκτας| ε $B^{ab\,(mgg)}$ pr τους (του A^{*} τους A^{1}) εργοδιωκτας A
III **1** Αμορια A **2** οικοδομη $B^{*\,b\,(vid)}$] οικοδομησαι B^{a} (σαι in mg) A **3** ras η διαμετρησις η πρωτη πηχεων $A^{?}$ **4** πλατους A^{vid} | και υψος πηχεων εικοσ|ι και κατ|ε sup ras et in mgg A^{a} (om και υψος πηχεων $A^{*\,vid}$) | αυτον] αυτο A | χρυσιω καθαρω (καθ. sup ras ut vid) εσωθεν A **5** εγλυψεν επ αυτου] ν επ αυ sup ras $B^{?}$ **6** χρυσιου] χρυσου A **8** μηκος 2°] ευρος A | εχρυσωσεν] κατεχρυσωσεν A | αυτον] αυτο A **9** εχρυσωσεν] + εν A **10** χερουβειμ A^{vid} **11** χερουβειμ (1°) A

καὶ ἡ μία πτέρυξ πήχεων πέντε ἁπτομένη τοῦ τοίχου τοῦ οἴκου, καὶ ἡ Β
πτέρυξ ἡ ἑτέρα πήχεων πέντε ἁπτομένη τῆς πτέρυγος τοῦ χερουβεὶν
13 τοῦ ἑτέρου. [13]καὶ αἱ πτέρυγες τῶν χερουβεὶν διαπεπετασμέναι πήχεων
εἴκοσι, καὶ αὐτὰ ἑστηκότα ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ τὰ πρόσωπα
14 αὐτῶν εἰς τὸν οἶκον. [14]καὶ ἐποίησεν τὸ καταπέτασμα ὑακίνθου καὶ
πορφύρας καὶ κοκκίνου καὶ βύσσου, καὶ ὕφανεν ἐν αὐτῷ χερουβείν.
15 [15]καὶ ἐποίησεν ἔμπροσθεν τοῦ τοίχου στύλους δύο, πήχεων τριάκοντα
16 πέντε τὸ ὕψος, καὶ τὰς κεφαλὰς αὐτῶν πήχεων πέντε. [16]καὶ
ἐποίησεν σερσερὼθ ἐν τῷ δαβεὶρ καὶ ἔδωκεν ἐπὶ τῶν κεφαλῶν τῶν
στύλων, καὶ ἐποίησεν ῥοίσκους ἑκατὸν καὶ ἐπέθηκεν ἐπὶ τῶν χαλαστῶν.
17 [17]καὶ ἔστησεν τοὺς στύλους κατὰ πρόσωπον τοῦ ναοῦ, ἕνα ἐκ δεξιῶν
καὶ τὸν ἕνα ἐξ εὐωνύμων, καὶ ἐκάλεσεν τὸ ὄνομα τοῦ ἐκ δεξιῶν
IV 1 Κατόρθωσις, καὶ τὸ ὄνομα τοῦ ἐξ ἀριστερῶν Ἰσχύς. [1]καὶ ἐποίησεν
τὸ θυσιαστήριον χαλκοῦν, πήχεων εἴκοσι μῆκος, καὶ τὸ εὖρος πηχέων
2 εἴκοσι· ὕψος πηχέων δέκα. [2]καὶ ἐποίησεν τὴν θάλασσαν χυτήν,
πήχεων δέκα τὴν διαμέτρησιν, στρογγύλην κυκλόθεν, καὶ πήχεων
3 πέντε τὸ ὕψος, καὶ τὸ κύκλωμα πήχεων τριάκοντα. [3]καὶ ὁμοίωμα
μόσχων ὑποκάτω αὐτῆς· κύκλῳ κυκλοῦσιν αὐτήν, πήχεις δέκα περιέ-
χουσιν τὸν λουτῆρα κυκλόθεν· δύο γένη ἐχώνευσαν τοὺς μόσχους
4 ἐν τῇ χωνεύσει αὐτῶν, [4]ᾗ ἐποίησαν αὐτοὺς δώδεκα μόσχους, οἱ
τρεῖς βλέποντες βορρᾶν, καὶ οἱ τρεῖς δυσμάς, καὶ οἱ τρεῖς νότον,
καὶ οἱ τρεῖς κατ᾽ ἀνατολάς· καὶ ἡ θάλασσα ἐπ᾽ αὐτῶν ἄνω, ἦσαν
5 τὰ ὀπίσθια αὐτῶν ἔσω. [5]καὶ τὸ πάχος αὐτῆς παλαιστής, καὶ τὸ
χεῖλος αὐτῆς ὡς χεῖλος ποτηρίου, διαγεγλυμμένα βλαστοὺς κρίνου,
6 χωροῦσαν μετρητὰς τρισχιλίους· καὶ ἐξετέλεσεν. [6]καὶ ἐποίησεν
λουτῆρας δέκα, καὶ ἔθηκεν τοὺς πέντε ἐκ δεξιῶν καὶ τοὺς πέντε
ἐξ ἀριστερῶν, τοῦ πλύνειν ἐν αὐτοῖς τὰ ἔργα τῶν ὁλοκαυτωμάτων
καὶ ἀποκλύζειν ἐν αὐτοῖς· καὶ ἡ θάλασσα εἰς τὸ νίπτεσθαι τοὺς ἱερεῖς
7 ἐν αὐτῇ. [7]καὶ ἐποίησεν τὰς λυχνίας τὰς χρυσᾶς δέκα κατὰ τὸ κρίμα

11 η μια πτερ.] η πτερ. η μια A | απτομενη 1°] απτομεναι B | χερουβειν A 2°] χερουβ᾽| A | ετερου]+(12) και η πτερυξ·| του χερουβ᾽· του ενος πηχεων πεντε| απτομενη του τοιχου του οικου| και η πτερυξ η ετερα πηχεων πεντε| απτομενη της πτερυγος του χερουβ᾽·| του ετερου·| A **13** αι πτερ.] om αι A **14** υακινθου] pr εξ A **15** ταις κε|φαλας (sic) A **16** σενσερωθ A | εδωκεν] εθηκεν A | επεθηκεν] εθηκεν A **17** τον ενα] om τον A
IV **1** πηχ. εικοσι (1°)] εικοσι πηχεων A | om εικοσι υψος A **2** πεντε πηχ. A **3** υποκατωθεν A | αυτης] ης sup ras A^a (αυτου A^{*vid}) | δεκα πηχεις A | περιεχουσαι A | μοσχους] μοχλους B **4** δυσμας] pr βλεποντες A | νοτον] pr βλεποντες A | κατ ανατ.] pr βλεποντες A **5** χωρουσα A **6** εθηκεν] επεθηκεν A

Β αὐτῶν καὶ ἔθηκεν ἐν τῷ ναῷ, πέντε ἐκ δεξιῶν καὶ πέντε ἐξ ἀριστερῶν.
[8]καὶ ἐποίησεν τραπέζας δέκα καὶ ἔθηκεν ἐν τῷ ναῷ, πέντε ἐκ δεξιῶν 8
καὶ πέντε ἐξ εὐωνύμων· καὶ ἐποίησεν φιάλας χρυσᾶς ἑκατόν· [9]καὶ 9
ἐποίησεν τὴν αὐλὴν τῶν ἱερέων καὶ τὴν αὐλὴν τὴν μεγάλην, καὶ
θύρας τῇ αὐλῇ, καὶ θυρώματα αὐτῶν κατακεχαλκωμένα χαλκῷ. [10]καὶ 10
τὴν θάλασσαν ἔθηκεν ἀπὸ γωνίας τοῦ οἴκου ἐκ δεξιῶν ὡς πρὸς
ἀνατολὰς κατέναντι. [11]καὶ ἐποίησεν Χειρὰμ τὰς κρεάγρας καὶ τὰ 11
πυρεῖα καὶ τὴν ἐσχάραν τοῦ θυσιαστηρίου καὶ πάντα τὰ σκεύη αὐτοῦ.
καὶ συνετέλεσεν Χειρὰμ ποιῆσαι πᾶσαν τὴν ἐργασίαν ἣν ἐποίησεν
Σαλωμὼν τῷ βασιλεῖ ἐν οἴκῳ τοῦ θεοῦ, [12]στύλους δύο καὶ ἐπ' αὐτῶν 12
γωλὰθ τῇ χωθαρὲθ ἐπὶ τῶν κεφαλῶν τῶν στύλων δύο, καὶ δίκτυα
δύο συνκαλύψαι τὰς κεφαλὰς τῶν χωθαρὲθ ἃ ἐστιν ἐπὶ τῶν κεφαλῶν
τῶν στύλων, [13]καὶ κώδωνας χρυσοῦς τετρακοσίους εἰς τὰ δύο δίκτυα, 13
καὶ γένη ῥοίσκων ἐν τῷ δικτύῳ τῷ ἑνὶ τοῦ συνκαλύψαι τὰς δύο
γωλὰθ τῶν χωθαρὲθ ἃ ἐστιν ἐπάνω τῶν στύλων. [14]καὶ τὰς μεχωνὼθ 14
ἐποίησεν δέκα, καὶ τοὺς λουτῆρας ἐποίησεν ἐπὶ τῶν μεχωνώθ, [15]καὶ 15
τὴν θάλασσαν μίαν καὶ τοὺς μόσχους τοὺς δώδεκα ὑποκάτω αὐτῆς,
[16]καὶ τοὺς ποδιστῆρας καὶ τοὺς ἀναλημπτῆρας καὶ τοὺς λέβητας καὶ 16
τὰς κρεάγρας, καὶ πάντα τὰ σκεύη αὐτῶν ἃ ἐποίησεν Χειρὰμ καὶ
ἀνήνεγκεν τῷ βασιλεῖ Σαλωμὼν ἐν οἴκῳ Κυρίου χαλκοῦ καθαροῦ.
[17]ἐν τῷ περιχώρῳ τοῦ Ἰορδάνου ἐχώνευσεν αὐτὰ ὁ βασιλεὺς ἐν τῷ 17
πάχει τῆς γῆς, ἐν οἴκῳ Σεχχὼθ καὶ Ἀναμεσιρδάθαι. [18]καὶ ἐποίησεν 18
Σαλωμὼν πάντα τὰ σκεύη ταῦτα εἰς πλῆθος σφόδρα, ὅτι οὐκ ἐξέλιπεν
ὁλκὴ τοῦ χαλκοῦ. [19]καὶ ἐποίησεν Σαλωμὼν πάντα τὰ σκεύη οἴκου 19
Κυρίου, καὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν καὶ τὰς τραπέζας, καὶ
ἐπ' αὐτῶν ἄρτοι προθέσεως, [20]καὶ τὰς λυχνίας καὶ τοὺς λύχνους 20
τοῦ φωτὸς κατὰ τὸ κρίμα καὶ κατὰ πρόσωπον τοῦ δαβεὶρ χρυσίου
καθαροῦ, [21]καὶ λαβίδες αὐτῶν καὶ οἱ λύχνοι αὐτῶν, καὶ τὰς φιάλας 21
καὶ τὰς θυίσκας καὶ τὰ πυρεῖα χρυσίου καθαροῦ, [22]καὶ ἡ θύρα τοῦ 22
οἴκου ἡ ἐσωτέρα εἰς τὰ ἅγια τῶν ἁγίων, εἰς τὰς θύρας τοῦ οἴκου τοῦ
ναοῦ χρυσᾶς. [(1)]καὶ συνετελέσθη πᾶσα ἡ ἐργασία ἣν ἐποίησεν Σαλω- (1) (V)
μὼν ἐν οἴκῳ Κυρίου. [1]καὶ εἰσήνεγκεν Σαλωμὼν τὰ ἅγια Δανεὶδ τοῦ 1 V
πατρὸς αὐτοῦ, τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη· ἔδωκεν εἰς
θησαυρὸν Κυρίου.

A **9** *θυρας*] pr *τας* A | *κατακεκαλκ.* B* (*κατακεχαλκ.* B[ab]) **11** *πυρια* A (item 21) | *Σαλωμων τω βασιλει*] *ο βασιλευς Σαλ.* A **12** *συγκαλυψαι* B[a?b] A (item 13) | *επι* 2°] *επανω* A **13** *γενη*] pr *δυο* B[ab mg] A **16** *αναλημπτορας* A **17** *Σεχχωθ*] pro χ 2° ω B*[vid] (χ B[1]) *Σοκχωθ* A | *Αναμεσιρδαθαι*] *ανα μεσον*| *Σαδαθα* A **18** *εξελειπεν* A V **1** *θησαυρον*]+*οικου* A

2 [2]Τότε ἐξεκλησίασεν Σαλωμὼν τοὺς πρεσβυτέρους καὶ πάντας Β
τοὺς ἄρχοντας τῶν φυλῶν τοὺς ἡγουμένους πατριῶν υἱῶν Ἰσραὴλ
εἰς Ἰερουσαλήμ, τοῦ ἀνενέγκαι κιβωτὸν διαθήκης Κυρίου ἐκ πόλεως
3 Δανείδ, αὕτη Σειών. [3]καὶ ἐξεκκλησιάσθησαν πρὸς τὸν βασιλέα πᾶς
4 Ἰσραὴλ ἐν τῇ ἑορτῇ, οὗτος ὁ μὴν ἕβδομος. [4]καὶ ἦλθον πάντες οἱ
5 πρεσβύτεροι Ἰσραήλ, καὶ ἔλαβον πάντες οἱ Λευεῖται τὴν κιβωτὸν [5]καὶ
τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ πάντα τὰ σκεύη τὰ ἅγια τὰ ἐν τῇ
6 σκηνῇ, καὶ ἀνήνεγκαν αὐτὴν οἱ ἱερεῖς καὶ οἱ Λευεῖται. [6]καὶ ὁ βασιλεὺς
Σαλωμὼν καὶ πᾶσα συναγωγὴ Ἰσραὴλ καὶ οἱ φοβούμενοι καὶ οἱ ἐπι-
συνηγμένοι αὐτῶν ἔμπροσθεν τῆς κιβωτοῦ θύοντες μόσχους καὶ πρό-
βατα, οἳ οὐκ ἀριθμηθήσονται καὶ οἳ οὐ λογισθήσονται ἀπὸ τοῦ πλήθους.
7 [7]καὶ εἰσήνεγκαν οἱ ἱερεῖς τὴν κιβωτὸν διαθήκης Κυρίου εἰς τὸν τόπον
αὐτῆς, εἰς τὸ δαβεὶρ τοῦ οἴκου, εἰς τὰ ἅγια τῶν ἁγίων ὑποκάτω τῶν
8 πτερύγων τῶν χερουβείν. [8]καὶ ἦν τὰ χερουβεὶν διαπεπετακότα τὰς
πτέρυγας αὐτῶν ἐπὶ τὸν τόπον τῆς κιβωτοῦ, καὶ συνεκάλυπτεν τὰ
χερουβεὶν τὴν κιβωτὸν καὶ ἐπὶ τοὺς ἀναφορεῖς αὐτῆς ἐπάνωθεν,
9 [9]καὶ ὑπερεῖχον οἱ ἀναφορεῖς, καὶ ἐβλέποντο αἱ κεφαλαὶ τῶν ἀνα-
φορέων ἐκ τῶν ἁγίων εἰς πρόσωπον τοῦ δαβείρ, οὐκ ἐβλέποντο ἔξω·
10 καὶ ἦσαν ἐκεῖ ἕως τῆς ἡμέρας ταύτης. [10]οὐκ ἦν ἐν τῇ κιβωτῷ πλὴν
δύο πλάκες ἃς ἔθηκεν Μωυσῆς ἐν Χωρήβ, ἃ διέθετο Κύριος μετὰ τῶν
11 υἱῶν Ἰσραὴλ ἐν τῷ ἐξελθεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. [11]καὶ ἐγένετο
ἐν τῷ ἐξελθεῖν τοὺς ἱερεῖς ἐκ τῶν ἁγίων, ὅτι πάντες οἱ ἱερεῖς οἱ
εὑρεθέντες ἡγιάσθησαν· οὐκ ἦσαν διατεταγμένοι κατ' ἐφημερίαν.
12 [12]καὶ οἱ Λευεῖται οἱ ψαλτῳδοὶ πάντες τοῖς υἱοῖς Ἀσάφ, τῷ Αἱμάν, τῷ
Ἰδειθοὺμ καὶ τοῖς υἱοῖς αὐτοῦ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ, τῶν ἐνδεδυ-
μένων στολὰς βυσσίνας ἐν κυμβάλοις καὶ ἐν νάβλαις καὶ ἐν κινύραις,
ἑστηκότες κατέναντι τοῦ θυσιαστηρίου, καὶ μετ' αὐτῶν ἱερεῖς ἑκατὸν
13 εἴκοσι σαλπίζοντες ταῖς σάλπιγξιν. [13]καὶ ἐγένετο μία φωνὴ ἐν τῷ
σαλπίζειν καὶ ἐν τῷ ψαλτῳδεῖν καὶ ἐν τῷ ἀναφωνεῖν φωνῇ μιᾷ τοῦ
ἐξομολογεῖσθαι καὶ αἰνεῖν τῷ κυρίῳ· καὶ ὕψωσαν φωνὴν ἐν σάλπιγξιν
καὶ ἐν κυμβάλοις καὶ ἐν ὀργάνοις τῶν ᾠδῶν καὶ ἔλεγον

2 *πρεσβυτερους*] +Ισλ A | *πατριων*] pr *των* A | Σιων B^{b}A **3** *πας*] A +*ανηρ* A **4** Λευιται A (item 5, 12) **5** *και* 1°] +*ανηνεγκαν την κιβωτον· και* A **6** *και* 1°] sign veluti apicem in *a* inferius prae se fert $B^{a?}$ | *και οι ου*] *ουδε* A **8** *την κιβωτον*] pr *επι* A **9** *υπερειχον*] *περιειχον* A **10** *αυτους*] *αυτον* A **12** *Ασαφ*] pr *τω* A | *Ιδιθουν* A | *αυτου* 2°] *αυτων* A | *κατεναντι*] *κατα*| *ανατολας* A | *εικοσι*] pr *και* A | *ταις σαλπ.*] om *ταις* A **13** *υψωσαν*] pr *ως* B^{ab} (superscr) A | *φωνην*] *την φωνη* (sic) A

Β ἘΕξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθόν·
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
καὶ ὁ οἶκος ἐνεπλήσθη νεφέλης δόξης Κυρίου· 14 καὶ οὐκ ἠδύναντο οἱ 14
ἱερεῖς τοῦ στῆναι λειτουργεῖν ἀπὸ προσώπου τῆς νεφέλης, ὅτι ἐνέ-
πλησεν δόξα Κυρίου τὸν οἶκον τοῦ θεοῦ. 1 Τότε εἶπεν Σαλωμών 1 VI
Κύριος εἶπεν τοῦ κατασκηνῶσαι ἐν γνόφῳ. 2 καὶ ἐγὼ οἰκοδόμηκα οἶκον 2
τῷ ὀνόματί σου ἅγιόν σοι καὶ ἕτοιμον τοῦ κατασκηνῶσαι εἰς τοὺς
αἰῶνας. 3 καὶ ἐπέστρεψεν ὁ βασιλεὺς τὸ πρόσωπον αὐτοῦ καὶ εὐλό- 3
γησεν τὴν πᾶσαν ἐκκλησίαν Ἰσραήλ, καὶ πᾶσα ἐκκλησία Ἰσραὴλ
παρειστήκει. 4 καὶ εἶπεν Εὐλογητὸς Κύριος ὁ θεὸς Ἰσραήλ, ὃς ἐλά- 4
λησεν ἐν στόματι αὐτοῦ πρὸς Δαυεὶδ τὸν πατέρα μου καὶ ἐν χερσὶν
αὐτοῦ ἐπλήρωσεν λέγων 5 Ἀπὸ τῆς ἡμέρας ἧς ἀνήγαγον τὸν λαόν 5
μου ἐκ γῆς Αἰγύπτου, οὐκ ἐξελεξάμην ἐν πόλει ἀπὸ πασῶν φυλῶν
Ἰσραὴλ τοῦ οἰκοδομῆσαι οἶκον τοῦ εἶναι ὄνομά μου ἐκεῖ, καὶ οὐκ ἐξε-
λεξάμην ἐν ἀνδρὶ τοῦ εἶναι εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου Ἰσραήλ·
6 καὶ ἐξελεξάμην ἐν Δαυεὶδ τοῦ εἶναι ἐπὶ τὸν λαόν μου Ἰσραήλ. 6
7 καὶ ἐγένετο ἐπὶ καρδίαν Δαυεὶδ τοῦ πατρός μου τοῦ οἰκοδομῆσαι 7
οἶκον τῷ ὀνόματι Κυρίου θεοῦ Ἰσραήλ. 8 καὶ εἶπεν Κύριος πρὸς 8
Δαυεὶδ πατέρα μου Διότι ἐγένετο ἐπὶ καρδίαν σου τοῦ οἰκοδομῆσαι
οἶκον τῷ ὀνόματί μου, καλῶς ἐγένετο ἐπὶ καρδίαν σου· 9 πλὴν σὺ 9
οὐκ οἰκοδομήσεις τὸν οἶκον, ὅτι ὁ υἱός σου ὃς ἐξελεύσεται ἐκ τῆς
ὀσφύος σου, οὗτος οἰκοδομήσει τὸν οἶκον τῷ ὀνόματί μου. 10 καὶ 10
ἀνέστησεν Κύριος τὸν λόγον τοῦτον ὃν ἐλάλησεν, καὶ ἐγενήθην ἀντὶ
Δαυεὶδ τοῦ πατρός μου καὶ ἐκάθισα ἐπὶ τὸν θρόνον Ἰσραὴλ καθὼς
ἐλάλησεν Κύριος, καὶ οἰκοδόμησα τὸν οἶκον τῷ ὀνόματι Κυρίου θεοῦ
Ἰσραήλ, 11 καὶ ἔθηκα ἐκεῖ τὴν κιβωτὸν ἐν ᾗ ἐκεῖ διαθήκη Κυρίου ἣν 11
διέθετο τῷ Ἰσραήλ. 12 Καὶ ἔστη κατέναντι τοῦ θυσιαστηρίου 12
Κυρίου ἔναντι πάσης ἐκκλησίας Ἰσραήλ, καὶ διεπέτασεν τὰς χεῖρας
αὐτοῦ· 13 ὅτι ἐποίησεν Σαλωμὼν βάσιν χαλκῆν καὶ ἔθηκεν αὐτὴν ἐν 13
μέσῳ τῆς αὐλῆς τοῦ ἱεροῦ, πέντε πηχῶν τὸ μῆκος αὐτῆς καὶ πέντε
πήχεων τὸ εὖρος αὐτῆς καὶ τριῶν πήχεων τὸ ὕψος αὐτῆς· καὶ ἔστη

A **13** εξομολογεισθαι A **14**—VI **1** της νεφελης...εν γνοφω sup ras pl litt A^a | νεφελης] + δοξης κυ A^a | δοξα] pr η A^a VI **1** κατασκηνωσαι] κατοικησαι A^a **2** ωκοδομηκα A | κατασκηνωσαι] κατοικησαι A **3** εκκλησια] pr η A **4** προς] πρς A **6** και] + εξελεξαμην εν Ιλημ| γενεσθαι του ειναι το ονομα μου| εκει· και A | του] ωστε sup ras $A^{a?}$ | τον λαον] του λαου A **8** πατερα] pr τον A | καλως] + εποιησας οτι $B^{ab(mg)}$ A^c| καρδιαν 2°] pr την B^{ab} (superscr) A **10** τουτον] αυτου A | του πατρος] om του A | μου] σου B^c | ωκοδομησα A **12** αυτου] εαυτου A **13** πηχων] πηχεων A

ἐπ᾽ αὐτῆς, καὶ ἔπεσεν ἐπὶ τὰ γόνατα ἔναντι πάσης ἐκκλησίας Ἰσραήλ, Β
14 καὶ διεπέτασεν τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν [14]καὶ εἶπεν Κύριε
ὁ θεὸς Ἰσραήλ, οὐκ ἔστιν ὅμοιός σοι θεὸς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς
γῆς, φυλάσσων τὴν διαθήκην καὶ τὸ ἔλεος τοῖς παισίν σου τοῖς
15 πορευομένοις ἐναντίον σου ἐν ὅλῃ καρδίᾳ. [15]ἐφύλαξας τῷ παιδί
σου Δανειὰ τῷ πατρί μου ἃ ἐλάλησας αὐτῷ λέγων, καὶ ἐλάλησας
ἐν στόματί σου καὶ ἐν χερσίν σου ἐπλήρωσας ὡς ἡ ἡμέρα αὕτη.
16 [16]καὶ νῦν, Κύριε ὁ θεὸς Ἰσραήλ, φύλαξον τῷ παιδί σου τῷ Δανειὰ
ἃ ἐλάλησας αὐτῷ λέγων Οὐκ ἐκλείψει σοι ἀνὴρ ἀπὸ προσώπου
καθήμενος ἐπὶ θρόνου Ἰσραήλ, πλὴν ἐὰν φυλάξωσιν οἱ υἱοί σου τὴν
ὁδὸν αὐτῶν τοῦ πορεύεσθαι ἐν τῷ ὀνόματί μου ὡς ἐπορεύθης ἐναν-
17 τίον μου. [17]καὶ νῦν, Κύριε ὁ θεὸς Ἰσραήλ, πιστωθήτω δὴ τὸ ῥῆμά
18 σου ὃ ἐλάλησας τῷ παιδί σου τῷ Δανειά. [18]ὅτι εἰ ἀληθῶς κατοι-
κήσει θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς; εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς
τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσίν σοι, καὶ τίς ὁ οἶκος οὗτος ὃν οἰκοδό-
19 μησα; [19]καὶ ἐπιβλέψῃ ἐπὶ τὴν προσευχὴν παιδός σου καὶ ἐπὶ τὴν
δέησίν μου, Κύριε ὁ θεός, τοῦ ἐπακοῦσαι τῆς δεήσεως καὶ τῆς προσ-
20 ευχῆς ἐναντίον σου σήμερον, [20]τοῦ εἶναι ὀφθαλμούς σου ἀνεῳγμένους
ἐπὶ τὸν οἶκον τοῦτον ἡμέρας καὶ νυκτός, εἰς τὸν τόπον τοῦτον ὃν
εἶπας ἐπικληθῆναι τὸ ὄνομά σου ἐκεῖ, τοῦ ἀκοῦσαι τῆς προσευχῆς ἧς
21 ὁ παῖς σου προσεύχεται εἰς τὸν τόπον τοῦτον. [21]καὶ ἀκούσῃ τῆς
δεήσεως τοῦ παιδός σου καὶ λαοῦ Ἰσραὴλ ἃ ἂν προσεύξωνται εἰς
τὸν τόπον τοῦτον· καὶ σὺ εἰσακούσῃ ἐν τῷ τόπῳ τῆς κατοικήσεώς
22 σου ἐκ τοῦ οὐρανοῦ, καὶ ἀκούσῃ καὶ ἵλεως ἔσῃ. [22]ἐὰν ἁμάρτῃ ἀνὴρ
τῷ πλησίον αὐτοῦ καὶ λάβῃ ἐπ᾽ αὐτὸν ἀρὰν τοῦ ἀρᾶσθαι αὐτόν, καὶ
23 ἔλθῃ καὶ ἀράσηται κατέναντι τοῦ θυσιαστηρίου ἐν τῷ οἴκῳ τούτῳ, [23]καὶ
σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ τοῦ οὐρανοῦ καὶ ποιήσεις, καὶ κρινεῖς τοὺς
δούλους σου τοῦ ἀποδοῦναι τῷ ἀνόμῳ καὶ ἀποδοῦναι ὁδοὺς αὐτοῦ εἰς
κεφαλὴν αὐτοῦ, τοῦ δικαιῶσαι δίκαιον, τοῦ ἀποδοῦναι αὐτῷ κατὰ τὴν
24 δικαιοσύνην αὐτοῦ. [24]καὶ ἐὰν θραυσθῇ ὁ λαός σου Ἰσραὴλ κατέναντι
τοῦ ἐχθροῦ ἐὰν ἁμάρτωσίν σοι, καὶ ἐπιστρέψωσιν καὶ ἐξομολογή-
σονται τῷ ὀνόματί σου καὶ προσεύξονται καὶ δεηθῶσιν ἐναντίον

13 γονατα] + αυτου A **15** εφυλαξας] pr α A | om αυτω λεγων A και ελαλησας A | στοματι] pr τω A **16** τον παιδα A* (τω παιδι A'vid) | Δανειδ] + τω πρι μου A | προσωπου] + μου B[a]A | ονοματι] νομω Λ **18** θεος] pr ο A | ωκοδομησα A **19** προσευχην bis scr A* (ras 1° A') | προσευχης] + ης ο παις σου προσευχεται B[ab mg inf]A **20** σου 1°] μου B* (σου B[ab]A) **21** λαου] + σου A **23** om του ουρανου (2°) A | αυτω] εκαστω B[a]A **24** επιστρεψουσιν A

Β σου ἐν τῷ οἴκῳ τούτῳ, [25]καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ καὶ ἵλεως 25
ἔσῃ ταῖς ἁμαρτίαις λαοῦ σου Ἰσραήλ, καὶ ἀποστρέψεις αὐτοὺς εἰς
τὴν γῆν ἣν ἔδωκας αὐτοῖς καὶ τοῖς πατράσιν αὐτῶν. [26]ἐν τῷ συσχε- 26
θῆναι τὸν οὐρανὸν καὶ μὴ γενέσθαι ὑετὸν ὅτι ἁμαρτήσονταί σοι, καὶ
προσεύξονται εἰς τὸν τόπον τοῦτον καὶ αἰνέσουσιν τὸ ὄνομά σου, καὶ
ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν ἐπιστρέψουσιν ὅτι ταπεινώσεις αὐτούς·
[27]καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις 27
αὐτῶν παίδων καὶ τοῦ λαοῦ σου Ἰσραήλ, ὅτι δηλώσεις αὐτοῖς τὴν
ὁδὸν τὴν ἀγαθὴν ἐν ᾗ πορεύσονται ἐν αὐτῇ, καὶ δώσεις ὑετὸν ἐπὶ
τὴν γῆν σου ἣν ἔδωκας τῷ λαῷ σου εἰς κληρονομίαν. [28]λιμὸς ἐὰν 28
γένηται ἐπὶ τῆς γῆς, θάνατος ἐὰν γένηται ἐπὶ τῆς γῆς, ἀνεμοφθορία
καὶ ἴκτερος, ἀκρὶς καὶ βροῦχος ἐὰν γένηται, ἐὰν θλίψῃ αὐτὸν ὁ
ἐχθρὸς κατέναντι τῶν πόλεων αὐτῶν, κατὰ πᾶσαν πληγὴν καὶ πᾶν
πόνον, [29]καὶ πᾶσα προσευχὴ καὶ πᾶσα δέησις ἣ ἐὰν γένηται ἀν- 29
θρώπῳ καὶ παντὶ λαῷ σου Ἰσραήλ, ἐὰν γνῷ ἄνθρωπος τὴν ἁφὴν
αὐτοῦ καὶ τὴν μαλακίαν αὐτοῦ, καὶ διαπετάσῃ τὰς χεῖρας αὐτοῦ εἰς
τὸν οἶκον τοῦτον, [30]καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου 30
κατοικητηρίου σου καὶ ἱάσῃ, καὶ δώσεις ἀνδρὶ κατὰ τὰς ὁδοὺς αὐτοῦ
ὡς ἂν γνῷς τὴν καρδίαν αὐτοῦ, ὅτι μόνος γινώσκεις τὴν καρδίαν
υἱῶν ἀνθρώπων· [31]ὅπως φοβῶνται πάσας ὁδούς σου πάσας τὰς 31
ἡμέρας ἃς αὐτοὶ ζῶσιν ἐπὶ προσώπου τῆς γῆς ἧς ἔδωκας τοῖς πατρά-
σιν ἡμῶν. [32]καὶ πᾶς ἀλλότριος ὃς οὐκ ἐκ τοῦ λαοῦ Ἰσραήλ ἐστιν 32
αὐτός, καὶ ἔλθῃ ἐκ γῆς μακρόθεν διὰ τὸ ὄνομά σου τὸ μέγα καὶ τὴν
χεῖρά σου τὴν κραταιὰν καὶ τὸν βραχίονά σου τὸν ὑψηλόν, καὶ ἔλ-
θωσιν καὶ προσεύξωνται εἰς τὸν τόπον τοῦτον, [33]καὶ εἰσακούσῃ ἐκ 33
τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου, καὶ ποιήσεις κατὰ πάντα
ὅσα ἐὰν ἐπικαλέσηταί σε ὁ ἀλλότριος, ὅπως γνῶσιν πάντες οἱ λαοὶ
τῆς γῆς τὸ ὄνομά σου, καὶ τοῦ φοβεῖσθαί σε ὡς ὁ λαός σου Ἰσραήλ,
καὶ τοῦ γνῶναι ὅτι ἐπικέκληταί τὸ ὄνομά σου ἐπὶ τὸν οἶκον τοῦτον
ὃν οἰκοδόμησα. [34]ἐὰν δὲ ἐξέλθῃ ὁ λαός σου εἰς πόλεμον ἐπὶ τοὺς 34
ἐχθροὺς αὐτοῦ ἐν ὁδῷ ᾗ ἀποστελεῖς αὐτούς, καὶ προσεύξονται πρὸς
σὲ κατὰ τὴν ὁδὸν τῆς πόλεως ταύτης ἣν ἐξελέξω ἐν αὐτῇ καὶ οἴκου
οὗ οἰκοδόμηκα τῷ ὀνόματί σου, [35]καὶ ἀκούσῃ ἐκ τοῦ οὐρανοῦ τῆς 35

A **25** λαου] pr του A **26** οτι] ι sup ras A^b **27** ταις αμαρτιαις] των αμαρτιων A | αυτων] των $B^{ab}A$ | παιδων] +σου A **28** om επι της γης (2°) A **29** ανθρωπω] pr παντι A **30** μονος] μονωτατος A **31** φοβουνται A | πασας 1°] τας A | της γης] pr πασης A **32** λαου] +σου A | τον βραχ.] om τον A | προσευξονται A **34** οικοδομηκα] ωκοδομησα A

δεήσεως αὐτῶν καὶ τῆς προσευχῆς αὐτῶν, καὶ ποιήσεις τὸ δικαίωμα Β
36 αὐτῶν. 36ὅτι ἁμαρτήσονταί σοι, ὅτι οὐκ ἔστι ἄνθρωπος ὃς οὐχ ἁμαρ-
τήσεται, καὶ πατάξεις αὐτοὺς καὶ παραδώσεις αὐτοὺς κατὰ πρόσωπον
ἐχθρῶν, καὶ αἰχμαλωτεύσουσιν οἱ αἰχμαλωτεύοντες αὐτοὺς εἰς γῆν
37 ἐχθρῶν εἰς γῆν μακρὰν ἢ ἐγγύς, 37καὶ ἐπιστρέψωσιν καρδίαν αὐτῶν
ἐν τῇ γῇ αὐτῶν οὗ μετήχθησαν ἐκεῖ, καί γε ἐπιστρέψωσιν καὶ
δεηθῶσίν σου ἐν τῇ αἰχμαλωσίᾳ αὐτῶν λέγοντες Ἡμάρτομεν, ἠδι-
38 κήσαμεν, ἠνομήσαμεν, 38καὶ ἐπιστρέψωσιν πρὸς σὲ ἐν ὅλῃ καρδίᾳ
καὶ ἐν ὅλῃ ψυχῇ αὐτῶν ἐν γῇ αἰχμαλωτευσάντων αὐτούς, καὶ προσ-
εύξονται ὁδὸν γῆς αὐτῶν ἧς ἔδωκας τοῖς πατράσιν αὐτῶν καὶ τῆς
πόλεως ἧς ἐξελέξω καὶ τοῦ οἴκου οὗ ᾠκοδόμησα τῷ ὀνόματί σου,
39 39καὶ ἀκούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου τῆς
προσευχῆς αὐτῶν καὶ τῆς δεήσεως αὐτῶν, καὶ ποιήσεις κρίματα καὶ
40 ἵλεως ἔσῃ τῷ λαῷ τῷ ἁμαρτόντι σοι. 40νῦν, Κύριε, ἔστωσαν δὴ οἱ
ὀφθαλμοί σου ἀνεῳγμένοι καὶ τὰ ὦτά σου ἐπήκοα εἰς τὴν δέησιν
41 τοῦ τόπου τούτου. 41καὶ νῦν ἀνάστηθι, Κύριε ὁ θεός, εἰς τὴν κατά-
παυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τῆς ἰσχύος σου. ἱερεῖς σου, Κύριε ὁ
θεός, ἐνδύσαιντο σωτηρίαν, καὶ οἱ υἱοί σου εὐφρανθήτωσαν ἐν ἀγα-
42 θοῖς. 42Κύριε ὁ θεός, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου, μνήσθητι
VII 1 τὰ ἐλέη Δαυεὶδ τοῦ δούλου σου. 1Καὶ ὡς συνετέλεσεν Σαλωμὼν
προσευχόμενος, καὶ τὸ πῦρ κατέβη ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγεν
τὰ ὁλοκαυτώματα καὶ τὰς θυσίας, καὶ δόξα Κυρίου ἔπλησεν τὸν
2 οἶκον. 2καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς εἰσελθεῖν εἰς τὸν οἶκον Κυρίου
3 ἐν τῷ καιρῷ ἐκείνῳ, ὅτι ἔπλησεν δόξα Κυρίου τὸν οἶκον. 3καὶ
πάντες οἱ υἱοὶ Ἰσραὴλ ἑώρων καταβαῖνον τὸ πῦρ, καὶ ἡ δόξα Κυρίου
ἐπὶ τὸν οἶκον· καὶ ἔπεσον ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν ἐπὶ τὸ λιθό-
στρωτον, καὶ προσεκύνησαν καὶ ᾔνουν τῷ κυρίῳ

Ὅτι ἀγαθόν,

ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

4 4καὶ ὁ βασιλεὺς καὶ πᾶς ὁ λαὸς θύοντες θύματα ἔναντι Κυρίου.
5 5καὶ ἐθυσίασεν Σαλωμὼν τὴν θυσίαν, μόσχων εἴκοσι καὶ δύο χι-
λιάδες· καὶ ἐνεκαίνισεν τὸν οἶκον τοῦ θεοῦ ὁ βασιλεύς· καὶ πᾶς
6 ὁ λαὸς 6καὶ οἱ ἱερεῖς ἐπὶ τὰς φυλακὰς αὐτῶν ἑστηκότες, καὶ οἱ

36 εσται] εστιν A | om autous 3° A **37** επιστρεψουσιν A (bis: item A 38) **38** εν ολη (1°) $A^{a?mg}$ (om A^{*}) | καρδια] καρδια αυτων sup ras $A^{a?}$ (om αυτων $A^{*\,vid}$) | προσευξωνται A | οικοδομησα A **41** ιερεις] pr οι A **42** σου] pr του χριστου| A VII **1** Σαλωμων] Σολομων A (item 5) **3** οι υιοι] om οι A | επεσαν A **5** χιλιαδες] χιλιαδας A+και βοσκηματων| εκατον και εικοσι χιλιαδας· A **6** αυτων 1°] εαυτων A

Β Λευεῖται ἐν ὀργάνοις ᾠδῶν Κυρίου τοῦ Δαυεὶδ τοῦ βασιλέως τοῦ ἐξομολογεῖσθαι ἔναντι Κυρίου, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, ἐν ὕμνοις Δαυεὶδ διὰ χειρὸς αὐτῶν· καὶ οἱ ἱερεῖς σαλπίζοντες ταῖς σάλπιγξιν ἐναντίον αὐτῶν, καὶ πᾶς Ἰσραὴλ ἑστηκώς. 7 καὶ ἡγίασεν 7
Σαλωμὼν τὸ μέσον τῆς αὐλῆς τῆς ἐν οἴκῳ Κυρίου· ὅτι ἐποίησεν ἐκεῖ τὰ ὁλοκαυτώματα καὶ τὰ στέατα τῶν σωτηρίων, ὅτι τὸ θυσιαστήριον τὸ χαλκοῦν ὃ ἐποίησεν Σαλωμὼν οὐκ ἐξεποίει δέξασθαι τὰ ὁλοκαυτώματα καὶ τὰ μαναὰ καὶ τὰ στέατα. 8 καὶ ἐποίησεν Σαλωμὼν τὴν 8
ἑορτὴν ἐν τῷ καιρῷ ἐκείνῳ ἑπτὰ ἡμέραις, καὶ πᾶς Ἰσραὴλ μετ' αὐτοῦ, ἐκκλησία μεγάλη σφόδρα ἀπὸ εἰσόδου Αἱμὰθ καὶ ἕως χειμάρρου Αἰγύπτου. 9 καὶ ἐποίησεν ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξόδιον, ὅτι ἐγκαι- 9
νισμὸν τοῦ θυσιαστηρίου ἐποίησεν ἑπτὰ ἡμέρας ἑορτήν, 10 καὶ ἐν 10
τῇ τρίτῃ καὶ εἰκοστῇ τοῦ μηνὸς τοῦ ἑβδόμου ἀπέστειλεν τὸν λαὸν εἰς τὰ σκηνώματα αὐτῶν εὐφραινομένους καὶ ἀγαθῇ καρδίᾳ ἐπὶ τοῖς ἀγαθοῖς οἷς ἐποίησεν Κύριος τῷ Δαυεὶδ καὶ τῷ Σαλωμὼν καὶ τῷ Ἰσραὴλ λαῷ αὐτοῦ. 11 Καὶ συνετέλεσεν Σαλωμὼν τὸν οἶκον 11
Κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως, καὶ πάντα ὅσα ἐποίησεν ἐν τῇ ψυχῇ Σαλωμὼν τοῦ ποιῆσαι ἐν οἴκῳ Κυρίου καὶ ἐν οἴκῳ αὐτοῦ εὐοδώθη. 12 καὶ ὤφθη ὁ θεὸς τῷ Σαλωμὼν τὴν νύκτα καὶ εἶπεν 12
αὐτῷ Ἤκουσα τῆς προσευχῆς σου, καὶ ἐξελεξάμην ἐν τῷ τόπῳ τούτῳ ἐμαυτῷ εἰς οἶκον θυσίας. 13 ἐὰν συσχῶ τὸν οὐρανὸν καὶ μὴ 13
γένηται ὑετός, καὶ ἐὰν ἐντείλωμαι τῇ ἀκρίδι καταφαγεῖν τὸ ξύλον, καὶ ἐὰν ἀποστείλω θάνατον ἐν τῷ λαῷ μου, 14 καὶ ἐὰν ἐντραπῇ ὁ 14
λαός μου ἐφ' οὓς τὸ ὄνομά μου ἐπικέκληται ἐπ' αὐτούς, καὶ προσεύξωνται καὶ ζητήσωσιν τὸ πρόσωπόν μου, καὶ ἀποστρέψωσιν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ ἐγὼ εἰσακούσομαι ἐκ τοῦ οὐρανοῦ καὶ ἱλεως ἔσομαι ταῖς ἁμαρτίαις αὐτῶν καὶ ἰάσομαι τὴν γῆν αὐτῶν. 15 νῦν οἱ ὀφθαλμοί μου ἔσονται ἀνεῳγμένοι καὶ τὰ ὦτά μου ἐπήκοα 15
τῆς προσευχῆς τοῦ τόπου τούτου. 16 καὶ νῦν ἐξελεξάμην καὶ ἡγίακα 16
τὸν οἶκον τοῦτον τοῦ εἶναι ὄνομά μου ἐκεῖ ἕως αἰῶνος, καὶ ἔσονται οἱ ὀφθαλμοί μου καὶ ἡ καρδία μου ἐκεῖ πάσας τὰς ἡμέρας. 17 καὶ 17
σὺ ἐὰν πορευθῇς ἐναντίον μου ὡς Δαυεὶδ ὁ πατήρ σου, καὶ ποιήσῃς κατὰ πάντα ἃ ἐνετειλάμην σοι, καὶ τὰ προστάγματά μου καὶ τὰ

A 6 Λευειται] Δ pro Λ B* vid Λευιται A 7 εξεποιει] εποιει A 9 εγκαινισμον B^{ab}A | επτα| ημερας εποιησεν A 10 εικοστη] εικαδι A 11 εποιησεν] signa v l prae se fert $B^{2txt\ et\ mg}$ ηθελησεν A | ευωδωθη B^{ab} 12 θυσιας] του θυσιασαι A 13 συνσχω A 14 ζητησουσιν A 15 της προσευχης] τη προσευχη A 16 εως] επ A 17 om και τα προστα-γματα μου A

κρίματά μου φυλάξῃ, [18]καὶ ἀναστήσω τὸν θρόνον τῆς βασιλείας Β
σου ὡς διεθέμην Δανεὶδ τῷ πατρί σου λέγων Οὐκ ἐξαρθήσεταί σοι
ἀνὴρ ἡγούμενος ἐν Ἰσραήλ. [19]καὶ ἐὰν ἀποστρέψητε ὑμεῖς, καὶ
ἐγκαταλίπητε τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου ἃς ἔδωκα
ἐναντίον ὑμῶν, καὶ πορευθῆτε καὶ λατρεύσητε θεοῖς ἑτέροις καὶ προσ-
κυνήσητε αὐτοῖς, [20]καὶ ἐξαρῶ ὑμᾶς ἀπὸ τῆς γῆς ἧς ἔδωκα αὐτοῖς,
καὶ τὸν οἶκον τοῦτον ὃν ἡγίασα τῷ ὀνόματί μου ἀποστρέψω ἐκ
προσώπου μου, καὶ δώσω αὐτὸν εἰς παραβολὴν καὶ εἰς διήγημα ἐν
πᾶσιν τοῖς ἔθνεσιν. [21]καὶ ὁ οἶκος οὗτος ὁ ὑψηλός, πᾶς ὁ διαπο-
ρευόμενος αὐτὸν ἐκστήσεται καὶ ἐρεῖ Χάριν τίνος ἐποίησεν Κύριος
τῇ γῇ ταύτῃ καὶ τῷ οἴκῳ τούτῳ; [22]καὶ ἐροῦσιν Διότι ἐνκατέλιπον
Κύριον θεὸν τῶν πατέρων αὐτῶν τὸν ἐξαγαγόντα αὐτοὺς ἐκ γῆς
Αἰγύπτου, καὶ ἀντελάβοντο θεῶν ἑτέρων καὶ προσεκύνησαν αὐτοῖς
καὶ ἐδούλευσαν αὐτοῖς· διὰ τοῦτο ἐπήγαγεν ἐπ᾽ αὐτοὺς πᾶσαν τὴν
κακίαν ταύτην.

VIII 1 [1]Καὶ ἐγένετο μετὰ εἴκοσι ἔτη ἐν οἷς οἰκοδόμησεν Σαλωμὼν τὸν
2 οἶκον Κυρίου καὶ τὸν οἶκον αὐτοῦ, [2]καὶ τὰς πόλεις ἃς ἔδωκεν Χειρὰμ
τῷ Σαλωμών, ᾠκοδόμησεν αὐτὰς Σαλωμὼν καὶ κατῴκισεν ἐκεῖ τοὺς
υἱοὺς Ἰσραήλ.
3 [3]Καὶ ἦλθεν Σαλωμὼν εἰς Βαισωβὰ καὶ κατίσχυσεν αὐτήν. [4]καὶ
4 ᾠκοδόμησεν τὴν Θοεδομὸρ ἐν τῇ ἐρήμῳ καὶ πάσας τὰς πόλεις τὰς
5 ὀχυρὰς ᾠκοδόμησεν ἐν Ἡμάθ. [5]καὶ ᾠκοδόμησεν τὴν Βαιθωρὼμ τὴν
ἄνω καὶ τὴν Βαιθωρὼμ τὴν κάτω, πόλεις ὀχυράς, τείχη, πύλαι καὶ
6 μοχλοί· [6]καὶ τὴν Βαλαά, καὶ πάσας τὰς πόλεις τὰς ὀχυρὰς αἳ ἦσαν
τῷ Σαλωμών, καὶ πάσας τὰς πόλεις τῶν ἁρμάτων καὶ τὰς πόλεις
τῶν ἱππέων, καὶ ὅσα ἐπεθύμησεν Σαλωμὼν κατὰ τὴν ἐπιθυμίαν τοῦ
οἰκοδομῆσαι ἐν Ἰερουσαλὴμ καὶ ἐν τῷ Λιβάνῳ καὶ ἐν πάσῃ τῇ βασι-
7 λείᾳ αὐτοῦ. [7]πᾶς ὁ λαὸς ὁ καταλειφθεὶς ἀπὸ τοῦ Χετταίου καὶ τοῦ
Ἀμορραίου καὶ τοῦ Φερεζαίου καὶ τοῦ Εὐαίου καὶ τοῦ Ἰεβουσαίου,
8 οἳ οὐκ εἰσὶν ἐκ τοῦ Ἰσραήλ· [8]ἦσαν ἐκ τῶν υἱῶν αὐτῶν τῶν κατα-

17 φυλαξης A **18** Ισραηλ] Ιλημ A* (Ιηλ sup ras A[a]) **19** εγκα- A
ταλιπητε B[b] εγκαταλειπητε A **20** ηγιακα A | εκ] απο A **21** αυτον] pr προς A **22** εγκατελιπον B[b] εγκατελιπō| A | θεον] pr τον A | δια τουτο] δια| το A VIII **1** ωκοδομησεν A | αυτου] εαυτου A **2** Χε|ραμ B | om Σαλωμων ωκοδομησεν αυτας A **3** Βαισωβα] Αιμαθ'· Σωβα A **4** Θοεδομορ] Θοε|δομησεν την Θοεδομορ (Θοεδμορ B[b]) B* (cum signo perversae lect) Θεδμορ A | ωκοδομησεν 2°] pr ας A **5** Βαιθωρωμ 1°] μ sup ras B[2] Βαιθωρων A | ανω] seq ras 1 lit (ν ut vid) in A | Βαιθωρωμ 2°] Βαιθωρων A **6** Βαλααs A | om πολεις 1°...πασας τας (2°) A* (hab A[a mg]) | τας πολεις (3°)] pr πασας A

Β λειφθέντων μετ' αὐτοῦ ἐν τῇ γῇ οὓς ἐξωλέθρευσαν οἱ υἱοὶ Ἰσραήλ·
καὶ ἀνήγαγεν αὐτοὺς Σαλωμὼν εἰς φόρον ἕως τῆς ἡμέρας ταύτης.
9 καὶ ἐκ τῶν υἱῶν Ἰσραὴλ οὐκ ἔδωκεν Σαλωμὼν εἰς παῖδας τῇ βασι- 9
λείᾳ αὐτοῦ, ὅτι ἰδοὺ ἄνδρες πολεμισταὶ καὶ ἄρχοντες, καὶ οἱ δυνα-
τοὶ καὶ ἄρχοντες ἁρμάτων καὶ ἱππέων. 10 καὶ οὗτοι ἄρχοντες τῶν 10
προστατῶν βασιλέως Σαλωμών, πεντήκοντα καὶ διακόσιοι ἐργοδιω-
κτοῦντες ἐν τῷ λαῷ. 11 καὶ τὴν θυγατέρα Φαραὼ Σαλωμὼν ἀνή- 11
γαγεν ἐκ πόλεως Δαυεὶδ εἰς τὸν οἶκον ὃν ᾠκοδόμησεν αὐτῇ, ὅτι
εἶπεν Οὐ κατοικήσει ἡ γυνή μου ἐν πόλει Δαυεὶδ τοῦ βασιλέως
Ἰσραήλ, ὅτι ἅγιός ἐστιν οὗ εἰσῆλθεν ἐκεῖ κιβωτὸς Κυρίου. 12 Τότε 12
ἀνήνεγκεν Σαλωμὼν ὁλοκαυτώματα τῷ κυρίῳ ἐπὶ τὸ θυσιαστήριον ὃ
ᾠκοδόμησεν ἀπέναντι τοῦ ναοῦ, 13 καὶ κατὰ τὸν λόγον ἡμέρας ἐν 13
ἡμέρᾳ, τοῦ ἀναφέρειν κατὰ τὰς ἐντολὰς Μωυσῆ ἐν τοῖς σαββάτοις
καὶ ἐν τοῖς μησὶν καὶ ἐν ταῖς ἑορταῖς, τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ,
ἐν τῇ ἑορτῇ τῶν ἀζύμων, ἐν τῇ ἑορτῇ τῶν ἑβδομάδων, ἐν τῇ ἑορτῇ
τῶν σκηνῶν. 14 καὶ ἔστησεν κατὰ τὴν κρίσιν Δαυεὶδ τὰς διαιρέσεις 14
τῶν ἱερέων κατὰ τὰς λειτουργίας αὐτῶν· καὶ οἱ Λευεῖται ἐπὶ τὰς
φυλακὰς αὐτῶν τοῦ λειτουργεῖν καὶ αἰνεῖν κατέναντι τῶν ἱερέων
κατὰ τὸν λόγον ἡμέρας ἐν τῇ ἡμέρᾳ· καὶ οἱ πυλωροὶ κατὰ τὰς διαι-
ρέσεις αὐτῶν εἰς πύλην καὶ πύλην, ὅτι οὕτως ἐντολαὶ Δαυεὶδ ἀν-
θρώπου τοῦ θεοῦ. 15 οὐ παρῆλθον τὰς ἐντολὰς τοῦ βασιλέως περὶ 15
τῶν ἱερέων καὶ τῶν Λευειτῶν εἰς πάντα λόγον καὶ εἰς τοὺς θησαυ-
ρούς. 16 καὶ ἡτοιμάσθη πᾶσα ἡ ἐργασία ἀφ' ἧς ἡμέρας ἐθεμελιώθη 16
ἕως οὗ ἐτελείωσεν Σαλωμὼν τὸν οἶκον Κυρίου. 17 Τότε ᾤχετο 17
Σαλωμὼν εἰς Γασιὼν Γάβερ καὶ εἰς τὴν Αἰλὰμ τὴν παραθαλασσίαν
ἐν γῇ Ἰδουμαίᾳ. 18 καὶ ἀπέστειλεν Χειρὰμ ἐν χειρὶ παίδων αὐτοῦ 18
πλοῖα καὶ παῖδας εἰδότας θάλασσαν, καὶ ᾤχετο μετὰ τῶν παίδων
Σαλωμὼν εἰς Σωφείρα, καὶ ἔλαβεν ἐκεῖθεν τὰ τετρακόσια καὶ πεντή-
κοντα τάλαντα χρυσίου, καὶ ἦλθον πρὸς τὸν βασιλέα Σαλωμών.

1 Καὶ βασίλισσα Σαβὰ ἤκουσεν τὸ ὄνομα Σαλωμών, καὶ ἦλθεν τοῦ 1 IX
πειράσαι Σαλωμὼν ἐν αἰνίγμασιν εἰς Ἰερουσαλὴμ ἐν δυνάμει βαρείᾳ
σφόδρα, καὶ κάμηλοι αἴρουσαι ἀρώματα καὶ χρυσίον εἰς πλῆθος καὶ

A **8** εξωλοθρ. B^{b} **9** ιδου] αυ|τοι A | οι δυνατοι] om οι A **10** προ-
στατων] προσταγματω| A | βασιλεως] τω βασιλει A **11** η γυνη] om η A |
αγιος] αγρος B **12** θυσιαστηριον] + κῡ A **13** τρεις] τρις· | A | εν 6°]
pr και A | εν 7°] pr και A **14** Λευιται A | επι] κατα A | αινειν και λει-
τουργειν A | εντολαι] εντολη A **15** Λευιτων A **16** ητοιμασθη] ητοι-
μασεν A | εθεμελιωθη] ετελιωθη (sic) A **17** γη Ιδ.] τη Ιδ. A **18** ωχετο]
ωχοντο A | Σωφηρα A | ελαβον A | τα τετρακ.] om τα A

λίθον τίμιον· καὶ ἦλθεν πρὸς Σαλωμὼν καὶ ἐλάλησεν πρὸς αὐτὸν Β
2 πάντα ὅσα ἐν τῇ ψυχῇ αὐτῆς. [2]καὶ ἀνήγγειλεν αὐτῇ Σαλωμὼν
πάντας τοὺς λόγους αὐτῆς, καὶ οὐ παρῆλθεν λόγος ἀπὸ Σαλωμών,
3 λόγος ὃν οὐκ ἀπήγγειλεν αὐτῇ. [3]καὶ εἶδεν βασίλισσα Σαβὰ τὴν
4 σοφίαν Σαλωμὼν καὶ τὸν οἶκον ὃν οἰκοδόμησεν, [4]καὶ τὰ βρώματα
τῶν τραπεζῶν καὶ καθέδραν παίδων αὐτοῦ, καὶ στάσιν λειτουργῶν
αὐτοῦ καὶ ἱματισμὸν αὐτῶν καὶ οἰνοχόων αὐτοῦ, καὶ στολισμὸν αὐτῶν,
καὶ τὰ ὁλοκαυτώματα ἃ ἀνέφερεν ἐν οἴκῳ Κυρίου, καὶ ἐξ ἑαυτῆς ἐγέ-
5 νετο. [5]καὶ εἶπεν πρὸς τὸν βασιλέα Ἀληθινὸς ὁ λόγος ὃν ἤκουσα
6 ἐν τῇ γῇ μου περὶ τῶν λόγων σου καὶ περὶ τῆς σοφίας σου. [6]καὶ
οὐκ ἐπίστευσα τοῖς λόγοις ἕως οὗ ἦλθον καὶ εἶδον οἱ ὀφθαλμοί μου,
καὶ ἰδοὺ οὐκ ἀπηγγέλη μοι ἥμισυ τοῦ πλήθους τῆς σοφίας σου·
7 προσέθηκας ἐπὶ τὴν ἀκοὴν ἣν ἤκουσα. [7]μακάριοι οἱ ἄνδρες, μακά-
ριοι οἱ παῖδές σου οὗτοι οἱ παρεστηκότες σοι διὰ παντός, καὶ ἀκού-
8 ουσιν σοφίαν σου. [8]ἔστω Κύριος ὁ θεός σου ηὐλογημένος ὃς ἠθέ-
λησέν σοι τοῦ δοῦναί σε ἐπὶ θρόνον αὐτοῦ εἰς βασιλέα τῷ κυρίῳ
θεῷ σου· ἐν τῷ ἀγαπῆσαι Κύριον τὸν θεόν σου τὸν Ἰσραὴλ τοῦ
στῆσαι αὐτὸν εἰς αἰῶνα, καὶ ἔδωκέν σε ἐπ᾽ αὐτοὺς εἰς βασιλέα τοῦ
9 ποιῆσαι κρίμα καὶ δικαιοσύνην. [9]καὶ ἔδωκεν τῷ βασιλεῖ ἑκατὸν
εἴκοσι τάλαντα χρυσίου καὶ ἀρώματα εἰς πλῆθος πολὺ καὶ λίθον
τίμιον· καὶ οὐκ ἦν κατὰ τὰ ἀρώματα ἐκεῖνα ἃ ἔδωκεν βασίλισσα
10 Σαβὰ τῷ βασιλεῖ Σαλωμών. [10]καὶ οἱ παῖδες Σαλωμὼν καὶ οἱ παῖδες
Χειρὰμ ἔφερον χρυσίον τῷ Σαλωμὼν ἐκ Σουφεὶρ καὶ ξύλα πεύκινα
11 καὶ λίθον τίμιον. [11]καὶ ἐποίησεν ὁ βασιλεὺς τὰ ξύλα τὰ πεύκινα
ἀναβάσεις τῷ οἴκῳ Κυρίου καὶ τῷ οἴκῳ τοῦ βασιλέως, καὶ κιθάρας
καὶ νάβλας τοῖς ᾠδοῖς, καὶ οὐκ ὤφθησαν τοιαῦτα ἔμπροσθεν ἐν γῇ
12 Ἰούδα. [12]καὶ ὁ βασιλεὺς Σαλωμὼν ἔδωκεν τῇ βασιλίσσῃ Σαβὰ
πάντα τὰ θελήματα αὐτῆς ἃ ᾔτησεν, ἐκτὸς πάντων ὧν ἤνεγκεν τῷ
13 βασιλεῖ Σαλωμών· καὶ ἀπέστρεψεν εἰς τὴν γῆν αὐτῆς. [13]Καὶ
ἦν ὁ σταθμὸς τοῦ χρυσίου τοῦ ἐνεχθέντος τῷ Σαλωμὼν ἐν ἐνιαυτῷ
14 ἑνὶ ἑξακόσια ἑξήκοντα ἓξ τάλαντα χρυσίου, [14]πλὴν τῶν ἀνδρῶν
τῶν ὑποτεταγμένων καὶ τῶν ἐμπορευομένων ἔφερον, καὶ πάντων
τῶν βασιλέων τῆς Ἀραβίας καὶ σατραπῶν τῆς γῆς, ἔφερον χρυσίον

IX **2** om λογος 2° A **3** ιδεν A | ωκοδομησεν A **4** αυτων A 1°] αυτου (ου sup ras seq ras 1 forte lit) A^a (αυτων A^{*vid}) | οινοχοους A | ανεφερον A **5** litt rescr passim nihil tamen ut vid mutavit B^c **6** προσεθηκας] pr και A **8** θρονου A | κυριω θεω] λαω A | αιωνα] pr τον A | κριμα] κρισιν A **12** αυτης 2°] εαυτης A **14** των εμπορ.] om των A | εφερον 1°] pr ων A

Β καὶ ἀργύριον τῷ βασιλεῖ Σαλωμών. 15 καὶ ἐποίησεν ὁ βασιλεὺς 15
Σαλωμὼν διακοσίους θυρεοὺς χρυσοῦς ἑλατούς, ἑξακόσιοι χρυσοῖ
καθαροὶ τῷ ἑνὶ θυρεῷ, ἑξακόσιοι χρυσοῖ καθαροὶ ἐπῆσαν ἐπὶ τὸν
ἕνα θυρεόν· 16 καὶ τριακοσίας ἀσπίδας ἐλατὰς χρυσᾶς, καὶ ἔδωκεν 16
αὐτὰς ὁ βασιλεὺς ἐν οἴκῳ δρυμοῦ τοῦ Λιβάνου. 17 καὶ ἐποίησεν ὁ 17
βασιλεὺς θρόνον ἐλεφάντινον ὀδόντων μέγαν, καὶ κατεχρύσωσεν αὐτὸν
χρυσίῳ δοκίμῳ. 18 καὶ ἓξ ἀναβαθμοὶ τῷ θρόνῳ ἐνδεδεμένοι χρυσίῳ, 18
καὶ ἀγκῶνες ἔνθεν καὶ ἔνθεν ἐπὶ τοῦ θρόνου τῆς καθέδρας, καὶ δύο
λέοντες ἑστηκότες παρὰ τοὺς ἀγκῶνας. 19 καὶ δώδεκα λέοντες ἑστη- 19
κότες ἐκεῖ ἐπὶ τῶν ἓξ ἀναβαθμῶν ἔνθεν καὶ ἔνθεν· οὐκ ἐγενήθη
οὕτως ἐν πάσῃ τῇ βασιλείᾳ. 20 καὶ πάντα τὰ σκεύη τοῦ βασιλέως 20
Σαλωμὼν χρυσίου, καὶ πάντα τὰ σκεύη οἴκου δρυμοῦ τοῦ Λιβάνου
χρυσίῳ κατειλημμένα· οὐκ ἦν ἀργύριον λογιζόμενον ἐν ἡμέραις
Σαλωμὼν εἰς οὐθέν. 21 ὅτι ναῦς τῷ βασιλεῖ ἐπορεύετο εἰς Θαρσεὶς 21
μετὰ τῶν παίδων Χειράμ· ἅπαξ διὰ τριῶν ἐτῶν ἤρχετο πλοῖα ἐκ
Θαρσεὶς τῷ βασιλεῖ γέμοντα χρυσίου καὶ ἀργυρίου καὶ ὀδόντων ἐλε-
φαντίνων καὶ πιθήκων. 22 καὶ ἐμεγαλύνθη Σαλωμὼν ὑπὲρ πάντας 22
τοὺς βασιλεῖς καὶ πλούτῳ καὶ σοφίᾳ. 23 καὶ πάντες οἱ βασιλεῖς τῆς 23
γῆς ἐζήτουν τὸ πρόσωπον Σαλωμὼν ἀκοῦσαι τῆς σοφίας αὐτοῦ ἧς
ἔδωκεν ὁ θεὸς ἐν καρδίᾳ αὐτοῦ. 24 καὶ αὐτοὶ ἔφερον ἕκαστος τὰ 24
δῶρα αὐτοῦ, σκεύη ἀργυρᾶ καὶ σκεύη χρυσᾶ καὶ ἱματισμόν, στακτὴν
καὶ ἡδύσματα, ἵππους καὶ ἡμιόνους, τὸ κατ' ἐνιαυτὸν ἐνιαυτόν. 25 καὶ 25
ἦσαν τῷ Σαλωμὼν τέσσαρες χιλιάδες θήλειαι ἵπποι εἰς ἅρματα καὶ
δώδεκα χιλιάδες ἱππέων, καὶ ἔθετο αὐτοὺς ἐν πόλεσιν τῶν ἁρμάτων
καὶ μετὰ τοῦ βασιλέως ἐν Ἰερουσαλήμ. 26 καὶ ἦν ἡγούμενος πάντων 26
τῶν βασιλέων ἀπὸ τοῦ ποταμοῦ καὶ ἕως γῆς ἀλλοφύλων καὶ ἕως
ὁρίων Αἰγύπτου. 27 καὶ ἔδωκεν ὁ βασιλεὺς τὸ χρυσίον καὶ τὸ ἀργύ- 27
ριον ἐν Ἰερουσαλὴμ ὡς λίθους, καὶ τὰς κέδρους ὡς συκαμίνους τὰς
ἐν τῇ πεδινῇ εἰς πλῆθος. 28 καὶ ἡ ἔξοδος τῶν ἵππων ἐξ Αἰγύπτου 28
τῶν Σαλωμὼν καὶ ἐκ πάσης τῆς γῆς. 29 Καὶ οἱ κατάλοιποι λόγοι 29
Σαλωμὼν οἱ πρῶτοι καὶ οἱ ἔσχατοι, ἰδοὺ γεγραμμένοι ἐπὶ τῶν λόγων

A **15** om καθαροι 2° A **16** χρυσας] + τριακοσιων χρυσων ανεφερετο| επι την ασπιδα εκαστην· A | δρυμου] pr του A **18** ανκωνες B* (αγκ. B^{b}A) **19** τη βασιλεια] om τη A **20** κατειλημενα A | ουκ] pr και A **21** βασιλει 1°] + Σαλωμων A | απαξ] ξ sup ras A^{a} | πλοια] πλοιον A | γεμοντα] γεμον A **23** της 1°] periit τ in A | της 2°] s sup ras A^{a} **24** εφερεν A^{vid} | ιππους] pr και A | om ενιαυτον 2° A **25** χιλιαδες 1°] μυριαδες A | ιπποι] ιππων A **26** γης] pr της A | οριων] ορίου A **27** κεδρους] ου sup ras $A^{a?}$ **28** τω Σαλ. $B^{?}$ (Mai) A

Ναθὰν τοῦ προφήτου καὶ ἐπὶ τῶν λόγων Ἀχειὰ τοῦ Σηλωνείτου καὶ B
ἐν ταῖς ὁράσεσιν Ἰωὴλ τοῦ ὁρῶντος περὶ Ἱεροβοὰμ υἱοῦ Ναβάτ.
30 30καὶ ἐβασίλευσεν Σαλωμὼν ὁ βασιλεὺς ἐπὶ πάντα Ἰσραὴλ τεσσε-
31 ράκοντα ἔτη. 31καὶ ἐκοιμήθη Σαλωμών, καὶ ἔθαψαν αὐτὸν ἐν πόλει
Δαυεὶδ τοῦ πατρὸς αὐτοῦ· καὶ ἐβασίλευσεν Ῥοβοὰμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.
X 1 1Καὶ ἦλθεν Ῥοβοὰμ εἰς Συχέμ, ὅτι εἰς Συχὲμ ἦρχετο πᾶς Ἰσραὴλ
2 βασιλεῦσαι αὐτόν. 2καὶ ἐγένετο ὡς ἤκουσεν Ἱεροβοὰμ υἱὸς Ναβάτ,
καὶ αὐτὸς ἐν Αἰγύπτῳ, ὡς ἔφυγεν ἀπὸ προσώπου Σαλωμὼν τοῦ
βασιλέως καὶ κατῴκησεν Ἱεροβοὰμ ἐν Αἰγύπτῳ, καὶ ἀπέστρεψεν
3 Ἱεροβοὰμ ἐξ Αἰγύπτου. 3καὶ ἀπέστειλεν καὶ ἐκάλεσεν αὐτόν· καὶ
ἦλθεν Ἱεροβοὰμ καὶ πᾶσα ἡ ἐκκλησία ἦλθον πρὸς Ῥοβοὰμ λέγοντες
4 4Ὁ πατήρ σου ἐσκλήρυνεν τὸν ζυγὸν ἡμῶν, καὶ νῦν ἄφες ἀπὸ τῆς
δουλείας τοῦ πατρός σου τῆς σκληρᾶς καὶ ἀπὸ τοῦ ζυγοῦ αὐτοῦ τοῦ
5 βαρέος οὗ ἔδωκεν ἐφ' ἡμᾶς, καὶ δουλεύσομέν σοι. 5καὶ εἶπεν αὐτοῖς
Πορεύεσθε ἕως τριῶν ἡμερῶν, καὶ ἔρχεσθε πρὸς μέ· καὶ ἀπῆλθεν ὁ
6 λαός. 6καὶ συνήγαγεν ὁ βασιλεὺς Ῥοβοὰμ τοὺς πρεσβυτέρους τοὺς
ἑστηκότας ἐναντίον Σαλωμὼν τοῦ πατρὸς αὐτοῦ ἐν τῷ ζῆν αὐτὸν
λέγων, Πῶς ὑμεῖς βούλεσθε τοῦ ἀποκριθῆναι τῷ λαῷ τούτῳ λόγον;
7 7καὶ ἐλάλησαν αὐτῷ λέγοντες Ἐὰν ἐν τῇ σήμερον γένῃ εἰς ἀγαθὸν
τῷ λαῷ τούτῳ, καὶ εὐδοκήσῃς καὶ λαλήσῃς αὐτοῖς λόγους ἀγαθούς,
8 καὶ ἔσονταί σοι παῖδες πάσας τὰς ἡμέρας. 8καὶ κατέλιπεν τὴν
βουλὴν τῶν πρεσβυτέρων οἱ συνεβουλεύσαντο αὐτῷ, καὶ συνεβου-
λεύσατο μετὰ τῶν παιδαρίων τῶν συνεκτραφέντων μετ' αὐτοῦ τῶν
9 ἑστηκότων ἐναντίον αὐτοῦ. 9καὶ εἶπεν αὐτοῖς Τί ὑμεῖς βούλεσθε
καὶ ἀποκριθήσομαι λόγον τῷ λαῷ τούτῳ, οἳ ἐλάλησαν πρὸς μὲ λέ-
10 γοντες Ἄνες ἀπὸ τοῦ ζυγοῦ οὗ ἔδωκεν ὁ πατήρ σου ἐφ' ἡμᾶς; 10καὶ
ἐλάλησαν αὐτῷ τὰ παιδάρια τὰ ἐκτραφέντα μετ' αὐτοῦ Οὕτως λαλή-
σεις τῷ λαῷ τῷ λαλήσαντι πρὸς σὲ λέγων Ὁ πατήρ σου ἐβάρυνεν
τὸν ζυγὸν ἡμῶν καὶ σὺ ἄφες ἀφ' ἡμῶν, οὕτως ἐρεῖς Ὁ μικρὸς
11 δάκτυλός μου παχύτερος τῆς ὀσφύος τοῦ πατρός μου. 11καὶ νῦν ὁ
πατήρ μου ἐπαίδευσεν ὑμᾶς ζυγῷ βαρεῖ, καὶ ἐγὼ προσθήσω ἐπὶ τὸν
ζυγὸν ἡμῶν· ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξιν, καὶ ἐγὼ

29 Αχια A | Σηλωνιτου A **30** *τεσσαρακ.* B$^{?}$ X **2** *ηκουσεν*] η sup A ras A^{a} | *υιος*] ς sup ras A^{a} | *απο*] απ sup ras A^{a} **2—3** *βοαμ*| *εν Αιγυπτω και απεστρεψεν* Ιεροβοαμ *εξ*| *Αιγυπτου· και απεστειλαν* (sic) *και εκαλεσαν* (sic) *αυτο·*| sup ras A$^{a?}$ (om *και απεστρεψεν...Αιγυπτου* A^{*vid}) **3** *ηλθον*] Ισλ A | Ροβοαμ] pr *βασιλεα* A **4** *δουλιας* A **5** *πορευεσθαι* A | *ερχεσθαι* A **8** *κατελειπεν* A **9** *τω λαω*| *τουτω λογον* A **11** *ημων*] *υμων* A | *μαστιγξιν* B* (*μαστιξιν* B^{b}A : item 14)

Β παιδεύσω ὑμᾶς ἐν σκορπίοις. [12]καὶ ἦλθεν Ἰεροβοὰμ καὶ πᾶς ὁ 12
λαὸς πρὸς Ῥοβοὰμ τῇ ἡμέρᾳ τῇ τρίτῃ ὡς ἐλάλησεν ὁ βασιλεὺς
λέγων Ἐπιστρέψατε πρὸς μὲ τῇ ἡμέρᾳ τῇ τρίτῃ. [13]καὶ ἀπεκρίθη 13
ὁ βασιλεὺς σκληρά, καὶ ἐνκατέλιπεν ὁ βασιλεὺς Ῥοβοὰμ τὴν βου-
λὴν τῶν πρεσβυτέρων, [14]καὶ ἐλάλησεν πρὸς αὐτοὺς κατὰ τὴν βουλὴν 14
τῶν νεωτέρων λέγων Ὁ πατήρ μου ἐβάρυνεν τὸν ζυγὸν ἡμῶν, καὶ
ἐγὼ προσθήσω ἐπ᾽ αὐτόν· ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μά-
στιξιν, καὶ ἐγὼ παιδεύσω ὑμᾶς ἐν σκορπίοις. [15]καὶ οὐκ ἤκουσεν 15
ὁ βασιλεὺς τοῦ λαοῦ, ὅτι ἦν μεταστροφὴ παρὰ τοῦ θεοῦ λέγων
Ἀνέστησεν Κύριος τὸν λόγον αὐτοῦ ὃν ἐλάλησεν ἐν χειρὶ Ἀχειὰ
τοῦ Σηλωνείτου περὶ Ἰεροβοὰμ υἱοῦ Ναβὰτ [16]καὶ παντὸς Ἰσραήλ, 16
ὅτι οὐκ ἤκουσεν ὁ βασιλεὺς αὐτῶν. καὶ ἀπεκρίθη ὁ λαὸς πρὸς τὸν
βασιλέα λέγων Τίς ἡμῶν μερὶς ἐν Δανεὶδ καὶ κληρονομία ἐν υἱῷ
Ἰεσσαί; εἰς τὰ σκηνώματά σου, Ἰσραήλ· νῦν βλέπε τὸν οἶκόν σου,
Δανείδ. καὶ ἐπορεύθη πᾶς Ἰσραὴλ εἰς τὰ σκηνώματα αὐτοῦ. [17]καὶ 17
ἄνδρες Ἰσραὴλ καὶ οἱ κατοικοῦντες ἐν πόλεσιν Ἰούδα καὶ ἐβασί-
λευσεν ἐπ᾽ αὐτῶν Ἰεροβοάμ. [18]καὶ ἀπέστειλεν ἐπ᾽ αὐτοὺς Ῥοβοὰμ 18
τὸν Ἀδωνιρὰμ τὸν ἐπὶ τοῦ φόρου, καὶ ἐλιθοβόλησαν οἱ υἱοὶ Ἰσραὴλ
αὐτὸν λίθοις καὶ ἀπέθανεν· καὶ ὁ βασιλεὺς Ἰεροβοὰμ ἔσπευσεν τοῦ
ἀναβῆναι εἰς τὸ ἅρμα τοῦ φυγεῖν εἰς Ἰερουσαλήμ. [19]καὶ ἠθέτησεν 19
Ἰσραὴλ ἐν τῷ οἴκῳ Δανεὶδ ἕως τῆς ἡμέρας ταύτης.

[1]Καὶ ἦλθεν Ῥοβοὰμ εἰς Ἰερουσαλήμ, καὶ ἐξεκκλησίασεν τὸν 1 XI
Ἰούδαν καὶ Βενιαμείν, ἑκατὸν ὀγδοήκοντα χιλιάδες νεανίσκων ποι-
ούντων πόλεμον· καὶ ἐπολέμει πρὸς Ἰσραὴλ τοῦ ἐπιστρέψαι τὴν
βασιλείαν τῷ Ῥοβοάμ. [2]καὶ ἐγένετο λόγος Κυρίου πρὸς Σαμαίαν 2
ἄνθρωπον τοῦ θεοῦ λέγων [3]Εἰπὸν πρὸς Ῥοβοὰμ τὸν τοῦ Σαλωμὼν 3
καὶ πάντα Ἰούδαν καὶ Βενιαμεὶν λέγων [4]Τάδε λέγει Κύριος Οὐκ ἀνα- 4
βήσεσθε καὶ οὐ πολεμήσετε πρὸς τοὺς ἀδελφοὺς ὑμῶν· ἀποστρέφετε
ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, ὅτι παρ᾽ ἐμοῦ ἐγένετο τὸ ῥῆμα τοῦτο.
καὶ ἐπήκουσαν τοῦ λόγου Κυρίου, καὶ ἀπεστράφησαν τοῦ μὴ πορευ-

A **13** εγκατελιπεν B^b εγκατελειπεν A **14** ημων] υμων B^{ab}A | και εγω (1°)] καγω A | om και 3° A **15** Αχεια] Χια A* Αχια A^1 | Σηλωνιτου A **16** ημων] ημιν A | εις] pr αποτρεχε A | βλεπε] in λ ras aliq $B^?$ | και 4°] κ sup ras $B^?$ **17** om και 2°, 3° A | εβασιλευσεν επ αυτων] εβασιλευσαν| εφ εαυτων A | Ιεροβοαμ] τον Ροβοαμ A **18** om επ αυτους A | Ροβοαμ] pr ο βασιλευς A | Αδωνειραμ] Αδωραμ A | ελιθοβολ.]+αυτον A | Ιεροβοαμ] Ροβοαμ A | εις (1°? 2°?)] in ς med ras aliq $B^?$ XI **1** χιλιαδας A | τω Ροβοαμ] εαυτω A **3** παντα] pr προς A | Ιουδα A **4** αναβησεσθε] αναβησεται A | και ου] ουδε A | πολεμησεται A | αποστραφητε A | επηκουσαν] υπηκουσαν A

θῆναι ἐπὶ Ἱεροβοάμ. 5καὶ κατῴκησεν Ῥοβοὰμ εἰς Ἰερουσαλήμ, καὶ Β
ᾠκοδόμησεν πόλεις τειχήρεις ἐν τῇ Ἰουδαίᾳ. 6καὶ ᾠκοδόμησεν τὴν
Βαιθσέεμ καὶ Ἀπὰν καὶ Θεκῶε, 7καὶ Βαιθσουρὰ καὶ τὴν Σοκχὼθ
καὶ τὴν Ὀδολάμ, 8καὶ τὴν Γὲθ καὶ τὴν Μαρεισὰν καὶ τὴν Ζείβ,
9 10 9καὶ τὴν Ἀδωραὶ καὶ Λαχεὶς καὶ τὴν Ἀζηκά, 10καὶ τὴν Σαραὰ καὶ
τὴν Ἀλδὼν καὶ τὴν Χεβρὼν ἥ ἐστιν τοῦ Ἰούδα καὶ Βενιαμείν, πόλεις
11 τειχήρεις. 11καὶ ὠχύρωσεν αὐτὰς τειχήρεις, καὶ ἔδωκεν ἐν αὐτοῖς
12 ἡγουμένους καὶ παραθέσεις βρωμάτων, ἔλαιον καὶ οἶνον, 12κατὰ
πόλιν καὶ κατὰ πόλιν θυρεοὺς καὶ δόρατα, καὶ κατίσχυσεν αὐτὰς
13 εἰς πλῆθος σφόδρα· καὶ ἦσαν αὐτῷ Ἰουδὰ καὶ Βενιαμείν. 13καὶ οἱ
Λευεῖται καὶ οἱ ἱερεῖς οἳ ἦσαν ἐν παντὶ Ἰσραὴλ συνήχθησαν πρὸς
14 αὐτὸν ἐκ πάντων τῶν ὁρίων· 14ὅτι ἐνκατέλιπον οἱ Λευεῖται τὰ
σκηνώματα τῆς κατασχέσεως αὐτῶν καὶ ἐπορεύθησαν πρὸς Ἰουδὰ
εἰς Ἰερουσαλήμ, ὅτι ἐξέβαλλεν αὐτοὺς Ἱεροβοὰμ καὶ οἱ υἱοὶ αὐτοῦ
15 μὴ λειτουργεῖν Κυρίῳ. 15καὶ κατέστησεν αὐτῷ ἱερεῖς τῶν ὑψηλῶν
καὶ τοῖς εἰδώλοις καὶ τοῖς ματαίοις καὶ τοῖς μόσχοις, ἃ ἐποίησεν
16 Ἱεροβοάμ· 16καὶ ἐξέβαλεν αὐτοὺς ἀπὸ φυλῶν Ἰσραὴλ οἳ ἔδωκαν
καρδίαν αὐτῶν τοῦ ζητῆσαι Κύριον θεὸν Ἰσραήλ, καὶ ἦλθον εἰς
17 Ἰερουσαλὴμ θῦσαι Κυρίῳ θεῷ τῶν πατέρων αὐτῶν. 17καὶ κατί-
σχυσαν τὴν βασιλείαν Ἰούδα· καὶ κατίσχυσεν Ῥοβοὰμ τὸν τοῦ
Σαλωμὼν εἰς ἔτη τρία, ὅτι ἐπορεύθη ἐν ταῖς ὁδοῖς Δαυὶδ καὶ
18 Σαλωμὼν ἔτη τρία. 18καὶ ἔλαβεν ἑαυτῷ Ῥοβοὰμ γυναῖκα τὴν
Μολλὰθ θυγατέρα Ἰεριμοὺθ υἱοῦ Δαυείδ, Βαίαν θυγατέρα Ἐλιὰν
19 τοῦ Ἰεσσαί. 19καὶ ἔτεκεν αὐτῷ υἱοὺς τὸν Ἰαοὺθ καὶ τὸν Σαμαρίαν
20 καὶ τὸν Ῥοολλάμ. 20καὶ μετὰ ταῦτα ἔλαβεν ἑαυτῷ τὴν Μααχὰ θυ-
γατέρα Ἀβεσσαλώμ, καὶ ἔτεκεν αὐτῷ τὸν Ἀβιὰ καὶ τὸν Ἰεθθεὶ καὶ
21 τὸν Ζειζὰ καὶ τὸν Ἐμμώθ. 21καὶ ἠγάπησεν Ῥοβοὰμ τὴν Μαάχαν
θυγατέρα Ἀβεσσαλὼμ ὑπὲρ πάσας τὰς γυναῖκας αὐτοῦ καὶ τὰς παλ-
λακὰς αὐτοῦ, ὅτι γυναῖκας δέκα ὀκτὼ εἶχεν καὶ παλλακὰς τριάκοντα·

5 εις] επι A **6** Βαιθσεεμ B*A] Βαιθλεεμ B^{ab} [Βηθλεεμ B (Mai)] A Απαν] Αιταμ B^{ab} τον Αιτανι A | Θεκωε] pr την A **7** Βαιθσουρα] pr την A | Οδολλαμ A **8** Μαρισαν A | Ζειφ A **9** Αδωραιμ A **10** Αλδων] Αιαλων A **11** τειχηρεις] τειχεσιν A | om εν A | βρωματων] litt ων perier in A **11—12** οινον κατα πολιν· B **12** om κατα πολιν και A | θυρεους] litt θυ perier in A **13** οι ιερεις και οι Λευιται A **14** εγκατελιπον B^{b} εγκατελειπον A | Λευειτε (sic) A | Ιουδαν A | εξεβαλεν B^{b}A | μη] pr του A | Κυριω] pr τω A **16** αυτων 1°] εαυτων A | Κυριον] pr τον A | θεω] pr τω A **17** τον του Σ.] ο του Σ. A | om εν A **18** Μολαθ A | Ιερμουθ] Ερμουθ A | Βαιαν] Αβαιαν $B^{ab\,vid}$ και Αβιαιαλ A | Ελιαν] Ελιαβ A **19** ετεκον A | om τον Ιαουθ A | Ροολλαμ] Ζαλαμ A **20** Ιεθθι A | Ζιζα A | Εμμωθ] Σαλημωθ A **21** Μααχα A | τριακοντα] εξηκοντα A

Β καὶ ἐγέννησεν υἱοὺς εἴκοσι ὀκτὼ καὶ θυγατέρας ἑξήκοντα. [22] καὶ κατέστησεν εἰς ἄρχοντα Ἀβιὰ τὸν τῆς Μααχὰ εἰς ἡγούμενον ἐν τοῖς ἀδελφοῖς αὐτοῦ, ὅτι βασιλεῦσαι διενοεῖτο αὐτόν. [23] καὶ ηὐξήθη παρὰ πάντας τοὺς υἱοὺς αὐτοῦ ἐν πᾶσιν τοῖς ὁρίοις Ἰούδα καὶ Βενιαμεὶν καὶ ἐν ταῖς πόλεσιν ταῖς ὀχυραῖς, καὶ ἔδωκεν αὐταῖς τροφὰς πλῆθος πολύ, καὶ ᾐτήσατο πλῆθος γυναικῶν. [1] Καὶ ἐγένετο ὡς ἡτοιμάσθη ἡ βασιλεία Ῥοβοὰμ καὶ ὡς κατεκρατήθη, ἐνκατέλιπεν τὰς ἐντολὰς Κυρίου καὶ πᾶς Ἰσραὴλ μετ' αὐτοῦ. [2] καὶ ἐγένετο ἐν τῷ πέμπτῳ ἔτει τῆς βασιλείας Ῥοβοὰμ ἀνέβη Σουσακεὶμ βασιλεὺς Αἰγύπτου ἐπὶ Ἰερουσαλήμ, ὅτι ἥμαρτον ἐναντίον Κυρίου, [3] ἐν χιλίοις καὶ διακοσίοις ἅρμασιν καὶ ἑξήκοντα χιλιάσιν ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τοῦ πλήθους τοῦ ἐλθόντος μετ' αὐτοῦ ἐξ Αἰγύπτου, Λίβυες, Τρωγλοδύται καὶ Αἰθίοπες. [4] καὶ κατεκράτησαν τῶν πόλεων τῶν ὀχυρῶν αἳ ἦσαν ἐν Ἰούδᾳ· καὶ ἦλθεν εἰς Ἰερουσαλήμ. [5] καὶ Σαμμαίας ὁ προφήτης ἦλθεν πρὸς Ῥοβοὰμ καὶ πρὸς τοὺς ἄρχοντας Ἰούδα τοὺς συναχθέντας εἰς Ἰερουσαλὴμ ἀπὸ προσώπου Σουσακεὶμ καὶ εἶπεν αὐτοῖς Οὕτως εἶπεν Κύριος Ὑμεῖς ἐνκατελίπετέ με, κἀγὼ ἐνκαταλείψω ὑμᾶς ἐν χειρὶ Σουσακείμ. [6] καὶ ᾐσχύνθησαν οἱ ἄρχοντες Ἰσραὴλ καὶ ὁ βασιλεύς, καὶ εἶπαν Δίκαιος ὁ κύριος. [7] καὶ ἐν τῷ ἰδεῖν Κύριον ὅτι ἐνετράπησαν, καὶ ἐγένετο λόγος Κυρίου πρὸς Σαμμαίαν λέγων Ἐνετράπησαν· οὐ καταφθερῶ αὐτούς, καὶ δώσω αὐτοὺς ὡς μικρὸν εἰς σωτηρίαν, καὶ οὐ μὴ στάξῃ ὁ θυμός μου ἐν Ἰερουσαλήμ, [8] ὅτι ἔσονται εἰς παῖδας, καὶ γνώσονται τὴν δουλείαν μου καὶ τὴν δουλείαν τῆς βασιλείας τῆς γῆς. [9] καὶ ἀνέβη Σουσακεὶμ βασιλεὺς Αἰγύπτου, καὶ ἔλαβεν τοὺς θησαυροὺς τοὺς ἐν οἴκῳ Κυρίου καὶ τοὺς θησαυροὺς τοὺς ἐν οἴκῳ τοῦ βασιλέως, τὰ πάντα ἔλαβεν· καὶ ἔλαβεν τοὺς θυρεοὺς τοὺς χρυσοῦς οὓς ἐποίησεν Σαλωμών. [10] καὶ ἐποίησεν Ῥοβοὰμ θυρεοὺς χαλκοῦς ἀντ' αὐτῶν· καὶ κατέστησεν ἐπ' αὐτὸν Σουσακεὶμ ἄρχοντας παρατρεχόντων τοὺς φυλάσσοντας τὸν πυλῶνα τοῦ βασιλέως. [11] καὶ ἐγένετο ἐν τῷ εἰσελθεῖν τὸν βασιλέα εἰς οἶκον Κυρίου, εἰσεπορεύοντο οἱ φυλάσσοντες καὶ οἱ παρατρέχοντες καὶ οἱ ἐπιστρέφοντες εἰς ἀπάντησιν τῶν παρατρεχόντων. [12] καὶ ἐν τῷ ἐντραπῆναι αὐτὸν ἀπεστράφη ἀπ' αὐτοῦ ὀργὴ Κυρίου, καὶ οὐκ εἰς καταφθορὰν XII 1 2 3 4 5 6 7 8 9 10 11 12

A **22** Αβια] pr Ροβοαμ'·| *τον* A XII **1** *βασιλια* A | *εγκατελιπεν* B^b *εγκατελειπεν* A **2** Ιερουσαλημ] Ισλ A **3** Τρωγοδυται B **4** Ιουδα] in *o* med ras aliq $B^?$ | *ηλθον* A **5** Σαμαιας A | *εγκατελιπετε* B^b *εγκατελειπατε* A | *εγκαταλειψω* B^bA **6** Ισραηλ] Ιουδα A **7** Σαμαιαν A | *εν* 2°] *επι* A **8** *δουλιαν* A (bis) **12** *οργη*] pr *η* A

13 εἰς τέλος· καὶ γὰρ ἐν Ἰούδᾳ ἦσαν λόγοι ἀγαθοί. [13]καὶ κατίσχυσεν Β
Ῥοβοὰμ ἐν Ἰερουσαλὴμ καὶ ἐβασίλευσεν· καὶ τεσσεράκοντα καὶ ἑνὸς
ἐτῶν Ῥοβοὰμ ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ ἑπτὰ καὶ δέκα ἔτη
ἐβασίλευσεν ἐν Ἰερουσαλήμ, ἐν τῇ πόλει ᾗ ἐξελέξατο Κύριος ἐπο-
νομάσαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ ἐκ πασῶν φυλῶν υἱῶν Ἰσραήλ· καὶ
14 ὄνομα τῆς μητρὸς αὐτοῦ Νοομμὰ ἡ Ἀμμανεῖτις. [14]καὶ ἐποίησεν τὸ
πονηρόν, ὅτι οὐ κατεύθυνεν τὴν καρδίαν αὐτοῦ ἐκζητῆσαι τὸν κύριον.
15 [15]καὶ λόγοι Ῥοβοὰμ οἱ πρῶτοι καὶ οἱ ἔσχατοι οὐκ ἰδοὺ γεγραμμένοι
ἐν τοῖς λόγοις Σαμμαία τοῦ προφήτου καὶ Ἀδὼ τοῦ ὁρῶντος, καὶ
πράξεις αὐτοῦ; καὶ ἐπολέμει Ῥοβοὰμ τὸν Ἱεροβοὰμ πάσας τὰς
16 ἡμέρας. [16]καὶ ἀπέθανεν Ῥοβοὰμ καὶ ἐτάφη μετὰ τῶν πατέρων αὐ-
τοῦ, καὶ ἐτάφη ἐν πόλει Δανείδ· καὶ ἐβασίλευσεν Ἀβιὰ υἱὸς αὐτοῦ
ἀντ' αὐτοῦ.

XIII 1 [1]Ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας Ἱεροβοὰμ ἐβασίλευσεν
2 Ἀβιὰ ἐπὶ Ἰσραήλ. [2]ἔτη τρία ἐβασίλευσεν ἐν Ἰερουσαλήμ, καὶ
ὄνομα τῇ μητρὶ αὐτοῦ Μααχὰ θυγάτηρ Οὐριὴλ ἀπὸ Γαβαών· καὶ
3 πόλεμος ἦν ἀνὰ μέσον Ἀβιὰ καὶ ἀνὰ μέσον Ἱεροβοάμ. [3]καὶ παρε-
τάξατο Ἀβιὰ ἐν δυνάμει πολεμισταῖς δυνάμεως τετρακοσίαις χιλιάσιν
ἀνδρῶν δυνατῶν· καὶ Ἱεροβοὰμ παρετάξατο πρὸς αὐτὸν πόλεμον ἐν
4 ὀκτακοσίαις χιλιάσιν, δυνατοὶ πολεμισταὶ δυνάμεως. [4]καὶ ἀνέστη
Ἀβιὰ ἀπὸ τοῦ ὄρους Σομορών, ὃ ἐστιν ἐν τῷ ὄρει Ἐφράιμ, καὶ εἶπεν
5 Ἀκούσατε, Ἱεροβοὰμ καὶ πᾶς Ἰσραήλ. [5]οὐχ ὑμῖν γνῶναι ὅτι Κύριος
ὁ θεὸς Ἰσραὴλ ἔδωκεν βασιλέα ἐπὶ τὸν Ἰσραὴλ εἰς τὸν αἰῶνα τῷ
6 Δαυὶδ καὶ τοῖς υἱοῖς αὐτοῦ διαθήκῃ ἁλός; [6]καὶ ἀνέστη Ἱεροβοὰμ
ὁ τοῦ Ναβὰτ ὁ παῖς Σαλωμὼν τοῦ Δαυὶδ καὶ ἀνέστη ἀπὸ τοῦ κυρίου
7 αὐτοῦ. [7]καὶ συνήχθησαν πρὸς αὐτὸν ἄνδρες λοιμοὶ υἱοὶ παράνομοι,
καὶ ἀνέστη πρὸς Ῥοβοὰμ τὸν τοῦ Σαλωμών, καὶ Ῥοβοὰμ ἦν νεώτερος
8 καὶ δειλὸς τῇ καρδίᾳ, καὶ οὐκ ἀντέστη κατὰ πρόσωπον αὐτοῦ. [8]καὶ
νῦν λέγετε ὑμεῖς ἀντιστῆναι κατὰ πρόσωπον βασιλείας Κυρίου διὰ
χειρὸς υἱῶν Δαυείδ· καὶ ὑμεῖς πλῆθος πολύ, καὶ μεθ' ὑμῶν μόσχοι
9 χρυσοῖ οὓς ἐποίησεν ὑμῖν Ἱεροβοὰμ εἰς θεούς. [9]ἢ οὐκ ἐξεβάλετε

12 Ιουδα] pr τω A | αγαθοι] + και| αρεστοι εν πασιν A **13** τεσσαρακ. A
B^b | om νιων A | Αμμανιτις A **14** αυτου] εαυτου A | τον κυριον] om τον
A **15** Σαμαια A | Αδδω A | πραξεις] pr αι A | τον Ιεροβοαμ] προς I. A
16 αυτου 1°] εαυτου A | om και εταφη (2°) A XIII **1** Ισραηλ] Ιουδαν
A **2** τρια ετη A **3** Αβια] + τον πολεμον A | δυνατοι πολεμισται]
δυνατων πολεμιστων A **5** υμι A* (υμιν $A^{a?}$) | εδωκεν] δεδωκεν A |
διαθηκην A **6** του Δανειδ] τω Δαδ A | ανεστη 2°] απεστη A | αυτου]
εαυτου A **7** ανεστη] αντεστη A | τον του Σ.] υιον Σ. A **8** χρυσοι]
πολλοι (πολλ sup ras) A^a **9** εξεβαλετο A

Β τοὺς ἱερεῖς Κυρίου τοὺς υἱοὺς Ἀαρὼν καὶ τοὺς Λευείτας, καὶ ἐποιήσατε
ἑαυτοῖς ἱερεῖς ἐκ τοῦ λαοῦ τῆς γῆς πάσης; ὁ προσπορευόμενος πλη-
ρῶσαι τὰς χεῖρας ἐκ μόσχων ἐκ βοῶν καὶ κριοῖς ἑπτά, καὶ ἐγίνετο
εἰς ἱερέα τῷ μὴ ὄντι θεῷ. 10καὶ ἡμεῖς Κύριον τὸν θεὸν ἡμῶν οὐκ ἐνκα- 10
τελίπομεν, καὶ οἱ ἱερεῖς αὐτοῦ λειτουργοῦσιν τῷ κυρίῳ οἱ υἱοὶ Ἀαρὼν
καὶ οἱ Λευεῖται ἐν ταῖς ἐφημερίαις αὐτῶν· 11θυμιῶσιν τῷ κυρίῳ 11
ὁλοκαύτωμα πρωὶ καὶ δείλης καὶ θυμίαμα συνθέσεως, καὶ προθέσεις
ἄρτων ἐπὶ τῆς τραπέζης τῆς καθαρᾶς, καὶ ἡ λυχνία ἡ χρυσῆ καὶ
οἱ λυχνοὶ τῆς καύσεως ἀνάψαι δείλης· ὅτι φυλάσσομεν ἡμεῖς τὰς
φυλακὰς Κυρίου τοῦ θεοῦ τῶν πατέρων ἡμῶν, καὶ ὑμεῖς ἐνκατελίπετε
αὐτόν. 12καὶ ἰδοὺ μεθ' ἡμῶν ἐν ἀρχῇ Κύριος καὶ οἱ ἱερεῖς αὐτοῦ 12
καὶ αἱ σάλπιγγες τῆς σημασίας τοῦ σημαίνειν ἐφ' ἡμᾶς· οἱ υἱοὶ τοῦ
Ἰσραήλ, πολεμήσετε πρὸς Κύριον θεὸν τῶν πατέρων ἡμῶν, ὅτι
οὐκ εὐοδώσεται ὑμῖν. 13καὶ Ἱεροβοὰμ ἀπέστρεψεν τὸ ἔνεδρον ἐλθεῖν 13
αὐτῶν ἐκ τῶν ὄπισθεν, καὶ ἐγένετο ἔμπροσθεν Ἰούδα, καὶ τὸ ἔνεδρον
ἐκ τῶν ὄπισθεν. 14καὶ ἀπέστρεψεν Ἰούδας, καὶ ἰδοὺ αὐτοῖς ὁ 14
πόλεμος ἐκ τῶν ἔμπροσθεν καὶ ἐκ τῶν ὄπισθεν, καὶ ἐβόησαν πρὸς
Κύριον, καὶ οἱ ἱερεῖς ἐσάλπισαν ταῖς σάλπιγξιν. 15καὶ ἐβόησαν ἄνδρες 15
Ἰούδα· καὶ ἐγένετο ἐν τῷ βοᾶν ἄνδρας Ἰουδά, καὶ Κύριος ἐπάταξεν
τὸν Ἱεροβοὰμ καὶ τὸν Ἰσραὴλ ἐναντίον Ἀβιὰ καὶ Ἰούδα. 16καὶ 16
ἔφυγον οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ προσώπου Ἰούδα, καὶ παρέδωκεν αὐτοὺς
Κύριος εἰς τὰς χεῖρας αὐτῶν. 17καὶ ἐπάταξεν ἐν αὐτοῖς Ἀβιὰ καὶ 17
ὁ λαὸς αὐτοῦ πληγὴν μεγάλην, καὶ ἔπεσον τραυματίαι ἀπὸ Ἰσραὴλ
πεντακόσιαι χιλιάδες ἄνδρες δυνατοί. 18καὶ ἐταπεινώθησαν οἱ υἱοὶ 18
Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ κατίσχυσαν οἱ υἱοὶ Ἰούδα, ὅτι ἤλπισαν
ἐπὶ Κύριον θεὸν τῶν πατέρων αὐτῶν. 19καὶ κατεδίωξεν Ἀβιὰ ὀπίσω 19
Ἱεροβοὰμ καὶ προκατελάβετο παρ' αὐτοῦ πόλεις, τὴν Βαιθὴλ καὶ
τὰς κώμας αὐτῆς, καὶ τὴν Κανὰ καὶ τὰς κώμας αὐτῆς, καὶ τὴν Ἐφρὼν
καὶ τὰς κώμας αὐτῆς. 20καὶ οὐκ ἔσχεν ἰσχὺν Ἱεροβοὰμ ἔτι πάσας 20

A **9** Λευιτ. A (item 10) | της γης] A | πασης] πας A | εκ μοσχων] εξ μοσχοις A **10** εγκατελιπομεν B^b ενκαταιλειπομεν (sic) A | οι υιοι] om οι A | εν] pr και A | αυτων] εαυτων A **11** ολοκαυτωματα A | προθεσις A | και 4°] κ sup ras A^a | εγκατελιπετε B^b εγκατελειπατε A **12** αι σαλπ.] om αι A | ημας] υμας A | οι υιοι] pr και A | πολεμησεται A | ευοδω|θησεται A **13** αυτων] αυτω A **14** ο πολεμος αυτοις A | om εκ των εμπροσθεν και A **15** ανδρας B^{ab} (α 2° superscr) A] ανδρες B* cum signo perversae lect **16** τας χειρας] om τας A **17** επεσαν A | χιλιαδες ανδρες] χιλι, s 2° sup ras $A^{a?}$ **18** αυτων] εαυτων A **19** πολις $B^{?vid}$ | τη Βαιθηλ A* (την B. $A^{a?}$) | Κανα] Ανα A | κωμας 3°] θυ|γατερας A **20** επι] επι A^{vid}

τὰς ἡμέρας Ἀβιά, καὶ ἐπάταξεν αὐτὸν Κύριος, καὶ ἐτελεύτησεν. Β
21 21καὶ κατίσχυσεν Ἀβιά, καὶ ἔλαβεν ἑαυτῷ γυναῖκας δέκα τέσσαρας,
22 καὶ ἐγέννησεν υἱοὺς εἴκοσι δύο καὶ θυγατέρας δέκα ἕξ. 22καὶ οἱ
λοιποὶ λόγοι Ἀβιὰ καὶ αἱ πράξεις αὐτοῦ καὶ οἱ λόγοι αὐτοῦ γεγραμ-
μένοι ἐπὶ βιβλίῳ τοῦ προφήτου Ἀδώ.

XIV (23) 1 1Καὶ ἀπέθανεν Ἀβιὰ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν
αὐτὸν ἐν πόλει Δαυείδ· καὶ ἐβασίλευσεν Ἀσὰ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.
XIV) (1) 2 ἐν ταῖς ἡμέραις Ἀσὰ ἡσύχασεν ἡ γῆ Ἰούδα ἔτη δέκα. 2καὶ ἐποίη-
(2) 3 σεν τὸ καλὸν καὶ τὸ εὐθὲς ἐνώπιον Κυρίου θεοῦ αὐτοῦ. 3καὶ
ἀπέστησεν τὰ θυσιαστήρια τῶν ἀλλοτρίων καὶ τὰ ὑψηλά, καὶ
(3) 4 συνέτριψεν τὰς στήλας καὶ ἐξέκοψεν τὰ ἄλση, 4καὶ εἶπεν τῷ
Ἰούδᾳ ἐκζητῆσαι τὸν κύριον θεὸν τῶν πατέρων αὐτῶν καὶ ποιῆσαι
(4) 5 τὸν νόμον καὶ τὰς ἐντολάς. 5καὶ ἀπέστησεν ἀπὸ πασῶν τῶν
πόλεων Ἰούδα τὰ θυσιαστήρια καὶ τὰ εἴδωλα, καὶ εἰρήνευσεν.
(5) 6 6πόλεις τειχήρεις ἐν γῇ Ἰούδα, ὅτι εἰρήνευσεν ἡ γῆ· καὶ οὐκ ἦν
αὐτῷ πόλεμος ἐν τοῖς ἔτεσιν τούτοις, ὅτι κατέπαυσεν αὐτῷ Κύριος.
(6) 7 7καὶ εἶπεν τῷ Ἰούδᾳ Οἰκοδομήσωμεν τὰς πόλεις ταύτας, καὶ
ποιήσωμεν τείχη καὶ πύργους καὶ πύλας καὶ μοχλούς, ἐνώπιον
τῆς γῆς κυριεύσομεν· ὅτι καθὼς ἐζητήσαμεν Κύριον θεὸν ἡμῶν,
ἐξεζήτησεν ἡμᾶς, καὶ κατέπαυσεν ἡμᾶς κυκλόθεν καὶ εὐόδωσεν
(7) 8 ἡμῖν. 8καὶ ἐγένετο τῷ Ἀσὰ δύναμις ὁπλοφόρων αἰρόντων
θυρεοὺς καὶ δόρατα ἐν γῇ Ἰούδα τριακόσιαι χιλιάδες, καὶ ἐν γῇ
Βενιαμεὶν πελτασταὶ καὶ τοξόται διακόσιαι καὶ πεντήκοντα
(8) 9 χιλιάδες, πάντες οὗτοι πολεμισταὶ δυνάμεως. 9καὶ ἐξῆλθεν ἐπ' αὐ-
τοὺς Ζάρε ὁ Αἰθίοψ ἐν δυνάμει, ἐν χιλιάσιν καὶ ἅρμασιν τρια-
(9) 10 κοσίοις, καὶ ἦλθεν ἕως Μαρισήλ. 10καὶ ἐξῆλθεν Ἀσὰ εἰς συνάν-
τησιν αὐτῷ, καὶ παρετάξατο πόλεμον ἐν τῇ φάραγγι κατὰ
(10) 11 βορρᾶν Μαρείσης. 11καὶ ἐβόησεν Ἀσὰ πρὸς Κύριον θεὸν αὐτοῦ
καὶ εἶπεν Κύριε, οὐκ ἀδυνατεῖ παρὰ σοὶ σώζειν ἐν πολλοῖς καὶ ἐν
ὀλίγοις· κατίσχυσον ἡμᾶς, Κύριε ὁ θεὸς ἡμῶν, ὅτι ἐπὶ σοὶ πεποί-
θαμεν, καὶ ἐπὶ τῷ ὀνόματί σου ἤλθαμεν ἐπὶ τὸ πλῆθος τὸ πολὺ
τοῦτο· Κύριε ὁ θεὸς ἡμῶν, μὴ κατισχυσάτω πρὸς σὲ ἄνθρωπος.

21 τεσσαρες A **22** Αδδω A XIV **2** θεου] pr του A | αυτου] A εαυτου A **4** τον κυριον θεον] κν̄ τον θν̄ A | αυτων] εαυτων A **7** ενωπιον] εν ω A | κυριευσομεν A | ευωδωσεν B^{ab} **8** om και 5° A | παντες] πεντες A **9** ο Αιθιοψ] om ο A | χιλιασιν] χειλιαισιν B^{*} χιλιασιν B^{b} χιλιαις χιλιασιν A | και ηλθε] και ηλθεν A | Μαρισηλ] Μαρησα A **10** Μαρεισης] Μαρησα A **11** ουκ αδυνατει] ου δυνατει A | πεποιθαμεν] αμ sup ras A^{b} | ηλθομεν A

Β [12]καὶ ἐπάταξεν Κύριος τοὺς Αἰθίοπας ἐναντίον Ἰούδα, καὶ ἔφυγον 12 (11)
Αἰθίοπες, [13]καὶ κατεδίωξεν Ἀσὰ καὶ ὁ λαὸς αὐτοῦ ἕως Γεδώρ· καὶ 13 (12)
ἔπεσον Αἰθίοπες ὥστε μὴ εἶναι ἐν αὐτοῖς περιποίησιν, ὅτι συνετρί-
βησαν ἐνώπιον Κυρίου καὶ ἐναντίον τῆς δυνάμεως αὐτοῦ· καὶ ἐσκύ-
λευσαν σκῦλα πολλά. [14]καὶ ἐξέκοψαν τὰς κώμας αὐτῶν κύκλῳ 14 (13)
Γεδώρ, ὅτι ἐγενήθη ἔκστασις Κυρίου ἐπ' αὐτούς, καὶ ἐσκύλευσαν
πάσας τὰς πόλεις αὐτοῦ, ὅτι πολλὰ σκῦλα ἐγενήθη αὐτοῖς· [15]καί 15 (14)
γε σκηνὰς κτήσεων, τοὺς Ἀμαζονεῖς, ἐξέκοψαν, καὶ ἔλαβον πρό-
βατα πολλὰ καὶ καμήλους, καὶ ἐπέστρεψαν εἰς Ἰερουσαλήμ. [1]Καὶ 1 XV
Ἀζαρίας υἱὸς Ὠδήδ, ἐγένετο ἐπ' αὐτὸν πνεῦμα Κυρίου. [2]καὶ ἐξῆλθεν 2
εἰς ἀπάντησιν αὐτῶν ἐν παντὶ Ἰούδᾳ καὶ Βενιαμείν, καὶ εἶπεν
Κύριος μεθ' ὑμῶν ἐν τῷ εἶναι ἡμᾶς μετ' αὐτοῦ· καὶ ἐὰν ἐκζητήσητε
αὐτόν, εὑρεθήσεται ὑμῖν· καὶ ἐὰν καταλίπητε αὐτόν, ἐνκαταλείψει
ὑμᾶς. [3]καὶ ἡμέραι πολλαὶ τῷ Ἰσραὴλ ἐν οὐ θεῷ ἀληθινῷ καὶ ἐν 3
οὐ νόμῳ. [4]καὶ ἐπιστρέψει αὐτοὺς ἐπὶ Κύριον θεὸν Ἰσραήλ, καὶ 4
εὑρεθήσεται αὐτοῖς. [5]καὶ ἐν ἐκείνῳ τῷ καιρῷ οὐκ ἔστιν εἰρήνη 5
τῷ εἰσπορευομένῳ καὶ τῷ ἐκπορευομένῳ, ὅτι ἔκστασις Κυρίου ἐπὶ
πάντας τοὺς κατοικοῦντας χώρας. [6]καὶ πολεμήσει ἔθνος πρὸς ἔθνος 6
καὶ πόλις πρὸς πόλιν, ὅτι ὁ θεὸς ἐξέστησεν αὐτοὺς ἐν πάσῃ θλίψει.
[7]καὶ ὑμεῖς ἰσχύσατε καὶ μὴ ἐκλυέσθωσαν αἱ χεῖρες ὑμῶν, ὅτι ἔστιν 7
μισθὸς τῇ ἐργασίᾳ ὑμῶν. [8]καὶ ἐν τῷ ἀκοῦσαι τοὺς λόγους τούτους 8
καὶ τὴν προφητείαν Ἀδὰδ τοῦ προφήτου, καὶ κατίσχυσεν καὶ ἐξέβαλεν
τὰ βδελύγματα ἀπὸ πάσης τῆς γῆς Ἰούδα καὶ Βενιαμεὶν καὶ ἀπὸ τῶν
πόλεων ὧν κατέσχεν ἐν ὄρει Ἐφράιμ, καὶ ἀνεκαίνισεν τὸ θυσια-
στήριον Κυρίου ὃ ἦν ἔμπροσθεν τοῦ ναοῦ Κυρίου. [9]καὶ ἐξεκκλησίασεν 9
τὸν Ἰούδαν καὶ Βενιαμεὶν καὶ τοὺς προσηλύτους τοὺς παροικοῦντας
μετ' αὐτοῦ ἀπὸ Ἐφράιμ καὶ ἀπὸ Μανασσὴ καὶ ἀπὸ Συμεών, ὅτι
προσετέθησαν πρὸς αὐτὸν πολλοὶ τοῦ Ἰσραὴλ ἐν τῷ ἰδεῖν αὐτοὺς
ὅτι Κύριος ὁ θεὸς αὐτοῦ μετ' αὐτοῦ. [10]καὶ συνήχθησαν εἰς Ἰερου- 10
σαλὴμ ἐν τῷ μηνὶ τῷ τρίτῳ ἐν τῷ πεντεκαιδεκάτῳ ἔτει τῆς βασιλείας
Ἀσά. [11]καὶ ἔθυσεν τῷ κυρίῳ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὧν ἤνεγκεν, μόσχους 11

A **12** Αιθιοπας] in Αι ras aliq B^2 | Αιθιοπες] pr οι A **13** περιποιησειν A | ενωπιον] εναντιον A XV **1** Ωδηδ] Αδαδ A **2** αυτων] Ασα A | εν 1°] και A | ειπεν] + ακουσατε μου Ασα και πας Ιουδας και| Βενιαμειν· A | ημας] υμας A | καταλιπητε] εγκαταλειπητε A | εγκαταλειψει B^{ab}A (-ψι) **3** και 2°] pr και ουχ ιε|ρεως υποδεικνυοντος· A **5** om και τω εκπορευομενω A | χωρας] pr τας A **6** πολις] πολεις A **8** προφητιαν A | Αδαδ] Αζαριου A **9** τον Ιουδαν...εν τω ιδειν rescr A^2 **11** εθυσαν A | ων] pr απο των σκυλων A | ηνεγκαν A

12 ἑπτακοσίους καὶ πρόβατα ἑπτακισχίλια. [12]καὶ διῆλθεν ἐν διαθήκῃ Β
ζητῆσαι Κύριον θεὸν τῶν πατέρων αὐτῶν ἐξ ὅλης τῆς καρδίας καὶ
13 ἐξ ὅλης τῆς ψυχῆς. [13]καὶ πᾶς ὃς ἐὰν μὴ ἐκζητήσῃ Κύριον θεὸν
Ἰσραήλ, ἀποθανεῖται ἀπὸ νεωτέρου ἕως πρεσβυτέρου, ἀπὸ ἀνδρὸς
14 ἕως γυναικός. [14]καὶ ὤμοσαν ἐν Κυρίῳ ἐν φωνῇ μεγάλῃ καὶ ἐν
15 σάλπιγξιν. [15]καὶ ηὐφράνθησαν πᾶς Ἰουδὰ περὶ τοῦ ὅρκου, ὅτι ἐξ
ὅλης τῆς ψυχῆς ὤμοσαν, καὶ ἐν πάσῃ θελήσει ἐζήτησαν αὐτόν, καὶ
16 εὑρέθη αὐτοῖς, καὶ κατέπαυσεν αὐτοῖς Κύριος κυκλόθεν. [16]καὶ τὴν
Μααχὰ τὴν μητέρα αὐτοῦ μετέστησεν τοῦ μὴ εἶναι τῇ Ἀστάρτῃ
λειτουργοῦσαν, καὶ κατέκοψεν τὸ εἴδωλον καὶ κατέκαυσεν ἐν χειμάρρῳ
17 Κεδρών. [17]πλὴν τὰ ὑψηλὰ οὐκ ἀπέστησαν, ἔτι ὑπῆρχεν ἐν τῷ
Ἰσραήλ· ἀλλ' ἡ καρδία Ἀσὰ ἐγένετο πλήρης πάσας τὰς ἡμέρας αὐτοῦ.
18 [18]καὶ εἰσήνεγκεν τὰ ἅγια Δανειὴ τοῦ πατρὸς αὐτοῦ καὶ τὰ ἅγια οἴκου
19 Κυρίου τοῦ θεοῦ, ἀργύριον καὶ χρυσίον καὶ σκεύη. [19]καὶ πόλεμος
οὐκ ἦν μετ' αὐτοῦ ἕως τοῦ πέμπτου καὶ τριακοστοῦ ἔτους τῆς βασιλείας
XVI 1 Ἀσά. [1]Καὶ ἐν τῷ ὀγδόῳ καὶ τριακοστῷ ἔτει τῆς βασιλείας Ἀσὰ
ἀνέβη Βαασὰ βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἰούδαν, καὶ ᾠκοδόμησεν τὴν
Ῥαμὰ τοῦ μὴ δοῦναι ἔξοδον καὶ εἴσοδον τῷ Ἀσὰ βασιλεῖ Ἰούδα.
2 [2]καὶ ἔλαβεν Ἀσὰ χρυσίον καὶ ἀργύριον ἐκ θησαυρῶν οἴκου Κυρίου
καὶ οἴκου τοῦ βασιλέως, καὶ ἀπέστειλεν πρὸς τὸν υἱὸν τοῦ Ἀδὲρ
3 βασιλέως Συρίας τὸν κατοικοῦντα ἐν Δαμασκῷ λέγων [3]Διάθου
διαθήκην ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ ἀνὰ μέσον τοῦ πατρός μοῦ
καὶ ἀνὰ μέσον τοῦ πατρὸς σοῦ· ἰδοὺ ἀπέσταλκά σοι χρυσίον καὶ
ἀργύριον, δεῦρο καὶ διασκέδασον ἀπ' ἐμοῦ τὸν Βαασὰ βασιλέα
4 Ἰσραήλ, καὶ ἀπελθέτω ἀπ' ἐμοῦ. [4]καὶ ἤκουσεν υἱὸς Ἀδὲρ τοῦ
βασιλέως Ἀσά, καὶ ἀπέστειλεν πρὸς τοὺς ἄρχοντας τῆς δυνάμεως
αὐτοῦ ἐπὶ τὰς πόλεις Ἰσραήλ, καὶ ἐπάταξεν τὴν Ἰὼ καὶ τὴν Δανὼ
5 καὶ τὴν Ἀβελμὰν καὶ πάσας τὰς περιχώρους Νεφθαλεί. [5]καὶ ἐγένετο
ἐν τῷ ἀκοῦσαι Ἀβαασά, ἀπέλιπεν τοῦ μηκέτι οἰκοδομεῖν τὴν Ῥαμὰ
6 καὶ κατέπαυσεν τὸ ἔργον αὐτοῦ. [6]καὶ Ἀσὰ ὁ βασιλεὺς ἔλαβεν
πάντα τὸν Ἰουδά, καὶ ἔλαβεν τοὺς λίθους τῆς Ῥαμὰ καὶ τὰ ξύλα

11 επτακοσιους] επτα·| κριους A | επτακισχιλια] επτα χιλιαδας·| A **13** ος] A
ο A | απο 2°] pr και A **14** ωμοσεν A | Κυριω] pr τω A | σαλπιγξιν] + και
εν κερατιναις A **15** ψυχης] + αυτων A | και 2°] κα| A | κυκλωθεν B*
(κυκλοθεν B^{ab}) **16** om μη A **17** απεστησαν] εξηρα| A | Ισραηλ] pr
Ιουδα και A XVI **1** μη δουναι] μηδου· και A **3** σου 1°] pr ανα μεσον A
4 om προς A | Ιω] Αιων A | Δανω] Δαν A | Αβελμαιν A | Νεφθαλι A
5 Αβαασα] Βαασα A | απελειπεν A | αυτου] εαυτου A **6** ελαβεν 1°]
ηγαγεν A

Β αὐτῆς ἃ ᾠκοδόμησεν Βαασά, καὶ ᾠκοδόμησεν ἐν αὐτοῖς τὴν Γάβαε καὶ τὴν Μασφά. 7καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἦλθεν Ἀναμεὶ ὁ προφήτης 7
πρὸς Ἀσὰ βασιλέα Ἰούδα καὶ εἶπεν αὐτῷ Ἐν τῷ πεποιθέναι σε
ἐπὶ βασιλέα Συρίας καὶ μὴ πεποιθέναι σε ἐπὶ Κύριον θεόν σου,
διὰ τοῦτο ἐσώθη δύναμις Συρίας ἀπὸ τῆς χειρός σου. 8οὐχ οἱ 8
Αἰθίοπες καὶ Λίβυες ἦσαν εἰς δύναμιν πολλὴν εἰς θάρσος, εἰς
ἱππεῖς εἰς πλῆθος σφόδρα; καὶ ἐν τῷ πεποιθέναι σε ἐπὶ Κύριον
παρέδωκεν εἰς τὰς χεῖράς σου. 9ὅτι οἱ ὀφθαλμοὶ Κυρίου ἐπιβλέ- 9
πουσιν ἐν πάσῃ τῇ γῇ κατισχῦσαι ἐν πάσῃ καρδίᾳ πλήρει ἐπὶ
τοῦ πρὸς αὐτόν. ἠγνόηκας ἐπὶ τούτῳ· ἀπὸ τοῦ νῦν ἔστιν μετὰ σοῦ
πόλεμος. 10καὶ ἐθυμώθη Ἀσὰ τῷ προφήτῃ, καὶ παρέθετο αὐτὸν 10
εἰς φυλακὴν ἐπὶ τούτῳ· καὶ ἐλυμήνατο Ἀσὰ ἐν τῷ λαῷ ἐν τῷ καιρῷ
ἐκείνῳ. 11καὶ ἰδοὺ οἱ λόγοι Ἀσὰ οἱ πρῶτοι καὶ οἱ ἔσχατοι γεγραμ- 11
μένοι ἐν βιβλίῳ βασιλέων Ἰούδα καὶ Ἰσραήλ. 12καὶ ἐμαλακίσθη 12
Ἀσὰ ἐν τῷ ἐνάτῳ καὶ τριακοστῷ ἔτει τῆς βασιλείας αὐτοῦ τοὺς πόδας,
ἕως σφόδρα ἐμαλακίσθη· καὶ ἐν τῇ μαλακίᾳ αὐτοῦ οὐκ ἐζήτησεν
Κύριον ἀλλὰ τοὺς ἰατρούς. 13καὶ ἐκοιμήθη Ἀσὰ μετὰ τῶν πατέρων 13
αὐτοῦ, καὶ ἐτελεύτησεν ἐν τῷ τριακοστῷ ἔτει τῆς βασιλείας αὐτοῦ.
14καὶ ἔθαψαν αὐτὸν ἐν τῷ μνήματι ᾧ ὤρυξεν ἑαυτῷ ἐν πόλει Δαυείδ, 14
καὶ ἐκοίμισαν αὐτὸν ἐπὶ τῆς κλίνης, καὶ ἔπλησαν ἀρωμάτων καὶ
γένη μύρων μυρεψῶν, καὶ ἐποίησαν αὐτῷ ἐκφορὰν μεγάλην σφόδρα.

1Καὶ ἐβασίλευσεν Ἰωσαφὰτ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ· καὶ κατίσχυσεν 1 XVII
Ἰωσαφὰτ ἐπὶ τὸν Ἰσραήλ. 2καὶ ἔδωκεν δύναμιν ἐν πάσαις ταῖς 2
πόλεσιν Ἰούδα ταῖς ὀχυραῖς, καὶ κατέστησεν ἡγουμένους ἐν πάσαις
ταῖς πόλεσιν Ἰούδα καὶ ἐν πόλεσιν Ἐφράιμ ἃς προκατελάβετο Ἀσὰ
ὁ πατὴρ αὐτοῦ. 3καὶ ἐγένετο Κύριος μετὰ Ἰωσαφάτ, ὅτι ἐπορεύθη 3
ἐν ὁδοῖς τοῦ πατρὸς αὐτοῦ ταῖς πρώταις· καὶ οὐκ ἐξεζήτησεν τὰ
εἴδωλα, 4ἀλλὰ Κύριον τὸν θεὸν τοῦ πατρὸς αὐτοῦ ἐξεζήτησεν, καὶ 4
ἐν ταῖς ἐντολαῖς τοῦ πατρὸς αὐτοῦ ἐπορεύθη, καὶ οὐχ ὡς τοῦ Ἰσραὴλ
τὰ ἔργα. 5καὶ κατηύθυνεν Κύριος τὴν βασιλείαν ἐν χειρὶ αὐτοῦ, 5
καὶ ἔδωκεν πᾶς Ἰουδὰ δῶρα τῷ Ἰωσαφάτ, καὶ ἐγένετο αὐτῷ πλοῦτος
καὶ δόξα πολλή. 6καὶ ὑψώθη καρδία αὐτοῦ ἐν ὁδῷ Κυρίου, καὶ 6

A 7 Αναμει] Ανανι A | βασ. Ιουδα Ασα A | om σε 2° A | τουτο] perier litt ου in A 8 om σε A 9 om επι του A | ηγν.] pr και νυν A 10 επι τουτω] pr οτι ωργισθη $B^{ab\,mg}A$ 12 αυτου] εαυτου A (bis) | εζητησεν] εξεζητησεν A | Κυριον] κς B 13 αυτου 1°] εαυτου A | εν τω τριακοστω] τω ενατω ϛ τριακοστω B^{ab} (in mg et superscr) εν τω τεσσαρακοστω και ενι A 14 επλησαν] επληρωσαν A | σφοδρα] pr εως A · XVII 3 αυτου] εαυτου A (item 4) 6 και 2°]+ετι A

7 ἐξῆρεν τὰ ὑψηλὰ καὶ τὰ ἄλση ἀπὸ τῆς γῆς Ἰούδα. 7καὶ ἐν τῷ τρίτῳ Β
ἔτει τῆς βασιλείας αὐτοῦ ἀπέστειλεν τοὺς ἡγουμένους αὐτοῦ καὶ
τοὺς υἱοὺς τῶν δυνατῶν, τὸν Ἀβίαν καὶ Ζαχαρίαν καὶ Ναθαναηλ
8 καὶ Μειχαίαν, διδάσκειν ἐν πόλεσιν Ἰούδα. 8καὶ μετ' αὐτῶν οἱ
Λευεῖται Σαμούας καὶ Μανθανίας καὶ Ζαβδείας καὶ Ἰασιὴλ καὶ
Σαμειραμὼθ καὶ Ἰωναθὰν καὶ Ἀδωνιὰν καὶ Τωβαδωβειά, Λευεῖται· οἱ
9 μετ' αὐτῶν, Ἐλεισαμὰ καὶ Ἰωρὰν οἱ ἱερεῖς. 9καὶ ἐδίδασκον ἐν Ἰούδᾳ,
καὶ μετ' αὐτῶν βύβλος νόμου Κυρίου, καὶ διῆλθον ἐν ταῖς πόλεσιν
10 Ἰούδα καὶ ἐδίδασκον τὸν λαόν. 10καὶ ἐγένετο ἔκστασις Κυρίου ἐπὶ
πάσαις ταῖς βασιλείαις τῆς γῆς κύκλῳ Ἰούδα, καὶ οὐκ ἐπολέμουν
11 πρὸς Ἰωσαφάτ. 11καὶ ἀπὸ τῶν ἀλλοφύλων ἔφερον πρὸς Ἰωσαφὰτ
δῶρα καὶ ἀργύριον καὶ δόματα, καὶ οἱ Ἄραβες ἔφερον αὐτῷ κριοὺς
12 προβάτων ἑπτακισχιλίους ἑπτακοσίους. 12καὶ ἦν Ἰωσαφὰτ πορευό-
μενος μείζων ἕως εἰς ὕψος, καὶ ᾠκοδόμησεν οἰκήσεις ἐν τῇ Ἰουδαίᾳ
13 καὶ πόλεις ὀχυράς. 13καὶ ἔργα πολλὰ ἐγένετο ἐν τῇ Ἰουδαίᾳ, καὶ
14 ἄνδρες πολεμισταὶ δυνατοὶ ἰσχύοντες ἐν Ἰερουσαλήμ. 14καὶ οὗτος
ἀριθμὸς αὐτῶν κατ' οἴκους πατριῶν αὐτῶν· καὶ τῷ Ἰούδᾳ χιλίαρχοι,
Ἐδνάας ὁ ἄρχων, καὶ μετ' αὐτοῦ υἱοὶ δυνατοὶ δυνάμεως τριακόσιαι
15 χιλιάδες· 15καὶ μετ' αὐτὸν Ἰωανὰν ὁ ἡγούμενος, καὶ μετ' αὐτοῦ
16 διακόσιαι ὀγδοήκοντα χιλιάδες· 16καὶ μετ' αὐτὸν Μασαίας τοῦ Ζαρεὶ
ὁ προθυμούμενος τῷ κυρίῳ, καὶ μετ' αὐτοῦ διακόσιαι χιλιάδες δυνατοὶ
17 δυνάμεως. 17καὶ ἐκ τοῦ Βενιαμεὶν δυνατὸς δυνάμεως καὶ Ἐλειδά,
18 καὶ μετ' αὐτοῦ τοξόται καὶ πελτασταὶ διακόσιαι χιλιάδες· 18καὶ
μετ' αὐτὸν Ἰωζαβάδ, καὶ μετ' αὐτοῦ ἑκατὸν ὀγδοήκοντα χιλιάδες
19 δυνατοὶ πολέμου. 19οὗτοι οἱ λειτουργοῦντες τῷ βασιλεῖ, ἐκτὸς ὧν
ἔδωκεν ὁ βασιλεὺς ἐν ταῖς πόλεσιν ταῖς ὀχυραῖς ἐν πάσῃ τῇ Ἰουδαίᾳ.

XVIII 1 1Καὶ ἐγενήθη τῷ Ἰωσαφὰτ ἔτι πλοῦτος καὶ δόξα πολλή, καὶ
2 ἐπεγαμβρεύσατο ἐν οἴκῳ Ἀχαάβ. 2καὶ κατέβη διὰ τέλους ἐτῶν
πρὸς Ἀχαὰβ εἰς Σαμάρειαν, καὶ ἔθυσεν αὐτῷ Ἀχαὰβ πρόβατα καὶ
μόσχους πολλοὺς καὶ τῷ λαῷ τῷ μετ' αὐτοῦ, καὶ ἠγάπα αὐτὸν τοῦ
3 συναναβῆναι μετ' αὐτοῦ εἰς Ῥαμὼθ τῆς Γαλααδείτιδος. 3καὶ εἶπεν

7 *βασιλιας* A | *αυτου* 2°] *εαυτου* A | *Αβιαν*] *Αβδιαν* A | *Ζαχαριαν*] pr *τον* A | *Ναθαναηλ*] pr *τον* A | *Μιχαιαν* A **8** *Λευιται* A (bis) | *Σαμουιας* A | *Μανθανιας*] *Ναθανιας* A | *Ζαβδιας* A | *Ιασιηλ* A | *Σεμιραμωθ* A | *Τωβαδωνια* (seq ras 1 lit forte *ν*) | *οι μετ*] pr *και* A | *Ελισαμα* A | *Ιωραμ* A **9** *βιβλος* A **10** *κυκλω*] pr *ταις* A **11** *επτακοσ.*] + *τραγους επτακισχιλιους*| *επτακοσιους* A **13** *εγενετο*] + *αυτω* A | *δυνατοι πολεμισται* A **16** *Μασαιιας* A | *του Ζαρει*] *ο του Ζαχρι* A **17** om *και* 2° A | *Ελιαδα* A **18** om *εκατον* A **19** *οι λειτ.*] om *οι* A | *δεδωκεν* A XVIII **2** *Σαμαριαν* A | *Ραμμωθ* A (item 3) | *Γαλααδιτιδος* A (item 3)

Β Ἀχαὰβ βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφὰτ βασιλέα Ἰούδα Πορεύσῃ μετ' ἐμοῦ εἰς Ῥαμὼθ τῆς Γαλααδείτιδος; καὶ εἶπεν αὐτῷ Ὡς ἐγώ, οὕτως καὶ σύ· ὡς ὁ λαός μου, καὶ ὁ λαός σου μετὰ σοῦ εἰς πόλεμον. 4 καὶ εἶπεν Ἰωσαφὰτ πρὸς βασιλέα Ἰσραήλ Ζήτησον δὴ σήμερον τὸν κύριον. 5 καὶ συνήγαγεν ὁ βασιλεὺς Ἰσραὴλ τοὺς προφήτας τετρακοσίους ἄνδρας καὶ εἶπεν αὐτοῖς Εἰ πορευθῶ εἰς Ῥαμὼθ Γαλαὰδ εἰς πόλεμον ἢ ἐπίσχω; καὶ εἶπαν Ἀνάβαινε, καὶ δώσει ὁ θεὸς εἰς τὰς χεῖρας τοῦ βασιλέως. 6 καὶ εἶπεν Ἰωσαφάτ Οὐκ ἔστιν ὧδε προφήτης τοῦ κυρίου ἔτι καὶ ἐπιζητήσομεν παρ' αὐτοῦ; 7 καὶ εἶπεν βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφάτ Ἔτι ἀνὴρ εἷς τοῦ ζητῆσαι τὸν κύριον δι' αὐτοῦ, καὶ ἐγὼ ἐμίσησα αὐτόν, ὅτι οὐκ ἔστιν προφητεύων περὶ ἐμοῦ εἰς ἀγαθά, ὅτι πᾶσαι αἱ ἡμέραι αὐτοῦ εἰς κακά, οὗτος Μειχαίας υἱὸς Ἰεμαάς. καὶ εἶπεν Ἰωσαφάτ Μὴ λαλείτω ὁ βασιλεὺς οὕτως. 8 καὶ ἐκάλεσεν ὁ βασιλεὺς εὐνοῦχον ἕνα καὶ εἶπεν Τάχος Μειχαίαν υἱὸν Ἰεμαά. 9 καὶ βασιλεὺς Ἰσραὴλ καὶ Ἰωσαφὰτ βασιλεὺς Ἰούδα καθήμενοι ἕκαστος ἐπὶ θρόνου αὐτοῦ καὶ ἐνδεδυμένοι στολάς, καθήμενοι ἐν τῷ εὐρυχώρῳ θύρας πύλης Σαμαρείας, καὶ πάντες οἱ προφῆται ἐπροφήτευον ἐναντίον αὐτῶν. 10 καὶ ἐποίησεν ἑαυτῷ Σεδεκίας υἱὸς Χαναάν κέρατα σιδηρᾶ καὶ εἶπεν Τάδε λέγει Κύριος Ἐν τούτοις κερατιεῖς τὴν Συρίαν ἕως ἂν συντελεσθῇ. 11 καὶ πάντες οἱ προφῆται ἐπροφήτευον οὕτως λέγοντες Ἀνάβαινε εἰς Ῥαμὼθ Γαλαάδ, καὶ εὐοδωθήσῃ, καὶ δώσει Κύριος εἰς χεῖρας τοῦ βασιλέως. 12 καὶ ὁ ἄγγελος ὁ πορευθεὶς τοῦ καλέσαι τὸν Μειχαίαν ἐλάλησεν αὐτῷ λέγων Ἰδοὺ ἐλάλησαν οἱ προφῆται ἐν στόματι ἑνὶ ἀγαθὰ περὶ τοῦ βασιλέως, καὶ ἔστωσαν δὴ οἱ λόγοι σου ὡς ἑνὸς αὐτῶν, καὶ λαλήσεις ἀγαθά. 13 καὶ εἶπεν Μειχαίας Ζῇ Κύριος ὅτι ὃ ἐὰν εἴπῃ ὁ θεὸς πρὸς μέ, αὐτὸ λαλήσω. 14 καὶ ἦλθεν πρὸς τὸν βασιλέα· καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς Μειχαία, εἰ πορευθῶ εἰς Ῥαμὼθ Γαλαὰδ εἰς πόλεμον ἢ ἐπίσχω; καὶ εἶπεν Ἀνάβαινε, καὶ εὐοδώσεις· καὶ δοθήσονται εἰς χεῖρας ὑμῶν. 15 καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς Ποσάκις ὁρκίζω σε ἵνα μὴ λαλήσῃς πρὸς μὲ πλὴν τὴν ἀλήθειαν ἐν ὀνόματι Κυρίου; 16 καὶ εἶπεν Εἶδον τὸν Ἰσραὴλ διεσπαρμένους ἐν τοῖς ὄρεσιν ὡς πρόβατα

A **3** μου] σου A | σου 1°] μου A **5** Ραμμωθ A **6** επιζητησομεν] μεν sup ras A^b **7** Μιχ. A (item infra ubique) | Ιεμαας] Ιεμλα A **8** βασιλευς]+Ισλ A | Μιχαιαν B^b (item 13, 14, 23, 27) | Ιεμαα] Ιεμλα A **9** Σαμαριας A **10** Χαναανα A | om αν A **11** Ραμμωθ A **12** αγαθα 1°] α 3° sup ras A^1 **14** ει πορευθω] εισπορευθω A | Ραμμωθ A **15** ορκισω A | λαλησεις A | εμε A | την αληθ.] om την A **16** διεσπαρμ. τον Ισλ A

οἷς οὐκ ἔστιν ποιμήν· καὶ εἶπεν Κύριος Οὐκ ἔχουσιν ἡγούμενον, Β
17 ἀναστρεφέτωσαν ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ ἐν εἰρήνῃ. 17καὶ
εἶπεν ὁ βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφάτ Οὐκ εἶπά σοι ὅτι οὐ
18 προφητεύει περὶ ἐμοῦ ἀγαθὰ ἀλλ' ἢ κακά; 18καὶ εἶπεν Οὐχ οὕτως·
ἀκούσατε λόγον Κυρίου. εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου
αὐτοῦ, καὶ πᾶσα δύναμις τοῦ οὐρανοῦ εἱστήκει ἐκ δεξιῶν αὐτοῦ καὶ
19 ἐξ ἀριστερῶν αὐτοῦ. 19καὶ εἶπεν Κύριος Τίς ἀπατήσει τὸν Ἀχαὰβ
βασιλέα Ἰσραήλ, καὶ ἀναβήσεται καὶ πεσεῖται ἐν Ῥαμὼθ Γαλαάδ;
20 καὶ εἶπεν οὗτος οὕτως, καὶ οὗτος εἶπεν οὕτως. 20καὶ ἐξῆλθεν τὸ
πνεῦμα καὶ ἔστη ἐνώπιον Κυρίου καὶ εἶπεν Ἐγὼ ἀπατήσω αὐτόν.
21 καὶ εἶπεν Κύριος Ἐν τίνι; 21καὶ εἶπεν Ἐξελεύσομαι καὶ ἔσομαι
πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν προφητῶν αὐτοῦ. καὶ εἶπεν
22 Ἀπατήσεις, δυνήσῃ· ἔξελθε καὶ ποίησον οὕτως. 22καὶ νῦν ἰδοὺ ἔδωκεν
Κύριος πνεῦμα ψευδὲς ἐν στόματι τῶν προφητῶν σου τούτων, καὶ
23 Κύριος ἐλάλησεν ἐπὶ σὲ κακά. 23καὶ ἤγγισεν Σεδεκίας υἱὸς Χανάαν
καὶ ἐπάταξεν τὸν Μειχαίαν ἐπὶ τὴν σιαγόνα καὶ εἶπεν αὐτῷ Ποίᾳ
τῇ ὁδῷ πνεῦμα παρ' ἐμοῦ πνεῦμα πρὸς σέ, πνεῦμα Κυρίου παρ' ἐμοῦ
24 τοῦ λαλῆσαι πρὸς σέ; 24καὶ εἶπεν Μειχαίας Ἰδοὺ ὄψῃ ἐν τῇ ἡμέρᾳ
25 ἐκείνῃ· εἰσελεύσεται ταμεῖον ἐκ ταμείου τοῦ κατακρυβῆναι. 25καὶ
εἶπεν βασιλεὺς Ἰσραήλ Λάβετε τὸν Μειχαίαν καὶ ἀποστρέψατε πρὸς
Ἐμὴρ ἄρχοντα τῆς πόλεως καὶ πρὸς Ἰωασὰ ἄρχοντα υἱὸν τοῦ
26 βασιλέως, 26καὶ ἐρεῖς Οὕτως εἶπεν ὁ βασιλεύς Ἀποθέσθαι τοῦτον εἰς
οἶκον φυλακῆς, καὶ ἐσθιέτω ἄρτον θλίψεως καὶ ὕδωρ θλίψεως ἕως
27 τοῦ ἐπιστρέψαι με ἐν εἰρήνῃ. 27καὶ εἶπεν Μειχαίας Ἐὰν ἐπιστρέφων
ἐπιστρέψῃς ἐν εἰρήνῃ, οὐκ ἐλάλησεν Κύριος ἐν ἐμοί· ἀκούσατε λαοὶ
28 πάντες. 28Καὶ ἀνέβη βασιλεὺς Ἰσραὴλ καὶ Ἰωσαφὰτ βασιλεὺς
29 Ἰούδα εἰς Ῥαμὼθ Γαλαάδ. 29καὶ εἶπεν βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφάτ
Κατακάλυψόν με καὶ εἰσελεύσομαι εἰς τὸν πόλεμον, καὶ σὺ ἔνδυσαι
τὸν ἱματισμόν μου· καὶ συνεκαλύψατο βασιλεὺς Ἰσραὴλ καὶ εἰσῆλθεν
30 εἰς τὸν πόλεμον. 30καὶ βασιλεὺς Συρίας ἐνετείλατο τοῖς ἄρχουσιν
τῶν ἁρμάτων τοῖς μετ' αὐτοῦ λέγων Μὴ πολεμεῖτε τὸν μικρὸν καὶ

16 ουκ εχουσιν...εν ειρηνη sup ras A^a | αναστρεφετω A^a **17** om οτι A **A**
18 τον κυριον] om τον A | ειστηκει] παρειστηκει A **19** Ραμμωθ A | ουτος 1°] + ειπεν A **21** απατησεις] + και γε A | δυνησει A **22** των προφητων] pr παντων A **23** ηγγισεν B^{ab} (ηνγ. B*)] εποιησεν A | Χαϊνανα A | τη οδω] om τη A | πνευμα παρ εμου πνευμα] παρηλθεν πνα κυ παρ εμου του λαλησαι A **24** εκεινη]+εν η A | εισελευση A | ταμειον, ταμειου A **25** Εμηρ] Σεμμηρ A | αρχοντα 1°] pr τον A | Ιωας A **26** ερειτε A | αποθεσθαι B*A] αποθεσθε B^{ab} **28** Ραμμωθ A **29** βασιλευς 2°] pr ο A **30** αυτου B*A] αυτος B^{ab}

Β τὸν μέγαν ἀλλ᾽ ἢ τὸν βασιλέα Ἰσραὴλ μόνον. 31καὶ ἐγένετο ὡς 31
εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων τὸν Ἰωσαφάτ, καὶ αὐτοὶ εἶπαν Βασιλεὺς
Ἰσραήλ ἐστιν, καὶ ἐκύκλωσαν αὐτὸν τοῦ πολεμεῖν· καὶ ἐβόησεν
Ἰωσαφάτ, καὶ Κύριος ἔσωσεν αὐτόν, καὶ ἀπέστρεψεν αὐτοὺς ὁ θεὸς
ἀπ᾽ αὐτοῦ. 32καὶ ἐγένετο ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων ὅτι 32
οὐκ ἦν βασιλεὺς Ἰσραήλ, καὶ ἀπέστρεψαν ἀπ᾽ αὐτοῦ. 33καὶ ἀνὴρ 33
ἔτεινεν τόξον εὐστόχως καὶ ἐπάταξεν τὸν βασιλέα Ἰσραὴλ ἀνὰ μέσον
τοῦ πνεύμονος καὶ ἀνὰ μέσον τοῦ θώρακος· καὶ εἶπεν τῷ ἡνιόχῳ
Ἐπίστρεφε τὴν χεῖρά σου καὶ ἐξάγαγέ με ἐκ τοῦ πολέμου, ὅτι
ἐπόνεσα. 34καὶ ἐτροπώθη ὁ πόλεμος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ὁ 34
βασιλεὺς Ἰσραὴλ ἦν ἑστηκὼς ἐπὶ τοῦ ἅρματος ἕως ἑσπέρας ἐξ ἐναντίας
Συρίας, καὶ ἀπέθανεν δύναντος τοῦ ἡλίου.

XIX 1Καὶ ἀπέστρεψεν Ἰωσαφὰτ βασιλεὺς Ἰούδα εἰς τὸν οἶκον αὐτοῦ 1
εἰς Ἰερουσαλήμ. 2καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῦ Ἰοὺ ὁ τοῦ 2
Ἀνανεὶ ὁ προφήτης καὶ εἶπεν αὐτῷ Βασιλεὺς Ἰωσαφάτ, εἰ ἁμαρ-
τωλῷ σὺ βοηθεῖς ἢ μισουμένῳ ὑπὸ Κυρίου φιλιάζεις; διὰ τοῦτο
ἐγένετο ἐπὶ σὲ ὀργὴ παρὰ Κυρίου· 3ἀλλ᾽ ἢ λόγοι ἀγαθοὶ ηὑρέθησαν 3
ἐν σοί, ὅτι ἐξῆρας τὰ ἄλση ἀπὸ τῆς γῆς Ἰούδα, καὶ κατηύθυνας τὴν
καρδίαν σου ἐκζητῆσαι τὸν κύριον. 4καὶ κατῴκησεν Ἰωσαφάτ, καὶ 4
πάλιν ἐξῆλθεν εἰς τὸν λαὸν ἀπὸ Βεηρσάβεε ἕως ὄρους Ἐφράιμ, καὶ
ἐπέστρεψεν αὐτοὺς ἐπὶ Κύριον θεὸν τῶν πατέρων αὐτῶν. 5καὶ 5
κατέστησεν κριτὰς πάσαις ταῖς πόλεσιν Ἰούδα ταῖς ὀχυραῖς ἐν
πόλει καὶ πόλει. 6καὶ εἶπεν τοῖς κριταῖς Ἴδετε τί ὑμεῖς ποιεῖτε, 6
ὅτι οὐκ ἀνθρώπῳ ὑμεῖς κρίνετε ἀλλ᾽ ἢ τῷ κυρίῳ, καὶ μεθ᾽ ὑμῶν
λόγοι τῆς κρίσεως. 7καὶ νῦν γενέσθω φόβος Κυρίου ἐφ᾽ ὑμᾶς· 7
φυλάσσετε καὶ ποιήσετε, ὅτι οὐκ ἔστιν μετὰ Κυρίου θεοῦ ἡμῶν ἀδι-
κία οὐδὲ θαυμάσαι πρόσωπον οὐδὲ λαβεῖν δῶρα. 8καὶ γὰρ ἐν Ἰε- 8
ρουσαλὴμ κατέστησεν Ἰωσαφὰτ τῶν ἱερέων καὶ τῶν Λευειτῶν καὶ
τῶν πατριαρχῶν Ἰσραὴλ εἰς κρίσιν Κυρίου καὶ κρίνειν τοὺς κατοι-
κοῦντας ἐν Ἰερουσαλήμ. 9καὶ ἐνετείλατο πρὸς αὐτοὺς λέγων Οὕτως 9
ποιήσετε ἐν φόβῳ Κυρίου, ἐν ἀληθείᾳ καὶ ἐν πλήρει καρδίᾳ· 10πᾶς 10

A **32** om *και* 2° A **33** *ετεινεν*] *ενετεινεν* A **34** *δυνοντος* A
XIX **1** *απεστρεψεν* B*] *επεστρεψεν* B^{ab}A | *αυτου*] *εαυτου* A | *εις* 2°] pr *εν ειρηνη* A **2** Ιηου A | *Ανανι* A | *βασιλευς*] *βασιλευ* B^{a}A **3** *ευρεθησαν* A | *κατευθυνας* A | *τον κν*] *ν κν* sup ras A^{a}? **4** Ιωσαφατ]+ *εν* Ιλημ A | Βηρσαβεε A **6** *ποιειτ*] A^{a}?$^{(mg)}$ (om A*) | *κρισεως*] pl retractavit spiritus et accentus adpinx usque ad XX 1 A^{b} **7** *γενεσθω*] seq ras 1 lit in A | *φυλασσετε* (*-αι* A)] pr *και* A | *ποιησεται* A (item 9, 10) | *ημων*] *υμων* A **8** Λευιτων A **9** *εν πληρει καρδια*] *πληρεις καρδιας* A

ἀνὴρ κρίσιν τὴν ἐλθοῦσαν ἐφ' ὑμᾶς τῶν ἀδελφῶν ἡμῶν τῶν κατοι- Β
κούντων ἀνὰ μέσον αἵματος, καὶ ἀνὰ μέσον προστάγματος καὶ ἐν-
τολῆς, καὶ δικαιώματα καὶ κρίματα· καὶ διαστελεῖσθε αὐτοῖς, καὶ
οὐχ ἁμαρτήσονται τῷ κυρίῳ, καὶ οὐκ ἔσται ἐφ' ὑμᾶς ὀργὴ καὶ ἐπὶ
11 τοὺς ἀδελφοὺς ὑμῶν· οὕτως ποιήσετε, καὶ οὐχ ἁμαρτήσεσθε. 11 καὶ
ἰδοὺ Ἀμαρίας ὁ ἱερεὺς ἡγούμενος ἐφ' ὑμᾶς εἰς πᾶν λόγον Κυρίου,
καὶ Ζαβδείας ὁ ἡγούμενος εἰς οἶκον Ἰούδα πρὸς πᾶν λόγον βασιλέως,
καὶ οἱ γραμματεῖς καὶ οἱ Λευεῖται πρὸ προσώπου ὑμῶν· ἰσχύσατε
XX 1 καὶ ποιήσατε, καὶ ἔσται Κύριος μετὰ τοῦ ἀγαθοῦ. 1 Καὶ μετὰ
ταῦτα ἦλθον οἱ υἱοὶ Μωὰβ καὶ οἱ υἱοὶ Ἀμμὼν καὶ μετ' αὐτῶν ἐκ
2 τῶν Μειναίων πρὸς Ἰωσαφὰτ εἰς πόλεμον. 2 καὶ ἦλθον καὶ ὑπέ-
δειξαν τῷ Ἰωσαφὰτ λέγοντες Ἧκει ἐπὶ σὲ πλῆθος πολὺ ἐκ πέραν
τῆς θαλάσσης ἀπὸ Συρίας, καὶ ἰδού εἰσιν ἐν Ἀσὰμ Θαμαρά, αὕτη
3 ἐστὶν Ἐνγάδει. 3 καὶ ἐφοβήθη, καὶ ἔδωκεν Ἰωσαφὰτ τὸ πρόσωπον
4 αὐτοῦ ἐκζητῆσαι τὸν κύριον, καὶ ἐκήρυξαν νηστείαν. 4 καὶ συνήχθη
Ἰούδας ἐκζητῆσαι τὸν κύριον, καὶ ἀπὸ πασῶν τῶν πόλεων Ἰούδας
5 ἦλθον ζητῆσαι τὸν κύριον. 5 καὶ ἀνέστη Ἰωσαφὰτ ἐν ἐκκλησίᾳ Ἰούδα
ἐν Ἰερουσαλὴμ ἐν οἴκῳ Κυρίου κατὰ πρόσωπον τῆς αὐλῆς τῆς καινῆς,
6 6 καὶ εἶπεν Κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, οὐχὶ σὺ εἶ θεὸς ἐν
οὐρανῷ ἄνω, καὶ σὺ κυριεύεις πασῶν τῶν βασιλειῶν τῶν ἐθνῶν,
καὶ ἐν τῇ χειρί σου ἰσχὺς δυναστείας, καὶ οὐκ ἔστιν πρὸς σὲ ἀντι-
7 στῆναι; 7 οὐχὶ σὺ ὁ κύριος ἐξωλέθρευσας τοὺς κατοικοῦντας τὴν γῆν
ταύτην ἀπὸ προσώπου Ἰσραήλ, καὶ ἔδωκας αὐτὴν σπέρματι Ἀβραὰμ
8 τῷ ἠγαπημένῳ σου εἰς τὸν αἰῶνα; 8 καὶ κατῴκησαν ἐν αὐτῇ καὶ ᾠκοδό-
9 μησαν ἐν αὐτῇ ἁγίασμα τῷ ὀνόματί σου λέγοντες 9 Ἐὰν ἐπέλθῃ
ἐφ' ἡμᾶς κακά, ῥομφαία, κρίσις, θάνατος, λιμός, στησόμεθα ἐναντίον
τοῦ οἴκου τοῦ καὶ ἐναντίον σου, ὅτι τὸ ὄνομά σου ἐπὶ τῷ οἴκῳ
τούτῳ, καὶ βοησόμεθα πρὸς σὲ ἀπὸ τῆς θλίψεως, καὶ ἀκούσῃ καὶ
10 σώσεις. 10 καὶ νῦν ἰδοὺ υἱοὶ Ἀμμὼν καὶ ὄρος Σηείρ, εἰς οὓς οὐκ ἔδω-

10 εφ 1°] προς A | των κατοικ.] om των A+εν ταις πολεσιν αυτων A | A αιματος] pr αιμα $B^{ab\,mg}$+αμα| A^{vid} | κυριω] θω̄ A **11** Ζαβδιας A+υιος Ισμαηλ A | ο ηγουμ.] om ο A | Ιουδα] Τουδα A^{b} | Λευιται A | om και 5° A XX **1** Μωαβ κ. οι υιοι Αμμων] Αμμω̄ και οι υιοι Μωαβ A | Μιναιων A **2** περαν] pr του A | Ασαμ Θαμαρα] Ανασαν Θαμαρ A | Ενγαδδει A **3** εκηρυξαν B*A] εκηρυξεν B^{a} εκηρυξε B^{b} | νηστειαν]+εν παντι Ιουδα $B^{ab\,mg}$ A **4** και 1°] παι B^{edit} **6** θεος 2°] pr ο A | om ανω A **7** συ]+ει A | κυριος] θς A | εξωλοθρευσας B^{1} εξολεθρευσας A | Ισραηλ] pr λαου σου A **8** om εν αυτη και ωκοδομησαν B* (hab $B^{ab(mg)}$A) **9** του 2°] τουτου B^{ab}A | σωσεις] σ 1° sup ras A^{b} **10** Αμμων]+και Μωαβ A

Β *καs τῷ* Ἰσραὴλ διελθεῖν δι᾽ αὐτῶν, ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰ-
γύπτου, ὅτι ἐξέκλιναν ἀπ᾽ αὐτῶν καὶ οὐκ ἐξωλέθρευσαν αὐτούς·
11 καὶ νῦν ἰδοὺ αὐτοὶ ἐπιχειροῦσιν ἐφ᾽ ἡμᾶς ἐξελθεῖν ἐκβαλεῖν ἡμᾶς 11
ἀπὸ τῆς κληρονομίας ἡμῶν ἧς ἔδωκας ἡμῖν, 12 *Κύριε ὁ θεὸς ἡμῶν·* 12
οὐ κρινεῖς ἐν αὐτοῖς; ὅτι οὐκ ἔστιν ἡμῖν ἰσχὺς τοῦ ἀντιστῆναι πρὸς
τὸ πλῆθος τὸ πολὺ τοῦτο τὸ ἐλθὸν ἐφ᾽ ἡμᾶς, καὶ οὐκ οἴδαμεν τί
ποιήσωμεν αὐτοῖς· ἀλλ᾽ ἢ ἐπὶ σοὶ οἱ ὀφθαλμοὶ ἡμῶν. 13 *καὶ πᾶς* 13
Ἰουδὰ *ἑστηκὼς ἔναντι Κυρίου, καὶ τὰ παιδία αὐτῶν καὶ αἱ γυναῖκες.*
14 *καὶ τῷ* Ὀζιὴλ *τῷ τοῦ Ζαχαρίου τῶν υἱῶν* Ἐλαλεὴλ *τοῦ Μανθανίου* 14
τοῦ Λευείτου ἀπὸ τῶν υἱῶν Ἀσάφ, *ἐγένετο ἐπ᾽ αὐτὸν πνεῦμα Κυρίου*
ἐν τῇ ἐκκλησίᾳ, 15 *καὶ εἶπεν* Ἀκούσατε, *πᾶς* Ἰουδὰ *καὶ οἱ κατοι-* 15
κοῦντες Ἰερουσαλὴμ *καὶ ὁ βασιλεὺς* Ἰωσαφάτ. *τάδε λέγει Κύριος*
ὑμῖν αὐτοῖς Μὴ φοβεῖσθε μηδὲ πτοηθῆτε ἀπὸ προσώπου τοῦ ὄχλου
τοῦ πολλοῦ τούτου, ὅτι οὐχ ὑμῖν ἐστὶν ἡ παράταξις ἀλλ᾽ ἢ τῷ θεῷ.
16 *αὔριον κατάβητε ἐπ᾽ αὐτούς· ἰδοὺ ἀναβαίνουσιν κατὰ τὴν ἀνά-* 16
βασιν Ἀσάε, *καὶ εὑρήσετε αὐτοὺς ἐπ᾽ ἄκρου ποταμοῦ τῆς ἐρήμου*
Ἰεριήλ. 17 *οὐχ ὑμῖν ἐστὶν πολεμῆσαι· ταῦτα σύνετε καὶ ἴδετε τὴν* 17
σωτηρίαν Κυρίου μεθ᾽ ὑμῶν· ἰδοὺ καὶ Ἰερουσαλήμ· *μὴ πτοηθῆτε*
μηδὲ φοβηθῆτε αὐτόν, ἐξελθεῖν εἰς ἀπάντησιν αὐτοῖς, καὶ Κύριος
μεθ᾽ ὑμῶν. 18 *καὶ κύψας* Ἰωσαφὰτ *ἐπὶ πρόσωπον αὐτοῦ καὶ πᾶς* 18
Ἰουδὰ *καὶ οἱ κατοικοῦντες* Ἰερουσαλὴμ *ἔπεσαν ἔναντι Κυρίου προσ-*
κυνῆσαι Κυρίῳ. 19 *καὶ ἀνέστησαν οἱ Λευεῖται ἀπὸ τῶν υἱῶν Καὰθ* 19
καὶ ἀπὸ τῶν υἱῶν Κόρε αἰνεῖν Κυρίῳ θεῷ Ἰσραὴλ *ἐν φωνῇ μεγάλῃ*
εἰς ὕψος. 20 *καὶ ὤρθρισαν πρωὶ καὶ ἐξῆλθον εἰς τὴν ἔρημον Θεκώε·* 20
καὶ ἐν τῷ ἐξελθεῖν ἔστη Ἰωσαφὰτ *καὶ ἐβόησεν* Ἀκούσατέ *μου,*
Ἰουδὰ *καὶ οἱ κατοικοῦντες ἐν* Ἰερουσαλήμ· *ἐνπιστεύσατε ἐν Κυρίῳ*
θεῷ ὑμῶν, καὶ ἐνπιστευθήσεσθε· ἐνπιστεύσατε ἐν προφήτῃ αὐτοῦ,
καὶ εὐοδωθήσεσθε. 21 *καὶ ἐβουλεύσατο μετὰ τοῦ λαοῦ, καὶ ἔστησεν* 21
ψαλτῳδοὺς καὶ αἰνοῦντας ἐξομολογεῖσθαι καὶ αἰνεῖν τὰ ἅγια ἐν τῷ
ἐξελθεῖν ἔμπροσθεν τῆς δυνάμεως· καὶ ἔλεγεν

Ἐξομολογεῖσθε *τῷ κυρίῳ,*
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

A **10** εξωλοθρευσαν B$^{?}$ **11** ημας 1°] υμας A | απο] εκ A **12** ισχυς ημιν A **13** Ιουδας A | εναντιο| A **14** Οζιηλ A | των υιων 1°] + Βαναιου των| υιων A | Ελαλεηλ] Ελεηλ A | Ματθανιου A | Λευιτου A **15** Ιουδας A* vid **16** om ποταμου A **17** ιδου] Ιουδα A | μη πτοηθητε μηδε φοβηθητε] μη φοβεισθαι· μηδε πτοηθη|τε A | αυτον] αυριον B^{ab}A | om αυτοις A **18** αυτου] εαυτου A | Ιερουσαλημ] pr εν A | επεσον A | εναντιον A **19** Λευιται A | θεω] pr τω A **20** πρωι] pr το A | εβοησεν] + και ειπεν A | εμπιστ. ter B$^{a?b}$A | om εν 3° A **21** om και αινειν...εξομολογεισθε A | ελεγεν B*] ελεγον B$^{a?b}$

22 22 καὶ ἐν τῷ ἄρξασθαι τῆς αἰνέσεως αὐτοῦ τῆς ἐξομολογήσεως Β
ἔδωκεν Κύριος πολεμεῖν τοὺς υἱοὺς Ἀμμὼν ἐπὶ Μωὰβ καὶ ὄρος
23 Σηεὶρ τοὺς ἐξελθόντας ἐπὶ Ἰουδά, καὶ ἐτροπώθησαν. 23 καὶ ἀπέ-
στησαν οἱ υἱοὶ Ἀμμὼν καὶ Μωὰβ ἐπὶ τοὺς κατοικοῦντας ὄρος Σηεὶρ
ἐξολεθρεῦσαι καὶ ἐκτρίψαι· καὶ ὡς συνετέλεσαν τοὺς κατοικοῦντας
24 Σηείρ, ἀνέστησαν εἰς ἀλλήλους τοῦ ἐξολοθρευθῆναι. 24 καὶ Ἰούδας
ἦλθεν ἐπὶ τὴν σκοπιὰν τῆς ἐρήμου, καὶ ἐπέβλεψεν καὶ εἶδεν
τὸ πλῆθος· καὶ ἰδοὺ πάντες νεκροὶ πεπτωκότες ἐπὶ τῆς γῆς,
25 οὐκ ἦν σωζόμενος. 25 καὶ ἦλθεν Ἰωσαφὰτ καὶ ὁ λαὸς αὐτοῦ σκυ-
λεῦσαι τὰ σκῦλα αὐτῶν, καὶ εὗρον κτήνη πολλὰ καὶ ἀποσκευὴν
καὶ σκῦλα καὶ σκεύη ἐπιθυμητά, καὶ ἐσκύλευσεν ἐν αὐτοῖς· καὶ
ἐγένοντο ἡμέραι τρεῖς σκυλευόντων αὐτῶν τὰ σκῦλα, ὅτι πολλὰ
26 ἦν. 26 καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ τετάρτῃ ἐπισυνήχθησαν εἰς τὸν
αὐλῶνα τῆς εὐλογίας, ἐκεῖ γὰρ ηὐλόγησαν τὸν κύριον· διὰ τοῦτο
ἐκάλεσαν τὸ ὄνομα τοῦ τόπου ἐκείνου Κοιλὰς εὐλογίας ἕως τῆς ἡμέ-
27 ρας ταύτης. 27 καὶ ἐπέστρεψεν πᾶς ἀνὴρ Ἰούδα εἰς Ἰερουσαλὴμ καὶ
Ἰωσαφὰτ ἡγούμενος αὐτῶν ἐν εὐφροσύνῃ μεγάλῃ, ὅτι εὔφραινεν αὐ-
28 τοὺς Κύριος ἀπὸ τῶν ἐχθρῶν αὐτῶν. 28 καὶ εἰσῆλθον ἐν Ἰερουσαλὴμ
ἐν νάβλαις καὶ ἐν κινύραις καὶ ἐν σάλπιγξιν εἰς οἶκον Κυρίου.
29 29 καὶ ἐγένετο ἔκστασις Κυρίου ἐπὶ πάσας τὰς βασιλείας τῆς γῆς ἐν
τῷ ἀκοῦσαι αὐτοὺς ὅτι ἐπολέμησεν Κύριος πρὸς τοὺς ὑπεναντίους
30 Ἰσραήλ. 30 καὶ εἰρήνευσεν ἡ βασιλεία Ἰωσαφάτ, καὶ κατέπαυσεν
31 αὐτῷ ὁ θεὸς αὐτοῦ κυκλόθεν. 31 Καὶ ἐβασίλευσεν Ἰωσαφὰτ ἐπὶ
τὸν Ἰουδά, ἐτῶν τριάκοντα πέντε ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ εἴκοσι
πέντε ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ
32 Ἀζουβὰ θυγάτηρ Σαλεί. 32 καὶ ἐπορεύθη ἐν ταῖς ὁδοῖς τοῦ πατρὸς
αὐτοῦ Ἀσά, καὶ οὐκ ἐξέκλινεν τοῦ ποιῆσαι τὸ εὐθὲς ἐνώπιον Κυρίου.
33 33 ἀλλὰ τὰ ὑψηλὰ ἔτι ὑπῆρχεν, καὶ ἔτι ὁ λαὸς οὐ κατεύθυνεν τὴν καρ-
34 δίαν πρὸς Κύριον θεὸν τῶν πατέρων αὐτοῦ. 34 καὶ οἱ λοιποὶ λόγοι
Ἰωσαφὰτ οἱ πρῶτοι καὶ οἱ ἔσχατοι ἰδοὺ γεγραμμένοι ἐν λόγοις Ἰησοῦ
35 τοῦ Ἀνανεί, ὃς κατέγραψεν βιβλίου βασιλέως Ἰσραήλ. 35 Καὶ

22 εναρξασθαι A **22—23** τους εξελθοντας...ορος Σηειρ in mgg inf et A sup A^a **22** Ιουδαν A^a **23** εξολοθρευσαι $B^?$ | εξολεθρευθηναι A **25** εσκυλευσαν A | εν αυτοις] εαυτοις A | εγενοντο] εγενετο A **26** om εγενετο A **27** μεγαλη] seq ras 1 lit forte s in A | ευφραινεν B^{ab} (ευφρενεν B^*)] ηυφραινεν A **28** εισηλθον B^*A] εισηλθεν B^{ab} | εν 1°] εις A | om εν 3° A **29** πεπολε|μησεν A **31** Ιουδαν A | om πεντε 1° A **32** om εν A | om και 2° A **33** αυτου] εαυτων A **34** Ιησου] Ιηου A | Ανανι A | βιβλιου] βιβλιον $B^{ab}A$

Β μετὰ ταῦτα ἐκοινώνησεν Ἰωσαφὰτ πρὸς Ὀχοζείαν βασιλέα Ἰσραήλ, καὶ οὗτος ἠνόμησεν [36]ἐν τῷ ποιῆσαι καὶ πορευθῆναι πρὸς αὐτὸν τοῦ 36
ποιῆσαι πλοῖα τοῦ πορευθῆναι εἰς Θαρσείς· καὶ ἐποίησεν πλοῖα ἐν
Γασιὼν Γάβερ. [37]καὶ ἐπροφήτευσεν Ἐλιεζὰδ ὁ τοῦ Ὠδειὰ ἀπὸ 37
Μαρείσης ἐπὶ Ἰωσαφὰτ λέγων Ὡς ἐφιλίασας τῷ Ὀχοζείᾳ, ἔθραυσεν
Κύριος τὸ ἔργον σου, καὶ συνετρίβη τὰ πλοῖά σου. καὶ οὐκ ἐδυνάσθη
τοῦ πορευθῆναι εἰς Θαρσείς.

[1]Καὶ ἐκοιμήθη Ἰωσαφὰτ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν 1 XXI
πόλει Δαυείδ· καὶ ἐβασίλευσεν Ἰωρὰμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. [2]καὶ 2
αὐτῷ ἀδελφοὶ υἱοὶ Ἰωσαφὰτ ἕξ, καὶ Ἰὴλ καὶ Ζαχαρίας καὶ Μεισαὴλ
καὶ Σαφατείας· πάντες οὗτοι υἱοὶ Ἰωσαφὰτ βασιλέως Ἰούδα. [3]καὶ 3
ἔδωκεν αὐτοῖς ὁ πατὴρ αὐτῶν δόματα πολλά, ἀργύριον καὶ χρυσίον
καὶ ὅπλα μετὰ πόλεων τετειχισμένων ἐν Ἰούδᾳ· καὶ τὴν βασιλείαν
ἔδωκεν τῷ Ἰωράμ, ὅτι οὗτος πρωτότοκος. [4]καὶ ἀνέστη Ἰωρὰμ ἐπὶ 4
τὴν βασιλείαν αὐτοῦ καὶ ἐκραταιώθη, καὶ ἀπέκτεινεν πάντας τοὺς
ἀδελφοὺς αὐτοῦ ἐν ῥομφαίᾳ καὶ ἀπὸ τῶν ἀρχόντων Ἰσραήλ. [5]ὄντος 5
αὐτοῦ τριάκοντα καὶ δύο ἐτῶν, κατέστη Ἰωρὰμ ἐπὶ τὴν βασιλείαν
αὐτοῦ, καὶ ὀκτὼ ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ. [6]καὶ ἐπορεύθη 6
ἐν ὁδῷ βασιλέως Ἰσραήλ, ὡς ἐποίησεν οἶκος Ἀχαάβ, ὅτι θυγάτηρ
Ἀχαὰβ ἦν αὐτοῦ γυνή, καὶ ἐποίησεν τὸ πονηρὸν ἐναντίον Κυρίου.
[7]καὶ οὐκ ἐβούλετο Κύριος ἐξολεθρεῦσαι τὸν οἶκον Δαυείδ, διὰ τὴν 7
διαθήκην ἣν διέθετο τῷ Δαυείδ, καὶ ὡς εἶπεν αὐτῷ δοῦναι αὐτῷ
λύχνον καὶ τοῖς υἱοῖς αὐτοῦ πάσας τὰς ἡμέρας. [8]ἐν ταῖς ἡμέραις 8
ἐκείναις ἀπέστη Ἐδὼμ ἀπὸ τοῦ Ἰούδα, καὶ ἐβασίλευσαν ἐφ' αὑτοὺς
βασιλέα. [9]καὶ ᾤχετο Ἰωρὰμ μετὰ τῶν ἀρχόντων, καὶ πᾶσα ἡ ἵππος 9
μετ' αὐτοῦ· καὶ ἐγένετο καὶ ἠγέρθη νυκτός, καὶ ἐπάταξεν Ἐδὼμ
τὸν κυκλοῦντα αὐτὸν καὶ τοὺς ἄρχοντας τῶν ἁρμάτων, καὶ ἔφυγεν
ὁ λαὸς εἰς τὰ σκηνώματα αὐτῶν. [10]καὶ ἀπέστη ἀπὸ Ἰούδα Ἐδὼμ 10
ἕως τῆς ἡμέρας ταύτης· τότε ἀπέστη Λομνὰ ἐν τῷ καιρῷ ἐκείνῳ ἀπὸ
χειρὸς αὐτοῦ, ὅτι ἐνκατέλιπεν Κύριον θεὸν τῶν πατέρων αὐτοῦ.

A **35** Ιωσαφατ] + βασιλευς Ιουδα A | Οχοζειαν] Οζιαν A | ηνομησαι A **36** om προς αυτον...πορευθηναι (2°) A | εν Γασιων] εργασιων A **37** Ελιεζερ A | Ελιεζαδα] Ωδια A | Μαρισης A | Οχοζια A | ηδυνασθη A XXI **1** αυτου 1°] εαυτου A | εταφη] + παρα τοις πατρασιν εαυτου A **2** και 2°] pr Αζαριας A | Ιηλ] Ιειηλ A | Ζαχαριας] + και Αζαριας A | Μισαηλ B^bA | Σαφατιας B^bA **3** πρωτοτ.] pr ο A **5** οντος αυτου] ων αυτος A | αυτου 2°] εαυτου A **6** βασιλεως] βασιλεων $B^{ab}A$ | γυνη] pr η A **7** εξωλοθρευσαι B^2 **8** εβασιλευσαν] εβασιλευσεν (α sup ras A^1) A | αυτους] εαυτους A **10** απο Ιουδα Εδωμ] Εδωμ· απο| χειρος Ιουδα A | Λομνα] Λοβνα A | εγκατελιπεν B^b εγκατελειπεν A | Κυριον] pr τον A | αυτου 2°] εαυτου A

11 [11]καὶ γὰρ αὐτὸς ἐποίησεν ὑψηλὰ ἐν πόλεσιν Ἰούδα, καὶ ἐξεπόρ- Β
νευσαν τοὺς κατοικοῦντας ἐν Ἰερουσαλήμ, καὶ ἀπεπλάνησεν τὸν
12 Ἰουδά. [12]καὶ ἦλθεν αὐτῷ ἐν γραφῇ παρὰ Ἠλειοὺ τοῦ προφήτου
λέγων Τάδε λέγει Κύριος θεὸς πατρός σου Δανειὸ Ἀνθ' ὧν οὐκ ἐπο-
ρεύθης ἐν ὁδῷ Ἰωσαφὰτ τοῦ πατρός σου καὶ ἐν ὁδοῖς Ἀσὰ βασιλέως
13 Ἰούδα, [13]καὶ ἐπορεύθης ἐν ὁδοῖς βασιλέως Ἰσραήλ, καὶ ἐξεπόρνευσας
τὸν Ἰούδαν καὶ τοὺς κατοικοῦντας ἐν Ἰερουσαλὴμ ὡς ἐξεπόρνευσεν
οἶκος Ἀχαάβ, καὶ τοὺς ἀδελφούς σου υἱοὺς πατρός σου τοὺς ἀγα-
14 θοὺς ὑπὲρ σὲ ἀπέκτειναν· [14]ἰδοὺ Κύριος πατάξει σε πληγὴν μεγάλην
ἐν τῷ λαῷ σου καὶ ἐν τοῖς υἱοῖς σου καὶ ἐν γυναιξίν σου καὶ ἐν
15 πάσῃ τῇ ἀποσκευῇ σου· [15]καὶ σὺ ἐν μαλακίᾳ πονηρᾷ, ἐν νόσῳ
κοιλίας, ἕως οὗ ἐξέλθῃ ἡ κοιλία σου μετὰ τῆς μαλακίας ἐξ ἡμερῶν
16 εἰς ἡμέρας. [16]καὶ ἐπήγειρεν Κύριος ἐπὶ Ἰωρὰμ τοὺς ἀλλοφύλους
17 καὶ τοὺς Ἄραβας καὶ τοὺς ὁμόρους τῶν Αἰθιόπων· [17]καὶ ἀνέβησαν
ἐπὶ Ἰούδαν καὶ κατεδυνάστευον, καὶ ἀπέστρεψαν πᾶσαν τὴν ἀπο-
σκευὴν ἣν εὗρον ἐν οἴκῳ τοῦ βασιλέως καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ
τὰς θυγατέρας αὐτοῦ, καὶ οὐ κατελείφθη αὐτῷ υἱὸς ἀλλ' ἢ Ὀχοζείας
18 ὁ μικρότατος τῶν υἱῶν αὐτοῦ. [18]καὶ μετὰ ταῦτα πάντα ἐπάταξεν
19 αὐτὸν Κύριος εἰς τὴν κοιλίαν μαλακίαν ᾗ οὐκ ἔστιν ἰατρεία. [19]καὶ
ἐγένετο ἐξ ἡμερῶν εἰς ἡμέρας· καὶ ὡς ἦλθεν καιρὸς τῶν ἡμερῶν
ἡμέρας δύο, ἐξῆλθεν ἡ κοιλία αὐτοῦ μετὰ τῆς νόσου, καὶ ἀπέθανεν
ἐν μαλακίᾳ πονηρᾷ· καὶ οὐκ ἐποίησεν ὁ λαὸς αὐτοῦ ἐκφορὰν καθὼς
20 ἐκφορὰν πατέρων αὐτοῦ. [20]ἦν τριάκοντα καὶ δύο ἐτῶν ὅτε ἐβασί-
λευσεν, καὶ ὀκτὼ ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ· καὶ ἐπορεύθη
οὐκ ἐν ἐπαίνῳ, καὶ ἐτάφη ἐν πόλει Δανείδ, καὶ οὐκ ἐν τάφοις τῶν
βασιλέων.

XXII 1 [1]Καὶ ἐβασίλευσαν οἱ κατοικοῦντες ἐν Ἰερουσαλὴμ τὸν Ὀχοζείαν
τὸν υἱὸν αὐτοῦ τὸν μικρὸν ἀντ' αὐτοῦ, ὅτι πάντας τοὺς πρεσβυτέ-
ρους ἀπέκτεινεν τὸ λῃστήριον τὸ ἐπελθὸν ἐπ' αὐτούς, Ἄραβες οἱ
Ἀλειμαζονεῖς· καὶ ἐβασίλευσεν Ὀχοζείας υἱὸς Ἰωρὰμ βασιλέως Ἰούδα.
2 [2]ὢν εἴκοσι ἐτῶν Ὀχοζείας ἐβασίλευσεν, καὶ ἐνιαυτὸν ἕνα ἐβασί-

11 om εν 2° A | Ιουδα 2°] Ιουδᾶ, A **12** Ηλιου $B^{b}A$ | θεος] pr ο A | A πατρος σου Δανειδ] Δαδ του πρς σου A | om ανθ ων...πατρος σου (2°) A **13** βασιλεως] βασιλεῶ A | om εν 2° A | οικος] pr ο A | πατρος] pr του A **15** ημερας] a sup ras A^{1} **17** Οχοζιας $B^{b}A$ **18** om παντα A | μαλακια A | η] pr εν A | ιατρια A **19** καιρος] pr ο A **20** ην] η A^{*} (ν superscr A^{1}) | om εβασιλευσεν και οκτω ετη A | εν ουκ επαινω A
XXII **1** Αραβες] pr οι A | Αλιμαζονειs $B^{b}A$ | Οχοζιας $B^{b}A$ (ita identidem) | βασιλεως] βασιλευς A **2** εβασιλευσεν] Οχοζιας A | ενα ενιαυτον A

Β λευσεν ἐν Ἰερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Γοθολία θυγάτηρ
Ἀμβρεί. 3καὶ οὗτος ἐπορεύθη ἐν ὁδῷ οἴκου Ἀχαάβ, ὅτι μήτηρ αὐτοῦ 3
ἦν σύμβουλος τοῦ ἁμαρτάνειν. 4καὶ ἐποίησεν τὸ πονηρὸν ἐναντίον 4
Κυρίου ὡς οἶκος Ἀχαάβ, ὅτι αὐτοὶ ἦσαν αὐτῷ μετὰ τὸ ἀποθανεῖν
τὸν πατέρα αὐτοῦ σύμβουλοι τοῦ ἐξολεθρεῦσαι αὐτόν, 5καὶ ἐν ταῖς 5
βουλαῖς αὐτῶν ἐπορεύθη. καὶ ἐπορεύθη μετὰ Ἰωρὰμ υἱοῦ Ἀχαὰβ
εἰς πόλεμον ἐπὶ Ἀζαὴλ βασιλέα Συρίας εἰς Ῥαμὰ Γαλαάδ· καὶ ἐπά-
ταξαν οἱ τοξόται τὸν Ἰωράμ. 6καὶ ἐπέστρεψεν Ἰωρὰμ τοῦ ἰατρευ- 6
θῆναι εἰς Ἰσραὴλ ἀπὸ τῶν πληγῶν ὧν ἐπάταξαν αὐτὸν οἱ Σύροι
ἐν Ῥαμὰ ἐν τῷ πολεμεῖν αὐτὸν πρὸς Ἀζαὴλ βασιλέα Συρίας· καὶ
Ὀχοζείας υἱὸς Ἰωρὰμ βασιλεὺς Ἰούδα κατέβη θεᾶσθαι τὸν Ἰωρὰμ
υἱὸν Ἀχαὰβ εἰς Ἰσραήλ, ὅτι ἠρρώστει. 7καὶ παρὰ τοῦ θεοῦ ἐγένετο 7
καταστροφὴ Ὀχοζείᾳ ἐλθεῖν πρὸς Ἰωράμ· καὶ ἐν τῷ ἐξελθεῖν
ἐξῆλθεν μετ᾽ αὐτοῦ Ἰωρὰμ πρὸς υἱὸν Ναμεσσεὶ χριστὸν Κυρίου τὸν
οἶκον Ἀχαάβ. 8καὶ ἐγένετο ὡς ἐξεδίκησεν Ἰοὺ τὸν οἶκον Ἀχαάβ, 8
καὶ εὗρον τοὺς Ἰούδα ἄρχοντας καὶ τοὺς ἀδελφοὺς Ὀχοζεία λειτουρ-
γοῦντας τῷ Ὀχοζείᾳ καὶ ἀπέκτειναν αὐτούς. 9καὶ εἶπεν τοῦ ζητῆσαι 9
τὸν Ὀχοζείαν· καὶ κατέλαβον αὐτὸν ἰατρευόμενον ἐν Σαμαρείᾳ καὶ
ἤγαγον αὐτὸν πρὸς Ἰού, καὶ ἀπέκτειναν αὐτόν. καὶ ἔθαψαν αὐτόν,
ὅτι εἶπαν Υἱὸς Ἰωσαφάτ ἐστιν, ὃς ἐζήτησεν τὸν κύριον ἐν ὅλῃ τῇ
καρδίᾳ αὐτοῦ· καὶ οὐκ ἦν ἐν οἴκῳ Ὀχοζεία κατισχῦσαι δύναμιν περὶ
τῆς βασιλείας.

10Καὶ Γοθολία ἡ μήτηρ Ὀχοζεία εἶδεν ὅτι τέθνηκεν αὐτῆς ὁ 10
υἱός, καὶ ἠγέρθη καὶ ἀπώλεσεν πᾶν τὸ σπέρμα τῆς βασιλείας ἐν
οἴκῳ Ἰούδα. 11καὶ ἔλαβεν Ἰωσαβεὲ τὸν Ἰωὰς υἱὸν Ὀχοζεία, καὶ 11
ἔκλεψεν αὐτὸν ἐκ μέσου υἱῶν τοῦ βασιλέως τῶν θανατουμένων, καὶ
ἔδωκεν αὐτὸν καὶ τὴν τροφὸν αὐτοῦ εἰς ταμεῖον κλινῶν· καὶ
ἔκρυψεν αὐτὸν Ἰωσαβεὲ θυγάτηρ τοῦ βασιλέως Ἰωράμ, ἀδελφὴ
Ὀχοζείου καὶ γυνὴ Ἰωδαέ· καὶ ἔκρυψεν αὐτὸν ἀπὸ προσώπου
Γοθολίας, καὶ οὐκ ἀπέκτεινεν αὐτόν. 12καὶ ἦν μετ᾽ αὐτοῦ ἐν 12

A **2** Αμβρει] Ζαμβρι A **4** οικος] pr ο A | εξολοθρευσαι B$^{?}$ **5** Αχααμ A | Ραμα] Ρεμμωθ A **6** Ισραηλ] Ιζραελ A (bis) | επαταξεν A | θεασασθαι A **7** υιον] pr Ιηου A | Ναμεσσι A | om τον οικον Αχααβ A **8** Ιηου A | ευρεν A | αρχοντας Ιουδα A | om λειτουργ. τω Οχοζεια A **9** Σαμαρια A | Ιηου A | εζητησεν] εκζητησει A | τη καρδια] om τη A **10** βασιλειας] + αυτου A **11** Ιωσαβεθ A (bis) + (1°) θυγατηρ| του βασιλεως A | υιων] pr των A | ταμειον] το ταμειον A | Ιωραμ B^{ab}A] Ιωας B* | και γυνη Ιωδαε] και Ιωδαε (δαε sup ras) B* γυνη Ιωδαε B^{ab} γ. Ιωιαδα A | Ιωδαε] + αδελφοι· B* (om αδ. B$^{b\,vid}$A) + του ιερεως B$^{a\,?\,b(mg)}$A | Γοθολιας] pr του βασιλεως Ιωας B* (om B$^{b\,vid}$A) **12** αυτου] αυτης A

οἴκῳ τοῦ θεοῦ κατακεκρυμμένος ἓξ ἔτη, καὶ Γοθολία ἐβασίλευσεν B
XXIII 1 ἐπὶ τῆς γῆς. [1]Καὶ ἐν τῷ ἕτει τῷ ὀγδόῳ ἐκραταίωσεν Ἰωδαὲ
καὶ ἔλαβεν τοὺς ἑκατοντάρχους, τὸν Ἀζαρίαν υἱὸν Ἰωρὰμ καὶ τὸν
Ἰσμαὴλ υἱὸν Ἰωανὰν καὶ τὸν Ἀζαρίαν υἱὸν Ὠβὴδ καὶ τὸν Μασσαίαν
υἱὸν Ἀζειὰ καὶ τὸν Ἐλεισαφὰν υἱὸν Ζαχαριά, μετ' αὐτοῦ εἰς οἶκον.
2 [2]καὶ ἐκύκλωσαν τὸν Ἰούδαν, καὶ συνήγαγεν τοὺς Λευείτας ἐκ πασῶν
τῶν πόλεων Ἰούδα καὶ ἄρχοντες πατριῶν τοῦ Ἰσραήλ, καὶ ἦλθον
3 εἰς Ἰερουσαλήμ. [3]καὶ διέθεντο πᾶσα ἐκκλησία Ἰούδα διαθήκην ἐν
οἴκῳ τοῦ θεοῦ μετὰ τοῦ βασιλέως· καὶ ἔδειξεν αὐτοῖς τὸν υἱὸν τοῦ
βασιλέως καὶ εἶπεν αὐτοῖς Ἰδοὺ ὁ υἱὸς τοῦ βασιλέως βασιλευσάτω,
4 καθὼς ἐλάλησεν Κύριος, ἐπὶ τὸν οἶκον Δαυείδ. [4]νῦν ὁ λόγος οὗτος
ὃν ποιήσετε· τὸ τρίτον ἐξ ὑμῶν εἰσπορευέσθωσαν τὸ σάββατον, τῶν
5 ἱερέων καὶ τῶν Λευειτῶν, καὶ εἰς τὰς πύλας τῶν εἰσόδων, [5]καὶ τρίτον
ἐν οἴκῳ τοῦ βασιλέως, καὶ τὸ τρίτον ἐν τῇ πύλῃ τῇ μέσῃ, καὶ πᾶς
6 ὁ λαὸς ἐν αὐλαῖς οἴκου Κυρίου. [6]καὶ μὴ εἰσελθέτω εἰς οἶκον Κυρίου
ἐὰν μὴ οἱ ἱερεῖς καὶ οἱ Λευεῖται καὶ οἱ λειτουργοῦντες τῶν Λευειτῶν·
αὐτοὶ εἰσελεύσονται, ὅτι ἅγιοί εἰσιν· καὶ πᾶς ὁ λαὸς φυλασσέτω φυ-
7 λακὰς Κυρίῳ. [7]καὶ κυκλώσουσιν τὸν βασιλέα οἱ Λευεῖται κύκλῳ
ἀνδρὸς σκεῦος σκεῦος ἐν χειρὶ αὐτοῦ, καὶ ὁ εἰσπορευόμενος εἰς τὸν
οἶκον ἀποθανεῖται· καὶ ἔσονται μετὰ τοῦ βασιλέως εἰσπορευομένου
8 καὶ ἐκπορευομένου. [8]καὶ ἐποίησαν οἱ Λευεῖται καὶ πᾶς Ἰούδα κατὰ
πάντα ὅσα ἐνετείλατο Ἰωδαὲ ὁ ἱερεύς· καὶ ἔλαβον ἕκαστος τοὺς
ἄνδρας αὐτοῦ ἀπ' ἀρχῆς τοῦ σαββάτου ἕως ἐξόδου τοῦ σαββάτου, ὅτι
9 οὐ κατέλυσεν Ἰωδαὲ τὰς ἐφημερίας. [9]καὶ ἔδωκεν τὰς μαχαίρας καὶ
τοὺς θυρεοὺς καὶ τὰ ὅπλα ἃ ἦν τοῦ βασιλέως Δαυὶδ ἐν οἴκῳ τοῦ
10 θεοῦ. [10]καὶ ἔστησεν πάντα τὸν λαόν, ἕκαστον ἐν τοῖς ὅπλοις αὐτοῦ,
ἀπὸ τῆς ὠμίας τοῦ οἴκου τῆς δεξιᾶς ἕως τῆς ὠμίας τῆς ἀριστερᾶς
11 τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου ἐπὶ τὸν βασιλέα κύκλῳ. [11]καὶ
ἐξήγαγεν τὸν υἱὸν τοῦ βασιλέως, καὶ ἔδωκεν ἐπ' αὐτὸν τὸ βασί-
λειον καὶ τὰ μαρτύρια· καὶ ἐβασίλευσαν καὶ ἔχρισαν αὐτὸν Ἰωδαὲ
12 καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ εἶπαν Ζήτω ὁ βασιλεύς. [12]καὶ ἤκουσεν Γοθολία

XXIII **1** *ογδοω*] εβδομω A | *εκατονταρχας* A | Ιωβηδ A | Μασιαν A | A
Αζεια] Αδεια B^{ab} Αδαια A | Ελεισαφαν] Ελισαφατ A | *υιον* 5° bis scr B | Ζαχαριου A | *μετ*] *μεθ* A | *οικον*] + κυ A **2** *συνηγαγον* A | Λευιτ. A (ita ubique) | *αρχοντας* A | *πατριων*] pr *των* A **3** *διαθηκην...τον υιον* in mg inf et sup ras A^a (om *του βασιλεως...τον υιον* A^*) **5** *και το τριτον* (sic) *εν οικω*| *του βασιλεως* $A^{a\dagger(mg)}$ **6** *οι ιερεις*] *ο ιερευς* A | *φυλασσετω*] *φυλασσεσθω* A | Κυριω] κυ A **7** *οι Λ. τον βασιλεα* A | om *σκευος* 2° A **8** *αυτου*] *εαυτου* A **10** *αυτου*] *εαυτου* A

12 τὴν φωνὴν τοῦ λαοῦ τρεχόντων καὶ ἐξομολογουμένων καὶ αἰνούντων
τὸν βασιλέα, καὶ εἰσῆλθεν πρὸς τὸν βασιλέα εἰς οἶκον Κυρίου.
13 καὶ εἶδεν, καὶ ἰδοὺ ὁ βασιλεὺς ἐπὶ τῆς στάσεως αὐτοῦ, καὶ ἐπὶ 13
τῆς εἰσόδου οἱ ἄρχοντες καὶ αἱ σάλπιγγες, ἄρχοντες περὶ τὸν βασι-
λέα, καὶ πᾶς ὁ λαὸς ηὐφράνθη καὶ ἐσάλπισαν ταῖς σάλπιγξιν, καὶ
οἱ ἄδοντες ἐν τοῖς ὀργάνοις, ᾠδοὶ καὶ ὑμνοῦντες αἶνον· καὶ διέρρηξεν
Γοθολία τὴν στολὴν αὐτῆς, καὶ ἐβόησεν Ἐπιτιθέμενοι ἐπιτίθεσθε.
14 καὶ ἐξῆλθεν Ἰωδαὲ ὁ ἱερεύς· καὶ ἐνετείλατο Ἰωδαὲ ὁ ἱερεὺς τοῖς 14
ἑκατοντάρχοις καὶ τοῖς ἀρχηγοῖς τῆς δυνάμεως καὶ εἶπεν αὐτοῖς Ἐκβά-
λετε αὐτὴν ἐκτὸς τοῦ οἴκου, καὶ εἰσέλθατε ὀπίσω αὐτῆς, καὶ ἀπο-
θανέτω μαχαίρᾳ· ὅτι εἶπεν ὁ ἱερεύς Μὴ ἀποθανέτω ἐν οἴκῳ Κυρίου.
15 καὶ ἔδωκαν αὐτῇ ἄνεσιν, καὶ διῆλθεν διὰ τῆς πύλης τῶν ἱππέων 15
τοῦ οἴκου τοῦ βασιλέως, καὶ ἐθανάτωσαν αὐτὴν ἐκεῖ. 16 Καὶ 16
διέθετο Ἰωδαὲ διαθήκην ἀνὰ μέσον αὐτοῦ καὶ τοῦ λαοῦ καὶ τοῦ
βασιλέως, εἶναι λαὸν τῷ κυρίῳ. 17 καὶ εἰσῆλθεν πᾶς ὁ λαὸς τῆς γῆς 17
εἰς οἶκον Βάαλ, καὶ κατέσπασαν αὐτὸν καὶ τὰ θυσιαστήρια καὶ τὰ
εἴδωλα αὐτοῦ καὶ ἐλέπτυναν, καὶ τὸν Ματθὰν ἱερέα τῆς Βάαλ ἐθανά-
τωσαν ἐναντίον τῶν θυσιαστηρίων αὐτοῦ. 18 καὶ ἐνεχείρησεν Ἰωδαὲ 18
ὁ ἱερεὺς τὰ ἔργα οἴκου Κυρίου διὰ χειρὸς ἱερέων καὶ Λευειτῶν, καὶ
ἀνέστησεν τὰς ἐφημερίας τῶν ἱερέων καὶ τῶν Λευειτῶν, ἃς διέ-
στειλεν Δαυεὶδ ἐπὶ τὸν οἶκον Κυρίου καὶ ἀνενέγκαι ὁλοκαυτώματα
Κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ Μωυσῆ, ἐν εὐφροσύνῃ καὶ ἐν
ᾠδαῖς διὰ χειρὸς Δαυείδ. 19 καὶ ἔστησαν οἱ πυλωροὶ ἐπὶ τὰς πύλας 19
οἴκου Κυρίου, καὶ οὐκ εἰσελεύσεται ἀκάθαρτος εἰς πᾶν πρᾶγμα.
20 καὶ ἔλαβεν τοὺς πατριάρχας καὶ τοὺς δυνατοὺς καὶ τοὺς ἄρχοντας 20
τοῦ λαοῦ καὶ πάντα τὸν λαὸν τῆς γῆς, καὶ ἐπεβίβασαν τὸν βασιλέα
εἰς οἶκον Κυρίου, καὶ εἰσῆλθεν διὰ τῆς πύλης τῆς ἐσωτέρας εἰς τὸν
οἶκον βασιλέως, καὶ ἐκάθισαν τὸν βασιλέα ἐπὶ τὸν θρόνον τῆς βασι-
λείας. 21 καὶ ηὐφράνθη πᾶς ὁ λαὸς τῆς γῆς, καὶ ἡ πόλις ἡσύχασεν· 21
καὶ τὴν Γοθολιὰ ἐθανάτωσαν.

1 *Ων ἑπτὰ ἐτῶν Ἰωὰς ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ τεσσερά- 1 XXIV
κοντα ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ

A **12** τρεχοντων] pr των A **13** ιδεν A | ταις σαλπ.] εν σαλπ. A | αιδοντες B* (αδ. B^{b}A) | αυτης] εαυτης A | εβοησεν] + και ειπεν A | επιθεμενοι επιτιθεσθαι A **14** εισελθατε] εξελθατε A **17** om και 5° A | ιερεα] pr τον A **18** ενεχειρησεν B*A] ενεχειρεισεν B^{a} ενεχειρισεν B$^{b\,vid}$ | και 2°...Δαδ sup ras A^{a} | Λευειτων 1°] των| Λειιτων A^{a} | om ας A^{a} | ανενεγκαι] ανηνεγκαν A | Κυριω] pr τω A | Μωυσεως B^{b} **20** επεβιβασαν] ανεβιβ. A | βασιλεως] pr του A **21** Γοθολιαν A | εθανατωσαν] + μαχαιρα A XXIV **1** τεσσαρακ. B$^{?}$

2 Ἀβιὰ ἐκ Βηρσάβεε. [2]καὶ ἐποίησεν Ἰωὰς τὸ εὐθὲς ἐνώπιον Κυρίου Β
3 πάσας τὰς ἡμέρας Ἰωδαὲ τοῦ ἱερέως. [3]καὶ ἔλαβεν ἑαυτῷ Ἰωδαὲ
4 γυναῖκας δύο, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. [4]καὶ ἐγένετο
μετὰ ταῦτα, καὶ ἐγένετο ἐπὶ καρδίαν Ἰωὰς ἐπισκευάσαι τὸν οἶκον
5 Κυρίου. [5]καὶ συνήγαγεν τοὺς ἱερεῖς καὶ τοὺς Λευείτας καὶ εἶπεν
αὐτοῖς Ἐξέλθατε εἰς τὰς πόλεις Ἰούδα καὶ συναγάγετε ἀπὸ παντὸς
Ἰσραὴλ ἀργύριον κατισχῦσαι τὸν οἶκον Κυρίου ἐνιαυτὸν κατ᾽ ἐνι-
6 αυτόν, καὶ σπεύσατε λαλῆσαι· καὶ οὐκ ἐπίστευσαν οἱ Λευεῖται. [6]καὶ
ἐκάλεσεν ὁ βασιλεὺς Ἰωὰς τὸν Ἰωδαὲ τὸν ἄρχοντα καὶ εἶπεν αὐτῷ
Διὰ τί οὐκ ἐπεσκέψω περὶ τῶν Λευειτῶν τοῦ εἰσενέγκαι ἀπὸ Ἰούδα
καὶ Ἰερουσαλὴμ τὸ κεκριμένον ὑπὸ Μωυσῆ ἀνθρώπου θεοῦ, ὅτι
7 ἐξεκκλησίασεν τὸν Ἰσραὴλ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου; [7]ὅτι
Γοθολία ἦν ἡ ἄνομος, καὶ οἱ υἱοὶ αὐτῆς κατέσπασαν τὸν οἶκον τοῦ
8 θεοῦ, καὶ γὰρ τὰ ἅγια οἴκου Κυρίου ἐποίησαν ταῖς Βααλείμ. [8]καὶ
εἶπεν ὁ βασιλεύς Γενηθήτω γλωσσόκομον καὶ τεθήτω ἐν πύλῃ οἴκου
9 Κυρίου ἔξω. [9]καὶ κηρυξάτωσαν ἐν Ἰούδᾳ καὶ ἐν Ἰερουσαλὴμ εἰσε-
νέγκαι Κυρίῳ, καθὼς εἶπεν Μωυσῆς παῖς τοῦ θεοῦ ἐπὶ τὸν Ἰσραὴλ
10 ἐν τῇ ἐρήμῳ. [10]καὶ ἔδωκαν πάντες ἄρχοντες καὶ πᾶς ὁ λαός, καὶ
εἰσέφερον καὶ ἐνέβαλλον εἰς τὸ γλωσσόκομον ἕως οὗ ἐπληρώθη.
11 [11]καὶ ἐγένετο ὡς εἰσέφερον τὸ γλωσσόκομον πρὸς τοὺς προστάτας
τοῦ βασιλέως διὰ χειρὸς τῶν Λευειτῶν, καὶ ὡς εἶδον ὅτι ἐπλεόνασεν
τὸ ἀργύριον, καὶ ἦλθεν ὁ γραμματεὺς τοῦ βασιλέως καὶ ὁ προστάτης
τοῦ ἱερέως τοῦ μεγάλου καὶ ἐξεκένωσεν τὸ γλωσσόκομον, καὶ κατέ-
στησαν εἰς τὸν τόπον αὐτοῦ· οὕτως ἐποίουν ἡμέραν ἐξ ἡμέρας, καὶ
12 συνήγαγον ἀργύριον πολύ. [12]καὶ ἔδωκεν αὐτὸ ὁ βασιλεὺς καὶ Ἰωδαὲ
ὁ ἱερεὺς τοῖς ποιοῦσιν τὰ ἔργα εἰς τὴν ἐργασίαν οἴκου Κυρίου· καὶ
ἐμισθοῦντο λατόμους καὶ τέκτονας ἐπισκευάσαι τὸν οἶκον Κυρίου,
καὶ χαλκεῖς σιδήρου καὶ χαλκοῦ ἐπισκευάσαι τὸν οἶκον Κυρίου.
13 [13]καὶ ἐποίουν οἱ ποιοῦντες τὰ ἔργα, καὶ ἀνέβη μῆκος τῶν ἔργων
ἐν χερσὶν αὐτῶν, καὶ ἀνέστησαν τὸν οἶκον Κυρίου ἐπὶ τὴν στάσιν
14 αὐτοῦ καὶ ἐνίσχυσαν. [14]καὶ ὡς συνετέλεσαν, ἤνεγκαν πρὸς τὸν
βασιλέα καὶ πρὸς Ἰωδαὲ τὸ κατάλοιπον τοῦ ἀργυρίου, καὶ ἐποίησαν
σκεύη εἰς οἶκον Κυρίου, σκεύη λειτουργικὰ ὁλοκαυτωμάτων καὶ θυ-

3 Ιωδαε] Ιωας $B^{a\,mg\,b}$ | δυο γυ|ναικας A | εγεννησαν A **6** Ιωας| ο A βασιλευς A | οτι] οτε A | εξεκλησ. B **7** om γαρ A | τοις B. A **9** εισενεγκειν A | Κυριω] pr τω A **11** εισεφερον] εφερον A | εξεκενωσαν B^{ab}A | τον γλωσσ. (2°) A **12** ποιουσι A | om και χαλκεις...οικον Κυριου (2°) A **14** συνετελεσαν] a sup ras $B^{?}$

Β ἵσκας χρυσᾶς καὶ ἀργυρᾶς, καὶ ἀνήνεγκαν ὁλοκαυτώσεις ἐν οἴκῳ
Κυρίου διὰ παντὸς πάσας τὰς ἡμέρας Ἰωδαέ. 15 Καὶ ἐγήρασεν 15
Ἰωδαὲ πλήρης ἡμερῶν, καὶ ἐτελεύτησεν ὢν ἑκατὸν καὶ τριάκοντα
ἐτῶν ἐν τῷ τελευτᾷν αὐτόν. 16 καὶ ἔθαψαν αὐτὸν ἐν πόλει Δανεὶδ 16
μετὰ τῶν βασιλέων, ὅτι ἐποίησεν ἀγαθωσύνην μετὰ Ἰσραὴλ καὶ
μετὰ τοῦ θεοῦ καὶ τοῦ οἴκου αὐτοῦ. 17 καὶ ἐγένετο μετὰ τὴν τελευ- 17
τὴν Ἰωδαὲ εἰσῆλθον οἱ ἄρχοντες Ἰούδα καὶ προσεκύνησαν τὸν βασι-
λέα· τότε ἐπήκουσεν αὐτοῖς ὁ βασιλεύς. 18 καὶ ἐνκατέλιπον τὸν 18
Κύριον θεὸν τῶν πατέρων αὐτῶν, καὶ ἐδούλευον ταῖς Ἀστάρταις
καὶ τοῖς εἰδώλοις· καὶ ἐγένετο ὀργὴ ἐπὶ Ἰουδὰ καὶ Ἰερουσαλὴμ ἐν
τῇ ἡμέρᾳ ταύτῃ. 19 καὶ ἀπέστειλεν πρὸς αὐτοὺς προφήτας, ἐπι- 19
στρέψαι πρὸς Κύριον, καὶ οὐκ ἤκουσαν· καὶ διεμαρτύραντο αὐτοῖς,
καὶ οὐχ ὑπήκουσαν. 20 καὶ πνεῦμα θεοῦ ἐνέδυσεν τὸν Ἀζαρίαν τὸν 20
τοῦ Ἰωδαὲ τὸν ἱερέα, καὶ ἀνέστη ἐπάνω τοῦ λαοῦ καὶ εἶπεν Τάδε
λέγει Κύριος Τί παραπορεύεσθε τὰς ἐντολὰς Κυρίου; καὶ οὐκ εὐοδω-
θήσεσθε· ὅτι ἐνκατελίπετε τὸν κύριον, καὶ ἐνκαταλείψει ὑμᾶς. 21 καὶ 21
ἐπέθεντο αὐτῷ, καὶ ἐλιθοβόλησαν αὐτὸν διʼ ἐντολῆς Ἰωὰς τοῦ βασι-
λέως ἐν αὐλῇ οἴκου Κυρίου. 22 καὶ οὐκ ἐμνήσθη Ἰωὰς τοῦ ἐλέους 22
οὗ ἐποίησεν μετʼ αὐτοῦ Ἰωδαὲ ὁ πατὴρ αὐτοῦ, καὶ ἐθανάτωσεν τὸν
υἱὸν αὐτοῦ. καὶ ὡς ἀπέθνησκεν, εἶπεν Ἴδοι Κύριος καὶ κρινάτω.
23 καὶ ἐγένετο μετὰ τὴν συντέλειαν τοῦ ἐνιαυτοῦ ἀνέβη ἐπʼ αὐτὸν 23
δύναμις Συρίας, καὶ ἦλθεν ἐπὶ Ἰουδὰ καὶ ἐπὶ Ἰερουσαλήμ· καὶ κατέ-
φθειραν πάντας τοὺς ἄρχοντας τοῦ λαοῦ ἐν τῷ λαῷ, καὶ πάντα τὰ
σκῦλα αὐτῶν ἀπέστειλαν τῷ βασιλεῖ Δαμασκοῦ. 24 ὅτι ἐν ὀλίγοις 24
ἀνδράσιν παρεγένετο δύναμις Συρίας, καὶ ὁ θεὸς παρέδωκεν εἰς τὰς
χεῖρας αὐτῶν δύναμιν πολλὴν σφόδρα, ὅτι ἐνκατέλιπον Κύριον θεὸν
τῶν πατέρων αὐτῶν· καὶ μετὰ Ἰωὰς ἐποίησεν κρίματα. 25 καὶ μετὰ 25
τὸ ἀπελθεῖν αὐτοὺς ἀπʼ αὐτοῦ ἐν τῷ ἐνκαταλιπεῖν αὐτὸν ἐν μαλα-
κίαις μεγάλαις, καὶ ἐπέθεντο αὐτῷ οἱ παῖδες αὐτοῦ ἐν αἵμασιν υἱοῦ
Ἰωδαὲ τοῦ ἱερέως, καὶ ἐθανάτωσαν αὐτὸν ἐπὶ τῆς κλίνης αὐτοῦ, καὶ
ἀπέθανεν· καὶ ἔθαψαν αὐτὸν ἐν πόλει Δανείδ, καὶ οὐκ ἔθαψαν αὐτὸν

A **14** ανηνεγκεν A | ολοκαυτωσιν A **15** ετελευτησεν]+εν A | εκατον] pr ετων A **16** εποιησαν A **18** εγκατελιπον B^b εγκατελειπον A | τον Κυριον θεον] κν̄ τον θν̄ A | τοις ειδωλοις και ταις Ασταρτοις A | Ιουδαν A | Ιερουσαλημ] pr επι B^{ab} (superscr) A **19** διεμαρτυρα|το A | ουχ υπηκ.] ουκ ηκουσαν A **20** εγκατελιπετε B^b εγκατελειπ. A | εγκαταλειψει B^bA (-ψι) **22** κρινετω A **23** δυναμεις A | Ιουδαν A | κατεφθειρεν A | απεστιλεν A **24** παρεγινετο A | εγκατελιπον B^b εγκατελειπον A | θεον] pr τον A | αυτων 2°] εαυτῶ| A **25** εγκαταλιπεων A | μαλακιαις] αι sup ras $A^{a?}$

26 ἐν τῷ τάφῳ τῶν βασιλέων. 26καὶ οἱ ἐπιθέμενοι ἐπ᾽ αὐτὸν Ζαβὲλ ὁ Β
τοῦ Σαμὰ ὁ Ἀμμανείτης καὶ Ζωζαβὲδ ὁ τοῦ Σομαὼθ ὁ Μωαβείτης
27 27καὶ οἱ υἱοὶ αὐτοῦ πάντες, καὶ προσῆλθον αὐτῷ οἱ πέντε. καὶ τὰ
λοιπὰ ἰδοὺ γεγραμμένα ἐπὶ τὴν γραφὴν τῶν βασιλέων· καὶ ἐβασί-
λευσεν Ἀμασίας υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

XXV 1 1*Ων πέντε καὶ εἴκοσι ἐτῶν ἐβασίλευσεν Ἀμασείας, καὶ εἴκοσι
ἐννέα ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ
2 Ἰωναὰ ἀπὸ Ἰερουσαλήμ. 2καὶ ἐποίησεν τὸ εὐθὲς ἐνώπιον Κυρίου,
3 ἀλλ᾽ οὐκ ἐν καρδίᾳ πλήρει. 3καὶ ἐγένετο ὡς κατέστη ἡ βασι-
λεία ἐν χειρὶ αὐτοῦ, καὶ ἐθανάτωσεν τοὺς παῖδας αὐτοῦ τοὺς φο-
4 νεύσαντας τὸν βασιλέα πατέρα αὐτοῦ. 4καὶ τοὺς υἱοὺς αὐτῶν
οὐκ ἀπέκτεινεν, κατὰ τὴν διαθήκην τοῦ νόμου Κυρίου καθὼς γέ-
γραπται, ὡς ἐνετείλατο Κύριος λέγων Οὐκ ἀποθανοῦνται πατέρες
ὑπὲρ τέκνων, καὶ υἱοὶ οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων, ἀλλ᾽ ἢ
5 ἕκαστος τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανοῦνται. 5Καὶ συνήγαγεν
Ἀμασείας τὸν οἶκον Ἰούδα, καὶ ἀνέστησεν αὐτοὺς κατ᾽ οἴκους πα-
τριῶν αὐτῶν εἰς χιλιάρχους καὶ ἑκατοντάρχους παντὶ Ἰούδᾳ καὶ
Ἰερουσαλήμ· καὶ ἠρίθμησεν αὐτοὺς ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, καὶ
εὗρεν αὐτοὺς τριακοσίας χιλιάδας, δυνατοὺς ἐξελθεῖν εἰς πόλεμον,
6 κρατοῦντας δόρυ καὶ θυρεόν. 6καὶ ἐμισθώσατο ἀπὸ Ἰσραὴλ ἑκατὸν
7 χιλιάδας, δυνατοὺς ἰσχύι, ἑκατὸν ταλάντων ἀργυρίου. 7καὶ ἄνθρωπος
τοῦ θεοῦ ἦλθεν πρὸς αὐτὸν λέγων Βασιλεῦ, οὐ πορεύσεται μετὰ
σοῦ δύναμις Ἰσραήλ, ὅτι οὐκ ἔστιν Κύριος μετὰ Ἰσραὴλ πάντων τῶν
8 υἱῶν Ἐφράιμ. 8ὅτι ἐὰν ὑπολάβῃς κατισχῦσαι ἐν τούτοις, καὶ τρο-
πώσεταί σε Κύριος ἐναντίον τῶν ἐχθρῶν, ὅτι ἐστὶν παρὰ Κυρίου
9 καὶ ἰσχῦσαι καὶ τροπώσασθαι. 9καὶ εἶπεν Ἀμασίας τῷ ἀνθρώπῳ
τοῦ θεοῦ Καὶ τί ποιήσω τὰ ἑκατὸν τάλαντα ἃ ἔδωκα τῇ δυνάμει
Ἰσραήλ; καὶ εἶπεν ὁ ἄνθρωπος τοῦ θεοῦ Ἔστιν τῷ κυρίῳ δοῦναί
10 σοι πλεῖστα τούτων. 10καὶ διεχώρισεν Ἀμασείας τῇ δυνάμει τῇ
ἐλθούσῃ πρὸς αὐτὸν ἀπὸ Ἐφράιμ ἀπελθεῖν εἰς τὸν τόπον αὐτῶν·
καὶ ἐθυμώθησαν σφόδρα ἐπὶ Ἰούδαν, καὶ ἐπέστρεψαν εἰς τὸν τόπον

26 Ζαβεθ A | Σαμα] Σαμαθ A | Αμμανιτης A | Ζωζαβεδ] pro ζ 2° al A lit coep B* Ιωζαβεδ A | Σομαιωθ] Σαμαριθ A | Μωαβιτης A **27** ιδου] Ιουδα A | την γραφην] om την A | Αμασιας BA XXV **1** ων] pr και εβασιλευσεν·| B | Αμασιας B^{b}A (item 5, 10 et fere ubique) | εννεα] pr και A | Ιωναα] Ιωαδεν A **3** αυτου 2°] εαυτου A | φονευ|σαντα A **4** του νομου] om του A | τη] post η ras 1 lit $A^{?}$ | αποθανουνται 2°] αποθανειται A **5** εκατονταρχους] pr εις B^{ab} | παντι] pr εν B^{ab} (superscr) A **7** πορευσεται] παρελευσεται A **8** om σε A | εναντιον] εναντι A | και ισχυσαι] κατισχυσαι A+εν τουτοις A | τροπωσεσθαι A **9** Αμασιας BA **10** εαυτων A (bis) | επεστρεψαν] υπεστρεψεν A

Β αὐτῶν ἐν ὀργῇ θυμοῦ. 11καὶ Ἀμασείας κατίσχυσεν καὶ παρέλαβεν 11
τὸν λαὸν αὐτοῦ, καὶ ἐπορεύθη εἰς τὴν κοιλάδα τῶν ἁλῶν, καὶ ἐπά-
ταξεν ἐκεῖ τοὺς υἱοὺς Σηεὶρ δέκα χιλιάδας. 12καὶ δέκα χιλιάδας 12
ἐζώγρησαν οἱ υἱοὶ Ἰούδα, καὶ ἔφερον αὐτοὺς ἐπὶ τὸ ἄκρον τοῦ
κρημνοῦ, καὶ κατεκρήμνιζον αὐτοὺς ἀπὸ τοῦ ἄκρου τοῦ κρημνοῦ,
καὶ πάντες διερρήγνυντο. 13καὶ υἱοὶ τῆς δυνάμεως οὓς ἀπέστρεψεν 13
Ἀμασείας τοῦ μὴ εὑρεθῆναι μετ' αὐτοῦ εἰς πόλεμον, καὶ ἐπέθεντο
ἐπὶ τὰς πόλεις Ἰούδα ἀπὸ Σαμαρείας ἕως Βαιθωρών, καὶ ἐπάταξεν
ἐν αὐτοῖς τρεῖς χιλιάδας καὶ ἐσκύλευσεν σκῦλα πολλά. 14Καὶ 14
ἐγένετο μετὰ τὸ ἐλθεῖν Ἀμασείαν πατάξαντος τὴν Ἰδουμαίαν, καὶ
ἤνεγκεν πρὸς αὐτοὺς τοὺς θεοὺς υἱῶν Σηείρ, καὶ ἔστησεν αὐτοὺς
αὐτῷ εἰς θεούς, καὶ ἔστησεν ἐναντίον αὐτῶν προσκυνεῖν, καὶ αὐτὸς
αὐτοῖς ἔθυεν. 15καὶ ἐγένετο ὀργὴ Κυρίου ἐπὶ Ἀμασείαν, καὶ ἀπέ- 15
στειλεν αὐτῷ προφήτας καὶ εἶπαν αὐτῷ Τί ἐζήτησας τοὺς θεοὺς τοῦ
λαοῦ οἳ οὐκ ἐξείλαντο τὸν λαὸν αὐτῶν ἐκ χειρός σου; 16καὶ ἐγένετο 16
ἐν τῷ λαλῆσαι αὐτῷ, καὶ εἶπεν αὐτῷ Μὴ σύμβουλον τοῦ βασιλέως
δέδωκά σε; πρόσεχε μὴ μαστιγωθῇς. καὶ ἐσιώπησεν ὁ προφήτης,
καὶ εἶπεν ὅτι Γινώσκω ὅτι ἐβούλετο ἐπὶ σοὶ τοῦ καταφθεῖραί σε, ὅτι
ἐποίησας τοῦτο καὶ οὐκ ἐπήκουσας τῆς συμβουλίας μου. 17Καὶ 17
ἐβουλεύσατο Ἀμασείας. 18καὶ ἀπέστειλεν Ἰωὰς βασιλεὺς Ἰσραὴλ 18
πρὸς Ἀμασείαν βασιλέα Ἰούδα λέγων Ὁ χοζεὶ ἐν τῷ Λιβάνῳ ἀπέ-
στειλεν πρὸς τὴν κέδρον τὴν ἐν τῷ Λιβάνῳ λέγων Δὸς τὴν θυγα-
τέρα σου τῷ υἱῷ μου εἰς γυναῖκα, καὶ ἰδοὺ ἐλεύσεται τὰ θηρία τοῦ
ἀγροῦ τὰ ἐν τῷ Λιβάνῳ· καὶ ἦλθαν τὰ θηρία καὶ κατεπάτησαν τὸν
ἄχουχ. 19εἶπας Ἰδοὺ ἐπάταξας τὴν Ἰδουμαίαν, καὶ ἐπαίρει σε ἡ 19
καρδία ἡ βαρεῖα· νῦν κάθησο ἐν οἴκῳ σου, καὶ ἵνα τί συμβάλλεις
ἐν κακίᾳ, καὶ πεσῇ σὺ καὶ Ἰούδας μετὰ σοῦ; 20καὶ οὐκ ἤκουσεν 20
Ἀμασείας, ὅτι παρὰ Κυρίου ἐγένετο τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖρας,
ὅτι ἐξεζήτησεν τοὺς θεοὺς τῶν Ἰδουμαίων. 21καὶ ἀνέβη Ἰωὰς βασι- 21
λεὺς Ἰσραήλ, καὶ ὤφθησαν ἀλλήλοις αὐτὸς καὶ Ἀμασείας βασιλεὺς
Ἰούδα ἐν Βαιθσάμυς ἥ ἐστιν τοῦ Ἰούδα. 22καὶ ἐτροπώθη Ἰούδας 22

A **11** αυτου] εαυτου A **12** κατεκρημνισεν A | κρου B* (ακρ. B^{ab}) **13** υιοι] pr οι A | om και 2° A | Σαμαριας A | επαταξαν A **14** Αμασιαν B^{b}A | παταξαντα A | αυτω 1°] εαυτω A | om εστησεν 2° A | προσεκυνει A | αυτος αυτοις B^{ab}] αυτος αυτω B* αυτοις αυτος A **15** Αμασιαν B^{b} Αμεσιαν A | ειπον A | om οι A* (hab superscr A$^{a?}$) | αυτων] εαυτων A **17** Αμασειας] +και απε|στειλεν προς Ιωας υιον Ιωαχαζ·|υιου Ιηου· βασιλεα Ισλ·· λεγων| δευρο οφθωμεν προσωποις·| A **18** om προς 1° A | ο χοζει] ο οχοζ ο A | post Λιβανω 1° ras pl litt A$^{?}$ **20** χειρας] ας sup ras 3 litt A$^{?,vid}$

23 κατὰ πρόσωπον Ἰσραήλ, καὶ ἔφυγεν ἕκαστος εἰς τὸ σκήνωμα. [23]καὶ Β
τὸν Ἀμασείαν βασιλέα Ἰούδα τὸν τοῦ Ἰωὰς κατέλαβεν Ἰωὰς βασι-
λεὺς Ἰσραὴλ ἐν Βαιθσάμυς, καὶ εἰσήγαγεν αὐτοὺς εἰς Ἰερουσαλήμ,
καὶ κατέσπασεν ἀπὸ τοῦ τείχους Ἰερουσαλὴμ ἀπὸ πύλης Ἐφράιμ
24 ἕως πύλης γωνίας τετρακοσίους πήχεις. [24]καὶ πᾶν τὸ χρυσίον καὶ
τὸ ἀργύριον καὶ πάντα τὰ σκεύη τὰ εὑρεθέντα ἐν οἴκῳ Κυρίου καὶ
παρὰ τῷ Ἰαβδεδὸμ καὶ τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως καὶ τοὺς
25 υἱοὺς τῶν συμμίξεων, καὶ ἐπέστρεψεν εἰς Σαμάρειαν. [25]Καὶ
ἔζησεν Ἀμασείας ὁ τοῦ Ἰωὰς βασιλεὺς Ἰούδα μετὰ τὸ ἀποθανεῖν
26 Ἰωὰς τὸν τοῦ Ἰωὰς βασιλέα Ἰσραὴλ ἔτη δέκα πέντε. [26]καὶ οἱ
λοιποὶ λόγοι Ἀμασείου οἱ πρῶτοι καὶ οἱ ἔσχατοι οὐκ ἰδοὺ γεγραμ-
27 μένοι ἐπὶ βιβλίου Ἰούδα καὶ Ἰσραήλ; [27]καὶ ἐν τῷ καιρῷ ᾧ ἀπέστη
Ἀμασείας ἀπὸ Κυρίου, καὶ ἐπέθεντο αὐτῷ ἐπίθεσιν, καὶ ἔφυγεν
ἀπὸ Ἰερουσαλὴμ εἰς Λαχείς· καὶ ἀπέστειλεν κατόπισθεν αὐτοῦ εἰς
28 Λαχείς, καὶ ἐθανάτωσεν αὐτὸν ἐκεῖ. [28]καὶ ἀνέλαβον αὐτὸν ἐπὶ
τῶν ἵππων, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει
XXVI 1 Δανείδ. [1]Καὶ ἔλαβεν πᾶς ὁ λαὸς τῆς γῆς τὸν Ὀχοζείαν, καὶ
αὐτὸς δέκα καὶ ἓξ ἐτῶν, καὶ ἐβασίλευσαν αὐτὸν ἀντὶ τοῦ πατρὸς
2 αὐτοῦ Ἀμασείου. [2]αὐτὸς ᾠκοδόμησεν τὴν Αἰλάθ, αὐτὸς ἐπέστρεψεν
αὐτὴν τῷ Ἰούδᾳ μετὰ τὸ κοιμηθῆναι τὸν βασιλέα μετὰ τῶν πατέρων
αὐτοῦ.

3 [3]Υἱὸς δέκα ἓξ ἐτῶν Ὀζείας, καὶ πεντήκοντα καὶ δύο ἔτη ἐβασίλευσεν
ἐν Ἰερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Χαιὰ ἀπὸ Ἰερουσαλήμ.
4 [4]καὶ ἐποίησεν τὸ εὐθὲς ἐνώπιον Κυρίου κατὰ πάντα ὅσα ἐποίησεν
5 Ἀμασείας ὁ πατὴρ αὐτοῦ. [5]καὶ ἦν ἐκζητῶν τὸν κύριον ἐν πάσαις
ταῖς ἡμέραις Ζαχαρίου τοῦ συνιόντος ἐν φόβῳ Κυρίου, καὶ ἐν ταῖς
6 ἡμέραις αὐτοῦ ἐζήτησεν τὸν κύριον, καὶ εὐόδωσεν αὐτῷ Κύριος. [6]καὶ
ἐξῆλθεν καὶ ἐπολέμησεν πρὸς τοὺς ἀλλοφύλους, καὶ κατέσπασεν
τὰ τείχη Γὲθ καὶ τὰ τείχη Ἀβεννὴρ καὶ τὰ τείχη Ἀζώτου, καὶ ᾠκο-
7 δόμησεν πόλεις Ἀζώτου καὶ ἐν τοῖς ἀλλοφύλοις. [7]καὶ κατίσχυσεν
αὐτὸν Κύριος ἐπὶ τοὺς ἀλλοφύλους καὶ ἐπὶ τοὺς Ἄραβας τοὺς κατοι-

22 εφυγον A | σκηνωμα] + αυτου A$^{a\,vid}$ **23** om κατελαβεν Ιωας A | A αυτους] αυτον A | κατεσπασεν] κατεστησεν A | τετρακοσιους] τριακοσιους A **24** Ιαβδεδομ] Ιαβδοδομ B^{b} Αβδεδομ A | Σαμαριαν A **25** Ιωας 3°] Ιωαχαζ A **26** βιβλιου (βλιου B* pr βυ B$^{a\,mg\,sinistr}$)] + βασιλεων A **27** επεθετο A | απεστειλαν A | εθανατωσαν A XXVI **1** Οχοζειαν] Οζιαν A | Αμασιου A **2** την Αιλαθ] ην sup ras B$^{?}$ **3** Οζειας] εβασιλευσε| Οζιας A | Χααια] Ιεχελια A **4** Αμασιας A **5** om πασαις A | ευωδωσεν B^{ab} **6** τειχη 2°] τειχει A | Αβεννηρ] Ιαβεις A

Β κοῦντας ἐπὶ τῆς πέτρας καὶ ἐπὶ τοὺς Μειναίους. 8καὶ ἔδωκαν οἱ 8
Μειναῖοι δῶρα τῷ Ὀζείᾳ, καὶ ἦν τὸ ὄνομα αὐτοῦ ἕως εἰσόδου Αἰγύπτου,
ὅτι κατίσχυσεν ἕως ἄνω. 9καὶ ᾠκοδόμησεν Ὀζείας πύργους ἐν 9
Ἰερουσαλὴμ καὶ ἐπὶ τὴν πύλην τῆς γωνίας καὶ ἐπὶ τὴν πύλην γωνίας
τῆς φάραγγος καὶ ἐπὶ τῶν γωνιῶν καὶ κατίσχυσεν. 10καὶ ᾠκοδόμησεν 10
πύργους ἐν τῇ ἐρήμῳ, καὶ ἐλατόμησεν λάκκους πολλούς, ὅτι κτήνη
πολλὰ ὑπῆρχεν αὐτῷ ἐν Σεφηλὰ καὶ ἐν τῇ πεδινῇ καὶ ἀμπελουργοὶ
ἐν τῇ ὀρεινῇ καὶ ἐν τῷ Καρμήλῳ, ὅτι γεωργὸς ἦν. 11καὶ ἐγένετο 11
Ὀζείᾳ δυνάμεις ποιοῦσαι πόλεμον καὶ ἐκπορευόμεναι εἰς παράταξιν
εἰς ἀριθμόν· καὶ ὁ ἀριθμὸς αὐτῶν διὰ χειρὸς Ἰειὴλ τοῦ γραμματέως
καὶ Ἀμασαίου τοῦ κριτοῦ, διὰ χειρὸς Ἀνανίου τοῦ διαδόχου τοῦ
βασιλέως. 12πᾶς ὁ ἀριθμὸς τῶν πατριαρχῶν τῶν δυνατῶν εἰς 12
πόλεμον δισχίλιοι ἑξακόσιοι, 13καὶ μετ' αὐτῶν δύναμις πολεμικὴ 13
τριακόσιαι χιλιάδες καὶ ἑπτακισχίλιοι πεντακόσιοι· οὗτοι οἱ ποιοῦντες
πόλεμον ἐν δυνάμει ἰσχύος βοηθῆσαι τῷ βασιλεῖ ἐπὶ τοὺς ὑπεναντίους.
14καὶ ἡτοίμαζεν αὐτοὺς Ὀζείας πάσῃ τῇ δυνάμει θυρεοὺς καὶ δόρατα 14
καὶ περικεφαλαίας καὶ θώρακας καὶ τόξα καὶ σφενδόνας εἰς λίθους.
15καὶ ἐποίησεν ἐν Ἰερουσαλὴμ μηχανὰς μεμηχανευμένας λογιστοῦ, 15
τοῦ εἶναι ἐπὶ τῶν πύργων καὶ ἐπὶ τῶν γωνιῶν βάλλειν βέλεσιν
καὶ λίθοις μεγάλοις· καὶ ἠκούσθη ἡ κατασκευὴ αὐτῶν ἕως πόρρω,
ὅτι ἐθαυμαστώθη τοῦ βοηθῆναι ἕως οὗ κατίσχυσεν. 16Καὶ ὡς 16
κατίσχυσεν, ὑψώθη ἡ καρδία αὐτοῦ τοῦ καταφθεῖραι· καὶ ἠδίκησεν
ἐν Κυρίῳ θεῷ αὐτοῦ, καὶ εἰσῆλθεν εἰς τὸν ναὸν Κυρίου θυμιᾶσαι
ἐπὶ τὸ θυσιαστήριον τῶν θυμιαμάτων. 17καὶ εἰσῆλθεν ὀπίσω αὐτοῦ 17
Ἀζαρίας ὁ ἱερεύς, καὶ μετ' αὐτοῦ ἱερεῖς τοῦ κυρίου ὀγδοήκοντα υἱοὶ
δυνατοί. 18καὶ ἔστησαν ἐπὶ Ὀζείαν τὸν βασιλέα καὶ εἶπαν αὐτῷ 18
Οὐ σοί, Ὀζεία, θῦσαι Κυρίῳ, ἀλλ' ἢ τοῖς ἱερεῦσιν υἱοῖς Ἀαρὼν τοῖς
ἡγιασμένοις θῦσαι· ἔξελθε ἐκ τοῦ ἁγιάσματος, ὅτι ἀπέστης ἀπὸ
Κυρίου· καὶ οὐκ ἔσται σοι τοῦτο εἰς δόξαν παρὰ Κυρίου θεοῦ. 19καὶ 19
ἐθυμώθη Ὀζείας, καὶ ἐν τῇ χειρὶ αὐτοῦ τὸ θυμιατήριον τοῦ θυμιᾶσαι
ἐν τῷ ναῷ· ἐν τῷ θυμωθῆναι αὐτὸν πρὸς τοὺς ἱερεῖς, καὶ ἡ λέπρα
ἀνέτειλεν ἐν τῷ μετώπῳ αὐτοῦ ἐναντίον τῶν ἱερέων ἐν οἴκῳ Κυρίου

A **7** Μιναιους A **8** Μιναιοι A | Οζια A **9** Οζιας A (Οζι.. ubique) | πυργον A | πυλην γωνιας] γωνιαν $B^{ab\,mg}$ **10** υπηρχον A | πεδεινη B^{*} (πεδινη $B^{b}A$) | ορινη A | γεωργος] φιλογεωργος A **11** Αμασαιου] Μασσαιου A **13** επτακισχιλιοι] επτα χιλι|αδες A | πεντακοσιοι] pr και A **14** αυτους] αυτοις A **15** πωρρω B^{*} (πορρω B^{ab}) | βοηθη|θηναι B **16** αυτου 2°] εαυτου A | θυμιαμασαι B^{*} (θυμιασαι B^{ab}) **18** ειπον A | θυσαι bis] θυμιασαι A | Κυριω] pr τω A | υιοις] pr τοις A

20 καὶ ἐπάνω τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων. [20]καὶ ἐπέστρεψεν Β
ἐπ᾽ αὐτὸν ὁ ἱερεὺς ὁ πρῶτος καὶ οἱ ἱερεῖς, καὶ ἰδοὺ αὐτὸς λεπρὸς
ἐν τῷ μετώπῳ· καὶ κατέσπευσαν αὐτὸν ἐκεῖθεν, καὶ γὰρ αὐτὸς
21 ἔσπευσεν ἐξελθεῖν, ὅτι ἤλεγξεν αὐτὸν Κύριος. [21]καὶ ἦν Ὀζείας
βασιλεὺς λεπρὸς ἕως ἡμέρας τῆς τελευτῆς αὐτοῦ, καὶ ἐν οἴκῳ ἀφφου-
σιὼν ἐκάθητο λεπρός, ὅτι ἀπεσχίσθη ἀπὸ οἴκου Κυρίου· καὶ Ἰωαθὰμ
ὁ υἱὸς αὐτοῦ ἐπὶ τῆς βασιλείας αὐτοῦ κρίνων τὸν λαὸν τῆς γῆς.
22 [22]καὶ οἱ λοιποὶ λόγοι οἱ πρῶτοι καὶ οἱ ἔσχατοι Ὀζείου γεγραμμένοι
23 ὑπὸ Ἰεσσαίου τοῦ προφήτου. [23]καὶ ἐκοιμήθη Ὀζείας μετὰ τῶν πατέρων
αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν τῷ πεδίῳ τῆς
ταφῆς τῶν βασιλέων, ὅτι εἶπαν ὅτι Λεπρός ἐστιν· καὶ ἐβασίλευσεν
Ἰωαθὰμ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

XXVII 1 [1]Εἴκοσι πέντε ἐτῶν Ἰωαθὰμ ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ δέκα
ἓξ ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ
2 Ἰερουσὰ θυγάτηρ Σαδώρ. [2]καὶ ἐποίησεν τὸ εὐθὲς ἐνώπιον Κυρίου
κατὰ πάντα ἃ ἐποίησεν Ὀζείας ὁ πατὴρ αὐτοῦ, ἀλλ᾽ οὐκ εἰσῆλθεν
3 εἰς τὸν ναὸν Κυρίου, καὶ ἔτι ὁ λαὸς κατεφθείρετο. [3]αὐτὸς ᾠκοδό-
μησεν τὴν πύλην οἴκου Κυρίου τὴν ὑψηλήν, καὶ ἐν τείχει αὐτοῦ Ὄφλα
4 ᾠκοδόμησεν πολλά· καὶ πόλεις ᾠκοδόμησεν [4]ἐν ὄρει Ἰούδα καὶ ἐν
5 τοῖς δρυμοῖς καὶ οἰκήσεις καὶ πύργους. [5]αὐτὸς ἐμαχέσατο πρὸς
βασιλέα υἱῶν Ἀμμὼν καὶ κατίσχυσεν ἐπ᾽ αὐτόν· καὶ ἐδίδουν αὐτῷ
κατ᾽ ἐνιαυτὸν ἑκατὸν τάλαντα ἀργυρίου καὶ δέκα χιλιάδας κόρων
πυροῦ καὶ κριθῶν δέκα χιλιάδας· ταῦτα ἔφερεν αὐτῷ βασιλεὺς Ἀμμὼν
6 κατ᾽ ἐνιαυτὸν ἐν τῷ πρώτῳ ἔτει καὶ τῷ δευτέρῳ καὶ τῷ τρίτῳ. [6]καὶ
κατίσχυσεν Ἰωαθάμ, ὅτι ἡτοίμασεν τὰς ὁδοὺς αὐτοῦ ἔναντι Κυρίου
7 θεοῦ αὐτοῦ. [7]καὶ οἱ λοιποὶ λόγοι Ἰωαθὰμ καὶ ὁ πόλεμος καὶ αἱ
πράξεις αὐτοῦ, ἰδοὺ γεγραμμένοι ἐπὶ βιβλίῳ βασιλέων Ἰούδα καὶ
9 Ἰσραήλ. [9]καὶ ἐκοιμήθη Ἰωαθὰμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη
ἐν πόλει Δαυείδ· καὶ ἐβασίλευσεν Ἀχὰς υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

19 om *και* 4° A **21** *βασιλευς*] pr *ο* A | *ημερας*] pr *της* A | *απφουσωθ* A A | *απεχισθη* B*A* (*απεσχ.* BbA1) **22** *λογοι*] + *Οζιου του βασιλεως* (*του βασ.* Aa(mg)) A | om *Οζειου* A | *γεγραμμενοι*] *ιδου εισιν γεγρ.* (sup ras et in mg) Aa | *Ιεσσιου* A **23** *αυτου* 1°] *εαυτου* A | *της ταφης*] pr *μετα* A | *Ιωαθαμ*] *Ιωναθαν* A | *υιος*] pr *ο* A XXVII **1** *πεντε*] pr *και* A | *Ιερουσα* A | *Σαδωρ*] *Σαδωκ* A **2** *α*] *οσα* A | *Οζιας* A | *κατεφειρετο* A* (*κατεφθ.* Ab) **3** *την υψηλην*] pr *και* A | *αυτου*] *του* A | *Οφλα* A **5** *εδιδου* Bab | *αυτω*] + *οι υιοι Αμμων* A | *βασιλευς*] + *υιῶ* Aa1 (mg) vid | *τω δευτερω*] om *τω* A **6** *εναντι*] *εναντιον* A **7** *λοιποι λογοι Ιωαθαμ*] *λογοι Ιωαθαμ οι λοιποι* A | *βιβλιων* A | *Ισραηλ*] + (8) *και εικοσι και πεντε ετων*· | *ην βασιλευσας*· *και εξ και δεκα*· | *ετη εβασιλευσεν εν Ιλημ*| A **9** *αυτου* 1°] *εαυτου* A | *εταφη*] *τα* sup ras Aa | *Αχαζ* A

B [1]Εἴκοσι ἐτῶν Ἀχὰς ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ δέκα ἓξ ἔτη 1 XXVI
ἐβασίλευσεν ἐν Ἰερουσαλήμ· καὶ οὐκ ἐποίησεν τὸ εὐθὲς ἐνώπιον
Κυρίου ὡς Δανεὶδ ὁ πατὴρ αὐτοῦ. [2]καὶ ἐπορεύθη κατὰ τὰς ὁδοὺς 2
βασιλέως Ἰσραήλ· καὶ γὰρ γλυπτὰ ἐποίησεν ἐν τοῖς εἰδώλοις αὐτῶν·
[3]ἔθυεν ἐν Γαιβενθὸμ καὶ διῆγεν τὰ τέκνα αὐτοῦ διὰ πυρὸς καὶ τὰ βδε- 3
λύγματα τῶν ἐθνῶν ὧν ἐξωλέθρευσεν Κύριος ἀπὸ προσώπου υἱῶν
Ἰσραήλ. [4]καὶ ἐθυμία ἐπὶ τῶν ὑψηλῶν καὶ ἐπὶ τῶν δωμάτων καὶ 4
ὑποκάτω παντὸς ξύλου ἀλσώδους. [5]καὶ παρέδωκεν αὐτὸν Κύριος 5
ὁ θεὸς αὐτοῦ διὰ χειρὸς βασιλέων Συρίας, καὶ ἐπάταξεν ἐν αὐτῷ
καὶ ᾐχμαλώτευσαν ἐξ αὐτῶν αἰχμαλωσίαν πολλήν· καὶ γὰρ εἰς τὰς
χεῖρας βασιλέων Ἰσραὴλ παρέδωκεν αὐτόν, καὶ ἐπάταξεν ἑαυτῷ
πληγὴν μεγάλην. [6]καὶ ἀπέστειλεν Φάκεε ὁ τοῦ Ῥομελιὰ βασιλεὺς 6
Ἰσραὴλ ἐν Ἰούδᾳ ἐν μιᾷ ἡμέρᾳ ἑκατὸν εἴκοσι χιλιάδας ἀνδρῶν δυνατῶν
ἰσχύι, ἐν τῷ αὐτοὺς καταλιπεῖν τὸν κύριον θεὸν τῶν πατέρων αὐτῶν.
[7]καὶ ἀπέκτεινεν Ἐζεκρὶ ὁ δυνατὸς τοῦ Ἐφράιμ τὸν Μαασαίαν τὸν 7
υἱὸν τοῦ βασιλέως καὶ τὸν Ἐγδρεικὰν ἡγούμενον τοῦ οἴκου αὐτοῦ
καὶ τὸν Εἰλκανὰ τὸν διάδοχον τοῦ βασιλέως. [8]καὶ ᾐχμαλώτισαν 8
οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἀδελφῶν αὐτῶν τριακοσίας χιλιάδας, γυναῖκας
υἱοὺς θυγατέρας, καὶ σκῦλα πολλὰ ἐσκύλευσαν ἐξ αὐτῶν, καὶ ἤνεγκαν
τὰ σκῦλα εἰς Σαμάρειαν. [9]καὶ ἐκεῖ ἦν ὁ προφήτης τοῦ κυρίου, Ὠδὴδ 9
ὄνομα· καὶ ἐξῆλθεν εἰς ἀπάντησιν τῆς δυνάμεως τῶν ἐρχομένων εἰς
Σαμάρειαν καὶ εἶπεν αὐτοῖς Ἰδοὺ ὀργὴ Κυρίου θεοῦ τῶν πατέρων
ὑμῶν ἐπὶ τὸν Ἰουδά, καὶ παρέδωκεν αὐτοὺς εἰς τὰς χεῖρας ὑμῶν,
καὶ ἀπεκτείνατε ἐν αὐτοῖς ἐν ὀργῇ· ἕως τῶν οὐρανῶν ἔφθακεν.
[10]καὶ νῦν υἱοὺς Ἰούδα καὶ Ἰερουσαλὴμ λέγετε κατακτήσεσθαι εἰς 10
δούλους καὶ δούλας· οὐκ ἰδοὺ ὑμῖν μεθ' ὑμῶν μαρτυρῆσαι Κυρίῳ θεῷ
ἡμῶν; [11]καὶ νῦν ἀκούσατέ μου καὶ ἀποστρέψατε τὴν αἰχμαλωσίαν 11
ἣν ᾐχμαλωτεύσατε τῶν ἀδελφῶν ὑμῶν, ὅτι ὀργὴ Κυρίου ἐφ' ὑμῖν.

A XXVIII **1** εικοσι] pr υιος A | Αχαβ A | om ετη A **2** βασιλεως] των βασιλεω| A | εποιησεν· BA | εν] και A **3** om εν B (hab A) | Γαιβενθομ] Γηβεεννομ A | και 2°] κατα $B^{1\,?\,ab}$A | των εθνων] pr παντων A | ων] pr των απεριτμητων τουτων| και A | εξωλοθρ. $B^{?}$ | υιων] pr των A **4** αλσωδου A **5** βασιλεων] βασιλεως A (bis) | ηχμαλωτευσεν A | πολλην]+· και ηγα|γεν εις Δαμασκον A | om γαρ A | παρεδωκαν A | εαυτω] εν αυτω A **6** απεστειλεν] απεκτεινεν A | Ρομελιου A | αυτων] εαυτων A^{b} **7** Εζεχρι A | Μαασαιαν] Μασιαν A | Εγδρεικαν] Εζρι|καν A | Ελκανα A **8** ηχμαλωτευσαν A | θυγατερας] pr και A | Σαμαριαν A (item 9) **9** ονομα]+αυτω B^{ab}A | Ιουδαν A | εν 2° bis scr A | εως] pr και A **10** και 2°] εξ $B^{ab\,mg}$ | λεγετε] pr υμεις A | δουλους] δουλας B* (δουλους $B^{a\,mg\,b\,txt}$) | υμιν] ειμι B^{ab} (superscr) A | θεω] pr τω A | ημων] υμων A **11** om και 1° A | αιχμαλωτευσατε A | οργη]+θυμου A

12 [12]καὶ ἀνέστησαν ἄρχοντες ἀπὸ τῶν υἱῶν Ἐφράιμ, Οὐδειὰ ὁ τοῦ B
Ἰωανοὺ καὶ Ζαχαρίας ὁ τοῦ Μοσολαμὼθ καὶ Ἐζεκίας ὁ τοῦ Σελλὴμ
καὶ Ἀμασείας ὁ τοῦ Χοάδ, ἐπὶ τοὺς ἐρχομένους ἀπὸ τοῦ πολέμου·
13 [13]καὶ εἶπαν αὐτοῖς Οὐ μὴ εἰσαγάγητε τὴν αἰχμαλωσίαν ὧδε πρὸς
ἡμᾶς, ὅτι εἰς τὸ ἁμαρτάνειν τῷ κυρίῳ ἐφ' ἡμᾶς ὑμεῖς λέγετε, προσθεῖναι
ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐπὶ τὴν ἄγνοιαν, ὅτι πολλὴ ἡ ἁμαρτία
14 ἡμῶν καὶ ὀργὴ Κυρίου θεοῦ ἐπὶ τὸν Ἰσραήλ. [14]καὶ ἀφῆκαν οἱ
πολεμισταὶ τὴν αἰχμαλωσίαν καὶ τὰ σκῦλα ἐναντίον τῶν ἀρχόντων
15 καὶ πάσης τῆς ἐκκλησίας. [15]καὶ ἀνέστησαν ἄνδρες οἱ ἐπεκλήθησαν
ἐν ὀνόματι καὶ ἀντελάβοντο τῆς αἰχμαλωσίας, καὶ πάντας τοὺς
γυμνοὺς περιέβαλον ἀπὸ τῶν σκύλων, καὶ ἐνέδυσαν αὐτοὺς καὶ
ὑπέδησαν αὐτούς, καὶ ἔδωκαν καὶ φαγεῖν καὶ ἀλείψασθαι, καὶ ἀντε-
λάβοντο καὶ ἐν ὑποζυγίοις παντὸς ἀσθενοῦντος, καὶ κατέστησαν
αὐτοὺς εἰς Ἰερειχὼ πόλιν φοινίκων πρὸς τοὺς ἀδελφοὺς αὐτῶν, καὶ
16 ἐπέστρεψαν εἰς Σαμάρειαν. [16]Ἐν τῷ καιρῷ ἐκείνῳ ἀπέστειλεν
17 Ἀχὰς πρὸς βασιλέα Ἀσσοὺρ βοηθῆσαι αὐτῷ· [17]καὶ ἐν τούτῳ, ὅτι
Ἰδουμαῖοι ἐπέθεντο καὶ ἐπάταξαν ἐν Ἰούδᾳ καὶ ᾐχμαλώτισαν αἰχμα-
18 λωσίαν. [18]καὶ οἱ ἀλλόφυλοι ἐπέθεντο ἐπὶ τὰς πόλεις τῆς πεδινῆς
καὶ ἀπὸ λιβὸς τοῦ Ἰούδα, καὶ ἔλαβον τὴν Βαιθσάμυς, τὴν Αἰλὼ
καὶ τὴν Γαληρὼ καὶ τὴν Σωχὼ καὶ τὰς κώμας αὐτῆς καὶ τὴν
19 Γαλεζὼ καὶ τὰς κώμας αὐτῆς· καὶ κατῴκησαν ἐκεῖ. [19]ὅτι ἐταπεί-
νωσεν Κύριος τὸν Ἰούδαν δι' Ἀχὰζ βασιλέα Ἰούδα, ὅτι ἀπέστη
20 ἀποστάσει ἀπὸ Κυρίου. [20]καὶ ἦλθεν ἐπ' αὐτὸν Θαλγαφελλάδαρ
21 βασιλεὺς Ἀσσούρ· καὶ ἔθλιψαν αὐτόν. [21]καὶ ἔλαβεν Ἀχὰς τὰ
ἐν οἴκῳ Κυρίου καὶ τὰ ἐν οἴκῳ τοῦ βασιλέως καὶ τῶν ἀρχόντων
καὶ ἔδωκεν τῷ βασιλεῖ Ἀσσούρ· καὶ οὐκ εἰς βοήθειαν αὐτῶν,
22 [22]ἀλλ' ἢ τῷ θλιβῆναι αὐτόν. καὶ προσέθηκεν τοῦ ἀποστῆναι ἀπὸ
23 Κυρίου, καὶ εἶπεν ὁ βασιλεύς [23]Ἐκζητήσω τοὺς θεοὺς Δαμασκοῦ
τοὺς τύπτοντάς με· καὶ εἶπεν Θεοὶ βασιλέως Συρίας αὐτοὶ κατισχύ-

12 ανεστησαν] νε sup ras A^a | Ουδεια] Αζαριας A | Ιωανου] Ιωαναν A | A
Ζαχαριας] Βαραχιας A | Μοσολαμωθ] ο 1° improb A^b | Αμασιας A | Χοαδ] Αδδι A **13** προ|θειναι A | οργη]+θυμου A **15** περιεβαλλον A | om και 7° A | om και 10° A | Ιεριχω A | υπεστρεψαν A | Σαμαριαν A **16** Αχαζ A **17** ηχμαλωτευσα| A **18** πεδεινης B | Βαιθσαμυς]+εν οικω κυ και τα εν οικω του βασιλεως και των αρχοντων και εδωκεν τω βασιλει B (cf. 21 : om A) | την Αιλω] και την Αιλων A | Γαληρω] Γα|δηρωθ A | αυτης 1°]+και Θαμνα· και τας κω|μας αυτης· A | Γαλεζω] Γαμαιζαι A **19** δι] δια A | αποστασει] απεστασει A **20** Θαγλαθ'·φαλνα|σαρ'· A | εθλιψαν] εθαψαν B* επαταξεν $B^{ab\,mg}$A **21** Αχαζ A | αυτων] αυτω· A **23** ειπεν A] ειπαν B | θεοι] pr οτι A

Β σουσιν αὐτούς, αὐτοῖς τοίνυν θύσω καὶ ἀντιλήμψονταί μου· καὶ αὐτοὶ
ἐγένοντο αὐτῷ εἰς σκῶλον καὶ παντὶ Ἰσραήλ. 24καὶ ἀπέστησεν 24
Ἀχὰζ τὰ σκεύη οἴκου Κυρίου καὶ κατέκοψεν αὐτά, καὶ ἔκλεισεν τὰς
θύρας οἴκου Κυρίου, καὶ ἐποίησεν ἑαυτῷ θυσιαστήρια ἐν πάσῃ γωνίᾳ,
25καὶ ἐν πάσῃ πόλει καὶ πόλει ἐν Ἰούδᾳ ἐποίησεν ὑψηλὰ θυμιᾶν 25
θεοῖς ἀλλοτρίοις· καὶ παρώργισαν Κύριον τὸν θεὸν τῶν πατέρων
αὐτῶν. 26καὶ οἱ λοιποὶ λόγοι αὐτοῦ καὶ αἱ πράξεις αὐτοῦ αἱ πρῶται 26
καὶ αἱ ἔσχαται, ἰδοὺ γεγραμμέναι ἐπὶ βιβλίῳ βασιλέων Ἰούδα καὶ
Ἰσραήλ. 27καὶ ἐκοιμήθη Ἄχαζ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη 27
ἐν πόλει Δαυείδ, ὅτι οὐκ εἰσήνεγκαν αὐτὸν εἰς τοὺς τάφους τῶν
βασιλέων Ἰσραήλ· καὶ ἐβασίλευσεν Ἐζεκίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

1Καὶ Ἐζεκίας ἐβασίλευσεν εἴκοσι καὶ πέντε ἐτῶν, καὶ εἴκοσι 1 XXIX
καὶ ἐννέα ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ
Ἀββὰ θυγάτηρ Ζαχαριά. 2καὶ ἐποίησεν τὸ εὐθὲς ἐνώπιον Κυρίου 2
κατὰ πάντα ὅσα ἐποίησεν Δαυεὶδ ὁ πατὴρ αὐτοῦ. 3καὶ ἐγένετο ὡς 3
ἔστη ἐπὶ τῆς βασιλείας αὐτοῦ, ἐν τῷ πρώτῳ μηνὶ ἀνέῳξεν τὰς θύρας
οἴκου Κυρίου καὶ ἐπεσκεύασεν αὐτάς. 4καὶ εἰσήγαγεν τοὺς ἱερεῖς 4
καὶ τοὺς Λευείτας, καὶ κατέστησεν αὐτοὺς εἰς τὸ κλίτος τὸ πρὸς
ἀνατολάς, 5καὶ εἶπεν αὐτοῖς Ἀκούσατε οἱ Λευεῖται· νῦν ἁγνίσθητε, 5
καὶ ἁγνίσατε τὸν οἶκον Κυρίου θεοῦ τῶν πατέρων ὑμῶν, καὶ ἐκβάλετε
τὴν ἀκαθαρσίαν ἐκ τῶν ἁγίων. 6ὅτι ἀπέστησαν οἱ πατέρες ἡμῶν 6
καὶ ἐποίησαν τὸ πονηρὸν ἐναντίον Κυρίου καὶ ἐγκατέλιπαν αὐτόν,
καὶ ἀπέστρεψαν τὸ πρόσωπον ἀπὸ τῆς σκηνῆς Κυρίου καὶ ἔδωκαν
αὐχένα· 7καὶ ἀπέκλεισαν τὰς θύρας τοῦ ναοῦ, καὶ ἔσβεσαν τοὺς 7
λύχνους, καὶ θυμίαμα οὐκ ἐθυμίασαν, καὶ ὁλοκαυτώματα οὐ προσή-
νεγκαν ἐν τῷ ἁγίῳ θεῷ Ἰσραήλ. 8καὶ ὠργίσθη ὀργῇ Κύριος ἐπὶ 8
τὸν Ἰούδαν καὶ τὴν Ἰερουσαλήμ, καὶ ἔδωκεν αὐτοὺς εἰς ἔκστασιν
καὶ εἰς συρισμόν, ὡς ὑμεῖς ὁρᾶτε τοῖς ὀφθαλμοῖς ὑμῶν. 9καὶ ἰδοὺ 9
πεπλήγασιν οἱ πατέρες ὑμῶν μαχαίρᾳ, καὶ οἱ υἱοὶ ὑμῶν καὶ αἱ
θυγατέρες ὑμῶν καὶ αἱ γυναῖκες ὑμῶν ἐν αἰχμαλωσίᾳ ἐν γῇ οὐκ αὐτῶν,

A **23** om αυτους A | παντι] παντα A **24** εαυτω] αυτω A | γωνια]+εν
Ιλημ B^{ab} + Ιλημ A **25** Ιουδα· A | εποιησεν] εποιησαν A (αν sup ras
A^{a}) | θυμια $B^{b\,vid}$ | τον θεον] om τον A | αυτων] εαυτων A **27** αυτου 1°]
εαυτου A | Εζεκειας A XXIX **1** εικοσι 1°] pr ων A | om και 4° A |
Αββα] sign v l prae se fert $B^{?\,txt\,et\,mg}$ Αββαθυθ A | Ζαχαριου A (seq ras 1 lit
in $A^{?}$) **2**—**6** και εποιησεν...σκηνης Κυριου rescr accentus hic illic adpinx A^{b}
4 κλιτος] κ ras A^{b} **5** των πατερων] om των A^{b} (? A^{*}) **6** εγκατελιπαν]
inter λ et ι ras aliq (forte ε) $B^{?}$ εγκατελειπον $A^{*\,vid}$ (ενκ. A^{b}) | σκηνης] σκη
ras $A^{b\,vid}$ **7** om εν A **8** οργη] θυμω A | εκστασιν]+και εις αφανισμον·
A | συρι|γμον A **9** και 3°] κ sup ras A^{a} | ουκ A

10 ὃ καὶ νῦν ἐστιν. [10]ἐπὶ τούτοις νῦν ἐστιν ἐπὶ καρδίας διαθέσθαι Β
διαθήκην μου, διαθήκην Κυρίου θεοῦ Ἰσραήλ· καὶ ἀπέστρεψεν τὴν
11 ὀργὴν θυμοῦ αὐτοῦ ἀφ' ἡμῶν. [11]καὶ νῦν μὴ διαλίπητε, ὅτι ἐν ὑμῖν
ᾑρέτικεν στῆναι ἐναντίον αὐτοῦ λειτουργεῖν καὶ εἶναι αὐτῷ λειτουρ-
12 γοῦντας καὶ θυμιῶντας. [12]Καὶ ἀνέστησαν οἱ Λευεῖται, Μάαθ
ὁ τοῦ Μασὶ καὶ Ἰωὴλ ὁ τοῦ Ζαχαρίου ἐκ τῶν υἱῶν Καάθ, καὶ ἐκ τῶν
υἱῶν Μεραρὶ Κεὶς ὁ τοῦ Ἀββδὶ καὶ Ζαχαρίας ὁ τοῦ Ἑλλή, καὶ ἀπὸ
τῶν υἱῶν Γεδσωνὶ ἀπὸ τοῦ Ζεμμὰθ καὶ Ἰῶδαν, οὗτοι υἱοὶ Ἰωαχά,
13 [13]καὶ τῶν υἱῶν Ἐλεισαφὰν καὶ Ζαμβρὶ καὶ Ειὴλ, καὶ τῶν υἱῶν
14 Ἀσὰ Ἀζαρίας καὶ Μαθθανίας, [14]καὶ τῶν υἱῶν ὧν Αἰμὰν Ἰειὴλ καὶ
15 Σεμεεί, καὶ τῶν υἱῶν Ἐδειθὼμ Σαμαίας καὶ Ὀζειήλ· [15]καὶ συνήγαγεν
τοὺς ἀδελφοὺς αὐτῶν, καὶ ἡγνίσθησαν κατὰ τὴν ἐντολὴν τοῦ βασιλέως
16 διὰ προστάγματος Κυρίου. [16]καὶ εἰσῆλθον οἱ ἱερεῖς ἕως εἰς τὸν οἶκον
Κυρίου ἁγνίσαι, καὶ ἐξέβαλον πᾶσαν τὴν ἀκαθαρσίαν τὴν εὑρεθεῖσαν
ἐν τῷ οἴκῳ Κυρίου καὶ εἰς τὴν αὐλὴν οἴκου Κυρίου· καὶ ἐδέξαντο οἱ
17 Λευεῖται ἐκβαλεῖν εἰς τὸν χειμάρρουν Κεδρὼν ἔξω. [17]καὶ ἤρξαντο
τῇ ἡμέρᾳ τῇ τρίτῃ νουμηνίᾳ τοῦ μηνὸς τοῦ πρώτου ἁγνίσαι, καὶ τῇ
ἡμέρᾳ τῇ ὀγδόῃ τοῦ μηνὸς εἰσῆλθαν εἰς τὸν ναὸν Κυρίου, καὶ ἥγνισαν
τὸν οἶκον Κυρίου ἐν ἡμέραις ὀκτώ, καὶ τῇ ἡμέρᾳ τῇ τρισκαιδεκάτῃ
18 συνετέλεσαν τοῦ μηνὸς τοῦ πρώτου. [18]καὶ εἰσῆλθαν ἔσω πρὸς
Ἐζεκίαν τὸν βασιλέα καὶ εἶπαν Ἡγνίσαμεν πάντα τὰ ἐν οἴκῳ Κυρίου,
τὸ θυσιαστήριον τῆς ὁλοκαυτώσεως καὶ τὰ σκεύη αὐτοῦ, καὶ τὴν
19 τράπεζαν τῆς προθέσεως καὶ τὰ σκεύη αὐτῆς, [19]καὶ πάντα τὰ σκεύη
ἃ ἐμίανεν Ἄχας ὁ βασιλεὺς ἐν τῇ βασιλείᾳ αὐτοῦ ἐν τῇ ἀποστασίᾳ
αὐτοῦ ἡτοιμάκαμεν καὶ ἡγνίκαμεν· ἰδοὺ ἐστιν ἐναντίον τοῦ θυσια-
20 στηρίου Κυρίου. [20]Καὶ ὤρθρισεν Ἐζεκίας ὁ βασιλεὺς καὶ
συνήγαγεν τοὺς ἄρχοντας τῆς πόλεως, καὶ ἀνέβη εἰς οἶκον Κυρίου.
21 [21]καὶ ἀνήνεγκεν μόσχους ἑπτά, κριοὺς ἑπτά, ἀμνοὺς ἑπτά, χιμάρους

10 post διαθεσθαι ras pl litt A (forte bis scr διαθ. A*) | om διαθηκην A μου A | αποστρεψει A | θυμου] του θῡμου (sic) A **11** διαλειπητε A | ηρετικεν]+κ̄ς̄ A **12** Μαεθ A | Μεραρι A | Αβδι A | Ελλη] Ιαλληλ A | Γεδσωνει απο] Γεδσων· Ιωα·| ο A | ουτοι υιοι] ο του A **13** Ελισαφᾶ| A | om και 2° A | Ζαμβρει] Σαμβρι A | Ειηλ] Ιειηλ A | Ασα] Ασαφ A | Αζαριας] Ζαχαριας A | Μαθθανιας] Ματθανιας B^{ab}A **14** om ων A | Σεμει A | Ιδιθουν A | Σαμει|ας A | Οζιηλ A **15** συνηγαγον B^{ab}A | Κυριου]+καθαρισαι τον οικον κ̄ῡ A **16** εις 1°] ι sup ras A^{b} | εξεβαλαν A **17** τριτη] πρωτη B^{ab}A | εισηλθεν A | Κυριου 1°] pr του A | τρισκαιδεκατη] εκκαιδ. A | του μηνος του πρω|του συνετελεσαν· A **18** εισηλθον A | ηγνισᾶ|μεν A **19** εμιανεν B^{b} (εμει. B*)] εμινεν A* (α superscr A^{1}) | Αχαζ A | αυτου 2°] εαυτου A

Β αἰγῶν ἑπτὰ περὶ ἁμαρτίας, περὶ τῆς βασιλείας καὶ περὶ τῶν ἁγίων καὶ περὶ Ἰσραήλ· καὶ εἶπεν τοῖς υἱοῖς Ἀαρὼν τοῖς ἱερεῦσιν ἀναβαίνειν ἐπὶ τὸ θυσιαστήριον Κυρίου. 22 καὶ ἔθυσαν τοὺς μόσχους, καὶ ἐδέξαντο 22
οἱ ἱερεῖς τὸ αἷμα καὶ προσέχεον ἐπὶ τὸ θυσιαστήριον· καὶ ἔθυσαν
τοὺς κριούς, καὶ προσέχεον τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον. 23 καὶ 23
προσήγαγον τοὺς χιμάρους τοὺς περὶ ἁμαρτίας ἐναντίον τοῦ βασιλέως
καὶ τῆς ἐκκλησίας, καὶ ἐπέθηκαν τὰς χεῖρας αὐτῶν ἐπ᾽ αὐτούς.
24 καὶ ἔθυσαν αὐτοὺς οἱ ἱερεῖς, καὶ ἐξιλάσαντο τὸ αἷμα αὐτῶν πρὸς 24
τὸ θυσιαστήριον, καὶ ἐξιλάσαντο περὶ παντὸς Ἰσραήλ· ὅτι Περὶ
παντὸς Ἰσραήλ, εἶπεν ὁ βασιλεύς, ἡ ὁλοκαύτωσις καὶ τὰ περὶ ἁμαρτίας.
25 καὶ ἔστησεν τοὺς Λευείτας ἐν οἴκῳ Κυρίου ἐν κυμβάλοις καὶ ἐν 25
νάβλαις καὶ ἐν κινύραις κατὰ τὴν ἐντολὴν Δανεὶδ τοῦ βασιλέως καὶ
Γὰδ τοῦ προφήτου καὶ Ναθὰν τοῦ προφήτου, ὅτι δι᾽ ἐντολῆς Κυρίου
τὸ πρόσταγμα ἐν χειρὶ τῶν προφητῶν· 26 καὶ ἔστησαν οἱ Λευεῖται ἐν 26
ὀργάνοις Δανεὶδ καὶ οἱ ἱερεῖς ταῖς σάλπιγξιν. 27 καὶ εἶπεν Ἐζεκίας 27
ἀνενέγκαι τὴν ὁλοκαύτωσιν ἐπὶ τὸ θυσιαστήριον· καὶ ἐν τῷ ἄρξασθαι
ἀναφέρειν τὴν ὁλοκαύτωσιν ἤρξαντο ᾄδειν Κυρίῳ, καὶ σάλπιγγες
πρὸς τὰ ὄργανα Δανεὶδ βασιλέως. 28 καὶ πᾶσα ἐκκλησία προσεκύνει, 28
καὶ οἱ ψαλτῳδοὶ ᾄδοντες καὶ σάλπιγγες σαλπίζουσαι ἕως οὗ συνε-
τελέσθη ἡ ὁλοκαύτωσις. 29 καὶ ὡς συνετέλεσαν ἀναφέροντες, ἔκαμψεν 29
ὁ βασιλεὺς καὶ πάντες οἱ εὑρεθέντες καὶ προσεκύνησαν. 30 καὶ εἶπεν 30
Ἐζεκίας ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες τοῖς Λευείταις ὑμνεῖν τὸν κύριον
ἐν λόγοις Δανεὶδ καὶ Ἀσὰφ τοῦ προφήτου· καὶ ὕμνουν ἐν εὐφροσύνῃ,
καὶ ἔπεσον καὶ προσεκύνησαν. 31 καὶ ἀπεκρίθη Ἐζεκίας καὶ εἶπεν 31
Νῦν ἐπληρώσατε τὰς χεῖρας ὑμῶν Κυρίῳ, προσαγάγετε καὶ φέρετε
θυσίας καὶ αἰνέσεως εἰς οἶκον Κυρίου· καὶ ἀνήνεγκεν ἡ ἐκκλησία
θυσίας καὶ αἰνέσεως εἰς οἶκον Κυρίου, καὶ πᾶς πρόθυμος τῇ καρδίᾳ
ὁλοκαυτώσεις. 32 καὶ ἐγένετο ὁ ἀριθμὸς τῆς ὁλοκαυτώσεως ἧς ἀνή- 32
νεγκεν ἡ ἐκκλησία, μόσχοι ἑβδομήκοντα, κριοὶ ἑκατόν, ἀμνοὶ διακόσιοι·

A **22** προσεχεαν (2°) $B^{ab}A$ | θυσιαστηριον 2°]+και εθυσαν τους αμνους· | και περιεχεον το αιμα του θυσι|αστηριου A **23** τους χιμ. B^{ab}] τας χ. B^{*} | αυτων] εαυτων A **24** εξιλασαντο 2°] ασαν sup ras A^{a} | οτι περι παντος... και τα sup ras A^{a} **25** προφητου 1°] ορωντος τω βασιλει· A | προφητων] προφη sup ras B^{ab} **27** Εζεκειας A | ανενεγκε A | Κυριω] pr τω A | σαλπιγγες] pr αι A | οργα B^{*} (να superscr B^{ab}) | βασιλεως]+Ισλ A **28** και οι ψαλτ.] om και οι A | αιδοντες B^{*} (αδ. $B^{b}A$) | σαλπιγγες] pr αι A | συνετελεσεν $A^{*\,vid}$ (συνετελεσθη $A^{?}$) **29** εκαμψεν] pr και A | προσκυνησαν A **30** ο βασ. Εζεκιας A | οι αρχ.] pr παντες A | υμνειν] υμειν A | επεσαν A **31** om και ανηνεγκεν...Κυριου A

33 εἰς ὁλοκαύτωσιν Κυρίῳ πάντα ταῦτα. 33καὶ οἱ ἡγιασμένοι μόσχοι ἑξα- B
34 κόσιοι, πρόβατα τρισχίλια πεντακόσια. 34ἀλλ' ἢ οἱ ἱερεῖς ὀλίγοι ἦσαν
καὶ οὐκ ἐδύναντο ἐκδεῖραι τὴν ὁλοκαύτωσιν, καὶ ἀντελάβοντο αὐτῶν οἱ
ἀδελφοὶ αὐτῶν οἱ Λευεῖται ἕως οὗ συνετελέσθη τὸ ἔργον, καὶ ἕως
οὗ ἡγνίσθησαν οἱ ἱερεῖς, ὅτι οἱ Λευεῖται προθύμως ἥγνισαν παρὰ
35 τοὺς ἱερεῖς. 35καὶ ἡ ὁλοκαύτωσις πολλὴ ἐν τοῖς στέασιν τῆς τελειώ-
σεως τοῦ σωτηρίου καὶ τῶν σπονδῶν τῆς ὁλοκαυτώσεως· καὶ
36 κατορθώθη τὸ ἔργον ἐν οἴκῳ Κυρίου. 36καὶ ηὐφράνθη Ἐζεκίας καὶ
πᾶς ὁ λαὸς διὰ τὸ ἡτοιμακέναι τὸν θεὸν τῷ λαῷ, ὅτι ἐξάπινα ἐγένετο
XXX 1 ὁ λόγος. 1Καὶ ἀπέστειλεν Ἐζεκίας ἐπὶ πάντα Ἰσραὴλ καὶ
Ἰούδαν, καὶ ἐπιστολὰς ἔγραψεν ἐπὶ τὸν Ἐφράιμ καὶ Μανασσὴ ἐλθεῖν
εἰς οἶκον Κυρίου εἰς Ἰερουσαλὴμ ποιῆσαι τὸ φάσεκ τῷ κυρίῳ θεῷ
2 Ἰσραήλ. 2καὶ ἐβουλεύσατο ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες καὶ πᾶσα
ἡ ἐκκλησία ἡ ἐν Ἰερουσαλὴμ ποιῆσαι τὸ φάσεκ τῷ μηνὶ τῷ δευτέρῳ.
3 3οὐ γὰρ ἠδυνάσθησαν αὐτὸ ποιῆσαι ἐν τῷ καιρῷ ἐκείνῳ, ὅτι οἱ ἱερεῖς
οὐχ ἡγνίσθησαν ἱκανοί, καὶ ὁ λαὸς οὐ συνήχθη εἰς Ἰερουσαλήμ.
4 4καὶ ἤρεσεν ὁ λόγος ἐναντίον τοῦ βασιλέως καὶ ἐναντίον τῆς ἐκ-
5 κλησίας. 5καὶ ἔστησαν λόγον διελθεῖν κήρυγμα ἐν παντὶ Ἰσραὴλ
ἀπὸ Βηρσάβεε ἕως Δὰν ἐλθόντες ποιῆσαι τὸ φάσεκ Κυρίῳ θεῷ
Ἰσραὴλ ἐν Ἰερουσαλήμ, ὅτι πλῆθος οὐκ ἐποίησεν κατὰ τὴν γραφήν.
6 6καὶ ἐπορεύθησαν οἱ τρέχοντες σὺν ταῖς ἐπιστολαῖς παρὰ τοῦ βασι-
λέως καὶ τῶν ἀρχόντων εἰς πάντα Ἰσραὴλ καὶ Ἰουδὰ κατὰ τὸ πρόσ-
ταγμα τοῦ βασιλέως λέγοντες Οἱ υἱοὶ Ἰσραήλ, ἐπιστρέψατε πρὸς
θεὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰσραήλ, καὶ ἐπιστρέψατε τοὺς ἀνα-
σεσωσμένους τοὺς καταλειφθέντας ἀπὸ χειρὸς βασιλέως Ἀσσούρ.
7 7καὶ μὴ γίνεσθε καθὼς οἱ πατέρες ὑμῶν καὶ οἱ ἀδελφοὶ ὑμῶν οἳ
ἀπέστησαν ἀπὸ Κυρίου θεοῦ πατέρων αὐτῶν, καὶ παρέδωκεν αὐτοὺς
8 εἰς ἐρήμωσιν καθὼς ὑμεῖς ὁρᾶτε. 8καὶ νῦν μὴ σκληρύνητε τὰς καρ-
δίας ὑμῶν· δότε δόξαν Κυρίῳ τῷ θεῷ, καὶ εἰσέλθατε εἰς τὸ ἁγίασμα
αὐτοῦ ὃ ἡγίασεν εἰς τὸν αἰῶνα, καὶ δουλεύσατε τῷ κυρίῳ θεῷ ὑμῶν,
9 καὶ ἀποστρέψει ἀφ' ὑμῶν θυμὸν ὀργῆς. 9ὅτι ἐν τῷ ἐπιστρέφειν
ὑμᾶς πρὸς Κύριον οἱ ἀδελφοὶ ὑμῶν καὶ τὰ τέκνα ὑμῶν ἔσονται ἐν

33 om πεντακοσια B^{ab} 34 ηδυναντο A | εκδειραι] δειραι A | προθ. ηγνι- A
σαν] ηγνισθησαν προθυμως A 35 κατορτωθη B* κατωρθωθη B^{ab}A
XXX 2 εβουλευσατο] post εβου ras 10 vel 11 litt A^2 3 εδυνασθησαν A |
ποιησαι αυτο A 5 ελθοντας A | θεω] θω (sic) A 6 Ιουδαν A | τα
προσ|ταγμα A | οι υιοι] om οι A | Ισραηλ 3°] Ιακωβ A | επιστρεψατε 2°]
επιστρεψει A | καταλιφθεντας A 7 γινεσθαι A 8 τας καρδιας] τους
τραχηλους A

Β οἰκτειρμοῖς ἀντὶ πάντων αἰχμαλωτισάντων αὐτούς, καὶ ἀποστρέψει εἰς
τὴν γῆν ταύτην· ὅτι ἐλεήμων καὶ οἰκτείρμων Κύριος ὁ θεὸς ἡμῶν,
καὶ οὐκ ἀποστρέψει τὸ πρόσωπον αὐτοῦ ἀφ' ὑμῶν, ἐὰν ἐπιστρέψω-
μεν πρὸς αὐτόν. 10καὶ ἦσαν οἱ τρέχοντες διαπορευόμενοι πόλιν ἐκ 10
πόλεως ἐν τῷ ὄρει Ἐφράιμ καὶ Μανασσὴ καὶ ἕως Ζαβουλών· καὶ
ἐγένοντο ὡς καταγελῶντες αὐτῶν καὶ καταμωκώμενοι. 11ἀλλὰ ἄν- 11
θρωποι Ἀσὴρ καὶ ἀπὸ Μανασσὴ καὶ ἀπὸ Ζαβουλὼν ἐτράπησαν,
καὶ ἦλθον εἰς Ἰερουσαλὴμ καὶ ἐν Ἰούδᾳ. 12καὶ ἐγένετο χεὶρ Κυρίου 12
δοῦναι αὐτοῖς καρδίαν μίαν ἐλθεῖν τοῦ ποιῆσαι κατὰ τὰ προστάγματα
τοῦ βασιλέως καὶ τῶν ἀρχόντων ἐν λόγῳ Κυρίου. 13καὶ συνήχθησαν 13
εἰς Ἰερουσαλὴμ λαὸς πολὺς τοῦ ποιῆσαι τὴν ἑορτὴν τῶν ἀζύμων ἐν
τῷ μηνὶ τῷ δευτέρῳ, ἐκκλησία πολλὴ σφόδρα. 14καὶ ἀνέστησαν καὶ 14
καθεῖλαν τὰ θυσιαστήρια τὰ ἐν Ἰερουσαλήμ, καὶ πάντα ἐν οἷς ἐθυ-
μιῶσαν τοῖς ψευδέσιν κατέσπασαν καὶ ἔρριψαν εἰς τὸν χειμάρρουν
Κεδρών. 15καὶ ἔθυσαν τὸ φάσεκ τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς 15
τοῦ δευτέρου· καὶ οἱ ἱερεῖς καὶ οἱ Λευεῖται ἐνετράπησαν καὶ ἡγνισαν,
καὶ εἰσήνεγκαν ὁλοκαυτώματα ἐν οἴκῳ Κυρίου. 16καὶ ἔστησαν ἐπὶ 16
τὴν στάσιν αὐτῶν κατὰ τὸ κρίμα αὐτῶν κατὰ τὴν ἐντολὴν Μωυσῆ
ἀνθρώπου τοῦ θεοῦ, καὶ οἱ ἱερεῖς ἐδέχοντο τὰ αἵματα ἐκ χειρὸς τῶν
Λευειτῶν. 17ὅτι πλῆθος τῆς ἐκκλησίας οὐχ ἡγνίσθη, καὶ οἱ Λευεῖται 17
ἦσαν τοῦ θύειν τὸ φάσεκ παντὶ τῷ μὴ δυναμένῳ ἁγνισθῆναι τῷ
κυρίῳ. 18ὅτι πλεῖστον τοῦ λαοῦ ἀπὸ Ἐφράιμ καὶ Μανασσὴ καὶ 18
Ἰσσαχάρ, Ζαβουλών, οὐχ ἡγνισαν, ἀλλὰ ἔφαγον τὸ φάσεκ παρὰ
τὴν γραφήν τοῦτο. καὶ προσηύξατο Ἐζεκίας περὶ αὐτῶν λέγων
Κύριος ἀγαθὸς ἐξιλάσθω 19ὑπὲρ πάσης καρδίας κατευθυνούσης ἐκ- 19
ζητησούσης Κύριον τὸν θεὸν τῶν πατέρων αὐτῶν, καὶ οὐ κατὰ τὴν
ἁγνείαν τῶν ἁγίων. 20καὶ ἐπήκουσεν Κύριος τῷ Ἐζεκίᾳ, καὶ ἰάσατο 20
τὸν λαόν. 21καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ οἱ εὑρεθέντες ἐν Ἰερου- 21
σαλὴμ τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας ἐν εὐφροσύνῃ μεγάλῃ
καὶ καθυμνοῦντες τῷ κυρίῳ ἡμέραν καθ' ἡμέραν, καὶ οἱ ἱερεῖς καὶ οἱ
Λευεῖται ἐν ὀργάνοις τῷ κυρίῳ. 22καὶ ἐλάλησεν Ἐζεκίας ἐπὶ πᾶσαν 22

A **9** οικτιρμοις B^b | αντι] εναντι A | αποστρεψει 1°] επιστρεψει A | οικτιρμων B^b | υμων 3°] ημων A **10** οι τρεχ. ησαν A **11** ενετραπησαν A | om εν A **12** τα προσταγματα] το προσταγμα A **13** πολυς| λαος A **14** εθυμιωσαν] εθυμιωσιν B^* εθυμιων B^{ab}A **15** τεσσαρισκαιδ. $B^*{}^b$A (τεσσαρεσκαιδ. B^{ab}) | ηγνισαν] ηγνισθησαν B^{ab} (σθη in mg) A **16** αυτων] εαυτων A (bis) **18** πλειστον] το πλειστον (τ 2° sup ras 2 forte litt) A | Ζαβουλων] pr και A | ηγνισαν] ηγνισθησαν A | om τουτο A | αγαθος] pr ο A **19** εκζητησουσης] εκζητησαι A | αυτων] εαυτου A | αγνιαν A

καρδίαν τῶν Λευειτῶν καὶ τῶν συνιόντων σύνεσιν ἀγαθὴν τῷ κυρίῳ· Β
καὶ συνετέλεσαν τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας, θύοντες θυσίας
σωτηρίου καὶ ἐξομολογούμενοι τῷ κυρίῳ θεῷ τῶν πατέρων αὐτῶν.
23 [23]καὶ ἐβουλεύσατο ἡ ἐκκλησία ἅμα ποιῆσαι ἑπτὰ ἡμέρας ἄλλας· καὶ
24 ἐποίησαν ἑπτὰ ἡμέρας ἐν εὐφροσύνῃ. [24]ὅτι Ἐζεκίας ἀπήρξατο τῷ
Ἰούδᾳ τῇ ἐκκλησίᾳ μόσχους χιλίους καὶ ἑπτακισχίλια πρόβατα· καὶ
οἱ ἄρχοντες ἀπήρξαντο τῷ λαῷ μόσχους χιλίους καὶ πρόβατα δέκα
25 χιλιάδας, καὶ τὰ ἅγια τῶν ἱερέων εἰς πλῆθος. [25]καὶ ηὐφράνθη πᾶσα
ἡ ἐκκλησία, οἱ ἱερεῖς καὶ οἱ Λευεῖται, καὶ πᾶσα ἡ ἐκκλησία Ἰούδα,
καὶ οἱ εὑρεθέντες ἐξ Ἰσραήλ, καὶ οἱ προσήλυτοι οἱ εἰσελθόντες ἀπὸ
26 γῆς Ἰσραὴλ καὶ οἱ κατοικοῦντες ἀπὸ Ἰούδα. [26]καὶ ἐγένετο εὐφρο-
σύνη μεγάλη ἐν Ἰερουσαλήμ· ἀπὸ ἡμερῶν Σαλωμὼν υἱοῦ Δαυεὶδ
27 βασιλέως Ἰσραὴλ οὐκ ἐγένετο τοιαύτη ἑορτὴ ἐν Ἰερουσαλήμ. [27]καὶ
ἀνέστησαν οἱ ἱερεῖς οἱ Λευεῖται καὶ ηὐλόγησαν τὸν λαόν· καὶ ἐπη-
κούσθη ἡ φωνὴ αὐτῶν, καὶ ἦλθεν ἡ προσευχὴ αὐτῶν εἰς τὸ κατοι-
XXXI 1 κητήριον τὸ ἅγιον αὐτοῦ, εἰς τὸν οὐρανόν. [1]Καὶ ὡς συνετελέσθη
πάντα ταῦτα, ἐξῆλθεν πᾶς Ἰσραὴλ οἱ εὑρεθέντες ἐν πόλεσιν Ἰούδα,
καὶ συνέτριψαν τὰς στήλας καὶ ἔκοψαν τὰ ἄλση καὶ κατέσπασαν τὰ
ὑψηλὰ καὶ τοὺς βωμοὺς ἀπὸ πάσης γῆς Ἰουδαίας καὶ Βενιαμὶν καὶ
Ἐφράιμ καὶ ἀπὸ Μανασσὴ ἕως εἰς τέλος· καὶ ἐπέστρεψαν πᾶς
Ἰσραὴλ ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ καὶ εἰς τὰς πόλεις
2 αὐτῶν. [2]καὶ ἔταξεν Ἐζεκίας τὰς ἐφημερίας τῶν ἱερέων καὶ τῶν
Λευειτῶν, καὶ τὰς ἐφημερίας ἑκάστου κατὰ τὴν ἑαυτοῦ λειτουργίαν,
τοῖς ἱερεῦσιν καὶ τοῖς Λευείταις, εἰς τὴν ὁλοκαύτωσιν καὶ εἰς τὴν
θυσίαν τοῦ σωτηρίου καὶ αἰνεῖν καὶ ἐξομολογεῖσθαι καὶ λειτουργεῖν
3 ἐν ταῖς πύλαις ἐν ταῖς αὐλαῖς οἴκου Κυρίου. [3]καὶ μερὶς τοῦ βασι-
λέως ἐκ τῶν ὑπαρχόντων αὐτοῦ εἰς τὰς ὁλοκαυτώσεις τὴν πρωινὴν
καὶ τὴν δειλινήν, καὶ ὁλοκαυτώσεις εἰς σάββατα καὶ εἰς τὰς νουμη-
4 νίας καὶ εἰς τὰς ἑορτὰς τὰς γεγραμμένας ἐν τῷ νόμῳ Κυρίου. [4]καὶ
εἶπαν τῷ λαῷ τοῖς κατοικοῦσιν ἐν Ἰερουσαλὴμ δοῦναι τὴν μερίδα
τῶν ἱερέων καὶ τῶν Λευειτῶν, ὅπως κατισχύσουσιν ἐν τῇ λειτουργίᾳ
5 οἴκου Κυρίου. [5]καὶ ὡς προσέταξεν τὸν λόγον, ἐπλεύνασεν Ἰσραὴλ

22 τω κυριω (2°)] om τω A **23** εποιησα $B^{b\,vid}$ | ευφροσυνη] seq ras 1 lit A (forte ν) in A **24** οι| οι αρχ. B* (om οι 1° B^{b}) **25** απο 2°] εν A **26** ημερων Σαλωμων] των ημ. του Σαλ. A **27** οι Λ.] pr και A XXXI **1** εκοψαν] εξεκοψαν A | om γης A | Εφραιμ] pr εξ A | επεστρεψεν A | αυτου] εαυτου A | αυτων] εαυτων A **2** om εν ταις πυλαις A **3** ολοκαυτωσις A (bis) | τωσις την πρωινη| κ την δειλινην ολοκαυ $A^{a(mg)}$ (sic) **4** ειπαν] ειπεν A **5** επλεονασαν A | Ισραηλ 1°] pr οι υιοι A

Β ἀπαρχὴν σίτου καὶ οἴνου καὶ ἐλαίου καὶ μέλιτος καὶ πᾶν γένημα ἀγροῦ· καὶ ἐπιδέκατα πάντα εἰς πλῆθος ἤνεγκαν οἱ υἱοὶ Ἰσραὴλ καὶ Ἰούδα. 6 καὶ οἱ κατοικοῦντες ἐν ταῖς πόλεσιν Ἰούδα καὶ αὐτοὶ 6
ἤνεγκαν ἐπιδέκατα μόσχων καὶ προβάτων καὶ ἐπιδέκατα αἰγῶν, καὶ
ἡγίασαν τῷ κυρίῳ θεῷ αὐτῶν, καὶ εἰσήνεγκαν καὶ ἔθηκαν σωρούς.
7 ἐν τῷ μηνὶ τῷ τρίτῳ ἤρξαντο οἱ θεμέλιοι σωροὶ θεμελιοῦσθαι, καὶ 7
ἐν τῷ ἑβδόμῳ μηνὶ συνετελέσθησαν. 8 καὶ ἦλθεν Ἐζεκίας καὶ οἱ 8
ἄρχοντες καὶ εἶδον τοὺς σωρούς, καὶ ηὐλόγησαν τὸν κύριον καὶ τὸν
λαὸν αὐτοῦ Ἰσραήλ· 9 καὶ ἐπυνθάνετο Ἐζεκίας τῶν ἱερέων καὶ τῶν 9
Λευειτῶν ὑπὲρ τῶν σωρῶν. 10 καὶ εἶπεν Ἀζαρίας ὁ ἱερεὺς ὁ ἄρχων 10
εἰς οἶκον Σαδώκ, καὶ εἶπεν Ἐξ οὗ ἤρκται φέρεσθαι ἡ ἀπαρχὴ εἰς
οἶκον Κυρίου, ἐφάγομεν καὶ ἐπίομεν καὶ κατελίπομεν· ὅτι Κύριος
ηὐλόγησεν τὸν λαὸν αὐτοῦ, καὶ κατελίπομεν ἐπὶ τὸ πλῆθος τοῦτο.
11 καὶ εἶπεν Ἐζεκίας ἑτοιμάσαι παστοφόρια εἰς οἶκον Κυρίου· καὶ 11
ἡτοίμασαν. 12 καὶ ἤνεγκαν ἐκεῖ τὰς ἀπαρχὰς καὶ τὰ ἐπιδέκατα ἐν 12
πίστει, καὶ ἐπ᾽ αὐτῶν ἐπιστάτης Χωνενίας ὁ Λευείτης, καὶ Σεμεεὶ ὁ
ἀδελφὸς αὐτοῦ διαδεχόμενος, 13 καὶ Εἰὴλ καὶ Ὀζείας καὶ Μάεθ καὶ 13
Ἀσαὴλ καὶ Ἰερειμὼθ καὶ Ἐζαβὰθ καὶ Ἰεειὴλ καὶ Σαμαχειὰ καὶ
Θάναι, Βαναίας καὶ οἱ υἱοὶ αὐτοῦ, καθεσταμένοι διὰ Χωνενίου καὶ
Σεμεεὶ τοῦ ἀδελφοῦ αὐτοῦ, καθὼς προσέταξεν ὁ βασιλεὺς Ἐζεκίας
καὶ Ἀζαρίας ὁ ἡγούμενος οἴκου Κυρίου. 14 καὶ Κωρὴ ὁ τοῦ Λίμὰν ὁ 14
Λευείτης ὁ πυλωρὸς κατὰ ἀνατολὰς ἐπὶ τῶν δομάτων δοῦναι τὰς
ἀπαρχὰς Κυρίῳ καὶ τὰ ἅγια τῶν ἁγίων. 15 διὰ χειρὸς Ὄδομ καὶ 15
Βενιαμεὶν καὶ Ἰησοῦς καὶ Σεμεεὶ καὶ Μαρίας καὶ Σεχονίας, διὰ χειρὸς
τῶν ἱερέων ἐν πίστει δοῦναι τοῖς ἀδελφοῖς αὐτῶν κατὰ τὰς ἐφημε-
ρίας, κατὰ τὸν μέγαν καὶ τὸν μικρόν, 16 ἕκαστος τῆς ἐπιγονῆς τῶν 16
ἀρσενικῶν ἀπὸ τριετοῦς καὶ ἐπάνω, παντὶ τῷ εἰσπορευομένῳ εἰς
οἶκον Κυρίου, εἰς λόγον ἡμερῶν εἰς ἡμέρας, λειτουργίαν ἐφημερίαις
διατάξεως αὐτῶν. 17 οὗτος ὁ καταλογισμὸς τῶν ἱερέων κατ᾽ οἴκους 17
πατριῶν, καὶ οἱ Λευεῖται ἐν ταῖς ἐφημερίαις αὐτῶν ἀπὸ εἰκοσαετοῦς

A **5** ηνεγκαν εις| πληθος A **6** αυτων] εαυτων A | σωρους]+· σωρους·| A **7** om θεμελιοι A **8** ειδον] ειδοντες A **10** ειπεν 1°]+προς αυτον A | om και ειπεν 2° A | η απαρχη φερεσθαι A | κατελειπομεν A (bis) | ευλογησεν A | αυτου] εαυτου A | επι] ετι A **11** Εζεκιας]+ετι A **12** ηνεγκαν] εισηνεγκαν A | Χωχενιας A | Σεμει A (item 13, 15) **13** Ειηλ] Ιειηλ A | Οζειας] Οζαζας A | Μαεθ] Ναεθ A | Ιεριμωθ A | Εζαβαθ] Ιωζαβαθ A | Ιεειηλ] Ιειηλ A | Σαμαχια A | Θαναι] Μα|αθ A | Βαναιας] pr και A | Χωχενιου A **14** Λιμαν] Ιεμνα A | κατα] κατ A | δωματων A **15** Ιησου A | τον μικρον] pr κατα A **16** εκαστος] εκτος A | ημερας] ημεραν A | λειτουργιαν] pr εις A

18 καὶ ἐπάνω ἐν διατάξει, [18]ἐνκαταλοχίσαι ἐν πάσῃ ἐπιγονῇ υἱῶν αὐτῶν B
καὶ θυγατέρων αὐτῶν εἰς πᾶν τὸ πλῆθος, ὅτι ἐν πίστει ἥγνισαν τὸ
19 ἅγιον· [19]τοῖς υἱοῖς Ἀαρὼν τοῖς ἱερατεύουσιν καὶ οἱ ἀπὸ τῶν πόλεων
αὐτῶν ἐν πάσῃ πόλει καὶ πόλει ἄνδρες οἱ ὠνομάσθησαν ἐν ὀνόματι,
δοῦναι μερίδα παντὶ ἀρσενικῷ ἐν τοῖς ἱερεῦσιν καὶ παντὶ καταριθμου-
20 μένῳ ἐν τοῖς Λευείταις. [20]καὶ ἐποίησεν οὕτως Ἐζεκίας ἐν παντὶ
Ἰούδᾳ, καὶ ἐποίησεν τὸ καλὸν καὶ τὸ εὐθὲς ἐναντίον τοῦ κυρίου θεοῦ
21 αὐτοῦ. [21]καὶ ἐν παντὶ ἔργῳ ᾧ ἤρξατο ἐργασίᾳ ἐν οἴκῳ Κυρίου, καὶ
ἐν τῷ νόμῳ καὶ ἐν τοῖς προστάγμασιν ἐξεζήτησεν τὸν θεὸν αὐτοῦ ἐξ
ὅλης ψυχῆς αὐτοῦ, καὶ ἐποίησεν καὶ εὐοδώθη.

XXXII 1 [1]Καὶ μετὰ τοὺς λόγους τούτους καὶ τὴν ἀλήθειαν ταύτην ἦλθεν
Σενναχηρεὶμ βασιλεὺς Ἀσσυρίων, καὶ ἦλθεν ἐπὶ Ἰούδαν καὶ παρε-
νέβαλεν ἐπὶ τὰς πόλεις τὰς τειχήρεις, καὶ εἶπεν προκαταλαβέσθαι
2 αὐτάς. [2]καὶ εἶδεν Ἐζεκίας ὅτι ἥκει Σενναχηρεὶμ καὶ τὸ πρόσωπον
3 αὐτοῦ τοῦ πολεμῆσαι ἐπὶ Ἰερουσαλήμ. [3]καὶ ἐβουλεύσατο μετὰ τῶν
πρεσβυτέρων αὐτοῦ καὶ τῶν δυνατῶν ἐμφράξαι τὰ ὕδατα τῶν πηγῶν
4 ἃ ἦν ἔξω τῆς πόλεως· καὶ συνεπίσχυσαν αὐτῷ. [4]καὶ συνήγαγεν
λαὸν πολὺν καὶ ἐνέφραξεν τὰ ὕδατα τῶν πηγῶν καὶ τὸν ποταμὸν
τὸν διορίζοντα διὰ τῆς πόλεως, λέγων Μὴ ἔλθῃ βασιλεὺς Ἀσσοὺρ
5 καὶ εὕρῃ ὕδωρ πολὺ καὶ κατισχύσῃ. [5]καὶ κατίσχυσεν Ἐζεκίας
καὶ ᾠκοδόμησεν πᾶν τὸ τεῖχος τὸ κατεσκαμμένον καὶ πύργους καὶ
ἔξω προτείχισμα ἄλλο, καὶ κατίσχυσεν τὸ ἀνάλημμα πόλεως Δανείδ,
6 καὶ κατεσκεύασεν ὅπλα πολλά. [6]καὶ ἔθετο ἄρχοντας τοῦ πολέμου
ἐπὶ τὸν λαόν, καὶ συνήχθησαν πρὸς αὐτὸν ἐπὶ τὴν πλατεῖαν τῆς
πύλης τῆς φάραγγος, καὶ ἐλάλησεν ἐπὶ καρδίαν αὐτῶν λέγων
7 [7]Ἰσχύσατε καὶ ἀνδρίζεσθε, μὴ πτοηθῆτε ἀπὸ προσώπου βασιλέως
Ἀσσοὺρ καὶ ἀπὸ προσώπου παντὸς τοῦ ἔθνους τοῦ μετ' αὐτοῦ·
8 ὅτι μεθ' ἡμῶν πλείονες ἢ μετ' αὐτοῦ. [8]μετὰ αὐτοῦ βραχίονες σάρ-
κινοι, μεθ' ἡμῶν δὲ Κύριος ὁ θεὸς ἡμῶν, τοῦ σώζειν καὶ τοῦ πολε-
μεῖν τὸν πόλεμον ἡμῶν. καὶ κατεθάρσησεν ὁ λαὸς ἐπὶ τοῖς λόγοις
9 Ἐζεκίου βασιλέως Ἰούδα. [9]Καὶ μετὰ ταῦτα ἀπέστειλεν Σεν-
ναχηρεὶμ βασιλεὺς Ἀσσυρίων τοὺς παῖδας αὐτοῦ ἐπὶ Ἰερουσαλήμ,

18 εγκαταλοχισαι B^{ab} εν καταλοχιαις A | ηγνισαν το αγιον] ηγιασαν τον A αγ. A **20** του κυριου] om του A **21** ω] pr εν A | αυτου 1°] εαυτου A | ψυχης] pr της A | om και 4° A | ευωδωθη B^{ab} XXXII 2 και το] κατα A **3** αυτου] εαυτου A | των δυνατων] om των A **4** βασιλευς] pr ο A **5** κατεσκαμμενον] κατεσπασμενον A **6** επι 1°] εις A | καρδιαν] pr την A **7** του εθνους] om του A **8** om μετα αυτου A **9** αυτου] εαυτου A **9—28** (Ασσυριων...σιτου) retractavit spiritus et accentus adpinxit A^b

Β καὶ αὐτὸς ἐπὶ Λαχεὶς καὶ πᾶσα ἡ στρατεία μετ' αὐτοῦ, καὶ ἀπέστειλεν
πρὸς Ἐζεκίαν βασιλέα Ἰούδα καὶ πρὸς πάντα Ἰουδὰ τὸν ἐν Ἰερου-
σαλὴμ λέγων [10]Οὕτως λέγει ὁ βασιλεὺς Ἀσσυρίων Ἐπὶ τί ὑμεῖς πε- 10
ποίθατε; καθήσεσθε ἐν τῇ περιοχῇ ἐν Ἰερουσαλήμ; [11]οὐχὶ Ἐζεκίας 11
ἀπατᾷ ὑμᾶς τοῦ παραδοῦναι ὑμᾶς εἰς θάνατον καὶ εἰς λιμὸν καὶ εἰς
δίψαν, λέγων Κύριος ὁ θεὸς ἡμῶν σώσει ὑμᾶς ἐκ χειρὸς βασιλέως
Ἀσσούρ; [12]οὗτός ἐστιν Ἐζεκίας ὃς περιεῖλεν τὰ θυσιαστήρια αὐτοῦ 12
καὶ τὰ ὑψηλὰ αὐτοῦ, καὶ εἶπεν τῷ Ἰούδᾳ καὶ τοῖς κατοικοῦσιν ἐν
Ἰερουσαλὴμ λέγων Κατέναντι τοῦ θυσιαστηρίου τούτου προσκυνήσετε
καὶ ἐπ' αὐτῷ θυμιάσετε. [13]οὐ γνώσεσθε ὅ τι ἐποίησα ἐγὼ καὶ οἱ 13
πατέρες μου πᾶσι τοῖς λαοῖς τῶν χωρῶν; μὴ δυνάμενοι ἠδύναντο
θεοὶ τῶν ἐθνῶν πάσης τῆς γῆς σῶσαι τὸν λαὸν αὐτῶν ἐκ χειρός
μου; [14]τίς ἐν πᾶσι τοῖς θεοῖς τῶν ἐθνῶν τούτων οὓς ἐξωλέθρευσαν 14
οἱ πατέρες μου; μὴ ἠδύναντο σῶσαι τὸν λαὸν αὐτῶν ἐκ χειρός μου,
ὅτι δυνήσεται ὁ θεὸς ὑμῶν σώσαι ὑμᾶς ἐκ χειρός μου; [15]νῦν μὴ 15
ἀπατάτω ὑμᾶς Ἐζεκίας, καὶ μὴ πεποιθέναι ὑμᾶς ποιείτω κατὰ ταῦτα,
καὶ μὴ πιστεύετε αὐτῷ· ὅτι οὐ μὴ δύνηται ὁ θεὸς παντὸς ἔθνους καὶ
βασιλείας τοῦ σῶσαι τὸν λαὸν αὐτοῦ ἐκ χειρός μου καὶ ἐκ χειρὸς
πατέρων μου, ὅτι ὁ θεὸς ὑμῶν οὐ μὴ σώσει ὑμᾶς ἐκ χειρός μου.
[16]καὶ ἔτι ἐλάλησαν παῖδες αὐτοῦ ἐπὶ Κύριον θεὸν καὶ ἐπὶ Ἐζεκίαν 16
παῖδα αὐτοῦ. [17]καὶ βιβλίον ἔγραψεν ὀνειδίζειν τὸν κύριον θεὸν 17
Ἰσραήλ, καὶ εἶπεν περὶ αὐτοῦ λέγων Ὡς θεοὶ τῶν ἐθνῶν τῆς γῆς
οὐκ ἐξείλαντο λαοὺς αὐτῶν ἐκ χειρός μου, οὕτως οὐ μὴ ἐξέληται ὁ
θεὸς Ἐζεκίου λαὸν αὐτοῦ ἐκ χειρός μου. [18]καὶ ἐβόησεν φωνῇ 18
μεγάλῃ Ἰουδαιστὶ ἐπὶ λαὸν Ἰερουσαλὴμ τὸν ἐπὶ τοῦ τείχους τοῦ
βοηθῆσαι αὐτοῖς καὶ κατασπάσαι, ὅπως προκαταλάβωνται τὴν πόλιν.
[19]καὶ ἐλάλησεν ἐπὶ θεὸν Ἰερουσαλὴμ καὶ ὡς καὶ ἐπὶ θεοὺς λαῶν 19
τῆς γῆς, ἔργα χειρῶν ἀνθρώπων. [20]καὶ προσηύξατο Ἐζεκίας ὁ 20
βασιλεὺς καὶ Ἡσαίας υἱὸς Ἀμὼς ὁ προφήτης περὶ τούτων, καὶ
ἐβόησεν εἰς τὸν οὐρανόν. [21]καὶ ἀπέστειλεν Κύριος ἄγγελον· ἐξέ- 21
τριψεν πᾶν δυνατὸν καὶ πολεμιστὴν καὶ ἄρχοντα καὶ στρατηγὸν ἐν

A **9** στρατια A | Ιουδα 2°] Ιουδαν A **10** λεγει] + Σενναχηρειμ A | τι] τινι A | καθησεσθε] καθησθαι A **11** om εις 2° A | διψαν] θλιψιν A | ημων] υμων A **12** περιειλε A (?A*) | om εν A | προσκυνησεται A | αυτω] αυτου A | θυμιασεται A **13** ο τι] τι A | εγω εποιησα A | πασιν A | εδυναντο A **14** τις εν πασι non inst B^b | πασιν A | εξωλοθρ. B^b | αυτων] εαυτων A **15** αυτου] εαυτου A | ο θεος (2°)] om ο A **17** λαους αυτων] τους λ. εαυτων A | αυτου 2°] εαυτου A **18** λαον Ιερ.] Ιλημ και τον! λαον A **19** θεον] pr τον A | om και 2° A | θεους λαων A] θυ Σαλω!μων B | εργα A] εργων B **20** εβοησαν A **21** αγγελου B* (αγγελον B^1) | εξετριψεν] pr και B^{ab} (ψ superscr) A | παν] παντα A

τῇ παρεμβολῇ βασιλέως Ἀσσούρ· καὶ ἀπέστρεψεν μετὰ αἰσχύνης Β
προσώπου εἰς τὴν γῆν αὐτοῦ. καὶ ἦλθεν εἰς οἶκον θεοῦ αὐτοῦ, καὶ
τῶν ἐξελθόντων ἐκ κοιλίας αὐτοῦ κατέβαλον αὐτὸν ἐν ῥομφαίᾳ.
22 22καὶ ἔσωσεν Κύριος Ἐζεκίαν καὶ τοὺς κατοικοῦντας ἐν Ἰερουσαλὴμ
ἐκ χειρὸς Σενναχηρεὶμ βασιλέως Ἀσσοὺρ καὶ ἐκ χειρὸς πάντων, καὶ
23 κατέπαυσεν αὐτοὺς κυκλόθεν. 23καὶ πολλοὶ ἔφερον δῶρα τῷ κυρίῳ
εἰς Ἰερουσαλὴμ καὶ δόματα τῷ Ἐζεκίᾳ βασιλεῖ Ἰούδα, καὶ ὑπερήρθη
24 κατ᾽ ὀφθαλμοὺς πάντων τῶν ἐθνῶν μετὰ ταῦτα. 24Ἐν ταῖς
ἡμέραις ἐκείναις ἠρρώστησεν Ἐζεκίας ἕως θανάτου, καὶ προσηύξατο
25 πρὸς Κύριον, καὶ ἐπήκουσεν αὐτῷ, καὶ σημεῖον ἔδωκεν αὐτῷ. 25καὶ
οὐ κατὰ τὸ ἀνταπόδομα ὃ ἔδωκεν αὐτῷ ἀπέδωκεν Ἐζεκίας, ἀλλὰ
ὑψώθη ἡ καρδία αὐτοῦ· καὶ ἐγένετο ἐπ᾽ αὐτὸν ὀργὴ καὶ ἐπὶ Ἰουδὰ
26 καὶ Ἰερουσαλήμ. 26καὶ ἐταπεινώθη Ἐζεκίας ἀπὸ τοῦ ὕψους τῆς
καρδίας αὐτοῦ, καὶ οἱ κατοικοῦντες Ἰερουσαλήμ, καὶ οὐκ ἐπῆλ-
27 θεν ἐπ᾽ αὐτοὺς ὀργὴ θεοῦ ἐν ταῖς ἡμέραις Ἐζεκίου. 27καὶ ἐγένετο
τῷ Ἐζεκίᾳ πλοῦτος καὶ δόξα πολλὴ σφόδρα· καὶ θησαυροὺς ἐποίησεν
αὐτῷ ἀργυρίου καὶ χρυσίου καὶ τοῦ λίθου τοῦ τιμίου, καὶ εἰς τὰ
28 ἀρώματα καὶ ὁπλοθήκας καὶ εἰς σκεύη ἐπιθυμητά, 28καὶ πόλεις εἰς
τὰ γενήματα σίτου καὶ ἐλαίου καὶ οἴνου, καὶ φάτνας παντὸς κτήνους
29 καὶ μάνδρας εἰς τὰ ποίμνια, 29καὶ πόλεις ἃς ᾠκοδόμησεν αὐτῷ καὶ
ἀποσκευὴν προβάτων καὶ βοῶν εἰς πλῆθος, ὅτι ἔδωκεν αὐτῷ Κύριος
30 ἀποσκευὴν πολλὴν σφόδρα. 30αὐτὸς Ἐζεκίας ἐνέφραξεν τὴν ἔξοδον
τοῦ ὕδατος Σειὼν τὸ ἄνω, καὶ κατηύθυνεν αὐτὰ κάτω πρὸς λίβα τῆς
πόλεως Δαυείδ· καὶ εὐοδώθη Ἐζεκίας ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.
31 31καὶ οὕτως τοῖς πρεσβύταις τῶν ἀρχόντων ἀπὸ Βαβυλῶνος τοῖς
ἀποσταλεῖσιν πρὸς αὐτὸν πυθέσθαι παρ᾽ αὐτοῦ τὸ τέρας ὃ ἐγένετο
ἐπὶ τῆς γῆς, ἐγκατέλιπεν αὐτὸν Κύριος τοῦ πειράσαι αὐτόν, εἰδέναι
32 τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ. 32καὶ τὰ κατάλοιπα τῶν λόγων Ἐζεκίου καὶ
τὸ ἔλεος αὐτοῦ, ἰδοὺ γέγραπται ἐν τῇ προφητείᾳ Ἡσαίου υἱοῦ Ἀμὼς
33 τοῦ προφήτου καὶ ἐπὶ βιβλίου βασιλέων Ἰούδα καὶ Ἰσραήλ. 33καὶ

21 μετα αισχ. προσ.] το\ προσωπον μετα αισχυνης A | αυτου 1°] εαυτου A A | ηλθεν] εισηλθεν A | θεου] pr του A | αυτου 2°] εαυτου A | κατελαβον A^{*vid} (κατεβαλον A^{b}) **22** om εν A | Ασσουρ] Ασσυριω\ A | κυκλωθεν A^{b} (κυκλοθεν A^{*vid}) **23** υπερηρθη] υπηρθη A | μετα] pr και A (distinx ante μετα B ante και A) **24** εκειναις ηρ sup ras A^{a} | αυτω 1°] αυτου $B^{ab}A$ **25** απεδωκεν] ανταπεδωκεν A | αλλα] αλλ A | Ιουδαν A **26** αυτου] εαυτου A | θεου] κῦ A **27** αυτω] εαυτω A **28** και 4°]+κωμας ϛ $B^{ab\,mg}$+κωμας A **29** αυτω 1°] εαυτω A **30** Σειων] Σιων B^{b} Γιων A | ευωδωθη B^{ab} | πασιν A | αυτου] εαυτου A **31** πρεσβευταις $B^{ab}A$ | γης]+και A | εγκατελειπεν A **32** καταλοιπα] λοιπα A | προφητια A

Β ἐκοιμήθη Ἐζεκίας μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν ἀναβάσει τάφων υἱῶν Δαυείδ· καὶ δόξαν καὶ τιμὴν ἔδωκαν αὐτῷ ἐν τῷ θανάτῳ αὐτοῦ πᾶς Ἰουδὰ καὶ οἱ κατοικοῦντες ἐν Ἰερουσαλήμ· καὶ ἐβασίλευσεν Μανασσὴ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

[1]Ὢν δέκα δύο ἐτῶν Μανασσῆς ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ πεντή- 1 XXXII
κοντα πέντε ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ. [2]καὶ ἐποίησεν τὸ 2
πονηρὸν ἐναντίον Κυρίου, ἀπὸ πάντων τῶν βδελυγμάτων τῶν ἐθνῶν
οὓς ἐξωλέθρευσεν Κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ. [3]καὶ 3
ἐπέστρεψεν καὶ ᾠκοδόμησεν τὰ ὑψηλὰ ἃ κατέσπασεν Ἐζεκίας ὁ
πατὴρ αὐτοῦ, καὶ ἔστησεν στήλας τοῖς Βααλεὶμ καὶ ἐποίησεν ἄλση,
καὶ προσεκύνησεν πάσῃ τῇ στρατείᾳ τοῦ οὐρανοῦ καὶ ἐδούλευσεν
αὐτοῖς. [4]καὶ ᾠκοδόμησεν θυσιαστήρια ἐν οἴκῳ Κυρίου οὗ εἶπεν Κύριος 4
Ἐν Ἰερουσαλὴμ ἔσται τὸ ὄνομά μου εἰς τὸν αἰῶνα. [5]καὶ ᾠκοδόμησεν 5
θυσιαστήρια τῇ πάσῃ στρατείᾳ τοῦ οὐρανοῦ ἐν ταῖς δυσὶν αὐλαῖς
οἴκου Κυρίου. [6]καὶ αὐτὸς διήγαγεν τὰ τέκνα αὐτοῦ ἐν πυρὶ ἐν γὲ 6
βανὲ Ἐννόμ· καὶ ἐκληδονίζετο καὶ ἐφαρμακεύετο καὶ οἰωνίζετο, καὶ
ἐποίησεν ἐνγαστριμύθους καὶ ἐπαοιδούς· ἐπλήθυνεν τοῦ ποιῆσαι τὸ
πονηρὸν ἐναντίον Κυρίου τοῦ παροργίσαι αὐτόν. [7]καὶ ἔθηκεν τὸ 7
γλυπτὸν τὸ χωνευτόν, εἰκόνα ἣν ἐποίησεν, ἐν οἴκῳ θεοῦ οὗ εἶπεν ὁ
θεὸς πρὸς Δαυεὶδ καὶ Σαλωμὼν τὸν υἱὸν αὐτοῦ Ἐν τῷ οἴκῳ τούτῳ
καὶ Ἰερουσαλήμ, ἣν ἐξελεξάμην ἐκ πασῶν φυλῶν Ἰσραήλ, θήσω
τὸ ὄνομά μου εἰς τὸν αἰῶνα. [8]καὶ οὐ προσθήσω σαλεῦσαι τὸν πόδα 8
Ἰσραὴλ ἀπὸ τῆς γῆς ἧς ἔδωκα τοῖς πατράσιν αὐτῶν, πλὴν ἐὰν
φυλάσσωνται τοῦ ποιῆσαι πάντα ἃ ἐνετειλάμην αὐτοῖς κατὰ πάντα
τὸν νόμον, τὰ προστάγματα καὶ τὰ κρίματα ἐν χειρὶ Μωυσῆ. [9]καὶ 9
ἐπλάνησεν Μανασσῆς τὸν Ἰούδαν καὶ τοὺς κατοικοῦντας ἐν Ἰερου-
σαλήμ, τοῦ ποιῆσαι τὸ πονηρὸν ὑπὲρ πάντα τὰ ἔθνη ἃ ἐξῆρεν Κύριος
ἀπὸ προσώπου υἱῶν Ἰσραήλ. [10]καὶ ἐλάλησεν Κύριος ἐπὶ Μανασσὴ 10
καὶ ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ οὐκ ἐπήκουσεν. [11]καὶ ἤγαγεν Κύριος 11
ἐπ' αὐτοὺς τοὺς ἄρχοντας τῆς δυνάμεως βασιλέως Ἀσσούρ, καὶ

A **33** αυτου 1°] εαυτου A | Μανασσης A$^{a?}$ (Μανασση A*) XXXIII **1** om Μανασσης A | om πεντε A **2** εναντιον] ενωπιον A | εξωλοθρ. B^{b} **3** τοις Βααλειμ] ταις B. A | στρατια A (item 5) **5** τη πασῃ] πασῃ τῃ A **6** διηγαγεν] διηγεν A | γε βανε Εννομ] γη| Βεεννομ'· A | οιωνιζετο κ. εφαρμ. A | εγγαστριμ. B^{b} | επληθυνεν] εποιησεν A **7** το χων.] pr και A | θεου] κυ A | Σαλωμων] pr προς A | τον υιον] om τον A | θησω] σωθητω A **8** κριματα]+και δικαιωματα A **9** om Κυριος A | υιων] pr των A **10** επηκουσεν] επηκουσαν B$^{ab?}$ ηκουσαν A **11** αυτους] αυτον A | δυναμεως] δυναστειας A

κατέλαβον Μανασσὴ ἐν δεσμοῖς καὶ ἔδησαν αὐτὸν ἐν πέδαις καὶ Β
12 ἤγαγον εἰς Βαβυλῶνα. 12καὶ ὡς ἐθλίβη, ἐζήτησεν τὸ πρόσωπον
τοῦ κυρίου θεοῦ αὐτοῦ, καὶ ἐταπεινώθη σφόδρα ἀπὸ προσώπου θεοῦ
13 τῶν πατέρων αὐτοῦ· 13καὶ προσηύξατο πρὸς αὐτόν, καὶ ἐπήκουσεν
αὐτοῦ· καὶ ἐπήκουσεν τῆς βοῆς αὐτοῦ, καὶ ἐπέστρεψεν αὐτὸν εἰς
Ἰερουσαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ· καὶ ἔγνω Μανασσῆς ὅτι Κύριος
14 αὐτός ἐστιν θεός. 14Καὶ ᾠκοδόμησεν μετὰ ταῦτα τεῖχος ἔξω τῆς
πόλεως Δαυεὶδ ἀπὸ λιβὸς κατὰ Γιὼν ἐν τῷ χειμάρρῳ καὶ ἐκπορευο-
μένων τὴν πύλην τὴν κυκλόθεν καὶ εἰς αὐτὸν Ὄπλα, καὶ ὕψωσεν
σφόδρα· καὶ κατέστησεν ἄρχοντας τῆς δυνάμεως ἐν πάσαις ταῖς
15 πόλεσιν ταῖς τειχήρεσιν ἐν Ἰούδᾳ. 15καὶ περιεῖλεν τοὺς θεοὺς τοὺς
ἀλλοτρίους καὶ τὸ γλυπτὸν ἐξ οἴκου Κυρίου, καὶ πάντα τὰ θυσιαστήρια
ἃ ᾠκοδόμησεν ἐν ὄρει οἴκου Κυρίου καὶ ἐν Ἰερουσαλὴμ καὶ ἔξωθεν τῆς
16 πόλεως. 16καὶ κατώρθωσεν τὸ θυσιαστήριον Κυρίου, καὶ ἐθυσίασεν
ἐπ᾽ αὐτὸ θυσίαν σωτηρίου καὶ αἰνέσεως, καὶ εἶπεν τῷ Ἰούδᾳ τοῦ
17 δουλεύειν Κυρίῳ θεῷ Ἰσραήλ. 17πλὴν ὁ λαὸς ἔτι ἐπὶ τῶν ὑψηλῶν·
18 πλὴν Κύριος ὁ θεὸς αὐτῶν. 18καὶ τὰ λοιπὰ τῶν λόγων Μανασσὴ
καὶ ἡ προσευχὴ αὐτοῦ πρὸς τὸν θεὸν καὶ λόγοι τῶν ὁρώντων λαλούν-
19 των πρὸς αὐτὸν ἐπ᾽ ὀνόματι θεοῦ Ἰσραήλ, 19ἰδοὺ ἐπὶ λόγων (19)προσ-
ευχῆς αὐτοῦ, καὶ ἐπήκουσεν αὐτοῦ· καὶ πᾶσαι αἱ ἁμαρτίαι αὐτοῦ
καὶ ἀποστάσεις αὐτοῦ, καὶ οἱ τόποι ἐφ᾽ οἷς ᾠκοδόμησεν τὰ ὑψηλὰ καὶ
ἔστησεν ἐκεῖ ἄλση καὶ γλυπτὰ πρὸ τοῦ ἐπιστρέψαι, ἰδοὺ γέγραπται
20 ἐπὶ τῶν λόγων τῶν ὁρώντων. 20καὶ ἐκοιμήθη Μανασσῆς μετὰ τῶν
πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν παραδείσῳ οἴκου αὐτοῦ· καὶ
ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ Ἀμὼς υἱὸς αὐτοῦ.
21 21*Ὢν εἴκοσι καὶ δύο ἐτῶν Ἀμὼς ἐν τῷ βασιλεύειν αὐτόν, καὶ δύο
22 ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ. 22καὶ ἐποίησεν τὸ πονηρὸν ἐνώπιον
Κυρίου ὡς ἐποίησεν Μανασσῆς ὁ πατὴρ αὐτοῦ· καὶ πᾶσιν τοῖς εἰδώλοις
οἷς ἐποίησεν Μανασσῆς ὁ πατὴρ αὐτοῦ ἔθυεν Ἀμὼς καὶ ἐδούλευσεν
23 αὐτοῖς. 23καὶ οὐκ ἐταπεινώθη ἐναντίον Κυρίου ὡς ἐταπεινώθη

11 κατελαβοντο| A **12** του κυριου] κῦ του A | θεου 2°] pr του A | αυτου 2°] εαυτου A **13** om και επεστρεψεν...βασιλειαν αυτου A | θεος] pr ο A **14** μετα ταυτα ωκοδομησεν A | Γιον] νοτον B^{ab}A | και 2°]+κατα την εισοδον την δια της πυλης της ιχθυικης και περιεκυκλωσεν (-σε B^{ab}) το αδυτον και $B^{ab\,mg\,inf}$ A | εκπορευομενων] πορευομενων A | αυτον] αυτο A | Οφλα A **15** om εν 2° A | εξωθεν] εξω A **18** προς 1°] pr η $B^{ab\,vid}$ A | λογοι] pr οι A | θεου] pr κυ A **19** επηκουσεν] pr ως A | αποστασεις] αι αποστασιαι A | των λογων] om των A **20** αυτου 1°] εαυτου A **21** ετων εικοσι και δυο A **22** ο πηρ| αυτου Μανασσης (2°) A | εδουλευεν A

B Μανασσὴ ὁ πατὴρ αὐτοῦ, ὅτι υἱὸς Ἀμὼς ἐπλήθυνεν πλημμέλειαν.
24 καὶ ἐπέθεντο αὐτῷ οἱ παῖδες αὐτοῦ, καὶ ἐπάταξαν αὐτὸν ἐν οἴκῳ 24
αὐτοῦ. 25 καὶ ἐπάταξεν ὁ λαὸς τῆς γῆς τοὺς ἐπιθεμένους ἐπὶ τὸν 25
βασιλέα Ἀμώς· καὶ ἐβασίλευσεν ὁ λαὸς τῆς γῆς τὸν Ἰωσείαν υἱὸν
αὐτοῦ ἀντ' αὐτοῦ.

1 Ὢν ὀκτὼ ἐτῶν Ἰωσείας ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ τριάκοντα 1 XXXI
ἓν ἔτος ἐβασίλευσεν ἐν Ἰερουσαλήμ. 2 καὶ ἐποίησεν τὸ εὐθὲς ἐναντίον 2
Κυρίου, καὶ ἐπορεύθη ἐν ὁδοῖς Δαυεὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ οὐκ ἐξέ-
κλινεν δεξιὰ καὶ ἀριστερά. 3 καὶ ἐν τῷ ὀγδόῳ ἔτει τῆς βασιλείας 3
αὐτοῦ, καὶ αὐτὸς ἔτι παιδάριον, ἤρξατο τοῦ ζητῆσαι Κύριον τὸν θεὸν
Δαυεὶδ τοῦ πατρὸς αὐτοῦ· καὶ ἐν τῷ δωδεκάτῳ ἔτει τῆς βασιλείας
αὐτοῦ ἤρξατο τοῦ καθαρίσαι τὸν Ἰουδὰ καὶ τὴν Ἰερουσαλὴμ ἀπὸ τῶν
ὑψηλῶν καὶ τῶν ἄλσεων, καὶ ἀπὸ τῶν χωνευτῶν· 4 καὶ κατέσπασεν 4
τὰ κατὰ πρόσωπον αὐτοῦ τὰ θυσιαστήρια τῶν Βααλεὶμ καὶ τὰ ὑψηλὰ
τὰ ἐπ' αὐτῶν, καὶ ἔκοψεν τὰ ἄλση καὶ τὰ γλυπτά, καὶ τὰ χωνευτὰ
συνέτριψεν καὶ ἐλέπτυνεν καὶ ἔρριψεν ἐπὶ πρόσωπον τῶν μνημάτων
τῶν θυσιαζόντων αὐτοῖς· 5 καὶ ὀστᾶ ἱερέων κατέκαυσεν ἐπὶ τὰ θυσια- 5
στήρια, καὶ ἐκαθάρισεν τὸν Ἰουδὰ καὶ τὴν Ἰερουσαλήμ, 6 καὶ ἐν 6
πόλεσιν Ἐφράιμ καὶ Μανασσὴ καὶ Συμεὼν καὶ Νεφθαλεὶ καὶ τοῖς
τόποις αὐτῶν κύκλῳ. 7 καὶ κατέσπασεν τὰ ἄλση καὶ τὰ θυσιαστήρια, 7
καὶ τὰ εἴδωλα κατέκοψεν λεπτά, καὶ πάντα τὰ ὑψηλὰ ἔκοψεν ἀπὸ
πάσης τῆς γῆς Ἰσραήλ, καὶ ἀπέστρεψεν εἰς Ἰερουσαλήμ. 8 Καὶ 8
ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, τοῦ καθαρίσαι τὴν γῆν
καὶ τὸν οἶκον, [ἀπέστειλεν] Σαφὰν υἱὸν Σελιὰ καὶ τὸν Μαασὰ ἄρχοντα
τῆς πόλεως καὶ τὸν Ἰουὰχ υἱὸν Ἰωὰχ τὸν ὑπομνηματογράφον αὐτοῦ,
κραταιῶσαι τὸν οἶκον Κυρίου τοῦ θεοῦ αὐτοῦ. 9 καὶ ἦλθον πρὸς Χελ- 9
κείαν τὸν ἱερέα τὸν μέγαν, καὶ ἔδωκαν τὸ ἀργύριον τὸ εἰσενεχθὲν εἰς
οἶκον θεοῦ, ὃ συνήγαγον οἱ Λευεῖται φυλάσσοντες τὴν πύλην ἐκ χειρὸς
Μανασσὴ καὶ Ἐφράιμ καὶ τῶν ἀρχόντων καὶ ἀπὸ παντὸς κατα-

A 23 Μανασσης A | υιος]+αυτου A | πλημμελιαν A 25 επιτιθεμενους A | Ιωσιαν B^bA XXXIV 1 Ιωσιας B^bA | βασιλευσαι] βασιλευειν A 2 αυτου] εαυτου A | και 4°] η A 3 δωδεκατω] δεκατω A | Ιουδαν A 4 κατεσπασεν] κατεστρεψαν A | τα κατα πρ.] om τα A | τα επ αυτ.] om τα A 5 εκαθερισεν A | Ιουδαν A 6 Νεφθαλειμ A 7 κατεκοψεν A | om πασης A | Ιερουσαλημ (Ιλημ) seq ras 3 vel 4 litt in A 8 του καθαρισαι] pr οτε συνετελεσε| A | οικον 1°]+της βασιλειας· απεστειλεν τον A | om απεστειλεν B | Μαασιαν A | πολεως] δυναμεως A | Ιουαχ] Ιωας A | Ιωαχ] Ιωαχαζ A | αυτου 2°, 3°] εαυτου A 9 Χελκιαν B^bA | ιερεαν A | εδωκεν A | θεου] κν̄ A

λοίπου ἐν Ἰσραὴλ καὶ υἱῶν Ἰούδα καὶ Βενιαμεὶν καὶ οἰκούντων B
10 ἐν Ἰερουσαλήμ. 10καὶ ἔδωκαν αὐτὸ ἐπὶ χεῖρα ποιούντων τὰ ἔργα
οἱ κατεσταμένοι ἐν οἴκῳ Κυρίου, καὶ ἔδωκαν αὐτὸ ποιοῦσι τὰ ἔργα οἳ
11 ἐποίουν ἐν οἴκῳ Κυρίου, ἐπισκευάσαι κατισχῦσαι τὸν οἶκον. 11καὶ
ἔδωκαν τοῖς τέκτοσι καὶ τοῖς οἰκοδόμοις, καὶ ἀγοράσαι λίθους τετρα-
πέδους καὶ ξύλα εἰς δοκοὺς στεγάσαι τοὺς οἴκους οὓς ἐξωλέθρευσαν
12 βασιλεῖς Ἰούδα. 12καὶ οἱ ἄνδρες ἐν πίστει ἐπὶ τῶν ἔργων, καὶ
ἐπ᾽ αὐτῶν ἐπίσκοποι Ἰὲ καὶ Ἀβδειὰ οἱ Λευεῖται ἐξ υἱῶν Μεραρεί,
καὶ Ζαχαρίας καὶ Μοσολλὰμ ἐκ τῶν υἱῶν Καὰθ ἐπισκοπεῖν, καὶ πᾶς
13 Λευείτης πᾶς συνιὼν ἐν ὀργάνοις ᾠδῶν. 13καὶ ἐπὶ τῶν νωτοφόρων
καὶ ἐπὶ πάντων τῶν ποιούντων τὰ ἔργα ἐργασίᾳ καὶ ἐργασίᾳ, καὶ
14 ἀπὸ τῶν Λευειτῶν γραμματεῖς καὶ κριταὶ καὶ πυλωροί. 14καὶ ἐν
τῷ ἐκφέρειν αὐτοὺς τὸ ἀργύριον τὸ εἰσοδιασθὲν εἰς οἶκον Κυρίου
εὗρεν Χελκείας ὁ ἱερεὺς βιβλίον νόμου Κυρίου διὰ χειρὸς Μωυσῆ.
15 15καὶ ἀπεκρίθη Χελκείας καὶ εἶπεν πρὸς Σαφὰν τὸν γραμματέα Βιβλίον
νόμου εὗρον ἐν οἴκῳ Κυρίου· καὶ ἔδωκεν Χελκείας τὸ βιβλίον τῷ
16 Σαφάν. 16καὶ εἰσήνεγκεν Σαφὰν τὸ βιβλίον πρὸς τὸν βασιλέα,
καὶ ἀπέδωκεν ἔτι τῷ βασιλεῖ λόγον Πᾶν τὸ δοθὲν ἀργύριον ἐν χειρὶ
17 τῶν παίδων σου τῶν ποιούντων. 17καὶ ἐχώνευσαν τὸ ἀργύριον
τὸ εὑρεθὲν ἐν οἴκῳ Κυρίου· καὶ ἔδωκεν ἐπὶ χεῖρα τῶν ἐπισκόπων
18 τῶν ποιούντων ἐργασίαν. 18καὶ ἀπήγγειλεν Σαφὰν ὁ γραμμα-
τεὺς τῷ βασιλεῖ λόγον λέγων Βιβλίον ὃ ἔδωκέν μοι Χελκείας
19 ὁ ἱερεύς· καὶ ἀνέγνω αὐτὸ Σαφὰν ἐναντίον τοῦ βασιλέως. 19καὶ
ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς τοῦ νόμου, καὶ διέρρηξεν τὰ ἱμάτια
20 αὐτοῦ. 20καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Χελκείᾳ καὶ τῷ Ἀχεικὰμ υἱῷ
Σαφὰν καὶ τῷ Ἀβδοδὸμ υἱῷ Μειχαία καὶ τῷ Σαφὰν τῷ γραμματεῖ
21 καὶ τῷ Ἰσαΐᾳ παιδὶ τοῦ βασιλέως λέγων 21Πορεύθητε, ζητήσατε Κύριον
περὶ ἐμοῦ καὶ περὶ παντὸς τοῦ καταλειφθέντος ἐν Ἰσραὴλ καὶ Ἰούδᾳ
περὶ τῶν λόγων τοῦ βιβλίου τοῦ εὑρεθέντος· ὅτι μέγας ὁ θυμὸς

9 Ισραηλ] Ιλημ A | Ιουδα] + και Ισλ A **10** κατεσταμενοι] καθι- A σταμενοι A | ποιουσιν A **11** τεκτοσιν A | om και 3° B^{ab} | τετραποδους A | οικους] seq ras 2 vel 3 litt in A (ους bis scr A^{*vid}) | εξωλοθρ. $B^{?}$ **12** om εν 1° A | Ιε (ιε $B^{a\,mg}$ ιε B^{b})] Ιεθ A | Αβδια B^{b} Αβδιας A | Μεραρι A | om πας 2° A **14** το αργ.] om το A | Χελχιας $B^{b}A$ (sed ε sup ras η ut vid) **15** Χελχιας $B^{b}A$ (bis) | γραμματαιαν A | Σαφαν 2°] Ασαφ A **16** ετι B^{b} (ετει B^{*})] επι A | ποιουντων] + το εργον A **17** εδωκαν A **18** om λογον A | βιβλιον] + νομου A | om ο 2° $B^{ab}A$ **19** του νομου] pr τους λογους A | om και 2° A **20** Αβδοδομ] Αβδων A | Μιχαια $B^{b}A$ | Ισαια] Ασαια A **21** Κυριον] pr τον A | καταλειφθεντος] περιλειφθ. A | Ιουδα] pr εν A

Β Κυρίου ἐκκέκαυται ἐν ἡμῖν, διότι οὐκ ἤκουσαν οἱ πατέρες ἡμῶν τῶν
λόγων Κυρίου τοῦ ποιῆσαι κατὰ πάντα τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ
τούτῳ. [22]καὶ ἐπορεύθη Χελκείας καὶ οἷς εἶπεν ὁ βασιλεὺς πρὸς 22
Ὸλδαν τὴν προφῆτιν γυναῖκα Σελλὴμ υἱοῦ Καθουὰλ υἱοῦ Χελλῆς
φυλάσσουσαν τὰς ἐντολάς, καὶ αὕτη κατοίκει ἐν Ἰερουσαλὴμ ἐν
μαασαναί· καὶ ἐλάλησαν αὐτῇ κατὰ ταῦτα. [23]καὶ εἶπεν αὐτοῖς Οὕτως 23
εἶπεν Κύριος ὁ θεὸς Ἰσραήλ Εἴπατε τῷ ἀνδρὶ τῷ ἀποστείλαντι ὑμᾶς
πρὸς μέ [24]Οὕτως λέγει Κύριος Ἰδοὺ ἐγὼ ἐπάγω κακὰ ἐπὶ τὸν τόπον 24
τοῦτον, τοὺς πάντας λόγους τοὺς γεγραμμένους ἐν τῷ βιβλίῳ τῷ
ἀνεγνωσμένῳ ἐναντίον τοῦ βασιλέως Ἰούδα, [25]ἀνθ' ὧν ἐνκατέλιπόν 25
με καὶ ἐθυμίασαν θεοῖς ἀλλοτρίοις, ἵνα παροργίσωσίν με ἐν πᾶσιν
τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν· καὶ ἐξεκαύθη ὁ θυμός μου ἐν τῷ τόπῳ
τούτῳ καὶ οὐ σβεσθήσεται. [26]καὶ ἐπὶ βασιλέα Ἰούδα τὸν ἀποστεί- 26
λαντα ὑμᾶς τοῦ ζητῆσαι τὸν κύριον, οὕτως ἐρεῖτε αὐτῷ Οὕτως λέγει
Κύριος ὁ θεὸς Ἰσραήλ Τοὺς λόγους οὓς ἤκουσας, [27]καὶ ἐνετράπη ἡ 27
καρδία σου, καὶ ἐταπεινώθης ἀπὸ προσώπου μου ἐν τῷ ἀκοῦσαί
σε τοὺς λόγους μου ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς κατοικοῦντας
αὐτόν, καὶ ἐταπεινώθης ἐναντίον μου καὶ διέρρηξας τὰ ἱμάτιά σου
καὶ ἔκλαυσας κατενάντίον μου, καὶ ἐγὼ ἤκουσα, φησὶν Κύριος.
[28]ἰδοὺ προστίθημί σε πρὸς τοὺς πατέρας σου, καὶ προστεθήσῃ πρὸς 28
τὰ μνήματά σου ἐν εἰρήνῃ, καὶ οὐκ ὄψονται οἱ ὀφθαλμοί σου ἐν πᾶσιν
τοῖς κακοῖς οἷς ἐγὼ ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς κατοι-
κοῦντας αὐτόν. καὶ ἀπέδωκαν τῷ βασιλεῖ λόγον. [29]Καὶ ἀπέ- 29
στειλεν ὁ βασιλεὺς καὶ συνήγαγεν τοὺς πρεσβυτέρους Ἰούδα καὶ Ἰερου-
σαλήμ. [30]καὶ ἀνέβη ὁ βασιλεὺς εἰς οἶκον Κυρίου, καὶ πᾶς Ἰουδὰ καὶ 30
κατοικοῦντες Ἰερουσαλὴμ καὶ οἱ ἱερεῖς καὶ οἱ Λευεῖται καὶ πᾶς ὁ
λαὸς ἀπὸ μεγάλου ἕως μικροῦ· καὶ ἀνέγνω ἐν ὠσὶν αὐτῶν τοὺς πάντας
λόγους βιβλίου τῆς διαθήκης τοὺς εὑρεθέντας ἐν οἴκῳ Κυρίου. [31]καὶ 31
ἔστη ὁ βασιλεὺς ἐπὶ τὸν στύλον, καὶ διέθετο διαθήκην ἐναντίον
Κυρίου τοῦ πορευθῆναι ἐνώπιον Κυρίου, τοῦ φυλάσσειν τὰς ἐντολὰς
αὐτοῦ καὶ μαρτύρια καὶ προστάγματα αὐτοῦ ἐν ὅλῃ καρδίᾳ καὶ ἐν ὅλῃ
ψυχῇ, τοὺς λόγους τῆς διαθήκης τοὺς γεγραμμένους ἐπὶ τῷ βιβλίῳ

A **21** ηκουσαν] εισηκουσαν A **22** Χελχιας B^b (Χελκειας B^*A) | om και 2° A | Καθουαλ] Θακουαθ A | Χελλης] Εσσερη A | κατωκει A | μαασαναι] μεσαναι A **25** εγκατελιπον B^b εγκατελειπον A | εθυμιασαν] εθυσαν A | αλλοτριοις] ετεροις A | αυτων] εαυτων A **27** μου 4°] εμου A **30** βασιλευς] + Ιουδα A | τους παντας] om τους A | της διαθηκης] om της A | του ευρεθεντος A **31** εστη] ανεστη A | τας εντολας] om τας A | μαρτυρια] + αυτου A | προσταγματα] pr τα A | γεγραμμενους] ενγεγραμμ. A

32 τούτῳ. 32καὶ ἔστησεν πάντας τοὺς εὑρεθέντας ἐν Ἰερουσαλὴμ καὶ Β
Βενιαμείν· καὶ ἐποίησαν οἱ κατοικοῦντες Ἰερουσαλὴμ διαθήκην ἐν οἴκῳ
33 Κυρίου θεοῦ πατρὸς αὐτῶν. 33καὶ περιεῖλεν Ἰωσείας τὰ πάντα
βδελύγματα ἐκ πάσης τῆς γῆς ἣ ἦν υἱῶν Ἰσραήλ, καὶ ἐποίησεν πάντας
τοὺς εὑρεθέντας ἐν Ἰερουσαλὴμ καὶ ἐν Ἰσραὴλ τοῦ δουλεύειν Κυρίῳ
θεῷ αὐτῶν πάσας τὰς ἡμέρας αὐτοῦ· οὐκ ἐξέκλινεν ἀπὸ ὄπισθεν
Κυρίου θεοῦ πατέρων αὐτοῦ.

XXXV 1 1Καὶ ἐποίησεν Ἰωσείας τὸ φάσεχ τῷ κυρίῳ θεῷ αὐτοῦ· καὶ ἔθυσαν
2 τὸ φάσεχ τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου. 2καὶ
ἔστησεν τοὺς ἱερεῖς ἐπὶ τὰς φυλακὰς αὐτῶν, καὶ κατίσχυσεν αὐτοὺς
3 εἰς τὰ ἔργα οἴκου Κυρίου. 3καὶ εἶπεν τοῖς Λευείταις τοῖς δυνατοῖς
ἐν παντὶ Ἰσραὴλ τοῦ ἁγιασθῆναι αὐτοὺς τῷ κυρίῳ· καὶ ἔθηκαν τὴν
κιβωτὸν τὴν ἁγίαν εἰς τὸν οἶκον ὃν ᾠκοδόμησεν Σαλωμὼν υἱὸς Δαυὶδ
τοῦ βασιλέως Ἰσραήλ. καὶ εἶπεν ὁ βασιλεύς Οὐκ ἔστιν ὑμῖν ἆραι
ἐπ' ὤμων οὐθέν· νῦν οὖν λειτουργήσατε τῷ κυρίῳ θεῷ ὑμῶν καὶ
4 τῷ λαῷ αὐτοῦ Ἰσραήλ· 4καὶ ἑτοιμάσθητε κατ' οἴκους πατριῶν ὑμῶν
καὶ κατὰ τὰς ἐφημερίας ὑμῶν, κατὰ τὴν γραφὴν Δαυὶδ βασιλέως
5 Ἰσραὴλ καὶ διὰ χειρὸς βασιλέως Σαλωμὼν υἱοῦ αὐτοῦ· 5καὶ στῆτε
ἐν τῷ οἴκῳ κατὰ τὰς διαιρέσεις οἴκων πατριῶν ὑμῶν τοῖς ἀδελφοῖς
6 ὑμῶν υἱοῖς τοῦ λαοῦ, καὶ μερὶς οἴκου πατριᾶς τοῖς Λευείταις· 6καὶ
θύσατε τὸ φάσεχ, καὶ ἑτοιμάσατε τοῖς ἀδελφοῖς ὑμῶν τοῦ ποιῆσαι
7 κατὰ τὸν λόγον Κυρίου διὰ χειρὸς Μωυσῆ. 7καὶ ἀπήρξατο Ἰωσείας
τοῖς υἱοῖς τοῦ λαοῦ πρόβατα καὶ ἀμνοὺς καὶ ἐρίφους ἀπὸ τῶν τέκνων
τῶν αἰγῶν, πάντα εἰς τὸ φάσεχ· καὶ πάντας τοὺς εὑρεθέντας εἰς
ἀριθμὸν τριάκοντα χιλιάδας· καὶ μόσχων τρεῖς χιλιάδας· ταῦτα ἀπὸ
8 τῆς ὑπάρξεως τοῦ βασιλέως. 8καὶ οἱ ἄρχοντες αὐτοῦ ἀπήρξαντο
τῷ λαῷ καὶ τοῖς ἱερεῦσιν καὶ Λευείταις· ἔδωκεν Χελκείας καὶ Ζαχαρίας
καὶ Ἰειὴλ οἱ ἄρχοντες οἴκου θεοῦ τοῖς ἱερεῦσιν, καὶ ἔδωκαν εἰς τὸ
φάσεχ πρόβατα καὶ ἀμνοὺς καὶ ἐρίφους δισχίλια ἑξακόσια καὶ

32 Ιερουσαλημ 2°] pr εις A | διαθηκην] ν sup ras A^1 | πατρος] πρ̄ων A | A
αυτων] εαυτων A **33** Ιωσιας $B^{ab}A$ | τα παντα] παντα τα A | της γης] om της A | αυτων] εαυτων A | αυτου 2°] εαυτων A^{*vid} εαυτου (ου sup ras) A^1 XXXV **1** και εποιησεν...εαυτου (sic) και εθυσεν (sic) το sup ras A^1 | Ιωσιας $B^{ab}A$ | φασεκ A (ubique in hoc cap) | τεσσαρεσκαιδ. B*A] τεσσαρισκαιδ. B^c **2** αυτων] εαυτων A **3** τω κυριω (1°)] om τω A | αγιαν] α 1°, αν sup ras $A^{a?}$ | αραι] επαραι A | τω λαω] om τω A **5** υιοις] pr τοις A **6** ετοιμασατε] pr τα αγια A **7** Ιωσιας A | αιγων A] αγιων B **8** εδωκεν] pr και A | Χελκιας B^bA | θεου] pr του A

Β μόσχους τριακοσίους. 9καὶ Χωνενίας καὶ Βαναίας καὶ Σαμαίας καὶ 9
Ναθαναὴλ ἀδελφὸς αὐτοῦ καὶ Ἀσαβιὰ καὶ Ἰωὴλ καὶ Ἰωζαβὰδ ἄρχοντες
τῶν Λευειτῶν ἀπήρξαντο τοῖς Λευείταις εἰς τὸ φάσεχ πεντακισχίλια
καὶ μόσχους πεντακοσίους. 10καὶ κατορθώθη ἡ λειτουργία, καὶ ἔστησαν 10
οἱ ἱερεῖς ἐπὶ τὴν στάσιν αὐτῶν καὶ οἱ Λευεῖται ἐπὶ τὰς διαιρέσεις
αὐτῶν κατὰ τὴν ἐντολὴν τοῦ βασιλέως. 11καὶ ἔθυσαν τὸ φάσεχ, 11
καὶ προσέχεαν οἱ ἱερεῖς τὸ αἷμα ἐκ χειρὸς αὐτῶν, καὶ οἱ Λευεῖται
ἔδειραν. 12καὶ ἡτοίμασαν τὴν ὁλοκαύτωσιν παραδοῦναι αὐτοῖς κατὰ 12
τὴν διαίρεσιν κατ᾽ οἴκους πατριῶν τοῖς υἱοῖς τοῦ λαοῦ, τοῦ προσάγειν
τῷ κυρίῳ, ὡς γέγραπται ἐν βιβλίῳ Μωυσῆ· καὶ οὕτως εἰς τὸ πρωί.
13καὶ ὤπτησαν τὸ φάσεχ ἐν πυρὶ κατὰ τὴν κρίσιν, καὶ τὰ ἅγια 13
ἥψησαν ἐν τοῖς χαλκείοις καὶ ἐν τοῖς λέβησιν· καὶ εὐοδώθη, καὶ
ἔδραμον πρὸς πάντας τοὺς υἱοὺς τοῦ λαοῦ. 14καὶ μετὰ τὸ ἑτοιμάσαι 14
αὐτοῖς καὶ τοῖς ἱερεῦσιν, ὅτι οἱ ἱερεῖς ἐν τῷ ἀναφέρειν τὰ στέατα καὶ
τὰ ὁλοκαυτώματα ἕως νυκτός, καὶ οἱ Λευεῖται ἡτοίμασαν αὐτοῖς καὶ
τοῖς ἀδελφοῖς αὐτῶν υἱοῖς Ἀαρών. 15καὶ οἱ ψαλτῳδοὶ υἱοὶ Ἀσὰφ 15
ἐπὶ τῆς στάσεως αὐτῶν κατὰ τὰς ἐντολὰς Δαυείδ, καὶ Ἀσὰφ καὶ
Αἰμὰν καὶ Ἰδιθὼμ οἱ προφῆται τοῦ βασιλέως· καὶ οἱ ἄρχοντες καὶ
οἱ πυλωροὶ πύλης καὶ πύλης, οὐκ ἦν αὐτοῖς κινεῖσθαι ἀπὸ τῆς
λειτουργίας ἁγίων, ὅτι οἱ ἀδελφοὶ αὐτῶν οἱ Λευεῖται ἡτοίμασαν αὐτοῖς.
16καὶ κατορθώθη καὶ ἡτοιμάσθη πᾶσα ἡ λειτουργία Κυρίου ἐν τῇ 16
ἡμέρᾳ ἐκείνῃ, τοῦ ποιῆσαι τὸ φάσεχ καὶ ἐνεγκεῖν τὰ ὁλοκαυτώματα
ἐπὶ τὸ θυσιαστήριον Κυρίου κατὰ τὴν ἐντολὴν τοῦ βασιλέως Ἰωσεία.
17καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ οἱ εὑρεθέντες τὸ φάσεχ τῷ καιρῷ 17
ἐκείνῳ καὶ τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας. 18καὶ οὐκ ἐγένετο 18
φάσεχ ὅμοιον αὐτῷ ἐν Ἰσραήλ· ἀπὸ ἡμερῶν Σαμουὴλ τοῦ προφήτου
καὶ παντὸς βασιλέως Ἰσραὴλ οὐκ ἐποίησαν ὡς τὸ φάσεχ ὃ ἐποίησεν
Ἰωσείας καὶ οἱ ἱερεῖς καὶ οἱ Λευεῖται καὶ πᾶς Ἰουδὰ καὶ Ἰσραὴλ ὁ
εὑρεθεὶς καὶ οἱ κατοικοῦντες ἐν Ἰερουσαλὴμ τῷ κυρίῳ 19τῷ ὀκτω- 19
καιδεκάτῳ ἔτει τῆς βασιλείας Ἰωσεία. 19 a καὶ τοὺς ἐνγαστριμύθους καὶ 19 a

A **8** μοσχοις B* (μοσχους Ba) **9** Χωνενιας BA*] Χωχενιας (χ sup ras) A$^{?}$ | αδελφος] pr ο A | Ιωηλ] Ιειηλ A | πεντακισχ.] pr προβατα A **10** κατωρθωθη Bab | αυτων 1°] εαυτων A **11** εκ] ε sup ras A^{1} | εδειραν] εξεδειραν A **12** του λαου] ras του A$^{?vid}$ | βιβλιω]+νομω A **13** χαλκιοις A | ευωδωθη Bab **14** οιερεις B* (οι ιερ. Ba$^{?b}$) **15** οι 1°] αι A*^{vid} (ο sup ras Ab) | Ιδιθοὺ| A | πυλης 1°] pr της A | οι αδελφοι] om οι A **16** κατωρθωθη BabA | Ιωσια A **17** ευρεθεν B* (+τες Bab^{mg}) | τω καιρω] pr εν Bab (superscr) A **18** Σαμουηλ] Ισ͞λμουηλ A*^{vid} | παντος βασιλεως] παντες βασιλεις A | Ιωσιας A | οι Λευειται] om οι A **19** Ιωσια BabA **19 a** εγγαστριμ. Bab

τοὺς γνώστας καὶ τὰ θαραφεὶν καὶ τὰ εἴδωλα καὶ τὰ καρασεὶμ ἃ ἦν B
ἐν γῇ Ἰούδα καὶ ἐν Ἰερουσαλὴμ ἐνεπύρισεν ὁ βασιλεὺς Ἰωσείας, ἵνα
στήσῃ τοὺς λόγους τοῦ νόμου τοὺς γεγραμμένους ἐπὶ τοῦ βιβλίου οὗ
19 b εὗρεν Χελκείας ὁ ἱερεὺς ἐν τῷ οἴκῳ Κυρίου. 19 b ὅμοιος αὐτῷ οὐκ ἐγενήθη
ἔμπροσθεν αὐτοῦ ὃς ἐπέστρεψεν πρὸς Κύριον ἐν ὅλῃ καρδίᾳ αὐτοῦ καὶ
ἐν ὅλῃ ψυχῇ αὐτοῦ καὶ ἐν ὅλῃ τῇ ἰσχύι αὐτοῦ κατὰ πάντα τὸν νόμον
19 c Μωυσῆ, καὶ μετ' αὐτὸν οὐκ ἀνέστη ὅμοιος. 19 c πλὴν οὐκ ἀπεστράφη
Κύριος ἀπὸ ὀργῆς θυμοῦ αὐτοῦ τοῦ μεγάλου, οὗ ὠργίσθη θυμῷ Κύριος
ἐν τῷ Ἰούδᾳ ἐπὶ πάντα τὰ προστάγματα ἃ παρώργισεν Μανασσῆς.
19 d 19 d καὶ εἶπεν Κύριος Καὶ τὸν Ἰούδαν ἀποστήσω ἀπὸ προσώπου, καθὼς
ἀπέστησα τὸν Ἰσραήλ, καὶ ἀπωσάμην τὴν πόλιν ἣν ἐξελεξάμην, τὴν
Ἰερουσαλήμ, καὶ τὸν οἶκον ὃν εἶπα Ἔσται τὸ ὄνομά μου ἐκεῖ.
20 20 Καὶ ἀνέβη Φαραὼ Νεχαὼ βασιλεὺς Αἰγύπτου ἐπὶ τὸν βασιλέα
Ἀσσυρίων ἐπὶ τὸν ποταμὸν Εὐφράτην, καὶ ἐπορεύθη βασιλεὺς
21 Ἰωσείας εἰς συνάντησιν αὐτῷ. 21 καὶ ἀπέστειλεν πρὸς αὐτὸν ἀγγέ-
λους λέγων Τί ἐμοὶ καὶ σοί, βασιλεῦ Ἰούδα; καὶ οὐκ ἐπὶ σὲ ἥκω
σήμερον πόλεμον πολεμῆσαι· καὶ ὁ θεὸς εἶπεν κατασπεῦσαί με·
22 πρόσεχε ἀπὸ τοῦ θεοῦ τοῦ μετ' ἐμοῦ, μὴ καταφθείρῃ σε. 22 καὶ
οὐκ ἀπέστρεψεν Ἰωσείας τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτοῦ, ἀλλ' ἢ
πολεμεῖν αὐτὸν ἐκραταιώθη, καὶ οὐκ ἤκουσεν τῶν λόγων Νεχαὼ
διὰ στόματος θεοῦ, καὶ ἦλθεν τοῦ πολεμῆσαι ἐν τῷ πεδίῳ Μαγεδών.
23 23 καὶ ἐτόξευσαν οἱ τοξόται ἐπὶ βασιλέα Ἰωσείαν· καὶ εἶπεν ὁ βασιλεὺς
24 τοῖς παισὶν αὐτοῦ Ἐξαγάγετέ με, ὅτι ἐπόνεσα σφόδρα. 24 καὶ ἐξήγαγον
αὐτὸν οἱ παῖδες αὐτοῦ ἀπὸ τοῦ ἅρματος καὶ ἀνεβίβασαν αὐτὸν ἐπὶ
τὸ ἅρμα τὸ δευτερεῦον ὃ ἦν αὐτῷ, καὶ ἤγαγον αὐτὸν εἰς Ἰερουσαλήμ·
καὶ ἀπέθανεν, καὶ ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ· καὶ πᾶς Ἰουδὰ
25 καὶ Ἰερουσαλὴμ ἐπένθησαν ἐπὶ Ἰωσείαν. 25 καὶ ἐθρήνησεν Ἰερεμίας
ἐπὶ Ἰωσείαν, καὶ εἶπαν πάντες οἱ ἄρχοντες καὶ αἱ ἄρχουσαι θρῆνον
ἐπὶ Ἰωσείαν ἕως τῆς σήμερον, καὶ ἔδωκαν αὐτὸν εἰς πρόσταγμα
26 ἐπὶ Ἰσραήλ, καὶ ἰδοὺ γέγραπται ἐπὶ τῶν θρήνων. 26 καὶ ἦσαν λόγοι
27 Ἰωσεία καὶ ἡ ἐλπὶς αὐτοῦ γεγραμμένα ἐν νόμῳ Κυρίου, 27 καὶ οἱ

19 a θεραφειμ A | καραισειμ A | γη] pr τη A | om εν 2° A | ενεπυρισεν] A pr και A | Ιωσιας $B^{ab}A$ (ita infra identidem) | του βιβλιου] om του A | Χελκιας $B^{b}A$ **19 b** ομοιος 1°] ομοιως A^{*vid} (ο 3° sup ras A^{b}) | αυτου 1°, 2°, 3°] εαυτου A | τη ισχυι] om τη A | ομοιος 2°] + αυτω A **19 c** προστα-γματα] παροργισματα A **19 d** τον Ιουδαν] pr γε A | προσωπου] + μου A **20** επι 2°] pr και A | βασιλευς 2°] pr ο A **21** om και 3° A | πολεμησαι] ποιησαι A **22** ηκουεν A **23** βασιλεαν A | αυτου] εαυτου A **24** ανε-βιβασεν B | αυτου 2°] εαυτου A **25** om και 5° A **26** Ιωσια A

Β λόγοι αὐτοῦ οἱ πρῶτοι καὶ οἱ ἔσχατοι, ἰδοὺ γεγραμμένοι ἐπὶ βιβλίῳ βασιλέων Ἰσραὴλ καὶ Ἰούδα.

XXXVI 1 [1]Καὶ ἔλαβεν ὁ λαὸς τῆς γῆς τὸν Ἰωαχὰζ υἱὸν Ἰωσείου, καὶ ἔχρισαν αὐτὸν καὶ κατέστησαν αὐτὸν εἰς βασιλέα ἀντὶ τοῦ πατρὸς αὐτοῦ. 2 [2]εἴκοσι καὶ τριῶν ἐτῶν Ἰωαχὰζ ἐν τῷ βασιλεύειν αὐτόν, καὶ τρίμηνον ἐβασίλευσεν ἐν Ἰερουσαλήμ. 2a [2a]καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ἀβειτὰλ θυγάτηρ Ἰερεμίου ἐκ Λοβενά. 2b [2b]καὶ ἐποίησεν τὸ πονηρὸν ἐνώπιον Κυρίου κατὰ πάντα ἃ ἐποίησαν οἱ πατέρες αὐτοῦ· 2c [2c]καὶ ἔδησεν αὐτὸν Φαραὼ Νεχαὼ ἐν Δαβλαθὰ ἐν γῇ Ἐμὰθ τοῦ μὴ βασιλεύειν ἐν Ἰερουσαλήμ. 3 [3]καὶ μετήγαγεν αὐτὸν ὁ βασιλεὺς εἰς Αἴγυπτον, καὶ ἐπέβαλεν φόρον ἐπὶ τὴν γῆν ἑκατὸν τάλαντα ἀργυρίου καὶ τάλαντον χρυσίου. 4 [4]καὶ κατέστησεν Φαραὼ Νεχαὼ τὸν Ἐλιακεὶμ υἱὸν Ἰωσείου βασιλέως Ἰούδα ἀντὶ Ἰωσείου τοῦ πατρὸς αὐτοῦ, καὶ μετέστρεψεν τὸ ὄνομα αὐτοῦ Ἰωακείμ· καὶ τὸν Ἰωαχὰζ ἀδελφὸν αὐτοῦ ἔλαβεν Φαραὼ Νεχαὼ καὶ εἰσήγαγεν αὐτὸν εἰς Αἴγυπτον, καὶ ἀπέθανεν ἐκεῖ. 4a [4a]καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον ἔδωκεν τῷ Φαραώ· τότε ἤρξατο ἡ γῆ φορολογεῖσθαι, τοῦ δοῦναι τὸ ἀργύριον ἐπὶ στόμα Φαραώ· καὶ ἕκαστος κατὰ δύναμιν ἀπῄτει τὸ ἀργύριον καὶ τὸ χρυσίον παρὰ τοῦ λαοῦ τῆς γῆς, δοῦναι τῷ Φαραὼ Νεχαώ.

5* [5]Ὢν εἴκοσι καὶ πέντε ἐτῶν Ἰωακεὶμ ἐν τῷ βασιλεύειν αὐτόν, καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Ζεχωρὰ θυγάτηρ Νηρείου ἐκ Ῥαμά. καὶ ἐποίησεν τὸ πονηρὸν ἐναντίον Κυρίου κατὰ πάντα ὅσα ἐποίησαν οἱ πατέρες αὐτοῦ. 5a [5a]ἐν ταῖς ἡμέραις αὐτοῦ ἦλθεν Ναβουχοδονοσὸρ βασιλεὺς Βαβυλῶνος εἰς τὴν γῆν, καὶ ἦν αὐτῷ δουλεύων τρία ἔτη, καὶ ἀπέστη ἀπ' αὐτοῦ. 5b [5b]καὶ ἀπέστειλεν Κύριος ἐπ' αὐτοῦ τοὺς Χαλδαίους καὶ λῃστήρια Σύρων καὶ λῃστήρια Μωαβειτῶν καὶ υἱῶν Ἀμμὼν καὶ τῆς Σαμαρείας· καὶ ἀπέστησαν μετὰ τὸν λόγον τοῦτον, κατὰ τὸν λόγον Κυρίου ἐν χειρὶ τῶν παίδων αὐτοῦ τῶν προφητῶν. 5c [5c]πλὴν θυμὸς Κυρίου ἦν ἐπὶ Ἰούδαν, τοῦ ἀποστῆναι αὐτὸν ἀπὸ προσώπου αὐτοῦ διὰ Μανασσὴ ἐν πᾶσιν οἷς ἐποίησεν, 5d [5d]καὶ ἐν αἵματι ἀθῷῳ ᾧ ἐξέχεεν Ἰωακείμ· 5d

A **27** λογοι] pr λοιποι A XXXVI **1** Ιωσιου A | om *και κατεστησαν αυτον* A | *αυτου*]+*εν* Ιλημ A **2** *εικοσι*] pr *υιος* A **2a** Αβειταλ] Αμιταλ A | Λοβνα A **2c** *εδησεν* B^{vid} (*εδησεν* B*A) | Ιεμαθ] Αιμαθ? A | *βασιλευειν*]+*αυτον* B^{ab} (superscr) A **4** Ιωσιου A (bis) | *βασιλεως*] *βασιλεα* A | Νεχαω 2°] χ sup ras A^{b} **4a** *εδωκαν* A | om *τοτε ηρξατο...Φαραω* (2°) A | *δουναι* 2°]+*αυτο* A | *τω Φαραω* (2°)] om *τω* A **5** Ζεκχωρα A **5b** *αυτου* 1° B*A] *αυτους* B^{ab} | om *και λῃστηρια Συρων* A | Μωαβιτων A | Σαμαριας A **5c** *αποστηναι*] *αποστησαι* A | *αυτου*] *εαυτου* A | *δια*]+*τας αμαρτιας* B$^{ab(mg)}$ A **5d** *αθωω* B* (*αθωω* B^{ab})

ἐνέπλησεν τὴν Ἰερουσαλὴμ αἵματος ἀθῴου· καὶ οὐκ ἠθέλησεν Κύριος Β
6 ἐξολεθρεῦσαι αὐτούς. 6καὶ ἀνέβη ἐπ' αὐτὸν Ναβουχοδονοσὸρ βασι-
λεὺς Βαβυλῶνος, καὶ ἔδησεν αὐτὸν ἐν χαλκαῖς πέδαις καὶ ἀπή-
7 γαγεν αὐτὸν εἰς Βαβυλῶνα. 7καὶ μέρος τῶν σκευῶν οἴκου Κυρίου
ἀπήνεγκεν εἰς Βαβυλῶνα, καὶ ἔθηκεν αὐτὰ ἐν τῷ ναῷ αὐτοῦ ἐν
8 Βαβυλῶνι. 8καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωακεὶμ καὶ πάντα ἃ ἐποίησεν,
οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασι-
λεῦσιν Ἰούδα; καὶ ἐκοιμήθη Ἰωακεὶμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ
ἐτάφη ἐν γανοζαὴ μετὰ τῶν πατέρων αὐτοῦ· καὶ ἐβασίλευσεν Ἰεχονίας
υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

9 9Ὀκτὼ ἐτῶν Ἰεχονίας ἐν τῷ βασιλεύειν αὐτόν, καὶ τρίμηνον καὶ
δέκα ἡμέρας ἐβασίλευσεν ἐν Ἰερουσαλήμ, καὶ ἐποίησεν τὸ πονηρὸν
10 ἐνώπιον Κυρίου. 10καὶ ἐπιστρέφοντος τοῦ ἐνιαυτοῦ ἀπέστειλεν ὁ
βασιλεὺς Ναβουχοδονοσὸρ καὶ εἰσήνεγκεν αὐτὸν εἰς Βαβυλῶνα μετὰ
τῶν σκευῶν τῶν ἐπιθυμητῶν οἴκου Κυρίου· καὶ ἐβασίλευσεν Σεδεκίαν
ἀδελφὸν τοῦ πατρὸς αὐτοῦ ἐπὶ Ἰούδαν καὶ Ἰερουσαλήμ.

11 11Ἐτῶν εἴκοσι ἑνὸς Σεδεκίας ἐν τῷ βασιλεύειν αὐτόν, καὶ ἕνδεκα
12 ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ. 12καὶ ἐποίησεν τὸ πονηρὸν ἐνώπιον
Κυρίου θεοῦ αὐτοῦ· οὐκ ἐνετράπη ἀπὸ προσώπου Ἰερεμίου τοῦ
13 προφήτου καὶ ἐκ στόματος Κυρίου, 13ἐν τῷ τὰ πρὸς τὸν βασιλέα
Ναβουχοδονοσὸρ ἀθετῆσαι ἃ ὤρκισεν αὐτὸν κατὰ τοῦ θεοῦ, καὶ
ἐσκλήρυνεν τὸν τράχηλον αὐτοῦ καὶ τὴν καρδίαν αὐτοῦ κατίσχυσεν
14 τοῦ μὴ ἐπιστρέψαι πρὸς Κύριον θεὸν Ἰσραήλ. 14καὶ πάντες οἱ
ἔνδοξοι Ἰούδα καὶ οἱ ἱερεῖς καὶ ὁ λαὸς τῆς γῆς ἐπλήθυνεν τοῦ ἀθετῆσαι
ἀθετήματα βδελυγμάτων ἐθνῶν, καὶ ἐμίαναν τὸν οἶκον Κυρίου τὸν
15 ἐν Ἰερουσαλήμ. 15καὶ ἐξαπέστειλεν Κύριος ὁ θεὸς τῶν πατέρων
αὐτῶν ἐν χειρί, ὀρθρίζων καὶ ἀποστέλλων τοὺς ἀγγέλους αὐτοῦ, ὅτι
16 ἦν φειδόμενος τοῦ λαοῦ αὐτοῦ καὶ τοῦ ἁγιάσματος αὐτοῦ. 16καὶ ἦσαν
μυκτηρίζοντες τοὺς ἀγγέλους αὐτοῦ καὶ ἐξουδενοῦντες τοὺς λόγους αὐτοῦ
καὶ ἐμπαίζοντες ἐν τοῖς προφήταις αὐτοῦ, ἕως ἀνέβη ὁ θυμὸς Κυρίου
17 ἐν τῷ λαῷ αὐτοῦ, ἕως οὐκ ἦν ἴαμα. 17καὶ ἤγαγεν ἐπ' αὐτοὺς βασιλέα

5 d ενεπλησεν] και ε|πλησεν A | εξολοθρ. B$^{?}$ **6** απηγαγεν] ανηγαγεν A A **7** αυτου] εαυτου A **8** αυτου 1°, 2°] εαυτου A | γανοζαν A **9** οκτω] pr υιος A | ετων] pr και δεκα A | πονηρον bis scr A$^{*\,vid}$ (ras 2° A$^{?}$) **10** επιστραφεντος A | εισηνεγκεν] εισηγαγεν A | Σεδεκιαν] pr τον A **11** ενοσεδεκ. B* (ενος Σεδ. B^{ab}) **13** αυτου 2°] εαυτου A **14** οι| οι ιερ. A | εν Ιερουσ.] ν Ιλημ sup ras A^{1} **15** ο θς των πρων sup ras A^{1} | χειρι] +προφητων A | αυτου 1°, 2°] εαυτου A | om αυτου 3° A **16** τους αγγελους] om τους A | εξουθενουντας A | ο θυμος] om ο A

Β Χαλδαίων, καὶ ἀπέκτεινεν τοὺς νεανίσκους αὐτῶν ἐν ῥομφαίᾳ ἐν οἴκῳ ἁγιάσματος αὐτοῦ· καὶ οὐκ ἐφείσατο τοῦ Σεδεκίου, καὶ τὰς παρθένους αὐτῶν οὐκ ἠλέησαν, καὶ τοὺς πρεσβυτέρους αὐτῶν ἀπήγαγον· τὰ πάντα παρέδωκεν ἐν χερσὶν αὐτῶν. [18]καὶ πάντα τὰ σκεύη οἴκου 18
θεοῦ τὰ μεγάλα καὶ τὰ μικρὰ καὶ τοὺς θησαυροὺς, καὶ πάντας τοὺς θησαυροὺς βασιλέως καὶ μεγιστάνων, καὶ πάντα εἰσήνεγκεν εἰς Βαβυλῶνα. [19]καὶ ἐνέπρησεν τὸν οἶκον Κυρίου, καὶ κατέσκαψεν τὸ 19
τεῖχος Ἰερουσαλήμ, καὶ τὰς βάρεις αὐτῆς ἐνέπρησεν ἐν πυρί, καὶ πᾶν σκεῦος ὡραῖον εἰς ἀφανισμόν. [20]καὶ ἀπῴκισεν τοὺς καταλοίπους εἰς 20
Βαβυλῶνα, καὶ ἦσαν αὐτῷ καὶ τοῖς υἱοῖς αὐτοῦ εἰς δούλους ἕως βασιλείας Μήδων, [21]τοῦ πληρωθῆναι λόγον Κυρίου διὰ στόματος 21
Ἰερεμίου, ἕως τοῦ προσδέξασθαι τὴν γῆν τὰ σάββατα αὐτῆς σαββατίσαι, εἰς συνπλήρωσιν ἐτῶν ἑβδομήκοντα.

[22]Ἔτους πρώτου βασιλέως Περσῶν, μετὰ τὸ πληρωθῆναι ῥῆμα 22
Κυρίου διὰ στόματος Ἰερεμίου, ἐξήγειρεν Κύριος τὸ πνεῦμα Κύρου βασιλέως Περσῶν, καὶ παρήγγειλεν κηρῦξαι ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ ἐν γραπτῷ λέγων [23]Τάδε λέγει Κῦρος βασιλεὺς Περσῶν πάσαις 23
ταῖς βασιλείαις τῆς γῆς Ἔδωκέν μοι Κύριος ὁ θεὸς τοῦ οὐρανοῦ, καὶ αὐτὸς ἐνετείλατό μοι οἰκοδομῆσαι οἶκον αὐτῷ ἐν Ἰερουσαλὴμ ἐν τῇ Ἰουδαίᾳ· τίς ἐξ ὑμῶν ἐκ παντὸς τοῦ λαοῦ αὐτοῦ; ἔσται ὁ θεὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀναβήτω.

A **17** ηλεησεν A **18** τα μεγαλα] τα με sup ras A^1 | om και 6^o A **20** του καταλ. A^* (τους καταλ. A^1) **21** σαββατισαι] + πασας τας ημερας ερημωσεως αυτης σαββατισαι A | συμπληρωσιν $B^{a?\,b}A$ **22** βασιλεως 1^o] pr Κυρου A | κηρυξαι] pr του A **23** πασας τας βασιλειας A | αυτω οικον A
Subscr παραλειπομενων| β B παραλειπομενων| των βασιλειων (βασιλεων $A^{?\,vid}$) Ιουδα| β A

ΕΣΔΡΑΣ Α

I 1 ΚΑΙ ἤγαγεν Ἰωσείας τὸ πάσχα ἐν Ἰερουσαλὴμ τῷ κυρίῳ αὐτοῦ, B
καὶ ἔθυσαν τὸ πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ
2 πρώτου, [2]στήσας τοὺς ἱερεῖς κατ' ἐφημερίας ἐστολισμένους ἐν τῷ
3 ἱερῷ τοῦ κυρίου. [3]καὶ εἶπεν τοῖς Λευείταις, ἱεροδούλοις τοῦ Ἰσραήλ,
ἁγιάσαι αὐτοὺς τῷ κυρίῳ ἐν τῇ θέσει τῆς ἁγίας κιβωτοῦ τοῦ κυρίου
ἐν τῷ οἴκῳ ᾧ ᾠκοδόμησεν Σαλωμὼν ὁ τοῦ Δαυὶδ ὁ βασιλεύς·
4 [4]Οὐκ ἔσται ὑμῖν ἆραι ἐπ' ὤμων αὐτήν· καὶ νῦν λατρεύετε τῷ κυρίῳ
θεῷ ὑμῶν, καὶ θεραπεύετε τὸ ἔθνος αὐτοῦ Ἰσραήλ, καὶ ἑτοιμάσατε
κατὰ τὰς πατριὰς καὶ τὰς φυλὰς ὑμῶν [(5)]κατὰ τὴν γραφὴν Δαυὶδ
βασιλέως Ἰσραὴλ καὶ κατὰ τὴν μεγαλειότητα Σαλωμὼν τοῦ υἱοῦ
5 αὐτοῦ· [5]καὶ στάντες ἐν τῷ ἁγίῳ κατὰ τὴν μεριδαρχίαν τὴν πατρικὴν
ὑμῶν τῶν Λευειτῶν τῶν ἔμπροσθεν τῶν ἀδελφῶν ὑμῶν υἱῶν Ἰσραὴλ
6 [6]ἐν τάξει, [(6)]θύσατε τὸ πάσχα, καὶ τὰς θυσίας ἑτοιμάσατε τοῖς ἀδελφοῖς
ὑμῶν, καὶ ποιήσατε τὸ πάσχα κατὰ τὸ πρόσταγμα τοῦ κυρίου τὸ
7 δοθὲν τῷ Μωυσῇ. [7]καὶ ἐδωρήσατο Ἰωσείας τῷ λαῷ τῷ εὑρεθέντι
ἀρνῶν καὶ ἐρίφων τριάκοντα χιλιάδας, μόσχους τρισχιλίους· [(8)]ταῦτα
ἐκ τῶν βασιλικῶν ἐδόθη κατ' ἐπαγγελίαν τῷ λαῷ καὶ τοῖς ἱερεῦσιν
8 καὶ Λευείταις. [8]καὶ ἔδωκεν Χελκείας καὶ Ζαχαρίας καὶ Ἠσύηλος
οἱ ἐπιστάται τοῦ ἱεροῦ τοῖς ἱερεῦσιν εἰς πάσχα πρόβατα δισχίλια
9 ἑξακόσια, μόσχους τριακοσίους. [9]καὶ Ἰεχονίας καὶ Σαμαίας καὶ
Ναθαναὴλ ὁ ἀδελφὸς καὶ Σαβίας καὶ Ὀχίηλος καὶ Ἰωρὰμ χιλίαρχοι

Inscr *ο ιερευς* A I **1** Ιωσιας B^{b}A (ita fere ubique) | *αυτου*] εαυτου A A | *εθυσαν*] εθυσεν B^{ab}+οι υιοι $\overline{\text{Ιηλ}}$ A | *τεσσαρεσκαιδ.* (*τεσσαρισκαιδ.* B^{a})] *τε ιδ'* A (improb *τε* $A^{?}$) **3** Λευιταις A (Λευιτ. ubique) | *αυτους*] *εαυτους* A | *του Δ.*] pr *υιος* A **4** *τω κυριω θεω*] *κω τω θω* A | *υμων* 1^{c}] *ημων* A | *τας φυλας*] om *τας* A **5** *αγιω*] *ιερω* A **5—6** Ισλ'·| *εν ταξει* A **6** *του κυριου*] *κυ* A **7** χιλιαδες A **8** Χελχιας B^{b}A | Ησυηλος B^{*}A] *η συνοδος* $B^{a?b}$ | post *εξακοσια* ras 1 lit $A^{?}$ **9** Οχιηλος] Οζιηλος $A^{a?}$ (? A^{*})

B ἔδωκαν τοῖς Λευείταις εἰς πάσχα πρόβατα χίλια, μόσχους ἑπτα-
κοσίους. [10]καὶ ταῦτα τὰ γενόμενα· εὐπρεπῶς ἔστησαν οἱ ἱερεῖς 10
καὶ οἱ Λευεῖται, ἔχοντες τὰ ἄζυμα, κατὰ τὰς φυλὰς [11]καὶ κατὰ (11)
τὰς μεριδαρχίας τῶν πατέρων ἔμπροσθεν τοῦ λαοῦ, προσενεγκεῖν
τῷ κυρίῳ κατὰ τὰ γεγραμμένα ἐν βιβλίῳ Μωυσῆ· καὶ οὕτω τὸ
πρωινόν. [11]καὶ ὤπτησαν τὸ πάσχα ἐν πυρὶ ὡς καθήκει, καὶ 11 (12)
τὰς θυσίας ἥψησαν ἐν τοῖς χαλκίοις καὶ λέβησιν μετ' εὐωδίας,
[13]καὶ ἀπήνεγκαν πᾶσι τοῖς ἐκ τοῦ λαοῦ. [12]μετὰ δὲ ταῦτα ἡτοί- 12 (13)
μασαν ἑαυτοῖς τε καὶ τοῖς ἱερεῦσιν ἀδελφοῖς αὐτῶν υἱοῖς Ἀαρών.
[13]οἱ γὰρ ἱερεῖς ἀνέφερον τὰ στέατα ἕως ἀωρίας· καὶ οἱ Λευεῖται 13 (14)
ἡτοίμασαν ἑαυτοῖς καὶ τοῖς ἱερεῦσιν ἀδελφοῖς αὐτῶν υἱοῖς Ἀαρών.
[14]καὶ οἱ ἱεροψάλται υἱοὶ Ἀσὰφ ἦσαν ἐπὶ τῆς τάξεως αὐτῶν κατὰ 14 (15)
τὰ ὑπὸ Δανεὶδ τεταγμένα, καὶ Ἀσὰφ καὶ Ζαχαρίας καὶ Ἐδδει-
νοῦς οἱ παρὰ τοῦ βασιλέως. [15]καὶ οἱ θυρωροὶ ἐφ' ἑκάστου πυλῶ- 15 (16)
νος· οὐκ ἔστιν παραβῆναι ἕκαστον τὴν ἑαυτοῦ ἐφημερίαν· οἱ γὰρ
ἀδελφοὶ αὐτῶν οἱ Λευεῖται ἡτοίμασαν ἑαυτοῖς. [16]καὶ συνετε- 16 (17)
λέσθη τὰ τῆς θυσίας τοῦ κυρίου [18]ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἀχθῆναι (18)
τὸ πάσχα καὶ προσαχθῆναι τὰς θυσίας ἐπὶ τὸ τοῦ κυρίου θυσια-
στήριον κατὰ τὴν ἐπιταγὴν τοῦ βασιλέως Ἰωσείου. [17]καὶ ἠγά- 17 (19)
γοσαν οἱ υἱοὶ Ἰσραὴλ οἱ εὑρεθέντες ἐν τῷ καιρῷ τούτῳ τὸ πάσχα
καὶ τὴν ἑορτὴν τῶν ἀζύμων ἡμέρας ἑπτά. [18]καὶ οὐκ ἤχθη τὸ 18 (20)
πάσχα τοιοῦτο ἐν τῷ Ἰσραὴλ ἀπὸ τῶν χρόνων Σαμουὴλ τοῦ
προφήτου· [19]καὶ πάντες οἱ βασιλεῖς τοῦ Ἰσραὴλ οὐκ ἠγάγοσαν 19 (21)
πάσχα τοιοῦτον οἷον ἤγαγεν Ἰωσείας καὶ οἱ ἱερεῖς καὶ οἱ Λευεῖται
καὶ οἱ Ἰουδαῖοι καὶ πᾶς Ἰσραὴλ ὁ εὑρεθεὶς ἐν τῇ κατοικήσει
αὐτῶν ἐν Ἰερουσαλήμ. [20]ὀκτωκαιδεκάτῳ ἔτει βασιλεύοντος Ἰω- 20 (22)
σείου ἤχθη τὸ πάσχα τοῦτο. [21]καὶ ὠρθώθη τὰ ἔργα Ἰωσείου 21 (23)
ἐνώπιον τοῦ κυρίου αὐτοῦ ἐν καρδίᾳ πλήρει εὐσεβείας. [22]καὶ 22 (24)
τὰ κατ' αὐτὸν δὲ ἀναγέγραπται ἐν τοῖς ἔμπροσθεν χρόνοις, περὶ
τῶν ἡμαρτηκότων καὶ ἠσεβηκότων εἰς τὸν κύριον παρὰ πᾶν
ἔθνος καὶ βασιλείαν, καὶ ἃ ἐλύπησαν αὐτὸν ἔστιν· καὶ οἱ λόγοι

A **9** χιλια] πεντακεισχιλια (εισχ sup ras A^a) A **10** ταυτα τα γενο-
μενα] τουτων γενομενων A | οι Λευειται] om οι A^* (hab superscr A^1) | Μωση
A | ουτως A **11** om εν 1° B^{ab} | ηψησαν] ωπτησαν A | πασιν A | εκ] ε
sup ras A^a **12** αυτων] εαυτων A **13** αυτων] ων sup ras A^a **14** υιοι]
ιοι sup ras A^a | αυτων] εαυτων A | Εδδινους A | οι παρα] ο παρα A
15 εαυτοις] αυτοις A **16** του κυριου] τω κω A | προσαχθηναι] προσενε-
χθηναι A **17** ηγαγον A **19** τοιουτο A | ο ευρεθεις] οι ευρεθεντες A
21 εν] ε sup ras $A^{a?}$ | πληρεις B^{ab}A **22** ησεβηκ.] η 1° sup ras A^a | om
α A | εστιν] εν αισθησει A

(25) 23 τοῦ κυρίου ἀνέστησαν ἐπὶ Ἰσραήλ. [23]Καὶ μετὰ πᾶσαν τὴν B
πρᾶξιν ταύτην Ἰωσείου συνέβη Φαραὼ βασιλέα Αἰγύπτου ἐλθόντα
πόλεμον ἐγεῖραι ἐν Χαρκαμὺς ἐπὶ τοῦ Εὐφράτου· καὶ ἐξῆλθεν εἰς
(26) 24 ἀπάντησιν αὐτῷ Ἰωσείας. [24]καὶ διεπέμψατο βασιλεὺς Αἰγύπτου
πρὸς αὐτὸν λέγων Τί ἐμοὶ καὶ σοί ἐστιν, βασιλεῦ τῆς Ἰουδαίας;
(27) 25 [25]οὐχὶ πρὸς σὲ ἐξαπέσταλμαι ὑπὸ Κυρίου τοῦ θεοῦ, ἐπὶ γὰρ τοῦ
Εὐφράτου ὁ πόλεμός μού ἐστιν· καὶ νῦν Κύριος μετ' ἐμοῦ ἐστίν,
καὶ Κύριος μετ' ἐμοῦ ἐπισπεύδων ἐστίν· ἀπόστηθι, καὶ μὴ ἐναν-
(28) 26 τιοῦ τῷ κυρίῳ. [26]καὶ οὐκ ἀπέστρεψεν ἑαυτὸν Ἰωσείας ἐπὶ τὸ
ἅρμα αὐτοῦ, ἀλλὰ πολεμεῖν αὐτὸν ἐπεχείρει, οὐ προσέχων ῥή-
(29) 27 μασιν Ἰερεμίου προφήτου ἐκ στόματος Κυρίου· [27]ἀλλὰ συν-
εστήσατο πρὸς αὐτὸν πόλεμον ἐν τῷ πεδίῳ Μεταδδοῦς· καὶ
(30) 28 κατέβησαν οἱ ἄρχοντες πρὸς βασιλέα Ἰωσείαν. [28]καὶ εἶπεν ὁ
βασιλεὺς τοῖς παισὶν αὐτοῦ Ἀποστήσατέ με ἀπὸ τῆς μάχης,
ἠσθένησα γὰρ λίαν. καὶ εὐθέως ἀπέστησαν αὐτὸν οἱ παῖδες
(31) 29 αὐτοῦ ἀπὸ τῆς παρατάξεως, [29]καὶ ἀνέβη ἐπὶ τὸ ἅρμα τὸ δευτέριον
αὐτοῦ· καὶ ἀποκατασταθεὶς εἰς Ἰερουσαλὴμ μετήλλαξεν τὸν βίον
(32) 30 αὐτοῦ, καὶ ἐτάφη ἐν τῷ πατρικῷ τάφῳ. [30]καὶ ἐν ὅλῃ τῇ Ἰουδαίᾳ
ἐπένθησαν τὸν Ἰωσείαν· καὶ ἐθρήνησεν Ἰερεμίας ὁ προφήτης
ὑπὲρ Ἰωσείου, καὶ οἱ προκαθήμενοι σὺν γυναιξὶν ἐθρηνοῦσαν
αὐτὸν ἕως τῆς ἡμέρας ταύτης· καὶ ἐξεδόθη τοῦτο γενέσθαι αἰεὶ
(33) 31 εἰς πᾶν τὸ γένος Ἰσραήλ. [31]ταῦτα δὲ ἀναγέγραπται ἐν τῇ βύβλῳ
τῶν ἱστορουμένων περὶ τῶν βασιλέων τῆς Ἰουδαίας, καὶ τὸ
καθ' ἓν πραχθὲν τῆς πράξεως Ἰωσείου καὶ τῆς δόξης αὐτοῦ καὶ
τῆς συνέσεως αὐτοῦ ἐν τῷ νόμῳ Κυρίου· τά τε πραχθέντα
ὑπ' αὐτοῦ καὶ τὰ νῦν ἱστόρηται ἐν τῷ βυβλίῳ τῶν βασιλέων
(34) 32 Ἰσραὴλ καὶ Ἰούδα. [32]Καὶ ἀναλαβόντες οἱ ἐκ τοῦ ἔθνους
τὸν Ἰεχονίαν υἱὸν Ἰωσείου ἀνέδειξαν βασιλέα ἀντὶ Ἰωσείου τοῦ
(35) 33 πατρὸς αὐτοῦ, ὄντα ἐτῶν εἴκοσι τριῶν. [33]καὶ ἐβασίλευσεν ἐν
Ἰσραὴλ καὶ Ἰερουσαλὴμ μῆνας τρεῖς· καὶ ἀπεκατέστησεν αὐτὸν

23 Χαρκαμυς] Καλχαμυς A | Ιωσεις B* (Ιωσειας B^{a} et ut vid b) **24** προς A αυτον βασιλευς Αιγυπτου A **26** αυτου] εαυτου A | επεχειρι (εχ sup ras $A^{a?}$) A **27** Μεταεδδαους A | βασιλεα] pr τον A **28** αυτου 1°] εαυτου A **29** δευτερον B^{a} | αυτου] εαυτου A (bis) | αποκατασταθει A* (s superscr A^{1}) **30** επενθησαν] pr και A | εθρηνουσαν] εθρηνουν A | γενεσθαι B*] γειν. B^{a} γιν. B^{b}A | αει A | παν] απαν A **31** βυβλω] βιβλω A | Κυριου] pr του A | πραχθεντα] προπραχθεντα B^{ab} προσπροαχθ. A | τω βυβλιω] τη βιβλω A | βασιλεων 2°] ε sup ras A^{a} (βασιλαιων A^{*vid}) **32** Ιεχονιαν] Ιωχαζ A **33** Ισραηλ] Ιουδα A | απεκατεστησεν] απεστησεν A

B βασιλεὺς Αἰγύπτου βασιλεύειν ἐν Ἰερουσαλήμ, 34 καὶ ἐζημίωσεν 34 (36)
τὸ ἔθνος ἀργυρίου ταλάντοις ἑκατὸν καὶ χρυσίου ταλάντῳ ἑνί.
35 καὶ ἀνέδειξεν ὁ βασιλεὺς Αἰγύπτου βασιλέα Ἰωακεὶμ τὸν ἀδελ- 35 (37)
φὸν αὐτοῦ βασιλέα τῆς Ἰουδαίας καὶ Ἰερουσαλήμ. 36 καὶ ἔδησεν 36 (38)
Ἰωακεὶμ τοὺς μεγιστᾶνας, Ζάριον δὲ τὸν ἀδελφὸν αὐτοῦ συλλα-
βὼν ἀνήγαγεν ἐξ Αἰγύπτου. 37 Ἐτῶν δὲ ἦν εἴκοσι πέντε 37 (39)
Ἰωακεὶμ ὅτε ἐβασίλευσεν τῆς Ἰουδαίας καὶ Ἰερουσαλήμ, καὶ
ἐποιησεν τὸ πονηρὸν ἐνώπιον Κυρίου. 38 μετ' αὐτὸν δὲ ἀνέβη 38 (40)
Ναβουχοδονοσὸρ βασιλεὺς Βαβυλῶνος, καὶ ἔδησεν αὐτὸν ἐν χαλ-
κείῳ δεσμῷ καὶ ἀπήγαγεν εἰς Βαβυλῶνα. 39 καὶ ἀπὸ τῶν ἱερῶν 39 (41)
σκευῶν τοῦ κυρίου λαβὼν Ναβουχοδονοσὸρ καὶ ἀπενέγκας ἀπη-
ρείσατο ἐν τῷ ναῷ αὐτοῦ ἐν Βαβυλῶνι. 40 τὰ δὲ ἱστορηθέντα 40 (42)
περὶ αὐτοῦ καὶ τῆς αὐτοῦ ἀκαθαρσίας καὶ δυσσεβείας ἀναγέ-
γραπται ἐν τῇ βίβλῳ τῶν χρόνων τῶν βασιλέων. 41 Καὶ 41 (43)
ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἰωακεὶμ ὁ υἱὸς αὐτοῦ· ὅτε γὰρ ἀνε-
δείχθη, ἦν ἐτῶν ὀκτώ. 42 βασιλεύει δὲ μῆνας τρεῖς καὶ ἡμέρας 42 (44)
δέκα ἐν Ἰερουσαλήμ, καὶ ἐποίησεν τὸ πονηρὸν ἔναντι Κυ-
ρίου. 43 Καὶ μετ' ἐνιαυτὸν ἀποστείλας Ναβουχοδονοσὸρ μετή- 43 (45)
γαγεν αὐτὸν εἰς Βαβυλῶνα ἅμα τοῖς ἱεροῖς σκεύεσιν τοῦ κυρίου,
44 καὶ ἀνέδειξεν Σεδεκίαν βασιλέα τῆς Ἰουδαίας καὶ Ἰερουσαλήμ, 44 (46)
Σεδεκίαν ὄντα ἐτῶν εἴκοσι ἑνός· βασιλεύει δὲ ἔτη ἕνδεκα. 45 καὶ 45 (47)
ἐποίησεν τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ οὐκ ἐνετράπη ἀπὸ
τῶν ῥηθέντων λόγων ὑπὸ Ἰερεμίου τοῦ προφήτου ἐκ στόματος
τοῦ κυρίου. 46 καὶ ὁρκισθεὶς ἀπὸ τοῦ βασιλέως Ναβουχοδονοσὸρ 46 (48)
τῷ ὀνόματι τοῦ κυρίου, ἐφιορκήσας ἀπέστη, καὶ σκληρύνας αὐτοῦ
τὸν τράχηλον καὶ τὴν καρδίαν αὐτοῦ παρέβη τὰ νόμιμα Κυρίου
θεοῦ Ἰσραήλ. 47 καὶ οἱ ἡγούμενοι δὲ τοῦ λαοῦ καὶ τῶν ἱερέων 47 (49)
πολλὰ ἠσέβησαν καὶ ἠνόμησαν ὑπὲρ πάσας τὰς ἀκαθαρσίας
πάντων τῶν ἐθνῶν, καὶ ἐμίαναν τὸ ἱερὸν τοῦ κυρίου τὸ ἁγια-
ζόμενον ἐν Ἰερουσαλήμ. 48 καὶ ἀπέστειλεν ὁ βασιλεὺς τῶν πατέ- 48 (50)

A **33** *βασιλευειν*] pr *του μη* $B^{c}A$ **34** *αργυριω* $B^{a?b}$ | *χρυσιω* $B^{a?b}$ **35** *ο βασιλευς*] om *ο* A | *Ιαωακειμ* (*ακειμ* sup ras) $A^{a\,vid}$ **36** *Ιωκειμ* A^{*} *Ιαωκ.* $A^{a?}$ | *Ζαριον*] *Ζαρα|κην* A **37** *Ιωακειμ*] *ακειμ* sup ras A^{a} | *ενωπιον*] *εναντι* A **38** *μετ*] *επ* A | *εδησεν*] *δησας* A | om *και* 2° A **39** *εαυτου* A **40** *ακαθαρσιας αυτου* A **41** *ο υιος*] om *ο* A | *οκτω*] pr *δεκα* A **44** *βασιλευει*] *εβασιλευσεν* A **45** *πηνηρον* B^{*} (*πον.* B^{b}) **46** *επιορκησας* $B^{ab}A$ | *αυτου*] *εαυτου* A (bis) **47** *ησεβησαν και ηνομ.*] *ηνομησαν και παρεβησαν* A | *αγιαζομενον*] *αγιασθεν* A | *Ιερουσαλημ*] *Ιεροσολυμοις* A **48** *βασιλευς*] *ο θς* $B^{a\,mg}$ *θς* $B^{b\,mg}A$

ρων αὐτῶν διὰ τοῦ ἀγγέλου αὐτοῦ μετακαλέσαι αὐτούς, καθὸ ἐφεί- B
(51) 49 δετο αὐτῶν καὶ τοῦ σκηνώματος αὐτοῦ. 49 αὐτοὶ δὲ ἐμυκτήρισαν
ἐν τοῖς ἀγγέλοις αὐτοῦ, καὶ ἧ ἡμέρᾳ ἐλάλησεν Κύριος, ἦσαν
(52) ἐκπαίζοντες τοὺς προφήτας αὐτοῦ· (52) ἕως οὗ θυμῶντα αὐτὸν ἐπὶ
τῷ ἔθνει αὐτοῦ διὰ τὰ δυσσεβήματα προστάξαι ἀναβιβάσαι
(53) 50 ἐπ᾽ αὐτοὺς τοὺς βασιλεῖς τῶν Χαλδαίων. 50 οὗτοι ἀπέκτειναν
τοὺς νεανίσκους αὐτῶν ἐν ῥομφαίᾳ περικύκλῳ τοῦ ἁγίου ἱεροῦ,
καὶ οὐκ ἐφείσαντο νεανίσκου καὶ παρθένου καὶ πρεσβύτου καὶ
(54) νεωτέρου, (54) ἀλλὰ πάντας παρέδωκαν εἰς τὰς χεῖρας αὐτῶν.
51 51 καὶ πάντα τὰ ἱερὰ σκεύη τοῦ κυρίου, τὰ μεγάλα καὶ τὰ μικρά,
καὶ τὰς κιβωτοὺς τοῦ κυρίου καὶ τὰς βασιλικὰς ἀποθήκας ἀνα-
(55) 52 λαβόντες ἀπήνεγκαν εἰς Βαβυλῶνα. 52 καὶ ἐνεπύρισαν τὸν οἶκον
τοῦ κυρίου, καὶ ἔλυσαν τὰ τείχη Ἰερουσαλήμ, καὶ τοὺς πύργους
(56) 53 αὐτῆς ἐνεπύρισαν ἐν πυρί, 53 καὶ συνετέλεσαν πάντα τὰ ἔνδοξα
αὐτῆς ἀχρεῶσαι· καὶ τοὺς ἐπιλοίπους ἀπήγαγεν μετὰ ῥομφαίας
(57) 54 εἰς Βαβυλῶνα. 54 καὶ ἦσαν παῖδες αὐτῷ καὶ τοῖς υἱοῖς αὐτοῦ μέχρι
οὗ βασιλεῦσαι Πέρσας, εἰς ἀναπλήρωσιν τοῦ ῥήματος τοῦ κυρίου
(58) 55 ἐν στόματι Ἰερεμίου 55 Ἕως τοῦ εὐδοκῆσαι τὴν γῆν τὰ σάββατα
αὐτῆς, πάντα τὸν χρόνον τῆς ἐρημώσεως αὐτῆς σαββατιεῖ εἰς
συνπλήρωσιν ἐτῶν ἑβδομήκοντα.

II 1 1 Βασιλεύοντος Κύρου Περσῶν ἔτους πρώτου, εἰς συντέλειαν ῥή-
2 ματος Κυρίου ἐν στόματι Ἰερεμίου, 2 ἤγειρεν Κύριος τὸ πνεῦμα Κύρου
βασιλέως Περσῶν, καὶ ἐκήρυξεν ὅλῃ τῇ βασιλείᾳ αὐτοῦ καὶ ἅμα διὰ
3 γραπτῶν λέγων 3 Τάδε λέγει ὁ βασιλεὺς Περσῶν Κῦρος Ἐμὲ ἀνέ-
δειξεν βασιλέα τῆς οἰκουμένης ὁ κύριος τοῦ Ἰσραήλ, Κύριος ὁ ὕψιστος,
4 4 καὶ ἐσήμηνέν μοι οἰκοδομῆσαι αὐτῷ οἶκον ἐν Ἰερουσαλὴμ τῇ ἐν τῇ
5 Ἰουδαίᾳ. 5 εἴ τίς ἐστιν οὖν ὑμῶν ἐκ τοῦ ἔθνους αὐτοῦ, ἔστω ὁ κύριος
αὐτοῦ μετ᾽ αὐτοῦ, καὶ ἀναβὰς εἰς τὴν Ἰερουσαλὴμ τὴν ἐν τῇ Ἰουδαίᾳ
οἰκοδομείτω τὸν οἶκον τοῦ κυρίου τοῦ Ἰσραήλ· οὗτος ὁ κύριος ὁ
6 κατασκηνώσας ἐν Ἰερουσαλήμ. 6 ὅσοι οὖν κατὰ τοὺς τόπους οἰ-
κοῦσιν, βοηθείτωσαν αὐτῷ οἱ ἐν τῷ τόπῳ αὐτοῦ ἐν χρυσίῳ καὶ ἐν

43 αυτου] εαυτου A (bis) **49** εμυκτηριζαν] εξεμυκτηριζον A | ου] του A | A θυμωντα] θυμωθεντα A | αυτου 3°] εαυτου A **50** αγιου]+αυτων A | νεωτερου]+αυτων A | παντα A **51** ιερεα B* (ιερα B^{b}A) | τας κιβωτους] τα σκευη κιβωτου A **52** του κυριου] om του A | αυτης] αυτων A **53** αχρειωσαι B^{ab}A | μετα] απο A **54** μεχρι ου] μεχρις ου B^{ab} μεχρι του A | του ρηματος του κυριου] λογου κῡ A **55** συμπληρωσιν B^{b}A **II 2** ολη] pr εν A | αυτου] εαυτου A **4** αυτω] εαυτω A **5** ο κυριος 1°]+κς A | του κυριου] om του A **6** τους τοπους] om τους A

B ἀργυρίῳ, [7]ἐν δόσεσιν, μεθ' ἵππων καὶ κτηνῶν, σὺν τοῖς ἄλλοις (7)
τοῖς κατ' εὐχὰς προστεθειμένοις εἰς τὸ ἱερὸν τοῦ κυρίου τὸ ἐν Ἰερου-
σαλήμ. [7]Καὶ καταστήσαντες οἱ ἀρχίφυλοι τῶν πατριῶν τῆς 7 (8)
Ἰούδα καὶ Βενιαμεὶν φυλῆς, καὶ οἱ ἱερεῖς καὶ οἱ Λευεῖται, καὶ
πάντων ὧν ἤγειρεν Κύριος τὸ πνεῦμα ἀναβῆναι οἰκοδομῆσαι
οἶκον τῷ κυρίῳ τὸν ἐν Ἰερουσαλήμ· [8]καὶ οἱ περικύκλῳ αὐτῶν 8
[9]ἐβοήθησαν ἐν πᾶσιν, ἐν ἀργυρίῳ καὶ χρυσίῳ, ἵπποις, κτήνεσιν (9)
καὶ εὐχαῖς ὡς πλείσταις πολλῶν ὧν ὁ νοῦς ἠγέρθη. [9]καὶ ὁ 9 (10)
βασιλεὺς Κῦρος ἐξήνεγκεν τὰ ἅγια σκεύη τοῦ κυρίου, ἃ μετήγαγεν
Ναβουχοδονοσὸρ ἐξ Ἰερουσαλὴμ καὶ ἀπηρείσατο αὐτὰ ἐν τῷ εἰ-
δωλίῳ αὐτοῦ. [10]ἐξενέγκας δὲ αὐτὰ Κῦρος ὁ βασιλεὺς Περσῶν 10 (11)
παρέδωκεν αὐτὰ Μιθριδάτῃ τῷ ἑαυτοῦ γαζοφύλακι· [11]διὰ δὲ τού- 11 (12)
του παρεδόθησαν Σαναμασσάρῳ προστάτῃ τῆς Ἰουδαίας. [12]ὁ δὲ 12 (13)
τούτων ἀριθμὸς ἦν, σπονδεῖα χρυσᾶ χίλια, σπονδεῖα ἀργυρᾶ
χίλια, θυίσκαι ἀργυραῖ εἴκοσι ἐννέα, φιάλαι χρυσαῖ τριάκοντα,
ἀργυραῖ ,βυ' δέκα, καὶ ἄλλα σκεύη χίλια. [13]τὰ δὲ πάντα σκεύη 13 (14)
ἐκομίσθη, χρυσᾶ καὶ ἀργυρᾶ, πεντακισχίλια τετρακόσια ἑξή-
κοντα ἐννέα· [14]ἀνηνέχθη δὲ ὑπὸ Σαμανασσάρου ἅμα τοῖς ἐκ τῆς 14 (15)
αἰχμαλωσίας ἐκ Βαβυλῶνος εἰς Ἰερουσαλήμ. [15]Ἐν δὲ τοῖς 15 (16)
ἐπὶ Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως χρόνοις κατέγραψεν αὐτῶν
κατὰ τῶν κατοικούντων ἐν τῇ Ἰουδαίᾳ καὶ Ἰερουσαλὴμ Βήλεμος
καὶ Μιθραδάτης καὶ Ταβέλλιος καὶ Ῥάθυμος καὶ Βεέλτεθμος καὶ
Σαμέλλιος ὁ γραμματεὺς καὶ οἱ λοιποὶ οἱ τούτοις συντασσόμενοι,
οἰκοῦντες δὲ ἐν Σαμαρείᾳ καὶ τοῖς ἄλλοις τόποις, τὴν ὑπογεγραμ-
μένην ἐπιστολήν· [16]Βασιλεῖ Ἀρταξέρξῃ [17]κυρίῳ οἱ παῖδές σου 16 (17)
Ῥάθυμος ὁ τὰ προσπίπτοντα καὶ Σαμέλλιος ὁ γραμματεὺς καὶ
οἱ ἐπίλοιποι τῆς βουλῆς αὐτῶν καὶ οἱ ἐν κοίλῃ Συρίᾳ καὶ Φοι-
νίκῃ. [17]καὶ νῦν γνωστὸν ἔστω τῷ κυρίῳ βασιλεῖ ὅτι Ἰουδαῖοι 17 (18)

A **7** καταστησαντες] κατασταντες A | αρχιφυλοι A*vid (αρχιφυλ. A²) **8** om εν 2° A | κτηνεσιν] pr και A | ως] ως ταις A*vid ωσται A² **9** αγια] ιερα A | μετηγαγεν] μετηνεγ|κεν A | ειδωλιω αυτου] εαυτου ειδ. A **10** Μιθραδατη A (ατ sup ras A^a) | γαζοφυλακι] αζ sup ras A^a **11** Σαναβασσαρω (αναβ sup ras) A^a | προστατη] pr τω A **12** σπονδια B* σπονδεια B^abA, 1° : σπονδεια B σπονδια A, 2° | χρυσεαι A | ,βυ'] τρισχιλιαι τετρα|κοσιαι A **13** εκομισθη] διεκομισθη A **14** ανηνεχθη] η 1° sup ras A^a | Σαναβασσαρου A | Ιεροσολυμα A **15** Αρταρξερξου A | αυτων] αυτω A | Μιθραδατης B*A^a] Μιθριδ. B^abA*vid | Ραθυμος και Βεελτεθμος] Ραθυος και Βα|ελτεθμος (ος και Βα sup ras) A^a | Σεμελλιος A | οικουντες] pr οι A οικο sup ras A^a **16** Αρταρξερξη A | Σαμελλιος] Σεβελλιος A | οι 3°] pr κραταιοι A **17** κυριω] + μου A | οτι] διοτι A | Ιουδαιοι] pr οι A

ἀναβάντες παρ᾽ ὑμῶν πρὸς ἡμᾶς, ἐλθόντες εἰς Ἰερουσαλήμ, τὴν B
πόλιν τὴν ἀποστάτιν καὶ πονηρὰν οἰκοῦσιν, τάς τε ἀγορὰς αὐ-
(19) 18 τῆς καὶ τὰ τείχη θεραπεύουσιν καὶ ναὸν ὑποβάλλονται. 18ἐὰν
οὖν ἡ πόλις αὕτη οἰκοδομηθῇ καὶ τὰ τείχη συντελεσθῇ, φορο-
λογίαν οὐ μὴ ὑπομείνωσιν δοῦναι, ἀλλὰ καὶ βασιλεῦσιν ἀντιστή-
(20) σονται· (20)καὶ ἐπεὶ ἐνεργεῖται τὰ κατὰ τὸν ναόν, καλῶς ἔχειν
(21) ὑπολαμβάνομεν μὴ ὑπεριδεῖν τὸ τοιοῦτο (21)ἀλλὰ προσφωνῆσαι
τῷ κυρίῳ βασιλεῖ ὅπως, ἂν φαίνηταί σοι, ἐπισκεφθῇ ἐν τοῖς ἀπὸ
(22) 19 τῶν πατέρων σου βιβλίοις. 19καὶ εὑρήσεις ἐν τοῖς ὑπομνημα-
τισμοῖς τὰ γεγραμμένα περὶ τούτων, καὶ γνώσῃ ὅτι ἡ πόλις ἦν
(23) ἐκείνη ἀποστάτις καὶ βασιλεῖς καὶ πόλεις ἐνοχλοῦσα, (23)καὶ οἱ
Ἰουδαῖοι ἀποστάται καὶ πολιορκίας συνεσταμένοι ἐν αὐτῇ ἔτι ἐξ
(24) 20 αἰῶνος, δι᾽ ἣν αἰτίαν ἡ πόλις αὕτη ἠρημώθη. 20νῦν οὖν ὑποδει-
κνύομέν σοι, κύριε βασιλεῦ, ὅτι ἐὰν ἡ πόλις αὕτη οἰκοδομηθῇ
καὶ τὰ ταύτης τείχη ἀνασταθῇ, ἔξοδός σοι οὐκέτι ἔσται εἰς κοί-
(25) 21 λην Συρίαν καὶ Φοινίκην. 21τότε ἀντέγραψεν ὁ βασιλεὺς Ῥαθύμῳ
τῷ γράφοντι τὰ προσπίπτοντα καὶ Βεελτέθμῳ καὶ Σαμελλίῳ
γραμματεῖ καὶ τοῖς λοιποῖς τοῖς συντασσομένοις καὶ οἰκοῦσιν ἐν
(26) 22 Σαμαρείᾳ καὶ Συρίᾳ καὶ Φοινίκῃ τὰ ὑπογεγραμμένα 22Ἀνέγνων
τὴν ἐπιστολὴν ἣν πεπόμφατε πρὸς μέ. ἐπέταξα οὖν ἐπισκέ-
ψασθαι· καὶ εὑρέθη ὅτι ἐστὶν ἡ πόλις ἐκείνη ἐξ αἰῶνος βασι-
(27) 23 λεῦσιν ἀντιπαρατάσσουσα, 23καὶ οἱ ἄνθρωποι ἀποστάσεις καὶ
πολέμους ἐν αὐτῇ συντελοῦντες, καὶ βασιλεῖς ἰσχυροὶ καὶ σκληροὶ
ἦσαν ἐν Ἰερουσαλὴμ κυριεύοντες καὶ φορολογοῦντες κοίλην Συ-
(28) 24 ρίαν καὶ Φοινίκην. 24νῦν οὖν ἐπέταξα ἀποκωλῦσαι τοὺς ἀνθρώ-
πους ἐκείνους τοῦ οἰκοδομῆσαι τὴν πόλιν, καὶ προνοηθῆναι ὅπως
(29) μηθὲν παρὰ ταῦτα γένηται (29)καὶ μὴ προβῇ ἐπὶ πλεῖον τὰ τῆς
(30) 25 κακίας εἰς τὸ βασιλεῖς ἐνοχλῆσαι. 25τότε ἀναγνωσθέντων τῶν
παρὰ τοῦ βασιλέως Ἀρταξέρξου γραφέντων ὁ Ῥάθυμος καὶ

17 πονηραν] pr την A | οικουσιν] οικοδομουσιν B^a (οικοδομους $B^{b?}$) A A **18** επι B* (επει B^{ab}) | υπερδειν B* (υπεριδειν $B^?$) | το τοιουτο] om το A αν] εαν A | φανηται A **19** υπομνηματισμοις] υπομνημασιν A | αποστατις] απ sup ras A^a | συνεσταμενοι B^{ab} (συνετ. B*)] συνισταμενοι A | η πολις 2°] pr και A **20** υποδικνυμεν A | οτι] διοτι A | εξοδος] καθοδος A | ουκετι σοι A | Φοινεικ. B* (Φοινικ. B^b: item 21, 23) **21** Βεελτεμωθ᾽ A | συντασσομενοις] ο 1° sup ras A^a | Σαμαρειᾳ] pr τη A | om και Συρια A **22** επεταξα] ετ sup ras A^a (επατ. A^{*vid}) | ηυρεθη A | αντιπαρατασσ.] ι sup ras A^a **24** om ουν A | επεταξα B^{ab}A] επαταξα B* | μηθεν] μηδεν A | εις το] επι το A | ενοχλησαι] ενοχλισθαι A **25** Αρταρξερξου A

Β Σαμέλλιος ὁ γραμματεὺς καὶ οἱ τούτοις συντασσόμενοι, ἀναζεύξαντες κατὰ σπουδὴν εἰς Ἰερουσαλὴμ μεθ' ἵππου καὶ ὄχλου παρατάξεως, (31)ἤρξαντο κωλύειν τοὺς οἰκοδομοῦντας· καὶ ἤργει ἡ (31)
οἰκοδομὴ τοῦ ἱεροῦ τοῦ ἐν Ἰερουσαλὴμ μέχρι τοῦ δευτέρου ἔτους τῆς βασιλείας Δαρείου τοῦ Περσῶν βασιλέως.

III [1]Καὶ βασιλεὺς Δαρεῖος ἐποίησεν δοχὴν μεγάλην πᾶσιν τοῖς ὑπ' αὐ- 1
τόν, καὶ πᾶσιν τοῖς οἰκογενέσιν αὐτοῦ, καὶ πᾶσιν τοῖς μεγιστᾶσιν τῆς
Μηδείας καὶ τῆς Περσίδος, [2]καὶ πᾶσιν τοῖς σατράπαις καὶ στρατηγοῖς 2
καὶ τοπάρχαις τοῖς ὑπ' αὐτὸν ἀπὸ τῆς Ἰνδικῆς μέχρι Αἰθιοπίας ἐν
ταῖς ἑκατὸν εἴκοσι ἑπτὰ σατραπείαις. [3]καὶ ἐφάγοσαν καὶ ἐπίοσαν, 3
καὶ ἐμπλησθέντες ἀνέλυσαν· ὁ δὲ Δαρεῖος ὁ βασιλεὺς ἀνέλυσεν εἰς
τὸν κοιτῶνα καὶ ἐκοιμήθη, καὶ ἔξυπνος ἐγένετο. [4]τότε οἱ τρεῖς 4
νεανίσκοι οἱ σωματοφύλακες, οἱ φυλάσσοντες τὸ σῶμα τοῦ βασιλέως,
εἶπαν ἕτερος πρὸς τὸν ἕτερον [5]Εἴπωμεν ἕκαστος ἡμῶν ἕνα λόγον 5
ὃς ὑπερισχύσει· καὶ οὗ ἂν φανῇ τὸ ῥῆμα αὐτοῦ σοφώτερον τοῦ ἑτέ-
ρου, δώσει αὐτῷ Δαρεῖος ὁ βασιλεὺς δωρεὰς μεγάλας καὶ ἐπινίκια
μεγάλα, [6]καὶ πορφύραν περιβαλέσθαι καὶ ἐν χρυσώμασιν πίνειν καὶ 6
ἐπὶ χρυσῷ καθεύδειν καὶ ἅρμα χρυσοχάλινον καὶ κίδαριν βυσσίνην
καὶ μανιάκην περὶ τὸν τράχηλον, [7]καὶ δεύτερος καθιεῖται Δαρείου διὰ 7
τὴν σοφίαν αὐτοῦ, καὶ συγγενὴς Δαρείου κληθήσεται. [8]καὶ τότε 8
γράψαντες ἕκαστος τὸν ἑαυτοῦ λόγον ἐσφραγίσαντο καὶ ἔθηκαν ὑπὸ
τὸ προσκεφάλαιον Δαρείου τοῦ βασιλέως, (9)καὶ εἶπαν [9α]Ὅταν ἐγερθῇ 9
ὁ βασιλεύς, δώσουσιν αὐτῷ τὸ γράμμα· καὶ ὃν ἂν κρίνῃ ὁ βασιλεὺς
καὶ οἱ τρεῖς μεγιστᾶνες τῆς Περσίδος ὅτι οὗ ὁ λόγος αὐτοῦ σοφώ-
τερος, αὐτῷ δοθήσεται τὸ νῖκος, καθὼς γέγραπται. [10]ὁ εἷς ἔγραψεν 10
Ὑπερισχύει ὁ οἶνος. [11]ὁ ἕτερος ἔγραψεν Ὑπερισχύει ὁ βασιλεύς. 11
[12]ὁ τρίτος ἔγραψεν Ὑπερισχύουσιν αἱ γυναῖκες, ὑπὲρ δὲ πάντα 12
νικᾷ ἡ ἀλήθεια. [13]καὶ ὅτε ἐξηγέρθη ὁ βασιλεύς, λαβόντες τὸ γράμμα 13
ἔδωκαν αὐτῷ, καὶ ἀνέγνω. [14]καὶ ἐξαποστείλας ἐκάλεσεν πάντας 14
τοὺς μεγιστᾶνας τῆς Περσίδος καὶ τῆς Μηδείας καὶ σατράπας καὶ
στρατηγοὺς καὶ τοπάρχας καὶ ὑπάτους, (15)καὶ ἐκάθισεν ἐν τῷ χρηματι-

A **25** Σεμελλιος A | εις Ιλημ κατα σπουδην A | μεθ] μετ A | Δαριου B*A (Δαρειου $B^{a?b}$) III **1** Δαριος B*A (Δαρειος $B^{a?b}$) | Μηδιας A **2** υπ αυτον] μετ αυτων A | Αιθιοπιας B^b (Αιθιοπιαις B*)] pr της A | σατραπιαις B^bA **3** και ιο]+οτε A | εφαγον A | επιον A | ο δε] τοτε A | Δαριος A **4** προς τον ετερον] τω ετερω A **5** αν] εαν A | αυδω B* (αυτω $B^{ab}A$) **6** τραχηλον]+αυτου A **7** αυτου] εαυτου A **9** om αν A | om ου A | νικος] νικημα A **10** ο εις A^1] οις A* **12** ο τριτος B^{ab} (οτι τρ. B*)] ο αλλος A **13** εδωκαν] επεδωκαν A

(16) 15 στηρίῳ, καὶ ἀνεγνώσθη τὸ γράμμα ἐνώπιον αὐτῶν. 15καὶ εἶ- B
πεν Καλέσατε τοὺς νεανίσκους, καὶ αὐτοὶ δηλώσουσιν τοὺς λό-
(17) 16 γους αὐτῶν· καὶ ἐκλήθησαν, καὶ εἰσήλθοσαν. 16καὶ εἶπαν αὐτοῖς
Ἀπαγγείλατε ἡμῖν περὶ τῶν γεγραμμένων. Καὶ ἤρξατο ὁ
(18) 17 πρῶτος ὁ εἶπας περὶ τῆς ἰσχύος τοῦ οἴνου, (18)καὶ ἔφη οὕτως 17Ἄν-
δρες, πῶς ὑπερισχύει ὁ οἶνος. πάντας τοὺς ἀνθρώπους τοὺς
(19) 18 πιόντας αὐτὸν πλανᾷ τὴν διάνοιαν, 18τοῦ τε βασιλέως καὶ τοῦ
ὀρφανοῦ ποιεῖ τὴν διάνοιαν μίαν, τήν τε τοῦ οἰκέτου καὶ τὴν τοῦ
(20) 19 ἐλευθέρου, τήν τε τοῦ πένητος καὶ τὴν τοῦ πλουσίου· 19καὶ
πᾶσαν διάνοιαν μεταστρέφει εἰς εὐωχίαν καὶ εὐφροσύνην, καὶ
(21) 20 οὐ μέμνηται πᾶσαν λύπην καὶ πᾶν ὀφείλημα· 20καὶ πάσας καρ-
δίας ποιεῖ πλουσίας, καὶ οὐ μέμνηται βασιλέα οὐδὲ σατράπην·
(22) 21 καὶ πάντα διὰ ταλάντων ποιεῖ λαλεῖν. 21καὶ οὐ μέμνηται ὅταν
πίνωσιν φιλιάζειν φίλοις καὶ ἀδελφοῖς, καὶ μετ᾽ οὐ πολὺ σπῶν-
(23) 22 ται μαχαίρας· 22καὶ ὅταν ἀπὸ τοῦ οἴνου ἐγερθῶσιν, οὐ μέμνηται ἃ
(24) 23 ἔπραξαν. 23ὦ ἄνδρες, οὐχ ὑπερισχύει ὁ οἶνος ὅτι οὕτως ἀναγκάζει
IV 1 ποιεῖν; καὶ ἐσίγησεν οὕτως εἶπας. 1Καὶ ἤρξατο ὁ δεύτερος
2 λαλεῖν ὁ εἶπας περὶ τῆς ἰσχύος τοῦ βασιλέως 2Ὦ ἄνδρες, οὐχ ὑπερι-
σχύουσιν οἱ ἄνθρωποι, τὴν γῆν καὶ τὴν θάλασσαν κατακρατοῦντες καὶ
3 πάντα τὰ ἐν αὐτοῖς; 3ὁ δὲ βασιλεὺς ὑπερισχύει καὶ κυριεύει αὐτῶν
4 καὶ δεσπόζει αὐτῶν, καὶ πᾶν ὃ ἐὰν εἴπῃ αὐτοῖς ἐνακούουσιν. 4ἐὰν
εἴπῃ αὐτοῖς ποιῆσαι πόλεμον ἕτερος πρὸς τὸν ἕτερον, ποιοῦσιν·
ἐὰν δὲ ἐξαποστείλῃ αὐτοὺς πρὸς τοὺς πολεμίους, βαδίζουσιν καὶ
5 κατεργάζονται τὰ ὄρη καὶ τὰ τείχη καὶ τοὺς πύργους. 5φονεύουσιν
καὶ φονεύονται, καὶ τὸν λόγον τοῦ βασιλέως οὐ παραβαίνουσιν· ἐὰν
δὲ νικήσωσιν, τῷ βασιλεῖ κομίζουσιν πάντα, καὶ ἐὰν προνομεύσωσιν
6 καὶ τὰ ἄλλα πάντα. 6καὶ ὅσοι οὐ στρατεύονται οὐδὲ πολεμοῦσιν
ἀλλὰ γεωργοῦσιν τὴν γῆν, πάλιν ὅταν σπείρωσι, θερίσαντες ἀνα-
φέρουσιν τῷ βασιλεῖ· καὶ ἕτερος τὸν ἕτερον ἀναγκάζοντες ἀναφέ-
7 ρουσι τοὺς φόρους τῷ βασιλεῖ. 7καὶ αὐτὸς εἰ μόνος ἐστίν, ἐὰν

15 δηλουσουσιν A | αυτων] εαυτων A **17** πινοντας A | τη διανοια A A **18** την 5°] ras aliq in τ B^{1} **20** καρδιας] pr τας A | βασιλεια A (ι improb vid $A^{a?\,mg}$) **21** φιλιαζειν] φιαλιζειν A | μαχαιρας] pr τας A **22** εγερθωσιν] γενηθωσιν A | ου] ουδε A | μεμνηται] μνηται (sic) A | επραξεν A **23** om οτι A | ειπας] ειπων A IV **1** ειπας] ειπων A **2** θρωποι την γῆ| sup ras $B^{a?\,b}$ **3** βασιλευ A^{*} (βασιλευς A^{1}) | κυριει B^{*} (κυριευει $B^{ab}A$) | αυτων 1°] παντων A | παν] παντα A | εαν] αν A | ενακουουσιν] ποιησουσιν A **4** ποιουσιν] ποιησουσιν A | πολεμους A^{*} (πολεμιους A^{1}) **5** εαν 2°] pr οσα A **6** σπειρωσιν A | αναφερουσιν (2°) A **7** ει B^{*} (εις $B^{ab}A$)

Β εἶπη ἀποκτεῖναι, ἀποκτέννουσιν· εἶπεν ἀφεῖναι, ἀφίουσιν· [8]εἶπε 8
πατάξαι, τύπτουσιν· εἶπεν ἐρημῶσαι, ἐρημοῦσιν· εἶπεν οἰκοδομῆσαι,
οἰκοδομοῦσιν· [9]εἶπεν ἐκκόψαι, ἐκκόπτουσιν· εἶπεν φυτεῦσαι, φυτεύ- 9
ουσιν· [10]καὶ πᾶς ὁ λαὸς αὐτοῦ καὶ αἱ δυνάμεις αὐτοῦ ἐνακούουσιν. 10
πρὸς δὲ τούτοις αὐτὸς ἀνάκειται, ἐσθίει καὶ πίνει καὶ καθεύδει·
[11]αὐτοὶ δὲ τηροῦσιν κύκλῳ περὶ αὐτόν, καὶ οὐ δύνανται ἕκαστος 11
ἀπελθεῖν καὶ ποιεῖν τὰ ἔργα αὐτοῦ, οὐδὲ παρακούουσιν αὐτοῦ. [12]ὦ 12
ἄνδρες, πῶς οὐχ ὑπερισχύει ὁ βασιλεὺς ὅτι οὕτως ἐπάκουστός ἐστιν;
καὶ ἐσίγησεν. [13]Ὁ δὲ τρίτος ὁ εἶπας περὶ τῶν γυναικῶν καὶ τῆς 13
ἀληθείας, οὗτός ἐστιν Ζοροβαβέλ, ἤρξατο λαλεῖν [14]Ἄνδρες, οὐ μέγας 14
ὁ βασιλεύς, καὶ πολλοὶ οἱ ἄνθρωποι, καὶ ὁ οἶνος ἰσχύει; τίς οὖν ὁ
δεσπόζων αὐτῶν, ἢ τίς ὁ κυριεύων; [(15)]οὐχ αἱ γυναῖκες; [15]αἱ γυναῖκες 15
ἐγέννησαν τὸν βασιλέα καὶ πάντα τὸν λαὸν ὃς κυριεύει τῆς θαλάσσης
καὶ τῆς γῆς· [16]καὶ ἐξ αὐτῶν ἐγένοντο, καὶ αὗται ἐξέθρεψαν αὐτοὺς 16
τοὺς φυτεύσαντας τοὺς ἀμπελῶνας ἐξ ὧν ὁ οἶνος γίνεται, [17]καὶ αὗται 17
ποιοῦσιν τὰς στολὰς τῶν ἀνθρώπων, καὶ αὗται ποιοῦσιν δόξαν τοῖς
ἀνθρώποις, καὶ οὐ δύνανται οἱ ἄνθρωποι εἶναι χωρὶς τῶν γυναικῶν.
[18]ἐὰν δὲ συναγάγωσιν χρυσίον καὶ ἀργύριον καὶ πᾶν πρᾶγμα ὡραῖον, 18
καὶ ἴδωσιν γυναῖκα μίαν καλὴν τῷ εἴδει καὶ τῷ κάλλει, [19]καὶ ταῦτα 19
πάντα ἀφέντες εἰς αὐτὴν κέχηναν, καὶ χάσκοντες τὸ στόμα θεω-
ροῦσιν αὐτήν, καὶ πάντες αὐτὴν αἱρετίζουσιν μᾶλλον ἢ τὸ χρυσίον
καὶ τὸ ἀργύριον καὶ πᾶν πρᾶγμα ὡραῖον. [20]ἄνθρωπος τὸν ἑαυτοῦ 20
πατέρα ἐνκαταλείπει ὃς ἐξέθρεψεν αὐτὸν καὶ τὴν ἰδίαν χώραν, καὶ
πρὸς τὴν ἰδίαν γυναῖκα κολλᾶται, [21]καὶ μετὰ τῆς γυναικὸς ἀφίησι 21
τὴν ψυχήν, καὶ οὔτε τὸν πατέρα μέμνηται οὔτε τὴν μητέρα οὔτε τὴν
χώραν. [22]καὶ ἐντεῦθεν δεῖ ὑμᾶς γνῶναι ὅτι αἱ γυναῖκες κυριεύουσιν 22
ὑμῶν· οὐχὶ πονεῖτε καὶ μοχθεῖτε, καὶ πάντα ταῖς γυναιξὶν δίδοτε
καὶ φέρετε; [23]καὶ λαμβάνει ἄνθρωπος τὴν ῥομφαίαν αὐτοῦ καὶ 23
ἐκπορεύεται ἐξοδεύειν καὶ λῃστεύειν καὶ κλέπτειν, καὶ εἰς τὴν θά-

A **7** αποκτεινουσιν A* αποκτενουσιν A^{2} | ειπεν] εαν ειπη A | αφεναι] αφιεναι A **8** om ειπεν ερημωσαι ερημουσιν A **9** εκκοπτουειν B^{edit} **10** ενακουουσιν] ν sup ras 2 litt A^{a} **11** αυτοι] ουτοι A | κυκλω περι αυτον] περι αυτον (ον sup ras A^{a}) κυκλω A | δυναται A **13** ειπας] ειπων A **14** ανδρες] pr ω A | om αυτων B* (hab superscr B^{ab}) **15** κυριει B* (κυριευει B^{ab}A) **16** φυτευοντας A **17** αυται 2° B$^{?}$A] αυτοι B* | δοξαν...γυναικων] τας δοξας| των ανων και ου δυνανται οι αν̄ο̄ι χωρεις των γυν. ειναι A (τας...των γυ sup ras et in mg A^{a}) **18** και παν πραγμα ωραιον και ιδωσιν] ουχι αγαπωσιν A | ιδει B*A (ειδει B^{ab}) **19** κεχηναν] εγκεχηναν A | πραγμαν A* (ν ras A$^{?}$) **20** εγκαταλειπει A **21** αφιησιν A **23** αυτου BA*] εαυτου A^{1} | εξοδευειν] εις εξοδιαν A | om και 3° A

24 λασσαν πλεῖν καὶ ποταμούς, [24]καὶ τὸν λέοντα θεωρεῖ, καὶ ἐν σκότει B
βαδίζει· καὶ ὅταν κλέψῃ καὶ ἁρπάσῃ καὶ λωποδυτήσῃ, τῇ ἐρωμένῃ
25 ἀποφέρει. [25]καὶ πλεῖον ἀγαπᾷ ἄνθρωπος τὴν ἰδίαν γυναῖκα μᾶλλον
26 ἢ τὸν πατέρα καὶ τὴν μητέρα. [26]καὶ πολλοὶ ἀπενοήθησαν ταῖς ἰδίαις
27 διανοίαις διὰ τὰς γυναῖκας, καὶ δοῦλοι ἐγένοντο δι' αὐτάς· [27]καὶ
πολλοὶ ἀπώλοντο καὶ ἐσφάλησαν καὶ ἡμάρτοσαν διὰ τὰς γυναῖκας.
28 [28]καὶ νῦν οὐ πιστεύετέ μοι; οὐχὶ μέγας ὁ βασιλεὺς τῇ ἐξουσίᾳ
29 αὐτοῦ; οὐχὶ πᾶσαι αἱ χῶραι εὐλαβοῦνται ἅψασθαι αὐτοῦ; [29]ἐθεώ-
ρουν αὐτὸν καὶ Ἀπάμην τὴν θυγατέρα Βαρτάκου τοῦ θαυμαστοῦ
30 τὴν παλλακὴν τοῦ βασιλέως καθημένην ἐν δεξιᾷ τοῦ βασιλέως, [30]καὶ
ἀφαιροῦσαν τὸ διάδημα ἀπὸ τῆς κεφαλῆς τοῦ βασιλέως καὶ ἐπιτι-
31 θοῦσαν αὐτῇ· καὶ ἐράπιζεν τὸν βασιλέα τῇ ἀριστερᾷ. [31]καὶ πρὸς
τούτοις ὁ βασιλεὺς χάσκων τὸ στόμα ἐθεώρει αὐτήν· καὶ ἐὰν γελάσῃ
αὐτῷ, γελᾷ· ἐὰν δὲ πικρανθῇ ἐπ' αὐτόν, κολακεύει αὐτὴν ὅπως
32 διαλλαγῇ αὐτῷ. [32]ὦ ἄνδρες, πῶς οὐκ ἰσχυραὶ αἱ γυναῖκες ὅτι
33 οὕτως πράσσουσιν; [33]καὶ τότε ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες ἔβλε-
34 πον εἰς τὸν ἕτερον. καὶ ἤρξατο λαλεῖν περὶ τῆς ἀληθείας [34]Ἄνδρες,
οὐκ ἰσχυραὶ αἱ γυναῖκες; μεγάλη ἡ γῆ, καὶ ὑψηλὸς ὁ οὐρανός, καὶ
ταχὺς τῷ δρόμῳ ὁ ἥλιος, ὅτι στρέφεται ἐν τῷ κύκλῳ τοῦ οὐρανοῦ
35 καὶ πάλιν ἀποτρέχει εἰς τὸν ἑαυτοῦ τόπον ἐν μιᾷ ἡμέρᾳ. [35]οὐχὶ
μέγας ὃς ταῦτα ποιεῖ; καὶ ἡ ἀλήθεια μεγάλη καὶ ἰσχυροτέρα παρὰ
36 πάντα. [36]πᾶσα ἡ γῆ τὴν ἀλήθειαν καλεῖ, καὶ ὁ οὐρανὸς αὐτὴν
εὐλογεῖ, καὶ πάντα τὰ ἔργα σείεται καὶ τρέμει, καὶ οὐκ ἔστι μετ' αὐ-
37 τοῦ ἄδικον οὐθέν. [37]ἄδικος ὁ οἶνος, ἄδικος ὁ βασιλεύς, ἄδικοι αἱ
γυναῖκες, ἄδικοι πάντες οἱ υἱοὶ τῶν ἀνθρώπων καὶ ἄδικα πάντα τὰ
ἔργα αὐτῶν, πάντα τὰ τοιαῦτα· καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἀλήθεια, καὶ
38 ἐν τῇ ἀδικίᾳ αὐτῶν ἀπολοῦνται. [38]καὶ ἡ ἀλήθεια μένει καὶ ἰσχύει
39 εἰς τὸν αἰῶνα, καὶ ζῇ καὶ κρατεῖ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. [39]καὶ
οὐκ ἔστιν παρ' αὐτὴν λαμβάνειν πρόσωπα οὐδὲ διαφορά, ἀλλὰ τὰ
δίκαια ποιεῖ ἀπὸ πάντων τῶν ἀδίκων καὶ πονηρῶν· καὶ πάντες
40 εὐδοκοῦσι τοῖς ἔργοις αὐτῆς, [40]καὶ οὐκ ἔστιν ἐν τῇ κρίσει αὐτῆς
οὐθὲν ἄδικον. καὶ αὕτη ἡ ἰσχὺς καὶ τὸ βασίλειον καὶ ἡ ἐξουσία καὶ

23 πλει A **24** ερωμενη] ερη|μωμενη A **28** ευλαβουνται] + αυτον A A
30 αυτη] εαυτη A | ερραπιζεν B^{ab} **31** αυτην 1° B^{ab}A] αυτω B* | κολοκαυει B* κολοκευει B^{a} (κολακευει B^{b}A) **32** ουκ B^{b}] ουχ B* ουχι A | ισχυραι] pro σ aliq al coep B^{*vid} **33** εβλεπον] ενεβλεπον A | εις] ετερος προς A
34 εαυ B* (εαυτου B^{ab}) **36** εστι] A | ουδεν A **37** αυτων 2°] εαυτων A
38 και η] η δε A | ισχυσει A **39** αυτην] αυτη A | διαφθορα A* (διαφορα A^{2}) | om και 2° A | ευδοκουσιν A **40** ουδεν A

Β ἡ μεγαλειότης τῶν πάντων αἰώνων· εὐλογητὸς ὁ θεὸς τῆς ἀληθείας.
41 καὶ ἐσιώπησεν τοῦ λαλεῖν· καὶ πᾶς ὁ λαὸς τότε ἐφώνησεν καὶ τότε 41
εἶπον Μεγάλη ἡ ἀλήθεια καὶ ὑπερισχύει. 42 Τότε ὁ βασιλεὺς εἶπεν 42
αὐτῷ Αἴτησαι ὃ θέλεις πλείω τῶν γεγραμμένων, καὶ δώσομέν σοι, ὃν
τρόπον εὑρέθης σοφώτερος· καὶ ἐχόμενός μου καθήσῃ, καὶ συγγενής
μου κληθήσῃ. 43 τότε εἶπεν τῷ βασιλεῖ Μνήσθητι τὴν εὐχὴν ἣν 43
ηὔξω οἰκοδομῆσαι τὴν Ἰερουσαλὴμ ἐν τῇ ἡμέρᾳ ᾗ τὸ βασίλειόν σου
παρέλαβες, 44 καὶ πάντα τὰ σκεύη τὰ λημφθέντα ἐξ Ἰερουσαλὴμ καὶ 44
ἐκπέμψαι ἃ ἐχώρισεν Κῦρος, ὅτε ηὔξατο ἐκκόψαι Βαβυλῶνα, καὶ
ηὔξατο ἐξαποστεῖλαι ἐκεῖ. 45 καὶ σὺ εὔξω οἰκοδομῆσαι τὸν ναὸν ὃν 45
ἐνεπύρισαν οἱ Ἰουδαῖοι, ὅτε ἐρημώθη ἡ Ἰουδαία ὑπὸ τῶν Χαλδαίων.
46 καὶ νῦν τοῦτό ἐστιν ὅσα ἀξιῶ, κύριε βασιλεῦ, καὶ ὃ αἰτοῦμαί σε, 46
καὶ αὕτη ἐστὶν ἡ μεγαλωσύνη ἡ παρὰ σοῦ· δέομαι οὖν ἵνα ποιήσῃς
τὴν εὐχὴν ἣν ηὔξω τῷ βασιλεῖ τοῦ οὐρανοῦ ποιῆσαι ἐκ στόματός
σου. 47 Τότε ἀναστὰς Δαρεῖος ὁ βασιλεὺς κατεφίλησεν αὐτόν, 47
καὶ ἔγραψεν αὐτῷ τὰς ἐπιστολὰς πρὸς πάντας οἰκονόμους καὶ το-
πάρχας καὶ στρατηγοὺς καὶ σατράπας, ἵνα προπέμψωσιν αὐτὸν καὶ
τοὺς μετ' αὐτοῦ πάντας ἀναβαίνοντας οἰκοδομῆσαι τὴν Ἰερουσαλήμ.
48 καὶ πᾶσι τοῖς τοπάρχαις ἐν κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ καὶ τοῖς ἐν 48
τῷ Λιβάνῳ καὶ ἔγραψεν ἐπιστολάς, μεταφέρειν ξύλα κέδρινα ἀπὸ
τοῦ Λιβάνου εἰς Ἰερουσαλήμ, καὶ ὅπως οἰκοδομήσωσιν μετ' αὐτοῦ τὴν
πόλιν. 49 καὶ ἔγραψεν πᾶσι τοῖς Ἰουδαίοις τοῖς ἀναβαίνουσιν ἀπὸ 49
τῆς βασιλείας εἰς τὴν Ἰουδαίαν ὑπὲρ τῆς ἐλευθερίας, πάντα δυνατὸν
καὶ σατράπην καὶ τοπάρχην καὶ οἰκονόμον μὴ ἐπελεύσεσθαι ἐπὶ τὰς
θύρας αὐτῶν, 50 καὶ πᾶσαν τὴν χώραν ἣν κρατήσουσιν ἀφορολόγητον 50
αὐτοῖς ὑπάρχειν· καὶ ἵνα οἱ Χαλδαῖοι ἀφίουσι τὰς κώμας ἃς διακρα-
τοῦσιν τῶν Ἰουδαίων· 51 καὶ εἰς τὴν οἰκοδομὴν τοῦ ἱεροῦ δοθῆναι 51
κατ' ἐνιαυτὸν τάλαντα εἴκοσι μέχρι τοῦ οἰκοδομηθῆναι· 52 καὶ ἐπὶ τὸ 52
θυσιαστήριον ὁλοκαυτώματα καρποῦσθαι καθ' ἡμέραν, καθὰ ἔχουσιν
ἐντολὴν ἑπτὰ καὶ δέκα προσφέρειν, ἄλλα τάλαντα, δέκα κατ' ἐνιαυ-
τόν· 53 καὶ πᾶσιν τοῖς προσβαίνουσιν ἀπὸ τῆς Βαβυλωνίας κτίσαι 53

A **41** *ειπεν* A **42** *ον τροπον*] *ανθ ων* A | *μου* 2°] *μοι* A* (*μου* A$^{?}$) **44** om *και* 2° A | *εχωρισεν*] *εξεχωρησεν* A **45** *ηυξω* A | *Ιουδαιοι*] *Ιδουμαιοι* A | *ηρημωθη* A **46** *οσα*] *ο σε* B^{ab} (*ε* superscr) A | *η μεγαλ.*] om *η* A **47** *οικονομους*] pr *τους* A | *σατραπας* sup ras A$^{a?}$ | *μετ*] *μ* sup ras A^{a} **48** *πασιν* A | *Φοινικη*] *Φοινεικη* B* (*Φοινικ.* B^{b}) *Φοινικ* sup ras A^{a} | om *και* 4° A **49** *πασιν* A | *μη*] *και* A* (improb A$^{a?}$) | *επιλευεσθαι* B* (*σ* superscr B^{ab}) **50** *κρατησουσιν*] *κρατουσιν* A | *Χαλδαιοι*] *Ιδουμαιοι* A | *αφιουσι*] *αφοριουσι* (*ορ* superscr) B^{ab} *αφιωσιν* A

τὴν πόλιν, ὑπάρχειν τὴν ἐλευθερίαν αὐτοῖς τε καὶ τοῖς τέκνοις αὐτῶν, B
54 καὶ πᾶσι τοῖς ἱερεῦσι τοῖς προσβαίνουσιν. 54ἔγραψεν δὲ καὶ τὴν
χορηγίαν καὶ τὴν ἱερατικὴν στολὴν ἐν τίνι λατρεύουσιν ἐν αὐτῇ.
55 55καὶ τοῖς Λευείταις ἔγραψεν δοῦναι τὴν χορηγίαν ἕως τῆς ἡμέρας ᾗ
56 ἐπιτελεσθῇ ὁ οἶκος καὶ Ἰερουσαλὴμ οἰκοδομηθῆναι. 56καὶ πᾶσι τοῖς
φρουροῦσι τὴν πόλιν, ἔγραψε δοῦναι αὐτοῖς κλήρους καὶ ὀψώνια.
57 57καὶ ἐξαπέστειλεν πάντα τὰ σκεύη ἃ ἐχώρισεν Κῦρος ἀπὸ Βαβυ-
λῶνος· καὶ πάντα ὅσα εἶπεν Κῦρος ποιῆσαι, καὶ αὐτὸς ἐπέταξεν
58 ποιῆσαι καὶ ἐξαποστεῖλαι εἰς Ἰερουσαλήμ. 58Καὶ ὅτε ἐξῆλθεν ὁ
νεανίσκος, ἆρας τὸ πρόσωπον εἰς τὸν οὐρανὸν ἐναντίον Ἰερουσαλὴμ
59 εὐλόγησεν τῷ βασιλεῖ τοῦ οὐρανοῦ (59)λέγων 59Παρὰ σοῦ νίκη, καὶ
60 παρὰ σοῦ ἡ σοφία, καὶ σὴ ἡ δόξα, καὶ ἐγὼ σὸς οἰκέτης. 60εὐλο-
γητὸς εἶ, ὃς ἔδωκάς μοι σοφίαν· καὶ σοὶ ὁμολογῶ, δέσποτα τῶν
61 πατέρων. 61καὶ ἔλαβεν τὰς ἐπιστολὰς καὶ ἐξῆλθεν εἰς Βαβυλῶνα
62 καὶ ἀπήγγειλεν τοῖς ἀδελφοῖς αὐτοῦ πᾶσιν. 62καὶ εὐλόγησαν τὸν
θεὸν τῶν πατέρων αὐτῶν, ὅτι ἔδωκεν αὐτοῖς ἄνεσιν καὶ ἄφεσιν
63 63ἀναβῆναι καὶ οἰκοδομῆσαι Ἰερουσαλὴμ καὶ τὸ ἱερὸν οὗ ὠνομάσθη
τὸ ὄνομα αὐτοῦ ἐπ' αὐτῷ· καὶ ἐκωθωνίζοντο μετὰ μουσικῶν καὶ
χαρᾶς ἡμέρας ἑπτά.

V 1 1Μετὰ δὲ ταῦτα ἐξελέγησαν ἀναβῆναι ἀρχηγοὶ οἴκου πατριῶν
κατὰ φυλὰς αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν καὶ οἱ υἱοὶ καὶ αἱ θυγα-
τέρες καὶ οἱ παῖδες αὐτῶν, καὶ αἱ παιδίσκαι καὶ τὰ κτήνη αὐτῶν.
2 2καὶ Δαρεῖος συναπέστειλεν μετ' αὐτῶν ἱππεῖς χιλίους ἕως τοῦ ἀπο-
καταστῆσαι αὐτοὺς εἰς Ἰερουσαλὴμ μετ' εἰρήνης καὶ μετὰ μουσικῶν,
3 τυμπάνων καὶ αὐλῶν. 3καὶ πάντες οἱ ἀδελφοὶ αὐτῶν παίζοντες·
4 καὶ ἐποίησεν αὐτοῖς συναναβῆναι μετ' ἐκείνων. 4Καὶ ταῦτα τὰ
ὀνόματα τῶν ἀνδρῶν τῶν ἀναβαινόντων κατὰ πατριὰς αὐτῶν εἰς τὰς
5 φυλὰς ἐπὶ τὴν μεριδαρχίαν αὐτῶν. 5οἱ ἱερεῖς υἱοὶ Φινεὲς υἱοὶ
Ἀαρών, Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ τοῦ Σαραίου, καὶ Ἰωακεὶμ ὁ τοῦ Ζορο-
βαβὲλ τοῦ Σαλαθιὴλ ἐκ τοῦ οἴκου τοῦ Δαυείδ, ἐκ τῆς γενεᾶς Φάρες,
6 φυλῆς δὲ Ἰούδα, 6ὃς ἐλάλησεν ἐπὶ Δαρείου τοῦ βασιλέως Περσῶν
λόγους σοφοὺς ἐν τῷ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ μηνὶ Νισὰν

53 τε και τοις τε| και τοις B* (improb postea ras και τοις τε B^{a}) ⌈ πασιν τ. A ιερευσιν A 55 της ημερας] om της A | om η BA 56 πασιν τ. φρουρουσιν A (φρουρου| sup ras A^{a}) 57 εχωρισεν] εξεχωρησεν A 58 ηυλογησεν A 59 νικη] pr η A | ση] σου A 60 σοι] σ sup ras A^{a}? 62 ηυλογησαν A V 1 αβηναι B*^{vid} (αναβ. B$^{?}$) | οικου] οικων A | θυγατερες] +αυτων A | παιδισκαι]+αυτων A 2 Δαριος A 3 αυτοις] αυτους A 5 υιοι 1°] pr οι A 6 Δαριου A

B τοῦ πρώτου μηνός. 7εἰσὶν δὲ οὗτοι οἱ ἐκ τῆς Ἰουδαίας οἱ ἀναβάντες 7
ἐκ τῆς αἰχμαλωσίας τῆς παροικίας, οὓς μετοίκισεν Ναβουχοδονοσὸρ
βασιλεὺς Βαβυλῶνος εἰς Βαβυλῶνα, 8καὶ ἐπέστρεψεν εἰς Ἰερουσαλὴμ 8
(8)καὶ τὴν λοιπὴν Ἰουδαίαν ἕκαστος εἰς τὴν ἰδίαν πόλιν, οἱ ἐλθόντες
μετὰ Ζοροβαβὲλ καὶ Ἰησοῦ, Νεεμίου, Ζαραίου, Ῥησαίου, Ἐνήνιος,
Μαρδοχαίου, Βεελσάρου, Ἀσφαράσου, Βορολείου, Ῥοείμου, Βαανά,
τῶν προηγουμένων αὐτῶν. 9ἀριθμὸς τῶν ἀπὸ τοῦ ἔθνους καὶ οἱ 9
προηγούμενοι αὐτῶν· υἱοὶ Φορός, ἑβδομήκοντα δύο χιλιάδες· 10υἱοὶ 10
Ἀρές, ἑπτακόσιοι πεντήκοντα ἕξ. 11υἱοὶ Φθαλειμωάβ, εἰς τοὺς 11
υἱοὺς Ἰησοῦ καὶ Ῥοβοάβ, δισχίλιοι ὀκτακόσιοι δύο· 12υἱοὶ Ἰωλάμου, 12
δύο· υἱοὶ Ζατόν, ἐννακόσιοι ἑβδομήκοντα· υἱοὶ Χορβέ, ἑπτακόσιοι
πέντε· υἱοὶ Βανεί, ἑξακόσιοι τεσσεράκοντα ὀκτώ· 13υἱοὶ Βηβαί, 13
ἑξακόσιοι τριάκοντα τρεῖς· υἱοὶ Ἀργαί, χίλιοι τριακόσιοι εἴκοσι
δύο· 14υἱοὶ Ἀδωνεικάμ, τριάκοντα ἑπτά· υἱοὶ Βοσαί, δισχίλιοι ἑξα- 14
κόσιοι ἕξ· υἱοὶ Ἀδειλίου, τετρακόσιοι πεντήκοντα τέσσαρες· 15υἱοὶ 15
Ἀζὴρ Ἐζεκίου, υἱοὶ Κειλὰν καὶ Ἀζητάς, ἑξήκοντα ἑπτά· υἱοὶ Ἀζάρου,
τετρακόσιοι τριάκοντα δύο· 16υἱοὶ Ἀννεῖς, ἑκατὸν εἷς· υἱοὶ Ἀρόμ, υἱοὶ 16
Βασσαί, τριακόσιοι εἴκοσι τρεῖς· υἱοὶ Ἀρσειφουρείθ, 17υἱοὶ Βαιτηροῦς, 17
τρισχίλιοι πέντε· υἱοὶ ἐκ Ῥαγεθλωμῶν, ἑκατὸν εἴκοσι τρεῖς· 18οἱ ἐκ 18
Νετέβας, πεντήκοντα πέντε· οἱ ἐξ Ἐνάτου, ἑκατὸν πεντήκοντα ὀκτώ·
οἱ ἐκ Βαιτασμῶν Ζαμμώθ· 19οἱ ἐκ Καρταθειαρειός, εἴκοσι πέντε· οἱ 19
ἐκ Πείρας καὶ Βηρόγ, ἑπτακόσιοι· 20οἱ Χαδιάσαι καὶ Ἀμμίδιοι, τετρα- 20

A 7 om οι 1° A | μετωκισεν A 8 επεστρεψαν B^{ab}A | μετα] μ sup ras $A^{a?}$ | Ζοροβαβελ] α sup ras $A^{a?}$ | Ιησους A | Ζαρεου A | Ενηνιος] Μαιαιναμινιος $B^{ab\,mg}$ Ενηνιου A | Βορολειου] Ρεελιου A | Ροειμου] Ρομελιου (ομελιου sup ras) A^{a} 9 χιλιαδες]+ϛ ροβ' | υιοι Ασαφ τοβ' $B^{ab\,mg}$ + και| εκατον εβδομηκοντα δυο· υιοι Σαφατ'· τετρακοσιοι εβδομη|κοντα δυο· A 11 Φθαλειμ.] Φααθ'μ. A | του υιου B | Ροβοαβ] Ιωαβ A | δυο] pr δεκα A 12 Ιωλαμου] Ηλαμ A | δυο] χιλιοι διακοσιοι| πεντηκοντα τεσσαρες A | Ζατον] Ζαθθουι A | εννακοσιοι improb vid $A^{a?}$ | εβδομηκοντα] τεσσερακο|τα πεντε A | εξακοσιοι] εξακοσοι B* (+οι $B^{ab\,mg}$) | τεσσερακοντα] τεσσαρακ. B^{b} (item 22, 25, 41, 42) ο sup ras A^{1} 13 τριακοντα] εικοσι A | Αργαι] Ασταα'| A | χιλιοι τριακοσιοι] τρισχιλιοι εξακοσιοι A 14 Αδωνικαμ A | τριακοντα επτα] εξακοσι|οι τεσσερακοντα επτα A | Βοσαι] Βαγοι A | εξακοσιοι] εξηκοντα A | Αδειλιου] Αδινου A | τετρακοσιοι] τετρακοσοι B* (οι superscr $B^{b?c?}$) 15 Αζηρ] Ατηρ A | Εζεκιου]+ενενηκοντα δυο A | Κιλαν A | Αζαρου] Αζουρου A 16 Αννιας A | Βασσα A | Αρσιφρουρειθ A+εκατον δεκα δυο·| A 17 τρεισχ. B* (τρισχ. B^{b}) | Ραγεθλωμων] Βαιθλωμων A 18 Νετεβας] Νετωφαε A | Ενατου] Αναθωθ A | Βαιτασμων Ζαμμωθ] Βαιθασμωθ A+τεσσε|ρακοντα δυο A 19 οι εκ (1°) A] ει B | Καριαθιαριος A | Πειρας] Καφιρας A | Βηρογ] Βηρωθ (? Βηρωε) A [επτακοσιοι]+τεσσερακοντα τρεις A 20 οι 1°] ου A* (improb υ $A^{a?}$) | Χαδιασαι] Χαδ'ασαι A^{vid} | Αμμιδαιοι A

21 κόσιοι εἴκοσι δύο· οἱ ἐκ Κειράμας Κάββης, ἑξακόσιοι εἴκοσι εἷς· [21]οἱ B
ἐκ Μακαλῶν, ἑκατὸν εἴκοσι δύο· οἱ ἐκ Βετολιώ, πεντήκοντα δύο·
22 Νειφεῖς, ἑκατὸν πεντήκοντα ἕξ· [22]υἱοὶ Καλαμωκάλου καὶ Ὠνοῦς, ἑπτα-
κόσιοι εἴκοσι πέντε· [23]υἱοὶ Ἰερέχου, διακόσιοι τεσσεράκοντα πέντε·
23 [23]υἱοὶ Σαμά, τρισχίλιοι τριακόσιοι εἷς· [24]οἱ ἱερεῖς [24]οἱ υἱοὶ Ἰέδδου τοῦ
24 υἱοῦ Ἰησοῦ, εἰς τοὺς υἱοὺς Σαναβείς, ὀκτακόσιοι ἑβδομήκοντα δύο· υἱοὶ
25 Ἐρμήρου, διακόσιοι πεντήκοντα δύο· [25]υἱοὶ Φασσόρου, χίλιοι διακό-
26 σιοι τεσσεράκοντα ἑπτά· υἱοὶ Χαρμή, διακόσιοι δέκα ἑπτά· [26]οἱ
Λευεῖται υἱοὶ Ἰησουείς, Κοδοήλου καὶ Βάννου καὶ Σουδίου, ἑβδομή-
(28) 27 κοντα τέσσαρες· [27]υἱοὶ ἱεροψάλται υἱοὶ Ἀσάφ, ἑκατὸν εἴκοσι ὀκτώ·
(29) 28 [28]οἱ θυρωροί, τετρακόσιοι· οἱ Ἰσμαήλου, υἱοὶ Λακουβάτου, χίλιοι·
(30) 29 υἱοὶ Τωβείς, πάντες ἑκατὸν τριάκοντα ἐννέα· [29]οἱ ἱερόδουλοι, υἱοὶ
Ἡσαύ, υἱοὶ Τασειφά, υἱοὶ Ταβαώθ, υἱοὶ Κηράς, υἱοὶ Σουά, υἱοὶ
30 Φαλαίου, υἱοὶ Λαβανά, [30]υἱοὶ Ἀκούδ, υἱοὶ Οὐτά, υἱοὶ Κητάβ, υἱοὶ
31 Ἀκκαβά, υἱοὶ Συβαεί, υἱοὶ Ἀνάν, υἱοὶ Κουά, υἱοὶ Κεδδούρ, [31]υἱοὶ
Ἰαείρου, υἱοὶ Δαισάν, υἱοὶ Νοεβά, υἱοὶ Χασεβά, υἱοὶ Καζηρά, υἱοὶ
Ὀζείου, υἱοὶ Φινόε, υἱοὶ Ἀσαρά, υἱοὶ Βασθαί, υἱοὶ Ἀσσανά, υἱοὶ Μανεί,
υἱοὶ Ναφεισεί, υἱοὶ Ἀκούφ, υἱοὶ Ἀχειβά, υἱοὶ Ἀσούρ, υἱοὶ Φαρακέμ,
32 υἱοὶ Βασαλέμ, [32]υἱοὶ Δεδδά, υἱοὶ Βαχούς, υἱοὶ Σεράρ, υἱοὶ Θόμθει, υἱοὶ
33 Νασεί, υἱοὶ Ἀτεφά· [33]υἱοὶ παίδων Σαλωμών, υἱοὶ Ἀσσαφείωθ, υἱοὶ
34 Φαρειδά, υἱοὶ Ἰειηλεί, υἱοὶ Λοζών, υἱοὶ Ἰσδαήλ, υἱοὶ Σαφυεί, [34]υἱοὶ
Ἀγιά, υἱοὶ Φακαρὲθ Σαβειή, υἱοὶ Σαρωθεί, υἱοὶ Μεισαιάς, υἱοὶ Γάς, υἱοὶ

20 Κιραμα A | Καββης] και Γαββης A **21** εκ 1°] seq lineola in A B* non inst B^b | Βητολιω A | Νειφεις] pr υιοι B^{ab} (superscr) υιοι Φινεις A **22** Καλαμωλαλου A | Ωνους A | Ιερεχου (ins ι) B^a | διακοσιοι] τριακοσιοι A **23** Σαμα] Σαναας A | τρεισχ. B* (τρισχ. B^b) | εις] τριακοντα A **24** οι ιερε B* (cum ras in ο) ις superscr B^{ab} | οι υιοι] om οι A | Εδδου A* | om υιου A | Σαναβεις] Ανασειβ A | οκτακοσιοι] εννακοσιοι A | Ερμηρου] Εμμηρουθ A | διακοσιοι] χιλιοι A **25** Φασσουρου A | χιλιοι] ante χ ras 1 lit A^2 | διακοσιοι 2°] χιλιοι A **26** οι Λευειται] οι δε| Λευιται A (post δε ras 1 lit A^2) | Ιησουεις] Ιησουε A | Κοδοηλου] και Καδμι|ηλου A **27** εικοσι] τεσσερακοντα A | εκατον] ε sup ras $A^{a?}$ **28** τετρακοσιοι...Τωβεις] υιοι Σαλουμ· υιοι| Αταρ' υιοι Τολμαν· υιοι Δακουβι·|υιοι Ατητα· υιοι Σαβει A | παντες] pr οι A **29** Τασειφα] Ασειφα A | Ταβωθ A | Σουσα A | Λαβανα]+υιοι Αγγαβα $B^{ab\,mg}$ A **30** υιοι 1°] υι sup ras A^1 | Ακκαβα] Γαβα A | υιοι 5°] υ sup ras A^1 | Ανναν A | Κουα] Καθουα A | Κεδδουρ] Γεδδουρ A **31** Ιαιρου A | Δεσαν A | Καζηρα] Γαζηρα A | Οζιου A | Ασανα A | Μανει] Μααν A (M sup ras A^1) | Ναφισι A | Ακουμ A | Αχιφα A | Φαρακειμ A | Βασαλεμ] Βααλωθ A **32** Δεδδα] Μεεδδα·| υιοι Κουθα (Κ, θ sup ras A^a)· υιοι Χαρεα· A | Βαχους] Βαρχουε A | Θομει A (ε sup ras A^a) | Νασιθ A **33** Ασαφφιωθ)· A | Φαριδα A | Ιεηλι A | Σαφυθι A **34** Σαβειη] υιοι Σαβιη A | Σαρωθιε A | Μεισαιας] Μασιας A

Β Ἀδδούς, υἱοὶ Σουβάς, υἱοὶ Ἀφερρά, υἱοὶ Βαρωδείς, υἱοὶ Σαφάγ, υἱοὶ Ἀλλών· 35 πάντες οἱ ἱερόδουλοι καὶ οἱ υἱοὶ τῶν παίδων Σαλωμὼν τριακόσιοι ἑβδομήκοντα δύο. 36 οὗτοι ἀναβάντες ἀπὸ Θερμελεθ καὶ Θελερσάς· ἡγούμενος αὐτῶν Χαραααθαλὰν καὶ Ἀλλάρ. 37 καὶ οὐκ ἠδύναντο ἀπαγγεῖλαι τὰς πατριὰς αὐτῶν καὶ γενεάς, ὡς ἐκ τοῦ Ἰσραήλ εἰσιν· υἱοὶ Ἀσὰν τοῦ υἱοῦ τοῦ Βαενάν, υἱοὶ Νεκωδάν, ἑξακόσιοι πεντήκοντα δύο. 38 καὶ ἐκ τῶν ἱερέων οἱ ἐμποιούμενοι ἱερωσύνης, καὶ οὐχ εὑρέθησαν· υἱοὶ Ὀββειά, υἱοὶ Ἀκβώς, υἱοὶ Ἰαδδοὺς τοῦ λαβόντος Αὐγίαν γυναῖκα τῶν θυγατέρων Φαηζελδαίου, (39) καὶ ἐκλήθη ἐπὶ τῷ ὀνόματι αὐτοῦ. 39 καὶ τούτων ζητηθείσης τῆς γενικῆς γραφῆς ἐν τῷ καταλοχισμῷ καὶ μὴ εὑρεθείσης, ἐχωρίσθησαν τοῦ ἱερατεύειν. 40 καὶ εἶπεν αὐτοῖς Ναιμίας καὶ Ἀθαρίας μὴ μετέχειν τῶν ἁγίων ἕως ἀναστῇ ἱερεὺς ἐνδεδυμένος τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν. 41 Οἱ δὲ πάντες ἦσαν Ἰσραὴλ ἀπὸ δωδεκαετοῦς, χωρὶς παίδων καὶ παιδισκῶν, μυριάδες τέσσαρες δισχίλιοι τριακόσιοι ἑξήκοντα. (42) παῖδες τούτων καὶ παιδίσκαι ἑπτακισχίλιοι τριακόσιοι τριάκοντα ἑπτά· ψάλται καὶ ψαλτῳδοί, διακόσιοι τεσσεράκοντα πέντε. 42 κάμηλοι τετρακόσιοι τριάκοντα πέντε, καὶ ἵπποι ἑπτακισχίλιοι τριάκοντα ἕξ, ἡμίονοι διακόσιοι τεσσεράκοντα πέντε, ὑποζύγια πεντακισχίλια πεντακόσια εἴκοσι πέντε. 43 Καὶ ἐκ τῶν ἡγουμένων κατὰ τὰς πατριὰς ἐν τῷ παραγίνεσθαι αὐτοὺς εἰς τὸ ἱερὸν τοῦ θεοῦ τὸ ἐν Ἰερουσαλὴμ εὔξαντο ἐγεῖραι τὸν οἶκον ἐπὶ τοῦ τόπου αὐτοῦ κατὰ τὴν αὐτῶν δύναμιν, 44 καὶ δοῦναι εἰς τὸ ἱερὸν γαζοφυλάκιον τῶν ἔργων χρυσίου μνᾶς χιλίας καὶ ἀργυρίου μνᾶς πεντακισχιλίας καὶ στολὰς ἱερατικὰς ἑκατόν. 45 καὶ κατοικίσθησαν οἱ ἱερεῖς καὶ οἱ Λευεῖται καὶ οἱ ἐκ τοῦ λαοῦ αὐτοῦ ἐν Ἰερουσαλὴμ καὶ τῇ χώρᾳ, οἵ τε ἱεροψάλται καὶ οἱ θυρωροὶ καὶ πᾶς Ἰσραὴλ ἐν ταῖς κώμαις αὐτῶν.

46 Ἐνστάντος δὲ τοῦ ἑβδόμου μηνός, καὶ ὄντων τῶν υἱῶν Ἰσραὴλ ἑκάστου ἐν τοῖς ἰδίοις, συνήχθησαν ὁμοθυμαδὸν εἰς τὸ εὐρύ-

Β (39) 43 (44) 42 (43) (42) 46 (47)

A **34** Αδδους] δ 1° B$^{?img vid}$ | Σαφαγ] Σαφατ A | Αλλων] Αδλων A **36** Θελερσας] Θελσας A | Χαραααθαλαν και Αλλαρ] Χαρα· Αθαλαρ' και Αλαρ'· A **37** ως sup ras 3 litt A^{a} | Ασαν] Δαλαν A | Βαεναν] Βαν A **38** εμποιουμενοι] ras aliq in ι 1° B$^{?}$ (forte εμπορ. B*) | Οββεια] Οβδια A | Ακβως] Ακκως A | Ιοδδους A | Φαηζελδαιου] Ζορ|ζελλεου A **39** om και 2° A **40** Ναιμιας] Νεεμιας A | αγιων]+αυτους A | εως]+ου A | αναστη] αν στη A | ιερευς] αρχιερευς A **41** om τριακοσιοι 1°...επτακισχ. A **42** καμηλοι] pr και A **43** παραγιγνεσθαι A | ηυξαντο A **45** om αυτου A | χωρα] χ sup ras A^{a} | ιεροψαλται] λ sup ras A^{a} **46** εσταντος BA* (ενσταντος A^{1})

(48) 47 χωρον τοῦ πρώτου πυλῶνος τοῦ πρὸς τῇ ἀνατολῇ. 47καὶ κατα- B
στὰς Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἱερεῖς καὶ
Ζοροβαβὲλ ὁ τοῦ Σαλαθιὴλ καὶ οἱ τούτου ἀδελφοὶ ἡτοίμασαν τὸ
(49) 48 θυσιαστήριον τοῦ θεοῦ Ἰσραήλ, 48προσενέγκαι ἐπ' αὐτοῦ ὁλο-
καυτώσεις ἀκολούθως τοῖς ἐν τῇ Μωσέως βίβλῳ τοῦ ἀνθρώπου
(50) 49 τοῦ θεοῦ διηγορευμένοις. 49καὶ ἐπισυνήχθησαν αὐτοῖς ἐκ τῶν
ἄλλων ἐθνῶν τῆς γῆς καὶ κατωρθώθησαν ἐπὶ τὸ θυσιαστήριον
ἐπὶ τοῦ τόπου αὐτῶν· ὅτι ἐν ἔχθρᾳ ἦσαν αὐτοῖς· κατίσχυσαν
αὐτοὺς πάντα τὰ ἔθνη τὰ ἐπὶ τῆς γῆς· καὶ ἀνέφερον θυσίας κατὰ
τὸν καιρὸν καὶ ὁλοκαυτώματα Κυρίῳ τὸ πρωινὸν καὶ τὸ δειλινόν.
(51) 50 50καὶ ἠγάγοσαν τὴν τῆς σκηνοπηγίας ἑορτὴν ὡς ἐπιτέτακται ἐν
(52) 51 τῷ νόμῳ, καὶ θυσίας καθ' ἡμέραν, ὡς προσῆκον ἦν· 51καὶ μετὰ
ταῦτα προσφορὰς ἐνδελεχισμοῦ, καὶ θυσίας σαββάτων καὶ νουμη-
(53) 52 νιῶν καὶ ἑορτῶν πασῶν ἡγιασμένων. 52καὶ ὅσοι εὔξαντο εὐχὴν
τῷ θεῷ ἀπὸ τῆς νουμηνίας τοῦ πρώτου μηνός, ἤρξατο προσφέρειν
(54) 53 θυσίας τῷ θεῷ, καὶ ὁ ναὸς τοῦ θεοῦ οὔπω ᾠκοδόμητο. 53καὶ
ἔδωκαν ἀργύριον τοῖς λατόμοις καὶ τέκτοσι, καὶ ποτὰ καὶ βρωτὰ
(55) (55)καὶ χάρα τοῖς Σειδωνίοις καὶ Τυρίοις εἰς τὸ παράγειν αὐτοὺς ἐκ
τοῦ Λιβάνου ξύλα κέδρινα, διαφέρειν σχεδίας εἰς τὸν Ἰόππης
λιμένα, καὶ τὸ πρόσταγμα τὸ γραφὲν αὐτοῖς παρὰ Κύρου τοῦ
(56) 54 Περσῶν βασιλέως. 54καὶ τῷ δευτέρῳ ἔτει παραγενόμενος εἰς
τὸ ἱερὸν τοῦ θεοῦ εἰς Ἰερουσαλὴμ μηνὸς δευτέρου ἤρξατο Ζορο-
βαβὲλ ὁ τοῦ Σαλαθιὴλ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ ἀδελφοὶ
αὐτῶν καὶ οἱ ἱερεῖς οἱ Λευεῖται καὶ πάντες οἱ παραγενόμενοι ἐκ
(57) 55 τῆς αἰχμαλωσίας εἰς Ἰερουσαλήμ, 55καὶ ἐθεμελίωσαν τὸν ναὸν τοῦ
θεοῦ τῇ νουμηνίᾳ τοῦ δευτέρου μηνὸς τοῦ δευτέρου ἔτους ἐν τῷ
(58) 56 ἐλθεῖν εἰς τὴν Ἰουδαίαν καὶ Ἰερουσαλήμ. 56καὶ ἔστησαν τοὺς
Λευείτας ἀπὸ εἰκοσαετοῦς ἐπὶ τῶν ἔργων τοῦ κυρίου· καὶ ἔστη
Ἰησοῦς καὶ οἱ υἱοὶ καὶ οἱ ἀδελφοί, καὶ ὁ Δαμαδιὴλ ὁ ἀδελφός,
καὶ οἱ υἱοὶ Ἰησοῦ Ἡμαδαβούν, καὶ οἱ υἱοὶ Ἰούδα τοῦ Εἰλιαδοὺν
σὺν τοῖς υἱοῖς καὶ ἀδελφοῖς, πάντες οἱ Λευεῖται ὁμοθυμαδὸν ἐργο-

46 *την ανατολην* A **47** Ισραηλ] pr *του* A **48** *αυτου*] *αυτο·* A | A
Μωυσεως Λ **49** *κατωρθωθησαν*] *κατωρθωσαν* Λ | om *επι* 1° A | *αυτων*]
αυτου A | *κατισχυσαν*] pr *και* B^{ab} (superscr *ϗ*) A | Κυριω] pr *τω* Λ **50** *την*
της σκ.] *τας σκ.* Λ **52** *ηυξαντο* Λ | *πρωτου*] *εβδομου* Λ | *ηρξαντο* Λ
53 *τεκτοσιν* Λ | *βρωτα και ποτα* Λ | *βρωτα· και χ.* B | *χαρα*] *καρρα* Λ | Σιδω-
νιοις B^{b}A | *και* 7°] *κατα* Λ | *του* II. *β.*] *των* II. *β.* A **55** *ναον*] *οικον* Λ
56 *ο Δαμαδιηλ*] Καδωηλ A | Ιουδα] Ιωδα Λ | Ιλιαδουν Λ

διῶκται, ποιοῦντες εἰς τὰ ἔργα ἐν τῷ οἴκῳ τοῦ κυρίου· καὶ οἰκοδόμησαν οἱ οἰκοδόμοι τὸν ναὸν τοῦ κυρίου. 57 Καὶ ἔστησαν οἱ ἱερεῖς ἐστολισμένοι μετὰ μουσικῶν καὶ σαλπίγγων, καὶ οἱ Λευεῖται υἱοὶ Ἀσὰφ ἔχοντες τὰ κύμβαλα (60) ὑμνοῦντες τῷ κυρίῳ καὶ εὐλογοῦντες κατὰ Δαυὶδ βασιλέα τοῦ Ἰσραήλ· 58 καὶ ἐφώνησαν δι' ὕμνων εὐλογοῦντες τῷ κυρίῳ, ὅτι ἡ χρηστότης αὐτοῦ καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας παντὶ Ἰσραήλ. 59 καὶ πᾶς ὁ λαὸς ἐσάλπισαν καὶ ἐβόησαν φωνῇ μεγάλῃ, ὑμνοῦντες τῷ κυρίῳ ἐπὶ τῇ ἐγέρσει τοῦ οἴκου Κυρίου. 60 καὶ ἦλθοσαν ἐκ τῶν ἱερέων τῶν Λευειτῶν καὶ τῶν προκαθημένων κατὰ τὰς πατριὰς αὐτῶν οἱ πρεσβύτεροι ἑωρακότες τὸν πρὸ τοῦ οἶκον (64) πρὸς τὴν τούτου οἰκοδομὴν μετὰ κραυγῆς καὶ κλαυθμοῦ μεγάλου, 61 καὶ πολλοὶ διὰ σαλπίγγων, καὶ χαρὰ μεγάλη τῇ φωνῇ· 62 ὥστε τὸν λαὸν μὴ ἀκούειν τῶν σαλπίγγων διὰ τὸν κλαυθμὸν τοῦ λαοῦ· ὁ γὰρ ὄχλος ἦν ὁ σαλπίζων μεγάλως, ὥστε μακρόθεν ἀκούεσθαι. 63 Καὶ ἀκούσαντες οἱ ἐχθροὶ τῆς φυλῆς Ἰούδα καὶ Βενιαμεὶν ἦλθοσαν ἐπιγνῶναι τίς ἡ φωνὴ τῶν σαλπίγγων, 64 καὶ ἐπέγνωσαν ὅτι οἱ ἐκ τῆς αἰχμαλωσίας οἰκοδομοῦσιν τὸν ναὸν τῷ κυρίῳ θεῷ Ἰσραήλ. 65 καὶ προσελθόντες τῷ Ζοροβαβὲλ καὶ Ἰησοῦ καὶ τοῖς ἡγουμένοις τῶν πατριῶν λέγουσιν αὐτοῖς Συνοικοδομήσομεν ὑμῖν· 66 ὁμοίως γὰρ ὑμῖν ἀκούομεν τοῦ κυρίου ὑμῶν, καὶ αὐτῷ ἐπιθύσομεν ἀπὸ ἡμερῶν Ἀσβακαφὰθ βασιλέως Ἀσσυρίων, ὃς μετήγαγεν ἡμᾶς ἐνταῦθα. 67 καὶ εἶπεν αὐτοῖς Ζοροβαβὲλ καὶ Ἰησοῦς καὶ οἱ ἡγούμενοι τῶν πατριῶν τοῦ Ἰσραήλ (71) Οὐχ ὑμῖν τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίῳ θεῷ ἡμῶν· 68 ἡμεῖς γὰρ μόνοι οἰκοδομήσομεν τῷ κυρίῳ τοῦ Ἰσραήλ, ἀκολούθως οἷς προσέταξεν ἡμῖν Κῦρος ὁ βασιλεὺς Περσῶν. 69 τὰ δὲ ἔθνη τῆς γῆς ἐπικοιμώμενα τοῖς ἐν τῇ Ἰουδαίᾳ καὶ πολιορκοῦντες εἶργον τοῦ οἰκοδομεῖν, 70 καὶ βουλὰς καὶ δημαγωγοῦντες καὶ συστάσεις ποιούμενοι ἀπεκώλυσαν τοῦ ἀποτελεσθῆναι τὴν οἰκοδομὴν πάντα τὸν χρόνον τῆς ζωῆς τοῦ

B (57) (58) (59) (60) (61) (62) (63) (64) (65) (66) (67) (68) (69) (70) (71)

A **56** κυριου 2°] θῡ A | ωκοδομησαν A **57** υιοι] pr οι A **58** υμνον B* (υμνων B^{ab}A) | ευλογουντες] ομολογουντες A | παντι] pr εν A **59** μεγαλην A | Κυριου] pr του A **60** ιερων A | εωρακοτες] οι προεωρ. A | προ του] προ τουτου $B^{a?b}$ (του 2° superscr) A **61** χαρας A | τη φωνη] om τη A **62** μεγαλως] μεγαλωστι A | ωστε 2°] ωστα A **64** θω (sic) A **65** υμιν sup ras 5 ut vid litt $A^{a?}$ **66** επιθυομεν A | Ασβακαφαθ] Ασβασαρεθ A | εντευθα A **67** ειπαν A | υμιν] pr ημιν| και A | θεω] pr τω A **70** βουλας] επιβουλας A | δημαγωγουντες] δημαγωγουντας B^{ab} δημαγωγιας A | συστασεις] επισυστασις (sic) A | αποτελεσθηναι B^{ab} (αποελ. B*)] επιτελεσθηναι A

βασιλέως Κύρου· καὶ εἴρχθησαν τῆς οἰκοδομῆς ἕτη δύο ἕως τῆς Δαρείου B
βασιλείας.

VI 1 [1]Ἐν δὲ τῷ δευτέρῳ ἔτει τῆς Δαρείου βασιλείας ἐπροφήτευσεν
Ἀγγαῖος καὶ Ζαχαρίας ὁ τοῦ Ἐδδεὶν οἱ προφῆται ἐπὶ τοὺς Ἰουδαίους
τοὺς ἐν τῇ Ἰουδαίᾳ καὶ Ἰερουσαλήμ, ἐπὶ τῷ ὀνόματι Κυρίου θεοῦ
2 Ἰσραὴλ ἐπ᾽ αὐτούς. [2]τότε στὰς Ζοροβαβὲλ ὁ τοῦ Σαλαθιὴλ καὶ
Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ἤρξαντο οἰκοδομεῖν τὸν οἶκον τοῦ κυρίου τὸν
ἐν Ἰερουσαλήμ, [(3)]συνόντων τῶν προφητῶν τοῦ κυρίου βοηθούντων
3 αὐτοῖς. [3]ἐν αὐτῷ τῷ χρόνῳ παρῆν πρὸς αὐτοὺς Σισίννης ὁ ἔπαρχος
Συρίας καὶ Φοινίκης καὶ Σαθραβουζάνης καὶ οἱ συνέταιροι· [(4)]καὶ εἶπεν
4 αὐτοῖς [4]Τίνος ὑμῖν συντάξαντος τὸν οἶκον τοῦτον οἰκοδομεῖτε καὶ
τὴν στέγην ταύτην καὶ τἆλλα πάντα ἐπιτελεῖτε; καὶ τίνες εἰσὶν οἱ
5 οἰκοδόμοι οἱ ταῦτα τελοῦντες; [5]καὶ ἔσχοσαν χάριν ἐπισκοπῆς γενό-
μενοι ἐπὶ τὴν αἰχμαλωσίαν παρὰ τοῦ κυρίου οἱ πρεσβύτεροι τῶν
6 Ἰουδαίων, [6]καὶ οὐκ ἐκωλύθησαν τῆς οἰκοδομῆς μέχρις οὗ ἀποση-
7 μανθῆναι Δαρείῳ περὶ αὐτῶν καὶ προσφωνηθῆναι. [7]Ἀντί-
γραφον ἐπιστολῆς ἧς ἔγραψεν Δαρείῳ καὶ ἀπέστειλαν Σισίννης ὁ
ἔπαρχος Συρίας καὶ Φοινίκης καὶ Σαθραβουζάνης καὶ οἱ συνέταιροι
8 οἱ ἐν Συρίᾳ καὶ Φοινίκῃ ἡγεμόνες Βασιλεῖ Δαρείῳ χαίρειν. [8]πάντα
γνωστὰ ἔστω τῷ κυρίῳ ἡμῶν τῷ βασιλεῖ· ὅτι παραγενόμενοι εἰς
τὴν χώραν τῆς Ἰουδαίας καὶ Ἰερουσαλὴμ τὴν πόλιν κατελάβομεν
τῆς αἰχμαλωσίας τοὺς πρεσβυτέρους τῶν Ἰουδαίων ἐν Ἰερουσαλὴμ
(9) τῇ πόλει οἰκοδομοῦντας οἶκον τῷ κυρίῳ μέγαν καινόν, [(9)]διὰ
(10) 9 λίθων ξυστῶν πολυτελῶν, ξύλων τιθεμένων ἐν τοῖς οἴκοις, [9]καὶ
τὰ ἔργα ἐκεῖνα ἐπὶ σπουδῆς γινόμενα, καὶ εὐοδούμενον τὸ ἔργον
ἐν ταῖς χερσὶν αὐτῶν, καὶ ἐν πάσῃ δόξῃ καὶ ἐπιμελείᾳ συντε-
(11) 10 λούμενα. [10]τότε ἐπυνθανόμεθα τῶν πρεσβυτέρων τούτων λέγον-
τες Τίνος ὑμῖν προστάξαντος οἰκοδομεῖτε τὸν οἶκον τοῦτον καὶ
(12) 11 τὰ ἔργα ταῦτα ἐθεμελιοῦτε; [11]ἐπερωτήσαμεν οὖν αὐτοὺς ἕνεκεν τοῦ
γνωρίσαι σοι καὶ γράψαι σοι τοὺς ἀνθρώπους τοὺς ἀφηγουμένους,
καὶ τὴν ὀνοματογραφίαν ᾐτοῦμεν αὐτοὺς τῶν προκαθηγουμένων.

VI **1** Δαρειου] του Δαριου A | Εδδειν] Αδδω A **3** συνεταιροι] + αυτου A
A | ειπαν A **4** συνταξαντος] α 2° sup ras A^1 | om και 3° A | ταυτα] τα
B* (τα 1° improb B^{ab}) | τελουντες] επιτελουντες B^{ab}A **5** γενομενης A
6 μεχρις ου] μεχρι του A | υποσημανθηναι A **7** απεστειλε] A | · Σισιννης
BA | Σαθραβουζανης A | χαιρει A **8** Ιερουσαλημ 1°] pr ελθοντες εις
$B^{ab(mgg)}$A | πολυτελων] pr και A | οικοις] τοιχοις A **9** σπουδην A |
γιγνομενα A **11** επερωτησαμεν] μ sup ras A^1 | εινεκεν B^{ab}A | προκαθη-
γουμενων] προκαθημενω| A

B [12]οἱ δὲ ἀπεκρίθησαν ἡμῖν λέγοντες Ἐσμὲν παῖδες τοῦ κυρίου 12 (13)
τοῦ κτίσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. [13]καὶ οἰκοδομεῖτο ὁ 13 (14)
οἶκος ἔμπροσθεν ἐτῶν πλειόνων διὰ βασιλέως τοῦ Ἰσραὴλ
μεγάλου καὶ ἰσχυροῦ, καὶ ἐπετελέσθη. [14]καὶ ἐπεὶ οἱ πατέρες 14 (15)
ἡμῶν παραπικράναντες ἥμαρτον εἰς τὸν κύριον τοῦ Ἰσραὴλ τὸν
οὐράνιον, παρέδωκεν αὐτοὺς εἰς χεῖρας Ναβουχοδονοσὸρ βασι-
λέως Βαβυλῶνος, βασιλέως τῶν Χαλδαίων· [15]τόν τε οἶκον καθε- 15 (16)
λόντες ἐνεπύρισαν, καὶ τὸν λαὸν ᾐχμαλώτευσαν εἰς Βαβυλῶνα.
[16]ἐν δὲ τῷ πρώτῳ ἔτει βασιλεύοντος Κύρου χώρας Βαβυλωνίας 16 (17)
ἔγραψεν βασιλεὺς Κῦρος οἰκοδομῆσαι τὸν οἶκον τοῦτον, [17]καὶ 17 (18)
τὰ ἱερὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκεν Ναβου-
χοδονοσὸρ ἐκ τοῦ οἴκου τοῦ ἐν Ἰερουσαλὴμ καὶ ἀπηρείσατο αὐτὰ
ἐν τῷ αὐτοῦ ναῷ, πάλιν ἐξήνεγκεν αὐτὰ Κῦρος ὁ βασιλεὺς ἐκ
τοῦ ναοῦ τοῦ ἐν Βαβυλωνίᾳ, καὶ παρεδόθη Ζοροβαβὲλ καὶ
Σαβανασσάρῳ τῷ ἐπάρχῳ. [18]καὶ ἐπετάγη αὐτῷ, καὶ ἀπήνεγκεν 18 (19)
πάντα τὰ σκεύη ταῦτα ἀποθεῖναι ἐν τῷ ναῷ τῷ ἐν Ἰερουσαλήμ,
καὶ τὸν ναὸν τοῦ κυρίου οἰκοδομηθῆναι ἐπὶ τοῦ τόπου. [19]τότε 19 (20)
ὁ Σαναβάσσαρος παραγενόμενος εἰσεβάλλετο τοὺς θεμελίους τοῦ
οἴκου Κυρίου τοῦ ἐν Ἰερουσαλήμ, καὶ ἀπ' ἐκείνου μέχρι τοῦ
νῦν οἰκοδομούμενος οὐκ ἔλαβεν συντέλειαν. [20]νῦν οὖν κρίνεται, 20 (21)
βασιλεῦ· ἐπισκεπήτω ἐν τοῖς βασιλικοῖς βιβλιοφυλακίοις τοῦ
κυρίου βασιλέως τοῖς ἐν Βαβυλῶνι, [21]καὶ ἐὰν εὑρίσκηται μετὰ 21 (22)
τῆς γνώμης Κύρου τοῦ βασιλέως γενομένην τὴν οἰκοδομὴν τοῦ
κυρίου τοῦ ἐν Ἰερουσαλήμ, καὶ κρίνηται τῷ κυρίῳ βασιλεῖ
ἡμῶν, προσφωνησάτω ἡμῖν περὶ τούτων. [22]Τότε ὁ βασιλεὺς 22 (23)
Δαρεῖος προσέταξεν ἐπισκέψασθαι ἐν τοῖς βιβλιοφυλακίοις τοῖς
κειμένοις ἐν Βαβυλῶνι, καὶ εὑρέθη ἐν Ἐκβατάνοις τῇ βάρει
τῇ ἐν Μηδείᾳ χώρᾳ τόπος ἐν ᾧ ὑπομνημάτιστο τάδε [23]Ἔτους 23 (24)
πρώτου βασιλεύοντος Κύρου βασιλεὺς Κῦρος προσέταξεν τὸν
οἶκον τοῦ κυρίου τὸν ἐν Ἰερουσαλὴμ οἰκοδομῆσαι, ὅπου ἐπι-

A **12** *εσμεν*] pr *ημεις* A **13** *ωκοδομειτο* A **14** Βαβυλωνος] *της* Βαβυλωνιας A **16** *βασιλευς*] pr *ο* A | *οικοδομησαι τον οικον τουτον*] *τον οικον τουτον οικοδομηθηναι* A **17** *αργυρεα* A | *αυτου*] *εαυτου* A | Βαβυλωνια] Βαβυλωνι A | Σαβανασσαρω] Σα|ναβασσαρω A **18** *και απηνεγκεν*] *απενεγκαντι* A | om *παντα* A | *ταυτα τα σκευη* A | *κυριου*]+ *τουτον* A **19** Σαναβασσαρος]+*εκεινος* A | *εισεβαλλετο*] *ενεβαλλετο* B^{ab} *ενεβαλετο* A | Κυριου] pr *του* A | *οικοδομουμενον* A **20** *κρινεται*] pr *ει* A | om *βασιλεως τοις εν* Βαβυλωνι A **21** *κυριου*] pr *οικου* B$^{ab\ ing}$A **22** *βιβλιοφυλακιοις*] pr *βασιλικοις* A | Μηδια B* (Μηδεια B^{ab}A) | *τοπος*] *τομος εις* A | *υπεμνηματιστο* A

(25) 24 θύουσιν διὰ πυρὸς ἐνδελεχοῦς, [24]οὗ τὸ ὕψος πηχέων ἑξήκοντα, Β
πλάτος πηχέων ἑξήκοντα, διὰ δόμων λιθίνων ξυστῶν τριῶν καὶ
δόμου ξυλίνου ἐγχωρίου καινοῦ ἑνός, καὶ τὸ δαπάνημα δοθῆναι
(26) 25 ἐκ τοῦ οἴκου Κύρου τοῦ βασιλέως. [25]καὶ τὰ ἱερὰ σκεύη τοῦ
οἴκου Κυρίου τά τε χρυσᾶ καὶ ἀργυρᾶ, ἃ ἐξήνεγκεν Ναβουχο-
δονοσὸρ ἐκ τοῦ οἴκου τοῦ ἐν Ἰερουσαλήμ, ἀπήνεγκεν εἰς Βαβυ-
λῶνα, ἀποκατασταθῆναι εἰς τὸν οἶκον τὸν ἐν Ἰερουσαλὴμ οὗ
(27) 26 ἦν κείμενα, ὅπως τεθῇ ἐκεῖ. [26]προσέταξεν δὲ ἐπιμεληθῆναι
Σισίννῃ ἐπάρχῳ Συρίας καὶ Φοινίκης καὶ Σαθραβουζάνῃ καὶ τοῖς
συνεταίροις καὶ τοῖς ἀποτεταγμένοις ἐν Συρίᾳ καὶ Φοινίκῃ ἡγεμόσιν
ἀπέχεσθαι τοῦ τόπου, ἐᾶσαι δὲ τὸν παῖδα Κυρίου Ζοροβαβέλ,
ὕπαρχον δὲ τῆς Ἰουδαίας, καὶ τοὺς πρεσβυτέρους τῶν Ἰουδαίων
(28) 27 τὸν οἶκον τοῦ κυρίου ἐκεῖνον οἰκοδομεῖν ἐπὶ τοῦ τόπου. [27]κἀγὼ
δὲ ἐπέταξα ὁλοσχερῶς οἰκοδομῆσαι, καὶ ἀτενίσαι ἵνα συνποιῶσιν
τοῖς ἐκ τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας μέχρι τοῦ ἐπιτελεσθῆναι
(29) 28 τὸν οἶκον τοῦ κυρίου· [28]καὶ ἀπὸ τῆς φορολογίας κοίλης Συρίας
καὶ Φοινίκης ἐπιμελῶς σύνταξιν δίδοσθαι τούτοις τοῖς ἀνθρώποις
εἰς θυσίαν τῷ κυρίῳ, Ζοροβαβὲλ ἐπάρχῳ, εἰς ταύρους καὶ κριοὺς
(30) 29 καὶ ἄρνας, [29]ὁμοίως δὲ καὶ πυρὸν καὶ ἅλα καὶ οἶνον καὶ ἔλαιον
ἐνδελεχῶς κατ' ἐνιαυτόν, καθὼς ἂν οἱ ἱερεῖς οἱ ἐν Ἰερουσαλὴμ
ὑπαγορεύσωσιν ἀναλίσκεσθαι καθ' ἡμέραν ἀναμφισβητήτως,
(31) 30 [30]ὅπως προσφέρωνται σπονδαὶ τῷ θεῷ τῷ ὑψίστῳ ὑπὲρ τοῦ
βασιλέως καὶ τῶν παίδων, καὶ προσεύχωνται περὶ τῆς αὐτῶν
(32) 31 ζωῆς· [31]καὶ προστάξαι ἵνα ὅσοι ἐὰν παραβῶσίν τι τῶν γεγραμ-
μένων καὶ ἀκυρώσωσιν, λημφθῆναι ξύλον ἐκ τῶν ἰδίων αὐτοῦ
καὶ ἐπ' αὐτοῦ κρεμασθῆναι, καὶ τὰ ὑπάρχοντα αὐτοῦ εἶναι
(33) 32 βασιλικά. [32]διὰ ταῦτα καὶ ὁ κύριος, οὗ τὸ ὄνομα αὐτοῦ ἐπι-
κέκληται ἐκεῖ, ἀφανίσαι πάντα βασιλέα καὶ ἔθνος ὃς ἐκτενεῖ
χεῖρα αὐτοῦ κωλῦσαι ἢ κακοποιῆσαι τὸν οἶκον Κυρίου ἐκεῖνον
(34) 33 τὸν ἐν Ἰερουσαλήμ. [33]ἐγὼ βασιλεὺς Δαρεῖος δεδογμάτικα ἐπι-
μελῶς κατὰ ταῦτα γίγνεσθαι.

24 πηχων A (bis) | εν|χωριου A **25** τα τε χρυσα και αργυρα] τα| A
χρυσεα· και τα αργυρεα A | om α A | απηνεγκεν] pr και A **26** Φοινικη]
Φοινεικη B* (Φοινικη B^{b}A) | om δε 2° A | Κυριου] pr του A | υπαρχον] επαρ-
χον A | του κυριου] om του A **27** καγω] και εγω A | om δε A | ολο|σχερως
B* ολοσ|σχερως $B^{b vid}$ | συμποιωσιν B^{b} | της Ιουδαιας] των Ιουδαιων A |
μεχρι] μεχρεις A **28** θυσιας A **29** κα (1°) B* (και B^{ab}) | αναμφι|σβητη-
τως B* αναμφισ|βητητως B^{b} αναμφισβητως A **31** προσταξαι] προσεταξεν
A | εαν] αν A | γεγραμμενων] προειρημενων| και των προσγεγραμμενων A | και
2°] pr η A | επ αυτου] επι τουτω A **32** Κυριου] pr του A **33** γινεσθαι A

B [1]Τότε Σισίννης ἔπαρχος κοίλης Συρίας καὶ Φοινίκης καὶ Σαθρα- 1 VII
βουζάνης καὶ οἱ συνέταιροι, κατακολουθήσαντες τοῖς ὑπὸ τοῦ βασι-
λέως Δαρείου προσταγεῖσιν, [2]ἐπεστάτουν τῶν ἱερῶν ἔργων ἐπιμε- 2
λέστερον συνεργοῦντες τοῖς πρεσβυτέροις τῶν Ἰουδαίων καὶ ἱερο-
στάταις. [3]καὶ εὔοδα ἐγίνετο τὰ ἱερὰ ἔργα, προφητευόντων Ἀγγαίου 3
καὶ Ζαχαρίου τῶν προφητῶν. [4]καὶ συνετέλεσαν ταῦτα διὰ προσ- 4
τάγματος τοῦ κυρίου θεοῦ Ἰσραήλ, καὶ μετὰ τῆς γνώμης τοῦ Κύρου καὶ
Δαρείου καὶ Ἀρταξέρξου βασιλέως Περσῶν. [5]συνετελέσθη ὁ οἶκος 5
ἕως τρίτης καὶ εἰκάδος μηνὸς Ἀδὰρ τοῦ ἕκτου ἔτους βασιλέως
Δαρείου. [6]καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ ἱερεῖς καὶ οἱ Λευεῖται 6
καὶ οἱ λοιποὶ οἱ ἐκ τῆς αἰχμαλωσίας οἱ προστεθέντες ἀκολούθως τοῖς
ἐν τῇ Μωσέως βίβλῳ. [7]καὶ προσήνεγκαν εἰς τὸν ἐνκαινισμὸν τοῦ 7
ἱεροῦ τοῦ κυρίου ταύρους ἑκατόν, κριοὺς διακοσίους, ἄρνας τετρα-
κοσίας, [8]χιμάρους ὑπὲρ ἁμαρτίας παντὸς τοῦ Ἰσραὴλ δώδεκα, πρὸς 8
ἀριθμὸν ἐκ τῶν φυλάρχων τοῦ Ἰσραὴλ δώδεκα. [9]καὶ ἔστησαν οἱ 9
ἱερεῖς καὶ οἱ Λευεῖται ἐστολισμένοι κατὰ φυλὰς ἐπὶ τῶν ἔργων
Κυρίου θεοῦ Ἰσραὴλ ἀκολούθως τῇ Μωυσέως βίβλῳ, καὶ οἱ θυρωροὶ
ἐφ' ἑκάστου πυλῶνος. [10]Καὶ ἠγάγοσαν οἱ υἱοὶ Ἰσραὴλ τῶν ἐκ τῆς 10
αἰχμαλωσίας τὸ πάσχα ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ πρώτου μηνός,
ὅτε ἡγνίσθησαν οἱ ἱερεῖς καὶ οἱ Λευεῖται ἅμα [11]καὶ πάντες οἱ υἱοὶ 11
τῆς αἰχμαλωσίας· ὅτι ἡγνίσθησαν. ὅτι οἱ Λευεῖται ἅμα πάντες ἡγνί-
σθησαν, [12]καὶ ἔθυσαν τὸ πάσχα πᾶσιν τοῖς υἱοῖς τῆς αἰχμαλωσίας 12
καὶ τοῖς ἀδελφοῖς αὐτῶν τοῖς ἱερεῦσιν καὶ ἑαυτοῖς. [13]καὶ ἐφάγοσαν 13
οἱ υἱοὶ Ἰσραὴλ οἱ ἐκ τῆς αἰχμαλωσίας, πάντες οἱ χωρισθέντες ἀπὸ
τῶν βδελυγμάτων τῶν ἐθνῶν τῆς γῆς, ζητοῦντες τὸν κύριον. [14]καὶ 14
ἠγάγοσαν τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας εὐφραινόμενοι ἔναντι
Κυρίου, [15]ὅτι μετέστρεψεν τὴν βουλὴν τοῦ βασιλέως Ἀσσυρίων 15
ἐπ' αὐτούς, κατισχῦσαι τὰς χεῖρας αὐτῶν ἐπὶ τὰ ἔργα Κυρίου θεοῦ
Ἰσραήλ.

[1]Καὶ μεταγενέστερος τούτων ἐστίν, βασιλεύοντος Ἀρταξέρξου τοῦ 1 VIII

A VII **1** *επαρχος*] pr o A | *Φοινεικης* B* (*Φοινικης* B^{b}A) **2** *Ιουδαιων*] *ιεραιων* A **4** *του Κυρου*] om *του* A | *Αρταρξερξου* A | *βασιλεων* A **5** *συνετελεσθη*] pr *εως του εκτου ετους Δα|ρειου βασιλεως Περσων* A | *οικος*] +o *αγιος* A **6** *λοιποι*]+|*υιοι* Ισλ· *και οι ιερεις και οι Λευ|ιται· και οι λοιποι* A **7** *εγκαινισμον* B^{ab}A | *τετρακοσιους* A **8** *φυλαρχων*] *λαρ* sup ras A^{a} **9** *κατα φυλας εστολισμενοι* A | *θεου*] pr *του* A | *Μωσεως* A **10** *του πασχα* A | *τεσσαρισκαιδεκ.* B^{ab} | *οτε*] *οτι* A **14** *Κυριου*] pr *του* A VIII **1** *εστιν*· B *εστὶ·*| A (*και...εστιν* ad praeced vid pertinere in B) | *Αρταρξερξ.* A (item 6, 8, 9, 19, 28)

βασιλέως Περσῶν, προσέβη Ἔσρας Ἀζαραίου τοῦ Ζεχρίου τοῦ Χελ- Β
2 κείου τοῦ Σαλήμου 2τοῦ Σαδδουλούκου τοῦ Ἀχειτὼβ τοῦ Ἀμαρθείου τοῦ
Ὀζείου τοῦ Βοκκὰ τοῦ Ἀβεισαὶ τοῦ Φινεὲς τοῦ Ἐλεαζὰρ τοῦ Ἀαρὼν
3 τοῦ πρώτου ἱερέως. 3οὗτος Ἔσρας ἀνέβη ἐκ Βαβυλῶνος ὡς γραμ-
ματεὺς εὐφυὴς ὢν ἐν τῷ Μωυσέως νόμῳ τῷ ἐκδεδομένῳ ὑπὸ τοῦ
4 θεοῦ τοῦ Ἰσραήλ, 4καὶ ἔδωκεν αὐτῷ ὁ βασιλεὺς δόξαν, εὑρόντος
5 χάριν ἐναντίον αὐτοῦ ἐπὶ πάντα τὰ ἀξιώματα αὐτοῦ. 5καὶ συνα-
νέβησαν ἐκ τῶν υἱῶν Ἰσραὴλ καὶ τῶν ἱερέων καὶ Λευειτῶν καὶ
6 ἱεροψαλτῶν καὶ θυρωρῶν καὶ ἱεροδούλων εἰς Ἰερουσαλήμ, 6ἔτους
ἑβδόμου βασιλεύοντος Ἀρταξέρξου ἐν τῷ πέμπτῳ μηνί· οὗτος ἐνι-
αυτὸς ὁ δεύτερος βασιλεῖ· ἐξελθόντος γὰρ ἐκ Βαβυλῶνος τῇ νουμηνίᾳ
(7) τοῦ πρώτου μηνὸς (7)παρεγένοντο εἰς Ἰερουσαλὴμ κατὰ τὴν
(8) 7 δοθεῖσαν αὐτοῖς εὐοδίαν παρὰ τοῦ κυρίου ἐπ' αὐτῷ. 7ὁ γὰρ
Ἀψάρας πολλὴν ἐπιστήμην περιεῖχεν, εἰς τὸ μηδὲν παραλείπειν
τῶν ἐκ τοῦ νόμου Κυρίου καὶ ἐκ τῶν ἐντολῶν πάντα τὸν
(9) 8 Ἰσραήλ, δικαιώματα καὶ κρίματα. 8Προσπεσόντος παρὰ
Ἀρταξέρξου βασιλέως πρὸς Ἔσραν τὸν ἱερέα καὶ ἀναγνώστην τοῦ
(10) 9 νόμου Κυρίου, οὗ ἐστιν ἀντίγραφον τὸ ὑποκείμενον 9Βασιλεὺς
Ἀρταξέρξης Ἔσρᾳ τῷ ἱερεῖ καὶ ἀναγνώστῃ τοῦ νόμου Κυρίου
(11) 10 χαίρειν. 10καὶ τὰ φιλάνθρωπα ἐγὼ κρίνας προσέταξα τοὺς
βουλομένους ἐκ τοῦ ἔθνους τῶν Ἰουδαίων αἱρετίζοντας καὶ τῶν
ἱερέων καὶ τῶν Λευειτῶν καὶ τῶνδε ἐν τῇ ἡμετέρᾳ βασιλείᾳ
(12) 11 συμπορεύεσθαί σοι εἰς Ἰερουσαλήμ. 11ὅσοι οὖν ἐνθυμοῦνται,
συνεξορμάσθωσαν, καθάπερ δέδοκται ἐμοί τε καὶ τοῖς ἑπτὰ
(13) 12 φίλοις συμβουλευταῖς· 12ὅπως ἐπισκέψωνται κατὰ τὴν Ἰουδαίαν
(14) 13 καὶ κατὰ Ἰερουσαλὴμ ἀκολούθως ᾧ ἔχει νόμῳ Κυρίου, 13καὶ

1 Περσων βασιλεως A | Εζρας A (Εζρ ubique exc IX 1) | Αζαραιου] A Σαραιου A | Ζεχριου] Εζεριου A | Χελκιου $B^{b}A$ **2** Σαδδουλουκου] Σαδ|δουκου A | Αχιτωβ A | Αμαρθειου] Αμαριου A | Οζειου] Οζιου B^{b} Εζιου A+του Μαρερωθ· του| Ζαραιου· του Σαουια· A | Αβισουαι A | Φινεες A | Ελεαζαρ] ras aliq in ζ B^{2} (forte Ελεαρ.. B*) | πρωτου ιερεως] ιερεως| του πρωτου A **3** νομω Μωυσεως A **4** ευρονται A **5** Ιεροσολυμα A **6** ενιαυτος ο δευτερος] ο ενιαυτος εβδομος A | βασιλει] pr τω A | εξελθοντες A | μηνος]+εν τη νουμηνια·| του πεμπτου μηνος A | Ιεροσολυμα A | om επ αυτω A **7** Αψαρας] Εζρας A | παραλιπειν B^{b} | om εκ 2° A | εντολων]+διδαξαι A | τον παντα Ισλ A | δικαιωματα (διωματα B* superscr ᾳ B^{ab})] pr παντα| τα A | κριματα] pr τα A **8** προσπεσοντος]+δε του γραφεντος προσταγματος A | βασιλεως] pr του A | ιερεαν A **10** και τωνδε] οντω| δε αυτων A | ημετερα] ημερα A **11** συνεξορματωσαν A **12** κατα 1°] pr τα A | om κατα 2° A | ω] ως A | νομω] pr εν τω A | Κυριου] pr του A

B ἀπενεγκεῖν δῶρα τῷ κυρίῳ ἃ ηὐξάμην ἐγώ τε καὶ οἱ φίλοι εἰς
Ἰερουσαλήμ, καὶ πᾶν χρυσίον καὶ ἀργύριον ὃ ἐὰν εὑρεθῇ ἐν
τῇ χώρᾳ τῆς Βαβυλωνίας τῷ κυρίῳ εἰς Ἰερουσαλὴμ [15]σὺν τῷ (15)
δεδωρημένῳ ὑπὸ τοῦ ἔθνους εἰς τὸ ἱερὸν τοῦ κυρίου αὐτῶν τὸ
ἐν Ἰερουσαλὴμ [14]συναχθῆναι, τό τε χρυσίον καὶ ἀργύριον εἰς 14
ταύρους καὶ κριοὺς καὶ ἄρνας καὶ τὰ τούτοις ἀκόλουθα, [15]ὥστε 15 (16)
προσενεγκεῖν θυσίας ἐπὶ τὸ θυσιαστήριον τοῦ κυρίου αὐτῶν
τὸ ἐν Ἰερουσαλήμ. [16]καὶ πάντα ὅσα ἂν βούλῃ μετὰ τῶν ἀδελ- 16 (17)(20)
φῶν σου ποιῆσαι χρυσίῳ καὶ ἀργυρίῳ, ἐπιτέλει κατὰ τὸ θέλημα
τοῦ θεοῦ σου· [17]καὶ κατὰ τὰ ἱερὰ σκεύη σου τὰ διδόμενά εἰς 17 (18)
τὴν χρείαν τοῦ ἱεροῦ τοῦ θεοῦ σου τοῦ ἐν Ἰερουσαλήμ. [19]καὶ (19)
τὰ λοιπὰ ὅσα ἂν ὑποπίπτῃ σοι εἰς τὴν χρείαν τοῦ ἱεροῦ τοῦ
θεοῦ σου [18]δώσεις ἐκ τοῦ βασιλικοῦ γαζοφυλακίου. [19]καὶ ἐγὼ 18
19 (21)
ἰδοὺ Ἀρταξέρξης ὁ βασιλεὺς προσέταξα τοῖς γαζοφύλαξι Συρίας
καὶ Φοινίκης, ἵνα ὅσα ἂν ἀποστείλῃ Ἔσδρας ὁ ἱερεὺς καὶ ἀνα-
γνώστης τοῦ νόμου τοῦ θεοῦ τοῦ ὑψίστου ἐπιμελῶς διδῶσιν
αὐτῷ ἕως ἀργυρίου ταλάντων ἑκατόν, [20]ὁμοίως δὲ καὶ ἕως πυροῦ 20 (22)
κόρων ἑκατὸν καὶ οἴνου μετρητῶν ἑκατόν. [21]κατὰ τὸν τοῦ θεοῦ 21 (23)
νόμον ἐπιτελεσθήτω τῷ θεῷ τῷ ὑψίστῳ, ἕνεκα τοῦ μὴ γενέσθαι
ὀργὴν εἰς τὴν βασιλείαν τοῦ βασιλέως καὶ τῶν υἱῶν. [22]καὶ 22 (24)
ὑμῖν δὲ λέγεται ὅπως πᾶσι τοῖς ἱερεῦσιν καὶ τοῖς Λευείταις
καὶ ἱεροψάλταις καὶ θυρωροῖς καὶ ἱεροδούλοις καὶ πραγματικοῖς
τοῦ ἱεροῦ τούτου [23]μηδεμία φορολογία μηδὲ ἄλλη ἐπιβουλὴ γίνη- (25)
ται, μηδένα ἔχειν ἐξουσίαν ἐπιβαλεῖν τούτοις. [23]καὶ σύ, Ἔσρα, 23 (26)
κατὰ τὴν σοφίαν τοῦ θεοῦ ἀνάδειξον κριτὰς καὶ δικαστάς, ὅπως
δικάζωσιν ἐν ὅλῃ Συρίᾳ καὶ Φοινίκῃ πάντας τοὺς ἐπισταμένους
τὸν νόμον τοῦ θεοῦ σου· καὶ τοὺς μὴ ἐπισταμένους διδάξεις.
[24]καὶ πάντες ὅσοι ἐὰν παραβαίνωσι καὶ τὸν νόμον τοῦ θεοῦ σου 24 (27)

A **13** τω κυριω (1°)]+του Ισλ A | om τω κυριω (2°) A **13—15** εις Ιερουσαλημ...ωστε in mg et sup ras A^a **13** κυριου]+θυ A | αυτων] διαιτων A^a **14** om τε A^a **15** θυσιας]+τω κω A | κυριου] θυ A **17** om κατα A | σου 1°] του κυ A | διδομενα]+οι A* (σοι A^1) | αν] εαν A **18** βασιλικου] ιερου A **19** και εγω ιδου] καγω δε A | Αρταξερξης (Αρταρξ. B^{ab}) ο βασιλευς] ο βασιλευς Αρταρ|ξερξης A | γαζοφυλαξιν A | Φοινεικ. B* (Φοινικ. B^bA: item 23) | αν] εαν A **20** εκατον 2°]+και αλλα εκ πληθους| παντα A **21** επιτελεσθητω]+επιμελως A | εις] επι A | υιων] +αυτου A **22** πασιν A | ιεροψαλταις] pr τοις A | τουτου A] του B | αλλη επιβουλη] αλλα βουλη A | γιγνηται A | μηδενα εχειν εξουσιαν] και εξουσιαν μηδενα εχειν A | επιβαλειν]+τι A **23** επισταμενους]+δε A **24** παραβαινουσιν A | om και 2° A

καὶ τοῦ βασιλικοῦ ἐπιμελῶς κολασθήσονται, ἐάν τε καὶ θανάτῳ B
(28) 25 ἐάν τε καὶ τιμωρίᾳ, μὴ ἀργυρίῳ ζημίᾳ ἢ ἀπαγωγῇ. 25 εὐλογητὸς
μόνος ὁ κύριος ὁ δοὺς ταῦτα εἰς τὴν καρδίαν μου τοῦ βασιλέως,
(29) 26 δοξάσαι τὸν οἶκον αὐτοῦ τὸν ἐν Ἰερουσαλήμ. 26 καὶ ἐμὲ ἐτίμησεν
ἔναντι τῶν βασιλευόντων καὶ πάντων τῶν φίλων καὶ μεγιστά-
(30) 27 νων αὐτοῦ. 27 καὶ ἐγὼ εὐθαρσὴς ἐγενόμην κατὰ τὴν ἀντίλημψιν
Κυρίου θεοῦ μου, καὶ συνήγαγον ἐκ τοῦ Ἰσραὴλ ἄνδρας ὥστε
(31) 28 συναναβῆναί μοι. 28 Καὶ οὗτοι οἱ προηγούμενοι κατὰ τὰς
πατριὰς αὐτῶν καὶ τὰς μεριδαρχίας, οἱ ἀναβάντες μετ' ἐμοῦ ἐκ
(32) 29 Βαβυλῶνος ἐν τῇ βασιλείᾳ Ἀρταξέρξου τοῦ βασιλέως. 29 ἐκ τῶν
υἱῶν Φορός, Ταροσότομος· ἐκ τῶν υἱῶν Ἰεταμάρου, Γάμηλος· τῶν
(33) 30 υἱῶν Δαυείδ, 30 Φαρές, Ζαχαρίας, καὶ μετ' αὐτοῦ ἀπὸ γραφῆς
(34) 31 ἄνδρες ἑκατὸν πεντήκοντα· 31 ἐκ τῶν Μααθμωάβ, Ἐλιαλωνίας
(35) 32 Ζαραίου, καὶ μετ' αὐτοῦ ἄνδρες διακόσιοι· 32 ἐκ τῶν υἱῶν Ζαθοής,
Εἰεχονίας Ἰεθήλου, καὶ μετ' αὐτοῦ ἄνδρες διακόσιοι· τῶν υἱῶν
Ἀδείν, Οὐβὴν Ἰωνάθου, καὶ μετ' αὐτοῦ ἄνδρες διακόσιοι πεντή-
(36) 33 κοντα· 33 ἐκ τῶν υἱῶν Λάμ, Ἐσίας Γοθολίου, καὶ μετ' αὐτοῦ
(37) 34 ἄνδρες ἑβδομήκοντα· 34 ἐκ τῶν υἱῶν Σοφοτίου, Ζαραίας Μειχαήλου,
(38) 35 καὶ μετ' αὐτοῦ ἄνδρες ἑβδομήκοντα· 35 ἐκ τῶν υἱῶν Ἰωάβ, Ἀβαδίας
(39) 36 Ἰεζήλου, καὶ μετ' αὐτοῦ ἄνδρες διακόσιοι δέκα δύο· 36 ἐκ τῶν
υἱῶν Βανιάς, Σαλειμὼθ Ἰωσαφίου, καὶ μετ' αὐτοῦ ἄνδρες ἑκατὸν
(40) 37 ἑξήκοντα· 37 ἐκ τῶν Βαιήρ, Ζαχαριὰ Βημαί, καὶ μετ' αὐτοῦ ἄνδρες
(41) 38 εἴκοσι ὀκτώ· 38 υἱοὶ Ἀστάθ, Ἰωάνης Ἑκατάν, καὶ μετ' αὐτοῦ
(42) 39 ἄνδρες ἑκατὸν δέκα· 39 ἐκ τῶν υἱῶν Ἀδωνικαὶμ οἱ ἔσχατοι, καὶ
ταῦτα τὰ ὀνόματα αὐτῶν· Ἐλειφάλα τοῦ Γεουὴλ καὶ Σαμαίας,

24 τον βασιλεικον A | μη] η A | αργυριω] αργυρικη A **25** ευλο- A
γητος] pr και ειπεν Εζρας ο γραμματευς· | A | κυριος] + των πα|τερων μου A | om μου A **26** εναντιον A | των βασιλευοντων] του βασιλεως· και των συμβα|σιλευοντων· A **27** και εγω] καγω A | θεου] pr του A **28** ανα-
βαντες] αναβαινοντες A | Αρταρξερξου B^{ab}A **29** Φορος] Φιεες A | Ταροσο-
τομος] Γηρσων A | Ιεταμαρου] Ιθαμαρ A | Γαμηλος] Γαμαηλ A | των υιων 3°] pr εκ A | Δαυειδ] + Αττους| ο Σεχενιου A **30** Φαρες] των υιων Φορος A | Ζαχαριας και] ζαι (sic) A **31** Μααθμωαβ] υιων Φααθ'μ. A | Ελιαωνιας A **32** Ειεχονιας (Ιεχ. B^{b})] Σεχενιας A | Ιεθηλου] Ιεζηλου A | διακοσιοι 1°] τριακοσιοι A | των υιων 2°] pr εκ A | Αδιν A | Ουβην] Ωβηθ A **33** Λαμ] Ελαμ A | Εσιας] Ιεσσιας A **34** om A | Μιχαηλου B^{b} **35** δεκα δυο] δωδεκα A **36** Βανιας (Βανειας B^{ab}) Σαλειμωθ] Βανι· Ασσαλιμωθ' A | εκατον εξηκοντα] εξηκ. και εκατον A **37** Βαιηρ] υιων Βαβι A | Ζαχαριας A | Βημαι] Βηβαι A | οκτω̄| A (sic) **38** υιοι] εκ των υιων A | Ιωαν-
νης A **39** Αδωνικαμ A | Ελειφαλα του Γεουηλ] Ελι|φαλατος· Ιεουηλ'· A

Β καὶ μετ᾽ αὐτῶν ἄνδρες ἑβδομήκοντα· 40ἐκ τῶν υἱῶν Βαναὶ Οὐτοὺ 40
Ἰστακάλκου, καὶ μετ᾽ αὐτοῦ ἄνδρες ἑβδομήκοντα. 41Καὶ 41 (43)
συναγαγὼν αὐτοὺς ἐπὶ τὸν λεγόμενον Ποταμόν, καὶ παρενεβάλο-
μεν αὐτόθι ἡμέρας τρεῖς, καὶ κατέμαθον αὐτούς. 42καὶ ἐκ τῶν 42 (44)
ἱερέων καὶ ἐκ τῶν Λευειτῶν οὐχ εὑρὼν ἐκεῖ, 43ἀπέστειλα πρὸς 43 (45)
Ἐλεάζαρον καὶ Ἰδούηλον καὶ Μαασμᾶν καὶ Ἐναατὰν καὶ Σαμαίαν
καὶ Ἰώριβον, Ναθάν, Ἐννατάν, Ζαχαρίαν καὶ Μεσολαβώθ, τοὺς
ἡγουμένους καὶ ἐπιστήμονας, 44καὶ εἶπα αὐτοῖς ἐλθεῖν πρὸς 44 (46)
Λααδαῖον τὸν ἡγούμενον τὸν ἐν τῷ τόπῳ γαζοφυλακίου, 45ἐντει- 45 (47)
λάμενος αὐτοῖς διαλεγῆναι Λοδαίῳ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ καὶ
τοῖς ἐν τῷ τόπῳ γαζοφύλαξιν ἀποστεῖλαι ἡμῖν τοὺς ἱερα-
τεύσαντας ἐν τῷ οἴκῳ τοῦ κυρίου ἡμῶν, 46ἄνδρα ἐπιστήμονα, 46 (48)
τῶν υἱῶν Μοολεὶ τοῦ Λευεὶ τοῦ Ἰσραὴλ Ἀσεβηβίαν, καὶ τοὺς
υἱοὺς καὶ τοὺς ἀδελφοὺς δέκα· 47οἱ ἐκ τῶν υἱῶν Χανουναίου καὶ 47 (49)
οἱ υἱοὶ αὐτῶν, εἴκοσι ἄνδρες· 48καὶ ἐκ τῶν ἱεροδούλων ὧν ἔδωκεν 48 (50)
Δανείδ, καὶ οἱ ἡγούμενοι εἰς τὴν ἐργασίαν τῶν Λευειτῶν, ἱερόδουλοι,
διακόσιοι εἴκοσι· πάντων ἐσημάνθη ὀνοματογραφία. 49καὶ εὐξά- 49 (51)
μην ἐκεῖ νηστείαν τοῖς νεανίσκοις ἔναντι κυρίου ἡμῶν, 50ζητῆσαι 50
παρ᾽ αὐτοῦ εὐοδίαν ἡμῖν τε καὶ τοῖς τέκνοις ἡμῶν καὶ κτήνεσιν.
51ἐνετράπην γὰρ ἱππεῖς καὶ πεζοὺς προπομπὴν ἕνεκεν ἀσφαλείας 51 (52)
τῆς πρὸς τοὺς ἐναντίους ἡμῖν. 52εἴπαμεν γὰρ τῷ βασιλεῖ ὅτι 52 (53)
Ἰσχὺς τοῦ κυρίου ἡμῶν ἔσται μετὰ τῶν ἐπιζητούντων αὐτὸν εἰς
πᾶσαν ἐπανόρθωσιν. 53καὶ πάλιν ἐδεήθημεν τοῦ κυρίου ἡμῶν 53 (54)
πάντα ταῦτα, καὶ ἐτύχομεν εὐιλάτου. 54καὶ ἐχώρισα τῶν φυλάρ- 54 (55)
χων τῶν ἱερέων ἄνδρας δέκα δύο, καὶ Ἐσερεβίαν καὶ Ἀσσαμίαν,

A **40** Βαναι Ουτου Ιστακαλκου] Βαγο· Ουθι ο του Ισταλκουρου A **41** *συναγαγων*] *συνηγαγον* A | *ποταμον*] pr Θεραν A **42** *ιερεων*] *υιων των ιεραιων* A **43** Εναατα*ν*] Ελναθαν A | Μεσολαβ*ων*] Μοσολλαμον A **44** Λααδαιον] Δολδαιον A | *γαζοφυλακιου*] pr *του* A **45** διαλεγηναι] διαλεχθηναι A | Λοδαιω] Δολδαιω A | *ιερατευσοντας* B^{ab} | *τω οικω*] *τοπω* A **46** *ανδρα επιστημονα*] *και ηγαγεν ημιν κατα την κραται|αν χειρα του κῦ ημων ανδρας επιστημονας* A | Μοολι A | Λευι A | *υιους*]+*αυτου* A | *δεκα*] *οντας* (sup ras A^a) *δεκα οκτω* A **47** *οι* 1°] *και* Ασεβιαν· *και* Αννουνον·| *και* Ωσαιαν αδελφον A | Χανουναιου *και* sup ras A$^{a?}$ | *ανδρες εικοσι* A **48** *ιεροδουλους διακοσιους* A | *εικοσι*] pr *και* A | *εσημανθη*] *ονομασθη* A | *ονοματογραφια*] pr *η* A **49** *ηυξαμην* A | *τοις νεανισκοις νηστιαν* A | *κυριου*] +*του θῦ* A **50** *τεκνοις*] pr *συνουσειν* (sic) *ημιν* A **51** *ιππεις και πεζους*] *αι|τησαι τον βασιλεα πεζους* (sic) *τε·*| *και ιππεις και* A | *ασφαλιας* A | *εναντιους*] *εναντιουμενους* A **53** *παντα*] *κατα* A | *ετυχομεν ευιλατου*] *ιλατου* (*ιλαστου* A$^{a?}$) *ετυχομεν* A **54** *ανδρας* 1°] *α* 2° sup ras A^a | *δεκα δυο*] *δωδεκα* A | *Ασαμιαν* A

(56) 55 καὶ μετ' αὐτῶν ἐκ τῶν ἀδελφῶν αὐτῶν ἄνδρας δέκα. [55]καὶ B
ἔστησα αὐτοῖς τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ ἱερὰ σκεύη
τοῦ οἴκου τοῦ κυρίου ἡμῶν· οὕτως ἐδωρήσατο ὁ βασιλεὺς καὶ οἱ
(57) 56 σύμβουλοι αὐτοῦ καὶ μεγιστᾶνες καὶ πᾶς Ἰσραήλ. [56]καὶ παρέ-
δωκεν αὐτοῖς στήσας τάλαντα ἀργυρίου ἑξακόσια πεντήκοντα,
καὶ σκεύη ἀργυρᾶ ταλάντων ἑκατόν, καὶ χρυσίου ταλάντων ἑκα-
(58) τόν, [(58)]χρυσώματα εἴκοσι, καὶ σκεύη χαλκᾶ ἀπὸ χαλκοῦ χρηστοῦ
(59) 57 στίλβοντα σκεύη δέκα. [57]καὶ εἶπα αὐτοῖς Καὶ ὑμεῖς ἅγιοί ἐστε
τῷ κυρίῳ, καὶ τὰ σκεύη τὰ ἅγια καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον
(60) 58 εὐχὴ τῷ κυρίῳ, κυρίῳ τῶν πατέρων ἡμῶν. [58]ἀγρυπνεῖτε καὶ
φυλάσσετε ἕως τοῦ παραδοῦναι αὐτὰ ὑμᾶς τοῖς φυλάρχοις τῶν
ἱερέων καὶ τῶν Λευειτῶν καὶ τοῖς ἡγουμένοις τῶν πατριῶν τοῦ
Ἰσραὴλ ἐν Ἰερουσαλὴμ ἐν τοῖς παστοφορίοις τοῦ οἴκου τοῦ κυρίου
(61) 59 ἡμῶν. [59]καὶ οἱ παραλαβόντες οἱ ἱερεῖς καὶ οἱ Λευεῖται τὸ ἀργύ-
ριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη τὰ ἐν Ἰερουσαλὴμ ἤνεγκαν
(62) 60 εἰς τὸ ἱερὸν τοῦ κυρίου. [60]Καὶ ἀναζεύξαντες ἀπὸ τοῦ τόπου
Θερὰ τῇ δωδεκάτῃ τοῦ πρώτου μηνὸς ἕως ἦλθοσαν εἰς Ἰερουσαλὴμ
κατὰ τὴν κραταιὰν χεῖρα τοῦ κυρίου ἡμῶν τὴν ἐφ' ἡμῖν· καὶ
ἐρύσατο ἡμᾶς ἀπὸ τῆς εἰσόδου ἀπὸ παντὸς ἐχθροῦ· καὶ ἦλθον
(63) 61 εἰς Ἰερουσαλήμ. [61]καὶ γενομένης αὐτόθι ἡμέρας τρίτης, σταθὲν
τὸ ἀργύριον καὶ τὸ χρυσίον παρεδόθη ἐν τῷ οἴκῳ Κυρίου Μαρμωθὶ
(64) 62 Οὐρείᾳ ἱερεῖ, [62]καὶ μετ' αὐτοῦ Ἐλεαζὰρ ὁ τοῦ Φεινεές· καὶ ἦσαν
μετ' αὐτῶν Ἰωσαβεὲς Ἰησοῦς καὶ Μωὲθ Σαβάννου, οἱ Λευεῖται,
(65) πρὸς ἀριθμὸν καὶ ὁλκὴν πάντα· [(65)]καὶ ἐγράφη πᾶσα ἡ ὁλκὴ αὐτῇ
(66) 63 τῇ ὥρᾳ. [63]οἱ δὲ παραγενόμενοι ἐκ τῆς αἰχμαλωσίας προσ-
ήνεγκαν θυσίας τῷ θεῷ τοῦ Ἰσραὴλ Κυρίῳ ἐνενήκοντα ἕξ,
(67) [(67)]ἄρνας ἑβδομήκοντα ἕξ, τράγους ὑπὲρ σωτηρίου δέκα δύο·

55 μεγιστανες] pr οι A **56** παρεδωκεν αυτοις (B^{ab}: αυτους B*) A στησας] στησας παρεδωκα αυτοις A | αργυριου ταλαντα A | πεντηκοντα] pr και A | αργυρεα A | om χρυσιου ταλαντων εκατον A | χαλκα] χαλκαια A | χρηστου χαλκου A | σκευη 3°] pr χρυσοειδη A | δεκα] δωδεκα A **57** τω κυριω (1°)]+·κς A | τα αγια] om τα A | το χρυσιον και το αργυριον A **58** φυλασσετε (φυλασσεται A) εως] αι ε sup ras A | ηγουμενοις] ηγεμονοις A **60** τοπου] ποταμου A | δωδεκατη του] η τ sup ras A^a | om πρωτου A | ηλθοσαν] εισηλ|θομεν A | ερρυσατου A | εισοδου]+·κς A | ηλθον] ηλθεν B ηλθομεν A **61** σταθεν] pr τη δε ημερα τη τε|ταρτη A | Κυριου] του κυ ημων A | Μαρμαθι· A | Ουρια B^b Ουρι A **62** Φινεες A | Ιωσαβεες] Ιωσαβδος A | Ιησου A **63** ενενηκοντα...δεκα δυο] ταυρους δωδεκα υπερ παντος Ισλ·| κριους ενενηκοντα εξ· αρνας| εβδομηκοντα δυο· τραγους| υπερ σωτηριου δωδεκα· A

Β ἅπαντα θυσίαν τῷ κυρίῳ. [64]καὶ ἀπέδωκαν τὰ προστάγματα τοῦ 64 (68)
βασιλέως τοῖς βασιλικοῖς οἰκονόμοις καὶ τοῖς ἐπάρχοις Συρίας
καὶ Φοινίκης, καὶ ἐδόξασαν τὸ ἔθνος καὶ τὸ ἱερὸν τοῦ κυρίου.
[65]Καὶ τούτων τελεσθέντων προσήλθοσάν μοι οἱ ἡγούμενοι 65 (69)
λέγοντες [66]Οὐκ ἐχώρισαν καὶ οἱ ἄρχοντες καὶ οἱ ἱερεῖς καὶ οἱ 66
Λευεῖται [(70)]καὶ ἀλλογενῆ ἔθνη τῆς γῆς ἀκαθαρσίας αὐτῶν, Χανα- (70)
ναίων καὶ Χετταίων καὶ Φερεζαίων καὶ Ἰεβουσαίων καὶ Μωαβει-
τῶν καὶ Αἰγυπτίων καὶ Ἰδουμαίων. [67]συνῴκισάν τινας τῶν θυγα- 67 (71)
τέρων αὐτῶν, καὶ αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν· καὶ ἐπεμίγη τὸ σπέρμα
τὸ ἅγιον εἰς τὰ ἀλλογενῆ ἔθνη τῆς γῆς, καὶ μετεῖχον οἱ προηγού-
μενοι καὶ οἱ μεγιστᾶνες τῆς ἀνομίας ταύτης ἀπὸ τῆς ἀρχῆς τοῦ
πράγματος. [68]καὶ ἅμα τῷ ἀκοῦσαί με ταῦτα ἔρρηξα τὰ ἱμάτια 68 (72)
καὶ τὴν ἱερὰν ἐσθῆτα κατέτεινον τοῦ τριχώματος τῆς κεφαλῆς
καὶ τοῦ πώγωνος, καὶ ἐκάθισα σύννους καὶ περίλυπος. [69]καὶ 69 (73)
ἐπισυνήχθησαν πρὸς μὲ ὅσοι ποτὲ ἐπεκινοῦντο τῷ ῥήματι Κυρίου
τοῦ Ἰσραὴλ ἐμοῦ πενθοῦντος ἐπὶ τῇ ἀνομίᾳ, καὶ ἐκαθήμην
περίλυπος ἕως τῆς δειλινῆς θυσίας. [70]καὶ ἐξεγερθεὶς ἐκ τῆς 70 (74)
νηστείας, διερρηγμένα ἔχων τὰ ἱμάτια καὶ τὴν ἱερὰν ἐσθῆτα,
κάμψας τὰ γόνατα καὶ ἐκτείνας τὰς χεῖρας πρὸς τὸν κύριον
ἔλεγον [71]Κύριε, ᾐσχυμμαι, ἐντέτραμμαι κατὰ πρόσωπόν σου. 71 (75)
[72]αἱ γὰρ ἁμαρτίαι ἡμῶν ἐπλεόνασαν ὑπὲρ τὰς κεφαλὰς ἡμῶν, αἱ 72 (76)
δὲ ἄγνοιαι ἡμῶν ὑπερήνεγκαν ἕως τοῦ οὐρανοῦ [73]ἀπὸ τῶν χρόνων 73 (77)
τῶν πατέρων ἡμῶν, καί ἐσμεν ἐν μεγάλῃ ἁμαρτίᾳ ἕως τῆς ἡμέρας
ταύτης. [74]καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν καὶ τῶν πατέρων ἡμῶν 74 (78)
παρεδόθημεν σὺν τοῖς ἀδελφοῖς ἡμῶν, σὺν τοῖς βασιλεῦσιν ἡμῶν
καὶ σὺν τοῖς ἱερεῦσιν ἡμῶν, τοῖς βασιλεῦσιν τῆς γῆς, εἰς ῥομφαίαν
καὶ αἰχμαλωσίαν καὶ προνομὴν μετὰ αἰσχύνης μέχρι τῆς σήμερον
ἡμέρας. [75]καὶ νῦν κατὰ πόσον τι ἡμῖν ἐγενήθη ἔλεος παρὰ τοῦ 75 (79)
κυρίου Κυρίου, καταλειφθῆναι ἡμῖν ῥίζαν καὶ ὄνομα ἐν τῷ τόπῳ

A **64** Συριας] pr κοιλης A | Φοινεικης B* (Φοινικ. B^{b}A) **65** τουτων A] των B | προσηλθον A **66** και 2°] pr το εθνος| του Ισλ A | om και 4° A | αλλογενη] pr τα A | ακαθαρσιας] pr και τας A | αυτων] απο των εθνων A | Χαναναιων] pr των A | Μωαβιτων A **67** συνωκισαν] συνηκησαν γαρ A | τινας (τας B)] μετα A | om και 1° A **68** και 1°]+εγενετο A | ερρηξα] διερρηξα A | κατετεινον] και κατετιλα A | περιλυπος] υ pro ε B* (ε B^{1}) **69** οσοι] +ησαν ζηλωται· και οσοι A | επεκινουντο] ου sup ras $A^{a?}$ | τω ρηματι] pr επι A | του Ισρ.] θῦ Ισλ A **72** αι δε αγνοιαι] και αι αγνοαι A **73** απο] pr ετι| A **74** συν 2°] pr και A | τοις βασιλευσιν 2°] pr και A | om εις B (hab A) **75** εγενηθη ημιν A | του κυριου Κυριου] σου| κε̄· A

(80) 76 τούτῳ ἁγιάσματος, [76]καὶ τοῦ ἀνακαλύψαι φωστῆρα ἡμῶν ἐν τῷ Β
οἴκῳ τοῦ κυρίου ἡμῶν, δοῦναι ἡμῖν τροφὴν ἐν τῷ καιρῷ τῆς
(81) δουλείας ἡμῶν· [(81)]καὶ ἐν τῷ δουλεύειν ἡμᾶς οὐκ ἐνκατελείφθημεν
77 ὑπὸ τοῦ κυρίου ἡμῶν, [77]ἀλλὰ ἐποίησεν ἡμᾶς ἐν χάριτι ἐνώπιον
(82) 78 τῶν βασιλέων Περσῶν, δοῦναι ἡμῖν τροφὴν [78]καὶ δοξάσαι τὸ
ἱερὸν ἡμῶν καὶ ἐγεῖραι τὴν ἔρημον Σειών, δοῦναι ἡμῖν στερέωμα
(83) 79 ἐν τῇ Ἰουδαίᾳ καὶ Ἰερουσαλήμ. [79]καὶ νῦν τί ἐροῦμεν, Κύριε,
ἔχοντες αὐτά; παρέβησαν τὰ προστάγματά σου ἃ ἔδωκας ἐν χειρὶ
(84) 80 τῶν παίδων σου τῶν προφητῶν [(84)]λέγων [80]ὅτι Ἡ γῆ εἰς ἣν εἰσέρ-
χεσθε κληρονομῆσαι, ἔστιν γῆ μεμολυσμένη μολυσμῷ τῶν ἀλλο-
γενῶν τῆς γῆς, καὶ τῆς ἀκαθαρσίας αὐτῶν ἐνέπλησαν αὐτήν·
(85) 81 [81]καὶ νῦν τὰς θυγατέρας ὑμῶν μὴ συνοικίσητε τοῖς υἱοῖς αὐτῶν,
(86) 82 καὶ τὰς θυγατέρας αὐτῶν μὴ λάβητε τοῖς υἱοῖς ὑμῶν, [82]καὶ οὐ
ζητήσετε εἰρηνεῦσαι τὰ πρὸς αὐτοὺς τὸν ἅπαντα χρόνον, ἵνα
ἰσχύσαντες φάγητε τὰ ἀγαθὰ τῆς γῆς καὶ κατακληρονομήσητε
(87) 83 τοῖς υἱοῖς ὑμῶν ἕως αἰῶνος. [83]καὶ τὰ συμβαίνοντα πάντα ἡμῖν
γίνεται διὰ τὰ ἔργα ἡμῶν τὰ πονηρὰ καὶ τὰς μεγάλας ἁμαρτίας.
(88) 84 σὺ γάρ, Κύριε, ὁ κουφίσας τὰς ἁμαρτίας ἡμῶν, [84]ἔδωκας ἡμῖν
τοιαύτην ῥίζαν· πάλιν ἀνεκάμψαμεν παραβῆναι τὸν νόμον σου
(89) 85 εἰς τὸ ἐπιμιγῆναι τῇ ἀκαθαρσίᾳ τῶν ἐθνῶν τῆς γῆς. [85]οὐχὶ
ὠργίσθης ἡμῖν ἀπολέσαι ἡμᾶς ἕως τοῦ μὴ καταλιπεῖν ῥίζαν καὶ
(90) 86 σπέρμα καὶ ὄνομα ἡμῶν. [86]κύριε τοῦ Ἰσραήλ, ἀληθινὸς εἶ· κατε-
(91) 87 λείφθημεν γὰρ ῥίζα ἐν τῇ σήμερον. [87]ἰδοὺ ἐσμὲν ἐνώπιόν σου
ἐν ταῖς ἀνομίαις ἡμῶν· οὐ γὰρ ἔστιν στῆναι ἔτι ἔμπροσθέν σου
(92) 88 ἐπὶ τούτοις. [88]Καὶ ὅτε προσευχόμενος Ἔσρας ἀνθωμολογεῖτο
κλαίων χαμαιπετὴς ἔμπροσθεν τοῦ ἱεροῦ, ἐπισυνήχθησαν πρὸς
αὐτὸν ἀπὸ Ἰερουσαλὴμ ὄχλος πολὺς σφόδρα, ἄνδρες καὶ γυναῖκες,
(93) 89 νεανίαι· κλαυθμὸς γὰρ ἦν μέγας ἐν τῷ πλήθει. [89]καὶ φωνήσας

75 om τουτω A | αγιασματος] του αγιασμ. σου A **76** ανακαλυψαι] A αναψαι A | κυριου]+θῡ A | ημων 2°] Ιηλ A* vid | δουλιας A | εγκατελειφθημεν B^{ab}A | υπο] απο A **77** αλλ A **78** ημων] pr του κῡ A | Σιων B^{b}A **79** αιρουμεν A | αυτα] ταυτα A | παρεβησαν] παρεβημεν γαρ A **80** μεμολυμμενη A **81** υμων 1°] αυτων A | υιοις 1°] τεκνοις A | αυτων 1°] υμων A | αυτων 2°] ημων A | λαβητε] δωτε A | υιοις 2°] τεκνοις A | υμων 2°] αυτων A **82** αιωνος] pr του A **83** γιγνεται A | αμαρτιας 1°]+ημων A | ο κουφισας] εκουφισας A **84** εδωκας] pr και A **85** καταλειπειν A | om ημων B* (hab B$^{ab\,mg}$ A) **86** om κυριε B* (hab B$^{ab\,mg}$ [forte prius κ̄ς B$^{a\,txt}$] A) **87** ιδου]+νυν A **88** απο] εξ A | Ιερουσαλημ] ras aliq in σα B$^{?}$ | νεανιαι] pr και A | γαρ| ην sup ras B^{ab}

B Ἰεχονίας Ἰεήλου τῶν υἱῶν Ἰσραὴλ εἶπεν Ἔσρα Ἡμεῖς ἡμάρτομεν
εἰς τὸν κύριον· καὶ κατῴκησαν γυναῖκες ἀλλογενεῖς ἐκ τῶν ἐθνῶν
τῆς γῆς· (94)καὶ νῦν ἐστιν ἐπάνω πᾶς Ἰσραήλ. 90ἐν τούτῳ γε- 90 (94)
νέσθω ἡμῖν ὁρκωμοσία πρὸς τὸν κύριον, ἐκβαλεῖν πάσας τὰς
γυναῖκας ἡμῶν τὰς ἐκ τῶν ἀλλογενῶν σὺν τοῖς τέκνοις αὐτῶν,
(95)ὡς ἐκρίθη σοι, καὶ ὅσοι πειθαρχήσουσιν τοῦ νόμου τοῦ κυρίου. (95)
91ἀναστὰς ἐπιτέλει· (96)πρὸς σὲ γὰρ τὸ πρᾶγμα, καὶ ἡμεῖς μετὰ 91 (96)
σοῦ ἰσχὺν ποιεῖν. 92καὶ ἀναστὰς Ἔσρας ὥρκισεν τοὺς φυλάρχους 92 (97)
τῶν ἱερέων καὶ τῶν Λευειτῶν παντὸς τοῦ Ἰσραὴλ ποιῆσαι κατὰ
ταῦτα, καὶ ὤμοσαν. 1Καὶ ἀναστὰς Ἔσρας ἀπὸ τῆς αὐλῆς 1 IX
τοῦ ἱεροῦ ἐπορεύθη εἰς τὸ παστοφόριον Ἰωνᾶ τοῦ Νασείβου, 2καὶ 2
αὐλισθεὶς ἐκεῖ ἄρτου οὐκ ἐγεύσατο οὐδὲ ὕδωρ ἔπιεν, πενθῶν ὑπὲρ
τῶν ἀνομιῶν τῶν μεγάλων τοῦ πλήθους. 3καὶ ἐγένετο κήρυγμα 3
ἐν ὅλῃ τῇ Ἰουδαίᾳ καὶ Ἰερουσαλὴμ πᾶσι τοῖς ἐκ τῆς αἰχμαλωσίας,
συναχθῆναι εἰς Ἰερουσαλήμ· 4καὶ ὅσοι ἂν μὴ ἀπαντήσουσιν ἐν 4
δυσὶν ἢ τρισὶν ἡμέραις κατὰ τὸ κρίμα τῶν προκαθημένων πρεσ-
βυτέρων, ἀνιερωθήσονται τὰ κτήνη αὐτῶν, καὶ αὐτὸς ἀλλοτριωθή-
σεται ἀπὸ τοῦ πλήθους τῆς αἰχμαλωσίας. 5Καὶ ἐπισυνήχθησαν 5
οἱ ἐκ τῆς φυλῆς Ἰούδα καὶ Βενιαμεὶν ἐν τρισὶν ἡμέραις εἰς Ἰερου-
σαλήμ· οὗτος ὁ μὴν ἔνατος τῇ εἰκάδι τοῦ μηνός. 6καὶ συνε- 6
κάθισαν πᾶν τὸ πλῆθος ἐν τῇ εὐρυχώρῳ τοῦ ἱεροῦ τρέμοντες τὸν
ἐνεστῶτα χειμῶνα. 7καὶ ἀναστὰς Ἔσρας εἶπεν αὐτοῖς Ὑμεῖς ἠνομή- 7
σατε καὶ συνοικήσατε γυναιξὶν ἀλλογενέσιν, προσθεῖναι ἁμαρτίαν
τῷ Ἰσραήλ. 8καὶ νῦν δότε ὁμολογίαν δόξαν τῷ κυρίῳ θεῷ τῶν 8
πατέρων ἡμῶν, 9καὶ ποιήσατε τὸ θέλημα αὐτοῦ καὶ χωρίσθητε ἀπὸ 9
τῶν ἐθνῶν τῆς γῆς καὶ ἀπὸ τῶν ἀλλογενῶν. 10καὶ ἐφώνησαν πᾶν 10
τὸ πλῆθος καὶ εἶπον μεγάλῃ τῇ φωνῇ Οὕτως ὡς εἴρηκας ποιήσομεν.
11ἀλλὰ τὸ πλῆθος πολὺ καὶ ὥρα χειμερινή, καὶ οὐκ ἰσχύσομεν στῆναι 11
αἴθριοι καὶ οὐχ εὕρομεν· καὶ τὸ ἔργον ἡμῖν οὐκ ἔστιν ἡμέρας μιᾶς

A **89** Ιεηλ A | *των υιων*] pr ο A | · Εσρα· B · Εζρα· A | *κυριον*]+*θν* A | *κατωκησαν*] *συνωκισαμεν* A | *γυναικας* A | *εκ*] *απο* A **90** *γενεσθω*] *η*|*γνεσθω* A (sic) | *πειθαρχουσιν* A | *του νομου*] *τω νομω* A | *του κυριου*] om *του* A **92** *των Λευειτων*] om *των* A IX **1** Εδρας A | Ιωνα] Ιωαναν A | Νασειβου] Ελιασιβου A **2** *αυλισθει* B* (s superscr B^{ab}) | *ετευσατο* A | *υπερ*] *επι* A **3** *πασιν* A **4** *αν*] *εαν* A | *απαντησωσιν* A **6** *συνεκαθισεν* A **7** *συνωκισατε* A | *γυναικας αλλογενεις* A | *προσθειναι*] pr *του* A | *αμαρτιας* A **9** *των αλλογενων*] pr *των γυναικων* A **10** *παν*] *απαν* A | *ειπαν* A **11** *ωρα*] pr *η* A | *ισχυομεν* A | om *και ουχ ευρομεν* A | *ουκ εστιν ημιν* A

12 οὐδὲ δύο, ἐπὶ πλεῖον γὰρ ἡμάρτομεν ἐν τούτοις. 12στήτωσαν δὲ οἱ Β
προηγούμενοι τοῦ πλήθους, καὶ πάντες οἱ ἐκ τῶν κατοικιῶν ἡμῶν ὅσοι
ἔχουσιν γυναῖκας ἀλλογενεῖς 13παραγενηθήτωσαν λαβόντες χρόνον·
13 13ἑκάστου τόπου τοὺς πρεσβυτέρους καὶ τοὺς κριτάς, ἕως τοῦ λῦσαι
14 τὴν ὀργὴν Κυρίου ἀφ' ἡμῶν τοῦ πράγματος τούτου. 14Ἰωνάθας
Ἀζαήλου καὶ Ἐζείας Θοκάνου ἐπεδέξαντο κατὰ ταῦτα, καὶ Μοσόλ-
15 λαμος καὶ Λευεὶς καὶ Σαββαταῖος συνεβράβευσαν αὐτοῖς. 15καὶ ἐποί-
16 ησαν κατὰ πάντα ταῦτα οἱ ἐκ τῆς αἰχμαλωσίας. 16Καὶ ἐπελέξατο
αὐτῷ Ἔσρας ὁ ἱερεὺς ἄνδρας ἡγουμένους τῶν πατριῶν αὐτῶν πάντας
κατ' ὄνομα, καὶ συνεκλείσθησαν τῇ νουμηνίᾳ τοῦ μηνὸς τοῦ δεκάτου
17 ἐτάσαι τὸ πρᾶγμα. 17καὶ ἤχθη ἐπὶ πέρας τὰ κατὰ τοὺς ἄνδρας τοὺς
ἐπισυναχθέντας γυναῖκας ἀλλογενεῖς ἕως τῆς νουμηνίας τοῦ πρώτου
18 μηνός. 18καὶ εὑρέθησαν τῶν ἱερέων οἱ ἐπισυναχθέντες ἀλλογενεῖς
19 γυναῖκας ἔχοντες 19ἐκ τῶν υἱῶν Ἰησοῦ τοῦ Ἰωσεδὲκ καὶ τῶν ἀδελφῶν
20 αὐτοῦ Μαεήλας καὶ Ἐλεάζαρος καὶ Ἰώριβος καὶ Ἰώδανος· 20καὶ ἐπέ-
βαλον τὰς χεῖρας ἐκβαλεῖν τὰς γυναῖκας αὐτῶν, καὶ εἰς ἐξιλασμὸν
21 κριοὺς ὑπὲρ τῆς ἀγνοίας αὐτῶν· 21καὶ ἐκ τῶν υἱῶν Ἐμήρ, Ἀνανίας
22 καὶ Ζαββαῖος καὶ Μάνης καὶ Θαμαῖος καὶ Ἱερηὴλ καὶ Ἀζαρίας· 22καὶ
ἐκ τῶν υἱῶν Φαισούρ, Ἐλιωναΐς, Ἀσσείας, Ἰσμάηλος καὶ Ναθανάηλος
23 καὶ Ὠκαΐηδος καὶ Σάλθας· 23καὶ ἐκ τῶν Λευειτῶν, Ἰώζαββδος καὶ
Σενσεὶς καὶ Κῶνος, οὗτος Καλειταΐς, καὶ Παθαῖος· καὶ Ὠούδας καὶ
24 Ἰωανᾶς, 24ἐκ τῶν ἱεροψαλτῶν Ἐλιάσεβος, Βάκχουρος, 25ἐκ τῶν θυρω-
26 ρῶν Σάλλουμος καὶ Τολβάνης· 26ἐκ τοῦ Ἰσραὴλ ἐκ τῶν υἱῶν Φορός,
Ἱερμὰ καὶ Ἰεζείας καὶ Μελχείας καὶ Μίηλος καὶ Ἐλεάζαρος καὶ
27 Ἀσεβείας καὶ Βανναίας· 27ἐκ τῶν υἱῶν Ἠλά, καὶ Ματὰν καὶ Ζαχαρίας,
28 Ἰεζόρικλος καὶ Ὠαβδεῖος καὶ Ἰερεμὼθ καὶ Ἀηδείας· 28καὶ ἐκ τῶν
υἱῶν Ζαμόθ, Ἐλιαδᾶς, Ἐλειάσειμος, Ὀθονίας, Ἰαρειμὼθ καὶ Σάβαθος

12 κατοικων A **13** εκαστου] και εκ. δε A | τας κιτας A | Κυριου] pr A του A **14** Εζειας] Εζεκιας A | Θωκανου A | Λευις A **16** αυτω] εαυτω A | κατ ονομα παντας A | συνεκλεισθησαν] συνεκαθισαν A **17** επισυναχθεντας] συνεχοντας A | της νουμ.] του νουμ. A **19** om αυτου A | Μαθηλας A | Ιωαδανος A **20** αυτων 1°] εαυτων A **21** Εμμηρ A | Θαμαιος] Σαμαιος A **22** Φαισου A | Ελιωναις] pro E al lit coep B* Ελιωνας A | Ασσειας] Μασσιας A | om και Ναθαναηλος A | Ωκαιληδος] Ωκειδηλος A | Σαλθας] Σαλοας A **23** Σενσεις] Σεμεις A | Κωνος] Κω|λιος A | Καλειταις και (κε B) Παθαιος (forte καλειται Σκεπαθαιος)] εστιν Καλιτας· και Φαθαιος· A | Ιωνας A **24** Ελιασιβος A **25** θυρωρων A] θυ|γατερων B | Σαλλουμος B*[b]] Σαλλουμου B[a]?[c]? **26** υιων]+υιων A | Ιερμας A | Ιεζειας] Ιεδδιας A | Μελχιας B[b]A | Μιληλος] Μαηλος A | Ασιβιας A **27** Ματαν] Ματθανιας A | om και 2° A | Ιεζορικλος] Ιεζριηλος A | Ωαβδιος A | Αηδιας A **28** Ελιασιμος A | Ιαριμωθ A

B καὶ Ζεραλίας· [29]καὶ ἐκ τῶν υἱῶν Βηβαί, Ἰωάννης καὶ Ἀνανίας καὶ 29
Ζάβδος καὶ Ἐμαθθίς· [30]καὶ ἐκ τῶν υἱῶν Μανί, Ὤλαμος, Μάμουχος, 30
Ἰεδαῖος, Ἰάσουβος καὶ Ἀσάηλος καὶ Ἱερεμώθ· [31]καὶ ἐκ τῶν υἱῶν 31
Ἀδδείν, Λάθος καὶ Μοοσσείας, Λακκοῦνος καὶ Νάαιδος, καὶ Βεσκα-
σπασμὺς καὶ Σεσθὴλ καὶ Βαλνοῦς καὶ Μανασσήας· [32]καὶ ἐκ τῶν υἱῶν 32
Ἀννάν, Ἐλιωδᾶς καὶ Ἀσαίας καὶ Μελχείας καὶ Σαββαίας καὶ Σίμων
Χοσάμαος· [33]καὶ ἐκ τῶν υἱῶν Ἀσόμ, Μαλτανναῖος καὶ Ματταθίας καὶ 33
Σαβανναιοῦς καὶ Ἐλειφαλὰτ καὶ Μανασσὴ καὶ Σεμεεί· [34]καὶ ἐκ τῶν 34
υἱῶν Βαανεί, Ἱερεμίας, Μομδεῖος, Μάηρος, Ἰουνά, Μαμδαὶ καὶ Πεδίας
καὶ Ἄνως, Καραβασειὼν καὶ Ἐνάσειβος καὶ Μαμτάναιμος, Ἐλιασείς,
Βαννούς, Ἐδιαλείς, Σομεείς, Σελεμίας, Ναθανίας· καὶ ἐκ τῶν υἱῶν
Ἐζωρά, Σεσείς, Ἐζρείλ, Ἀζάηλος, Σάματος, Ζαμβρεί, Φόσηπος· [35]ἐκ 35
τῶν Ὀομά, Ζειτίας, Ζαβαδαίας, Ἠδός, Οὐήλ, Βαναίας. [36]πάντες οὗτοι 36
συνῴκησαν γυναιξὶν ἀλλογενέσιν, καὶ ἀπέλυσαν αὐτὰς σὺν τέ-
κνοις. [37]Καὶ κατῴκησαν οἱ ἱερεῖς καὶ οἱ Λευεῖται καὶ οἱ ἐκ τοῦ 37
Ἰσραὴλ ἐν Ἰερουσαλὴμ καὶ ἐν τῇ χώρᾳ τῇ νουμηνίᾳ τοῦ ἑβδόμου
μηνός, καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐν ταῖς κατοικίαις αὐτῶν.

[38]Καὶ συνήχθη πᾶν τὸ πλῆθος ὁμοθυμαδὸν ἐπὶ τὸ εὐρύχωρον τοῦ 38
πρὸς ἀνατολὰς ἱεροῦ πυλῶνος, [39]καὶ εἶπεν Ἔσρα τῷ ἱερεῖ καὶ ἀνα- 39
γνώστῃ κομίσαι τὸν νόμον Μωσέως τὸν παραδοθέντα ὑπὸ τοῦ θεοῦ
Ἰσραήλ. [40]καὶ ἐκόμισεν Ἔσρας ὁ ἀρχιερεὺς τὸν νόμον παντὶ τῷ 40
πλήθει ἀπὸ ἀνθρώπου ἕως γυναικὸς καὶ πᾶσιν τοῖς ἱερεῦσι, ἀκούσαι τὸν
νόμον, νουμηνίᾳ τοῦ ἑβδόμου μηνός· [41]καὶ ἀνεγίνωσκεν ἐν τῷ πρὸ τοῦ 41
ἱεροῦ πυλῶνος εὐρυχώρου ἀπὸ ὄρθρου ἕως μεσημβρινοῦ ἐνώπιον τῶν
ἀνδρῶν καὶ γυναικῶν· καὶ ἐπέδωκαν πάντα τὸν νοῦν εἰς τὸν νόμον.

A **28** Ζεραλιας] Ζαρδαιας A **29** om *και* 1° A | Ζαβδος] Ωζαβαδος A | Εμαθεις A **30** om *και* 1° A **31** Αδδειν Λαθος] Αδδι·| Νααθος A | Μοοσσειας] Μοος· Σιας A | Ναειδος A | Βεσκασπασμυς] Ματθανιας·| A | Βαλνουος A **32** Αννας A | Ελιωναs A | Μελχιας A | Χοσομαιος A **33** Μαλτανναιος] Αλτανναιος A | Σαβανναιους] Βανναιους A | Μανασσης A | Σεμει A **34** Βαανι A | Μομδεις A | Μαηρος] Ισμαηρος A | Μανδαι A | Πεδιας] Παιδειας A | Καραβασιων A | Ενασιβος A | Μαμνιταναι|μος A | Εδιαλεις] Ελιαλει| A | Σεσσεις A | Εζριλ A | Αζαηλ A | Ζαμβρις A | Φοσηπος] Ιωσηφος A **35** *εκ*] pr *και* A | Ομα Ζειτιας] *υιων* Νο||ομα· Μαζιτιας A | Ηδος] Ηδαις A | Ουηλ] Ιουηλ A **36** *συνωκησαν γυναιξιν αλλογενεσιν*] *συνωκισαν γυναι|κας αλλογενεις* A **37** *του εβδομου μηνος*] *του μηνος του εβδομου* A **38** *ιερου*] pr *του* A **39** *ιερει*] *αρχιερει* A | Μωσεως] Μω|υση A | *θεου*] pr κῦ A **40** *εδοκιμασεν* B (*εκομισεν* A) | *ιερευσιν* $B^{b?\,c?}$A | *τον νομον*] *του νομου* A **41** *ανεγιγνωσκεν* A | *προ*] o sup ras $A^{a?}$ (*πρω* $A^{*\,vid}$) | *ευρυχωρω* A | *απο*] *εξ* A | *μεσημβρινου*] *μεσου ημερας* A | *και* 2°] pr *τε* A | *παντα*] *παν το πληθος* A

42 [42]καὶ ἔστη Ἔσρας ὁ ἱερεὺς καὶ ἀναγνώστης τοῦ νόμου ἐπὶ τοῦ ξυλί- B
43 νου βήματος τοῦ κατασκευασθέντος· [43]καὶ ἔστησεν αὐτῷ Ματταθίας,
Σαμμού, Ἀνανίας, Ἀζαρίας, Οὐρείας, Ἐζεκίας, Βαάλσαμος ἐκ δεξιῶν,
44 [44]καὶ ἐξ εὐωνύμων Φαλαδαῖος, Μεισαήλ, Μελχείας, Λωθάσουβος, Να-
45 βαρείας, Ζαχαρίας. [45]καὶ ἀναλαβὼν Ἔσρας τὸ βιβλίον τοῦ πλήθους
46 ἐνώπιον, προεκάθητο γὰρ ἐπιδόξως ἐνώπιον πάντων, [46]καὶ ἐν τῷ
λῦσαι τὸν νόμον πάντες ὀρθοὶ ἔστησαν· καὶ εὐλόγησεν Ἀζαρίας τῷ
47 ὑψίστῳ θεῷ σαβαὼθ Παντοκράτορι, [47]καὶ ἐφώνησεν πᾶν τὸ πλῆθος
Ἀμήν, ἀμήν· καὶ ἄραντες ἄνω τὰς χεῖρας προσπεσόντες ἐπὶ τὴν
48 γῆν προσεκύνησαν τῷ θεῷ. [48]Ἰησοῦς καὶ Ἀννιοὺθ καὶ Σαραβίας,
Ἰάδεινος, Ἰαρσούβοος, Ἀβταῖος, Αὐταίας, Μαιάννας καὶ Καλείτας, Ἀζα-
(49) ρίας, Κατεθζαβδος, Ἄννας, Φαλίας, οἱ Λευεῖται, [49]ἐδίδασκον τὸν
νόμον Κυρίου, καὶ πρὸς τὸ πλῆθος ἀνεγίνωσκον τὸν νόμον τοῦ
(50) 49 κυρίου, ἐμφυσιοῦντες ἅμα τὴν ἀνάγνωσιν. [49]Καὶ εἶπεν
Ἀτταρατὴ Ἔσρᾳ τῷ ἀρχιερεῖ καὶ ἀναγνώστῃ καὶ τοῖς Λευείταις
(51) 50 τοῖς διδάσκουσι τὸ πλῆθος ἐπὶ πάντας [50]Ἡ ἡμέρα αὕτη ἐστὶν ἁγία
(52) 51 τῷ κυρίῳ· καὶ πάντες ἔκλαιον ἐν τῷ ἀκοῦσαι τὸν νόμον· [51]βαδί-
σαντες οὖν φάγετε λιπάσματα καὶ ἀποστείλατε ἀποστολὰς τοῖς
(53) 52 μὴ ἔχουσιν. [52]ἁγία γὰρ ἡ ἡμέρα τῷ κυρίῳ, καὶ μὴ λυπεῖσθε· ὁ
(54) 53 γὰρ κύριος δοξάσει ὑμᾶς. [53]καὶ οἱ Λευεῖται ἐκέλευον τῷ δήμῳ
(55) 54 πάντα λέγοντες Ἡ ἡμέρα αὕτη ἁγία, μὴ λυπεῖσθε. [54]καὶ ᾤχοντο
πάντες φαγεῖν καὶ πιεῖν καὶ εὐφραίνεσθαι, καὶ δοῦναι ἀποστολὰς
55 τοῖς μὴ ἔχουσιν, καὶ εὐφρανθῆναι μεγάλως· [55]ὅτι καὶ ἐνεφυσιώθησαν
ἐν τοῖς ῥήμασιν οἷς ἐδιδάχθησαν. καὶ ἐπισυνήχθησαν.

43 εστησαν A | αυτω] pr παρ A | Σαμμους A | Ανανιας] pr και A | Ουριας A
$B^{b}A$ **44** Φαλδαιος A | Μισαηλ $B^{b}A$ | Μελχιας $B^{b}A$ | Ναβαριας $B^{b}A$
45 βιβλιον] + του νομου A | του πλ. ενωπιον] ενωπιον του πλ. A **46** ορθροι
A | ηυλογησεν A | Αζαριας] Εζρας A | υψιστω] pr κ̄ω θ̄ω τω A **47** επε-
φωνησεν A [om αμην 2° A | θεω] κ̄ω A **48** Ιησους] s improb vid B^{a} | Αννιουθ]
Αννους A | Σαραριας $A^{*\,vid}$ (Σαραβιας A^{1}) | Ιαδινος A | Ιαρσουβοος] Ιακουβος
A | Αβταιος] Σαββαταιας A | Αζαρειας A | Κατεθζαβδος] και Ιωζαβδος A |
Αννας] Ανανιας A | Φαλιας] Φιαθας A | om και προς το πλ. ανεγ. τον ν. του
κυριου A **49** Ατταρατη] Ατθαρατης A | διδασκουσιν A **50** του νομου A
51 λιπασματα] + και πιετε γλυκασματα A **52** om και A | λυπεισθαι A
(item 53) | κυριος] pr θς A **53** τω δημω παντα] τα παντα τω δημω A
54 πιειν] sup ras $B^{2\,(mg)}$ **55** om και 1° A
Subscr Εσδρας α B Εζρας α A

ΕΣΔΡΑΣ Β

Β ΚΑΙ ἐν τῷ πρώτῳ ἔτει Κύρου τοῦ βασιλέως Περσῶν, τοῦ τελε- 1 I
σθῆναι ἀπὸ στόματος Ἰερεμίου, ἐξήγειρεν τὸ πνεῦμα Κύρου βασιλέως
Περσῶν, καὶ παρήγγειλεν φωνὴν ἐν πάσῃ βασιλείᾳ αὐτοῦ καί γε
ἐν γραπτῷ λέγων [2]Οὕτως εἶπεν Κῦρος βασιλεὺς Περσῶν Πάσας 2
τὰς βασιλείας ἔδωκέν μοι ὁ θεὸς τοῦ οὐρανοῦ, καὶ αὐτὸς ἐπεσκέψατό
με ἐπ᾽ ἐμὲ οἰκοδομῆσαι αὐτῷ οἶκον ἐν Ἰερουσαλὴμ τῇ ἐν Ἰούδᾳ.
[3]τίς ἐν ὑμῖν ἀπὸ παντὸς τοῦ λαοῦ αὐτοῦ; καὶ ἔσται ὁ θεὸς αὐτοῦ 3
μετ᾽ αὐτοῦ, καὶ ἀναβήσεται εἰς Ἰερουσαλήμ. [4]καὶ πᾶς ὁ καταλει- 4
πόμενος ἀπὸ πάντων τῶν τόπων οὗ αὐτὸς παροικεῖ ἐκεῖ, καὶ λήμ-
ψονται αὐτὸν ἄνδρες τοῦ τόπου αὐτοῦ ἐν ἀργυρίῳ καὶ χρυσίῳ καὶ
ἀποσκευῇ καὶ κτήνεσιν μετὰ τοῦ ἑκουσίου εἰς οἶκον τοῦ θεοῦ
τοῦ ἐν Ἰερουσαλήμ. [5]καὶ ἀνέστησαν ἄρχοντες τῶν πατριῶν τῷ 5
Ἰούδᾳ καὶ Βενιαμεὶν καὶ οἱ ἱερεῖς καὶ οἱ Λευεῖται, πάντων ὧν ἐξήγ-
γειρεν ὁ θεὸς τὸ πνεῦμα αὐτῶν τοῦ ἀναβῆναι οἰκοδομῆσαι τὸν οἶκον
τὸν ἐν Ἰερουσαλήμ. [6]καὶ πάντες οἱ κυκλόθεν ἐνίσχυσαν ἐν χερσὶν 6
αὐτῶν ἐν σκεύεσιν ἀργυρίου, ἐν χρυσῷ, ἐν ἀποσκευῇ καὶ ἐν κτήνεσιν
καὶ ἐν ξενίοις, παρὲξ τῶν ἑκουσίων. [7]καὶ ὁ βασιλεὺς Κῦρος ἐξήν- 7
εγκεν τὰ σκεύη οἴκου, ἃ ἔλαβεν Ναβουχοδονοσὸρ ἀπὸ Ἰερου-
σαλὴμ καὶ ἔδωκεν αὐτὰ ἐν οἴκῳ θεοῦ αὐτοῦ· [8]καὶ ἐξήνεγκεν αὐτὰ 8
Κῦρος βασιλεὺς Περσῶν ἐπὶ χεῖρα Μιθραδάτου Τασβαρηνοῦ, καὶ

A Inscr ιερευς A I **1** τελεσθηναι] +λογον B^{ab} (superscr) +λογῶ| κν A | εξηγειρεν] +κς A **2** βασιλειας] +της γης A | ο θεος] pr κς A | om με A | οικοδομησαι] pr του A | τη] την B | Ιουδα] τη Ιουδαια A **3** Ιερουσαλημ] +η εν τη Ιουδαια· και οικο|δομησατω τον οικον θῡ Ισλ· αυτος ο θς ο εν Ιλημ· A **4** των bis scr A | χρυσιω] pr εν A | αποσκευη] pr εν B^{ab} (superscr) A **5** τω Ιουδα] των I. A | om και οι ιερεις A | Λευιται A | παντων] παντες A | οικον] +κν A **6** ενισχυσαν (forte ενεισχ. B*)] ισχυσαν A | αυτων] εαυτων A | αργυροιου B* (αργυριου B^{ab}) | εν 4°] pr και A | εκουσιων] εν εκουσιοις A **7** οικου] +κν A **8** Μιθραδατου] Μιθριδατου B^{ab}A | Ταβαρηνου] Γαρ|βαρηνου A

9 ἠρίθμησεν αὐτὰ τῷ Σαβανασὰρ ἄρχοντι τοῦ Ἰούδα. 9καὶ οὗτος ὁ Β
ἀριθμὸς αὐτῶν· Κυρίῳ χρυσοῖ τριάκοντα καὶ ἀργυροῖ χίλιοι, παρη-
10 γμένα ἐννέα καὶ εἴκοσι, 10κεφφουρῆς χρυσοῖ τριάκοντα καὶ ἀργυροῖ
11 ἓξ, καὶ σκεύη ἕτερα χίλια. 11πάντα τὰ σκεύη τῷ χρυσῷ καὶ τῷ
ἀργυρῷ πεντακισχίλια καὶ τετρακόσια, τὰ πάντα ἀναβαίνοντα ἀπὸ
τῆς ἀποικίας ἐκ Βαβυλῶνος εἰς Ἰερουσαλήμ.

II 1 1Καὶ οὗτοι υἱοὶ τῆς χώρας οἱ ἀναβαίνοντες ἐκ τῆς αἰχμαλωσίας
τῆς ἀποικίας ἧς ἀποίκισεν Ναβουχοδονοσὸρ βασιλεὺς Βαβυλῶνος εἰς
Βαβυλῶνα, καὶ ἐπέστρεψεν εἰς Ἰερουσαλὴμ καὶ Ἰουδὰ ἀνὴρ εἰς
2 πόλιν αὐτοῦ· 2οἳ ἦλθον μετὰ Ζοροβαβέλ, Ἰησοῦς, Νεέμιος, Ἀραίας,
Ῥεελειά, Μαραθχαῖος, Βασφάμ, Μαλσάρ, Βατουσί, Βαλλειά. ἀνδρῶν
3 ἀριθμὸς Ἰσραήλ· 3υἱοὶ Φαρές, δισχίλιοι ἑκατὸν ἑβδομήκοντα δύο·
4 4καὶ υἱοὶ Ἀσάφ, τετρακόσιοι ἑβδομήκοντα δύο· 5υἱοὶ Ἠρά, ἑπτα-
6 κόσιοι ἑβδομήκοντα πέντε· 6υἱοὶ Φαλαβμωάβ, τοῖς υἱοῖς Ἰησοῦε
7 Ἰωβάβ, δισχίλιοι ὀκτακόσιοι δέκα δύο· 7υἱοὶ Μαλάμ, χίλιοι διακόσιοι
8 πεντήκοντα τέσσαρες· 8υἱοὶ Ζαθουά, ἐννακόσιοι τεσσεράκοντα πέντε·
9 9υἱοὶ Ζακχού, ἑπτακόσιοι ἑξήκοντα· 10υἱοὶ Βανού, ἑξακόσιοι τεσσε-
11 ράκοντα δύο· 11υἱοὶ Βαβεί, ἑξακόσιοι εἴκοσι τρεῖς· 12υἱοὶ Ἀσγάδ,
13 τρισχίλιοι διακόσιοι εἴκοσι δύο· 13υἱοὶ Ἀδωνικάν, ἑξακόσιοι ἑξήκοντα
14 ἓξ· 14υἱοὶ Βαγεί, δισχίλιοι πεντήκοντα ἓξ· 15υἱοὶ Ἀδίν, τετρακόσιοι
16 πεντήκοντα τέσσαρες· 16υἱοὶ Ἀτὴρ τῷ Ἐζεκίᾳ, ἐνενήκοντα δύο·
17 17υἱοὶ Βασού, τριακόσιοι εἴκοσι τρεῖς· 18υἱοὶ Οὐρά, ἑκατὸν δέκα δύο·
19 19υἱοὶ Ἀσέμ, διακόσιοι εἴκοσι τρεῖς· 20υἱοὶ Ταβέρ, ἐνενήκοντα πέντε·

8 Σαβανασαρ] Σασαβασσαρω A | αρχοντι] pr τω A 9 om Κυριω A | A κω· χρυσοι B | χρυσοι] pr ψυκτηρες A | αργυροι] pr ψυκτηρες A | παρηγμενα] παρηλλα|γμενα A 10 κεφφουρης] χεφουρη (ε sup ras $A^{a?}$) A | χρυσεοι A | om εξ A | om και 2° A | σκευητερα B* (ε superscr B^{ab} et post ε ras aliq $B^{?}$) 11 τετρακοσια] α 2° sup ras A^{a} | αναβαινοντα] τα αναβ. μετα Σασαβασσαρ'| A | αποκιας B* (αποικ. B^{ab}) II 1 υιοι] pr οι A | εκ] απο A | επεστρεψαν A | πολι B* (πολιν B^{ab} [ι sup ras ut vid $B^{?}$]) 2 Νεεμιας A | Αραιας] Σαραιας $A^{a?}$ | Ρεελιας A | Μαραθχαιος] Μαρδοχαιος A | Βασφαμ] Βαλασαμ A | Μαλσαρ] Μασφαρ A | Βατουσι] Βαγουα· Ιρεουμ'· A | Βαλλεια] Βαανα A | αριθμος]+λαου A 3 Φαρες] Φορος A^{vid} 4 om και A | Ασαφ] Σαφατια A | τετρακοσιοι] τριακοσιοι A 5 Ηρα] Αρες A 6 Φαλαβμωαβ] Φααθμωαβ A | Ιωβαβ] Ιωαβ A 7 Μαλαμ] Αιλαμ A 8 Ζαθθουα A | τεσσαρακοντα B^{b} (item 10, 24, 25, 34, 38, 41, 66) ακ sup ras A^{a} 9 Ζακχαν A^{vid} 10 Βανουι A 11 Βαβαι A 12 Ασγαδ] Αβγαδ A | τρεισχειλιοι B* (τρισχιλ. B^{b})] χιλιοι A 13 Αδωνικαμ A 14 Βαογει] Βαγουα A^{vid} 15 Αδδιν A | τεσσερας B* τεσσερες B^{a} τεσσαρες B^{b}A (τε sup ras A^{a}) 16 ενενηκοντα B^{a} (ins ε 2°: sup ras η et ντ) A] εννακοσιοι B^{*vid} | δυο] οκτω A 17 Βασσου A 18 Ουρα] Ιωρα A 19 Ασεμ] Ασουμ A 20 Ταβερ] Γαβερ A

Β [21]υἱοὶ Βαρθαλέεμ, ἑκατὸν εἴκοσι τρεῖς· [22]υἱοὶ Νετωφά, πεντήκοντα 21 22
ἓξ· [23]υἱοὶ Ἀναθώθ, ἑκατὸν εἴκοσι ὀκτώ· [24]υἱοὶ Ἀσμώθ, τεσσεράκον- 23 24
τα δύο· [25]υἱοὶ Καριωθιαρόμ, Καφειρὰ καὶ Βηρώθ, ἑπτακόσιοι τεσσε- 25
ράκοντα τρεῖς· [26]υἱοὶ Ἀρὰμ καὶ Γάβαα, ἑξακόσιοι εἴκοσι εἷς· [27]ἄνδρες 26 27
Μαχμάς, ἑκατὸν εἴκοσι δύο· [28]ἄνδρες Γαιθὴλ καὶ Ἀιά, διακόσιοι εἴκοσι 28
τρεῖς· [29]υἱοὶ Ναβού, πεντήκοντα δύο· [30]υἱοὶ Μαγεβώς, ἑκατὸν πεντή- 29 30
κοντα ἓξ· [31]υἱοὶ Ἠλαμάρ, δισχίλιοι διακόσιοι πεντήκοντα τέσσαρες· 31
[32]υἱοὶ Ἠράμ, τριακόσιοι εἴκοσι· [33]υἱοὶ Λόδ, Ἀρὼθ καὶ Ὠνών, ἑξακό- 32 33
σιοι εἴκοσι πέντε· [34]υἱοὶ Ἱεριά, τριακόσιοι τεσσεράκοντα πέντε· [35]υἱοὶ 34 35
Σαανά, τρισχίλιοι ἑξακόσιοι τριάκοντα. [36]καὶ οἱ ἱερεῖς υἱοὶ Ἰεουδὰ 36
τῷ οἴκῳ Ἰησοῦ, ἐννακόσιοι ἑβδομήκοντα τρεῖς· [37]υἱοὶ Ἐμμήρ, ,α 37
πεντήκοντα δύο· [38]υἱοὶ Φασσούρ, ,α διακόσιοι τεσσεράκοντα ἑπτά· 38
[40]καὶ οἱ Λευεῖται· υἱοὶ Ἰησοῦε καὶ Καδμιὴλ τοῖς υἱοῖς Σοδουιά, ἑβδομή- 40
κοντα τέσσαρες· [41]οἱ ᾄδοντες υἱοὶ Ἀσάφ, ἑκατὸν τεσσεράκοντα ὀκτώ· 41
[42]υἱοὶ τῶν πυλῶν υἱοὶ Σαλούμ, υἱοὶ Ἀτήρ, υἱοὶ Τελμών, υἱοὶ Ἀκούμ, 42
υἱοὶ Ἀτητά, υἱοὶ Ἀβαού, οἱ πάντες ἑκατὸν τριάκοντα ἐννέα. [43]οἱ 43
Ναθεινίμ· υἱοὶ Σουθιά, υἱοὶ Ἀσουφέ, υἱοὶ Ταβώθ, [44]υἱοὶ Καδής, υἱοὶ 44
Σωήλ, υἱοὶ Φαδών, [45]υἱοὶ Λαβανώ, υἱοὶ Ἀγαβά, υἱοὶ Ἀκαβώθ, [46]υἱοὶ 45 46
Ἀγάβ, υἱοὶ Σαμαάν, υἱοὶ Ἀνάν, [47]υἱοὶ Κεδέδ, υἱοὶ Γάελ, υἱοὶ Ῥεήλ, 47
[48]υἱοὶ Ῥασών, υἱοὶ Νεχωδά, υἱοὶ Γαζέμ, [49]υἱοὶ Οὐσά, υἱοὶ Φισόν, υἱοὶ 48 49
Βασεί, [50]υἱοὶ Ἀσενά, υἱοὶ Μανωεμείν, υἱοὶ Ναφεισών, [51]υἱοὶ Βακκούκ, 50 51
υἱοὶ Ἀφεικά, υἱοὶ Ἀρούο, [52]υἱοὶ Βασαδῶε, υἱοὶ Μαουδά, υἱοὶ Ἀρησά, 52
[53]υἱοὶ Βαρκούς, υἱοὶ Θέμα, [54]υἱοὶ Νασούς, υἱοὶ Ἀτουφά, [55]υἱοὶ Ἀβ- 53—55

A **21** Βαρθαλεεμ] Βεθλαεμ A **22** Νετωφα] Νεφωτα A **24** Αζμωθ A **25** Καριαθιαρειμ A | Καφιρα A **26** Αραμ] της Ραμα A | εις sup ras A[a] **27** ανδρες] ανδ sup ras A[a] | Μαχμας] Χαμ|μας A **28** Γαιθηλ] Βαιθηλ A | διακοσιοι] τετρακοσιοι A **29** Ναβω A **30** Μαγεβις A **31** δισχιλιοι] χιλιοι A **33** Λοδ Αρωθ] Λυδδων Λοδ Αδιδ A | Ωνω A | εξακοσιοι] επτακοσιοι A **34** Ιερεια] Ιερειχω A **35** Σαανα] Σενναα A **36** Ιεουδα] Ιεδδουα A | Ιησου A **37** ,α] χιλιοι A **38** Φασσουρα| B* Φασσουρ| ,α B[?] Φασυρ'·| χιλιοι A | επτα]+(39) υιοι Ηρεμ'· χιλιοι επτα· A **40** Λευιται A (item 70) | Ιησου A | Σωδουια A **41** τεσσερακοντα] εικοσι A **42** πυλων] πυλωρων A | Σελλουμ A | Αττηρ A | Ατιτα A | Αβαου] Σωβαι A **43** Ναθεινιμ] Ναθιναιοι A | Σουθια] Σουαα A | υιοι 2°] υιου A | Ασουφα A | Ταββαωθ A **44** Καδης] Κηραος A | Σωηλ] Ασαα A[vid] **45** Ακαβωθ] Ακουβ A **46** Σαμααν] Σελαμι A **47** Κεδεδ] Γεδδηλ A | Γαελ] Γααρ A | Ρεηλ] Ραια A **48** Νεκωδᾶ] A **49** Ουσα] Αζα A | Φισον] Φαση A | Βασι A **50** Μανωεμειν] Μοουνειμ A | Ναφεισων] Νεφουσειμ A **51** Βακβουκ A | Αφεικα] Ακουφα A **52** Βασαδωε] Βασαλωθ A **53** Βαρκος A | υιοι 2°] |υιοι B* υιοι| B[a vid (mg)] pr υιοι Σισαραα A **54** Νασους] Νεθιε A | Ατιφα A **55** Αβδησελ] δουλῶ| Σαλωμων· A

56 δησέλ, υἱοὶ Σατεί, υἱοὶ Ἀσεφῆραθ, υἱοὶ Φαδουρά, [56]υἱοὶ Ἰεηλά, υἱοὶ Β
57 Δαρκών, υἱοὶ Γεδηά, [57]υἱοὶ Σαφατειά, υἱοὶ Ἀτειά, υἱοὶ Φασράθ, υἱοὶ
58 Ἀσεβωείν, υἱοὶ Ἠμεί· [58]πάντες οἱ Ναθεινὶν καὶ υἱοὶ Ἀσεδησελμὰ τοβ΄.
59 [59]καὶ οὗτοι οἱ ἀναβάντες ἀπὸ Θερμέλεθ, Θααρησά, Χαρούς, Ἠδάν,
Ἐμήρ· καὶ οὐκ ἠδυνάσθησαν ἀναγγεῖλαι οἶκον πατριᾶς αὐτῶν καὶ
60 σπέρμα αὐτῶν εἰ ἐν Ἰσραὴλ εἰσίν· [60]υἱοὶ Λαχεά, υἱοὶ Βουά, υἱοὶ
61 Τωβειά, υἱοὶ Νεκωδά, ἑξακόσιοι πεντήκοντα δύο. [61]καὶ ἀπὸ τῶν
υἱῶν τῶν ἱερέων υἱοὶ Λαβειά, υἱοὶ Ἀκούς, υἱοὶ Ζαρβελθεί, ὃς ἔλαβεν
ἀπὸ θυγατέρων Βερζελλαεὶ τοῦ Γαλααδείτου γυναῖκα καὶ ἐκλήθη ἐν
62 ὀνόματι αὐτῶν· [62]οὗτοι ἐζήτησαν γραφὴν αὐτῶν οἱ μεθωσεείμ, καὶ
63 οὐχ εὑρέθησαν, καὶ ἠγχιστεύθησαν ἀπὸ τῆς ἱερατείας. [63]καὶ εἶπεν
Ἀθερσαὰ αὐτοῖς τοῦ μὴ φαγεῖν ἀπὸ τοῦ ἁγίου τῶν ἁγίων ἕως ἀναστῇ
64 ἱερεὺς τοῖς φωτίζουσιν καὶ τοῖς τελείοις. [64]Πᾶσα δὲ ἡ ἐκκλησία
65 ὡσεὶ τέσσαρες μυριάδες δισχίλιοι τριακόσιοι ἑξήκοντα, [65]χωρὶς δούλων
αὐτῶν παιδισκῶν, οὗτοι ἑπτακισχίλιοι τριακόσιοι τριάκοντα τέσσαρες·
66 καὶ οὗτοι ᾄδοντες καὶ ᾠδαὶ διακόσιοι. [66]ἵπποι αὐτῶν ἑπτακόσιοι
67 τριάκοντα καὶ ἡμίονοι αὐτῶν διακόσιοι τεσσεράκοντα πέντε· [67]κά-
μηλοι αὐτῶν τετρακόσιοι τριάκοντα πέντε· ὄνοι αὐτῶν ἑπτακό-
68 σιοι εἴκοσι. [68]Καὶ ἀπὸ ἀρχόντων πατριῶν ἐν τῷ ἐλθεῖν
αὐτοὺς εἰς οἶκον Κυρίου τὸν ἐν Ἰερουσαλὴμ ἠκουσιάσαντο εἰς οἶκον
69 τοῦ θεοῦ τοῦ στῆσαι αὐτὸν ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ· [69]ὡς ἡ δύναμις
αὐτῶν, ἔδωκαν εἰς θησαυρὸν τοῦ ἔργου χρυσίον καθαρόν· μναῖ ἓξ
μυριάδες καὶ χίλιαι, καὶ ἀργυρίου μναῖ πεντακισχίλιαι, καὶ κοθωνοὶ
70 τῶν ἱερέων ἑκατόν. [70]καὶ ἐκάθισαν οἱ ἱερεῖς καὶ οἱ Λευεῖται καὶ
ἀπὸ τοῦ λαοῦ καὶ οἱ ᾄδοντες καὶ οἱ πυλωροὶ καὶ οἱ Θανιεὶμ ἐν πόλεσιν
αὐτῶν, καὶ πᾶς Ἰσραὴλ ἐν πόλεσιν αὐτῶν.

55 Σατει] Σωται A | Ασεφοραθ A **56** Ιεηλα] Ιελα A | Δερκων A | A Γεδηα] Γεδδηλ A **57** Σαφατια A | Αττεια] Αττιλ A | Φασραθ] Φακεραθ A | om υιοι 4° A | Ασεβωειμ A **58** Ναθεινιν] Ναθινειμ A | υιοι] pr οι A | Ασεδησελμα] Αβδησελμα A | τοβ΄] τριακοντα ενενηκοντα δυο΄| A **59** Θερμελεθ] Θελμεχελ A | Θααρησα] Θελαρησα A | Χαρους] Χερουβ A | Εμμηρ A | ηδυνηθησαν A | αναγγειλαι] pr του A **60** Λαχεα] Δαλαια A | om υιοι Βουα A | Τωβεια] Τωβιου A **61** Λαβεια] Οβαια A | Ακκους A | Ζαρβελθει] Ζερβελλαι A | Βερζελλαι A | Γαλααδιτου Λ | εν ονοματι] επι τω ον. A **62** ιερατιας A **63** Αθερσαθα A **64** εκκλησια]+ ομου Λ | τεσσερας B* τεσσερες B^{a} (τεσσαρες B^{b}A) **65** παιδισκων] και παιδ. αυτων A | τεσσαρες] επτα A | ωδαι] αδουσαι A **66** τριακοντα]+εξ A | om και A | om διακοσιοι B^{ab} **67** επτακοσιοι] pr $\overline{5}$ B$^{b\,txt}$ (superscr) pr εξακισχιλιοι B$^{?\,mg}$ A **68** ηκουσιασαντο A | του θεου] om του Ἀ **69** καθαρον μναι] δραχμας A | μυριαδας κ. χιλιας A | αργυριον A | κοθωνοι] χιτωνας A | ιερεων] ερεων B **70** απο] pr οι A | om και 4° Λ | Θανιειμ] Ναθινειμ Λ

B [1]Καὶ ἔφθασεν ὁ μὴν ὁ ἕβδομος καὶ οἱ Ἰσραὴλ ἐν πόλεσιν αὐτῶν, καὶ συνήχθη ὁ λαὸς ὡς ἀνὴρ εἷς εἰς Ἰερουσαλήμ. [2]καὶ ἀνέστη ὁ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ᾠκοδόμησαν τὸ θυσιαστήριον θεοῦ Ἰσραήλ, τοῦ ἀνενέγκαι ἐπ᾽ αὐτὸ ὁλοκαυτώσεις κατὰ τὰ γεγραμμένα ἐν νόμῳ Μωυσῆ ἀνθρώπου τοῦ θεοῦ. [3]καὶ ἡτοίμασαν τὸ θυσιαστήριον ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ, καὶ ἀνέβη ἐπ᾽ αὐτὸ ὁλοκαύτωσις τῷ κυρίῳ τὸ πρωὶ καὶ εἰς ἑσπέραν. [4]καὶ ἐποίησαν τὴν ἑορτὴν τῶν σκηνῶν κατὰ τὸ γεγραμμένον, καὶ ὁλοκαυτώσεις ἡμέραν ἐν ἡμέρᾳ ἐν ἀριθμῷ ὡς ἡ κρίσις, λόγον ἡμέρας ἐν ἡμέρᾳ· [5]καὶ μετὰ τοῦτο ὁλοκαυτώσεις ἐνδελεχισμοῦ, καὶ εἰς τὰς νουμηνίας καὶ εἰς πάσας ἑορτὰς τὰς ἡγιασμένας, καὶ παντὶ ἑκουσιαζομένῳ ἑκούσιον τῷ κυρίῳ. [6]ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ ἑβδόμου ἤρξαντο ἀναφέρειν ὁλοκαυτώσεις τῷ κυρίῳ· καὶ ὁ οἶκος Κυρίου οὐκ ἐθεμελιώθη. [7]καὶ ἔδωκαν ἀργύριον τοῖς λατόμοις καὶ τοῖς τέκτοσιν, καὶ βρώματα καὶ ποτὰ καὶ ἔλαιον τοῖς Σηδαμεὶν καὶ τοῖς Σωρεὶν ἐνέγκαι ξύλα κέδρινα ἀπὸ τοῦ Λιβάνου πρὸς θάλασσαν Ἰόππης, κατ᾽ ἐπιχώρησιν Κύρου βασιλέως Περσῶν ἐπ᾽ αὐτούς. [8]Καὶ ἐν τῷ ἔτει τῷ δευτέρῳ τοῦ ἐλθεῖν αὐτοὺς εἰς οἶκον τοῦ θεοῦ εἰς Ἰερουσαλήμ, ἐν μηνὶ τῷ δευτέρῳ, ἤρξατο Ζοροβαβὲλ ὁ τοῦ Σαλαθιὴλ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ κατάλοιποι τῶν ἀδελφῶν οἱ ἱερεῖς καὶ οἱ Λευεῖται καὶ πάντες οἱ ἐρχόμενοι ἀπὸ τῆς αἰχμαλωσίας εἰς Ἰερουσαλήμ, καὶ ἔστησαν τοὺς Λευείτας ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω ἐπὶ τὰ ἔργα Κυρίου. [9]καὶ ἔστη Ἰησοῦς καὶ οἱ υἱοὶ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, Καδμιὴλ καὶ οἱ υἱοὶ αὐτοῦ υἱοὶ Ἰούδα, ἐπὶ τοὺς ποιοῦντας τὰ ἔργα ἐν οἴκῳ τοῦ θεοῦ· υἱοὶ Ἡναάδ, υἱοὶ αὐτῶν καὶ ἀδελφοὶ αὐτῶν οἱ Λευεῖται. [10]καὶ ἐθεμελίωσαν τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου· καὶ ἔστησαν οἱ ἱερεῖς ἐστολισμένοι ἐν σάλπιγξιν καὶ οἱ Λευεῖται υἱοὶ Ἀσὰφ τοῦ αἰνεῖν τὸν κύριον ἐπὶ χεῖρας Δαυεὶδ βασιλέως Ἰσραήλ. [11]καὶ ἀπεκρίθησαν ἐν αἴνῳ καὶ ἀνθομολογήσει τῷ κυρίῳ

"Οτι ἀγαθόν,

ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ ἐπὶ Ἰσραήλ.

A III 1 οι] ο A 2 ο Ιησους] om ο A | αυτου] + ιερεις· και| Ζοροβαβελ ο του Σαλαθιηλ και οι| αδελφοι αυτων A | Μωυσεως A 3 αυτου] + οτι εν κατα|πληξει επ αυτους απο των λαων| των γαιων· A 4 ημερα 2°] + αυτου A 5 ολοκαυτωσεις] ολοκαυτωσις ut vid $B^{1?}$ | εορτας] + $\overline{κω}$ A 7 Σηδαμειν] Σιδωνιοις A | Σωρειν] Τυριοις A | ενεγκαι] pr και A 8 αδελφων] + αυτων A | Λευιτ. A (bis: item 9, 10, 12) | τα εργα] pr τους ποιουντας A | Κυριου] pr θῡ οικω A 9 εστης A^{vid} (forte pro εστη ο) | Καδμιηλ] pr και A | υιοι 3°] pr οι A | Ηναδαδ A 10 Ασαφ] + εν κυμβαλοις $B^{ab(mg)}$ + κυμβα|λοις A 11 ανθωμολογησει B^{*} (ανθομ. $B^{a?b}$)

καὶ πᾶς ὁ λαὸς ἐσήμαινον φωνὴν μεγάλην αἰνεῖν τῷ κυρίῳ ἐπὶ Β
12 θεμελιώσει οἴκου Κυρίου. [12]καὶ πολλοὶ ἀπὸ τῶν ἱερέων καὶ τῶν
Λευειτῶν καὶ ἄρχοντες τῶν πατριῶν οἱ πρεσβύτεροι οἳ εἴδοσαν τὸν
οἶκον τὸν πρῶτον ἐν θεμελιώσει αὐτοῦ, καὶ τοῦτον τὸν οἶκον ἐν
ὀφθαλμοῖς αὐτῶν, ἔκλαιον φωνῇ μεγάλῃ, καὶ ὄχλος ἐν σημασίᾳ
13 μετ' εὐφροσύνης τοῦ ὑψῶσαι ᾠδήν. [13]καὶ οὐκ ἦν λαὸς ἐπιγινώσκων
φωνὴν σημασίας τῆς εὐφροσύνης ἀπὸ τῆς φωνῆς τοῦ κλαυθμοῦ, ὅτι ὁ
λαὸς ἐκραύγασεν φωνῇ μεγάλῃ, καὶ ἠκούετο ἕως ἀπὸ μακρόθεν.

IV 1 [1]Καὶ ἤκουσαν οἱ θλίβοντες Ἰουδὰ καὶ Βενιαμὶν ὅτι οἱ υἱοὶ τῆς
2 ἀποικίας οἰκοδομοῦσιν οἶκον τῷ κυρίῳ θεῷ Ἰσραήλ· [2]καὶ ἤγγισαν
πρὸς Ζοροβαβὲλ καὶ πρὸς τοὺς ἄρχοντας τῶν πατριῶν, καὶ εἶπαν
αὐτοῖς Οἰκοδομήσομεν μεθ' ὑμῶν, ὅτι ὡς ὑμεῖς ἐκζητοῦμεν τῷ θεῷ
ἡμῶν, καὶ αὐτῷ ἡμεῖς θυσιάζομεν ἀπὸ ἡμερῶν Ἀσαρεαθὼν βασι-
3 λέως Ἀσσοὺρ τοῦ ἐνέγκαντος ἡμᾶς ὧδε. [3]καὶ εἶπεν πρὸς αὐτοὺς
Ζοροβαβὲλ καὶ Ἰησοῦς καὶ οἱ κατάλοιποι τῶν ἀρχόντων τῶν πατριῶν
τοῦ Ἰσραήλ Οὐχ ἡμῖν καὶ ὑμῖν τοῦ οἰκοδομῆσαι οἶκον τῷ θεῷ ἡμῶν,
ὅτι ἡμεῖς ἐπὶ τὸ αὐτὸ οἰκοδομήσομεν τῷ κυρίῳ θεῷ ἡμῶν, ὡς ἐνε-
4 τείλατο ἡμῖν Κῦρος βασιλεὺς Περσῶν. [4]καὶ ἦν ὁ λαὸς τῆς γῆς
5 ἐκλύων χεῖρας λαοῦ Ἰούδα, καὶ ἐνεπόδιζον αὐτοὺς οἰκοδομεῖν, [5]καὶ
μισθούμενοι ἐπ' αὐτοὺς βουλόμενοι διασκεδάσαι βουλὴν αὐτῶν, πάσας
τὰς ἡμέρας Κύρου βασιλέως Περσῶν καὶ ἕως βασιλείας Δαρείου
6 βασιλέως Περσῶν. [6]καὶ ἐν βασιλείᾳ Ἀσθηροὺ ἐν ἀρχῇ βασιλείας
7 αὐτοῦ ἔγραψεν ἐπὶ οἰκοῦντας Ἰουδὰ καὶ Ἰερουσαλήμ. [7]καὶ ἐν ἡμέ-
ραις Ἀσαρδαθὰ ἔγραψεν ἐν εἰρήνῃ Μιθραδάτῃ Ταβεὴλ καὶ τοῖς
λοιποῖς συνδούλοις· πρὸς βασιλέα Περσῶν ἔγραψεν ὁ φορολό-
8 γος γραφὴν Συριστὶ καὶ ἑρμηνευμένην. [8]Ῥαοὺλ βαδαταμὲν καὶ
Σαμασὰ ὁ γραμματεὺς ἔγραψαν ἐπιστολὴν μίαν κατὰ Ἰερουσαλὴμ τῷ
9 Ἀρσαρθὰ βασιλεῖ. [9]τάδε ἔκρινεν Ῥαοὺμ βάαλ καὶ Σαμαὲ ὁ γραμμα-

11 εσημανεν A | φωνη μεγαλη A | θεμελιωσει] pr τη A **12** αυτων] A
εαυτων A **13** λαος 1°] pr ο A | φωνην] pr την A | φωνης] ευφρο-
συνης A | κλαυθμου]+|του λαου· A | ο λαος] om ο A | και 2°]+η φωνη A |
ηκουετο] post κ ras 1 lit A[7] (forte ρ) IV **1** οι υιοι] om οι A **2** ειπον A |
ημων] υμων A | Ασαρεαθων] Ασαραδδων A | Ασουρ A **3** ημεις]+αυτοι A |
βασιλευς] pr ο A **4** λαου] pr του A | αυτοις A | οικοδομειν] pr του A
5 βουλευομενοι A | διασκεδασαι] pr του A | Δαριου A | om Περσων 2° A
6 om και 1° A | Ασθηρου] Ασσουηρου Περσων A | εν 2°] pr και A | εγραψεν]
+επιστολην B[a] (sup ras et in mg) A **7** Ασαρδαθα] Αρθασασθα A | εγραψαν
A | Μιθραδατης A | και 2°] pr συν A | συνδουλοις]+αυτου A | βασιλεα] pr
Αρθασασθα A | Συριστει A | ηρμηνευμενην A **8** Ραουλ βαδαταμεν] Ρεουμ'·|
βααλταμ'· A | Σαμασα] Σαμσαι A | εγραψεν A | Αρτασασθα A **9** Ρεουμ'·
βααλταμ'· A | Σαμσαι A

Β τεὺς καὶ οἱ κατάλοιποι σύνδουλοι ἡμῶν, Δεινα῀ιοι, Φαρεσθαχα῀ιοι, Ταραφαλλα῀ιοι, Ἀφρασα῀ιοι, Ἀρχοῦοι, Βαβυλώνιοι, Σουσυναχα῀ιοι οἳ εἰσὶν Ἠλαμα῀ιοι, [10]καὶ οἱ κατάλοιποι ἐθνῶν ὧν ἀπῴκισεν Ἀσενναφὰρ 10
ὁ μέγας καὶ ὁ τίμιος καὶ κατῴκισεν αὐτοὺς ἐν πόλεσιν τῆς Σωμωρὼν
καὶ τὸ κατάλοιπον πέραν τοῦ ποταμοῦ. [11]αὕτη ἡ διαταγὴ τῆς ἐπι- 11
στολῆς ἧς ἀπέστειλαν πρὸς αὐτόν Πρὸς Ἀρσαρθὰ βασιλέα παῖδές
σου ἄνδρες πέραν τοῦ ποταμοῦ. [12]γνωστὸν ἔστω τῷ βασιλεῖ ὅτι οἱ 12
Ἰουδα῀ιοι ἀναβάντες ἀπὸ Κύρου ἐφ' ἡμᾶς ἦλθοσαν εἰς Ἰερουσαλήμ·
τὴν ἀποστάτιν καὶ πονηρὰν οἰκοδομοῦσιν, καὶ τὰ τείχη αὐτῆς κατηρ-
τισμένοι εἰσίν, καὶ θεμελίους αὐτῆς ἀνύψωσαν. [13]νῦν οὖν γνωστὸν 13
ἔστω τῷ βασιλεῖ ὅτι ἐὰν ἡ πόλις ἐκείνη οἰκοδομηθῇ καὶ τὰ τείχη
αὐτῆς καταρτισθῶσιν, φόροι οὐκ ἔσονταί σοι οὐδὲ δώσουσιν· καὶ
τοῦτο βασιλεῖς κακοποιεῖ. [14]καὶ ἀσχημοσύνην βασιλέως οὐκ ἔξεστιν 14
ἡμῖν ἰδεῖν· διὰ τοῦτο ἐπέμψαμεν καὶ ἐγνωρίσαμεν τῷ βασιλεῖ, [15]ἵνα 15
ἐπισκέψηται ἐν βιβλίῳ ὑπομνηματισμοῦ τῶν πατέρων σου, καὶ εὑ-
ρήσεις καὶ γνώσῃ ὅτι ἡ πόλις ἐκείνη πόλις ἀποστάτις, καὶ κακο-
ποιοῦσα βασιλεῖς καὶ χώρας, καὶ φυγαδεῖα δούλων ἐν μέσῳ αὐτῆς
ἀπὸ ἡμερῶν αἰῶνος· διὰ ταῦτα ἡ πόλις αὕτη ἠρημώθη. [16]γνωρίζομεν 16
ἡμεῖς τῷ βασιλεῖ ὅτι ἐὰν ἡ πόλις ἐκείνη οἰκοδομηθῇ καὶ τὰ τείχη
αὐτῆς καταρτισθῇ, οὐκ ἔστιν σοι εἰρήνη. [17]καὶ ἀπέστειλεν ὁ βασι- 17
λεὺς πρὸς Ῥαοὺμ βαλγὰμ καὶ Σαμεαὶς γραμματέα καὶ τοὺς κατα-
λοίπους συνδούλους αὐτῶν τοὺς οἰκοῦντας ἐν Σαμαρείᾳ καὶ τοὺς
καταλοίπους πέραν τοῦ ποταμοῦ εἰρήνην καὶ φάσιν [18]Ὁ φορο- 18
λόγος ὃν ἀπεστείλατε πρὸς ἡμᾶς ἐκλήθη ἔμπροσθεν ἐμοῦ. [19]καὶ 19
παρ' ἐμοῦ ἐτέθη γνώμη καὶ ἐπεσκεψάμεθα, καὶ εὕραμεν ὅτι ἡ πόλις
ἐκείνη ἀφ' ἡμερῶν αἰῶνος ἐπὶ βασιλεῖς ἐπαίρεται, καὶ ἀποστάσεις
καὶ φυγαδεῖα γίνονται ἐν αὐτῇ· [20]καὶ βασιλεῖς ἰσχυροὶ γίνονται ἐπὶ 20
Ἰερουσαλήμ, καὶ ἐπικρατοῦντες ὅλης τῆς ἑσπέρας τοῦ ποταμοῦ,
καὶ φόροι πλήρεις καὶ μέρος δίδοται αὐτοῖς. [21]νῦν θέτε γνώμην 21
καταργῆσαι τοὺς ἄνδρας ἐκείνους, καὶ ἡ πόλις ἐκείνη οὐκ οἰκοδο-

A **9** Δειναιοι...Αρχουοι] Διναιοι· Αφαρ|σαθαχαιοι· Ταρφαλλαιοι· Αφαρσαιοι| Αχναιοι· A | Αρχουσι B | Σουσαναχαιοι A | om οι εισιν A | Ηλαμαιοι] Δαναιοι A **10** Ασενναφαρ] Ναφαρ A | Σομορων A **11** Αρσαρθα] Αρ|θα A | παιδες] pr οι A **12** Κυρου] σου A | εφ] προς A | Ιερουσαλημ]+πολιν $B^{ab\,mg}$+την πολιν A | πονηραν]+ην A **13** ανοικοδομηθη A | καταρτισθωσιν] καταρτισωσειν A **14** ημιν] in η ras aliq $B^{?}$ **15** και κακοποιουσα] |καικοποιουσα A* (pr και| $A^{a?}$) | δουλων]+γιγνον|ται A | ημερων] χρονων A **16** γνωριζομεν]+ουν B^{ab} (superscr) A | ημεις sup ras B^{ab} **17** Ρεουμ'· βααλταμ'· A | Σαμσαι A **19** φυγαδιαι A | γιγνονται (νον sup ras A^{1}) A **20** γιγνονται A **21** νυν] pr και A

22 μηθήσεται ἔτι ἀπὸ τῆς γνώμης. 22πεφυλαγμένοι ἦτε ἄνεσιν ποιῆσαι B
περὶ τούτου, μή ποτε πληθυνθῇ ἀφανισμὸς εἰς κακοποίησιν βασιλεῦσιν.
23 23τότε ὁ φορολόγος τοῦ Ἀρσαρθὰ βασιλέως ἀνέγνω ἐνώπιον Ῥαοὺμ
καὶ Σαμσὰ γραμματέως συνδούλων αὐτῶν· καὶ ἐπορεύθησαν ἐν
σπουδῇ εἰς Ἰερουσαλὴμ καὶ ἐν Ἰούδᾳ, καὶ κατήργησαν αὐτοὺς ἐν
24 ἵπποις καὶ δυνάμει. 24τότε ἤργησεν τὸ ἔργον οἴκου τοῦ θεοῦ τοῦ
ἐν Ἰερουσαλήμ, καὶ ἦν ἀργὸν ἕως ἔτους δευτέρου Δαρείου τοῦ βασι-
λέως Περσῶν.

V 1 1Καὶ ἐπροφήτευσεν Ἀγγαῖος ὁ προφήτης καὶ Ζαχαρίας ὁ τοῦ
Ἀδὼ προφητείαν ἐπὶ τοὺς Ἰουδαίους τοὺς ἐν Ἰούδᾳ καὶ Ἰερουσαλὴμ
2 ἐν ὀνόματι θεοῦ Ἰσραὴλ ἐπ' αὐτούς. 2τότε ἀνέστησαν Ζοροβαβὲλ
ὁ τοῦ Σαλαθιὴλ καὶ Ἰησοῦς ὁ υἱὸς Ἰωσεδὲκ καὶ ἤρξαντο οἰκοδομῆσαι
τὸν οἶκον τοῦ θεοῦ τὸν ἐν Ἰερουσαλήμ, καὶ μετ' αὐτῶν οἱ προφῆται
3 τοῦ θεοῦ βοηθοῦντες αὐτοῖς. 3ἐν αὐτῷ τῷ καιρῷ ἦλθεν ἐπ' αὐτοὺς
Θαναναὶ ἔπαρχος πέραν τοῦ ποταμοῦ καὶ Σαθαρβουζανὰ καὶ οἱ σύν-
δουλοι αὐτῶν, καὶ τοῖα εἶπαν αὐτοῖς Τίς ἔθηκεν ὑμῖν γνώμην τοῦ
οἰκοδομῆσαι τὸν οἶκον καὶ τὴν χορηγίαν ταύτην καταρτίσασθαι;
4 4τότε ταῦτα εἴποσαν αὐτοῖς Τίνα ἐστὶν τὰ ὀνόματα τῶν ἀνδρῶν
5 τῶν οἰκοδομούντων τὴν πόλιν ταύτην; 5καὶ οἱ ὀφθαλμοὶ τοῦ θεοῦ
ἐπὶ τὴν αἰχμάλωσιν Ἰούδα, καὶ οὐ κατήργησαν αὐτοὺς ἕως γνώμη
τῷ Δαρείῳ ἀπενέχθη· καὶ τότε ἀπεστάλη τῷ φορολόγῳ ὑπὲρ τοῦ
6 αὐτοῦ. 6διασάφησις ἐπιστολῆς ἧς ἀπέστειλεν Θανθανᾶς ἔπαρχος
τοῦ πέραν καὶ Σαθαρβουζανὰ καὶ οἱ σύνδουλοι αὐτῶν Ἀφαρσακκαῖοι
7 ἐν τῷ πέραν τοῦ ποταμοῦ Δαρείῳ τῷ βασιλεῖ· 7ῥῆσιν ἀπέστειλαν
πρὸς αὐτόν, καὶ τάδε γέγραπται ἐν αὐτῷ Δαρείῳ τῷ βασιλεῖ εἰ-
8 ρήνη πᾶσα. 8γνωστὸν ἔστω τῷ βασιλεῖ ὅτι ἐπορεύθημεν εἰς τὴν
Ἰουδαίαν χώραν εἰς οἶκον τοῦ θεοῦ τοῦ μεγάλου, καὶ αὐτὸς οἰκοδο-
μεῖται λίθοις ἐκλεκτοῖς, καὶ ξύλα ἐντίθεται ἐν τοῖς τοίχοις, καὶ τὸ
ἔργον ἐκεῖνο ἐπιδέξιον γίνεται καὶ εὐοδοῦται ἐν ταῖς χερσὶν αὐτῶν·
9 9τότε ἠρωτήσαμεν τοὺς πρεσβυτέρους ἐκείνους, καὶ οὕτως εἴπαμεν

21 απο] pr οπως A **22** om ητε A | του B* (τουτου B^{ab} [superscr του 2°] A A) **23** Αρθασασθα A | Ρεουμ A | Σαμσαι A | αυτων] εαυτου A | om εν 1° A **24** om οικου A | του εν] το εν A | αργων BA | δευτερου ετους A | Δαρειου] pr της βασιλειας A **V 1** Αδδω A | θεου] pr κυ A **2** οικοδομησαι] οικοδομειν A **3** Θαθθαναι A | Σαθαρβουζαναι A | ειπον A | οικον] +τουτον A **4** ειποσαν] ειπον A **5** αιχμαλωσιαν A | Δαριω A | απηνεχθη A | του αυτου] τουτου A **6** επιστολη A | Θαθθαναις A | περαν 1°]+|του ποταμου A | Σαθαρβουζανης A | Αφαρσα|χαιοι A | εν] pr οι A **7** αυτω] αυτη A **8** τοχοις B* (τοιχοις B^{ab}) | γιγνεται A | ταις χερσιν] om ταις A **9** ειπομεν A

Β αὐτοῖς Τίς ἔθηκεν ὑμῖν γνώμην τοῦ οἰκοδομῆσαι τὴν χορηγίαν ταύτην καὶ καταρτίσασθαι; [10]καὶ τὰ ὀνόματα αὐτῶν ἠρωτήσαμεν αὐτοὺς γνωρίσαι σοι, ὥστε γράψαι τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν ἀρχόντων αὐτῶν. [11]καὶ τοῦτο τὸ ῥῆμα ἀπεκρίθησαν ἡμῖν λέγοντες Ἡμεῖς ἐσμεν δοῦλοι τοῦ θεοῦ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ οἰκοδομοῦμεν τὸν οἶκον ὃς ἦν οἰκοδομημένος πρὸ τούτου ἔτη πολλά, καὶ βασιλεὺς τοῦ Ἰσραὴλ μέγας ᾠκοδόμησεν αὐτὸν καὶ κατηρτίσατο αὐτὸν αὐτοῖς. [12]ἀφ' ὅτε δὲ παρώργισαν οἱ πατέρες ἡμῶν τὸν θεὸν τοῦ οὐρανοῦ, ἔδωκεν αὐτοὺς εἰς χεῖρας Ναβουχοδονοσὸρ βασιλέως Βαβυλῶνος, καὶ τὸν οἶκον ἔλυσεν τοῦτον, καὶ τὸν λαὸν ἀπῴκισεν εἰς Βαβυλῶνα. [13]ἀλλ' ἐν ἔτει πρώτῳ Κύρου τοῦ βασιλέως Κῦρος βασιλεὺς ἔθηκεν γνώμην τὸν οἶκον τοῦ θεοῦ τοῦτον οἰκοδομηθῆναι. [14]καὶ τὰ σκεύη τοῦ θεοῦ τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ Ναβουχοδονοσὸρ ἐξήνεγκεν ἀπὸ οἴκου τοῦ ἐν Ἰερουσαλὴμ καὶ ἀπήνεγκεν αὐτὰ εἰς ναὸν τοῦ βασιλέως, καὶ ἔδωκεν τῷ Βαγασὰρ τῷ θησαυροφύλακι τῷ ἐπὶ τοῦ θησαυροῦ, [15]καὶ εἶπεν αὐτῷ Πάντα τὰ σκεύη λάβε· πορεύου, θὲς αὐτὰ ἐν οἴκῳ τῷ ἐν Ἰερουσαλὴμ εἰς τὸν ἑαυτῶν τόπον. [16]τότε Σαρβαγὰρ ἐκεῖνος ἦλθεν καὶ ἔδωκεν θεμελίους τοῦ οἴκου τοῦ θεοῦ τοῦ εἰς Ἰερουσαλήμ· καὶ ἀπὸ τότε ἕως τοῦ νῦν ᾠκοδομήθη, καὶ οὐκ ἐτελέσθη. [17]καὶ νῦν εἰ ἐπὶ τὸν βασιλέα ἀγαθόν, ἐπισκεπήτω ἐν οἴκῳ τῆς γάζης τοῦ βασιλέως Βαβυλῶνος, ὅπως γνῷς ὅτι ἀπὸ βασιλέως Κύρου ἐγένετο γνώμη οἰκοδομῆσαι τὸν οἶκον τοῦ θεοῦ ἐκεῖνον τὸν ἐν Ἰερουσαλήμ· καὶ γνοὺς ὁ βασιλεὺς περὶ τούτου πεμψάτω πρὸς ἡμᾶς. [1]Τότε Δαρεῖος ὁ βασιλεὺς ἔθηκεν γνώμην, καὶ ἐπεσκέψατο ἐν βιβλιοθήκαις ὅπου ἡ γάζα κεῖται ἐν Βαβυλῶνι. [2]καὶ εὑρέθη ἐν πόλει ἐν τῇ βάρει κεφαλὶς μία, καὶ τοῦτο γεγραμμένον ἐν αὐτῇ ὑπόμνημα [3]Ἐν ἔτει πρώτῳ Κύρου βασιλέως Κῦρος βασιλεὺς ἔθηκεν γνώμην περὶ οἴκου ἱεροῦ θεοῦ τοῦ ἐν Ἰερουσαλὴμ καὶ τόπου οὗ θυσιάζουσιν τὰ θυ- 1 VI

A 9 του οικοδομησαι...καταρτισασθαι] τον οικον τουτον οικοδομη|σαι και την χορηγιαν (χορ. sup ras A^a) ταυτην καταρ|τισασθαι A 10 γραψαι] + σοι A 11 τουτο το] τοιουτο A | ημων] αυτοις A | ωκοδομημενος A 12 απ A | Βαβυλωνος] + του Χαλδαιου A | ελυσεν τουτον] τ. κατελυσεν A 13 βασιλευς] pr ο A | εθηκεν] εθετο A 14 του θεου] pr του οικου A | τα αργυρα και τα χρυσα] τα χρυσεα· και τα αργυρα A | και 4°] pr |εξηνεγκεν αυτα Κυρος ο βασι|λευς απο ναου του βασιλεως| A | Βαγασαρ] Σασαβασσαρω A 15 πορευου] pr και A | εαυτων τοπον] τοπον αυτων A 16 Σαρβαγαρ] Σασαβασσαρ' A | του εις] εν A | του νυν] om του A 17 Βαβυλως B* (Βαβυλωνος B^{ab}) | βασιλεως 2°] pr του A | εγενετο] ετε|θη A VI 1 βιβλιοθηκαις] pr ταις A 2 εν πολει] pr εν A|μαθα A | τουτο] + την A 3 πρωτου B | βασιλευς] pr ο A | om ιερου A | θεου] pr του A | Ιερουσαλημ] + |οικος οικοδομηθητω A | τοπου] τοπος A

4 σιάσματα. καὶ ἔθηκεν ἔπαρμα ὕψος πήχεις ἑξήκοντα, [4]καὶ δόμοι B
λίθινοι τρεῖς, καὶ δόμος ξύλινος εἷς· καὶ ἡ δαπάνη ἐξ οἴκου τοῦ
5 βασιλέως δοθήσεται. [5]καὶ τὰ σκεύη οἴκου θεοῦ τὰ ἀργυρᾶ καὶ τὰ
χρυσᾶ, ἃ Ναβουχοδονοσὸρ ἐξήνεγκεν ἀπὸ οἴκου τοῦ ἐν Ἰερουσαλήμ,
6 ἐπὶ τόπου ἐτέθη ἐν οἴκῳ τοῦ θεοῦ. [6]νῦν δώσετε, ἔπαρχοι πέραν
τοῦ ποταμοῦ, Σαθαρβουζανὰ καὶ οἱ σύνδουλοι αὐτῶν Ἀφαρσαχαῖοι
7 ἐν πέρα ποταμοῦ, μακρὰν ὄντες ἐκεῖθεν· [7]ἄφετε τὸ ἔργον οἴκου τοῦ
θεοῦ· καὶ πρεσβύτεροι τῶν Ἰουδαίων οἶκον τοῦ θεοῦ ἐκεῖνον οἰκοδο-
8 μείτωσαν ἐπὶ τοῦ τόπου αὐτοῦ. [8]καὶ ἀπ' ἐμοῦ ἐτέθη γνώμη μή
ποτέ τι ποιήσητε μετὰ πρεσβυτέρων τῶν Ἰουδαίων τοῦ οἰκοδομῆσαι
οἶκον τοῦ θεοῦ ἐκεῖνον· καὶ ἀπὸ ὑπαρχόντων βασιλέως τῶν φόρων
πέραν τοῦ ποταμοῦ ἐπιμελῶς δαπάνη ἔστω διδομένη τοῖς ἀνδράσιν
9 ἐκείνοις, τὸ μὴ καταργηθῆναι· [9]καὶ ὃ ἂν ὑστέρημα, καὶ υἱοὺς βοῶν
καὶ κριῶν καὶ ἀμνοὺς εἰς ὁλοκαυτώσεις τῷ θεῷ τοῦ οὐρανοῦ, πυρούς,
ἅλας, οἶνον, ἔλαιον, κατὰ τὸ ῥῆμα ἱερέων τῶν ἐν Ἰερουσαλήμ, ἔστω
10 διδόμενον αὐτοῖς ἡμέραν ἐν ἡμέρᾳ ὃ ἐὰν αἰτήσωσιν, [10]ἵνα ὦσιν προσ-
φέροντες εὐωδίας τῷ θεῷ τοῦ οὐρανοῦ, καὶ προσεύχωνται εἰς ζωὴν
11 τοῦ βασιλέως καὶ υἱῶν αὐτοῦ. [11]καὶ ἀπ' ἐμοῦ ἐτέθη γνώμη ὅτι πᾶς
ἄνθρωπος ὃς ἀλλάξει τὸ ῥῆμα τοῦτο, καὶ καθαιρεθήσεται ξύλον ἐκ
τῆς οἰκίας αὐτοῦ καὶ ὠρθωμένος πληγήσεται ἐπ' αὐτοῦ, καὶ ὁ οἶκος
12 αὐτοῦ τὸ κατ' ἐμὲ ποιηθήσεται. [12]καὶ ὁ θεὸς οὗ κατασκηνοῖ τὸ
ὄνομα ἐκεῖ καταστρέψει πάντα βασιλέα καὶ λαὸν ὃς ἐκτενεῖ τὴν
χεῖρα αὐτοῦ ἀλλάξαι ἢ ἀφανίσαι οἶκον θεοῦ τὸν ἐν Ἰερουσαλήμ.
13 ἐγὼ Δαρεῖος ἔθηκα γνώμην, ἐπιμελῶς ἔσται. [13]Τότε Ταν θαναὶ
ἔπαρχος πέραν τοῦ ποταμοῦ, Σαθαρβουζὰν καὶ οἱ σύνδουλοι αὐτοῦ,
πρὸς ὃ ἀπέστειλεν Δαρεῖος ὁ βασιλεύς, οὕτως ἐπιμελῶς ἐποίησαν.
14 [14]καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων οἰκοδομοῦσιν καὶ οἱ Λευεῖται
ἐν προφητείᾳ Ἀγγαίου τοῦ προφήτου καὶ Ζαχαρίου υἱοῦ Ἀδώ· καὶ

3 εξηκοντα] + πλατος αυτου· | πηχαιων εξηκοντα· A **4** λιθινοι] + κραταιοι A A
5 θεου 1°] pr του A | χρυσεα A | Ιερουσαλημ] + και εκοσμισεν (sic) εις| Βαβυ-
λωνα· και δοθητω· και απελ|θατω· εις τον λαον τον εν Ιλημ·| A | ετεθη] τεθη A
6 Σαθαρβουζανε A | εν περα] οι εν τω περαν A **7** αφετε] pr και νυν A | om
οικου A | και] οι αφηγουμε|νοι των Ιουδαιων· και οι A **8** γνωμη ετεθη
A | πρεσβυτερων] pr των A **9** om ελαιον A | ιερεων] pr των A | αιτη-
σωσιν] ιτη sup ras $B^{?vid}$ **10** τουρανου B^{*} (του ουρ. B^{ab}) | υιων] pr
των A **11** om και 2° A | πληγησεται B^{ab} (πληγησεσται B^{*})] παγη-
σεται A **12** αυτου] εαυτου A | οικον θεου] τον οικον του| θυ εκεινον A
13 Ταν θαναι] Θαθθαναι A | Σαθαρβουζαναι A | εποιησαν επιμελως A
14 οικοδομουσιν] ωκοδομουσαν A^{vid} | Λευιτ. A (item 16, 18, 20) | προφητια A |
Αδδω A

Β ᾠκοδόμησαν καὶ κατηρτίσαντο ἀπὸ γνώμης θεοῦ Ἰσραὴλ καὶ ἀπὸ
γνώμης Κύρου καὶ Δαρείου καὶ Ἀσταρθὰ βασιλέων Περσῶν. [15]καὶ 15
ἐτέλεσαν τὸν οἶκον τοῦτον ἕως ἡμέρας τρίτης μηνὸς Ἀδάρ, ὅς ἐστιν
ἔτος ἕκτον τῇ βασιλείᾳ Δαρείου τοῦ βασιλέως. [16]καὶ ἐποίησαν οἱ 16
υἱοὶ Ἰσραήλ, οἱ ἱερεῖς καὶ οἱ Λευεῖται καὶ οἱ κατάλοιποι υἱῶν ἀποι-
κεσίας, ἐνκαίνια τοῦ οἴκου τοῦ θεοῦ ἐν εὐφροσύνῃ. [17]καὶ προσή- 17
νεγκαν εἰς τὰ ἐνκαίνια τοῦ οἴκου τοῦ θεοῦ μόσχους ἑκατόν, κριοὺς
διακοσίους, ἀμνοὺς τετρακοσίους, χιμάρους αἰγῶν περὶ ἁμαρτίας ὑπὲρ
παντὸς Ἰσραὴλ δώδεκα, εἰς ἀριθμὸν φυλῶν Ἰσραήλ. [18]καὶ ἔστησαν 18
τοὺς ἱερεῖς ἐν διαιρέσει αὐτῶν καὶ τοὺς Λευείτας ἐν μερισμοῖς αὐτῶν
ἐπὶ δουλείᾳ θεοῦ τοῦ ἐν Ἰερουσαλήμ, κατὰ τὴν γραφὴν βιβλίου
Μωυσῆ.

[19]Καὶ ἐποίησαν οἱ υἱοὶ τῆς ἀποικεσίας τὸ πάσχα τῇ τεσσαρεσκαι- 19
δεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου. [20]ὅτι ἐκαθερίσθησαν οἱ ἱερεῖς καὶ 20
οἱ Λευεῖται, ἕως εἷς πάντες καθαροί· καὶ ἔσφαξαν τὸ πάσχα τοῖς
πᾶσιν υἱοῖς τῆς ἀποικεσίας καὶ τοῖς ἀδελφοῖς αὐτῶν τοῖς ἱερεῦσιν καὶ
ἑαυτοῖς. [21]καὶ ἔφαγον οἱ υἱοὶ Ἰσραὴλ τὸ πάσχα, ἀπὸ τῆς ἀποικεσίας, 21
καὶ πᾶς ὁ χωριζόμενος εἰς ἀκαθαρσίας ἐθνῶν τῆς γῆς πρὸς αὐτοὺς τοῦ
ἐκζητῆσαι Κύριον θεὸν Ἰσραήλ. [22]καὶ ἐποίησαν τὴν ἑορτὴν τῶν ἀζύ- 22
μων ἑπτὰ ἡμέρας ἐν εὐφροσύνῃ, ὅτι εὔφρανεν αὐτούς, καὶ ἐπέστρεψεν
καρδίαν βασιλέως Ἀσσοὺρ ἐπ᾽ αὐτοὺς κραταιῶσαι τὰς χεῖρας αὐτῶν ἐν
ἔργοις οἴκου θεοῦ Ἰσραήλ.

[1]Καὶ μετὰ τὰ ῥήματα ἐν βασιλείᾳ Ἀρθασεσθὰ βασιλέως Περσῶν 1 VII
ἀνέβη Ἔσρας υἱὸς Σαραίου υἱοῦ Ζαρείου υἱοῦ Ἑλκειὰ [2]υἱοῦ Σελοὺμ 2
υἱοῦ Σαδδοὺκ υἱοῦ Ἀχειτὼβ [3]υἱοῦ Σαμαρειὰ υἱοῦ Ἐσρειὰ υἱοῦ Μαρερὼθ 3
[4]υἱοῦ Ζαραιὰ υἱοῦ Σαουιὰ υἱοῦ Βοκκεὶ [5]υἱοῦ Ἀβεισοῦε υἱοῦ Φινεὲς υἱοῦ 4
Ἐλεαζὰρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως τοῦ πατρῴου. [6]ἀνέβη ἐκ Βαβυ- 5
λῶνος, καὶ αὐτὸς γραμματεὺς ταχὺς ἐν νόμῳ Μωυσῆ ὃν ἔδωκεν Κύριος 6
ὁ θεὸς Ἰσραήλ· καὶ ἔδωκεν αὐτῷ ὁ βασιλεύς, ὅτι χεὶρ θεοῦ αὐτοῦ
ἐπ᾽ αὐτὸν ἐν πᾶσιν οἷς ἐζήτει αὐτός. [7]καὶ ἀνέβησαν ἀπὸ υἱῶν 7

A **14** ωκοδομησαν] ανωκοδομησαν A | Ασταρθα] Αρθασα|σθα A | βασιλεως A **15** ος] ο A | της βασιλειας] Δαριου A **16** εγκαινια B^{b}A (item 17) **17** om του οικου A **18** και 1°] in a ras aliq $B^{?}$ | διαιρεσεσιν A | Μωση A **19** τεσσαρισκαιδεκ. B^{ab} **20** εκαθαρισθησαν $B^{a?b}$ **21** απο] pr οι A | εις] της A | θεον] pr τον A **22** αυτους 1°]+ $\overline{κς}$ A | και 2°]+ $\overline{κς}$ A | καρδιαν A | θεου] pr του A VII **1** Αρθασασθα A | Εζρας A (Εζρ. ubique) | Ζαρειου] Αζαριου A | Ελκεια] Χελκειο (sic) A **2** Σελλουμ A | Σααδουκ A | Αχιτωβ A **3** Εζρια A | Μαρερωθ] Μαραιωθ A **4** Σαουια] Οζιυι A | Βοκκι A **5** Αβισουε A **6** ανεβη] pr αυτος Εζρας A | θεου] pr $\overline{κυ}$ A

Ἰσραὴλ καὶ ἀπὸ τῶν ἱερέων καὶ ἀπὸ τῶν Λευειτῶν καὶ οἱ ᾄδοντες Β
καὶ οἱ πυλωροὶ καὶ οἱ Ναθινεὶμ εἰς Ἰερουσαλὴμ ἐν ἔτει ἑβδόμῳ τῷ
8 Ἀσαρθαθὰ τῷ βασιλεῖ. 8καὶ ἦλθοσαν εἰς Ἰερουσαλὴμ τῷ μηνὶ τῷ
9 πέμπτῳ, τοῦτο τὸ ἔτος ἕβδομον τῷ βασιλεῖ. 9ὅτι ἐν μιᾷ τοῦ μηνὸς
τοῦ πέμπτου ἦλθοσαν εἰς Ἰερουσαλήμ, ὅτι χεὶρ θεοῦ αὐτοῦ ἦν ἀγαθὴ
10 ἐπ' αὐτόν. 10ὅτι Ἔσρας ἔδωκεν ἐν καρδίᾳ αὐτοῦ ζητῆσαι τὸν νόμον
11 καὶ ποιεῖν καὶ διδάσκειν ἐν Ἰσραὴλ προστάγματα καὶ κρίμα. 11Καὶ
αὕτη ἡ διασάφησις τοῦ διατάγματος οὗ ἔδωκεν Ἀσαρθαθὰ τῷ Ἔσρᾳ
τῷ ἱερεῖ τῷ γραμματεῖ βιβλίου λόγων ἐντολῶν Κυρίου καὶ προστα-
12 γμάτων αὐτοῦ ἐπὶ τὸν Ἰσραήλ 12Ἀσαρθαθὰ βασιλεὺς βασιλέων
Ἔσρᾳ γραμματεῖ νόμου τοῦ θεοῦ τοῦ οὐρανοῦ. τετέλεστο λόγος καὶ
13 ἡ ἀπόκρισις. 13ἀπ' ἐμοῦ ἐτέθη γνώμη ὅτι πᾶς ἑκουσιαζόμενος ἐν
βασιλείᾳ μου ἀπὸ λαοῦ Ἰσραὴλ καὶ ἱερέων καὶ Λευειτῶν πορευθῆναι
14 εἰς Ἰερουσαλήμ, μετὰ σοῦ πορευθῆναι. 14ἀπὸ προσώπου τοῦ βασιλέως
καὶ τῶν ἑπτὰ συμβούλων ἀπεστάλη ἐπισκέψασθαι ἐπὶ τὴν Ἰουδαίαν
15 καὶ εἰς Ἰερουσαλὴμ νόμῳ θεοῦ αὐτῶν τῷ ἐν χειρί σου. 15καὶ εἰς
οἶκον Κυρίου ἀργύριον καὶ χρυσίον ὃ βασιλεὺς καὶ οἱ σύμβουλοι
ἠκουσιάσθησαν τῷ κυρίῳ τοῦ Ἰσραὴλ τῷ ἐν Ἰερουσαλὴμ κατασκη-
16 νοῦντι, 16καὶ πᾶν ἀργύριον καὶ χρυσίον ὅ τι ἐὰν εὑρῇς ἐν πάσῃ
χώρᾳ Βαβυλῶνος μετὰ ἑκουσιασμοῦ τοῦ λαοῦ καὶ ἱερέων τῶν ἑκουσια-
17 ζομένων εἰς οἶκον θεοῦ τὸν ἐν Ἰερουσαλήμ· 17καὶ πᾶν προσπορευό-
μενον, τοῦτον ἑτοίμως ἔνταξον ἐν βιβλίῳ τούτῳ, μόσχους, κριούς,
ἀμνούς, καὶ θυσίας αὐτῶν καὶ σπονδὰς αὐτῶν· καὶ προσοίσεις αὐτὰ
18 ἐπὶ θυσιαστηρίου τοῦ οἴκου τοῦ θεοῦ ὑμῶν τοῦ ἐν Ἰερουσαλήμ. 18καὶ
ἔτι ἐπὶ σὲ καὶ τοὺς ἀδελφούς σου ἠγαθύνθη ἐν καταλοίπῳ τοῦ
ἀργυρίου καὶ τοῦ χρυσίου ποιῆσαι; ὡς ἀρεστὸν τῷ θεῷ ὑμῶν ποιήσατε.
19 19καὶ τὰ σκεύη τὰ διδόμενά σοι εἰς λειτουργίαν οἴκου θεοῦ παράδος
20 ἐνώπιον θεοῦ ἐν Ἰερουσαλήμ. 20καὶ κατάλοιπον χρείας οἴκου θεοῦ ὃ
21 ἂν φανῇ σοι δοῦναι δώσεις ἀπὸ οἴκων γάζης βασιλέως. 21καὶ ἀπ' ἐμοῦ,
ἐγώ γ' Ἀρσαρθαθὰ βασιλεὺς ἔθηκα γνώμην πάσαις ταῖς γάζαις

7 Λευιτ. A (item 13, 24) | Αρθασασθα Λ **8** ηλθον A | το ετος] om A το A **9** ηλθον A **10** εν καρδια] καρδιαν Λ | αυτου] εαυτου Λ | om εν 2° Λ | κριματα A **11** διασαφησι B* (s superscr B^{ab}) | Αρθασασθα A (item 12) **12** του θεου] κυ θυ A | τετελεσται A | λογος] pr ο Λ **13** εκουσιαζομενος] pr ο A **14** συμβολων A | επισκεψα|σασθαι A | νομου B | του εν B **15** εκουσιασθησαν A | κυριω] θω A | του εν B **16** εαν] αν A | εκουσιαζομενων A] ακουσιαζ. B **18** ετι] ει| τι A | αγαθυνθη A | αργυριου] αρτουριου A | του χρυσιου] om του A **19** θεου] pr του Λ **20** καταλοιπον] pr το A | θεου]+σου A **21** om γ Λ | Αρθασασθα Λ

Β ταῖς ἐν πέρα τοῦ ποταμοῦ, ὅτι πᾶν ὃ ἂν αἰτήσῃ ὑμᾶς Ἔσρας ὁ ἱερεὺς γραμματεὺς τοῦ νόμου τοῦ θεοῦ τοῦ οὐρανοῦ ἑτοίμως γινέσθω, [22] ἕως 22
ἀργυρίου ταλάντων καὶ ἕως πυροῦ κόρων ἑκατόν, καὶ ἕως οἴνου
ἀποθηκῶν ἑκατόν, καὶ ἅλας οὗ οὐκ ἔστιν γραφή. [23] πᾶν ὅ ἐστιν 23
ἐν γνώμῃ θεοῦ τοῦ οὐρανοῦ γινέσθω. προσέχετε ἐπιχειρῆσαι μήτι
εἰς οἶκον θεοῦ τοῦ οὐρανοῦ, μή ποτε γένηται ὀργὴ ἐπὶ τὴν βασιλείαν
τοῦ βασιλέως καὶ τῶν υἱῶν αὐτοῦ. [24] καὶ ὑμῖν ἐγνώρισται ἐν πᾶσιν 24
τοῖς ἱερεῦσιν καὶ τοῖς Λευείταις, ᾄδουσιν, πυλωροῖς, Ναθεινεὶμ καὶ
λειτουργοῖς οἴκου θεοῦ τούτου, φόρος μὴ ἔστω σοι· οὐκ ἐξουσιάσεις
καταδουλοῦσθαι αὐτούς. [25] καὶ σύ, Ἔσρα, ᾧ ἡ σοφία τοῦ θεοῦ ἐν 25
χειρί σου, κατάστησον γραμματεῖς καὶ κριτάς, ἵνα ὦσιν κρίνοντες
παντὶ τῷ λαῷ τῷ ἐν πέρα τοῦ ποταμοῦ πᾶσιν τοῖς εἰδόσιν νόμον
τοῦ θεοῦ· καὶ τῷ μὴ εἰδότι γνωριεῖτε. [26] καὶ πᾶς ὃς ἂν μὴ ᾖ ποιῶν 26
νόμον τοῦ θεοῦ καὶ νόμον τοῦ βασιλέως ἑτοίμως, τὸ κρίμα ἔσται
γινόμενον ἐξ αὐτοῦ, ἐὰν εἰς θάνατον ἐὰν εἰς παιδείαν ἐὰν εἰς ζημίαν
βίου ἐὰν εἰς παράδοσιν. [27] εὐλογητὸς Κύριος ὁ θεὸς τῶν πατέρων 27
ἡμῶν, ὃς ἔδωκεν οὕτως ἐν καρδίᾳ τοῦ βασιλέως, τοῦ δοξάσαντος
οἶκον τὸν ἐν Ἰερουσαλήμ, [28] καὶ ἐπ' ἐμὲ ἔκλινεν ἔλεος ἐν ὀφθαλμοῖς 28
τοῦ βασιλέως καὶ τῶν συμβούλων αὐτοῦ καὶ πάντων τῶν ἀρχόντων
τοῦ βασιλέως τῶν ἐπηρμένων. καὶ ἐγὼ ἐκραταιώθην ὡς χεὶρ θεοῦ
ἡ ἀγαθὴ ἐπ' ἐμέ, καὶ συνῆξα ἀπὸ Ἰσραὴλ ἄρχοντας ἀναβῆναι
μετ' ἐμοῦ.

[1] Καὶ οὗτοι οἱ ἄρχοντες πατριῶν αὐτῶν, οἱ ὁδηγοὶ ἀναβαίνοντες 1 VIII
μετ' ἐμοῦ ἐν βασιλείᾳ Ἀρθασθὰ τοῦ βασιλέως Βαβυλῶνος. [2] ἀπὸ 2
υἱῶν Φινεές, Γηρσώμ· ἀπὸ υἱῶν Ἰθαμάρ, Δανιήλ· ἀπὸ υἱῶν Δανείδ,
Τούς· [3] ἀπὸ υἱῶν Σαναχιὰ ἀπὸ υἱῶν Φορός, Ζαχαρίας, καὶ μετ' αὐτοῦ 3
τὸ σύστρεμμα ἑκατὸν καὶ πεντήκοντα· [4] ἀπὸ υἱῶν Φααθμωάβ, 4
Ἐλιανὰ υἱὸς Ζαρειά, καὶ μετ' αὐτοῦ διακόσιοι τὰ ἀρσενικά· [6] καὶ ἀπὸ 6

A **21** αν (in α ras aliq B^2)] εαν A | αιτησει A | γραμματευς] pr και A | γινεσθω A **22** ταλαντων]+ρ′ B^{ab}+εκατον A | αποθηκων] βαδων A | εκατον 2°]+και ελαιου βαδων εκατον·| A **23** θεου 1°] pr του A | γνωσθω] ε sup ras B^2 γινγνεσθω A | προσεχε A | επιχειρησαι μητι (μητε $B^{ab\,vid}$)] μητις επιχειρησαι A | θεου 2°] pr του A **24** αδουσι A | Ναθινειμ A | τουτου] του B τουτο| A **25** ω] ως A | εν χειρι] pr η A | ωσιν] ωσει A | τω λαω] ω 1° sup ras B^2 | πασι A | θεου 2°]+σου A **26** νομον 1°] pr τον A | γινομενον A | εαν quater]+τε A | βιου] pr του A | παραδοσιν] δεσμα A **27** δοξασαντος] δοξασαι A | οικον] τον οικον κῡ A **28** θεου] κῡ A VIII **1** οι αρχ.] om οι A | Αρθασασθα A **2** Τους] Αττους A **3** Σᾶ||χαια B^{*vid} (Σᾶ||αχια B^{ab})] Σαχανια A **4** απο] pr και A | Ελια|ανα A | Ζαραια A | αρσενικα]+(5) και απο νιων| Ζαθοης Σεχονιας· υιος Αζιηλ'·| και μετ αυτου τριακοσιοι τα αρ|σενικα· A

υἱῶν Ἀδείν, Ὠβὴθ υἱὸς Ἰωναθάν, καὶ μετ' αὐτοῦ πεντήκοντα τὰ Β
7 ἀρσενικά· 7καὶ ἀπὸ υἱῶν Ἠλά, Ἰοσειὰ υἱὸς Ἀθελεί, καὶ μετ' αὐτοῦ
8 ἑβδομήκοντα τὰ ἀρσενικά· 8καὶ ἀπὸ υἱῶν Σαφατειά, Ζαβδειὰ υἱὸς
9 Μειχαήλ, καὶ μετ' αὐτοῦ ὀγδοήκοντα τὰ ἀρσενικά· 9καὶ ἀπὸ υἱῶν
Ἰωάβ, Ἀδειὰ υἱὸς Ἰεμά, καὶ μετ' αὐτοῦ διακόσιοι δέκα ὀκτὼ τὰ
10 ἀρσενικά· 10καὶ ἀπὸ υἱῶν Σαλειμοὺθ υἱὸς Ἰωσεφειά, καὶ μετ' αὐτοῦ
11 ἑκατὸν ἑξήκοντα τὰ ἀρσενικά· 11καὶ ἀπὸ υἱῶν Βαβεί, καὶ Ἀζαριὰ
12 υἱὸς Βαβεί, καὶ μετ' αὐτοῦ ἑβδομήκοντα ὀκτὼ τὰ ἀρσενικά· 12καὶ ἀπὸ
υἱῶν Ἀστάδ, Ἰωνὰν υἱὸς Ἀκατάν, καὶ μετ' αὐτοῦ ἑκατὸν δέκα τὰ
13 ἀρσενικά· 13καὶ ἀπὸ υἱῶν Ἀδανεικὰμ ἔσχατοι, καὶ ταῦτα τὰ ὀνόματα
αὐτῶν· Ἀλειφὰτ καὶ Εὐειὰ καὶ Σαμαιά, ἑξήκοντα τὰ ἀρσενικά·
14 14καὶ ἀπὸ υἱῶν Βαγὸ Οὐθί, καὶ μετ' αὐτοῦ ὀγδοήκοντα τὰ ἀρσε-
15 νικά. 15Καὶ συνῆξα αὐτοὺς πρὸς τὸν ποταμὸν τὸν ἐρχόμενον
πρὸς τὸν Εὐείμ, καὶ παρενεβάλομεν ἐκεῖ ἡμέρας τρεῖς· καὶ συνῆκα
ἐν τῷ λαῷ καὶ ἐν τοῖς ἱερεῦσιν, καὶ ἀπὸ υἱῶν Λευεὶ οὐχ εὗρον
16 ἐκεῖ. 16καὶ ἀπέστειλα τῷ Ἐλεαζάρ, τῷ Ἀριήλ, τῷ Σαμαιὰ καὶ τῷ
Ἀλωνὰμ καὶ τῷ Ἀρεὶβ καὶ τῷ Ἐλναθὰμ καὶ τῷ Ναθὰν καὶ τῷ
Ζαχαρίᾳ καὶ τῷ Μεσουλὰμ ἄνδρας· καὶ τῷ Ἀρεὶβ καὶ τῷ Ἐαναθὰν
17 συνιόντας. 17καὶ ἐξήνεγκα αὐτοὺς ἐπὶ ἄρχοντος ἐν ἀργυρίῳ τοῦ
τόπου, καὶ ἔθηκα ἐν στόματι αὐτῶν λόγους λαλῆσαι πρὸς τοὺς ἀδελ-
φοὺς αὐτῶν τῶν Ἀθανεὶμ ἐν ἀργυρίῳ τόπου τοῦ ἐνέγκαι ἡμῖν ἄδοντας
18 εἰς οἶκον θεοῦ ἡμῶν. 18καὶ ἤλθοσαν ἡμῖν, ὡς χεὶρ θεοῦ ἡμῶν
ἀγαθὴ ἐφ' ἡμᾶς, ἀνὴρ σαχὼχ ἀπὸ υἱῶν Μοολεὶ υἱοῦ Λευεὶ υἱοῦ
Ἰσραήλ· καὶ ἀρχὴν ἤλθοσαν υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ ὀκτὼ καὶ
19 δέκα· 19καὶ τὸν Ἀσεβειὰ καὶ τὸν Ὡσαίαν ἀπὸ υἱῶν Μεραρεί, ἀδελφοὶ
20 αὐτοῦ καὶ υἱοὶ αὐτῶν εἴκοσι· 20καὶ ἀπὸ τῶν Ναθεινεὶμ ὃν ἔδωκεν
Δανεὶδ καὶ οἱ ἄρχοντες εἰς δουλείαν τῶν Λευειτῶν, Ναθεινεὶμ δια-

6 Αδιν A | Ωβη̃· | A **7** Ηλαμ A | Ιοσεια] Ησαια A | Αθελει] Αθλια A A **8** Σαφατια A | Ζαβδιας A | Μαχαηλ A **9** Αδεια] Αβαδια A | Ιεμα] Ιεειηλ A **10** Σαλειμουθ] Βαανισ|ελειμμουθ'· A^{vid} | Ιωσεφια A **11** om και 2° A | Αζαρια] Ζα|χαριας A **12** Ασταδ] Αζγαδ A | Ιωαναν A | Ακκαταν A **13** Αδωνικαμ A | Αλειφατ και Ευεια] Ελιφαλαθειηλ'· A^{vid} | Σαμαεια A **14** Βαγο] Γαβουαει A | Ουθι] Ουθαι και Ζαβουδ' A | ογδοηκοντα] εβδομηκοντα A **15** Ευει A | τω λαω] quae seq in A vix possunt legi usque 19 **16** Σεμεια A | Αλωναμ] αμ non inst B^{b} (quasi Αλων) | Αρεβ] Ιαριβ A | Μεσουαμ] Μεσολλαμ A | om ανδρας A | Αρειβ] Ιωαρειμ A | Εαναθαν] Ελναθαν A | συνιοντας (συνειοντας B$^{a\,vid}$)] συνιεντας A **17** αδοντας A] οδοντας B **18** σαχω A | Μοολι A | Λευι A | ηλθον A | υιοι] pr οι A | οκτω και δεκα] δεκα οκτω A **19** Ασεβια A | Ωσαιαν] Ισαια A | Μεραρι A | υιοι] pr οι A **20** Ναθεινειμ bis (Ναθεω 1° B$^{b\,vid}$ [ειμ non inst]) | Ναθινειμ A | δουλιαν A | Λευιτ. A (item 29, 30, 33)

B κόσιοι καὶ εἴκοσι· πάντες συνήχθησαν ἐν ὀνόμασιν. [21]καὶ ἐκάλεσα 21
ἐκεῖ νηστείαν ἐπὶ τὸν ποταμὸν Θουὲ τοῦ ταπεινωθῆναι ἐνώπιον θεοῦ
ἡμῶν, ζητῆσαι παρ' αὐτοῦ ὁδὸν εὐθεῖαν ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν
καὶ πάσῃ τῇ κτήσει ἡμῶν. [22]ὅτι ᾐσχύνθην αἰτήσασθαι παρὰ τοῦ 22
βασιλέως δύναμιν καὶ ἱππεῖς σῶσαι ἡμᾶς ἀπὸ ἐχθροῦ ἐν τῇ ὁδῷ,
ὅτι εἴπαμεν τῷ βασιλεῖ λέγοντες Χεὶρ θεοῦ ἡμῶν ἐπὶ πάντας τοὺς
ζητοῦντας αὐτὸν εἰς ἀγαθόν, καὶ κράτος αὐτοῦ καὶ θυμὸς αὐτοῦ ἐπὶ
πάντας ἐνκαταλείποντας αὐτόν. [23]καὶ ἐνηστεύσαμεν καὶ ἐζητήσαμεν 23
παρὰ τοῦ θεοῦ ἡμῶν περὶ τούτου, καὶ ἐπήκουσεν ἡμῖν. [24]καὶ διέ- 24
στειλα ἀπὸ ἀρχόντων τῶν ἱερέων δώδεκα, τῷ Σαραιά, Ἀσαβιά,
καὶ μετ' αὐτῶν ἀπὸ ἀδελφῶν αὐτῶν δώδεκα. [25]καὶ ἔστησα αὐτοῖς 25
τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη ἀπαρχῆς οἴκου θεοῦ ἡμῶν, ἃ
ὕψωσεν ὁ βασιλεὺς καὶ οἱ σύμβουλοι αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ
καὶ πᾶς Ἰσραὴλ οἱ εὑρισκόμενοι. [26]καὶ ἔστησα ἐπὶ χεῖρας αὐτῶν 26
ἀργυρίου τάλαντα ἑξακόσια καὶ πεντήκοντα, καὶ σκεύη ἀργυρᾶ ἑκατόν,
καὶ τάλαντα χρυσίου ἑκατόν· [27]καὶ καφουδὴθ χρυσοῖ εἴκοσι εἰς τὴν 27
ὁδὸν χαμανεὶμ χίλιοι, καὶ σκεύη χαλκοῦ στίλβοντος ἀγαθοῦ διά-
φορα, ἐπιθυμητὰ ἐν χρυσίῳ. [28]καὶ εἶπα πρὸς αὐτούς Ὑμεῖς ἅγιοι 28
τῷ κυρίῳ, καὶ τὰ σκεύη ἅγια καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον ἑκούσια
τῷ κυρίῳ θεῷ πατέρων ἡμῶν· [29]ἀγρυπνεῖτε καὶ τηρεῖτε, ἕως στῆτε 29
ἐνώπιον ἀρχόντων τῶν ἱερέων καὶ τῶν Λευειτῶν καὶ τῶν ἀρχόν-
των τῶν πατριῶν ἐν Ἰερουσαλήμ, εἰς σκηνὰς οἴκου Κυρίου. [30]καὶ 30
ἐδέξαντο οἱ ἱερεῖς καὶ οἱ Λευεῖται σταθμὸν τοῦ ἀργυρίου καὶ τοῦ
χρυσίου καὶ τῶν σκευῶν, ἐνεγκεῖν εἰς Ἰερουσαλὴμ εἰς οἶκον θεοῦ
ἡμῶν. [31]Καὶ ἐξήραμεν ἀπὸ τοῦ ποταμοῦ Θουὲ ἐν τῇ δωδεκάτῃ 31
τοῦ μηνὸς τοῦ πρώτου τοῦ ἐλθεῖν εἰς Ἰερουσαλήμ· καὶ χεὶρ θεοῦ
ἡμῶν ἦν ἐφ' ἡμῖν, καὶ ἐρύσατο ἡμᾶς ἀπὸ χειρὸς ἐχθροῦ καὶ πολεμίου
ἐν τῇ ὁδῷ. [32]καὶ ἤλθομεν εἰς Ἰερουσαλήμ, καὶ ἐκαθίσαμεν ἐκεῖ 32
ἡμέρας τρεῖς. [33]καὶ ἐγενήθη τῇ ἡμέρᾳ τῇ τετάρτῃ ἐστήσαμεν τὸ 33
ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη ἐν οἴκῳ θεοῦ ἡμῶν ἐπὶ χεῖρα
Μερειμὼθ υἱοῦ Οὐρεία τοῦ ἱερέως, καὶ μετ' αὐτοῦ Ἐλεαζὰρ υἱὸς Φινεές,

A **20** om *και* 3° A **21** Θουε] Αουε A **22** *ησχυνθην*] seq ras 1 lit in A | *ειπομεν* A^{vid} | *θεου*] pr *του* A | *εγκαταλειποντας* B^{ab}A **23** *του θεου*] om *του* A **24** Ασαβια] Σαβια A^{vid} | *δωδεκα*] δεκα A^{vid} **25** *συμβουλοι*] *συμβολοι* A^{*vid} (ουλ sup ras A$^{?}$) **26** om *και* 2° A **27** *καφουδηθ*] *καφουρη* A | *χρυσοι*] *χρυσαιοι* A | *χαμανειμ*] *δραχμων*· | *ειν* A **28** *κυριω* 1°] + *θῶ* A | *αγια*] pr *τα* (superscr) B^{ab} | *ημων*] *υμων* A **29** *αρχοντων* 1°] pr *των* A **31** Θουε B^{*vid}] Αουε B$^{?}$ (A sup ras) A pr *του* A | *τη δωδεκατη*] om *τη* A | *πρωτου*] *π* sup ras B$^{?}$ **33** *εστησαμεν*] *αμ* sup ras A^{a} | Μερειμωθ] Μαριμωθ A^{vid} | Ουρια B^{b}A

καὶ μετ᾽ αὐτῶν Ἰωζαβὰδ υἱὸς Ἰησοῦ καὶ Νοαδεὶ ἀπὸ Ἐβανναιὰ οἱ Β
34 Λευεῖται· 34ἐν ἀριθμῷ καὶ ἐν σταθμῷ τὰ πάντα, καὶ ἐγράφη πᾶς
35 ὁ σταθμός. ἐν τῷ καιρῷ ἐκείνῳ 35διελθόντες ἐκ τῆς αἰχμαλωσίας
υἱοὶ τῆς παροικίας προσήνεγκαν ὁλοκαυτώσεις τῷ θεῷ Ἰσραήλ,
μόσχους δώδεκα περὶ παντὸς Ἰσραήλ, κριοὺς ἐνενήκοντα ἕξ, ἀμνοὺς
ἑβδομήκοντα καὶ ἑπτά, χιμάρους περὶ ἁμαρτίας δώδεκα, τὰ πάντα
36 ὁλοκαυτωμάτων. 36καὶ ἔδωκαν τὸ νόμισμα τοῦ βασιλέως τοῖς διοικη-
ταῖς τοῦ βασιλέως καὶ ἐπάρχοις πέραν τοῦ ποταμοῦ· καὶ ἐδόξασαν
τὸν λαὸν καὶ τὸν οἶκον τοῦ θεοῦ.

IX 1 1Καὶ ὡς ἐτελέσθη ταῦτα, ἤγγισαν πρὸς μὲ οἱ ἄρχοντες λέγοντες
Οὐκ ἐχωρίσθη ὁ λαὸς Ἰσραὴλ καὶ οἱ ἱερεῖς καὶ οἱ Λευεῖται ἀπὸ λαῶν
τῶν γαιῶν ἐν μακρύμμασιν αὐτῶν· τῷ Χανανεί, ὁ Ἐθεί, ὁ Φερεσθεί,
2 ὁ Ἰεβουσεί, ὁ Ἀμμωνεί, ὁ Μωάβ, ὁ Μοσερεὶ καὶ ὁ Ἀμορεί· 2ὅτι
ἐλάβοσαν ἀπὸ θυγατέρων αὐτῶν αὐτοῖς καὶ τοῖς υἱοῖς αὐτῶν, καὶ
παρήχθη σπέρμα τὸ ἅγιον ἐν λαοῖς τῶν γαιῶν, καὶ χεὶρ τῶν ἀρ-
3 χόντων ἐν τῇ ἀσυνθεσίᾳ ταύτῃ. 3καὶ ὡς ἤκουσα τὸν λόγον τοῦ-
τον, διέρρηξα τὰ ἱμάτιά μου καὶ ἐπαλλόμην, καὶ ἔτιλλον ἀπὸ τῶν
τριχῶν τῆς κεφαλῆς μου καὶ ἀπὸ τοῦ πώγωνός μου, καὶ ἐκαθήμην
4 ἠρεμάζων. 4καὶ συνήχθησαν πρὸς μὲ πᾶς ὁ διώκων λόγον θεοῦ
Ἰσραὴλ ἐπὶ ἀσυνθεσίᾳ τῆς ἀποικίας· καὶ ἐγὼ καθήμενος ἠρεμάζων
5 ἕως τῆς θυσίας τῆς ἑσπερινῆς. 5καὶ ἐν θυσίᾳ τῇ ἑσπερινῇ ἀνέστην
ἀπὸ ταπεινώσεώς μου· καὶ ἐν τῷ διαρρῆξαί με τὰ ἱμάτιά μου καὶ
ἐπαλλόμην, καὶ κλίνω ἐπὶ τὰ γόνατά μου καὶ ἐκπετάζω χεῖράς μου
6 πρὸς τὸν θεόν, 6καὶ εἶπα, Ἠσχύνθην καὶ ἐνετράπην τοῦ ὑψῶσαι
τὸ πρόσωπόν μου πρὸς σέ, ὅτι αἱ ἀνομίαι ἡμῶν ἐπληθύνθησαν
ὑπὲρ κεφαλῆς ἡμῶν, καὶ αἱ πλημμέλειαι ἡμῶν ἐμεγαλύνθησαν ἕως
7 εἰς οὐρανόν. 7ἀπὸ ἡμερῶν πατέρων ἡμῶν ἐσμεν ἐν πλημμελείᾳ
μεγάλῃ ἕως τῆς ἡμέρας ταύτης· καὶ ἐν ταῖς ἀνομίαις ἡμῶν παρεδό-
θημεν ἡμεῖς καὶ οἱ βασιλεῖς ἡμῶν καὶ οἱ υἱοὶ ἡμῶν ἐν χειρὶ βασι-
λέων τῶν ἐθνῶν, ἐν ῥομφαίᾳ καὶ ἐν αἰχμαλωσίᾳ, ἐν διαρπαγῇ καὶ
8 ἐν αἰσχύνῃ προσώπου ἡμῶν, ὡς ἡ ἡμέρα αὕτη. 8καὶ νῦν ἐπεσκευά-
σατο ἡμῖν ὁ θεὸς ἡμῶν τοῦ καταλιπεῖν ἡμῖν εἰς σωτηρίαν καὶ δοῦναι

33 Νοαδει] Νωαδα Λ* | απο Εβανναια] υιος Βαναια Α **35** διελθοντες] Α οι ελθοντες Α | εκ] απο Α | ολοκαυτωματων] ολοκαυτωμα|τα τω κω· Α **36** εδωκα Α IX **1** Χανανι Α | Εθθι Α | Φερεζι Α | Αμμωνι Α | Μωσρι Α | Αμορι Α **2** αυτοις] εαυτοις Α | αυτων 2°] εαυτων Α | ταυτη] + εν αρχη Α **3** ερεμαζων Α **4** αποικεσιας Α | και εγω] καγω Α **5** ταπεινωσεως] pr της Α | χειρας] pr τας Α | τον θεον] pr κν Α **6** ησχυνθην] pr κε Α | υψωσαι] + θεε μου Α | πλημμελιαι Α **7** πλημμελια Α | εν 6°] pr και Α **8** ο θεος] pr κς Α | καταλειπειν Α

Β ἡμῖν στήρισμα ἐν τόπῳ ἁγιάσματος αὐτοῦ, τοῦ φωτίσαι ὀφθαλμοὺς
ἡμῶν καὶ δοῦναι ζωοποίησιν μικρὰν ἐν τῇ δουλείᾳ ἡμῶν. 9ὅτι δοῦλοί 9
§ ℵ ἐσμεν, καὶ ἐν τῇ δουλείᾳ ἡμῶν οὐκ ἐνκατέλειπεν ἡμᾶς §Κύριος ὁ θεὸς
ἡμῶν, καὶ ἔκλινεν ἐφ' ἡμᾶς ἔλεος ἐνώπιον βασιλέων Περσῶν, δοῦναι
ἡμῖν ζωοποίησιν, τοῦ ὑψῶσαι αὐτοὺς τὸν οἶκον τοῦ θεοῦ ἡμῶν καὶ ἀνα-
στῆσαι τὰ ἔρημα αὐτῆς, καὶ τοῦ δοῦναι ἡμῖν φραγμὸν ἐν Ἰούδᾳ καὶ
ἐν Ἰερουσαλήμ. 10τί εἴπωμεν, ὁ θεὸς ἡμῶν, μετὰ τοῦτο; ὅτι ἐνκατε- 10
λίπομεν ἐντολάς σου 11ἃς ἔδωκας ἡμῖν ἐν χειρὶ δούλων σου τῶν 11
προφητῶν Ἡ γῆ εἰς ἣν εἰσπορεύεσθε κληρονομῆσαι αὐτὴν γῆ μετα-
κινουμένη ἐστὶν ἐν μετακινήσει λαῶν τῶν ἐθνῶν, ἐν μακρύμμασιν
αὐτῶν, ὧν ἔπλησαν αὐτὴν ἀπὸ στόματος ἐπὶ στόμα ἐν ἀκαθαρσίαις
αὐτῶν. 12καὶ νῦν τὰς θυγατέρας ὑμῶν μὴ δῶτε τοῖς υἱοῖς αὐτῶν, 12
καὶ ἀπὸ θυγατέρων αὐτῶν μὴ λάβητε τοῖς υἱοῖς ὑμῶν, καὶ οὐκ ἐκζη-
τήσετε εἰρήνην αὐτῶν καὶ ἀγαθὸν αὐτῶν ἕως αἰῶνος, ὅπως ἐνισχύ-
σητε καὶ φάγητε τὰ ἀγαθὰ τῆς γῆς καὶ κληροδοτήσητε τοῖς υἱοῖς
ὑμῶν ἕως αἰῶνος. 13καὶ μετὰ πᾶν τὸ ἐρχόμενον ἐφ' ὑμᾶς ἐν ποι- 13
ήμασιν ὑμῶν τοῖς πονηροῖς καὶ ἐν πλημμελείᾳ ὑμῶν τῇ μεγάλῃ· ὅτι
οὐκ ἔστιν ὡς ὁ θεὸς ἡμῶν, ὅτι ἐκούφισας ἡμῶν τὰς ἀνομίας καὶ
ἔδωκας ἡμῖν σωτηρίαν· 14ὅτι ἐπεστρέψαμεν διασκεδάσαι ἐντολάς 14
σου καὶ γαμβρεῦσαι τοῖς λαοῖς· μὴ παροξυνθῇς ἐν ἡμῖν ἕως συντε-
λείας τοῦ μὴ εἶναι ἐνκατάλειμμα καὶ διασωζόμενον. 15Κύριε ὁ θεὸς 15
Ἰσραήλ, δίκαιος σύ, ὅτι κατελείφθημεν διασωζόμενοι ὡς ἡ ἡμέρα

ℵA **8** *στηρισμα*] *σωτηρισμα* B* *σωτηριαγμα* ut vid B$^{?\,txt}$ (*αγ* superscr) *στηριγμα* B$^{a\,mg}$A | *δουλια* A (item 9) **9** *εγκατελειπεν* B^{b}A | *βασιλεως* ℵ* (*βασιλεων* ℵ$^{c.a}$) | *ζωοποιησειν* ℵ* (*ε* ras ℵ$^{?\,vid}$) | *αυτους*]+*και* ℵ* (om ℵ$^{?}$) | *οικον*] *κον* (sic) *θν ημων* ℵ* *οικον* ℵ^{1} om *θν ημ.* ℵ$^{1\,c.a}$ | *ημιν* 2°] om ℵ* (hab ℵ$^{a\,(mg?)}$) **10** *τι*] pr *ϗ νυν* ℵ$^{c.a}$ | *εγκατελιπομεν* B^{b} *εγκατελειπομεν* A+*η*|*μις* ℵ **11** *δουλων* Bℵ$^{c.a}$A] *δουλου* ℵ* | *η γη*] pr *λεγων* ℵA | *εισπορευεσθαι* ℵA (+††† *μεχρι τουτου σημειου τω*| *τριων σταυρων εστ̄ι*| *το τελος των επτα*| *φυλλων τω*| *περισσων ϗ μη ουτω*| *του Εσ*|*δρα* ℵ$^{c.a\,mg\,inf}$) | *εν μετακεινησιν* (sic) A | *μακρυμμασιν* BℵA] *μακρυνσει* ℵ* | om *αυτων* 1° A | *ων*] *οις* superscr ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | *επλησαν* BℵA] *επλανησαν* ℵ* | om *αυτων* 2° ℵ* (hab superscr ℵ$^{c.a}$) A **12** *θυγατερων*] pr *των* ℵA | *εκζητησεται* Bℵ (*ε* 2° sup ras ℵ$^{c.b\,?}$) A | *κληροδοτισητε* ℵ* (*κληροδοτησ.* ℵ$^{c.a}$) *κληρονομησητε* A **13** *παν το ερχομενον*] *παντα τα εισελθοντα* ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | *υμας*] *ημας* ℵ^{a}A | *υμων* 1°] *ημων* A | *πλημμελια* A | *υμων* 2° BℵA] *ημων* ℵ$^{c.a}$A | *οτι* 1°]+*συ ο θ̄ς ημων κατεπαυσας το σκηπτρον ημων δια τας αμαρτιας ημων* ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | *ο θεος ημων*] *συ* ℵ$^{c.a}$ (ras ℵ$^{c.c}$) | *οτι* 2° BℵA] *και* ℵ* | *εκουφισας*] *εκουφισα* A* (*s* superscr A^{1}) **14** *εαπε*|*στρεψαμεν* (sic) A | *επιγαμβρευσαι* ℵA | *λαοις*] +*τουτων* ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$)+*των γαιων* A | *μη* 1°] *και ου* ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | om *εν* ℵ$^{c.a}$ (hab ℵ*$^{c.b}$) | *εγκαταλειμμα* B^{b}A *ενκαταλιμμα* ℵ **14—15** om *διασωζομενον...κατελειφθημεν* A **15** *κατελειφθημεν*] *κατελιφθ.* ℵ* pr *ουκ εν* ℵ$^{c.a\,mg}$ | *ως* BℵA] *ωσει* ℵ$^{c.a\,(mg)}$ | *η ημερα*] om *η* ℵ

αὕτη· ἐναντίον σου ἐν πλημμελείαις ἡμῶν, ὅτι οὐκ ἔστιν στῆναι Β
X 1 ἐνώπιόν σου ἐπὶ τούτῳ. [1]Καὶ ὡς ἐπροσηύξατο Ἔσρας, καὶ
ὡς προσηγόρευσεν κλαίων προσευχόμενος ἐνώπιον οἴκου τοῦ θεοῦ,
συνήχθησαν πρὸς αὐτὸν ἀπὸ Ἰσραὴλ ἐκκλησία πολλὴ σφόδρα,
ἄνδρες καὶ γυναῖκες καὶ νεανίσκοι· ὅτι ἔκλαυσεν ὁ λαὸς καὶ ὕψωσεν
2 κλαίων. [2]καὶ ἀπεκρίθη Σεχενίας υἱὸς Ἰεὴλ ἀπὸ υἱῶν Ἠλὰμ καὶ
εἶπεν τῷ Ἔσρᾳ Ἡμεῖς ἠσυνθετήσαμεν τῷ θεῷ ἡμῶν καὶ ἐκαθίσαμεν
γυναῖκας ἀλλοτρίας ἀπὸ λαῶν τῆς γῆς· καὶ νῦν ἐστὶν ὑπομονὴ τῷ
3 Ἰσραὴλ ἐπὶ τούτῳ. [3]καὶ νῦν διαθώμεθα διαθήκην τῷ θεῷ ἡμῶν
ἐκβαλεῖν πάσας τὰς γυναῖκας καὶ τὰ γενόμενα ἐξ αὐτῶν, ὡς ἂν
βουλῇ· ἀνάστηθι καὶ φοβέρισον αὐτοὺς ἐν ἐντολαῖς θεοῦ ἡμῶν, καὶ
4 ὡς ὁ νόμος γενηθήτω. [4]ἀνάστα, ὅτι ἐπὶ σὲ τὸ ῥῆμα, καὶ ἡμεῖς μετὰ
5 σοῦ· κραταιοῦ καὶ ποίησον. [5]καὶ ἀνέστη Ἔσρας καὶ ὥρκισεν τοὺς
ἄρχοντας, τοὺς Λευείτας καὶ πάντα Ἰσραήλ, τοῦ ποιῆσαι κατὰ τὸ
6 ῥῆμα τοῦτο· καὶ ὤμοσαν. [6]καὶ ἀνέστη Ἔσρας ἀπὸ προσώπου οἴκου
τοῦ θεοῦ, καὶ ἐπορεύθη εἰς γαζοφυλάκιον Ἰωανὰν υἱοῦ Ἐλεισούβ, καὶ
ἐπορεύθη ἐκεῖ· ἄρτον οὐκ ἔφαγεν καὶ ὕδωρ οὐκ ἔπιεν, ὅτι ἐπένθει
7 ἐπὶ ἀσυνθεσίᾳ τῆς ἀποικίας. [7]καὶ παρήνεγκαν φωνὴν Ἰούδᾳ καὶ
8 ἐν Ἰερουσαλήμ [8]Πᾶς ὃς ἂν μὴ ἔλθῃ εἰς τρεῖς ἡμέρας ὡς ἡ βουλὴ
τῶν ἀρχόντων καὶ τῶν πρεσβυτέρων, ἀναθεματισθήσεται πᾶσα ἡ
ὕπαρξις αὐτοῦ, καὶ αὐτὸς διασταλήσεται ἀπὸ ἐκκλησίας τῆς ἀποι-
9 κίας. [9]Καὶ συνήχθησαν πάντες ἄνδρες Ἰούδα καὶ Βενιαμεὶν
εἰς Ἰερουσαλὴμ εἰς τὰς τρεῖς ἡμέρας, οὗτος μὴν ὁ ἔνατος· ἐν εἰκάδι
10 τοῦ μηνὸς ἐκάθισεν πᾶς ὁ λαὸς ἐν πλατείᾳ οἴκου τοῦ θεοῦ, ἀπὸ
θορύβου αὐτῶν περὶ τοῦ ῥήματος καὶ ἀπὸ τοῦ χειμῶνος. [10]καὶ

15 *εναντιον*] pr *ιδου ημεις* ℵ? mg A | *σου* 1°]+ *ως η ημερα αυτη* ℵ* (ras ℵ?) | ℵA
πλημμελιαις ℵ | *τουτω* B ℵc.a A] *τουτο* ℵ* X **1** *προσηυξατο* Bb | Εσδρας
ℵ (Εσδρ. ubique) | om *ως* 2° ℵ (superscr ℵ?) | *προσηγορευσεν*] *εξηγορευσεν*
Bab mg ℵA | *προσευχ.*] pr *και* A | *οικου*] pr *του* ℵ | om *απο Ισραηλ* ℵ* (hab
απο Ισλ ℵc.a mg) **2** Ιεηλ] Ιεειηλ A | *εκαθισαμεν*] *ελαβομεν* ℵc.a (ras ℵc.b)
3 *εκβαλλειν* ℵ* (ras λ 1° ℵ?) | *γενομενα*] *γεννωμενα* ℵc.b | *ως* 1°] *εως* ℵ* (*ως*
ℵ?) | *ως ο ν. γενηθητω*] *εν βουλη κυ και των τρεμοντων εν εντολαις αυτου και*
ποιηθησεται κατα τον νομον του θυ ημων ℵc.a (ras ℵc.b) **4** *αναστα* B ℵ*]
αναστηθι ℵa A | om *οτι* A **5** om *τους αρχοντας* ℵ | *τους Λευειτας*] *ιερεις*
και Λευιτας ℵc.a (mgg) A | *και* 3°] pr *και τους αρχοντας* ℵ **6** Ιωαναν] ras α 1°
ℵc.a | Ελισουβ ℵA | *ασυνθεσια*] pr *τη* A | *αποικεσιας* A **7** Ιουδα] pr *εν*
ℵA | Ιερουσαλημ]+ *πασιν τοις υιοις της αποικιας του συναχθηναι εις Ιλημ*
ℵc.a (mg sup) **8** *πας*] pr *και* ℵ | *ως η*] *ος αν* ℵ* (*ως η* ℵa vid) *ως αν* A | om *των*
αρχοντων ℵ* (superscr ℵc.a) | *αποκιας* B* (*αποικ.* Bab) **9** *ανδρες*] pr *οι*
ℵ | *μην*] pr *ο* ℵA | *εκαθισεν*] pr *ϗ* ℵc.a (mg) | om *πας* ℵ (superscr ℵ?) | *πλατια*
A | *θορυβου*] pr *του* A

Β ἀνέστη Ἔσρας ὁ ἱερεὺς καὶ εἶπεν πρὸς αὐτούς Ὑμεῖς ἠσυνθετήκατε
καὶ ἐκαθίσατε γυναῖκας ἀλλοτρίας, τοῦ προσθεῖναι ἐπὶ πλημμέλειαν
Ἰσραήλ. 11 καὶ νῦν δότε αἴνεσιν τῷ θεῷ τῶν πατέρων ἡμῶν, καὶ 11
ποιήσατε τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ, καὶ διαστάλητε ἀπὸ λαῶν τῆς
γῆς καὶ ἀπὸ τῶν γυναικῶν τῶν ἀλλοτρίων. 12 καὶ ἀπεκρίθησαν 12
πᾶσα ἐκκλησία καὶ εἶπαν Μέγα τοῦτο τὸ ῥῆμά σου ἐφ᾽ ἡμᾶς ποι-
ῆσαι. 13 ἀλλὰ ὁ λαὸς πολύς, καὶ ὁ τόπος χειμερινός, καὶ οὐκ ἔστιν 13
δύναμις στῆναι ἔξω· καὶ τὸ ἔργον οὐκ εἰς ἡμέραν μίαν καὶ οὐκ εἰς
δύο, ὅτι ἐπληθύναμεν τοῦ ἀδικῆσαι ἐν τῷ ῥήματι τούτῳ. 14 στήτωσαν 14
δὴ ἄρχοντες ἡμῶν· καὶ πᾶσιν τοῖς ἐν πόλεσιν ἡμῶν ὃς ἐκάθισεν
γυναῖκας ἀλλοτρίας, ἐλθέτωσαν εἰς καιροὺς ἀπὸ συναγωγῶν, καὶ
μετ᾽ αὐτῶν πρεσβύτεροι πόλεως καὶ πόλεως καὶ κριταί, τοῦ ἀπο-
στρέψαι ὀργὴν θυμοῦ θεοῦ ἡμῶν ἐξ ἡμῶν περὶ τοῦ ῥήματος τούτου.
15 πλὴν Ἰωναθὰν υἱὸς Ἀσὴλ καὶ Λαζειὰ υἱὸς Ἐλκειὰ μετ᾽ ἐμοῦ περὶ 15
τούτου, καὶ Μεσουλὰμ καὶ Σαβαθαὶ ὁ Λευείτης βοηθῶν αὐτοῖς. 16 καὶ 16
ἐποίησαν οὕτως υἱοὶ τῆς ἀποικίας· καὶ διεστάλησαν Ἔσρας ὁ ἱερεὺς
καὶ ἄνδρες ἄρχοντες πατριῶν τῷ οἴκῳ καὶ πάντες ἐν ὀνόμασιν, ὅτι
ἐπέστρεψαν ἐν ἡμέρᾳ τοῦ μηνὸς τοῦ δεκάτου ἐκζητῆσαι τὸ ῥῆμα.
17 καὶ ἐτέλεσαν ἐν πᾶσιν ἀνδράσιν οἳ ἐκάθισαν γυναῖκας ἀλλοτρίας 17
ἕως ἡμέρας μιᾶς τοῦ μηνὸς τοῦ πρώτου. 18 Καὶ εὑρέθη ἀπὸ 18
υἱῶν τῶν ἱερέων οἳ ἐκάθισαν γυναῖκας ἀλλοτρίας· ἀπὸ υἱῶν Ἰησοῦ
υἱοῦ Ἰωσεδέκ, καὶ ἀδελφοὶ αὐτοῦ Μεεσσὴλ καὶ Ἐλιέζερ καὶ Ἰαρὲιμ
καὶ Γαδαλειά· 19 καὶ ἔδωκαν χεῖρα αὐτῶν τοῦ ἐξενέγκαι γυναῖκας αὐτῶν 19
καὶ πλημμελείας κριὸν ἐκ προβάτων περὶ πλημμελήσεως αὐτῶν· 20 καὶ 20
ἀπὸ υἱῶν Ἐμμήρ, Ἀνανεὶ καὶ Ζαβδειά· 21 καὶ ἀπὸ υἱῶν Ἡράμ, Μασαὴλ 21

ℵA **10** εκαθισατε] ελαβετε ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | πλημμελιαν ℵA **11** τω θεω] pr κω ℵ$^{c.a\,mg}$ τω κω θω A | ημων] υμων ℵ$^{c.a}$ **12** εκκλησια] pr η ℵA | ειπαν] + φωνη ℵ$^{c.a\,mg}$ **13** τοπος] καιρος ℵA **14** αρχοντες] pr οι A | ημων 1°] + τη παση εκκλησια ℵ* (pr εν ℵ$^{c.a}$ ras ℵ$^{c.b}$) A | πασιν (πασι ℵ*) τοις εν] παντες οι εν ταις ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | ος εκαθισεν] οι λαβοντες ℵ$^{a.c}$ (ras ℵ$^{c.b}$) | συναγωγων] συνταγων ℵ$^{c.a\,(vid)\,mg}$ A | om θυμου A **15** Ασηλ] Σαηλ ℵ* Ασαηλ ℵ^{1}A | Λαζειας ℵ^{a} Ιαζιας A | Ελκεια] Θεκουε A | Μεσουλαμ] Μετασολλαμ A | Σαβαθαι] Καββαθαι A | Λευιτης ℵA **16** υιοι] pr οι A | διεσταλησαν] διεστιλεν ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | om και 3° ℵ* (hab ℵ$^{c.b\,(vid)}$) | om και ανδρες ℵ$^{c.a}$ | αρχοντας ℵ$^{c.a}$ [των οικων ℵ* (τω οικω ℵ$^{?\,vid}$) A | και 4°] + σ ℵ* (improb ℵ^{3}) | εν 1°] επ ℵ$^{c.a}$A | ημερα] + μια ℵA | δεκατου] δωδεκατου ℵ$^{c.a}$ (δεκ. ℵ$^{c.b}$) **17—18** om εως ημερας...αλλοτριας ℵ* (hab ℵ$^{c.a\,mg}$) **17** μια A **18** ευρεθησαν ℵ$^{c.a\,mg}$ A | υιων 1°] pr των ℵ$^{c.a\,mg}$ | εκαθισαν] ελαβον ℵ$^{c.a\,mg}$ | αδελφοι] pr οι ℵ | Μεεσσηλ] Μαασηλ ℵ Μαασηια A | Ιαρειμ] Ιωρειμ ℵ Ιαριβ A | Γαλα|δεια ℵ **19** om του εξηνεγκαι...πλημμ. αυτων ℵ* (hab ℵ$^{a\,mgg}$) | αυτων 2°] εαυτων ℵ$^{a\,mg}$A | πλημμελιας ℵ$^{a\,mg}$A | πλημμελησεως] πλημμεληματος ℵ$^{a\,mg}$ **20** Αμμηρ ℵ* (Εμμηρ ℵ$^{?}$) | Ανα|νια A | Ζαβδια A **21** Μασαηλ] Μασειας A

22 καὶ Ἐλειὰ καὶ Σαμαιὰ καὶ Ἰεὴλ καὶ Ὀζειά· 22καὶ ἀπὸ υἱῶν Β
Φασούρ, Ἐλιωνά, Μαασαιὰ καὶ Σαμαὴλ καὶ Ναθαναὴλ καὶ Ἰωζαβὰδ
23 καὶ Ἠλασά· 23καὶ ἀπὸ τῶν Λευειτῶν Ἰωζαβὰδ καὶ Σαμοὺ καὶ Κωλειά,
24 αὐτὸς Κωλιεύ, καὶ Φαδαιὰ καὶ Ἰοδὸμ καὶ Ἐλιέζερ, 24καὶ ἀπὸ τῶν
ᾀδόντων Ἐλεισάφ, καὶ ἀπὸ τῶν πυλωρῶν Γελλὴμ καὶ Τέλημ καὶ
25 Ὠδούθ· 25καὶ ἀπὸ Ἰσραὴλ ἀπὸ υἱῶν Φορός, Ῥαμιὰ καὶ Ἀζειὰ καὶ
26 Μελχειὰ καὶ Ἀμαμεὶν καὶ Ἐλεαζὰρ καὶ Βαναιά· 26καὶ ἀπὸ υἱῶν
Ἠλάμ, Μαθανιά, Ζαχαριὰ καὶ Ἰαὴλ καὶ Ἀβδειὰ καὶ Ἰαρειμοὶθ καὶ
27 Ἠλία· 27καὶ ἀπὸ υἱῶν Ζαθουιά, Ἐλιωνά, Ἐλεισούβ, Ἀλαθανιὰ καὶ
28 Ἀμὼν καὶ Ζαβαδὰβ καὶ Ὀζειά· 28καὶ ἀπὸ υἱῶν Βαβεί, Ἰωανάν,
29 Νιανὰ καὶ Ζαβού, Θαλί· 29καὶ ἀπὸ υἱῶν Βανουεί, Μελουσάμ, Ἀλούμ,
30 Ἀδά, Ἰασοὺδ καὶ Σαλουνιὰ καὶ Μημών· 30καὶ ἀπὸ υἱῶν Φααδμωάβ,
Αἰδαινέ, Χαήλ, Βαναία, Μασηά, Μαθανιά, Βεσελὴλ καὶ Θανουεὶ καὶ
31 Μανασσή· 31καὶ ἀπὸ υἱῶν Ἡράμ, Ἐλειέζερ, Ἰεσσειά, Μελχειά, Σα-
32 33 μαιά, Σεμεών, 32Βενιαμείν, Μαλούχ, Σαμαρειά· 33ἀπὸ υἱῶν Ἡσάμ,
34 Μαθανιά, Ἀθά, Ζαβέλ, Ἐλειφάνεθ, Ἰεραμείμ, Μανασσή, Σεμεεί· 34ἀπὸ
35 36 υἱῶν Ἀνεί, Μοδεδειά, Μαρεί, Οὐήλ, 35Βαναία, Βαραιά, Χελκειά, 36Οὐ-
37 ιεχωά, Ἰεραμώθ, Ἐλειασείφ, 37Μαθανιά, Μαθανάν· καὶ ἐποίησαν.

21 Ελια A | Ιειηλ A | Οζια A **22** Ελιωνα] Ελιωηναι A | Μαασαια] ℵA Μαασια A | Σαμαηλ] Σαμαιηλ ℵ Ισμαηλ A **23** Λευειτων] pr υιων των ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | Σαμουδ ℵ | Κωλεια] Κωλαα A | Κωλιευ] Κωλιταυ ℵ$^{a\,vid}$ Κωλιτας A | Φαδαια] Φααια ℵ Φεθεια A | Ιοδομ] Ιεδομ ℵ Ιουδας A | Ελιαζαρ ℵ **24** αδοντων] ωδων ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | Ελισαφ ℵA | Γελλημ] Γαιλλειμ ℵ Σολλημ A | Τελημ] Τελλημ ℵA | Ωδουθ] Ωδουε A **25** Φορος] Φαρες ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | Αζεια] Αδεια ℵ Αζια A | Μελχια A | Αμαμειν] Μεαμιμ A | Ελεαζαρ] Ελεαζα A+και Σαβια ℵ+και Ασαβια· | A | Βαναια] Μαναια ℵ **26** Μαθθανια A | Ζαχαρια] pr και ℵA | Ιαηλ] Ιαειηλ ℵ Αιειηλ A | Αβδια A | Ιαριμωθ ℵ Ιεριμωθ A **27** Ζαθουα A | Ελιωναν ℵ Ελιωηναι A^{1} (Ελιων... A$^{*\,vid}$) | Ελισου ℵ Ελισουβ A | Αλαθανια] Βαλαθανιαν ℵ Μαθθαναι A | Αμων] Αρμων ℵ Ιαρμωθ A | Ζαβαδ ℵA | Οζεια] Οζιζα A **28** Βαβι ℵ | Νιανα] Ανεια ℵ* Ανανεια ℵ$^{a\,mg}$ Ανανια A | Θαλι] Θαλειμ ℵ Οθαλι A **29** Βανουει...Ιασουδ] Βα|νουειμ|ελουσαμα|ελουμα|δαασουα| ℵ Βανει Μοσολ|λαμ· Μαλουχ· Αδαιας· Ιασουβ· A | Σαλουνια] Σααλ A | Μημων] Μημων ℵ Ρημωθ A **30** Φααθμ. A | Αιδαινε (Εδαινε B^{ab}) Χαηλ] Εδενεχ·| Ηλ ℵ Εδνε και Χαληλ A | Βαναια] pr και A | Μαση ℵ Μαασηα A | Αμαθανεια ℵ (μ improb ℵ$^{?\,vid}$) Μαθθανια A | Βεσσεληλ ℵ | Θανουει] Βανουι A | Μανασση B$^{a?}$ **31** Ιεσσια A | Σαμαια] Σεμεα ℵ Σαμαιας A **32** Μαλουχ] Μαδουχ ℵ$^{?}$ | Σαμαρια ℵA **33** απο] pr και ℵA | Ησαμ] Ησιαμ ℵ Ασημ A | Μαθανια] Μαθθαναι A | Αθα] Μαθθαθα A | Ζαβελ] Ζαβαδ A | Ελειφανεθ] Ελειφαλεθ B^{ab}ℵ Ελιφαλετ A | Ιεραμει ℵ Ιερεμι A | Σεμει A **34** απο] pr και ℵ$^{c.a\,mg}$A | Ανει] Βανει A | Μοδεδια ℵ Μοοδεια A | Μαρει Ουηλ] Μαρει Θυηλ B$^{a?\,b}$ Μαρι Ουηλ ℵ Αμβραμ και Ουηλ A **35** Βαραια] Μαδαια ℵ Βαδαια A | Χελκεια] Χελια A **36** Ουιεχωα] Ουιερε|χω ℵ Ουουνια A | Ιεραμωθ] Μαρεμωθ A | Ελειασειφ] Ελειασειβ ℵ Ελιασειβ A **37** Μαθανια] Μαθθανια A | Μαθαναν] Μαθθανα ℵ Μαθθαναι A

Β [38] οἱ υἱοὶ Βανουὶ καὶ υἱοὶ Σεμεεί, [39] καὶ Σελεμιὰ καὶ Ναθὰν καὶ 38 39
Ἀδαιά, [40] Μαχαδναβού, Σεσεί, Σαριού, [41] Ἐζερὴλ καὶ Σελεμιὰ καὶ 40 41
Σαμαριὰ [42] καὶ Σαλούμ, Μαριά, Ἰωσήφ· [43] ἀπὸ υἱῶν Ναβού, Ἰαήλ, 42 43
Θαμαθιά, Σεδέμ, Ζανβινά, Διὰ καὶ Ἰωὴλ καὶ Βαναιά. [44] πάντες οὗτοι 44
ἐλάβοσαν γυναῖκας ἀλλοτρίας, καὶ ἐγέννησαν ἐξ αὐτῶν υἱούς.

[1] ΛΟΓΟΙ Νεεμία υἱοῦ Χελκειά. 1 XI (1)

Καὶ ἐγένετο ἐν μηνὶ Σεχεηλοὺ ἔτους εἰκοστοῦ καὶ ἐγὼ ἤμην ἐν
Σουσὰν ἁβιρά· [2] καὶ ἦλθεν Ἀνανὶ εἷς ἀπὸ τῶν ἀδελφῶν μου, αὐτὸς 2
καὶ ἄνδρες Ἰούδα, καὶ ἠρώτησα αὐτοὺς περὶ τῶν σωθέντων οἳ κατε-
λίπησαν ἀπὸ τῆς αἰχμαλωσίας καὶ περὶ Ἰερουσαλήμ. [3] καὶ εἶποσαν 3
πρὸς μέ Οἱ καταλειπόμενοι οἱ καταλειφθέντες ἀπὸ τῆς αἰχμαλωσίας
ἐκεῖ ἐν τῇ χώρᾳ, ἐν πόλει, ἐν πονηρίᾳ μεγάλῃ καὶ ἐν ὀνειδισμῷ, καὶ
τείχη Ἰερουσαλὴμ καθῃρημένα, καὶ αἱ πύλαι αὐτῆς ἐνεπρήσθησαν ἐν
πυρί. [4] καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαί με τοὺς λόγους τούτους ἐκάθισα 4
καὶ ἔκλαυσα καὶ ἐπένθησα ἡμέρας, καὶ ἤμην νηστεύων καὶ προσευ-
χόμενος ἐνώπιον θεοῦ τοῦ οὐρανοῦ. [5] καὶ εἶπα Μὴ δή, Κύριε ὁ θεὸς 5
τοῦ οὐρανοῦ ὁ ἰσχυρὸς ὁ μέγας καὶ φοβερός, φυλάσσων τὴν δια-
θήκην καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσιν αὐτὸν καὶ τοῖς φυλάσσουσιν
τὰς ἐντολὰς αὐτοῦ· [6] ἔστω δὴ τὸ οὖς σου προσέχον καὶ οἱ ὀφθαλμοί 6
σου ἀνεῳγμένοι τοῦ ἀκοῦσαι προσευχὴν δούλου σου, ἣν ἐγὼ προσ-
εύχομαι ἐνώπιόν σου σήμερον ἡμέραν καὶ νύκτα περὶ υἱῶν Ἰσραὴλ
δούλων σου, καὶ ἐξαγορεύων ἐπὶ ἁμαρτίαις υἱῶν Ἰσραὴλ ἃς ἡμάρτομέν

ℵA **38** υιοι 2°] pr οι A | Σεμει A **39** Σελεμεια ℵ Σελεμιας A | Αδαια] Αδειαμ Αδαιας A **40** Μαχαδναβου] Αχαδναβου ℵ Μαχναδααβου· A | Σαριου] Σαρουε ℵ Αρου A **41** Εζερηλ] Εσριηλ ℵ Εζριηλ A | Σελεμεια ℵ Σελεμιας A | Σαμαρειας A **42** om και A | Σελλουμ A | Μαρια] Αμαριας A **43** Ιαηλ] Ιεειηλ A | Θαμαθια] Μαθθαθιας A | om Σεδεμ A | Ζανβινα] Ζαμβεινα ℵ om A | Δια] Ιαδει A XI **1** λογοι] pr εντευθεν τα περι Νεεμιου B$^{c\ mg\ sup}$ | Χελκεια] Αχαλια ℵA | Σεχεηλου] Σεχενλου B* ^{vid} Σεχεηλ ℵ* Χεσελευ ℵ$^{c.a\ mg}$ Χασεηλου A ⌋ ετους] pr τοις| Σουσοις μητρο|πολει Περσων| ℵ* (improb ℵ$^{c.a}$) | αβειρρα A **2** Ανανι εις] Ανανεις· ℵ ⌋ των αδελφων] om των ℵA | κατελιπησαν] κατελιφθησαν B^{a}ℵ (κατελειφθησαν B^{b}A) **3** ειποσαν Bℵ$^{c.a}$] εποιησαν ℵ* ειπον A | om οι καταλειφθεντες A | εν πολει] εν τη πολει ℵ om A | τειχη] pr τα ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | καθειρημενα B*ℵ (καθηρ. B^{ab}A) | αι πυλαι] om αι ℵ* (superscr ℵ$^{c.a}$) A **4** επενθησα] ειτε| θησα ℵ* (ras ι ℵ$^{?}$) | θεου] pr του ℵ **5** om μη δη ℵ* ^{vid} (hab ℵ$^{? (mg)}$) | om του ουρανου ℵ* (hab ℵ$^{c.a\ mg}$) | φοβερος] pr ο ℵA | om σου A | φυλασσουσι ℵ **6** ηνεωγμενοι ℵ | προσευχην] pr την ℵ$^{c.a}$ | ημεραν] κα pro η B* (ημ...B^{1}) | νυκταν ℵ* | εξαγορευω ℵA | αμαρτιας A

7 σοι, καὶ ἐγὼ καὶ ὁ οἶκος πατρός μου ἡμάρτομεν. 7διαλύσει διελύ- Β
σαμεν, καὶ οὐκ ἐφυλάξαμεν τὰς ἐντολὰς καὶ τὰ προστάγματα καὶ τα
8 κρίματα ἃ ἐνετείλω τῷ Μωυσῇ παιδί σου. 8μνήσθητι δὴ τὸν λόγον
ὃν ἐνετείλω τῷ Μωυσῇ παιδί σου λέγων Ὑμεῖς ἐὰν ἀσυνθετήσητε,
9 ἐγὼ διασκορπιῶ ὑμᾶς ἐν τοῖς λαοῖς· 9καὶ ἐὰν ἐπιστρέψητε πρὸς μέ,
καὶ φυλάξητε τὰς ἐντολάς μου καὶ ποιήσητε αὐτάς, ἐὰν ᾖ ἡ διασπορὰ
ὑμῶν ἀπ' ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν συνάξω αὐτούς, καὶ εἰσάξω αὐ-
τοὺς εἰς τὸν τόπον ὃν ἐξελεξάμην κατασκηνῶσαι τὸ ὄνομά μου ἐκεῖ.
10 10καὶ αὐτοὶ παῖδές σου καὶ λαός σου, οὓς ἐλυτρώσω ἐν τῇ δυνάμει
11 σου τῇ μεγάλῃ καὶ ἐν τῇ χειρί σου τῇ κραταιᾷ. 11μὴ δή, ἀλλ' ἔστω
τὸ οὖς σου προσέχον εἰς τὴν προσευχὴν τοῦ δούλου σου καὶ εἰς
τὴν προσευχὴν παίδων σου τῶν θελόντων φοβεῖσθαι τὸ ὄνομά
σου· καὶ εὐόδωσον δὴ τῷ παιδί σου σήμερον καὶ δὸς αὐτὸν εἰς
οἰκτειρμοὺς ἐνώπιον τοῦ ἀνδρὸς τούτου. καὶ ἐγὼ ἤμην εὐνοῦχος
(II) XII 1 τῷ βασιλεῖ. 1Καὶ ἐγένετο ἐν μηνὶ Νισὰν ἔτους εἰκοστοῦ
Ἀρσαθερθὰ βασιλεῖ καὶ ἦν οἶνος ἐνώπιον ἐμοῦ, καὶ ἔλαβον τὸν
2 οἶνον καὶ ἔδωκα τῷ βασιλεῖ, καὶ οὐκ ἦν ἕτερος ἐνώπιον αὐτοῦ, 2καὶ
εἶπέν μοι ὁ βασιλεύς Διὰ τί τὸ πρόσωπόν σου πονηρόν, καὶ οὐκ εἶ
μετριάζων; οὐκ ἔστιν τοῦτο εἰ μὴ πονηρία καρδίας. καὶ ἐφοβήθην
3 πολὺ σφόδρα, 3καὶ εἶπα τῷ βασιλεῖ Ὁ βασιλεὺς εἰς τὸν αἰῶνα
ζήτω. διὰ τί οὐ μὴ γένηται πονηρὸν τὸ πρόσωπόν μου, διότι ἡ
πόλις, οἶκος μνημείων πατέρων μου, ἠρημώθη καὶ αἱ πύλαι αὐτῆς
4 κατεβρώθησαν ἐν πυρί; 4καὶ εἶπέν μοι ὁ βασιλεύς Περὶ τίνος τοῦτο
5 συνζητεῖς; καὶ προσηυξάμην πρὸς τὸν θεὸν τοῦ οὐρανοῦ, 5καὶ εἶπα
τῷ βασιλεῖ Εἰ ἐπὶ τὸν βασιλέα ἀγαθόν, καὶ εἰ ἀγαθυνθήσεται ὁ παῖς
σου ἐνώπιόν σου ὥστε πέμψαι αὐτὸν εἰς Ἰουδά, εἰς πόλιν μνημείων
6 πατέρων μου, καὶ ἀνοικοδομήσω αὐτήν. 6καὶ εἶπέν μοι ὁ βασιλεὺς

6 πατρος] pr του ℵ **7** διελυσαμεν] εδιελυσαμεν ℵ* (improb ε 1° ℵ?) ℵA + προς σε ℵc.a mg A | παιδω A **8** τω M. παιδι σου] M. παιδι σ. ℵ τω π. σ. M. A | om λεγων ℵ* (hab ℵc.a mg) | αθετησητε ℵ* (ασυνθ. ℵc.a) **9** om η 2° ℵ* (superscr ℵc.a) | ουρανου]+εως ακρου του ουρανου ℵc.a mg sup | αυτους 1°] αυτου ℵ* (αυτους ℵc.a) | εισαξω] pr και ℵc.a **10** τη δυναμει] om τη ℵA | om τη μεγαλη ℵ* (hab ℵc.a mg) **11** δη]+κε μη αποστρεψης το προσωπον σου ℵc.a mg | οικτιρμους Bbℵ | om τουτου A | και εγω] καγω A | ευνουχος] οινοχοος ℵ* (ευν. ℵc.a)A XII **1** Νισα ℵ* (ν superscr ℵc.a) Νεισαν A | Αρσαθερθα] Αρσαρσαθα ℵ*c.b (ubique) Αρταξερξη ℵc.a Αρθασασθα A | βασιλει 1°] του βασιλεως ℵc.b ι 2° sup ras Aa? | οινος] pr ο ℵc.a (ras ℵc.b) A | αυτου]+και ημην σκυθρωπος ℵc.a mg sup **3** ειπα] ειπον ℵ | τους αιωνας ℵ | διοτι] δια τι A | μου 2°] σου ℵ* (μου ℵc.a) | om ηρημωθη ℵ*vid (hab ℵ? mg) | κατεβρωθησαν] και εβρ. Avid **4** συνζητεις] συ ζητεις B?ℵ (συζητις) | προσευξαμην A **5** om ει 1° ℵ* (hab ℵc.b(mg)) | επι] επισταμαι ℵc.a | ει 2°]+αγαθον επι τον βασιλεα και ℵc.a (ras ℵc.b)

Β καὶ ἡ παλλακὴ ἡ καθημένη ἐχόμενα αὐτοῦ Ἕως πότε ἔσται ἡ πορεία
σου, καὶ πότε ἐπιστρέψεις; καὶ ἠγαθύνθη ἐνώπιον τοῦ βασιλέως,
καὶ ἀπέστειλέν με, καὶ ἔδωκα αὐτῷ ὅρον. 7 καὶ εἶπα τῷ βασιλεῖ 7
Εἰ ἐπὶ τὸν βασιλέα ἀγαθόν, ἐπιστολὰς δότω μοι πρὸς τοὺς ἐπάρχους
πέραν τοῦ ποταμοῦ, ὥστε παραγαγεῖν με ἕως ἔλθω ἐπὶ Ἰουδά, 8 καὶ 8
ἐπιστολὴν ἐπὶ Ἀσὰφ φύλακα τοῦ παραδείσου ὃς ἐστιν τῷ βασιλεῖ,
ὥστε δοῦναί μοι ξύλα στεγάσαι τὰς πύλας καὶ εἰς τὸ τεῖχος τῆς
πόλεως καὶ εἰς οἶκον ὃν εἰσελεύσομαι εἰς αὐτόν. καὶ ἔδωκέν μοι ὁ
βασιλεύς, ὡς χεὶρ θεοῦ ἡ ἀγαθή.

9 Καὶ ἦλθον πρὸς τοὺς ἐπάρχους πέραν τοῦ ποταμοῦ, καὶ ἔδωκα 9
αὐτοῖς τὰς ἐπιστολὰς τοῦ βασιλέως· καὶ ἀπέστειλεν μετ' ἐμοῦ ὁ
βασιλεὺς ἀρχηγοὺς δυνάμεως καὶ ἱππεῖς. 10 καὶ ἤκουσεν Σαναβαλλὰτ 10
Ἀρωνεί, καὶ πονηρὸν αὐτοῖς ἐγένετο ὅτι ἥκει ἄνθρωπος ζητῆσαι ἀγα-
θὸν τοῖς υἱοῖς Ἰσραήλ. 11 καὶ ἦλθον εἰς Ἰερουσαλήμ, καὶ ἦμην ἐκεῖ 11
ἡμέρας τρεῖς. 12 καὶ ἀνέστην νυκτὸς ἐγὼ καὶ ἄνδρες ὀλίγοι μετ' ἐμοῦ, 12
καὶ οὐκ ἀπήγγειλα ἀνθρώπῳ τί ὁ θεὸς δίδωσιν εἰς καρδίαν μου τοῦ
ποιῆσαι μετὰ τοῦ Ἰσραήλ, καὶ κτῆνος οὐκ ἔστιν μετ' ἐμοῦ εἰ μὴ τὸ
κτῆνος ᾧ ἐγὼ ἐπιβαίνω ἐπ' αὐτῷ. 13 καὶ ἐξῆλθον ἐν πύλῃ τοῦ 13
γωληλὰ καὶ πρὸς στόμα πηγῆς τῶν συκῶν καὶ εἰς πύλην τῆς
κοπρίας· καὶ ἦμην συντρίβων ἐν τῷ τείχει Ἰερουσαλὴμ ὃ αὐτοὶ
καθαιροῦσιν, καὶ πύλαι αὐτῆς κατεβρώθησαν πυρί. 14 καὶ παρῆλθον 14
ἐπὶ πύλην τοῦ Αἰνὰ καὶ εἰς κολυμβήθραν τοῦ βασιλέως, καὶ οὐκ ἦν
τόπος τῷ κτήνει παρελθεῖν ὑποκάτω μου. 15 καὶ ἦμην ἀναβαίνων 15
ἐν τῷ τείχει χειμάρρους νυκτός, καὶ ἦμην συντρίβων ἐν τῷ τείχει·
καὶ ἦμην ἐν πύλῃ τῆς φάραγγος, καὶ ἐπέστρεψα. 16 καὶ οἱ φυλάσ- 16
σοντες οὐκ ἔγνωσαν τί ἐπορεύθην καὶ τί ἐγὼ ποιῶ· καὶ τοῖς Ἰουδαίοις
καὶ τοῖς ἱερεῦσιν καὶ τοῖς ἐντίμοις καὶ τοῖς καταλοίποις τοῖς ποιοῦσιν

ℵA **6** αυτου]+ινα τι καθησαι παρ εμοι ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | εως] pr και ℵ* (om ℵ$^{c.a}$) | πορεια] πορια ℵ παρου|σια A **7** om ει B* (hab B^{ab} [superscr] ℵA) | δοτω μοι επιστολας ℵA | εως]+ου ℵ$^{c.a}$ (superscr) | Ιουδαν ℵA **8** φυλακα του παραδεισου] τον φυλασσοντα τας ημιονους του βασιλεως και τον παραδεισον ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | μοι] μ sup ras A^{1} | πυλας]+της βαρεως του οικου ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) π sup ras A^{1} | οικον] pr τον ℵ | ον] pr εις ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | εις 3°] προς ℵ$^{c.a}$ (superscr) | θεου]+μου ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) **9** δυναμεως] pr της A **10** Σα|ναβαλατ ℵ | Αρωνει] pr ο B^{ab} Ανρωνει ℵ^{vid} ο Αρωνι A+Τωβια ο δουλος Αμμωνει B$^{ab\ mg}$+και Τ. ο δ. Αμμωνει· ℵ+και Τ. ο δ. ο Αμμωνι· A **12** απῆγειλα B | καρδιαν] pr την ℵ | εστιν] ην ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | μετ εμου (2°)]+αλλο ℵ$^{c.a}$ | ω] ο A **13** γωληλα]+νυκτος ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | προστομα BℵA | πυρι] pr εν ℵA **14** Αινα] Αιν A **15** χειμαρρου A | πυλη] pr τη ℵ **16** τι 1°] οτι ℵ | εντιμοις]+και τοις βασιλευσιν ℵ*+και τοις στρατηγοις ℵ$^{c.a\ mg\ sup}$A | om και τοις καταλοιποις ℵ* (hab ℵ$^{c.a\ mg\ sup}$)

17 τὰ ἔργα ἕως τότε οὐκ ἀπήγγειλα. 17καὶ εἶπα πρὸς αὐτούς Ὑμεῖς Β
βλέπετε τὴν πονηρίαν ἐν ᾗ ἐσμεν ἐν αὐτῇ, πῶς Ἰερουσαλὴμ ἔρημος
καὶ αἱ πύλαι αὐτῆς ἐδόθησαν πυρί· δεῦτε καὶ διοικοδομήσωμεν τὸ
18 τεῖχος Ἰερουσαλήμ, καὶ οὐκ ἐσόμεθα ἔτι ὄνειδος. 18καὶ ἀπήγγειλα
αὐτοῖς τὴν χεῖρα τοῦ θεοῦ ἥ ἐστιν ἀγαθὴ ἐπ' ἐμέ, καὶ πρὸς λόγους
τοῦ βασιλέως οὓς εἶπέν μοι· καὶ εἶπα Ἀναστῶμεν καὶ οἰκοδομή-
19 σωμεν. καὶ ἐκραταιώθησαν αἱ χεῖρες αὐτῶν εἰς ἀγαθόν. 19καὶ ἤ-
κουσεν Σαναβαλλὰτ ὁ Ἀρωνεὶ καὶ Τωβιὰ ὁ δοῦλος Ἀμμωνεὶ καὶ
Γῆσαμ ὁ Ἀραβεί, καὶ ἐξεγέλασαν ἡμᾶς, καὶ ἦλθον ἐφ' ἡμᾶς καὶ
εἶπαν Τί τὸ ῥῆμα τοῦτο ὑμεῖς ποιεῖτε; ἢ ἐπὶ τὸν βασιλέα ὑμεῖς
20 ἀποστατεῖτε; 20καὶ ἐπέστρεψα αὐτοῖς λόγον καὶ εἶπα αὐτοῖς Ὁ θεὸς
τοῦ οὐρανοῦ, αὐτὸς εὐοδώσει ἡμᾶς, καὶ ἡμεῖς δοῦλοι αὐτοῦ καθαροί,
καὶ οἰκοδομήσωμεν· καὶ ὑμῖν οὐκ ἔστιν μερὶς καὶ δικαιοσύνη καὶ
μνημόσυνον ἐν Ἰερουσαλήμ.

II) XIII 1 1Καὶ ἀνέστη Ἐλεισοὺβ ὁ ἱερεὺς ὁ μέγας καὶ οἱ ἀδελφοὶ αὐτοῦ οἱ
ἱερεῖς καὶ ᾠκοδόμησαν τὴν πύλην τὴν προβατικήν· αὐτοὶ ἡγίασαν
αὐτήν, καὶ ἔστησαν θύρας αὐτῆς, καὶ ἕως πύργου τῶν ἑκατὸν ἡγί-
2 ασαν, ἕως πύργου Ἀνανεήλ. 2καὶ ἐπὶ χεῖρας ἀνδρῶν υἱῶν Ἰερει-
3 χώ, καὶ ἐπὶ χεῖρας υἱῶν Ζαβαοὺρ υἱοῦ Ἀμαρεί. 3καὶ τὴν πύλην
τὴν ἰχθυηρὰν οἰκοδόμησαν υἱοὶ Ἀσάν· αὐτοὶ ἐστέγασαν αὐτήν, καὶ
4 ἐστέγασαν θύρας αὐτῆς καὶ κλεῖθρα αὐτῆς καὶ μοχλοὺς αὐτῆς. 4καὶ
ἐπὶ χεῖρα αὐτῶν κατέσχεν ἐπὶ Ῥαμὼθ υἱοῦ Οὐρεία υἱοῦ Ἀκώς. καὶ
5 ἐπὶ χεῖρα αὐτῶν κατέσχεν Σαδὼκ υἱὸς Βαανά. 5καὶ ἐπὶ χεῖρα αὐτῶν
κατέσχοσαν οἱ Θεκωείν, καὶ ἀδωρηὲμ οὐκ εἰσήνεγκαν τράχηλον αὐτῶν
6 εἰς δουλείαν αὐτῶν. 6καὶ τὴν πύλην Ἰσανὰ ἐκράτησαν Ἰοειαὰ υἱὸς

16 απηγγειλα] λ sup ras A^1 **17** διωκοδομησωμεν B^* (διοικοδ. $B^{ab}A$)] ℵA διοικοδομησομεν ℵ **18** εστιν] εστι sup ras A^1 | αγαθα ℵ* (αγαθη $ℵ^{c.a}$) | προς] τους ℵA **19** Σαλαβαλ|λατ ℵ | Αρωνι A | Τωβεια ℵA | ο Αμμωνει ℵ ο Αμμωνι A | Αραβι A | ηλθαν ℵ | ειπον A | υμεις 1°] pr ο $ℵ^{c.a\ vid}$A **20** ημας] ημιν ℵA | οικοδομησομεν ℵA | υμιν] ημιν ℵ* (υ superscr $ℵ^{c.a}$) XIII **1** Ελισουβ ℵA | αυτων ℵ* (αυτου $ℵ^{c.a}$) | οι ιερεις sup ras A^a | οικοδομησαν ℵ | αυτοι] in οι ras aliq B^1 pr και ℵ* (om $ℵ^1$) | om αυτην ℵ | πυργου 1°] πυργους B ℵ* (s improb $ℵ^1$) | Ανανεηλ] Ναεηλ ℵ Ανα|μεηλ A **2** υιων ανδρων A | Ιεριχω B^b | Ζαβαουρ] Ζαχχουρ ℵ Ζακ|χουρ A | Αμαρει] Μιαρι A **3** ιχθηραν ℵ* (ιχθυηρ. $ℵ^1$) | ωκοδομησαν B^{ab} ℵA | Ασαν] Ασα|ναα ℵ Ασανα A | αυτοι] pr και (sup ras) B^{ab} | εστεγασαν 2°] εστη|σαν A | θυρας] pr τας ℵ | κλειθρα] pr τα $ℵ^{c.a}$ (ras $ℵ^{c.b}$) **4** χειρα 1°] θυρας ℵ* χιρας $ℵ^{c.a\ vid}$ χειρας A | επι 2°] απο ℵA | Ουρια ℵA | Ακως] Ακκως A + και επι χειρα αυτω̄ κατεσχεν Μοσολ|λαμ'· υιος Βαραχιου| υιου Μασεζεβηα·| ℵ + και επει| χειρα αυτων κατεσχεν Μοσολ-λαμ'·| υιος Βαραχιου υιου Μασεζειηλ'·| (ζει sup ras) A | om και 2°...Βαανα A | Σαδουκ ℵ **5** κατεσχοσαν] κατεσχον A | Θεκωειμ ℵA | αδωρην A | αυτων 2°] εαυτων A | δουλιαν ℵA **6** Ισανα] του Λισανα ℵA | Ιοειαα] υιοι Εδα· ℵ Ιοειδα A

Β Φασὲκ καὶ Μεσουλὰμ υἱὸς Βαδιά· αὐτοὶ ἐστέγασαν αὐτήν, καὶ ἔστησαν θύρας αὐτῆς καὶ κλεῖθρα αὐτῆς καὶ μοχλοὺς αὐτῆς. [8]καὶ ἐπὶ 8
χεῖρα αὐτῶν ἐκράτησαν Ἀνανίας υἱὸς τοῦ Ἰωακείμ, καὶ κατέλιπον
Ἰερουσαλὴμ ἕως τείχους τοῦ πλατέως. [9]καὶ ἐπὶ χεῖρα αὐτῶν ἐκρά- 9
τησεν Ῥαφαιά, ἄρχων ἡμίσους περιχώρου Ἰερουσαλήμ. [10]καὶ ἐπὶ 10
χεῖρα αὐτῶν ἐκράτησεν Ἰεδαιὰ υἱὸς Ἐρωμάθ, καὶ κατέναντι οἰκίας
αὐτοῦ. καὶ ἐπὶ χεῖρα αὐτοῦ ἐκράτησεν Ἀτοὺθ υἱὸς Ἀσβανάμ. [11]καὶ 11
δεύτερος ἐκράτησεν Μελχείας υἱὸς Ἡρὰμ καὶ Ἀσοὺβ υἱὸς Φααβμωάβ,
καὶ ἕως πύργου τῶν ναθουρείμ. [12]καὶ ἐπὶ χεῖρα αὐτοῦ ἐκράτησεν 12
Σαλοὺμ υἱὸς Ἠλειά, ἄρχων ἡμίσους περιχώρου Ἰερουσαλήμ, αὐτὸς
καὶ αἱ θυγατέρες αὐτοῦ. [13]τὴν πύλην τῆς φάραγγος ἐκράτησαν 13
Ἀνοὺν καὶ οἱ κατοικοῦντες Ζανώ· αὐτοὶ ᾠκοδόμησαν αὐτήν, καὶ
ἔστησαν θύρας αὐτῆς καὶ κλεῖθρα αὐτῆς καὶ μοχλοὺς αὐτῆς, καὶ
χιλίους πήχεις ἐν τῷ τείχει ἕως πύλης τῆς κοπρίας. [14]καὶ τὴν 14
πύλην τῆς κοπρίας ἐκράτησεν Μελχειὰ υἱὸς Ῥηχάβ, ἄρχων περι-
χώρου Βηθαχάμ, αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ· καὶ ἐσκέπασαν αὐτήν,
καὶ ἔστησαν θύρας αὐτῆς καὶ κλεῖθρα αὐτῆς καὶ μοχλοὺς αὐτῆς.
[15]καὶ τὸ τεῖχος κολυμβήθρας τῶν κωδίων τῇ κουρᾷ τοῦ βασιλέως, 15
καὶ ἕως τῶν κλιμάκων τῶν καταβαινουσῶν ἀπὸ πόλεως Δανείδ.
[16]ὀπίσω αὐτοῦ ἐκράτησεν Νεεμίας υἱὸς Ἀζαβούχ, ἄρχων περιχώρου 16
Βησόρ, ἕως κήπου τάφου Δανεὶδ καὶ ἕως τῆς κολυμβήθρας τῆς γεγο-
νυίας καὶ ἕως Βηθαβαρείμ. [17]ὀπίσω αὐτοῦ ἐκράτησαν οἱ Λευεῖται, 17
Βασοὺθ υἱὸς Βανεί. ἐπὶ χεῖρα αὐτοῦ ἐκράτησεν Ἀσαβιά, ἄρχων ἡμί-
σους περιχώρου Κεειλά, τῷ περιχώρῳ αὐτοῦ. [18]μετ' αὐτὸν ἐκρά- 18

ℵA **6** Βαδια] Αβδεια ℵ Βασω·| Δια· A^{vid} | om και κλειθρα...αυτης 3° A | κλειθρα] pr τα ℵ$^{c.a}$ **8** επι χειρα] επει|ρα A | εκρατησεν ℵA | Ιωακειμ] Ρωκεειμ A | κατελειπον A | τειχους] pr του ℵA | πλαταιος A **9** αυτων] αυτου ℵ^{a} **10** Ιεδαια] Ιεδδεια ℵ | Ερωμαθ] Ειωμαθ ℵ Ερωμαφ A | om και 2° ℵ | οικια A | χειρα αυτου] χειρας αυτων ℵ* (χειρα αυτου ℵ$^{c.a}$) | Ατουθ] Αυτους A | Ασβαναμ] Ασβανεαμ B$^{ab\,(vid)}$ Ασβενεαμ ℵ Ασβανια A **11** δευτερος] δ sup ras A^{a} | Μελχεια ℵ | υιος 1°] pr ο ℵ | Ηραμ] Ηρμα A | Φααβμωαβ (μ sup ras B^{ab})] Φααθμωαβ A | ναθουρειμ] θαννουρειμ A **12** Σαλουμ] Οαλουμ ℵ Σαλλουμ A | Ηλεια] Αλλωης A | αυτου 2°] ου sup ras A? **13** φαραγγος·| εκρατησαν A | θυρας] pr τας ℵ | μοχλου ℵ | χιλιοι ℵ* (χιλιους ℵ$^{c.a}$) | τειχει] τειχ A (seq ras 2 litt) | εως] ως ℵ* (ε superscr ℵ$^{c.a}$) | πυλης] pr της ℵ*A **14** Βηθαχαμ] Βηθακαμ ℵ Βηθαχχαρμα A | μοχλου A* (s superscr A^{a}?) **15** κολυμβηθρα ℵ* (s superscr ℵ$^{c.a}$) | om κωδιων ℵ* (hab κωλιων ℵ$^{c.a\,mg}$) + θε|του Σιλωαμ ℵ **16** Νεεμειας ℵ | Αζαβουχ] Αζαβου ℵ Αζβουχ A | περιχωρου] pr ημισους ℵ$^{c.a\,mg}$ | Βησορ] Βηθ'σουρ A | Βηθαβαρειμ] Βηθ'αγγαρειμ ℵ* Βηθ'αγγαβαρειμ ℵ$^{c.a}$ (superscr βα) Βηθθαγααρειμ A **17** Λευιται ℵA | Βασουθ] Ραουμ ℵA | Βανει] Βαανει ℵ | Κεειλα] Καιει|λα ℵ | περιχωρω ℵ* (περιχωρου [ου sup ras] ℵ$^{c.a}$)

τησαν ἀδελφοὶ αὐτῶν Βεδεὶ υἱὸς Ἡναδαλάτ, ἄρχων ἡμίσους περι- Β
19 χώρου Κεειλά. 19 καὶ ἐκράτησεν ἐπὶ χεῖρα αὐτοῦ Ἄζουρ υἱὸς Ἰησοῦ,
ἄρχων τοῦ Μασφέ, μέτρον δεύτερον πύργου ἀναβάσεως τῆς συνα-
20 πτούσης τῆς γωνίας. 20 μετ' αὐτὸν ἐκράτησεν Βαρουχ υἱὸς Ζαβοὺ
μέτρον δεύτερον ἀπὸ τῆς γωνίας ἕως θύρας Βηθελισοὺβ τοῦ ἱερέως
21 τοῦ μεγάλου. 21 μετ' αὐτὸν ἐκράτησεν Μεραμὼθ υἱὸς Οὐρεία υἱοῦ
Ἀκὼβ μέτρον δεύτερον ἀπὸ θύρας Βηθελισοὺβ ἕως ἐκλείψεως Βηθε-
22 λεισούβ. 22 καὶ μετ' αὐτὸν ἐκράτησαν οἱ ἱερεῖς ἄνδρες ἀχεχάρ.
23 23 καὶ μετ' αὐτὸν ἐκράτησεν Βενιαμὶν καὶ Ἀσοὺβ κατέναντι οἴκου
αὐτῶν. μετ' αὐτὸν ἐκράτησεν Ἀζαριὰ υἱὸς Μαδασὴλ υἱὸς Ἀνανία
24 ἐχόμενα οἴκου αὐτοῦ. 24 μετ' αὐτὸν ἐκράτησεν Βανεὶ υἱὸς Ἡναδὰδ
μέτρον δεύτερον ἀπὸ Βηθαζαριὰ ἕως τῆς γωνίας καὶ ἕως τῆς καμπῆς.
25 25 Φαλὰλ υἱοῦ Εὐεὶ ἐξ ἐναντίας τῆς γωνίας, καὶ ὁ πύργος ὁ ἐξέχων
ἐκ τοῦ οἴκου τοῦ βασιλέως ὁ ἀνώτερος ὁ τῆς αὐλῆς τῆς φυλακῆς.
26 καὶ μετ' αὐτὸν Φαδαιὰ υἱὸς Φορός. 26 καὶ οἱ Καθεινεὶμ ἦσαν οἰ-
κοῦντες ἐν τῷ Ὤφαλ ἕως κήπου πύλης τοῦ ὕδατος εἰς ἀνατολάς·
27 καὶ ὁ πύργος ἐξέχων. 27 μετ' αὐτὸν ἐκράτησαν οἱ Θεκωεὶν μέτρον
δεύτερον ἐξ ἐναντίας τοῦ πύργου τοῦ μεγάλου τοῦ ἐξέχοντος καὶ ἕως
28 τοῦ τείχους Ὀφοαλ. 28 ἀνώτερον πύλης τῶν ἵππων ἐκράτησαν οἱ
29 ἱερεῖς, ἀνὴρ ἐξ ἐναντίας οἴκου αὐτοῦ. 29 μετ' αὐτὸν Σαδδοὺκ υἱὸς
Ἐμμὴρ ἐξ ἐναντίας οἴκου αὐτοῦ. καὶ μετ' αὐτὸν ἐκράτησεν Σαμαιὰ
30 υἱὸς Ἐχενιά, ὁ φύλαξ οἴκου τῆς ἀνατολῆς. 30 μετ' αὐτὸν ἐκράτησεν
Ἀνανιὰ υἱὸς Τελεμιὰ καὶ Ἀνοὺμ υἱὸς Σελὲ ἕκτος μέτρον δεύτερον.
μετ' αὐτὸν ἐκράτησεν Μεσουλὰμ υἱὸς Βαρχειὰ ἐξ ἐναντίας γαζοφυ-

18 Βεδει] Βεζερ ℵ Βενει A | Ηναδαδ A **19** Αζουρ ℵ* (Αζουρ ℵ$^{c.a}$) | ℵA
Μασφε] Μαμφε ℵ | της γωνιας] om της A **20** μετ'] pr και A | αυτου|
ℵ* (αυτ̄ο| ℵ$^{?\,vid}$) | Ζαβρου ℵ | Βηθελισουβ] Βηθαιλισουβ ℵ Βηθελει·| Ασσουβ A
21 Ουρεια] Σουρια ℵ Ουρια A | Ακωβ] Ακκως ℵA | μετρος A | om θυρας ℵ? |
Βηθελισουβ] Βηθαιλεισου ℵ Βηθελησουβας A | εκλειψεως] εκλιψεως ℵ εκθλι-
ψεως A | Βηθελεισουβ] Βηθαιλεισουβ ℵ Βηθελιασουβ A **22** αχεχαρ]
χεχαρ ℵ αχχεχξαρ A **23** Σουβ ℵ* Ασουβ ℵ^{1} (A superscr) | αυτων] ων
sup ras A$^{a\,?}$ | μετ 2°] pr και ℵ | Μαδασηλ] Μαασιου A | υιος 2°] υιου ℵ*
(υιος ℵ$^{c.a}$) A **24** μετ] pr και ℵ | Βηθαζαρεια ℵ **25** Φαλαλ] Φαλακ ℵ
Φαλαξ A | Ενει] Ευζαι A **26** Καθεινειμ] Ναθεινιμ ℵ Ναθινειμ A | εως|
κηπου πυλης εν| τω Ωφαλ ℵ | εξεχων] pr ο ℵA **27** Θεκωειμ A | του 2°] το
sup ras A^{1} | Οφοαλ] του Οφλα ℵ του Σοφλα A **28** αυτου] εαυτου ℵ
pr μετ A **29** μετ αυτον 1°]+εκρατησεν B^{ab} (superscr) ℵA | Σαδουχ ℵ |
αυτου] εαυτου ℵA | Σαμαια] Σεμεια ℵ | Εχενια] Σεχενια ℵA | ο φυλαξ
οικου] φυλαξ της πυλης ℵA **30** Τελεμια...Σελε] Τελεμιας·| και Ανουμ
υιος| Τελεμια· και Τελε|μιας υιος Σαλεφ' ℵ |Σεεμια· και Ανωμ'· υιος Σελεφ'·
A | εκτος] pr ο ℵ$^{c.a\,vid}$ (φ ο| εκτο ℵ$^{c.a}$) A | μετ 2°] pr και ℵ | Βαρχεια] Βαρια
A | γαζζοφυλακειου (sic) ℵ

Β λακίου αὐτοῦ. 31 μετ᾽ αὐτὸν ἐκράτησεν Μελχειὰ υἱὸς τοῦ Σαραφεὶ ἕως 31
Βηθαναθείμ, καὶ οἱ ῥοποπῶλαι ἀπέναντι πύλης τοῦ Μαφεκὰδ καὶ ἕως
ἀνὰ μέσον τῆς καμπῆς. 32 καὶ ἀνὰ μέσον ἀναβάσεως τῆς πύλης τῆς 32
προβατικῆς ἐκράτησαν οἱ χαλκεῖς καὶ οἱ ῥοποπῶλαι.

1 Καὶ ἐγένετο ἡνίκα ἤκουσεν Ἀναβαλλὰτ ὅτι ἡμεῖς οἰκοδομοῦ- 1 (33) XIV
μεν τὸ τεῖχος, καὶ πονηρὸν αὐτῷ ἐφάνη, καὶ ὠργίσθη ἐπὶ πολύ,
καὶ ἐξεγέλα ἐπὶ τοῖς Ἰουδαίοις. 2 καὶ εἶπεν ἐνώπιον τῶν ἀδελ- 2 (34)
φῶν αὐτοῦ Αὕτη ἡ δύναμις Σομορών, ὅτι οἱ Ἰουδαῖοι οὗτοι
οἰκοδομοῦσιν τὴν ἑαυτῶν πόλιν; 3 καὶ Τωβίας ὁ Ἀμμανείτης 3 (35)
ἐχόμενα αὐτοῦ ἦλθεν· καὶ εἶπαν πρὸς ἑαυτούς Μὴ θυσιάσουσιν ἢ
φάγονται ἐπὶ τοῦ τόπου αὐτῶν; οὐχὶ ἀναβήσεται ἀλώπηξ καὶ
καθελεῖ τὸ τεῖχος λίθων αὐτῶν; 4 ἄκουσον ὁ θεὸς ἡμῶν, ὅτι ἐγε- 4 (36)
νήθημεν εἰς μυκτηρισμόν, 5 καὶ ἐπίστρεψον ὀνειδισμὸν αὐτῶν εἰς 5 (37)
κεφαλὴν αὐτῶν, καὶ δὸς αὐτοὺς εἰς μυκτηρισμὸν ἐν γῇ αἰχμαλω-
σίας, 6 καὶ μὴ καλύψῃς ἐπὶ ἀνομίαν. 7 Καὶ ἐγένετο ὡς ἤκου- 6 (38)
σεν Σαναβαλλὰτ καὶ Τωβιὰ καὶ οἱ Ἄραβες καὶ οἱ Ἀμμανεῖται ὅτι 7 (1) (IV)
ἀνέβη ἡ φυὴ τοῖς τείχεσιν Ἰερουσαλήμ, ὅτι ἤρξαντο αἱ διασφαγαὶ
ἀναφράσσεσθαι, καὶ πονηρὸν αὐτοῖς ἐφάνη σφόδρα. 8 καὶ συνή- 8 (2)
χθησαν πάντες ἐπὶ τὸ αὐτὸ ἐλθεῖν παρατάξασθαι ἐν Ἰερουσαλήμ.
9 καὶ προσηυξάμεθα πρὸς τὸν θεὸν ἡμῶν, καὶ ἐστήσαμεν προφύ- 9 (3)
λακας ἐπ᾽ αὐτοὺς ἡμέρας καὶ νυκτὸς ἀπὸ προσώπου αὐτῶν. 10 καὶ 10 (4)
εἶπεν Ἰούδας Συνετρίβη ἡ ἰσχὺς τῶν ἐχθρῶν, καὶ ὄχλος πολύς,
καὶ ἡμεῖς οὐ δυνησόμεθα οἰκοδομεῖν ἐν τῷ τείχει. 11 καὶ εἶπαν 11 (5)
οἱ θλίβοντες ἡμᾶς Οὐ γνώσονται καὶ οὐκ ὄψονται ἕως ὅτου ἔλθω-
μεν εἰς μέσον αὐτῶν καὶ φονεύσωμεν αὐτοὺς καὶ καταπαύσωμεν
τὸ ἔργον. 12 καὶ ἐγένετο ὡς ἦλθοσαν οἱ Ἰουδαῖοι οἱ οἰκοῦντες 12 (6)
ἐχόμενα αὐτῶν, καὶ εἶποσαν ἡμῖν Ἀναβαίνουσιν ἐκ πάντων τῶν
τόπων ἐφ᾽ ἡμᾶς· 13 καὶ ἔστησα εἰς τὰ κατώτατα τοῦ τόπου κατό- 13 (7)

ℵA **31** Μελχια A | Σαραφει] Σεραφειν ℵ Σαρεφι A | Βηθαναθειμ] Βηθαναθιω ℵ*vid του Βηθαναθι ℵc.a Βηθανναθινιμ A | ροποπωλαι ℵc.a vid A (item 32) | Μαφεκαδ] Μαφεθαδ ℵ | ανα μεσον] αναβασεως ℵA **32** αναβασεως] pr της ℵc.a (superscr) om A XIV **1** Σαναβαλλατ A | οτι]+ο ℵ* (improb ℵ?) | αυτω εφανη] ην αυτω ℵA **3** Τωβις ℵ* (a superscr ℵc.a) | Αμμανιτης ℵA | αυτοι ℵ* vid (αυτου ℵ?) | ειπεν ℵ **5** αυτους] αυτοις A | μυκτηρισμον] ονειδισμον ℵc.a mg **6** ανομια ℵ **7** Σαναβαλατ ℵ | Αμμανιται ℵ+ς οι A ζωτιοι ℵc.a mg inf | η φυη] om η ℵ **8** παραταξασθαι] pr και A | εν] εις ℵ **10** οχλος Bℵ* (υ superscr ℵc.a)] ο χους A | om ημεις ℵ* (hab ℵc.a mg) **11** om ου ℵ* (superscr ℵc.a) **12** οι οικουντες] om οι ℵ* (superscr ℵc.a) | ειποσαν] ειπον A | om παντων ℵ* (hab ℵc.a mg) | τοπων] + επιστρε|ψετε ℵc.a (mg) (seq ras 6 fere litt in ℵ) παντων (sic) A | εφ ημας] εφ ημερας ℵ*vid (εις ημας ℵc.b) **13** εστησαν ℵ (bis)

πισθεν τοῦ τείχους ἐν τοῖς σκεπεινοῖς, καὶ ἔστησα τὸν λαὸν Β
κατὰ δήμους μετὰ ῥομφαιῶν αὐτῶν, λόγχας αὐτῶν καὶ τόξα
(8) 14 αὐτῶν. [14]καὶ εἶδον, καὶ ἀνέστην καὶ εἶπα πρὸς τοὺς ἐντίμους
καὶ πρὸς τοὺς καταλοίπους τοῦ λαοῦ Μὴ φοβηθῆτε ἀπὸ προσ-
ώπου αὐτῶν· μνήσθητε τοῦ θεοῦ ἡμῶν τοῦ μεγάλου καὶ φοβεροῦ,
καὶ παρατάξασθε περὶ τῶν ἀδελφῶν ὑμῶν, υἱῶν ὑμῶν, θυγατέ-
(9) 15 ρων ὑμῶν, γυναικῶν ὑμῶν καὶ οἴκων ὑμῶν. [15]καὶ ἐγένετο ἡνίκα
ἤκουσαν οἱ ἐχθροὶ ἡμῶν ὅτι ἐγνώσθη ἡμῖν, καὶ διεσκέδασεν ὁ
θεὸς τὴν βουλὴν αὐτῶν· καὶ ἐπεστρέψαμεν πάντες ἡμεῖς εἰς τὸ
(10) 16 τεῖχος, ἀνὴρ εἰς τὸ ἔργον αὐτοῦ. [16]καὶ ἐγένετο ἀπὸ τῆς ἡμέρας
ἐκείνης ἥμισυ τῶν ἐκτετιναγμένων ἐποίουν τὸ ἔργον, καὶ ἥμισυ
αὐτῶν ἀντείχοντο, καὶ λόγχαι καὶ θυρεοὶ καὶ τὰ τόξα καὶ οἱ
(11) 17 θώρακες καὶ οἱ ἄρχοντες ὀπίσω παντὸς οἴκου Ἰούδα [17]τῶν οἰκο-
δομούντων ἐν τῷ τείχει. καὶ οἱ αἴροντες ἐν τοῖς ἀρτῆρσιν ἐν
ὅπλοις· ἐν μιᾷ χειρὶ ἐποίει αὐτὸ τὸ ἔργον, καὶ μιᾷ ἐκρατει τὴν
(12) 18 βολίδα. [18]καὶ οἰκοδόμοι, ἀνὴρ ῥομφαίαν αὐτοῦ ἐζωσμένος ἐπὶ
ὀσφὺν αὐτοῦ, καὶ οἰκοδομοῦσαν· καὶ ὁ σαλπίζων ἐν τῇ κερατίνῃ
(13) 19 ἐχόμενα αὐτοῦ. [19]καὶ εἶπα πρὸς τοὺς ἐντίμους καὶ πρὸς τοὺς
ἄρχοντας καὶ πρὸς τοὺς καταλοίπους τοῦ λαοῦ Τὸ ἔργον πλατὺ
καὶ πολύ, καὶ ἡμεῖς σκορπιζόμεθα ἐπὶ τοῦ τείχους μακρὰν ἀνὴρ
(14) 20 ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ. [20]ἐν τόπῳ οὗ ἐὰν ἀκούσητε τὴν φωνὴν
τῆς κερατίνης, ἐκεῖ συναχθήσεσθε πρὸς ἡμᾶς, καὶ ὁ θεὸς ἡμῶν
(15) 21 πολεμήσει περὶ ἡμῶν. [21]καὶ ἡμεῖς ποιοῦντες τὸ ἔργον, καὶ ἥμισυ
αὐτῶν κρατοῦντες τὰς λόγχας ἀπὸ ἀναβάσεως ἕως τοῦ ὄρθρου,
(16) 22 ἕως ἐξόδου τῶν ἄστρων. [22]καὶ ἐν τῷ καιρῷ ἐκείνῳ εἶπα τῷ λαῷ
Αὐλίσθητε ἐν μέσῳ Ἰερουσαλήμ, καὶ ἔστω ὑμῖν ἡ νὺξ προφυ-
(17) 23 λακή, καὶ ἡ ἡμέρα ἔργον. [23]καὶ ἤμην ἐγὼ καὶ οἱ ἄνδρες τῆς

13 τοις] + δι|ακοσιοι εικοσι ℵ* (improb ℵ²) | σκεπεινοις] + οπου ευεπιβατα ℵA
ην ℵ* (improb ℵ²) | αυτων 1°] εαυτων A | τοξα] pr τα ℵ$^{c.a\ mg\ vid}$ | αυτων 3°]
εαυτων A$^{*\ vid}$ (ras ε A²) **14** ιδον A | ανεστη ℵ* (ν superscr ℵ$^{c.a}$) | ειπα]
ειπον ℵA | και 4°] + προς τους στρατηγους κ ℵ$^{c.a\ (mgg)}$A | om μη ℵ$^{*\ vid}$
(hab ℵ$^{c.a\ (mg)}$) | θυγατερων] pr και A | οικων] οικιων ℵ **15** ηκουσαν]
εγνωσαν A **16** εκτετιναγμενων] εκτεταγμενων ℵA | αντειχοντο] αντι-
χον ℵ$^{c.a\ vid}$ | λονχαι A | τα τοξα] το ταξα A **17** αιροντες] διαιροντες
ℵ | αυτο] αυτου ℵ$^{c.a}$ (υ 2° superscr) εαυτου A | μια 2°] pr εν ℵA | βολιδαν
ℵ* (ν improb ℵ²) **18** οικοδομοι] pr οι ℵA | αυτου 1°] εαυτου A | οσφυν] οσ-
φυος ℵ pr την A | αυτου 2°] εαυτου ℵA | ωκοδομουσαν ℵA | αυτου 3°] εαυτου ℵ
19 αρχοντας] pr ενδοξους ℵ* (improb ℵ²) **20** συναχθησεσθαι ℵA | πολεμη-
σει] + το εργον ℵ* (improb ℵ²) **21** ημεις] ημις ℵ ημισυ A | κρατουντες] pr
οι ℵ | om εως 1° B$^{1\text{?}a\text{?}b}$ℵA

Β προφυλακῆς ὀπίσω μου, καὶ οὐκ ἦν ἐξ ἡμῶν ἐκδιδυσκόμενος ἀνὴρ τὰ ἱμάτια αὐτοῦ.

[1]Καὶ ἦν κραυγὴ τοῦ λαοῦ καὶ γυναικῶν αὐτῶν μεγάλη πρὸς τοὺς 1 XV (V)
ἀδελφοὺς αὐτῶν τοὺς Ἰουδαίους. [2]καὶ ἦσάν τινες λέγοντες Ἐν υἱοῖς 2
ἡμῶν καὶ ἐν θυγατράσιν ἡμῶν ἡμεῖς πολλοί· καὶ λημψόμεθα σῖτον,
καὶ φαγόμεθα καὶ ζησόμεθα. [3]καὶ εἰσίν τινες λέγοντες Ἀγροὶ ἡμῶν 3
καὶ ἀμπελῶνες ἡμῶν καὶ οἰκίαι ἡμῶν, ἡμεῖς διεγγυῶμεν· καὶ λημψό-
μεθα σῖτον καὶ φαγόμεθα. [4]καὶ εἰσίν τινες λέγοντες Ἐδανισάμεθα 4
ἀργύριον εἰς φόρους τοῦ βασιλέως, ἀγροὶ ἡμῶν καὶ ἀμπελῶνες ἡμῶν
καὶ οἰκίαι ἡμῶν. [5]νῦν ὡς σὰρξ ἀδελφῶν ἡμῶν σὰρξ ἡμῶν, ὡς υἱοὶ 5
ἡμῶν υἱοὶ αὐτῶν· καὶ ἰδοὺ ἡμεῖς καταδυναστεύομεν τοὺς υἱοὺς ἡμῶν
καὶ τὰς θυγατέρας ἡμῶν εἰς δούλας, καὶ εἰσὶν ἀπὸ θυγατέρων
ἡμῶν καταδυναστευόμεναι· καὶ οὐκ ἔστιν δύναμις χειρὸς ἡμῶν, καὶ
ἀγροὶ ἡμῶν καὶ ἀμπελῶνες ἡμῶν τοῖς ἐντίμοις. [6]καὶ ἐλυπήθην 6
σφόδρα καθὼς ἤκουσα τὴν κραυγὴν αὐτῶν καὶ τοὺς λόγους τούτους.
[7]καὶ ἐβουλεύσατο καρδία μου ἐπ᾽ ἐμέ, καὶ ἐμαχεσάμην πρὸς τοὺς 7
ἐντίμους καὶ τοὺς ἄρχοντας καὶ εἶπα αὐτοῖς Ἀπαιτήσει ὁ ἀνὴρ τὸν
ἀδελφὸν αὐτοῦ ὑμεῖς ἀπαιτεῖτε· καὶ ἔδωκα ἐπ᾽ αὐτοὺς ἐκκλησίαν
μεγάλην, [8]καὶ εἶπα αὐτοῖς Ἡμεῖς κεκτήμεθα τοὺς ἀδελφοὺς ἡμῶν 8
τοὺς Ἰουδαίους τοὺς πωλουμένους τοῖς ἔθνεσιν ἐν ἑκουσίῳ ἡμῶν·
καὶ ὑμεῖς πωλεῖτε τοὺς ἀδελφοὺς ἡμῶν; καὶ ἡσύχασαν καὶ οὐχ εὗρο-
σαν λόγον. [9]καὶ εἶπα Οὐκ ἀγαθὸς λόγος ὃν ὑμεῖς ποιεῖτε· οὐχ οὕτως 9
ἐν φόβῳ θεοῦ ἡμῶν ἀπελεύσεσθε ἀπὸ ὀνειδισμοῦ τῶν ἐχθρῶν ἡμῶν.
[10]καὶ οἱ ἀδελφοί μου καὶ οἱ γνωστοί μου καὶ ἐγὼ ἐθήκαμεν αὐτοῖς 10
ἀργύριον καὶ σῖτον, ἐνκατελίπομεν δὲ τὴν ἀπαίτησιν ταύτην. [11]ἐπι- 11
στρέψατε δὴ αὐτοὶ ὡς σήμερον ἀγροὺς αὐτῶν, ἀμπελῶνας αὐτῶν,
ἐλαίας αὐτῶν καὶ οἰκίας αὐτῶν, καὶ ἀπὸ τοῦ ἀργυρίου τὸν σῖτον
καὶ τὸν οἶνον καὶ ἐξενέγκατε ἑαυτοῖς. [12]καὶ εἶπαν Ἀποδώσομεν 12

ℵA **23** οπισω] pr οι ℵ$^{c.a}$ (superscr) | om εξ ημων ℵ* (superscr ℵ$^{c.a}$) | αυτου] εαυτου ℵ$^{a?}$A XV **1** αυτων 2°] εαυτων ℵA **2** αγομεθα ℵ* (φ superscr ℵ$^{c.a}$) **3** αγροι] εν υιοις ℵ* (improb ℵ$^{?}$ superscr αγροι ℵ$^{c.a}$) **4** εδανεισαμεθα B$^{a?b}$ **5** νυν] pr και A | υιοι αυτων υιοι υμων A | τοις υιοις A | om και τας θυγατερας ημων ℵ* (hab ℵ$^{c.a\ mg\ inf}$) | δουλας] δουλους ℵA | χειρος] χειρων ℵ* (χειρος ℵ$^{c.a}$) A **6** ελυπηθησαν A* (σα ras A$^{?}$) **7** ειπα] ειπον A | ο ανηρ] om ο A | αυτου] εαυτου ℵA **8** ειπα] ειπον A | ημεις] υμεις B* (ημ. B^{ab}) | τοις πωλ. ℵ* vid | υμεις] ημεις A | ημων 3°] υμων ℵ$^{c.a}$ A **9** λογος] pr ο ℵA | απελευσεσθε] επελευσεσθαι ℵ απελευσεσθαι A | εχθρων] pr εθνω| των ℵ$^{c.a\ (mgg)}$ **10** αυτοις] εαυτοις ℵA | εγκατελιπομεν B^{b} εγκατελειπομεν A | δε] δη B^{ab}ℵA **11** αυτοι] αυτοις ℵA | σημερον] η ημερον A | αμπελωνας] pr και ℵA | ελαιας] ελαιωνας ℵ$^{c.a}$A pr και ℵ | οινον]+και το ελαιον ℵ$^{c.a\ mg}$ A | om και 4° A

καὶ παρ᾽ αὐτῶν οὐ ζητήσομεν· οὕτως ποιήσομεν καθὼς σὺ λέγεις. Β
καὶ ἐκάλεσα τοὺς ἱερεῖς καὶ ὥρκισα αὐτοὺς ποιῆσαι ὡς τὸ ῥῆμα τοῦτο.
13 [13]καὶ τὴν ἀναβολήν μου ἐξετίναξα καὶ εἶπα Οὕτως ἐκτινάξαι ὁ θεὸς
πάντα ἄνδρα ὃς οὐ στήσει τὸν λόγον τοῦτον ἐκ τοῦ οἴκου αὐτοῦ
καὶ ἐκ κόπου αὐτοῦ, καὶ ἔσται οὕτως ἐκτετιναγμένος καὶ κενός. καὶ
εἶπεν πᾶσα ἡ ἐκκλησία Ἀμήν, καὶ ᾔνεσαν τὸν κύριον· καὶ ἐποίησεν
14 ὁ λαὸς τὸ ῥῆμα τοῦτο. [14]Ἀπὸ ἡμέρας ἧς ἐνετείλατό μοι εἶναι
εἰς ἄρχοντα αὐτῶν ἐν γῇ Ἰούδα, ἀπὸ ἔτους εἰκοστοῦ καὶ ἕως ἔτους
τριακοστοῦ καὶ δευτέρου τῷ Ἀρσεναθά, ἔτη δώδεκα, ἐγὼ καὶ οἱ
15 ἀδελφοὶ ἡμῶν βίαν αὐτῶν οὐκ ἔφαγον. [15]καὶ τὰς βίας τὰς πρώτας ἃς
πρὸ ἐμοῦ ἐβάρυναν ἐπ᾽ αὐτούς, καὶ ἐλάβοσαν παρ᾽ αὐτῶν ἐν ἄρτοις
καὶ ἐν οἴνῳ ἔσχατον ἀργύριον, δίδραχμα τεσσεράκοντα, καὶ οἱ ἐκτετι-
ναγμένοι αὐτῶν ἐξουσιάζονται ἐπὶ τὸν λαόν· καὶ ἐγὼ οὐκ ἐποίησα
16 οὕτως ἀπὸ προσώπου φόβου θεοῦ. [16]καὶ ἐν ἔργῳ τοῦ τείχους τούτων
οὐκ ἐκράτησα, ἀγρὸν οὐκ ἐκτησάμην· καὶ πάντες οἱ συνηγμένοι ἐκεῖ
17 ἐπὶ τὸ ἔργον. [17]καὶ οἱ Ἰουδαῖοι ἑκατὸν καὶ πεντήκοντα ἄνδρες, καὶ
ἐρχόμενοι πρὸς ἡμᾶς ἀπὸ τῶν ἐθνῶν τῶν κύκλῳ ἡμῶν ἐπὶ τράπεζάν
18 μου. [18]καὶ ἦν γινόμενον εἰς ἡμέραν μίαν μόσχος εἷς, καὶ πρόβατα
ἐκλεκτὰ καὶ χίμαρος ἐγίνοντό μοι, καὶ ἀνὰ μέσον δέκα ἡμερῶν ἐν
πᾶσιν οἶνος τῷ πλήθει· καὶ σὺν τούτοις ἄρτους τῆς βίας οὐκ ἐζήτησα,
19 ὅτι βαρεῖα ἡ δουλία ἐπὶ τὸν λαὸν τοῦτον. [19]μνήσθητί μου ὁ θεὸς
εἰς ἀγαθὸν πάντα ὅσα ἐποίησα τῷ λαῷ τούτῳ.

VI) XVI 1 [1]Καὶ ἐγένετο καθὼς ἠκούσθη τῷ Σαναβαλλὰτ καὶ Τωβίᾳ καὶ τῷ
Γῆσαμ τῷ Ἀραβὶ καὶ τοῖς καταλοίποις ἐχθροῖς ἡμῶν ὅτι ᾠκοδομήθη
τὸ τεῖχος, καὶ οὐ κατελείφθη ἐν αὐτοῖς πνοή. ἕως τοῦ καιροῦ ἐκείνου
2 θύρας οὐκ ἐπέστησα ἐν ταῖς πύλαις. [2]καὶ ἀπέστειλεν Σαναβαλλὰτ καὶ
Γῆσαμ πρὸς μὲ λέγων Δεῦρο καὶ συναχθῶμεν ἐπὶ τὸ αὐτὸ ἐν ταῖς
κώμαις ἐν πεδίῳ Ἐνώ· καὶ αὐτοὶ λογιζόμενοι ποιῆσαί μοι πονηρίαν.

12 καθως συ λεγεις] καθως οι λεγοντες ℵ* κ. σοι λεγεις ℵ[a] **13** εξετι- ℵA
ναξα] εξετεινα ℵ* εξετειναξα ℵ[c.a] | ειπα] ειπον A | τον κυριον] τον λογον κν̄ ℵ[c.a] | το ρημα τουτο] τον λογον τουτον ℵ[c.a mg] **14** απο 1°] pr και γε ℵ[c.a mg vid] | ημερας] pr της ℵ* (improb ℵ[c.a vid]) A | Αρσεναθα] Σαρσαθα ℵ Αρθασασθαι A+τω βασιλει ℵ[c.a mg] | ημων] μου ℵA **15** ελαβον ℵ* (ελαβοσαν ℵ[c.a]) | εν αρτοις B ℵ[c.a]] αρτον ℵ* εν αυτοις A | om εν 2° ℵ* (hab ℵ[c.a]) | διδραγμα A | τεσσαρακοντα B[?]A | εκτεταγμενοι ℵ* (εκτετιναγμ. ℵ[c.a]) | και εγω] καγω A **17** om και 2° ℵA | εχομενοι ℵ* (ερχ. ℵ[c.a]) **18** γιγνομενον A | om μιαν ℵ* (hab ℵ[a? mg]) | προβατα] + εξ ℵA | δεκα] pr των A | αρτος A | δουλεια B[a? b]A XVI **1** Αραβει B[a? b] ℵ | εχθροις] των εχθρων ℵA | ωκοδομηθη] ωκοδομησα ℵ[c.a]A | om εν 1° A | εως] pr και γε ℵ[c.a] (superscr) A | λαου ℵ* (καιρου ℵ[c.a]) | εν 2°] επι ℵ* (improb ℵ[c.a]) **2** Ενω] Ωνα ℵA | μοι ποιησαι A

Β [3]καὶ ἀπέστειλα ἐπ᾽ αὐτοὺς ἀγγέλους λέγων Ἔργον μέγα ἐγὼ ποιῶ, 3
καὶ οὐ δυνήσομαι καταβῆναι, μή ποτε καταπαύσῃ τὸ ἔργον· ὡς ἂν
τελειώσω αὐτό, καταβήσομαι πρὸς ὑμᾶς. [4]καὶ ἀπέστειλαν πρὸς 4
μὲ ὡς τὸ ῥῆμα τοῦτο, καὶ ἀπέστειλα αὐτοῖς κατὰ ταῦτα. [5]καὶ ἀπέ- 5
στειλεν πρὸς μὲ Σαναβαλλὰτ τὸν παῖδα αὐτοῦ, καὶ ἐπιστολὴν ἀνεω-
γμένην ἐν χειρὶ αὐτοῦ. [6]καὶ ἦν γεγραμμένον ἐν αὐτῇ Ἐν ἔθνεσιν 6
ἠκούσθη ὅτι σὺ καὶ οἱ Ἰουδαῖοι λογίζεσθε ἀποστατῆσαι· διὰ τοῦτο
οἰκοδομεῖς τὸ τεῖχος, καὶ σὺ ἔσῃ αὐτοῖς εἰς βασιλέα. [7]καὶ πρὸς 7
τούτοις προφήτας ἔστησας σεαυτῷ, ἵνα καθίσῃς ἐν Ἰερουσαλὴμ εἰς
βασιλέα ἐπὶ Ἰούδᾳ· καὶ νῦν ἀπαγγελήσονται τῷ βασιλεῖ οἱ λόγοι
οὗτοι. καὶ νῦν δεῦρο βουλευσώμεθα ἐπὶ τὸ αὐτό. [8]καὶ ἀπέστειλα 8
πρὸς αὐτὸν λέγων Οὐκ ἐγενήθη ὡς οἱ λόγοι οὗτοι οὓς σὺ λέγεις·
ὅτι ἀπὸ καρδίας σου σὺ ψεύδῃ αὐτούς. [9]ὅτι πάντες φοβερίζουσιν 9
ἡμᾶς λέγοντες Ἐκλυθήσονται χεῖρες αὐτῶν ἀπὸ τοῦ ἔργου τούτου,
καὶ οὐ ποιηθήσεται· καὶ νῦν ἐκραταίωσα τὰς χεῖράς μου. [10]Καὶ 10
ἐγὼ εἰσῆλθον εἰς οἶκον Σεμεεὶ υἱοῦ Δαλεά, υἱὸν Μειταήλ, αὐτὸς συνε-
χόμενος· καὶ εἶπεν Συναχθῶμεν εἰς οἶκον τοῦ θεοῦ ἐν μέσῳ αὐτοῦ
καὶ κλείσωμεν τὰς θύρας αὐτοῦ, ὅτι ἔρχονται νυκτὸς φονεῦσαί σε.
[11]καὶ εἶπα Τίς ἐστιν ὁ ἀνὴρ ὃς εἰσελεύσεται εἰς τὸν οἶκον καὶ ζήσεται; 11
[12]καὶ ἐπέγνων, καὶ ἰδοὺ ὁ θεὸς οὐκ ἀπέστειλεν αὐτόν, ὅτι ἡ προφητεία 12
λόγος κατ᾽ ἐμοῦ· καὶ Τωβιὰ καὶ Σαναβαλλὰτ ἐμισθώσαντο [13]ἐπ᾽ ἐμὲ 13
ὄχλον, ὅπως φοβηθῶ καὶ ποιήσω οὕτως καὶ ἁμάρτω καὶ γένωμαι
αὐτοῖς εἰς ὄνομα πονηρόν, ὅπως ὀνειδίσωσίν με. [14]μνήσθητι ὁ θεὸς 14
Τωβία καὶ Ἀναβαλλάτ, ὡς τὰ ποιήματα αὐτοῦ ταῦτα· καὶ τῷ Νοαδίᾳ
τῷ προφήτῃ καὶ καταλοίποις τῶν ἱερέων οἳ ἦσαν φοβερίζοντές
με. [15]καὶ ἐτελέσθη τὸ τεῖχος πέμπτῃ καὶ εἰκάδι τοῦ Ἐδοὺδ εἰς 15

ℵA **3** επ] προς ℵ* (επ ℵ$^{c.a\ mg}$) | αγγελους] αγγε sup ras 5 forte litt A^{1} **4** om και απεστειλαν...τουτο A **5** απεστιλαν ℵ* (απεστιλεν ℵ$^{c.a}$) | Σαναβαλλατ] + κατα τον λογον τουτον το πεμπτον ℵ$^{c.a\ mg}$ | αυτου I^{o}] εαυτου A **6** ηκουσθη] + ⸗ Γοσεμ᾽ ειπεν ℵ$^{c.a\ mg}$ | om οτι συ A | τουτο] τι A | οικοδομεις] pr συ ℵA | εση] γωη ℵ γιγνη A **7** επι] εν ℵA **8** απεστειλα Β^{ab} ℵ$^{c.a}$ (απεστιλα) A] απεστειλας B* απεστιλεν ℵ* ^{vid} | ους B ℵ$^{c.a}$] ως ℵ*A | om συ 2^{o} ℵ* (superscr ℵ$^{c.a}$) **9** φοβερουσιν ℵ* (φοβεριζουσιν ℵ$^{c.a}$) | χειρες] χειρας ℵ* (χειρες [ε sup ras] ℵ$^{c.a}$) pr αι A | om νυν ℵ$^{c.a}$ **10** και εγω] καγω A | Σεμει A | Δαλαια ℵA | υιον] υιου ℵ$^{c.a}$ | Μειταηλ] Μιταηλ ℵ Μεταβεηλ A | αυτος] pr ⸗ Β$^{ab\ mg}$ℵA | φονευσαι σε νυκτος ℵ$^{c.a\ vid}$ **11** ειπα] ειπαν ℵ ειπον A | ανηρ] + οιος εγω φευξεται| η τις οιος εγω ℵ$^{c.a\ mg}$ + οιος ε. φ.| η τις οιος ο ανηρ A | ζησεται] + ουκ εισελευσομαι: ℵ$^{c.a\ (mg)}$ **12** προφητια ℵA | Τωβιας ℵA **13** επ εμε] επε A **14** Αναβαλλατ] Σαναβ. Β^{ab} τω Σαναβαλλατ ℵA | Νωαδια A | καταλοιποις] pr τοις ℵA | ιερεων] προφητων ℵ$^{c.a}$ (προφητ sup ras) A **15** post τειχος seq χ| in ℵ* | Εδουδ] Ελουλ Β^{b}ℵA^{vid} + μηνος ℵ

16 πεντήκοντα καὶ δύο ἡμέρας. 16καὶ ἐγένετο ἡνίκα ἤκουσαν οἱ ἐχθροὶ Β
ἡμῶν, καὶ ἐφοβήθησαν πάντα τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν, καὶ ἐπέπεσεν
φόβος σφόδρα ἐν ὀφθαλμοῖς αὐτῶν, καὶ ἔγνωσαν ὅτι παρὰ τοῦ θεοῦ
17 ἡμῶν ἐγενήθη τελειωθῆναι τὸ ἔργον τοῦτο. 17καὶ ἐν ταῖς ἡμέραις
ἐκείναις ἀπὸ πολλῶν ἐντίμων Ἰούδα ἐπιστολαὶ ἐπορεύοντο πρὸς
18 Τωβίαν, καὶ αἱ Τωβία ἤρχοντο πρὸς αὐτούς· 18ὅτι πολλοὶ ἐν Ἰούδᾳ
ἔνορκοι ἦσαν αὐτῷ, ὅτι γαμβρὸς ἦν τοῦ Σεχενιὰ υἱοῦ Ἡρᾶε, καὶ Ἰωνὰν
υἱὸς αὐτοῦ ἔλαβεν τὴν θυγατέρα Μεσουλὰμ υἱοῦ Βαραχειὰ εἰς γυναῖκα.
19 19καὶ τοὺς λόγους αὐτοῦ ἦσαν λέγοντες πρὸς μέ, καὶ λόγους μου ἦσαν
ἐκφέροντες αὐτῷ· καὶ ἐπιστολὰς ἐπέστειλεν Τωβίας φοβερίσαι με.

II) XVII 1 1Καὶ ἐγένετο ἡνίκα ᾠκοδομήθη τὸ τεῖχος, καὶ ἔστησα τὰς θύρας,
2 καὶ ἐπεσκέπησαν οἱ πυλωροὶ καὶ οἱ ᾄδοντες καὶ οἱ Λευεῖται. 2καὶ
ἐνετειλάμην τῷ Ἀνανίᾳ ἀδελφῷ μου καὶ τῷ Ἀνανίᾳ ἄρχοντι τῆς
βειρὰ ἐν Ἰερουσαλήμ, ὅτι αὐτὸς ὡς ἀνὴρ ἀληθὴς καὶ φοβούμενος
3 τὸν θεὸν παρὰ πολλούς· 3καὶ εἶπα αὐτοῖς Οὐκ ἀνοιγήσονται πύλαι
Ἰερουσαλὴμ ἕως ἅμα τῷ ἡλίῳ, καὶ ἔτι αὐτῶν ἐγρηγορούντων κλείσθω-
σαν αἱ θύραι καὶ σφηνούσθωσαν· καὶ στῆσον προφύλακας οἰκούντων
ἐν Ἰερουσαλήμ, ἀνὴρ ἐν προφυλακῇ αὐτοῦ, καὶ ἀνὴρ ἀπέναντι οἰκίας
4 αὐτοῦ. 4καὶ ἡ πόλις πλατεῖα καὶ μεγάλη, καὶ ὁ λαὸς ὀλίγος ἐν αὐτῇ,
5 καὶ οὐκ ἦσαν οἰκίαι ᾠκοδομημέναι. 5Καὶ ἔδωκεν ὁ θεὸς εἰς τὴν
καρδίαν μου, καὶ συνῆξα τοὺς ἐντίμους καὶ τοὺς ἄρχοντας καὶ τὸν
λαὸν εἰς συνοδίας· καὶ εὗρον βιβλίον τῆς συνοδίας οἱ ἀνέβησαν ἐν
6 πρώτοις, καὶ εὗρον γεγραμμένον ἐν αὐτῷ 6Καὶ οὗτοι υἱοὶ τῆς χώρας οἱ
ἀναβάντες ἀπὸ αἰχμαλωσίας τῆς ἀποικίας ἧς ἀπῴκισεν Ναβουχο-
δονοσὸρ βασιλεὺς Βαβυλῶνος, καὶ ἐπέστρεψεν εἰς Ἰερουσαλὴμ καὶ
7 εἰς Ἰουδὰ ἀνὴρ εἰς τὴν πόλιν αὐτοῦ 7μετὰ Ζοροβαβὲλ καὶ Ἰη-
σοῦ καὶ Νεεμία· Ἀζαριά, Ναμιά, Ναεμάνει, Μαλδόχεος, Βαλσάν,

15 om και 3° A **16** οι εχθροι] pr παντες ℵA | ημων 1°] υμων ℵ* (ημ. ℵA ℵc.a) | επεπεσεν] επεσεν A | φοβος] + μεγας ℵ | τουτο το εργον ℵ **17** om αι Bℵ* (hab pr αι ℵc.a [superscr] A) **18** ορκοι B* (ενορκοι B1?a?b ℵA) | ην] η B* (ν ins Ba?b) | Ιωναν] Ιωαναν ℵ* Ιωναθαν ℵc.aA | Μεσουλαβμ ℵ*vid (ras β ℵc.a) **19** επιστολας] pr α ℵ* (ras ℵ?) | απεστειλεν ℵA XVII **1** εγενετο] ν sup ras A1 | Λευιται ℵA **2** ως] ην A | φοβουμενοι ℵ **3** ειπα] ειπον A | ανυγησονται B* (ανοιγ. Bab) | ετι BℵC.a?] οτι ℵ*vid c.b?A | εγρηγορουντων] γρηγ. ℵA pr ετι ℵA | κλεισθωσαν] κλι|εσθωσαν ℵ κλειαισθωσα| A | σφηνοισθω ℵ* + |σα ℵa | στησω ℵ? | αυτου 1°] εαυτου ℵA | αυτου 2°] εαυτου A **5** ανεβησαν] α sup ras A1 **6** υιοι] pr οι A | αιχμαλωσιας] pr της ℵA | επεστρεψαν A | om εις 2° ℵ* (superscr ℵc.a) | om ανηρ εις την ℵ*vid (hab ℵc.a(mg1) | αυτου] εαυτου A **7** μετα] pr οι ελθοντες ℵc.a mg | Αζαρεα A | Νααμια] Ναεμια Bab Δαεμια ℵ Ρεελμα A | Ναεμανει] Ναμμανει ℵ Ναεμανι A | Μαλδοχεος] Βαρδοχαιου ℵ Μαρδοχεου A | Βαλσαν] Βασφαν ℵ Βαασαν A

Β Μασφέραν, Ἐσρά, Βατοεί, Ναούμ, Βαανά, Μασφάρ. ἄνδρες υἱοῦ
Ἰσραήλ· [8]υἱοὶ Φόρος, δισχίλιοι ἑκατὸν ἑβδομήκοντα δύο· [9]υἱοὶ Σαφατιά, [8 9]
τριακόσιοι ἑβδομήκοντα δύο· [10]υἱοὶ Ἠρά, ἑξακόσιοι πεντήκοντα δύο· 10
[11]υἱοὶ Φααθμωὰβ τοῖς υἱοῖς Ἰησοῦ Ἰωβάβ, δισχίλιοι ὀκτακόσιοι 11
δέκα ὀκτώ· [12]υἱοὶ Αἰλάμ, χίλιοι διακόσιοι πεντήκοντα τέσσαρες· 12
[13]υἱοὶ Ζαθουιά, ὀκτακόσιοι τεσσεράκοντα· [14]υἱοὶ Ζαθού, ὀκτακόσιοι [13 14]
ἑξήκοντα· [15]υἱοὶ Βανουί, ἑξακόσιοι τεσσεράκοντα ὀκτώ· [16]υἱοὶ Βηβί, [15 16]
ἑξακόσιοι εἴκοσι ὀκτώ· [17]υἱοὶ Ἀσγάδ, δισχίλιοι τριακόσιοι εἴκοσι 17
ὀκτώ· [18]υἱοὶ Ἀδεικάμ, ἑξακόσιοι ἑξήκοντα ἑπτά· [19]υἱοὶ Βατοεί, δισ- [18 19]
χίλιοι ἑξήκοντα ἑπτά· [20]υἱοὶ Ἠδείν, ἑξακόσιοι πεντήκοντα πέντε· 20
[21]υἱοὶ Ἀτὴρ τῷ Ἐζεκίᾳ, ἐνενήκοντα ὀκτώ· [22]υἱοὶ Ἡσάμ, τριακόσιοι [21 22]
εἴκοσι ὀκτώ· [23]υἱοὶ Βεσεί, τριακόσιοι εἴκοσι τέσσαρες· [24]υἱοὶ Ἀρείφ, [23 24]
ἑκατὸν δώδεκα· [25]υἱοὶ Γαβαών, ἐνενήκοντα πέντε· [28]ἄνδρες Βηθα- [25 28]
σμώθ, τεσσεράκοντα δύο· [29]ἄνδρες Καριθιαρείμ, Καφειρὰ καὶ Βηρώς, 29
ἑπτακόσιοι εἴκοσι εἷς· [30]ἄνδρες Ἀραμὰ καὶ Τάμαλ, ἑξακόσιοι εἴκοσι 30
εἷς· [31]ἄνδρες Μαχεμάς, ἑκατὸν εἴκοσι δύο· [32]ἄνδρες Βηθὴλ καὶ Ἀλειά, [31 32]
ἑκατὸν εἴκοσι τρεῖς· [33]ἄνδρες Ναβιὰ ἀάρ, πεντήκοντα δύο· [34]ἄνδρες [33 34]
Ἠλὰμ ἀάρ, χίλιοι διακόσιοι πεντήκοντα· [35]υἱοὶ Ἠράμ, τριακόσιοι εἷ- 35
κοσι· [36]υἱοὶ Ἰερειχώ, τριακόσιοι τεσσεράκοντα πέντε· [37]υἱοὶ Λόδ, Ἀδιὰ [36 37]
καὶ Ὠνώ, ἑπτακόσιοι εἴκοσι εἷς· [38]υἱοὶ Σανανάτ, ἐννακόσιοι τριάκοντα. 38

ℵA **7** Μασφεραν] Μασφαραδ ℵ Μαασφαραθ A | Εσδρα ℵ Εζρα A | Βατοει] Βαγουιαι A | υιου] του B^{ab} λαου ℵA **10** Ηραμ ℵ | εξακοσιοι] επτακοσιοι ℵ χ′ $ℵ^{c.a\,mg}$ | πεντηκοντα] εβδομηκοντα A **11** Ιωβαβ] Ιωαβ ℵ και Ιωαβ A | om οκτακοσιοι A **12** Αιλαμ] Ελαμ ℵ | διακοσιοι] οκτακοσιοι ℵ ς′ $ℵ^{c.a\,mg}$ **13** Ζαθουια] Ζαθθουεια ℵ Ζαθθουα A | οκτακοσιοι] εννακοσιοι (ras 1 lit forte υ post ο 1° $ℵ^{?}$) ℵ pr ϖ̄ $ℵ^{c.a\,?\,mg}$ | τεσσερακοντα (τεσσερακ. B?: item 15, 28, 36, 41, 44, 62, 67)] + πεντε ℵA **14** Ζαθου] Ζακχουρ A | οκτακοσιοι] pr vid ω′ $ℵ^{*\,?}$ ψ′ $ℵ^{c.a\,mg\,sup}$ επτακοσιοι A **16** Βηβει ℵA | εικοσι] εικο sup ras A^{1} **17** Ασγαδ] Ασταδ ℵ Αγεταδ A | οκτω] δυο ℵA **18** Αδεικαμ] Αδενικαμ ℵ Αδωνικαμ A **19** Βατοει] Βαγοει ℵ Βαγουει A **20** Ηδιν A | πεντε] τεσσαρες A **22** Ησαμι A | τριακοσιοι] οι sup ras vel litur ut vid in ℵ **23** Βασι A **24** Αρειφ] Αρειμ A | δωδεκα] δεκα δυο A + υιοι Ασεν διακοσιοι|οι εικοσι τρεις:| ℵ (**26, 27**) |υιοι Βεθλλεεμ' ε|κατον εικοσι τρις| υιοι Νετωφα· πεν|τηκοντα εξ'·| υιοι Αναθωθ' εκα|τον εικοσι οκτω:| ℵ |υιοι Βαισαλεεμ'· εκατον εικοσι τρεις·| υιοι Ανετωφα· πεντηκοντα εξ·| υιοι Ναθωθ'· εκατον εικοσι οκτω·| A (om B) **28** Βηθασμωθ] Βηθ'· A **29** Καριαθιαριμ ℵ Καριαθιαρειμ A | Καφειρα] Χαφιρα (ι sup ras 2 litt $A^{a?}$) A | Βηρωθ ℵA | εικοσι εις] τεσσερακοντα τρεις ℵA **30** κα B | Ταμαλ] Ταβαα ℵ Γαβαα A | εις] μια sup ras $ℵ^{c.a\,vid}$ **31** Μαχμας $ℵ^{c.a}$ **32** Βεθηλ $ℵ^{c.a}$ Βαιθηλ A | Αλεια] Αι A **33** Ναβια ααρ] Ναβιαα ρ′ B Ναβεια (Ναβια A) εκατον ℵA | δυο] + υιοι Μαγμως (Μαγεβως A) εκατον πεντηκοντα εξ ℵA **34** χιλιοι] δισχιλιοι ℵ | πεντηκοντα] + δ′ $ℵ^{c.a}$ + τεσσαρες A **36** Ιεριχω B^{b} **37** Αδιδ A | Ωνων ℵA **38** Σαναναγ $B^{a\,vid}$ Σανανα ℵA | εννακοσιοι (ενακ. ℵ* ν 2° superscr $ℵ^{c\,a}$ α sup ras A^{1})] pr τρισχιλιοι ℵA

39 39οἱ ἱερεῖς, υἱοὶ Ἰωδᾶε εἰς οἶκον Ἰησοῦ, ἐννακόσιοι ἑβδομήκοντα τρεῖς· Β
40 40υἱοὶ χίλιοι πεντήκοντα δύο· 41υἱοὶ Φασεδούρ, ⸂ας'⸃ τεσσεράκοντα
42 ἑπτά· 42υἱοὶ Ἡράμ, χίλιοι δέκα ἑπτά. 43οἱ Λευεί, υἱοὶ Ἰησοῦ τῷ
44 Καβδιὴλ τοῖς υἱοῖς τοῦ Θουδουιά, ἑβδομήκοντα τέσσαρες· 44οἱ ᾄδοντες,
45 υἱοὶ Ἀσάφ, ἑκατὸν τεσσεράκοντα ὀκτώ· 45οἱ πυλωροί, υἱοὶ Σαλούμ,
υἱοὶ Ἀτὴρ υἱοῦ Ἀτήρ, υἱοὶ Τελαμών, υἱοὶ Ἀκού, υἱοὶ ⸂Ατειτά, υἱοὶ
46 Σαβεί, ἑκατὸν τριάκοντα ὀκτώ. 46οἱ Ναθεινείμ· υἱοὶ Σηά, υἱοὶ ⸂Ασφά,
47 48 υἱοὶ Γαβαώθ, 47υἱοὶ Κειρά, υἱοὶ Ἀσουιά, υἱοὶ Φαδών, 48υἱοὶ Λαβανά,
49 υἱοὶ ⸂Αγαβά, υἱοὶ Σαλαμεί, 49υἱοὶ ⸂Ανάν, υἱοὶ Γαδήλ, 50υἱοὶ ⸂Ραεά,
51 υἱοὶ ⸂Ρασών, υἱοὶ Νεκωδά, 51υἱοὶ Γηζάμ, υἱοὶ Ὀζεί, υἱοὶ Φεσή, 52υἱοὶ
53 Βησεί, υἱοὶ Μεσεινώμ, υἱοὶ Νεφωσασεί, 53υἱοὶ Βακβού, υἱοὶ ⸂Αχειφά,
54 υἱοὶ ⸂Αρούμ, 54υἱοὶ Βασαώθ, υἱοὶ Μεειδά, υἱοὶ ⸂Αδασάν, 55υἱοὶ Βαρκοῦε,
56 υἱοὶ Σεσειράθ, υἱοὶ ⸂Ημαθ, 56υἱοὶ Ἀσειά, υἱοὶ Ἀτειφά. 57υἱοὶ δούλων
58 Σαλωμών· υἱοὶ Σουτεί, υἱοὶ Σαφάραθ, υἱοὶ Φερειδά, 58υἱοὶ Ἰελήλ, υἱοὶ
59 Δορκών, υἱοὶ Γαδήλ, 59υἱοὶ Σαφατιά, υἱοὶ ⸂Εγήλ, υἱοὶ Φακάραθ, υἱοὶ
60 Σαβαείμ, υἱοὶ Ἠμείμ· 60πάντες οἱ Ναθεινεὶμ καὶ υἱοὶ δούλων Σαλωμὼν
61 τριακόσιοι ἐνενήκοντα δύο. 61καὶ οὗτοι ἀνέβησαν ἀπὸ Θελμέλεθ·
⸂Αρησά, Χαρούβ, Ἠρών, Ἰεμήρ· καὶ οὐκ ἠδυνάσθησαν ἀπαγγεῖλαι
62 οἴκους πατριῶν αὐτῶν καὶ σπέρμα αὐτῶν εἰ ἀπὸ Ἰσραήλ εἰσιν· 62υἱοὶ
63 Δαλεά, υἱοὶ Τωβιά, υἱοὶ Νεκωδά, ἑξακόσιοι τεσσεράκοντα δύο· 63καὶ
ἀπὸ τῶν ἱερέων υἱοὶ ⸂Εβειά, υἱοὶ ⸂Ακώς, υἱοὶ Βερζελλεί, ὅτι ἔλαβεν ἀπὸ

39 υιοι] pr οι ℵ | εννακοσιοι] εκατον superscr ℵ^{a} **40** υιοι] + Χεμηρ ℵ ℵA + Εμμηρ A | χιλιοι] χειλισι B$^{a?b}$ **41** Φασεουρ ℵA | ⸂ας'⸃] χιλιοι διακοσιοι ℵA **42** Ηρα ℵ **43** Λευει] Λευιται ℵA | υιοι] pr οι ℵ | Καβδιηλ] Καδμιηλ ℵA | Θουδουια] Ουδουια ℵA **44** υιοι] pr οι ℵ **45** Σελλουμ A | om υιου Ατηρ ℵA | Τελαμων] Τολμων A | Ακουμ ℵA | Ατιτα A | Σαβαι A **46** Ναθινειμ A | Σηα] Οιαα A^{vid} | Ασφα] Ασειφα ℵA | Γαβαωθ] Ταβαωθ ℵ Ταββαωθ A **47** Κειρας ℵA | Ασουια] Ιασουια ℵ Σιαια A **48** Αγαβα] Αγγαβα A + υιοι Ακουα| υιοι Ουτα| υιοι Κηταρ| υιοι Γαβα| ℵ + υιοι Ακουδ'· υιοι Ουτα·| υιοι Κηταρ'· υιοι Αγαβ'· A | Σαλαμει] Σαμαει ℵ Σελμει A **49** Αναν] Γαναν ℵ | Γαδηλ] Σαδηλ A + υιοι Γααρ'·| A **50** Ραεα] Ραααια A | Ρασων] Ραεσων ℵ | Νεκωδαμ ℵ **51** Οζι A | Φεση] Φαιση ℵ Φεσση A **52** Βησει] Βαισει ℵ | Μεσεινωμ ℵ Μεεινωμ A | Νεφωσασειμ ℵ Νεφωσαειμ A **53** Βακβου] Νεκουβ ℵ Βακβουκ A | Ακειφα] Ακειφα ℵ Αχιφα A | Αρουρ A **54** Βασαλωθ ℵA **55** Σεισαραθ A | Ημαθ] Θημα A **56** Ασεια] Νεισεια A **57** om Σαλωμων ℵ*^{vid} (hab ℵ$^{c.a\,(mg)}$) | Σουτιει ℵ$^{c.a\,(vid)}$ (Σουτιη ℵ*^{vid}) | Σαφαραθι ℵ | Φαρειδα A **58** Ιεληλ] Ιεαηλ ℵA | Γαδδηλ A **59** Εγηλ] Ετηηλ A | Φακαραθ] Φαχαρατ ℵ Φαχαραθ A **60** Ναθει|νειμ B* Ναθι| (vel potius Νλθι) νειμ B^{b} Ναθιν|ιμ ℵ Ναθανειμ A | om δουλων ℵ **61** Θελμελεθ] Θερμελεθ ℵ Θελμελεχ A | Αρησα] Θελαρσα A | Χαρουβ] Χερουβ ℵ$^{a?c.a?}$A | Ιεμηρ] Εμηρ A*^{vid} | εδυνασθησα| A | εαυτων ℵ (bis) | om ει ℵ* (superscr ℵ$^{c.a}$) **62** Δαλαια ℵA + υιοι| Βουα A | τεσσερακοντα] pr και ℵ **63** Εβεια] Αβεια ℵ | Ακκως A | υιοι 3° sup ras 5 ut vid litt A | Βερζελλαι A (bis) | ελαβον ℵA

Β θυγατέρων Βερζελλεὶ τοῦ Γαλααδείτου γυναῖκας καὶ ἐκλήθη ἐπ' ὀνόματι
αὐτῶν· 64 οὗτοι ἐζήτησαν γραφὴν αὐτῶν τῆς συνοδίας καὶ οὐχ εὑρέθη, 64
καὶ ἠγχιστεύθησαν ἀπὸ τῆς ἱερατείας. 65 καὶ εἶπεν Ἀσερσαθὰ ἵνα μὴ 65
φάγωσιν ἀπὸ τοῦ ἁγίου τῶν ἁγίων ἕως ἀναστῇ ὁ ἱερεὺς φωτίσων.
66 καὶ ἐγένετο πᾶσα ἡ ἐκκλησία ὡσεὶ τέσσαρες μυριάδες δισχίλιοι 66
τριακόσιοι ὀκτώ, 67 παρὲξ δούλων αὐτῶν καὶ παιδισκῶν αὐτῶν, οὗτοι 67
τριακόσιοι τριάκοντα ἑπτά· καὶ ᾄδοντες καὶ ᾄδουσαι διακόσιοι τεσσε-
ράκοντα πέντε· 69 ὄνοι δισχίλιοι ἑπτακόσιοι. 70 καὶ ἀπὸ μέρους ἀρχη- 69 70
γῶν τῶν πατριῶν ἔδωκαν εἰς τὸ ἔργον τῷ Νεεμίᾳ εἰς θησαυρὸν
χρυσοῦς ,α, φιάλας πεντήκοντα καὶ μεχωνὼθ τῶν ἱερέων τριάκοντα.
71 καὶ ἀπὸ ἀρχηγῶν τῶν πατριῶν ἔθηκαν εἰς θησαυρὸν τοῦ ἔτους, τοῦ 71
χρυσίου δύο μυριάδας, καὶ ἀργυρίου μνᾶς δισχιλίας διακοσίας, 72 καὶ 72
μεχωνὼθ τῶν ἱερέων ἑξήκοντα ἑπτά. 73 καὶ ἐκάθισαν οἱ ἱερεῖς καὶ 73
οἱ Λευεῖται καὶ οἱ πυλωροὶ καὶ οἱ ᾄδοντες καὶ οἱ ἀπὸ τοῦ λαοῦ καὶ
οἱ Ναθινεὶμ καὶ πᾶς Ἰσραὴλ ἐν πόλεσιν αὐτῶν.

1 Καὶ ἔφθασεν ὁ μὴν ὁ ἕβδομος καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐν πόλεσιν 1 XVIII
αὐτῶν, (1) καὶ συνήχθησαν πᾶς ὁ λαὸς ὡς ἀνὴρ εἷς εἰς τὸ πλάτος τὸ (VIII)
ἔμπροσθεν πύλης τοῦ ὕδατος. καὶ εἶπαν τῷ Ἔσρᾳ τῷ γραμματεῖ
ἐνέγκαι τὸ βιβλίον νόμου Μωυσῆ ὃ ἐνετείλατο τῷ Ἰσραήλ. 2 καὶ 2
ἤνεγκεν Ἔσρας ὁ ἱερεὺς τὸν νόμον ἐνώπιον τῆς ἐκκλησίας, ἀπὸ

ℵA **63** Βερζελλει 2°] pr του ℵ | Γαλααδιτου A | επ] το (sic) A **64** αυτων] εαυτων ℵA | συνοδειας B*ℵ (συνοδιας BᵇA) | ευρεθη] ηυρεθησαν ℵ* ηυρεθη ℵ$^{c.a}$A | ιερατιας A **65** Αθερσαθα ℵA + αυτοις A | εως] + αν ℵ | ανεστε A **66** ωσει τεσσαρες μυριαδες] εις τεσσαρας μυριαδας A | δισχιλιοι τριακοσιοι (δισχιλιαι τριακοσιαι ℵ*)] δισχιλιους τριακοσιους A | οκτω B*ᵇ] εξηκοντα Bᵃ?ℵA **67** om αυτων και ℵ | τριακοσιοι] pr ,ζ Bᵃᵇ pr επτακισχιλιοι ℵA (επτακισχιλιοι) | αιδοντες, αιδουσαι B* (αδ. bis Bᵃᵇ) | τεσσαρακοντα B?ℵ | πεντε] + (68) ιπποι επτακοσιοι τριακοντα εξ'·| ημιονοι διακοσιοι τεσσερα|κοντα πεντε· (69) καμηλοι τετρακο|σιοι τριακοντα πεντε A **69** δισχιλιοι επτακοσιοι] εξακισχιλιοι ℵ + ψκ′ ℵ$^{c.a}$ εξακισχιλιοι επτ. εικοσι· A + ιπποι επτακοσιοι| τριακοντα εξ'·| ημιονοι διακοσι|οι τεσσερακοντα| πεντε·| καμηλοι (+ αυτων ℵ$^{c.a}$) τετρακο|σιοι τριακοντα| πεντε·| ℵ **70** Νεεμια] Αθαρσαθα εδωκεν ℵ$^{c.a\ mg}$ Αθ. εδωκαν A | ,α] χιλιους ℵA | μεχωνωθ] χοθωνωθ ℵ$^{c.a}$A **71** εθηκαν Bℵ$^{c.a}$] εδωκα ℵ^{*vid} εδωκαν A | θησαυρους ℵ$^{c.a}$A | ετους (εγους ℵ^{*vid})] εργου ℵ$^{c.a}$A | του χρυσιου] om του Bᵃᵇℵ A | μνας] pr μυριας A | διακοσιας] ο′ ℵ$^{c.a\ mg}$ + και εδωκαν οι κατα|λοιποι του λαου| χρυσιου εβδομη|κοντα μυριαδας| και αργυριου μνας| χιλιαδας διακο|σιας ℵ^{*vid} (asteriscos adpinx ℵ$^{c.a}$) + και δεδωσαν (sic ut vid) οι κατα|λ. του λ.| χρυσους εν νομισμασιν| δυο μυριαδας| και αργυρα σκευη δισ|χιλια: ℵ$^{c.a}$ **72** μεχωνωθ] χοθωνωθ ℵ$^{c.a\ mg}$A | ιερων ℵ **73** Λευιται ℵA | Ναθεινειμ ℵ XVIII **1** αυτων] εαυτων A + και εφθασεν ο μη|ο εβδομος ℵ* (om ℵ?) | ανηρ| εις B* ανηρ εις| εις Bᵗ ανηρ εις| ℵ ανηρ εις εις A | ειπον A | Εσδρα ℵ Εζρα A (Εσδρ. ℵ Εζρ. A ubique) | ενετειλατο] + κς ℵᵃA | Ισραηλ 2°] coep Ισ ℵ^{*vid} Ιηλ ℵ¹ **2** ηνεγκαν B* (ηνεγκεν B¹$^{(vid)}$) | om τον νομον A

ἀνδρὸς ἕως γυναικὸς καὶ πᾶς ὁ συνίων ἀκούειν, ἐν ἡμέρᾳ μιᾷ τοῦ Β
3 μηνὸς τοῦ ἑβδόμου· [3]καὶ ἀνέγνω ἐν αὐτῷ ἀπὸ τῆς ὥρας τοῦ διαφω-
τίσαι τὸν ἥλιον ἕως ἡμίσους τῆς ἡμέρας ἀπέναντι τῶν ἀνδρῶν καὶ
τῶν γυναικῶν, καὶ αὐτοὶ συνιέντες· καὶ ὦτα παντὸς τοῦ λαοῦ εἰς τὸ
4 βιβλίον τοῦ νόμου. [4]καὶ ἔστη Ἔσρας ὁ γραμματεὺς ἐπὶ βήματος
ξυλίνου, καὶ ἔστησαν ἐχόμενα αὐτοῦ Ματταθίας καὶ Σαμαίας καὶ
Ἀνανιὰ καὶ Οὐρειὰ καὶ Ἑλκειὰ καὶ Μαασσαιὰ ἐκ δεξιῶν αὐτοῦ, καὶ
5 ἐξ ἀριστερῶν Φαδαίας καὶ Μεισαὴλ καὶ Μελχείας καὶ Ζαχαρίας. [5]καὶ
ἤνοιξεν Ἔσρας τὸ βιβλίον ἐνώπιον παντὸς τοῦ λαοῦ, ὅτι αὐτὸς ἦν
ἐπάνω τοῦ λαοῦ· καὶ ἐγένετο ἡνίκα ἤνοιξεν αὐτό, ἔστη πᾶς ὁ λαός.
6 [6]καὶ ηὐλόγησεν τὸν κύριον τὸν θεὸν τὸν μέγαν, καὶ ἀπεκρίθη πᾶς
ὁ λαὸς καὶ εἶπαν Ἀμήν, καὶ ἔκυψαν καὶ προσεκύνησαν τῷ κυρίῳ
7 ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. [7]καὶ Ἰησοῦς καὶ Βαναιὰ καὶ Σαραβιὰ
ἦσαν συνετίζοντες τὸν λαὸν εἰς τὸν νόμον· καὶ ὁ λαὸς ἐν τῇ στάσει
8 αὐτοῦ. [8]καὶ ἀνέγνωσαν ἐν βιβλίῳ νόμου τοῦ θεοῦ, καὶ ἐδίδασκεν
Ἔσρας καὶ διέστελλεν ἐν ἐπιστήμῃ Κυρίου, καὶ συνῆκεν ὁ λαὸς ἐν
9 τῇ ἀναγνώσει. [9]καὶ εἶπεν Νεεμίας, καὶ Ἔσρας ὁ ἱερεὺς καὶ γραμ-
ματεὺς καὶ οἱ Λευεῖται συνέτιζον τὸν λαόν, καὶ εἶπαν παντὶ τῷ λαῷ·
Ἡμέρα ἁγία ἐστὶν Κυρίῳ τῷ θεῷ ἡμῶν, μὴ πενθεῖτε μηδὲ κλαίετε·
10 ὅτι ἔκλαιεν πᾶς ὁ λαός, ὡς ἤκουσαν τοὺς λόγους τοῦ νόμου. [10]καὶ
εἶπεν αὐτοῖς Πορεύεσθε, φάγετε λιπάσματα καὶ πίετε γλυκάσματα
καὶ ἀποστείλατε μερίδα τοῖς μὴ ἔχουσιν, ὅτι ἁγία ἐστὶν ἡ ἡμέρα τῷ
11 κυρίῳ ἡμῶν· καὶ μὴ διαπέσητε, ὅτι ἐστὶν ἰσχὺς ἡμῶν. [11]καὶ οἱ
Λευεῖται κατεσιώπων τὸν λαὸν λέγοντες Σιωπᾶτε, ὅτι ἡ ἡμέρα ἁγία,
12 καὶ μὴ καταπίπτετε. [12]καὶ ἀπῆλθεν πᾶς ὁ λαὸς φαγεῖν καὶ πιεῖν

2 εως] pr και ℵA **3** φωτισαι ℵ*vid (pr δια| ℵc.a (mg)) | τον ηλιον] Ιηλιον ℵ*vid | ημισους] μεσουσης Bamg ℵc.bmg μεσου A | ωτα] pr τα ℵ **4** εστη] εστησεν ℵ* (improb σεν ℵ?) γραμματευς Bℵc.amg A] ιερευς ℵ* | εστησεν] εστησαν ℵc.a | Ματ|θαθιας ℵ* (Ματ|ταθιας ℵa?c.a?(vid)) | Αναιας ℵA | Ουριας ℵ* Ουρια ℵc.aA | om και 6° ℵ* (ℵ superscr ℵc.a) | Ελκεια] Χελκια ℵ Χελκεια A | Μαασαια ℵ Μαασια A | αριστερων] ευωνυμων A | Μισαηλ A | Μελχειας]+ℵ Ωσαμ ℵ Ασαβδανα· ℵc.amg dextr+και Ωσαμ και Ασαβααμα A | Ζαχαριας]+και Μοσολλαμ ℵc.amg sinistr A **5** λαου 2°]+ο|τι αυτος ην ℵ* (impr ℵ?) **6** ευλογησεν ℵ+Εσδρας ℵc.amg A | τον κυριον] om τον ℵA | αμην]+επαραντες χειρας αυτων ℵc.aA **7** Βαναιας ℵA **8** βιβλιω] pr τω ℵA | om εν 2° A | λαος]+κῡ ℵ **9** Λευιται ℵ | συνετιζον] και οι συνετιζοντες ℵA | εστιν αγια (αγιαν ℵ*) η ημερα ℵ αγια η ημ. εστιν A | Κυριω] pr τω ℵ | ηκουσαν Bℵc.a] ηκουσεν ℵ*A **10** φαγετε] ℵ superscr ℵc.a | μεριδας ℵA | om μη 1° ℵ* (superscr ℵc.a) | η ημερα εστιν ℵA | ημων 2°] υμων ℵc.aA **11** Λευιται ℵA (item 13) | τον λαον] pr πᾶ|τα A | η ημερα] om η ℵA **12** πηλθεν ℵ* (a superscr ℵc.a) | πιειν Bbℵc.aA] πειν B* πιν ℵ*

Β καὶ ἀποστέλλειν μερίδας καὶ ποιῆσαι εὐφροσύνην μεγάλην, ὅτι
συνῆκαν ἐν τοῖς λόγοις οἷς ἐγνώρισεν αὐτοῖς. 13 Καὶ ἐν τῇ 13
ἡμέρᾳ τῇ δευτέρᾳ συνήχθησαν οἱ ἄρχοντες τῶν πατριῶν σὺν τῷ
παντὶ λαῷ οἱ ἱερεῖς καὶ οἱ Λευεῖται πρὸς Ἔσραν τὸν γραμματέα,
ἐπιστῆσαι πρὸς πάντας τοὺς λόγους τοῦ νόμου. 14 καὶ εὗρον 14
γεγραμμένον ἐν τῷ νόμῳ ᾧ ἐνετείλατο Κύριος τῷ Μωσῇ, ὅπως
κατοικήσωσιν οἱ υἱοὶ Ἰσραὴλ ἐν σκηναῖς ἐν ἑορτῇ ἐν μηνὶ τῷ
ἑβδόμῳ, 15 καὶ ὅπως σημαίνωσιν σάλπιγξιν ἐν πάσαις ταῖς πόλεσιν 15
αὐτῶν καὶ ἐν Ἰερουσαλήμ. καὶ εἶπεν Ἔσρας Ἐξέλθετε εἰς τὸ ὄρος
καὶ ἐνέγκετε φύλλα ἐλαίας καὶ φύλλα ξύλων κυπαρισσίνων καὶ
φύλλα μυρσίνης καὶ φύλλα φοινίκων καὶ φύλλα ξύλου δασέος, ποι-
ῆσαι σκηνὰς κατὰ τὸ γεγραμμένον. 16 καὶ ἐξῆλθεν ὁ λαὸς καὶ ἤ- 16
νεγκαν, καὶ ἐποίησαν ἑαυτοῖς σκηνὰς ἀνὴρ ἐπὶ τοῦ δώματος αὐτοῦ
καὶ ἐν ταῖς αὐλαῖς αὐτῶν καὶ ἐν ταῖς αὐλαῖς οἴκου τοῦ θεοῦ καὶ ἐν
ταῖς πλατείαις τῆς πόλεως καὶ ἕως πύλης Ἐφράιμ. 17 καὶ ἐποίησαν 17
πᾶσα ἡ ἐκκλησία οἱ ἐπιστρέψαντες ἀπὸ τῆς αἰχμαλωσίας σκηνάς,
καὶ ἐκάθισαν ἐν σκηναῖς· ὅτι οὐκ ἐποίησαν ἀπὸ ἡμερῶν Ἰησοῦ υἱοῦ
Ναυὴ οὕτως οἱ υἱοὶ Ἰσραὴλ ἕως τῆς ἡμέρας ἐκείνης· καὶ ἐγένετο εὐ-
φροσύνη μεγάλη. 18 καὶ ἀνέγνω ἐν βιβλίῳ νόμου τοῦ θεοῦ ἡμέραν 18
ἐν ἡμέρᾳ ἀπὸ τῆς ἡμέρας τῆς πρώτης ἕως τῆς ἡμέρας τῆς ἐσχά-
της· καὶ ἐποίησαν ἑορτὴν ἑπτὰ ἡμέρας, καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ
ἐξόδιον.

1 Καὶ ἐν ἡμέρᾳ εἰκοστῇ καὶ τετάρτῃ τοῦ μηνὸς τούτου συνήχθησαν 1 XIX (I
οἱ υἱοὶ Ἰσραὴλ ἐν νηστείᾳ καὶ ἐν σάκκοις. 2 καὶ ἐχωρίσθησαν οἱ υἱοὶ 2
Ἰσραὴλ ἀπὸ παντὸς υἱοῦ ἀλλοτρίου, καὶ ἔστησαν καὶ ἐξηγόρευσαν
τὰς ἁμαρτίας αὐτῶν καὶ τὰς ἀνομίας τῶν πατέρων αὐτῶν. 3 καὶ ἔστη- 3
σαν ἐπὶ στάσει αὐτῶν, καὶ ἀνέγνωσαν ἐν βιβλίῳ νόμου θεοῦ αὐ-
τῶν, καὶ ἦσαν ἐξαγορεύοντες τῷ κυρίῳ καὶ προσκυνοῦντες τῷ θεῷ

ℵA **12** *ποιησαι*] *ποιειν* ℵ$^{c.a}$ | *εγνωρισεν*] *ν* sup ras A^{1} **13** om *συν* ℵA **14** *Μωυση* ℵA | om *εν* 3° ℵ* (superscr ℵ$^{c.a}$) **15** *πως* ℵ* (o superscr ℵ$^{c.a}$) | *σημανωσιν* ℵ$^{?}$A | *εξελθατε* A | *ενεγκατε* B^{ab}ℵA **15—16** *και φυλλα φοινικων...σκη* in mgg inf et sup necnon sup ras A^{a} **15** *δασεως* ℵA^{a} | *σκηνας*] + *αυτοις* A^{a} **16** *εαυτοις σκηνας*] [*σκη*]*νας αυτοις* A | *αυτου*] *εαυτου* ℵ | *αυτων*] *εαυτων* ℵ | *ταις αυλαις* (2°)] om *ταις* A | *ταις πλατειαις* (*πλατιαις* ℵ)] om *ταις* ℵA | *πυλης*] *οικου* A **17** *εποιησα* (1°) A | *σκηνας*] *εν σκηναις* ℵ* (*εν*, *ι* improb ℵ$^{?}$) **18** *νομω* ℵ | *τη ημερα*] pr *εν* ℵ* (om ℵ$^{?}$) | *εξοδιον*] + *κατα το κριμα* ℵ$^{c.a\,(mg)}$A XIX **1** *εικοστη και τεταρτη*] *τε*|*ταρτη και εικαδι* ℵ | *Ισραηλ*] pr *ε* ℵ* + *εν νη*|*στια και εν σακκοις*| *και εχωρισθησα*] *οι υιοι* $\overline{\text{Ισλ}}$ ℵ* (om ℵ$^{?}$) **3** om *και εστησαν* ℵ* (hab ℵ$^{c.a\,mg}$) | *στασει*] pr *τη* A | *αυτων* 2°, 3°] *εαυτων* ℵ | *θεω*] pr *κω* ℵA

4 αὐτῶν. 4καὶ ἔστη ἐπὶ ἀναβάσει τῶν Λευειτῶν Ἰησοῦς καὶ υἱοὶ Β
Καδμιήλ, Σαραβιὰ υἱὸς Ἀραβιά, καὶ ἐβόησαν φωνῇ μεγάλῃ πρὸς
5 Κύριον τὸν θεὸν αὐτῶν. 5καὶ εἶπαν οἱ Λευεῖται Ἰησοῦς καὶ
Καδμιήλ Ἀνάστητε, εὐλογεῖτε Κύριον τὸν θεὸν ἡμῶν ἀπὸ τοῦ αἰῶνος
καὶ ἕως τοῦ αἰῶνος· καὶ εὐλογήσουσιν ὄνομα δόξης σου, καὶ ὑψώ-
6 σουσιν ἐπὶ πάσῃ εὐλογίᾳ καὶ αἰνέσει. 6καὶ εἶπεν Ἔσρας Σὺ εἶ
αὐτὸς Κύριος μόνος· σὺ ἐποίησας τὸν οὐρανὸν τοῦ οὐρανοῦ καὶ
πᾶσαν τὴν στάσιν αὐτῶν, τὴν γῆν καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ,
τὰς θαλάσσας καὶ πάντα τὰ ἐν αὐταῖς, καὶ σὺ ζωοποιεῖς τὰ πάντα·
7 καὶ σοὶ προσκυνοῦσιν αἱ στρατεῖαι τῶν οὐρανῶν. 7σὺ εἶ ὁ θεός, σὺ
ἐξελέξω ἐν Ἀβρὰμ καὶ ἐξήγαγες αὐτὸν ἐκ τῆς χώρας τῶν Χαλδαίων,
8 καὶ ἐπέθηκας αὐτῷ ὄνομα Ἀβραάμ. 8καὶ εὗρες τὴν καρδίαν αὐτοῦ
πιστὴν ἐνώπιόν σου, καὶ διέθου πρὸς αὐτὸν διαθήκην δοῦναι αὐτῷ
τὴν γῆν τῶν Χαναναίων καὶ Χετταίων καὶ Ἀμορραίων καὶ Φερεζαίων
καὶ Ἰεβουσαίων καὶ Γεργεσαίων καὶ τῷ σπέρματι αὐτοῦ· καὶ ἔστησας
9 τοὺς λόγους σου, ὅτι δίκαιος σύ. 9καὶ εἶδες τὴν ταπείνωσιν τῶν
πατέρων ἡμῶν ἐν Αἰγύπτῳ, καὶ τὴν κραυγὴν αὐτῶν ἤκουσας ἐπὶ
10 θάλασσαν ἐρυθράν. 10καὶ ἔδωκας σημεῖα καὶ τέρατα ἐν Αἰγύπτῳ, ἐν
Φαραὼ καὶ ἐν πᾶσιν τοῖς παισὶν αὐτοῦ καὶ ἐν παντὶ τῷ λαῷ τῆς
γῆς αὐτοῦ, ὅτι ἔγνως ὅτι ὑπερηφάνησαν ἐπ᾽ αὐτούς· καὶ ἐποίησας
11 σεαυτῷ ὄνομα, ὡς ἡ ἡμέρα αὕτη. 11καὶ τὴν θάλασσαν ἔρηξας ἐνώ-
πιον αὐτοῦ, καὶ παρήλθοσαν ἐν μέσῳ τῆς θαλάσσης ἐν ξηρασίᾳ, καὶ
τοὺς καταδιώξαντας αὐτοὺς ἔριψας εἰς βυθὸν ὡσεὶ λίθον ἐν ὕδατι
12 σφοδρῷ. 12καὶ ἐν στύλῳ νεφέλης ὡδήγησας αὐτοὺς ἡμέρας καὶ ἐν
στύλῳ πυρὸς τὴν νύκτα, τοῦ φωτίσαι αὐτοῖς τὴν ὁδὸν ἐν ᾗ πορεύ-
13 σονται ἐν αὐτῇ. 13καὶ ἐπὶ ὄρος Σεινὰ κατέβης καὶ ἐλάλησας πρὸς
αὐτοὺς ἐξ οὐρανοῦ, καὶ ἔδωκας αὐτοῖς κρίματα εὐθέα καὶ νόμους

4 Λευιτ. ℵA (item 5) | Σαραβια] Σαραδια ℵ Σαχανια A | Αραβια] Σαρα- ℵA
βια ℵ Σαραβαια A+υιοι Χαναni ℵ$^{c.a}$ A | om μεγαλη A | αυτων] εαυτων ℵ
5 ειποσαν] ειπαν A | Λευειται] pr υιοι ℵ* (ras ℵ^{2}) | ευλογειτε] pr και ℵ |
Κυριον τον θεον] τον κν̄ θν̄ A | ημων] υμων ℵ$^{c.a}$ | om και 3° B^{ab}A | om εως
του αιωνος A | om και 4° ℵ* (ϛ superscr ℵ$^{c.a}$) | υψωσουσιν] υψους σου ℵ$^{c.a}$
6 κ̄ς̄ αυτος ℵ | τον ουρανον]+και τον ουρανον ℵ | εν αυτη]+την γην και ℵ*
(improb ℵ$^{c.a}$) | σοι B^{ab}] συ B*ℵA | στρατιαι ℵA **7** συ ει ο θεος] συ
ει κ̄ς̄ ο θ̄ς̄ ℵ$^{c.a\ mg}$ (om ℵ*) Λ | εν Αβραμ] εν Αβρααμ B* vid (ras 1 lit post α
in Αβραμ B^{2}) ενα| Αβρααμ ℵ | χωρα ℵ* (ϛ superscr ℵ$^{c.a}$) **8** ευρας
ℵ | και 8°] δουναι ℵ$^{c.a}$ **9** ιδες Λ | ταπεινωσιν] κακιαν ℵ$^{c.a\ mg}$ | επι]
ι sup ras Λ^{a} **10** εδωκες A | om και τερατα ℵA | πασιν ℵ | om και εν
παντι τω λαω της γης αυτου ℵ* (hab ℵ$^{c.a\ mg\ sup}$) **11** ερρηξας B^{ab}ℵA |
αυτου] αυτων ℵA | καταδιωκοντας Λ | ερειψας B* ερριψας B^{b}ℵA **12** πυ-
ρος]+ωδηγησας ℵ* (improb ℵ^{2}) **13** Σινα ℵA Σιναι ℵ$^{c.b}$ | ευθεια ℵA

Β ἀληθείας, προστάγματα καὶ ἐντολὰς ἀγαθάς. 14 καὶ τὸ σάββατόν 14
σου τὸ ἅγιον ἐγνώρισας αὐτοῖς, ἐντολὰς καὶ προστάγματα καὶ νό-
μον ἐνετείλω αὐτοῖς ἐν χειρὶ Μωυσῆ δούλου σου. 15 καὶ ἄρτον ἐξ 15
οὐρανοῦ ἔδωκας αὐτοῖς εἰς σιτοδείαν αὐτῶν, καὶ ὕδωρ ἐκ πέτρας
ἐξήνεγκας αὐτοῖς εἰς δίψαν αὐτῶν. καὶ εἶπας αὐτοῖς εἰσελθεῖν κλη-
ρονομῆσαι τὴν γῆν ἐφ' ἣν ἐξέτεινας τὴν χεῖρά σου δοῦναι αὐτοῖς.
16 καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν, καὶ οὐκ ἤκουσαν τῶν ἐντο- 16
λῶν σου. 17 καὶ ἀνένευσαν τοῦ εἰσακοῦσαι, καὶ οὐκ ἀνεμνήσθησαν 17
τῶν θαυμασίων σου ὧν ἐποίησας μετ' αὐτῶν· καὶ ἐσκλήρυναν τὸν
τράχηλον αὐτῶν, καὶ ἔδωκαν ἀρχὴν ἐπιστρέψαι εἰς δουλείαν αὐτῶν
ἐν Αἰγύπτῳ. καὶ σὺ θεὸς ἐλεήμων καὶ οἰκτείρμων, μακρόθυμος καὶ
πολυέλεος, καὶ οὐκ ἐνκατέλιπες αὐτούς. 18 ἔτι δὲ καὶ ἐποίησαν 18
ἑαυτοῖς μόσχον χωνευτὸν καὶ εἶπαν Οὗτοι οἱ θεοὶ οἱ ἐξαγαγόντες
ἡμᾶς ἐξ Αἰγύπτου· καὶ ἐποίησαν παροργισμοὺς μεγάλους. 19 καὶ σὺ 19
ἐν οἰκτειρμοῖς σου τοῖς πολλοῖς οὐκ ἐνκατέλιπες αὐτοὺς ἐν τῇ ἐρήμῳ·
τὸν στύλον τῆς νεφέλης οὐκ ἐξέκλινας ἀπ' αὐτῶν ἡμέρας ὁδηγῆσαι
αὐτοὺς ἐν τῇ ὁδῷ, καὶ τὸν στύλον τοῦ πυρὸς τὴν νύκτα φωτίζειν
αὐτοῖς τὴν ὁδὸν ἐν ᾗ πορεύσονται ἐν αὐτῇ. 20 καὶ τὸ πνεῦμά σου 20
τὸ ἀγαθὸν ἔδωκας συνετίσαι αὐτούς, καὶ τὸ μάννα σου οὐκ ἀφυ-
στέρησας ἀπὸ στόματος αὐτῶν, καὶ ὕδωρ ἔδωκας αὐτοῖς τῷ δίψει
αὐτῶν. 21 καὶ τεσσεράκοντα ἔτη διέθρεψας αὐτοὺς ἐν τῇ ἐρήμῳ· 21
οὐχ ὑστέρησας· ἱμάτια αὐτῶν οὐκ ἐπαλαιώθησαν, καὶ πόδες αὐτῶν
οὐ διερράγησαν. 22 καὶ ἔδωκας αὐτοῖς βασιλέας καὶ λαούς, καὶ ἐμέ- 22
ρισας αὐτοῖς, καὶ ἐκληρονόμησαν τὴν γῆν Σηὼν καὶ τὴν *Ωγ βασι-
λέως τοῦ Βασάν. 23 καὶ τοὺς υἱοὺς αὐτῶν ἐπλήθυνας ὡς τοὺς ἀστέρας 23
τοῦ οὐρανοῦ, καὶ εἰσήγαγες αὐτοὺς εἰς τὴν γῆν ἣν εἶπας τοῖς πα-
τράσιν αὐτῶν, καὶ ἐκληρονόμησαν αὐτήν. 24 καὶ ἐξέτριψας ἐνώπιον 24
αὐτῶν τοὺς κατοικοῦντας τὴν γῆν τῶν Χαναναίων, καὶ ἔδωκας αὐτοὺς

ℵA **14** *νομον*] + *ον* ℵ$^{c.a}$ | *δουλου*] pr *του* ℵ$^{a?c.a?}$A **15** *ουνου* (sic) A | *σειτοδειαν* B* *σιτοδιαν* B^{b}A *σιτοδοινα* ℵ* (*σιτοδειαν* ℵ$^{c.a}$) | *εφ*] *εις* A **16** *και* 1°] pr *και αυτοι και οι πατερες ημων υπερηφανευσαντο* ℵ$^{c.a\ mg}$A | om *σου* ℵ* (superscr ℵ$^{c.a}$) **17** *ανεμνησθησαν*] *εμνησθησαν* ℵ$^{?}$A | *αυτων* 2°] *εαυτων* A | *δουλιαν* ℵ | *θεος*] + *αφιων* ℵ$^{c.a\ mg}$ | *οικτιρμων* B^{b}ℵ | *εγκατελιπες* B^{b} *εγκατελειπες* A (item 19) **19** *συ εν*] *συν* ℵ | *οικτιρμοις* B^{b}ℵ (item 27, 28, 31) | *πολλοις*] *μεγαλοις* A | *αυτους* 1°] *αυτοις* A*^{vid} (*αυτους* A$^{?}$) | *αυτων*] *αυτω* B* (*ν* superscr B$^{b(vid)}$) | *φωτιζειν*] pr *του* ℵ | *την οδον* (*οδον* sup ras B$^{1?a?}$)] pr *ῃ* (superscr) B$^{a(vid)}$ℵ$^{c.a}$ **20** *εδωκας* 1°] *εδωκα* ℵ*^{vid} (*s* ins ℵ$^{?}$) | *αυτους αυτους συνετισαι* ℵ* (*αυτ.* 1° improb ℵ$^{?}$) **21** *τεσσαρακοντα* B^{b} | *υστερησας*] *υστερησαν* B^{ab}ℵA | *ποδες*] *τα υποδηματα* ℵ *υποδ.* A **22** *βασιλειας* ℵA | om *και* 3° ℵA | *εμερισας*] *διεμερισας* A | *την γην*] om *την* A | *Σηων*] + *βασιλεως Εσεβων* ℵ$^{c.a\ mg}$A | *την* 2°] + *γην* ℵA **24** *τους κατοικουντας*] pr *και* ℵ* (improb ℵ$^{?}$)

εἰς τὰς χεῖρας αὐτῶν καὶ τοὺς βασιλεῖς αὐτῶν καὶ τοὺς λαοὺς τῆς Β
25 γῆς, ποιῆσαι αὐτοῖς ὡς ἀρεστὸν ἐνώπιον αὐτῶν. [25]καὶ κατελάβοσαν
πόλεις ὑψηλάς, καὶ ἐκληρονόμησαν οἰκίας πλήρεις πάντων ἀγαθῶν,
λάκκους λελατομημένους, ἀμπελῶνας καὶ ἐλαιῶνας καὶ πᾶν ξύλον
βρώσιμον εἰς πλῆθος· καὶ ἐφάγοσαν καὶ ἐνεπλήσθησαν καὶ ἐλι-
26 πάνθησαν, καὶ ἐτρύφησαν ἐν ἀγαθωσύνῃ σου τῇ μεγάλῃ. [26]καὶ
ἠλάλαξαν καὶ ἀπέστησαν ἀπὸ σοῦ, καὶ ἔρριψαν τὸν νόμον σου
ὀπίσω σώματος αὐτῶν, καὶ τοὺς προφήτας σου ἀπέκτειναν οἳ διε-
μαρτύραντο ἐν αὐτοῖς ἐπιστρέψαι αὐτοὺς πρὸς σέ, καὶ ἐποίησαν
27 παροργισμοὺς μεγάλους. [27]καὶ ἔδωκας αὐτοὺς ἐν χειρὶ θλιβόντων
αὐτούς, καὶ ἔθλιψαν αὐτούς· καὶ ἀνεβόησαν πρὸς σὲ ἐν καιρῷ θλί-
ψεως αὐτῶν, καὶ σὺ ἐξ οὐρανοῦ σου ἤκουσας, καὶ ἐν οἰκτειρμοῖς
σου τοῖς μεγάλοις ἔδωκας αὐτοῖς σωτῆρας καὶ ἔσωσας αὐτοὺς ἐκ
28 χειρὸς θλίβοντος αὐτούς. [28]καὶ ὡς ἀνεπαύσαντο, ἐπέστρεψαν ποι-
ῆσαι τὸ πονηρὸν ἐνώπιόν σου· καὶ ἐγκατέλιπες αὐτοὺς εἰς χεῖρας
ἐχθρῶν αὐτῶν, καὶ κατῆρξαν ἐν αὐτοῖς. καὶ πάλιν ἀνεβόησαν πρὸς
σέ, καὶ σὺ ἐξ οὐρανοῦ εἰσήκουσας καὶ ἐρρύσω αὐτοὺς ἐν οἰκτειρ-
29 μοῖς σου πολλοῖς, [29]καὶ ἐπεμαρτύρω αὐτοῖς ἐπιστρέψαι αὐτοὺς εἰς
τὸν νόμον σου· καὶ οὐκ ἤκουσαν, ἀλλὰ ἐντολαῖς σου καὶ ἐν τοῖς
κρίμασί σου ἡμάρτοσαν, ἃ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐ-
τοῖς· καὶ ἔδωκαν νῶτον ἀπειθοῦντα καὶ τράχηλον αὐτῶν ἐσκλήρυ-
30 ναν, καὶ οὐκ ἤκουσαν. [30]καὶ εἵλκυσας ἐπ᾽ αὐτοὺς ἔτη πολλά, καὶ
ἐπεμαρτύρω αὐτοῖς ἐν πνεύματί σου ἐν χειρὶ προφητῶν σου· καὶ
31 οὐκ ἠνωτίσαντο, καὶ ἔδωκας αὐτοὺς ἐν χειρὶ λαῶν τῆς γῆς. [31]καὶ
σὺ ἐν οἰκτειρμοῖς σου τοῖς πολλοῖς οὐκ ἐποίησας αὐτοῖς συντέλειαν
καὶ οὐκ ἐγκατέλιπες αὐτούς, ὅτι ἰσχυρὸς καὶ ἐλεήμων καὶ οἰκτείρ-
32 μων. [32]καὶ νῦν ὁ θεὸς ἡμῶν, ὁ ἰσχυρὸς ὁ μέγας ὁ κραταιὸς καὶ ὁ
φοβερός, φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεός σου, μὴ ὀλι-
γωθήτω ἐνώπιόν σου πᾶς ὁ μόχθος ὃς εὗρεν ἡμᾶς καὶ τοὺς βασι-
λεῖς ἡμῶν καὶ τοὺς ἄρχοντας ἡμῶν καὶ τοὺς ἱερεῖς ἡμῶν καὶ τοὺς

24 τας χειρας] om τας ℵ* (superscr ℵ$^{c.a}$) | αρεστα ℵ **25** om ελαιωνας ℵA και ℵ* (hab ελεωνας ℵ$^{a\ mg}$) | ετρυφησαν] ε|νετρυφησαν A **26** ηλαλαξαν Bℵ$^{a(vid)}$] ηλλαξαν ℵ*A | ερρειψαν B*ℵ (ερριψαν B^{b}A) | αυτων] εαυτων ℵ | διεμαρτυρουντο A **27** om σου 1° A | σωτηριας A | θλιβοντος] θλιβοντων ℵ (θλειβ.) A **28** ενκατελιπες ℵ εγκατελειπες A (item 31) **29** αλλ A | εντολαις] pr εν ταις ℵA | om εν A | κριμασιν A | ημαρτον ℵ* (ημαρτοσαν ℵ$^{a(vid)}$) | α B*^{b}] ο B$^{ab\ mg}$ | om εν αυτοις A | τραχηλον αυτων εσκληρυναν] εσκληρυναν τον τραχ. αυτ. ℵ τραχ. εαυτων εσκληρ. A **30** ηλκυσας A | ετη] εθνη (θνη sup ras) ℵ$^{c.a}$ | ενωτισαντο ℵA | αυτοις B* et sup ras A^{a} (αυτους B^{ab}ℵA*) **31** αυτοις] αυτους ℵA | ισχυρος] + ει ℵ$^{c.a}$A | οικτειρμων] + ει ℵ$^{c.a}$ **32** om ημων 1° ℵ* (superscr ℵ^{a}) | ο φοβερος] om ο A | φυλασσων] pr ο ℵ | om σου 1° A

Β προφήτας ἡμῶν καὶ τοὺς πατέρας ἡμῶν καὶ ἐν παντὶ τῷ λαῷ σου
ἀπὸ ἡμερῶν βασιλέων Ἀσσοὺρ καὶ ἕως τῆς ἡμέρας ταύτης. 33καὶ 33
σὺ δίκαιος ἐπὶ πᾶσι τοῖς ἐρχομένοις ἐφ' ἡμᾶς, ὅτι ἀλήθειαν ἐποί-
ησας· καὶ ἡμεῖς ἐξημάρτομεν, 34καὶ οἱ βασιλεῖς ἡμῶν καὶ οἱ ἄρχοντες 34
ἡμῶν καὶ οἱ ἱερεῖς ἡμῶν καὶ οἱ πατέρες ἡμῶν οὐκ ἐποίησαν τὸν
νόμον σου, καὶ οὐ προσέσχον τῶν ἐντολῶν σου καὶ τὰ μαρτύριά
σου ἃ διεμαρτύρω αὐτοῖς. 35καὶ αὐτοὶ ἐν βασιλείᾳ σου καὶ ἐν ἀγα- 35
θωσύνῃ τῇ πολλῇ ᾗ ἔδωκας αὐτοῖς καὶ ἐν τῇ γῇ τῇ πλατείᾳ καὶ
λιπαρᾷ ᾗ ἔδωκας ἐνώπιον αὐτῶν οὐκ ἐδούλευσάν σοι, καὶ οὐκ ἀπέ-
στρεψαν ἀπὸ ἐπιτηδευμάτων αὐτῶν τῶν πονηρῶν. 36ἰδοὺ ἐσμεν 36
σήμερον δοῦλοι, καὶ ἡ γῆ ἣν ἔδωκας τοῖς πατράσιν ἡμῶν φαγεῖν
τὸν καρπὸν αὐτῆς, 37τοῖς βασιλεῦσιν οἷς ἔδωκας ἐφ' ἡμᾶς ἐν ἁμαρ- 37
τίαις ἡμῶν· καὶ ἐπὶ τὰ σώματα ἡμῶν ἐξουσιάζουσιν καὶ ἐν κτήνεσιν
ἡμῶν ὡς ἀρεστὸν αὐτοῖς, καὶ ἐν θλίψει μεγάλῃ ἐσμέν. 38καὶ 38 (1) (X)
ἐν πᾶσι τούτοις ἡμεῖς διατιθέμεθα πίστιν· καὶ γράφομεν, καὶ
ἐπισφραγίζουσιν ἄρχοντες ἡμῶν, Λευεῖται ἡμῶν, ἱερεῖς ἡμῶν.

XX 1Καὶ ἐπὶ τῶν σφραγιζόντων Νεεμίας υἱὸς Ἀχελιά, καὶ Σε- 1 (2)
δεκίας 2υἱὸς Σαραιά, καὶ Ἀζαριά, καὶ Ἰερμιά, 3Φασούρ, Ἀμαριά, 2 (3)
3 (4)
Μελχειά, 4Τούς, Ἐβανεί, Μαλούχ, 5Εἰράμ, Ἀμεραμώς, Ἀββδειά, 4 (5)
5 (6)
6Δανιήλ, Τνατόθ, Βαρούχ, 7Μεσουλάμ, Ἀβειά, Μιαμείμ, 8Να- 6—8 (7—9)
δειά, Βελσειά, Σαμαιά, οὗτοι ἱερεῖς· 9καὶ οἱ Λευεῖται, Ἰησοῦς υἱὸς 9 (10)
Ἀζανειά, Βαναιοὺ ἀπὸ υἱῶν Ἡναδάβ, Καδμιὴλ 10καὶ οἱ ἀδελ- 10 (11)
φοὶ αὐτοῦ, Σαβανιά, Ὡδουιά, Καντά, 12Ζαχώρ, Ζαραβιά, Σεβανιά, 12 (13)

ℵA **33** δικαιος] διος ℵ* (και superscr ℵa) + ει ℵc.aA | πασιν ℵA | εχομενοις ℵ* (ρ superscr ℵc.a) **34** μεμαρτυρω B* (διεμαρτυρω BabℵA) **35** αγαθωσυνη (αθωσυνη A)] + σου ℵA | τη πλατεια] om τη A | ουκ 1°] pr αι ℵ* vid (ras αι ℵ?) | απεστρεψαν] επεστρεψαν A | αυτων 2°] εαυτων ℵ om A **37** οις εδωκας] οις ε sup ras Aa? | om και επι...ημων 3° ℵ* (hab ℵa mg inf partim retract ℵc.b) | κτηνεσιν] pr τοις ℵa vid **38** πασι BℵA | om ημεις ℵ* (hab ℵa (mg)) διατιθεμεθα] pro θ al lit coep B* vid | αρχοντες] pr παντες ℵ* (improb ℵ?) A | Λευειται BℵA (Λευιτ. A)] pr και ℵ* (ras ℵ?) | ιερεις] pr και ℵ* (ras ℵ?) XX **1** σφραγιζοντων] εσφραγισμενων ℵc.a | Αχαλια A **2** Αζαρια] Ζαχαριας ℵ* (Αζ. ℵc.a) | Ιερεμια ℵ **3** Μελχια ℵ **4—5** Τουσεβα· Νειμ· Αλουχειραμ· B Τουσαβανει· Μαλουχειραμ ℵ* Ατους Σαβανει· M. ℵc.a Αττους· Σεβανι· Μαλουχ'· Ιραμ'· A **5** Αμεραμως] Αμεραμωθ ℵ Μεραμωθ A | Αββδια A **6** Τνατοθ] Ανατωθ ℵ Γαανναθων A **7** Αβια A | Μιαμειμ] Μειαμων ℵ Μιαμειν A **8** Ναδεια] Αζεια ℵ Μααζεια A | Βελσεια] Βελσια ℵ Βελγαι A **9** οι Λευειται] Λευιται ℵ οι Λευιτ. A | Αζανεια] Αζανιηλ ℵ Αζανια A | Βαναιου] Αβαναιου ℵc.a | Ηναδαβ] Ηναλαβ Bb vid Ηνηλαδ A **10** αυου ℵ* (τ superscr ℵ?) | Σεβανια ℵA | Καντα] Καν θαν ℵ* Καλιτα ℵc.a Καλιταν A + Φελεια· Αναν· ℵc.a (mg)A **(11)** Μιχα· Ροοβ (Ρωωβ A)· Εσεβιας· ℵc.a (mg)A (om B) **12** Ζαχχωρ ℵ? Ζακχωρ A | Ζαραβια] Ζαθαρια ℵ* vid Σαραβια ℵc.aA

(14) 13 (15) 14 (16) 15 (17) 16 13 Ὠδούμ, υἱοὶ Βενιαμείν· 14 ἄρχοντες τοῦ λαοῦ Φόρος, Φααδμωάβ, Β
'Ηλάμ, Ζαθουιά· υἱοὶ Βανί, 15 'Ασγάδ, Βηδαί, 16 'Εδανιά, Βαγοσί,
(18—20) 17—19 'Αδείν, 17 'Αδήρ, 'Εζεκιά, 'Αδούρ, 18 'Οδουιά, 'Ησάμ, Βησεί, 19 'Αρείφ,
(21) 20 (22) 21 'Αναθώθ, Βωναί, 20 Βαγαφής, Μεσουλάμ, 'Ηζείρ, 21 Μεσωζεβήλ,
(23—25) 22—24 Σαδδούκ, 22 Φαλτιά, 'Ανάν, Αἰά, 23 'Ωσηθά, 'Ανανιά, 'Ασούθ, 24 'Αλωής,
(26) 25 (27) 26 Φαδαείς, Σωβήκ, 25 'Ραούμ, 'Εσαβανά, Μαασαιὰ 26 καὶ 'Αρά, Αἰνάν,
(28) 27 (29) 28 'Ηνάμ, 27 Μαλούχ, 'Ηράμ, Βαανά. 28 Καὶ οἱ κατάλοιποι τοῦ λαοῦ,
οἱ ἱερεῖς, οἱ Λευεῖται, οἱ πυλωροί, οἱ ᾄδοντες, οἱ Ναθινείμ, καὶ πᾶς
ὁ προσπορευόμενος ἀπὸ λαῶν τῆς γῆς πρὸς νόμον τοῦ θεοῦ, γυ-
ναῖκες αὐτῶν, υἱοὶ αὐτῶν, θυγατέρες αὐτῶν· πᾶς ὁ εἰδὼς καὶ συνίων
(30) 29 29 ἐνίσχυον ἐπὶ τοὺς ἀδελφοὺς αὐτῶν, κατηράσαντο αὐτοὺς καὶ εἰσ-
ἦλθοσαν ἐν ἀρᾷ καὶ ἐν ὅρκῳ Τοῦ πορεύεσθαι ἐν νόμῳ τοῦ θεοῦ ὃς
ἐδόθη ἐν χειρὶ Μωυσῆ δούλου τοῦ θεοῦ, καὶ φυλάσσεσθαι καὶ ποιεῖν
(31) 30 πάσας τὰς ἐντολὰς ἡμῶν καὶ κρίματα αὐτοῦ, 30 καὶ τοῦ μὴ δοῦναι
θυγατέρας ἡμῶν τοῖς λαοῖς τῆς γῆς, καὶ τὰς θυγατέρας αὐτῶν οὐ
(32) 31 λημψόμεθα τοῖς υἱοῖς ἡμῶν· 31 καὶ λαοὶ τῆς γῆς οἱ φέροντες τοὺς
ἀγορασμοὺς καὶ πᾶσαν πρᾶσιν ἐν ἡμέρᾳ τοῦ σαββάτου ἀποδόσθαι,
οὐκ ἀγορῶμεν παρ' αὐτῶν ἐν σαββάτῳ καὶ ἐν ἡμέρᾳ ἁγίᾳ· καὶ
(33) 32 ἀνήσομεν τὸ ἔτος τὸ ζ′ καὶ ἀπαίτησιν πάσης χειρός. 32 καὶ ποι-
ήσομεν ἐφ' ἡμᾶς ἐντολάς, δοῦναι ἐφ' ἡμᾶς τρίτον τοῦ διδράχμου
(34) 33 κατ' ἐνιαυτὸν εἰς δουλείαν οἴκου θεοῦ ἡμῶν, 33 εἰς ἄρτους τοῦ προσ-
ώπου καὶ θυσίαν τοῦ ἐνδελεχισμοῦ, καὶ εἰς ὁλοκαύτωμα τοῦ ἐνδε-

13 Ωδουμ] Ωδουα A | Βενιαμειν] Βανουαιαι A **14** Φααθμωαβ ℵA | ℵA Ζαθθουια A **14—16** Βανιας· Γαδβηδαι|ε· Δανια· B Βανιασ|ταδ|βηδαιε· Δανια· ℵ Βα|νι· Αζγαδ'· Βηβαι· Ααναα A **16** Βαγοσι] Βαγοει ℵA | Ηδιν ℵ **17** Αδηρ] Ατηρ A | Αδουρ] Αζουρ ℵA **18** Βησει] Βηθει ℵ **19** Αρειφα'| Ναθωθ B Αρει|φαναθωθ ℵ Αριφ'·| Αναθωθ A | Βωναι] Νωβαι A **20** Βαγα-φης] Μαιαφης A **21** Σαδδουκ] Σαδουκ A + Ιεδδουα ℵ$^{c.a}$ + Ιεδδουκ A **22** Φαλδεια ℵ* Φαλτεια ℵ$^{?}$ | Αναναια B^{vid} Αναν· Αναια ℵ*A Αναν· Ανανια ℵ$^{c.a}$ **23** Ωσηθα] Ασηε A | Ασουθ] Ασουβ A **24** Αλωης] Αδω A **24—25** Φα-δαεις...Μαασαια] Φαδα|εισσω· Βηκραουμεσα·| Βαναμα· Ασαια B Φαδ|αεισσ|ω-βηκ|ραουμεσα|βανα|μαασαια| ℵ Φαλαει· Σωβηκ'· Ραουμ'· Εσαβανα· Μααλσια A **26—27** Αρα· Αινανην· Αμμαλουχηραμ· B Αια| Αινα| Ηνα| Μααλουχ'| Ηραμ ℵ^{vid} Αια· Αινᾶ·| Ηναν· Μαλουχ'· Ρεουμ'· Λ **28** οι Λευειται (Λευιτ. ℵ)] pr και A | Ναθεινιμ ℵ | λαων] του λαου A | της γης] om γης ℵ* (superscr ℵ^{a}) | νομον] pr τον A | ειδως] ειδων A **29** αυτων] εαυτων A | κατηρασαντο] pr και A | εισηλθον ℵ | om και 3° A | ημων] του θῦ (superscr) ℵ$^{c.a}$ κυ A | κριματα] pr τα ℵ | αυτου] + ϗ προσταγματα αυτου ℵ$^{c.a\ mg}$ **30** λημψ. B*^{b} (B^{b} "praeter morem") **31** πασαν] την ℵ*^{vid} (π. ℵ$^{c.a}$) | αγορωμεν] αγορασωμεν ℵ$^{c.a}$ (ασ impr ℵ$^{c.b\ vid}$) | ζ′] εβδομον ℵA **32** ποι-ησομεν] στησομεν ℵA | ημας 1°] υμας ℵ* (ημας ℵ^{a}) | om εφ 2° ℵ | διδραγ-μου A | δουλιαν ℵ | θεου] pr του A **33** του ενδελεχ. (1°)] om του A

Β λεχισμοῦ τῶν σαββάτων, τῶν νουμηνιῶν, εἰς τὰς ἑορτὰς καὶ εἰς
τὰ ἅγια, καὶ τὰ περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ Ἰσραήλ, καὶ εἰς
ἔργα οἴκου θεοῦ ἡμῶν. 34καὶ κλήρους ἐβάλομεν περὶ κλήρου 34 (35)
ξυλοφορίας οἱ ἱερεῖς καὶ οἱ Λευεῖται καὶ ὁ λαὸς ἐνέγκαι εἰς οἶκον
θεοῦ ἡμῶν, εἰς οἶκον πατριῶν ἡμῶν, εἰς καιροὺς χρόνων ἐνιαυτὸν
κατ' ἐνιαυτόν, ἐκκαῦσαι περὶ τὸ θυσιαστήριον τοῦ θεοῦ ἡμῶν,
ὡς γέγραπται ἐν βιβλίῳ· 35καὶ ἐνέγκαι τὰ πρωτογενήματα τῆς 35 (36)
γῆς ἡμῶν καὶ πρωτογενήματα καρποῦ παντὸς ξύλου ἐνιαυτὸν
κατ' ἐνιαυτὸν εἰς οἶκον, 36καὶ τὰ πρωτότοκα υἱῶν ἡμῶν καὶ κτη- 36 (37)
νῶν ἡμῶν, ὡς γέγραπται ἐν τῷ νόμῳ, καὶ τὰ πρωτότοκα βοῶν
ἡμῶν καὶ ποιμνίων ἡμῶν ἐνέγκαι εἰς οἶκον θεοῦ ἡμῶν τοῖς ἱερεῦ-
σιν τοῖς λειτουργοῦσιν ἐν οἴκῳ θεοῦ ἡμῶν. 37καὶ τὴν ἀπαρχὴν 37 (38)
σίτων ἡμῶν καὶ τὸν καρπὸν παντὸς ξύλου, οἴνου καὶ ἐλαίου, οἴσο-
μεν τοῖς ἱερεῦσι, εἰς γαζοφυλάκιον οἴκου τοῦ θεοῦ, καὶ δεκάτην
γῆς ἡμῶν τοῖς Λευείταις· καὶ αὐτοὶ οἱ Λευεῖται δεκατοῦντες ἐν
πάσαις πόλεσιν δουλείας ἡμῶν. 38καὶ ἔσται ὁ ἱερεὺς Ἀαρὼν μετὰ 38 (39)
τοῦ Λευείτου ἐν τῇ δεκάτῃ τοῦ Λευείτου, καὶ οἱ Λευεῖται ἀνοίσουσιν
τὴν δεκάτην τῆς δεκάδος εἰς οἶκον θεοῦ ἡμῶν εἰς τὰ γαζοφυλάκια
εἰς οἶκον τοῦ θεοῦ. 39ὅτι εἰς τοὺς θησαυροὺς οἴσουσιν οἱ υἱοὶ 39 (40)
Ἰσραὴλ καὶ οἱ Λευεῖται ἀπαρχὰς τοῦ σίτου καὶ τοῦ οἴνου καὶ τοῦ
ἐλαίου, καὶ ἐκεῖ σκεύη τὰ ἅγια καὶ οἱ ἱερεῖς καὶ οἱ λειτουργοὶ καὶ
οἱ πυλωροὶ καὶ οἱ ᾄδοντες· καὶ οὐκ ἐγκαταλείψομεν τὸν οἶκον
τοῦ θεοῦ ἡμῶν.

1Καὶ ἐκάθισαν οἱ ἄρχοντες τοῦ λαοῦ ἐν Ἰερουσαλήμ· καὶ οἱ 1 XXI (XI)
κατάλοιποι τοῦ λαοῦ ἐλάβοσαν κλήρους ἐνέγκαι ἕνα ἀπὸ τῶν δέκα
καθίσαι ἐν Ἰερουσαλήμ, πόλει τῇ ἁγίᾳ, καὶ ἐννέα μέρη ἐν ταῖς πό-
λεσιν. 2καὶ εὐλόγησεν ὁ λαὸς τοὺς πάντας ἄνδρας τοὺς ἑκουσια- 2

ℵA **33** *θεου*] pr *τα* ℵ* pr *του* ℵ[a] (ras et *τα* et *του* ℵ[?]) A **34** Λευιται ℵ | *οικον* 2°] *οικους* ℵA | *χρονων*] pr *απο* ℵA | *περι* 2°] *επι* ℵ | *του θεου*] *κῡ θῡ* ℵA | *βιβλιω*] *τω νομω* ℵA **35** *καρπου*] pr *παντος* ℵ[c.a mg] | *οικον*] + *κῡ* ℵ[c.a?] (*κυ* ℵ* [vid]) A **36** *και* 1°] *αι* ℵ* (*κ* superscr ℵ[c.a?]) | *υιων*] pr *των* ℵ | *κτηνων*] pr *των* ℵ | *προτοτοκα* A | *βοων*] pr *των* A | *ποιμνιων*] *ποιμνηιων* A | *οικω*] *οικῶω* ℵ*[vid] (ras *ῡ* ℵ[?]) **37** *οινου*] pr *και* ℵ | *ιερευσιν* B[a]ℵA | *γαζοφυλακιον*] pr *το* ℵA | *γαζοφυλακιον...ημων* 2°] *γαμων* A | *δεκατην γης*] *δε|κατας γης* ℵ* *δεκατην της γης* (*την της* superscr) ℵ[c.a] ras *της* ℵ[c.b] | *Λευιταις* A | *Λευιται* ℵA | *δουλιας* ℵA **38** *Ααρων*] pr *υιος* ℵ[c.a mg]A | *Λευιτ.* ℵA (ter) | *δεκαδος*] *γης Χανααν δεκατης* ℵ* *δεκατης* ℵ[c.a] A | *θεου* 2°] *θησαυρου* ℵ[c.a mg] seq ras in A (*θῡ ημῶ·* A* [vid]) **39** *οισουσιν*] *εισοισουσιν* ℵA | *Λευειται*] *υιοι του Λευει* (*Λευι* A) ℵA | *απαρχας*] pr *τας* ℵA | *του σιτου*] om *του* ℵ* (hab *του* ℵ[c.a]) | om *και* 6° A | *εγκαταλειψομεν* B[ab]A | *του θεου*] *κῡ θῡ* A XXI **1** *του*| *ου* ℵ* (*του λαου* ℵ[a]) | *ελαβοσαν*] *εβαλον* ℵ[c.a mg] A | *ενα*] *α* ras ℵ[c.a] **2** *ηυλογησαν* ℵ

3 ζομένους καθίσαι ἐν Ἰερουσαλήμ. 3καὶ οὗτοι οἱ ἄρχοντες τῆς χώρας Β
οἳ ἐκάθισαν ἐν Ἰερουσαλήμ· καὶ ἐν πόλεσιν Ἰούδα ἐκάθισεν ἀνὴρ ἐν
κατασχέσει αὐτοῦ ἐν πόλεσιν αὐτῶν, Ἰσραήλ, οἱ ἱερεῖς καὶ οἱ Λευεῖται
4 καὶ οἱ υἱοὶ δούλων Σαλωμών. 4καὶ ἐν Ἰερουσαλὴμ ἐκάθισαν ἀπὸ
υἱῶν Ἰούδα καὶ ἀπὸ υἱῶν Βενιαμείν. ἀπὸ υἱῶν Ἰούδα· Ἀθεὰ υἱὸς
Ἀζὲδ υἱὸς Ζαχαριὰ υἱὸς Σαμαρειὰ υἱὸς Σαφατιὰ υἱὸς Μαλελήμ, καὶ
5 ἀπὸ υἱῶν Φάρες. 5καὶ Μαασειὰ υἱὸς Βαρούχ υἱὸς Χαλεὰ υἱὸς Ὀζειὰ
6 υἱὸς Δαλεὰ υἱὸς Ἰωρειβ υἱὸς Θηζειὰ υἱὸς τοῦ Δηλωνέ. 6πάντες υἱοὶ
Σέρες οἱ καθήμενοι ἐν Ἰερουσαλὴμ τετρακόσιοι ἑξήκοντα ὀκτὼ ἄνδρες
7 δυνάμεως. 7καὶ οὗτοι υἱοὶ Βενιαμείν· Σηλὼ υἱὸς Ἀμεσουλά, Ἰωὰδ
8 υἱὸς Φαλαιὰ υἱὸς Κοδιὰ υἱὸς Μαγαὴλ υἱὸς Αἰθιὴλ υἱὸς Ἰεσιά· 8καὶ
9 ὀπίσω αὐτοῦ Γηβή, Σηλεί, ἐννακόσιοι εἴκοσι ὀκτώ. 9καὶ Ἰωὴλ υἱὸς
Ζεχρεὶ ἐπίσκοπος ἐπ' αὐτούς, καὶ Ἰούδας υἱὸς Ἀσανὰ ἐπὶ τῆς πόλεως
10 11 δεύτερος. 10ἀπὸ τῶν ἱερέων καὶ Δαδειὰ υἱὸς Ἰωρείβ, Ἰαχείν, 11Σαραιὰ
υἱὸς Ἑλκειὰ υἱὸς Μεισουλὰμ υἱὸς Σαδδοὺκ υἱὸς Μαριὼθ υἱὸς Ἀπωβώχ,
12 ἀπέναντι οἴκου τοῦ θεοῦ. 12καὶ ἀδελφοὶ αὐτῶν ποιοῦντες τὸ ἔργον
13 τοῦ οἴκου· Ἀμασεὶ υἱὸς Ζαχαρειὰ υἱὸς Φασσοὺρ υἱὸς Μελχειά, 13ἄρχοντες
πατριῶν διακόσιοι τεσσεράκοντα δύο. καὶ Ἀμασειὰ υἱὸς Ἐσδριήλ,
14 14καὶ ἀδελφοὶ αὐτοῦ δυνατοὶ παρατάξεως ἑκατὸν εἴκοσι ὀκτώ, καὶ ἐπί-
15 σκοπος Βαδιήλ. 15καὶ ἀπὸ τῶν Λευειτῶν Σαμαιὰ υἱὸς Ἀσούβ υἱὸς

3 εκαθισεν B𝔖$^{c.a}$] εκαθισαν 𝔖*A | αυτου] εαυτου 𝔖$^{c.a}$ | Λευιται 𝔖A + και οι 𝔖A Ναθιναιοι 𝔖$^{c.a\ mg}$A | υιοι δουλων] οι δ sup ras A^{1} **4** εν Ιερουσαλημ] ενι Ιλημ 𝔖* (ι ras 𝔖$^{?}$) | υιων 2°] υ repet 𝔖$^{c.a\ vid}$ | Βενιαμιν B* (-μειν B^{ab}) | Αθεε 𝔖 Αθεαι A | Αζεδ] Αζεδνα 𝔖 Οζια A | Σαμαρεια] Αμαρια 𝔖 Σαμαρια A | Μαλελημ] Μαλελεηλ'· A **5** Μαασεια] Μεσεια 𝔖* Αμεσεια 𝔖$^{c.a}$ Μαλσια A | Χαλεα] Χαλαζα A | Οζια A | Δαλεα] Αχαια A | Ιωρειβ B𝔖$^{c.a\ (vid)}$] Ιωρειμ 𝔖* Ιωιαριβ A | Θηζεια] Θηδεια 𝔖 Ζαχαριου A | Δηλωνε] Δηλωνει 𝔖 Ηλωνι A **6** Σερες] Φαρες 𝔖A **7** ουτοι] αυτοι 𝔖 | Σηλωμ' 𝔖$^{c.a}$ | Αμεσουλα] Αμεσουλαμ 𝔖 Μεσουλαμ A | Ιωαδ] υιος Ιωαβ 𝔖 υιος Ιωαδ A | Φαλαια] Φαδαια A | Κοδια] Κωλεια 𝔖 Κωλεια A | inter υιος 4° et Μαγαηλ lineol ins B* | Μαγαηλ] Ματαηλ 𝔖 Μαασιου A | Αιθιηλ] Σεθιηλ 𝔖 | Ιεσια] Ιες| B*^{vid} + ια B^{b} Ιεσσια 𝔖 Ιεσ|σεια A **8** Γηβη Σηλει] Γη|βεις· Ηλει 𝔖 Γηβεει·| Σηλει· A | εννακοσιοι] πεντακοσιοι 𝔖* (ϡ′ 𝔖$^{?\ mg\ vid}$) **9** Ζεχρι A | Ιουδα 𝔖 | om υιος 2° A | επι] απο A **10** απο] ο rescr 𝔖$^{?}$ | Δαδεια] Δαλεια 𝔖 Ιαδια A | Ιωρειβ] Ιωρειμ 𝔖 Ιωριβ A **11** Ελκεια] Ελχια A | Μεσουλαμ 𝔖A | Σαδουκ 𝔖 | Απωβωχ] Αποβωκ 𝔖 Αιτωβ A **12** οικου] + ωκβ′ 𝔖$^{c.a\ (mg)}$ + ϛ Αδαια· υιος Ιροαμ υιου Φαλαλια υιου 𝔖$^{c.a\ mg\ inf}$ + οκτακοσιοι εικοσι δυο| και Αδαια υιος Ιεροαμ'· υιου Φα|λαλια A | Αμασει] Αμεσσει 𝔖 Αμασι A | υιος 1°] υιου 𝔖$^{c.a}$ | Ζαχαρια 𝔖A | Φασεουρ 𝔖A | om υιος 3° A | Μελχεια] Μελχια A + ϛ αδελφοι αυτου 𝔖$^{c.a\ mg}$ **13** δυο] οκτω 𝔖* (β′ 𝔖$^{c.a\ (mg)}$) | Αμασεια] Αμασια 𝔖 Αμεσαι A | Εσδριηλ] Εζριηλ A + υιου Αζαχιου· υιου Μασαλαμιθ· υιου Εμμηρ· 𝔖$^{c.a\ mg\ inf}$ **14** παρα||ξεως B* (τα ins B$^{b?}$) | επισκοπος] + επ αυτω| 𝔖$^{c.a\ (mg)}$A | Βαδιηλ] Βαζιηλ 𝔖* Ζεχριηλ 𝔖$^{c.a\ mg}$ Ζοχριηλ A + υιος των μεγαλων 𝔖$^{c.a\ (mg)}$ **15** Λευιτων 𝔖A

Β Ἐζερεί· [17]καὶ Μαθανιὰ υἱὸς Μαχά, καὶ Ὠβὴβ υἱὸς Σαμονεί, [18]δια- [17 18]
κόσιοι ὀγδοήκοντα τέσσαρες. [19]καὶ οἱ πυλωροὶ Ἀκούβ, Τελαμείν, 19
καὶ οἱ ἀδελφοὶ αὐτῶν ἑκατὸν ἑβδομήκοντα δύο. [22]καὶ ἐπίσκοπος 22
Λευειτῶν υἱὸς Βανεί, Ὀζεὶ υἱὸς Ἀσαβιὰ υἱὸς Μειχά. ἀπὸ υἱῶν
Ἀσὰβ τῶν ᾀδόντων ἀπέναντι ἔργου οἴκου τοῦ θεοῦ· [23]ὅτι ἐντολὴ 23
τοῦ βασιλέως εἰς αὐτούς. [24]καὶ Παθαιὰ υἱὸς Βασηζὰ πρὸς χεῖρα 24
τοῦ βασιλέως εἰς πᾶν χρῆμα τῷ λαῷ. [25]καὶ πρὸς τὰς ἐπαύλεις ἐν 25
ἀγρῷ αὐτῶν. καὶ ἀπὸ υἱῶν Ἰούδα ἐκάθισαν ἐν Καριαθὰρ [26]καὶ ἐν 26
Ἰησοὺ [27]καὶ ἐν Βεηρσάβεε, [30]καὶ ἐπαύλεις αὐτῶν, Λαχεὶς καὶ ἀγροὶ [27 30]
αὐτῆς· καὶ παρενεβάλοσαν ἐν Βεηρσάβεε. [31]καὶ οἱ υἱοὶ Βενιαμεὶν ἀπὸ 31
Γάλα, Μαχαμάς. [36]καὶ ἀπὸ τῶν Λευειτῶν μερίδες Ἰούδα τῷ Βενιαμείν. 36

[1]Καὶ οὗτοι οἱ ἱερεῖς καὶ οἱ Λευεῖται οἱ ἀναβαίνοντες μετὰ Zoro- 1 XXII(XI
βαβὲλ υἱοῦ Σαλαθιὴλ καὶ Ἰησοῦ· Σαραιά, Ἰερμιά, Ἔσδρά, [2]Μαριά, 2

ℵA **15** Εξερει] Εεχρει ℵ* vid Εζρικαν ℵ c.a Εσζρι A + (**16**) υιος Ασαβιου· υιου Βονναι
ℌ| Σοββαθαιος ℌ Ιωζαβαδ· επι| του εργου του εξωτατου οικου| του θῦ : απο των
αρχηγων τω̃| Λευιτων ℵ c.a mg sup **17** Μαθθανια ℵ* Μαθθανιας ℵ c.a A | Μαχα]
Μιχα A + υοι (sic) Ζεχρι· υιου Ασαφ' αρχηγος του αινου| του Ιουδα εις προσευχην
ℌ Βακβακιας| δευτερος εκ των αδελφων εαυτου ℌ Αββας| υιος Σαμμουε· υιου Γα-
λελ· υιου Ιδιθουν·| παντες οι Λευιται εν τη πολει τη αγια ℵ c.a mg sup | και Ωβηβ
υιος Σαμονει] και Ιωρηβ υιος Σ. ℵ* (om ℵ c.a (vid)) και Ιωβηβ υιος Σαμουι A
19 αυτων] + οι φυλασ|σοντες εν| ταις πυλαις ℵ c.a mg | δυο] + (**20**) το δε λοιπον
του Ισλ οι ιερεις ℵ c.a (mg) + ℌ οι Λευιται εν πασαις ταις πολεσιν της| Ιουδαιας
εκαστος εν τη κληρουχια αυτου·| (**21**) οι δε Ναθιναιοι κατωκησαν εν Οφελ' ℌ|
Σιαλ ℌ Γεσφα· επι τοις Ναθιναιοις :| ℵ c.a mg inf **22** Λευειτων] + εν Ιλημ·
Αζα ℵ c.a (mg) | υιος ter] υιου ℵ c.a | Βανει] Βονει ℵ c.a Βανι A | om Οζει ℵ c.a
Οζι A | Ασαβεια ℵ + υιου Μαθθανιου ℵ c.a (mg) | Μειχα BℵT] Αμειχα ℵ* Μιχα
A | υιων] pr των ℵ | Ασαβ] Ασαφ A | αιδοντων B*b (αδ. Ba) | οικου εργου ℵ*
23 εις] επ ℵA | αυτους] + και διεμειναν επι τοις ωδοις εκαστης ημερας αυθημερον
ℵ c.a (mg) **24** Παθαια] Παθεια ℵ* Φαθεια ℵ c.a Φαθαια A | Βασηζα] Βαση-
ζαβεηλ· απο των Ζαρε υιου Ιουδα ℵ c.a | χρημα] ρημα ℵ c.a (ras χ) **25** Καρι-
αθαρ] Καριαθαρβα ℵ c.a Καριαθαρβο A **26** εν Ιησου] εν ταις θυ|γατρασιν
αυ|τῆς ℌ την Δι|βων ℌ τας| θυγατερας| αυτης ℌ εν| Καβσεηλ ℌ| εν ταις κω|μαις
αυτης ℌ| εν Ιησου ℌ| Μωλαδα ℌ| εν Βηβφαλτ'| ℌ εν Εσερσο|αλ' ℵ c.a mg
27 Βηρσαβεε ℵ Βερσαβεε A + ℌ ταις θυγατρασιν αυτης (**28**) ℌ εν Σικε|λετ' ℌ εν
Μαχνα ℌ εν ταις θυγατρασιν| αυτης (**29**) ℌ εν Ρεμμιον ℌ εν Σαραα· ℌ εν|
Ιριμουθ· Ζανωε· Οδολλαμ·| ℵ c.a mg inf **30** επαυλεις] pr αι ℵ | αγροι] pr οι
ℵA | αυτης] + Αζηκα ℌ| εν ταις θυγα|τρασιν ℌ ℵ c.a mg | παρενεβαλον ℵ* (παρ-
ενεβαλοσαν ℵ c.a) | Βηρσαβεε ℵ Βερσαβεε A + εως φαραγγος Εννομ ℵ c.a (mg)
31 οι υιοι] om οι A | Γαλα] Γαβα ℵ* Γαβαα ℵ c.a A | Μαχαμας] Μαχμας ℵ c.a
+ ℌ Αιω ℌ Βηθηρ ℌ των θυγατερων αυτης| (**32**) Αναθωθ· Νοβ· Ανανια·
(**33**) Ασωρ· Ραμα· Γεθθιμ·| (**34**) Αδωδ· Σεβοειμ· Ναβαλλατ· (**35**) Λυδδα· ℌ Ωνω|
Γηαρασιμ :| ℵ c.a mg inf (om ℵ*) XXII **1** Λευιται ℵA (item 8) | om οι 3°
ℵ* (superscr ℵ a?) | αναβαινοντες] αναβαντες ℵ?A | Ιερμεια Bab ℵ **1—2** Εσ-
δραμ· Αριαμ· Αλουλ· B Εσδρα| Μαρεια (Αμαρεια ℵ c.a) |Μαλουχ| ℵ Εζρα·
Αμαρια· Μαλουχ·| A + Αττους ℵ c.a (mg)

3 Μαλούλ, 3 Σεχενιά· 7 οὗτοι ἄρχοντες τῶν ἱερέων καὶ ἀδελφοὶ αὐτῶν ἐν Β
7 8 ἡμέραις Ἰησοῦ. 8 καὶ οἱ Λευεῖται· Ἰησού, Βανουί, Καδμιήλ, Σαραβιά,
Ἰουδά, Μαχανιά· ἐπὶ τῶν χειρῶν αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἰς
10 τὰς ἐφημερίας. 10 καὶ Ἰησοῦς ἐγέννησεν τὸν Ἰωακείμ, καὶ Ἰωακεὶμ
11 ἐγέννησεν τὸν Ἐλιασείβ, καὶ Ἐλειασεὶβ τὸν Ἰωδά, 11 καὶ Ἰωδὰ ἐγέννη-
12 σεν τὸν Ἰωναθάν, καὶ Ἰωναθὰν ἐγέννησεν τὸν Ἰαδού. 12 καὶ ἐν
ἡμέραις Ἰωακεὶμ ἀδελφοὶ αὐτοῦ οἱ ἱερεῖς καὶ οἱ ἄρχοντες τῶν πα-
13 τριῶν· τῷ Σαραιὰ Μαρεά, τῷ Ἰερεμιά, 13 τῷ Ἔσρα Μεσουλάμ, τῷ
14 22 Ἀμαρειὰ Ἰωανάν, 14 τῷ Μαλούχ. 22 οἱ Λευεῖται ἐν ἡμέραις Ἐλιασείβ,
Ἰωαδὰ καὶ Ἰωὰ καὶ Ἰωανὰν καὶ Ἰαδού, γεγραμμένοι ἄρχοντες πατριῶν,
23 καὶ οἱ ἱερεῖς ἐν βασιλείᾳ Δαρείου τοῦ Πέρσου· 23 υἱοὶ Λευεὶ ἄρχοντες
τῶν πατριῶν γεγραμμένοι ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν καὶ ἕως
24 ἡμερῶν Ἰωανὰν υἱοῦ Ἐλεισοῦε. 24 καὶ ἄρχοντες τῶν Λευειτῶν· Ἀβιὰ
καὶ Σαραβιὰ καὶ Ἰησού, καὶ υἱοὶ Καδμιὴλ καὶ οἱ ἀδελφοὶ αὐτῶν
κατεναντίον αὐτῶν εἰς ὑμνεῖν, αἰνεῖν, ἐντολῇ Δαυεὶδ ἀνθρώπου τοῦ
25 θεοῦ, ἐφημερία πρὸς ἐφημερίαν, 25 ἐν τῷ συναγαγεῖν με τοὺς πυλω-
26 ρούς 26 ἐν ἡμέραις Ἰωακεὶμ υἱοῦ Ἰησοῦ Εἰωσεδέκ, ἐν ἡμέραις Νεεμία·
27 καὶ Ἔσρας ὁ ἱερεὺς ὁ γραμματεύς. 27 Καὶ ἐν ἐγκαινίοις τείχους

3 Σεχενια] Εενια ℵ* Εχενια ℵ$^{c.a}$ + **(3)** Ρεουμ· Μαριμωθ· ℵ$^{c.a\,(mg)}$ + **(4)** ℵA Αδαιας· Γεννηθουι· Αβιας·| **(5)** Μειμιν· Μααδιας· Βαλγας·| **(6)** Σεμειας· Ιωιαριβ· Ιδειας·| **(7)** Σαλουαι· Αμουκ· Χελκιας·| Ιδειας· ℵ$^{c.a\,mg\,sup}$ **7** Ιησου ℵ **8** Ιουδα ΒℵA$^{c.a}$] Ιωδαε ℵ*A | Μαχανια] Μαθανια A | και 2°] + ϗ (ras ℵ$^{c.b}$) οι αδελφοι αυτου ϗ Βακβαιας ϗ Ιανα ℵ$^{c.a\,mg}$ | αυτου] αυτων ℵA + αντικρυς αυτων ℵ$^{c.a\,mg}$ **10** Ελιασιβ (1°) ℵ Ελιασειβ A (bis) | Ιωδα] Ιωδαε ℵ Ιωαδα A **11** Ιωδα ℵ* (Ιωδαε ℵ$^{c.a}$) Ιωαδα A | Ιωναθαν 1°] Ιωναθᾶ| ℵ* Ιωαναθᾶ| ℵ$^{c.a}$ | Ιωαναθαν (2°) ℵ **12** οι ιερεις και οι αρχ.] και οι αρχ. και οι ιερεις ℵ* (και οι ιερεις και οι αρχ. ℵ$^{?}$) | Μαραια ℵ Μαρια A | Ιερεμεια ℵ Ιερμια A + Ανανια ℵ$^{c.a\,mg}$A **13** Αραμια ℵ* (Αμαρια ℵ$^{c.a}$A) **14—21** Μαλουχ] + Ιωναθαν· τω Σεχελιου· Ιωσηφ· **(15)** τω| Ορεμ· Αδαναs· τω Μαριωθ Ελκαι·| **(16)** τω Αδδαι· Ζαχαριας· τω Γαναθωμ·| Μοσολλαμ· **(17)** τω Αβια· Ζεχρει· τω| Βενιαμειν εν καιροις τω Φελτηει·| **(18)** τω Βαλγα· Σναμουε· τω Σεμεια·| Ιωναθαν· **(19)** τω Ιωιαριβ· Μαθθαναι·| τω Ιδια· Οζι· **(20)** τω Σαλλαι· Καλλαι·| τω Αμου Αβεδ· **(21)** τω Ελκια· Ασαβιας·| τω Ιδειου· Ναθαναηλ: ℵ$^{c.a\,mg\,inf}$ (om BℵA) **22** Λευιται ℵA | Ελειασειβ ℵ | Ιωιαδα (ι ins) ℵ$^{c.a}$ | om και Ιωα ℵ$^{c.a}$ | Ιαδου] Αδουα ℵ*^{vid} Ιδουα ℵ$^{?}$ | πατριων] pr των A **23** Λευι A | βιβλιου ℵ$^{c.a}$ | υιου] υιος ℵ* (υιου ℵ$^{c.a}$) | Ελειασουε] Ελειασουβ ℵ* Ελειασουβ ℵ$^{c.a}$ Ελισουε A **24** αρχοντες] pr οι ℵ | Λευιτων A | Αβια] Ασαβιας ℵ$^{c.a}$ Ασαβια A | οι αδελφοι] om οι A | υμνειν αινειν] υμνιν και αινιν ℵ αινειν· και υμνειν A | εντολην ℵ* (ν ras ℵ$^{c.a}$) | εφημεριαν εις ℵ* (εφημερια προς ℵ$^{c.a}$) **25** εν τω] pr Μαθθανιας· ϗ Βακβακιας·| Ομβδιας· Μοσολλαμ· Ταλμων·| Ακουβ· φυλακες πυλωροι φυ|λακης ℵ$^{c.a\,mg\,sup}$ (om BℵA) **26** εν 1°] pr ουτοι ℵ$^{c.a\,(mg)}$ | Ιωσεδεκ] υιου Ιωσεδεκ ℵ Ιωσεδεκ A | εν 2°] pr και ℵ$^{c.a}$ (ras ℵ$^{c.b\,vid}$) A | Νεεμια] + του αρχοντος ℵ$^{c.a\,mg}$ | Εσδρα ℵ Εζρα A | ο 2°] pr και ℵA **27** ενκαινιοις ℵ

Β Ἰερουσαλὴμ ἐζήτησαν τοὺς Λευείτας ἐν τοῖς τόποις αὐτῶν τοῦ ἐνέγκαι
αὐτοὺς εἰς Ἰερουσαλήμ, ποιῆσαι ἐνκαίνια καὶ εὐφροσύνην ἐν θωλαθὰ
καὶ ἐν ᾠδαῖς, κυμβαλίζοντες καὶ ψαλτήρια. 28καὶ συνήχθησαν οἱ 28
υἱοὶ τῶν ᾀδόντων καὶ ἀπὸ τῆς περιχώρου κυκλόθεν εἰς Ἰερουσαλὴμ
καὶ ἀπὸ ἐπαύλεων 29καὶ ἀπὸ ἀγρῶν· ὅτι ἐπαύλεις οἰκοδόμησαν 29
ἑαυτοῖς οἱ ᾀδοντες ἐν Ἰερουσαλήμ. 30καὶ ἐκαθαρίσθησαν οἱ ἱερεῖς καὶ 30
οἱ Λευεῖται, καὶ ἐκαθάρισαν τὸν λαὸν καὶ τοὺς πυλωροὺς καὶ τὸ
τεῖχος. 31καὶ ἀνήνεγκαν τοὺς ἄρχοντας Ἰούδα ἐπάνω τοῦ τείχους. 31
32καὶ ἐπορεύθη ὀπίσω αὐτῶν Ὡσαιὰ καὶ ἥμισυ ἀρχόντων Ἰούδα, 32
33καὶ Ζαχαρίας, Ἔσρας καὶ Μεσουλάμ, 34Ἰουδὰ καὶ Βενιαμεὶν καὶ 33
Σαραιὰ καὶ Ἰερεμιά· 35καὶ ἀπὸ υἱῶν τῶν ἱερέων ἐν σάλπιγξιν Ζαχαρίας 35
υἱὸς Ἰωανὰν υἱὸς Σαμαιὰ υἱὸς Ναθανιὰ υἱὸς Μειχαιὰ υἱὸς Ζακχοὺρ
υἱὸς Ἀσάφ, 36καὶ ἀδελφοὶ αὐτοῦ Σαμαιὰ καὶ Ὀζειήλ, αἰνεῖν ἐν ᾠδαῖς 36
Δαυεὶδ ἀνθρώπου τοῦ θεοῦ· καὶ Ἔσρας ὁ γραμματεὺς ἔμπροσθεν
αὐτοῦ. 37ἐπὶ πύλης τοῦ αἰνεῖν κατέναντι αὐτῶν ἀνέβησαν ἐπὶ κλί- 37
μακας πόλεων Δαυείδ, ἐν ἀναβάσει τοῦ τείχους, ἐπάνωθεν τοῦ οἴκου
Δαυεὶδ καὶ ἕως πύλης τοῦ ὕδατος 39Ἐφράιμ, καὶ ἐπὶ πύλην ἰχθυηρὰν 39
καὶ πύργῳ Ἀνανεὴλ καὶ ἕως πύλης τῆς προβατικῆς. 42καὶ ἠκού- 42
σθησαν οἱ ᾀδοντες, καὶ ἐπεσκέπησαν. 43καὶ ἔθυσαν ἐν τῇ ἡμέρᾳ 43

ℵA **27** Λευιτας ℵA | εν|και B*vid (ενεγκαι Ba) | εγκαινια BabA | θωλαθας ℵ + εν εξομο|λογησει ℵ | ψαλτηρια]+ ⸗ κινυρας ℵc.a (mg) **28** ηχθησαν ℵ* (συν superscr ℵ*) | επαυλεων]+του Νετωφαθι· **(29)** ⸗ εκ Βηθ|αγ'γαλγαλ: ℵc.a mg **29** αγρων]+Γαβαε: ⸗ Αζμωθ: ℵc.a mg | οικοδομησαν] ι| non inst Bb ωκοδομησαν ℵA **30** εκαθερισθησαν A | Λευιται A **31** τειχους] + ⸗ εστησα δυο περι αινεσεως μεγαλους ⸗ δι|ηλθον εκ δεξιων επανω του| τειχους (+ της πυλης superscr) της κοπριας| ℵc.a (mg) **33** Ζαχαριας] Αζαριας A | Εσδρα ℵ Εζρα A | Μεσουλλαμ ℵc.a Μοσολλαμ A **34** Σαραια] Σααμαιας A | Ιερεμιας A **35** om εν A | Ιωαναν] Ιωναθαν ℵc.aA | υιος 3ο bis scr ℵ* (ras 1ο ℵ?) | Ναθανια] Μαθανια ℵ* Μαθθανια ℵc.aA | υιος 4ο] pr ο A | Μιχαια A **36** Οζρειηλ (ρ superscr) ℵc.a + Γελωλαι· Μααι· Μαθαναηλ ⸗! Ιουδας· Ανανι· εν σκευεσιν ℵc.a mg inf | ωδαις] ωδης ℵ | Εσδρα ℵ Εζρας A | αυτου 2ο] αυτων ℵA **37** πυλης 1ο] pr της ℵc.a | ανεβησαν (ανεβοησαν ℵ* ο ras ℵ?)] pr και A | πολεων] πολεως ℵA | εως πυλης] εμπυλης A **37—38** υδατος]+κατα ανατολας **(38)** ⸗ περι αινεσεως| η δευτερα επορευετο συναντωσα| αυτοις ⸗ εγω οπισω αυτης ⸗ το ημισυ| του λαου επανω του τειχους υπερανω| του πυργου των θεννουριμ· ⸗ εως του| τειχους του πλατεος ⸗ υπερανω| της πυλης ℵc.a mg sup **39** πυλην] pr την ℵc.a | ιχθυηραν] pr την ℵ*A pr της Ισανα· ⸗ επι την πυλην την ℵc.a | πυργου A | Αναμεηλ A | εως] pr απο πυργου του Ηνα· ⸗ ℵc.a (mgg) | πυλης] pr της ℵc.a | προβατικης]+εστησαν (pr ⸗ ℵc.b?) εν πυλη της φυλα|κης **(40)** ⸗ εστησαν αι δυο της αι|ρεσεως εν οικω του θυ· ⸗ εγω| ⸗ το ημισυ των στρατηγω| μετ εμου· **(41)** ⸗ οι ιερεις· Ελιακιμ· Μαασιας·| Βενιαμειν· Μιχαιας· Ελιωηναι· Ζαχαριας· Ανανιας· εν σαλπιγξιν· **(42)** ⸗ Μαασιας· ⸗ Σεμειας· ⸗ Ελεαζαρ· ⸗ Οζι· ⸗ Ιωαναν· ⸗ Μελχειας ⸗ Αιλαμ· ⸗ Ιεζουρ· ℵc.a mg (om BℵA) **42** αδοντες]+⸗ Ιεζριας ℵc.a (mg)

ἐκείνῃ θυσιάσματα μεγάλα καὶ ηὐφράνθησαν, ὅτι ὁ θεὸς ηὔφρανεν Β
αὐτοὺς μεγάλως· καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν ηὐ-
φράνθησαν, καὶ ἠκούσθη ἡ εὐφροσύνη ἐν Ἰερουσαλὴμ ἀπὸ μακρό-
44 θεν. 44Καὶ κατέστησαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἄνδρας ἐπὶ τῶν
γαζοφυλακίων, τοῖς θησαυροῖς, ταῖς ἀπαρχαῖς καὶ ταῖς δεκάταις καὶ
τοῖς συνηγμένοις ἐν αὐτοῖς ἄρχουσιν τῶν πόλεων, μερίδας τοῖς ἱερεῦσι
καὶ τοῖς Λευείταις, ὅτι εὐφροσύνη ἐν Ἰούδᾳ ἐπὶ τοὺς ἱερεῖς καὶ ἐπὶ
45 τοὺς Λευείτας τοὺς ἑστῶτας. 45καὶ ἐφύλαξαν φυλακὰς θεοῦ αὐτῶν
καὶ φυλακὰς τοῦ καθαρισμοῦ καὶ τοὺς ᾄδοντας καὶ τοὺς πυλωρούς,
46 ὡς ἐντολαὶ Δαυεὶδ καὶ Σαλωμὼν υἱοῦ αὐτοῦ. 46ὅτι ἐν ἡμέραις Δαυεὶδ
Ἀσὰφ ἀπ' ἀρχῆς πρῶτος τῶν ᾀδόντων καὶ ὕμνον καὶ αἴνεσιν τῷ
47 θεῷ. 47καὶ πᾶς Ἰσραὴλ ἐν ἡμέραις Ζοροβαβὲλ διδόντες μερίδας τῶν
ᾀδόντων καὶ τῶν πυλωρῶν, λόγον ἡμέρας ἐν ἡμέρᾳ αὐτοῦ, καὶ ἁγιά-
ζοντες τοῖς Λευείταις, καὶ οἱ Λευεῖται ἁγιάζοντες τοῖς υἱοῖς Ἀαρών.

XXIII (XIII) 1 1Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεγνώσθη ἐν βιβλίῳ Μωυσῆ ἐν ὠσὶν τοῦ
λαοῦ· καὶ εὑρέθη γεγραμμένον ἐν αὐτῷ ὅπως μὴ εἰσέλθωσιν Ἀμ-
2 μανεῖται καὶ Μωαβεῖται ἐν ἐκκλησίᾳ θεοῦ ἕως αἰῶνος, 2ὅτι οὐ συνήν-
τησαν τοῖς υἱοῖς Ἰσραὴλ ἐν ἄρτῳ καὶ ἐν ὕδατι, καὶ ἐμισθώσαντο
ἐπ' αὐτὸν τὸν Βαλαὰμ καταράσασθαι, καὶ ἔστρεψεν ὁ θεὸς ἡμῶν τὴν
3 κατάραν εἰς εὐλογίαν. 3καὶ ἐγένετο ὡς ἤκουσαν τὸν νόμον, καὶ
4 ἐχωρίσθησαν πᾶς ἐπίμικτος ἐν Ἰσραήλ. 4Καὶ πρὸ τούτου
Ἐλιασὶβ ὁ ἱερεὺς οἰκῶν ἐν γαζοφυλακίῳ οἴκου θεοῦ ἡμῶν ἐγγίων
5 Τωβιά. 5καὶ ἐποίησεν ἑαυτῷ γαζοφυλάκιον μέγα, καὶ ἐκεῖ ἦσαν τὸ
πρότερον διδόντες τὴν μαναὰμ καὶ τὸν λίβανον καὶ τὰ σκεύη, καὶ
τὴν δεκάτην τοῦ σίτου καὶ τοῦ οἴνου καὶ τοῦ ἐλαίου, ἐντολὴν τῶν

43 αυτους] + ευφροσυνη ℵ$^{c.a\ mg}$ | om αυτων 1° ℵ$^{c.a}$ | η ευφρ.] om η A | εν ℵA 2°] pr η ℵ$^{c.a}$ **44** κατεστησεν ℵ* (-σαν ℵ$^{a\ (vid)}$) | μεριδας] + του νομου ℵ$^{c.a\ (mg)}$ | ιερευσιν ℵA | Λευιταις ℵA | ευφροσυνη] + ην ℵA | επι 2°] pr και ℵA | τοις ιερ. A* (τους ιερ. A$^{?}$) | τοις Λευειταις B* τους Λευειτας B^{ab}ℵ τους Λευιτας A **45** εφυλαξεν ℵ (-ξαν ℵ$^{a\ (vid)}$) | αυτων] εαυτων A | om και 2° A **46** αρχης] seq parva ras in B **47** και πας] pr |και πας Ισλ᾽ εν ημε|ραις᾽· (sic) διδοντες μεριδας των αδοντω| και υμνον και αι|νεσιν τω θω ℵ* (om ℵ$^{?}$) | Ζοροβαβελ] + κ εν ταις ημεραις Νεεμιου ℵ$^{c.a}$ και εν τ.| ημ. Νεεμια A | Λευιταις, Λευιται ℵA XXIII **1** βιβλω ℵ* (βιβλιω ℵ$^{a\ (vid)}$) | γεγραμμενον] pr το ℵ* (om ℵ$^{?}$) | om μη ℵ* (superscr ℵ^{a}) | Αμμωνιται ℵ* Αμμανιται ℵ$^{a\ (vid)}$A | Μωαβιται A | εν 5°] εις ℵ$^{c.a\ (mg)\ vid}$ | εκκλησιαν ℵ$^{c.a}$ | θεου] κυ ℵ* του θυ ℵ$^{c.a}$A **2** εστρεψεν] επεστρεψεν A **3** Ισραηλ] Ιλημ A* (ras μ A$^{?}$) **4** ενγειων B εν Σιων ℵ*^{vid} εγγιων ℵ$^{?}$A | Τωβια] seq ras in B **5** εαυτω] αυτω A **5—7** om γαζοφυλακιον...ποιησαι αυτω B* (hab B$^{a?\,b?\,mg\,inf}$) **5** το προτερον] om το ℵA | μαναακ ℵA | om οινου και του ℵ* (hab ℵ$^{c.a\ mg}$)

Β Λευειτῶν καὶ τῶν ᾀδόντων καὶ τῶν πυλωρῶν, καὶ ἀπαρχαὶ τῶν ἱερέων. 6 καὶ ἐν παντὶ τούτῳ οὐκ ἤμην ἐν Ἰερουσαλήμ, ὅτι ἐν ἔτει 6
τριακοστῷ καὶ δευτέρῳ τοῦ Ἀρσασαθὰ βασιλέως Βαβυλῶνος ἦλθον
πρὸς τὸν βασιλέα, καὶ μετὰ τέλος ἡμερῶν ᾐτησάμην τὸν βασιλέα,
7 καὶ ἦλθον εἰς Ἰερουσαλήμ· καὶ συνῆκα ἐν πονηρίᾳ, ποιῆσαι αὐτῷ 7
γαζοφυλάκιον ἐν αὐλῇ οἴκου τοῦ θεοῦ. 8 καὶ πονηρόν μοι ἐφάνη 8
σφόδρα, καὶ ἔρριψα πάντα τὰ σκεύη οἴκου Τωβιὰ ἀπὸ τοῦ γαζο-
φυλακίου· 9 καὶ εἶπα, καὶ ἐκαθάρισα τὰ γαζοφυλάκια, καὶ ἐπέστρεψα 9
ἐκεῖ σκεύη οἴκου τοῦ θεοῦ, τὴν μαννὰ καὶ τὸν λίβανον. 10 Καὶ 10
ἔγνων ὅτι μερίδες τῶν Λευειτῶν οὐκ ἐδόθησαν, καὶ ἐφύγοσαν ἀνὴρ εἰς
ἀγρὸν αὐτοῦ οἱ Λευεῖται καὶ οἱ ᾀδοντες ποιοῦντες τὸ ἔργον. 11 καὶ 11
ἐμαχεσάμην καὶ εἶπα Διὰ τί ἐγκατελείφθη ὁ οἶκος τοῦ θεοῦ; καὶ
συνήγαγον αὐτούς, καὶ ἔστησαν αὐτοὺς ἐπὶ τῇ στάσει αὐτῶν. 12 καὶ 12
πᾶς Ἰούδας ἤνεγκαν δεκάτην τοῦ πυροῦ καὶ τοῦ οἴνου καὶ τοῦ ἐλαίου
εἰς τοὺς θησαυρούς, 13 ἐπὶ χεῖρα Σελεμιὰ τοῦ ἱερέως καὶ Σαδδοὺκ 13
τοῦ γραμματέως καὶ Φαλαιὰ ἀπὸ τῶν Λευειτῶν· καὶ ἐπὶ χεῖρα αὐτῶν
Ἀνὰν υἱὸς Ζακχοὺρ υἱὸς Ναθανιά, ὅτι πιστοὶ ἐλογίσθησαν ἐπ᾽ αὐτοὺς
μερίζειν τοῖς ἀδελφοῖς αὐτῶν. 14 μνήσθητί μου ὁ θεὸς ἐν αὐτῇ, καὶ μὴ 14
ἐξαλειφθήτω ἔλεός μου ὃ ἐποίησα ἐν οἴκῳ Κυρίου τοῦ θεοῦ. 15 Ἐν 15
ταῖς ἡμέραις ἐκείναις εἶδον ἐν Ἰούδᾳ πατοῦντας ληνοὺς ἐν τῷ σαβ-
βάτῳ· καὶ φέροντες δράγματα καὶ ἐπιγεμίζοντες ἐπὶ τοὺς ὄνους καὶ
οἶνον καὶ σταφυλὴν καὶ σῦκα καὶ πᾶν βάσταγμα, καὶ φέροντες εἰς
Ἰερουσαλὴμ ἐν ἡμέρᾳ τοῦ σαββάτου· καὶ ἐπεμαρτυράμην ἐν ἡμέρᾳ
πράσεως αὐτῶν. 16 καὶ ἐκάθισαν ἐν αὐτῇ φέροντες ἰχθὺν καὶ πᾶσαν 16

ℵA **5** Λευιτων ℵA | απαρχαι] pr αι ℵ απαρχας A **6** τριακοστω] pr και ℵ* (improb ℵ²) | Αρσασαθα] Αρθασασθα A | τελος ημερων] το τ. τῶ| ημ. A | τον βασιλεα 2°] παρα του| βασιλεως A **7** πονηρια] pr τη ℵA [ποιησαι] pr η εποιησε| Ελισουβ (Ελιασ. ℵ^c.a ? c.b?) Τωβι|α· ℵ pr η ε|ποιησεν Ελιασειβ· Τωβια A | του] τ sup ras A^a? **8** απο] pr εξω ℵA **9** εκαθαρισαν ℵ εκαθερισαν A | μαννα B* μαναεια B^ab βαανα ℵ* μααναα ℵ^a μανααν A **10** εγνω ℵ* (εγνων ℵ^c.a (vid)) | Λευιτων, Λευιται ℵA | αυτου] εαυτου ℵ **11** εμαχεσαμην]+τοις στρατηγοις ℵ^c.a mg | ειπα] ειπον A | ενκατελιφθη ℵ | ο οικος] ο οι sup ras A^a? | εστησα ℵA | τη στασει] om τη A **12** Ιουδα ℵA | του πυρου (πυρρου ℵ*)] om του A **13** επι 1°] pr κ ενετειλαμην ℵ^c.a (mg) | χειρα 1°] χειρας ℵA | Σελεμια] Ιελεμια ℵ | Σαδωκ A | Φαδαια ℵA | Λευιτων ℵA | Ααναν ℵ | Ναθανια] Μαθανια ℵ* Μαθθανια ℵ^c.a Μαθθανιου A | αυτων 2°] εαυτων ℵ^c.a **14** ο θεος]+μου ℵ^c.a | εν αυτη] ενταυθα τη ℵ* εν ταυτη ℵ²A | om ο 2° ℵ (superscr ℵ^c.a) οτι A | Κυριου του θεου] θυ κυ ℵ* κυ θυ ℵ^c.a A + κ εν ταις φυλακαις αυτου ℵ^c.a (mg) **15** ιδον A | τω σαββατω] om τω A | φεροντες 1°] φεροντας B^abℵA | επιγεμιζοντες] επιγεμιζοντας B^abℵ^a (vid)A φεροντες 2°] φεροντας B^abℵ^a (vid)A

πρᾶσιν πωλοῦντες ἐν τῷ σαββάτῳ τοῖς υἱοῖς Ἰούδα καὶ ἐν Ἰερου- Β
17 σαλήμ. 17καὶ ἐμαχεσάμην τοῖς υἱοῖς Ἰούδα τοῖς ἐλευθέροις καὶ εἶπα
αὐτοῖς Τίς ὁ λόγος ὁ πονηρὸς οὗτος ὃν ὑμεῖς ποιεῖτε, καὶ βεβηλοῦτε
18 τὴν ἡμέραν τοῦ σαββάτου; 18οὐχὶ οὕτως ἐποίησαν οἱ πατέρες ὑμῶν,
καὶ ἤνεγκεν ἐπ᾽ αὐτοὺς ὁ θεὸς ἡμῶν καὶ ἐφ᾽ ἡμᾶς πάντα τὰ κακὰ
ταῦτα καὶ ἐπὶ τὴν πόλιν ταύτην; καὶ ὑμεῖς προστίθετε ὀργὴν ἐπὶ
19 Ἰσραήλ, βεβηλῶσαι τὸ σάββατον; 19καὶ ἐγένετο ἡνίκα κατέστησαν
πύλαι Ἰερουσαλὴμ πρὸ τοῦ σαββάτου, καὶ ἔκλεισα τὰς πύλας, καὶ
εἶπα ὥστε μὴ ἀνοιγῆναι αὐτὰς ὀπίσω τοῦ σαββάτου· καὶ ἔστησα
ἐπὶ τὰς πύλας, ὥστε μὴ αἴρειν βαστάγματα ἐν ἡμέρᾳ τοῦ σαββάτου.
20 20καὶ ηὐλίσθησαν πάντες καὶ ἐποίησαν πρᾶσιν ἔξω Ἰερουσαλὴμ ἅπαξ
21 καὶ δίς. 21καὶ ἐπεμαρτυράμην ἐν αὐτοῖς καὶ εἶπα πρὸς αὐτούς Διὰ τί
ὑμεῖς αὐλίζεσθε ἀπέναντι τοῦ τείχους; ἐὰν δευτερώσητε, ἐκτενῶ
χεῖρά μου ἐν ὑμῖν. ἀπὸ τοῦ καιροῦ ἐκείνου οὐκ ἤλθοσαν ἐν σαββάτῳ.
22 22καὶ εἶπα τοῖς Λευείταις, οἳ ἦσαν καθαριζόμενοι καὶ ἐρχόμενοι φυλάσ-
σοντες τὰς πύλας, ἁγιάζοντες τὴν ἡμέραν τοῦ σαββάτου. πρὸς ταῦτα
μνήσθητί μου, ὁ θεός, καὶ φεῖσαί μου κατὰ τὸ πλῆθος τοῦ ἐλέους
23 σου. 23Καὶ ἐν ταῖς ἡμέραις ἐκείναις εἶδον τοὺς Ἰουδαίους οἳ
24 ἐκάθισαν γυναῖκας Ἀζωτίας, Ἀμμανείτιδας, Μωαβείτιδας, 24καὶ οἱ
υἱοὶ αὐτῶν ἥμισυ λαλοῦντες Ἀζωτιστί, καὶ οὐκ εἰσὶν ἐπιγινώσκοντες
25 λαλεῖν Ἰουδαιστί. 25καὶ ἐμαχεσάμην μετ᾽ αὐτῶν καὶ ἐκαταρασάμην
αὐτούς· καὶ ἐπάταξα ἐν αὐτοῖς ἄνδρας καὶ ὤρκισα αὐτοὺς ἐν τῷ
θεῷ Ἐὰν δῶτε τὰς θυγατέρας ὑμῶν τοῖς υἱοῖς αὐτῶν, καὶ ἐὰν λάβητε
26 ἀπὸ τῶν θυγατέρων αὐτῶν τοῖς υἱοῖς ὑμῶν. 26οὐχ οὕτως ἥμαρτεν
Σαλωμὼν βασιλεὺς Ἰσραήλ; καὶ ἐν ἔθνεσιν πολλοῖς οὐκ ἦν βασιλεὺς
ὅμοιος αὐτῷ, καὶ ἀγαπώμενος τῷ θεῷ ἦν, καὶ ἔδωκεν αὐτὸν ὁ θεὸς
εἰς βασιλέα ἐπὶ πάντα Ἰσραήλ, καὶ τοῦτον ἐξέκλιναν αἱ γυναῖκες

16 om εν 2° ℵ* (superscr ℵ$^{a\,(vid)}$) A 17 ουτος ο πονηρος ℵ 18 υμων] ℵA
ημων ℵ* (υμ. ℵ$^{c.a}$) | τα κακα ταυτα] ταυκατκαταυτα ℵ*^{vid} (υ 1°, τ 2° ras ℵ?) |
ταυτην] seq : in B$^{a\,?\,b}$ 19 πυλαι] seq λ in ℵ* (om ℵ?) | Ιερουσαλημ] pr
εν ℵA | εκλεισα] ειπα και εκλεισαν ℵA | και ειπα] και ει sup ras B$^{1\,?\,a\,?}$ |
οπισω] pr εως ℵ$^{c.a}$ | και 4°]+εκ των παιδαριων μου ℵ$^{a\,(vid)\,mg}$ | σαββατου 3°] σ
sup ras A^{a} 20 απαξ] pr ϗ ℵ$^{c.a}$ 21 επεμαρτυραμην] διεμαρτ. ℵA |
εκτενω]+|την μαχους· εαν δευτερωσητε·| εκτενω A | χειρα] pr την ℵA | ουκ
ℵA] ου B 22 Λευιταις ℵA | αγιαζοντες] αγιαζειν ℵA 23 ιδον A |
Αζωτι|δας ℵ | Αμμανωτιδας ℵ* Αμμανιτιδας ℵ$^{c.a\,(vid)}$A | Μωαβιτιδας ℵ$^{c.a\,(mg)}$A
(om Μωαβ. ℵ*) 24 λαλουντες] λαλου|σειν A | Αζωτιστει A | Ιουδαιστει A
+αλλα κατα γλωσσαν λαου| ϗ λαου ℵ$^{c.a\,mg\,inf}$ 25 εκαταρασαμην] κατηρασα-
μην ℵA | αυτους 1°] αυτοις ℵ*^{vid} | ωρκισα] ενωρκισα A | εαν 1°] αν A | δοτε
ℵ*^{vid} (δωτε ℵ^{a}) | υμων 2°]+ϗ εαυτοις ℵ$^{c.a\,(mg)}$ 26 om ουτως ℵ*^{vid} (hab
ℵ$^{c.a\,(mg)}$) | πολλοις] pr τοις ℵ$^{c.a}$ | τω θεω] om τω A

Β αἱ ἀλλότριαι. 27 καὶ ὑμῶν μὴ ἀκουσόμεθα ποιῆσαι πᾶσαν πονηρίαν 27
ταύτην, ἀσυνθετῆσαι ἐν τῷ θεῷ ἡμῶν, καθίσαι γυναῖκας ἀλλοτρίας.
28 καὶ ἀπὸ υἱῶν Ἰωαδὰ τοῦ Ἐλεισοὺβ τοῦ ἱερέως τοῦ μεγάλου νυμφίου 28
τοῦ Σαναβαλλάτ· καὶ ἐξέβρασα αὐτοὺς ἀπ' ἐμοῦ. 29 μνήσθητι αὐτοῖς ὁ 29
θεὸς ἐπὶ ἀγχιστείᾳ τῆς ἱερατείας καὶ διαθήκης τῆς ἱερατείας καὶ τοὺς
Λευείτας. 30 καὶ ἐκαθάρισα αὐτοὺς ἀπὸ πάσης ἀλλοτριώσεως, καὶ 30
ἔστησα ἐφημερίας τοῖς ἱερεῦσιν καὶ τοῖς Λευείταις, ἀνὴρ ὡς τὸ ἔργον
αὐτοῦ, 31 καὶ τὸ δῶρον τῶν ξυλοφόρων ἐν καιροῖς ἀπὸ χρόνων καὶ 31
ἐν τοῖς βακχουρίοις. μνήσθητί μου ὁ θεὸς ἡμῶν εἰς ἀγαθωσύνην.

ℵA **27** ακουσμεθα ℵ* (ακουσομεθα ℵc.a) | πασαν] pr την ℵA | ταυτην] pr την μεγαλην ℵc.a (mg) **28** Ιωιαδα A | Ελισουβ ℵ*A Ελιασουβ ℵa‡c.a‡ | Σαναβαλλατ] + του Ωρανιτου ℵc.a (mg) | αυτους] αυτον ℵ **29** αγχιστια ℵ | ιερα|τιας (bis) A | Λευιτας ℵA **30** Λευιταις ℵA **31** βακχουροις ℵ* (βακχουριοι| ℵ1 (vid))

Subscr Εσδρας β ΒℵΕζρας β A

† Κλήμης μοναχός † B‡

αντεβληθη προς παλαιω|τατον λιαν αντιγραφον| δεδιορθωμενον χειρι του| ἁγιου μαρτυρος Παμφιλου| οπερ αντιγραφον προς τω| τελει υποσημειωσις τις| ιδιοχειρος αυτου υπεκειτο| εχουσα ουτως:| μετελημφθη και διορθωθη| προς τα εξαπλα Ωριγενους| Αντωνινος αντεβαλεν·| Παμφιλος διορθωσα:| ℵ 1‡ mg inf

ΨΑΛΜΟΙ

I

I 1 ΜΑΚΑΡΙΟΣ ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, B
καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη,
καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν·
2 [2]ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ,
καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.
3 [3]καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους
τῶν ὑδάτων,
ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ,
καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται·
καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται.
4 [4]οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως,
ἀλλ' ἢ ὡς ὁ χνοῦς ὃν ἐκριπτεῖ ὁ ἄνεμος ἀπὸ προσώπου
τῆς γῆς.
5 [5]διὰ τοῦτο οὐκ ἀναστήσονται οἱ ἀσεβεῖς ἐν κρίσει,
οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων·
6 [6]ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων,
καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

B′

II 1 [1]Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;
2 [2]παρέστησαν οἱ βασιλεῖς τῆς γῆς
καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ
κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ. διάψαλμα.

Inscr ψαλμοι B deest in ℵ ψαλτηριον A ψαλτηριον τω Δδ R^a I 1— ℵAR
II 7 μακαριος...ει συ R^a (deest in R^*) 1 εστη] εστιν R^a | καθεδρα A
2 αλλ η] αλλα ην A^{*vid} 3 ποιηση A 4 ο ανεμος] om ο R^a 5 οι
ασεβεις] om οι ℵ?AR^a | αμαρτωλοι] pr οι A — Stich 15 BℵA 8 R^{avid}
II 1 pr ψαλμος τω Δδ R^a 2 διαψαλμα non inst B^b (ita ubique) om R^a

B [3]διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν, 3
καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν.
[4]ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, 4
καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτούς.
[5]τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, 5
καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.
[6]ἐγὼ δὲ κατεστάθην ὑπ' αὐτοῦ 6
ἐπὶ Σειὼν ὄρος τὸ ἅγιον αὐτοῦ,
[7]διαγγέλλων τὸ πρόσταγμα Κυρίου. 7
Κύριος εἶπεν πρός μέ Υἱός μου εἶ σύ,
ἐγὼ σήμερον γεγέννηκά σε·
[8]αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, 8
καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς·
[9]ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, 9
ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς.
[10]καὶ νῦν, βασιλεῖς, σύνετε· 10
παιδεύθητε, πάντες οἱ κρίνοντες τὴν γῆν.
[11]δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ, 11
καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.
[12]δράξασθε παιδείας, μή ποτε ὀργισθῇ Κύριος, 12
καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας,
ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ.
μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

Γ΄

Ψαλμὸς τῷ Δανείδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ III
προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.

[2]Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; 2
πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ·
[3]πολλοὶ λέγουσιν τῇ ψυχῇ μου 3
Οὐκ ἔστιν σωτηρία ἐν τῷ θεῷ αὐτοῦ. διάψαλμα.

ℵAR **3** αποριψ. R^a **4** ενγελασεται A | εκμυκτεριει A **5** post ταραξει ras 1 lit (forte s) $A^?$ | αυτους 2°] s rescr $A^{a\,vid}$ **6** κατεσταθην]+βασιλευς AR^b **7** διαγγελων A | γεγεννκα A^* (η superscr $A^{a?}$) **8** περα A **9** ως] pr και A | σκευη $\aleph^{c.a}AR^a$ **12** δραξεσθε R^* (-ασθε R^a) | παιδειας] παιδιας ℵ παιδειαν (?παιδιαν) R | Κυριος] pr ο R | ενκαυθη R^a | αυτω] αυτον R — Stich 27 BℵA 19 R^{vid} III **1** om ψαλμος A ¦ οποτε] αποτε $R^{*\,vid}$ | απεδιδρασκε R **2** επανισταται] επανισταντο $\aleph^{c.a}$ επανεστησαν A **3** σωτηρια]+αυτω A+αυτου R

4 [4]σὺ δέ, Κύριε, ἀντιλήμπτωρ μου εἶ, B
δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.
5 [5]φωνῇ μου πρὸς Κύριον ἐκέκραξα,
καὶ ἐπήκουσέν μου ἐξ ὄρους ἁγίου αὐτοῦ. διάψαλμα.
6 [6]ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα·
ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήμψεταί μου.
7 [7]οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ
τῶν κύκλῳ ἐπιτιθεμένων μοι.
8 [8]ἀνάστα, Κύριε, σῶσόν με ὁ θεός μου·
ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως,
ὀδόντας ἁμαρτωλῶν συνέτριψας.
9 [9]τοῦ κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Δ′

IV Εἰς τὸ τέλος, ἐν ψαλμοῖς· ᾠδὴ τῷ Δαυείδ.
2 [2]Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέν μου ὁ θεὸς τῆς δικαιοσύνης μου,
ἐν θλίψει ἐπλάτυνάς μοι·
οἰκτείρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου.
3 [3]υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι;
ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος; διάψαλμα.
4 [4]καὶ γνῶτε ὅτι ἐθαυμάστωσεν Κύριος τὸν ὅσιον αὐτοῦ·
Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.
5 [5]ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε·
ἃ λέγετε ἐν καρδίᾳ, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.
διάψαλμα.
6 [6]θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον.
7 [7]πολλοὶ λέγουσιν Τίς δείξει ἡμῖν τὰ ἀγαθά;
ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε·
8 [8]ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου,
ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.
9 [9]ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω·
ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπὶ ἐλπίδι κατῴκισάς με.

4 om Κυριε A | υψων την κεφ.] ν την κε sup ras $A^{a?vid}$ **5** επηκουσεν] ℵAR εισηκουσεν AR **6** εγω]+δε A | αντελαβετο ℵ* (αντιλημψ. ℵ$^{c.a}$) **7** κυκλων A | συνεπιτιθεμενων ℵAR **8** του (sic) εχθραινοντας (αιν [ι sup ras] $A^{a vid}$) A — Stich 16 B 15 ℵAR IV **1** εν ψαλμοις] ψαλμος AR | om ωδη A ωδης R | τω Δ.] του Δ. R **3** βαρυκαρδιοι] υ sup ras 2 forte litt A^{a} | ματαιοτητας A **5** καρδια] ταις καρδιαις υμων B^{ab}ℵAR | επι] pr και R | κατανοιγητε A **9** κοιμηθησομαι] ο sup ras A^{a} | επι 2°] επ AR — Stich 16 BℵA 17 R

B Ε΄

Εἰς τὸ τέλος, ὑπὲρ τῆς κληρονομούσης· V
ψαλμὸς τῷ Δαυείδ.

2 Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, 2
σύνες τῆς κραυγῆς μου,
3 πρόσχες τῆς φωνῆς τῆς δεήσεώς μου, 3
ὁ βασιλεύς μου καὶ ὁ θεός μου·
ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε.
4 τὸ πρωὶ εἰσακούσῃ τῆς φωνῆς μου· 4
τὸ πρωὶ παραστήσομαί σοι καὶ ἐπόψομαι.
5 ὅτι οὐχὶ θεὸς θέλων ἀνομίαν σὺ εἶ· 5
οὐδὲ παροικήσει σοι πονηρευόμενος.
6 οὐ διαμενοῦσιν παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου· 6
ἐμίσησας, Κύριε, πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.
7 ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος· 7
ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.
8 ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέου σου εἰσελεύσομαι εἰς τὸν οἶ- 8
κόν σου,
προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.
9 Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου, 9
κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.
10 ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, 10
ἡ καρδία αὐτῶν ματαία·
τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν,
ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν.
11 κρῖνον αὐτούς, ὁ θεός· 11
ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν·
κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν
ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε, Κύριε.
12 καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ· 12
εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς.
καὶ καυχήσονται ἐπὶ σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου,

ℵAR V **2** τη κραυγη A **3** τη φωνη AR **4** εποψομαι] εποψη ℵ$^{c.a}$ εποψη με AR^{a} **5** ουδε] ου ℵ$^{c.a}$R **6** ου] ουδε ℵ$^{c.a}$AR | om κε B^{2}ℵ **8** ελεου] ελαιους ℵ ελεους R **9** σου 1° Bℵ$^{c.a}$AR] μου ℵ* | μου 2° Bℵ$^{c.a}$AR] σου ℵ* **10** τω στοματι] om τω ℵ* (hab ℵ$^{c.a}$) | λαρυξ A **11** διαβολιων R^{a} **12** om επι 1° ℵ$^{c.a}$R | σοι 1°] σε ℵ | αιωνα] pr τον R | επι 3°] εν ℵAR | om παντες 2° ℵ

13 [13]ὅτι σὺ εὐλογεῖς δίκαιον. B
Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

F′

VI Εἰς τὸ τέλος, ἐν ὕμνοις, ὑπὲρ τῆς ὀγδόης·
ψαλμὸς τῷ Δαυείδ.

2 [2]Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με,
μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
3 [3]ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι·
ἴασαί με, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου.
4 [4]καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα·
καὶ σύ, Κύριε, ἕως πότε;
5 [5]ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου,
σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.
6 [6]ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου·
ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;
7 [7]ἐκοπίασα ἐν τῷ στεναγμῷ μου,
λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου,
ἐν δάκρυσίν μου τὴν στρωμνήν μου βρέξω.
8 [8]ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου,
ἐπαλαιώθην ἐν πᾶσιν τοῖς ἐχθροῖς μου.
9 [9]ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν,
ὅτι εἰσήκουσεν Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου·
10 [10]εἰσήκουσεν Κύριος τῆς δεήσεώς μου,
Κύριος τὴν προσευχήν μου προσεδέξατο.
11 [11]αἰσχυνθείησαν καὶ ταραχθείησαν σφόδρα πάντες οἱ ἐχθροί μου,
ἐπιστραφείησαν καὶ αἰσχυνθείησαν σφόδρα διὰ τάχους.

Z′

VII Ψαλμὸς τῷ Δαυείδ, ὃν ᾖσεν τῷ κυρίῳ
ὑπὲρ τῶν λόγων Χουσεὶ υἱοῦ Ἰεμενεί.

2 [2]Κύριε ὁ θεός μου, ἐπὶ σοὶ ἤλπισα·
σῶσόν με ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με,

13 ευλογεις] ευλογησεις ℵR | δικαιον] pr τον R — Stich 30 BℵA 29 R ℵAR
VI **1** om εν υμνοις A εν τω κυριου (sic) R$^{a\,vid}$ **3** με 2°] + κε ℵAR **8** πασι ℵ | εχθροις] χθρο 5 sup ras A^{1} **9—10** om της φωνης...Κυριος (3°) ℵ* (hab ℵ$^{c.a}$) **10** εισηκουσεν] ηκουσεν ℵ$^{c.a}$A **11** αισχυνθειησαν 1°] αισχυνθητωσαν R | ταραχθειησαν] ενταραπετωσαν R | om σφοδρα 1° B^{c}ℵ$^{c.a}$R | επιστραφειησαν] αποστραφειησαν (-φισαν A) εις τα οπισω ℵA αποστραφετωσαν R | αισχυνθειησαν 2°] καταισχυνθειησαν ℵ$^{c.a}$A (-θισαν) καταισχυνθητωσαν R — Stich 21 BR 20 ℵA VII **1** ησεν] ηνεσεν R$^{a\,vid}$ | Χουσι A | Ιεμενι A

B [3]μή ποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, 3
μὴ ὄντος λυτρουμένου μηδὲ σώζοντος.
[4]Κύριε ὁ θεός μου, εἰ ἐποίησα τοῦτο, 4
εἰ ἔστιν ἀδικία ἐν χερσίν μου,
[5]εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσίν μοι κακά, 5
ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός·
[6]καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι, 6
καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου,
καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι. διάψαλμα.
[7]ἀνάστηθι, Κύριε, ἐν ὀργῇ σου, 7
ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου·
ἐξεγέρθητι, Κύριε ὁ θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω.
[8]καὶ συναγωγὴ λαῶν κυκλώσει σε· 8
καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον.
[9]Κύριος κρινεῖ λαούς· 9
κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην μου
καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ᾽ ἐμοί.
[10]συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, 10
καὶ κατευθυνεῖς δίκαιον·
ἐτάζων καρδίας καὶ νεφροὺς ὁ θεός.
[11]δικαία ἡ βοήθειά μου παρὰ τοῦ θεοῦ 11
τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.
[12]ὁ θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος, 12
μὴ ὀργὴν ἐπάγων καθ᾽ ἑκάστην ἡμέραν.
[13]ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· 13
τὸ τόξον αὐτοῦ ἐνέτεινεν, καὶ ἡτοίμασεν αὐτό·
[14]καὶ ἐν αὐτῷ ἡτοίμασεν σκεύη θανάτου, 14
τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο.
[15]ἰδοὺ ὠδίνησεν ἀνομίαν, 15
συνέλαβεν πόνον καὶ ἔτεκεν ἀδικίαν·

ℵAR **3** *μηποτε* B* (*ο* superscr B^{ab}) **5** *ανταπεδωκας* A | *ανταποδιδοσιν* A | *κακα*] *πονηρα* R | *αποπεσοιμι* B^{ab} $\aleph^{c.a}$R] *αποπεσοιμ* B* *αποπεσοιν* ℵ*A | *κενος*] *καινος* A **6** *καταλαβοι*]+*αυτην* R | *καταπατησε, κατασκηνωσε* $\aleph^{c.a}$ (postea ipse forte del) *καταπατησει, κατασκηνωσει* R^{vid} **7** *τοις περασιν* A (*οις ε* retract A^{b}) R | *εχθρων μου*] *ν ου* retract A^{b} *εχθρ. σου* R | *εξεγερθητι*] pr *και* $\aleph^{c.a}$AR | om *Κυριε* ℵ* (hab $\overline{κε}$ $\aleph^{1}$) **9** *με*] *μοι* A | *εμοι*] *εμε* R **11** *του θεου*] *κυριου* R **12** *μη*] pr *ϛ* $\aleph^{c.a}$ (ras $\aleph^{c.b?}$) **13** *εαν*] ras aliq in *ν* $B^{?}$ | *στιλβωσιν* A **15** *ανομιαν*] *αδικιαν* ℵAR | *συνελαβεν*] *συν* sup ras B^{ab} | *αδικιαν*] *ανομιαν* ℵAR

16 [16]λάκκον ὤρυξεν καὶ ἀνέσκαψεν αὐτόν, B
καὶ ἐνέπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο·
17 [17]ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ,
καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται.
18 [18]ἐξομολογήσομαι Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ,
καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

Η′

VIII Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· ψαλμὸς τῷ Δαυείδ.

2 [2]Κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ·
ὅτι ἐπήρθη ἡ μεγαλοπρεπία σου ὑπεράνω τῶν οὐρανῶν.
3 [3]ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον
ἕνεκα τῶν ἐχθρῶν σου, τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.
4 [4]ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου,
σελήνην καὶ ἀστέρας ἃ σὺ ἐθεμελίωσας·
5 [5]τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ,
ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν;
6 [6]ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους,
δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν.
7 [7]καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα χειρῶν σου·
πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ,
8 [8]πρόβατα καὶ βόας πάσας,
ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου,
9 [9]τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς θαλάσσης,
τὰ διαπορευόμενα τρίβους θαλασσῶν.
10 [10]Κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ
τῇ γῇ.

Θ′

IX Εἰς τὸ τέλος, ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ·
ψαλμὸς τῷ Δαυείδ.

2 [2]Ἐξομολογήσομαι σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου,
διηγήσομαι πάντα τὰ θαυμάσιά σου·

16 εμπεσειται $B^{?}$ℵA (ενπ. B* R) **18** Κυριω BℵC.a] pr τω ℵ*AR ℵAR — Stich 38 B 37 ℵAR VIII **2** μεγαλοπρεπεια B^{ab} **3** σου] σ sup ras A^{a} (μου A*) **4** α] ας R **5** τι] τις A **6** αγγελλους A* (ras λ 1° $A^{?}$) | δοξαν R | τιμην AR **7** χειρων] pr των ℵAR **8** απασας ℵC.aAR **9** om και τους ιχθυας R* (hab R^{a}) — Stich 18 BℵAR IX **1** om του υιου R **2** om διηγησομαι...σου ℵ* (hab ℵC.a) | τα θαυμασια] om τα R

B 3 εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί, 3
ψαλῶ τῷ ὀνόματί σου, Ὕψιστε.
4 ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, 4
ἀσθενήσουσιν καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου.
5 ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου, 5
ἐκάθισας ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην.
6 ἐπετίμησας ἔθνεσιν, καὶ ἀπώλετο ὁ ἀσεβής· 6
τὸ ὄνομα αὐτῶν ἐξήλειψας εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα
τοῦ αἰῶνος.
7 τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες· 7
ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἠχοῦς·
8 καὶ ὁ κύριος εἰς τὸν αἰῶνα μένει· 8
ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ.
9 καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, 9
κρινεῖ λαοὺς ἐν εὐθύτητι.
10 καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι, 10
βοηθὸς ἐν εὐκαιρίαις ἐν θλίψει.
11 καὶ ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου, 11
ὅτι οὐκ ἐνκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε.
12 ψάλατε τῷ κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών, 12
ἀναγγείλατε ἐν τοῖς ἔθνεσιν τὰ ἐπιτηδεύματα αὐτοῦ·
13 ὅτι ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη, 13
οὐκ ἐπελάθετο τῆς δεήσεως τῶν πενήτων.
14 ἐλέησόν με, Κύριε· ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου, 14
ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου,
15 ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου 15
ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών·
ἀγαλλιάσομαι ἐπὶ τῷ σωτηρίῳ σου.
16 ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ ᾗ ἐποίησαν, 16
ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν συνελήμφθη ὁ ποὺς αὐτῶν.
17 γινώσκεται Κύριος κρίματα ποιῶν, 17

ℵAR **4** προσωπου] pr του R **6** αυτων] αυτου ℵ$^{c.a}$ σου A **7** εξελειπον A | καθειλας ℵ$^{c.a}$R | ηχου B^{bvid} **9** δικαιοσυνη] ευθυτητι R | ευθυτητι] δικαιοσυνη R* (ευθ. R^{a}) **10** θλιψεσι ℵ θλιψεσιν R **11** σε 1°] σοι A | οι γιν.] pr παντες A | εγκατελιπες B^{b}ℵ*A (εγκαταιλ.) εγκατελιπας ℵ$^{c.a}$R (ενκ.) **13** εκζητων] pr ο ℵ$^{c.a}$ (ras ℵ$^{c.b?}$) | δεησεως] κραυγης ℵR φωνης A **14** ειδε A **15** αγαλλιασομαι] θα superscr ℵ$^{c.a}$ (ras ℵ$^{c.b?}$) αγαλλιασομεθα R^{a} | επι] εν A | τω σωτηριω] το σωτηριον R **16** εποιησαν] α sup ras A^{a} | παγιδι ταυτη] τη παγ. R* τη π. ταυτη R^{a} | η 2° sup ras A^{a}

ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήμφθη ὁ ἁμαρτωλός. B
ᾠδὴ διαψάλματος.

18 [18]ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην,
πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ θεοῦ.

19 [19]ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός,
ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τὸν αἰῶνα.

20 [20]ἀνάστηθι, Κύριε, μὴ κραταιούσθω ἄνθρωπος,
κριθήτωσαν ἔθνη ἐνώπιόν σου.

21 [21]κατάστησον, Κύριε, νομοθέτην ἐπ᾽ αὐτούς,
γνώτωσαν ἔθνη ὅτι οἱ ἄνθρωποί εἰσιν. διάψαλμα.

(X) (1) 22 [22]ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν;
ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψει;

(2) 23 [23]ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐνπυρίζεται ὁ πτωχός·
συνλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται.

(3) 24 [24]ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς
αὐτοῦ,
καὶ ὁ ἀδικῶν ἐνευλογεῖται.

(4) 25 [25]παρώξυνεν τὸν Κύριον ὁ ἁμαρτωλός,
κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει·
οὐκ ἔστιν ὁ θεὸς ἐνώπιον αὐτοῦ.

(5) 26 [26]βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ·
ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ,
πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει.

(6) 27 [27]εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ Οὐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς
γενεὰν ἄνευ κακοῦ.

(7) 28 [28]οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου,
ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος.

(8) 29 [29]ἐνκάθηται ἐνέδρᾳ μετὰ πλουσίων
ἐν ἀποκρύφοις ἀποκτεῖναι ἀθῷον·
οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν.

(9) 30 [30]ἐνεδρεύει ἐν ἀποκρύφῳ, ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ·
ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχόν,

17 αμαρτωλος] αμαρτω sup ras 8 circ litt A^a | ωδη διαψ. non inst B^b ℵAR **18** επιστραφητωσαν R* (αποστρ. R^a) **19** επιλησθησεται] επιλισθησεται (επιλισ sup ras) A^a | τον αιωνα] τελος ℵ$^{c.a}$A **20** αναστα R **21** γνωτωσαν] pr του R | οι ανθρ.] om οι ℵAR **22** θλιψεσιν ℵR **23** ασεβην A | εμπυριζεται B^{ab} | συλλαμβ. B^bℵA | διαλογιζονται] α 1° sup ras A^a **24** εν] επι ℵ* (εν ℵ$^{c.a}$) **26** σου] αυτου R **29** εγκαθηται B^{ab} **30** om εν αποκρυφω...ενεδρευει 2° A

B ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν·
ἐν τῇ παγίδι αὐτοῦ [31]ταπεινώσει αὐτόν· 31 (10)
κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων.
[32]εἶπεν γὰρ ἐν τῇ καρδίᾳ αὐτοῦ Ἐπιλέλησται ὁ θεός, 32 (11)
ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος.
[33]ἀνάστηθι, Κύριε ὁ θεός, ὑψωθήτω ἡ χείρ σου· 33 (12)
μὴ ἐπιλάθῃ τῶν πενήτων.
[34]ἕνεκεν τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν θεόν; 34 (13)
εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ Οὐ ζητήσει.
[35]βλέπεις, ὅτι σὺ πόνον καὶ θυμὸν κατανοήσεις, 35 (14)
τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖράς σου.
σοὶ οὖν ἐνκαταλέλειπται ὁ πτωχός,
ὀρφανῷ σὺ ἦσθα βοηθός.
[36]σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ· 36 (15)
ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ δι' αὐτήν.
[37]βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· 37 (16)
ἀπολεῖσθε, ἔθνη, ἐκ τῆς γῆς αὐτοῦ.
[38]τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσεν Κύριος, 38 (17)
τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχεν τὸ οὖς σου,
[39]κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, 39 (18)
ἵνα μὴ προσθῇ ἔτι μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.

I′

Εἰς τὸ τέλος· τῷ Δαυεὶδ ψαλμός. X (XI)

Ἐπὶ τῷ κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου 1
Μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον;
[2]ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, 2
§ U ἡτοίμασαν βέλη [§]εἰς φαρέτραν,

ℵARU **31** αυτον 2°] ν sup ras A[a ?vid] **32** τη καρδια] om τη ℵAR **33** θεος] + μου ℵ[c.a]AR | επιλαθης A | πενητων] + εις τελος R **34** παρωξυνεν] παρωργισεν ℵ | ου ζητησει] ουκ εκζητησει ℵAR **35** πονον] κοπον AR | κατανοησεις] κατανοεις B[c]ℵAR | αυτους] αυτον ℵ[c.a] | σοι] συ A | om ουν ℵ[c.a]R | εγκατελελ. B[b] | βοηθος Bℵ[c.a]R[a]] βοηθων ℵ*[*]AR[*] **36** om δι αυτην ℵ[c.a] δι αυτον R **37** κς βασιλευσει ℵ | απολεισθαι B*A (-σθε B[ab]ℵR[vid]) **38** εισηκουσεν Κυριος] εισηκουσας κε ℵ[ca] | σου] αυτου A **39** κριναι] αι sup ras 3 circ litt A[a?] | μεγαλαυχειν] pr του ℵA | ανθρωπος BℵA[?]R[a]] ανθρωπον A*R* — Stich 81 B 80 ℵA 83 R X **1** ψαλμος τω Δ. ℵA | αρειτε B | την ψυχην μου (ψυχην μ sup ras A[a?]) A **2** inc [ε]ις φαρετραν U

τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ. B

3 [3]ὅτι ἃ κατηρτίσω καθεῖλον·
ὁ δὲ δίκαιος τί ἐποίησεν;

4 [4]Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ·
Κύριος, ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ.
οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν,
τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων.

5 [5]Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ·
ὁ δὲ ἀγαπῶν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν.

6 [6]ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας·
πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου
αὐτῶν.

7 [7]ὅτι δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησεν,
εὐθύτητα εἶδεν τὸ πρόσωπον αὐτοῦ.

ΙΑ′

XI (XII) Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυείδ.

2 [2]Σῶσόν με, Κύριε· ὅτι ἐκλέλοιπεν ὅσιος,
ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.

3 [3]μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ,
χείλη δόλια ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ ἐλάλησαν.

4 [4]ἐξολεθρεύσαι Κύριος πάντα τὰ χείλη τὰ δόλια καὶ γλῶσσαν
μεγαλορήμονα,

5 [5]τοὺς εἰπόντας Τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν,
τὰ χείλη ἡμῶν παρ' ἡμῶν ἐστίν· τίς ἡμῶν κύριός ἐστιν;

6 [6]ἀπὸ τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ ἀπὸ τοῦ στεναγμοῦ
τῶν πενήτων
νῦν ἀναστήσομαι, λέγει Κύριος·
θήσομαι ἐν σωτηρίᾳ, παρησιάσομαι ἐν αὐτῷ.

2 σκοτομενη B* (σκοτομηνη $B^{a\,(vid)\,b}$) σκοτωμε|νη A ...|[τ]ομη U | τη καρ· ℵARU διαι A **3** α]+συ $ℵ^{c.a}$A | καθειλον] pr αυτοι $ℵ^{c.a}$A καθειλαν R^{a} **4** τον πενητα] την οικουμενην U **5** ασεβην A | αδικιαν] pr την $ℵ^{c.b}$ARU | ψυχη U **6** πακιδας ℵ* παγιδα $ℵ^{c.a\,(vid)}$ (postea παγιδας) A | θιον BAU | η μερις] om η R **7** Κυριος] pr ο U | δικαιοσυνην ℵ* (-νας $ℵ^{c.a}$) U^{vid} | ηγαπησεν B* ηγαπησεν B^{b} | ευθυτητας $ℵ^{c.a}$A | om αυτου R* (hab R^{a}) — Stich 17 BℵA 16 R XI **1** ψ. τω Δ. υπερ της ογδ. A **2** ολιγωθησαν U | των υιον U **3** ελαλησαν ℵ | το πλησιον U | bis scr και εν καρδια A* (improb 1° A^{b}) | ελαλησαν (-σεν U)]+κακα $ℵ^{c.a}$ (ras $ℵ^{c.b?}$) A+πονηρα R **4** εξολοθρευσαι B^{b} εξολεθρευσει A εξολοθρευσι U* (-θρευσε U^{1}) εξολοθρευσει R | om και $ℵ^{c.a}$ | μεγαλορημονων R **5** τις inc stich in Bℵ **6** απο 1°] ενεκεν $ℵ^{c.a}$R | om απο 2° $ℵ^{c.a}$RU | σωτηριω $ℵ^{c.a}$AR^{a} | παρρησιασομαι B^{ab}A

B
7 τὰ λόγια Κυρίου λόγια ἁγνά, 7
ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ,
κεκαθαρισμένον ἑπταπλασίως.
8 σύ, Κύριε, φυλάξεις ἡμᾶς, 8
καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα.
9 κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσιν· 9
κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

ΙΒ′

Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυείδ. XII (XIII)

2 Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος; 2
ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ;
3 ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, 3
ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας;
ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ᾽ ἐμέ;
4 ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ θεός μου· 4
φώτισον τοὺς ὀφθαλμούς, μή ποτε ὑπνώσω εἰς θάνατον,
5 μή ποτε εἴπῃ ὁ ἐχθρός μου Ἴσχυσα πρὸς αὐτόν· 5
οἱ θλίβοντές με ἀγαλλιάσονται ἐὰν σαλευθῶ.
6 ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα· 6
ἀγαλλιάσεται ἡ καρδία μου ἐν τῷ σωτηρίῳ σου·
ᾄσω τῷ κυρίῳ τῷ εὐεργετήσαντί με,
καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

ΙΓ′

Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυείδ. XIII (XIV)

1 Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ Οὐκ ἔστιν θεός. 1
διέφθειραν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν,

ℵARU **7** *τη γη*] pr *εν* U | *κεκαθερισμενον* A *κεκαρισμενον* U | om *επταπλασιως* R* (hab R[a]) **8** *συ*]+*δε* U | *διατηρησης* A **9** *τους υιους*] pr *παντας* A — Stich 17 B 18 ℵ 19 AR XII **2** *αποστρεψεις* BℵU (*αποστεψις*)] *αποστρεφεις* AR | *εμουν* U **3** *τινος*] *ποτε* U | *ημερας*]+*ς νυκτος* ℵ[c.a]+*και νυκτος* A **4** *επιβλεψον*]...*στρεψον* U | *εισακουσον*] pr *και* R | om *μου* 1° ℵ | *οφθαλμους*]+*μου* ℵARU **6** *εν*] *επι* ℵARU | *τω σωτηριω*] *το σωτηριον* R | *ενεργητωσαντι* U | *με*] *μοι* R — Stich 13 BℵR 14 A XIII **1** *τω Δ. ψαλμος* ℵ | *καρδια*] pr *τη* U | *διεφθειραν* Bℵ*U] *διεφθαρησαν* ℵ[c.a]AR

οὐκ ἔστιν ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. B
2 [2]Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων,
τοῦ ἰδεῖν εἰ ἔστιν συνίων ἢ ἐκζητῶν τὸν θεόν.
3 [3]πάντες ἐξέκλιναν, ἅμα ἠχρεώθησαν,
οὐκ ἔστιν ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.
τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν,
ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν·
ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν,
ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει·
ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα·
σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν,
καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν·
οὐκ ἔστιν φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν.
4 [4]οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀδικίαν,
οἱ κατέσθοντες τὸν λαόν μου βρώσει ἄρτου; τὸν κύριον
οὐκ ἐπεκαλέσαντο.
5 [5]ἐκεῖ ἐδειλίασαν φόβῳ οὗ οὐκ ἦν φόβος·
ὅτι ὁ θεὸς ἐν γενεᾷ δικαίᾳ.
6 [6]βουλὴν πτωχοῦ κατῃσχύνατε,
ὅτι Κύριος ἐλπὶς αὐτοῦ ἐστιν.
7 [7]τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ;
ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ
ἀγαλλιάσθω Ἰακὼβ καὶ εὐφρανθήτω Ἰσραήλ.

1 χρηστοτητα] αγαθον R **1—3** om ουκ εστιν εως ενος (1°) ...ηχρε- ℵARU ωθησαν A* (hab A^{a} mg sup et inf) **2** Κυριος] pr ο U | υιου B* (υιους B^{ab}) | η] και U | εξη[των] U* (εξ. U$^{1\,vid}$) | των θῡ U **3** ηχρειωθ. B^{ab}R | ποιων] pr ο ℵ* (om ℵ$^{c.a}$) U | χρηστοτητα] αγαθον R | om ταφος...οφθαλμων αυτων ℵ$^{c.a}$ (uncis incl) A | λαρυξ U* (γ superscr U^{1}) | om ταις γλωσσαις αυτων U | ασπιδος U | ων το στομα] αν το στοματ αυτων R^{vid} | om αρας R | και|και π. U | γεμει και πικριας R | οξεις R^{vid} | εκχεαι] εις εκκεχηναι (?-χειναι) R^{vid} | αιμα] pr το R **4** αδικιαν] ανομιαν ℵAU | κατεσθοντες] εσθιοντες ℵ κατεσθιοντες AU | βρωσει] pr·εν A **5** φοβω Bℵ$^{c.a}$AU] φοβον ℵ*R | ου] ω A οπου U | ο θεος] pr κς ℵ$^{c.a}$ | εν γενεα] εις γενεαν R | δικαια] δικαιων ℵ$^{c.a}$AU δικαιαν R **6** κατησχυνετε U | οτι] ο δε ℵ$^{c.a}$U | Κυριος] ο θς R* (Κυριος R$^{a\,vid}$) | ελπις] pr η R **7** τω σω|τηριον U | Κυριον] κς U | αγαλλιασθω] αγαλλιασεται ℵAU | ευφρανθητω] ευφρανθησεται ℵAU — Stich 24 Bℵ 14 A* (17 A^{a}) 25 R

B

ΙΔ′

Ψαλμὸς τῷ Δαυείδ. XIV (XV)

Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου; 1
καὶ τίς κατασκηνώσει ἐν τῷ ὄρει τῷ ἁγίῳ σου;
2 πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην, 2
λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ·
3 ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ, 3
οὐδὲ ἐποίησεν τῷ πλησίον αὐτοῦ κακόν,
καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοὺς ἔγγιστα αὐτοῦ·
4 ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, 4
τοὺς δὲ φοβουμένους Κύριον δοξάζει·
ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν·
5 τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, 5
καὶ δῶρα ἐπ᾽ ἀθῴοις οὐκ ἔλαβεν·
ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

ΙΕ′

Στηλογραφία τῷ Δαυείδ. XV (XVI)

Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα. 1
2 εἶπα τῷ κυρίῳ Κύριός μου εἶ σύ. 2
3 τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ 3
ἐθαυμάστωσεν πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.
4 ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, 4
μετὰ ταῦτα ἐτάχυναν·
οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων,
οὐδὲ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.
5 Κύριος ἡ μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου· 5
σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.

ℵARU XIV **1** *και*] η ℵ$^{c.a}$ARU | *κατασκηνωσει*] *καταπαυσει* U | *τω ορει τω αγιω*] *ορει αγιω* ℵ$^{c.a}$R *ορι τω αγιω* A **3** *ος*] *και* R | *εδολισεν* U | *γλωσση*] pr *τη* U | *ουδε*] *ϛ ουκ* ℵ$^{c.a}$ *και ουκ* R | om *κακον* ℵ* (hab ℵ$^{c.a\,(mg)}$) | *εγγισταs* A **4** *εξουδενωθη* R | *πονηρευομενος*] pr *πας* AU | *Κυριον*] pr *τον* RU | *δοξασει* R | om *αυτου* 2° ℵ* (hab ℵ$^{c.a}$) **5** *αθοοις* B* (*αθωοις* B^{ab}) | *ου*] +*μη* R* (om R^{a}) — Stich 13 BℵAR XV **1** *Κυριε*] *ο θ̄ς* ℵ* (*κ̄ε* ℵ$^{c.a}$) | *ηλπισα*] *πεποιθα* U **2** *Κυριος*] *θ̄ς* ℵ* (*κ̄ς* ℵ$^{c.a}$) | *ει συ*]+*οτι των αγαθων μου ου χριαν* (*χρειαν* R) *εχεις* ℵAR+*οτι τ. αγ. μ. χρειαν ουκ εχεις* U **3** *θελημα* A **4** *αυτων* 1°] *εν αυτοις* U | *ουδε*] *ουδ ου* AU | *ονομα* B* (*ονοματων* [*των* superscr] B^{ab}) **5** *η μεριs*] om *η* ℵ$^{c.a}$U | *του ποτηριον* U

6 [6]σχοινία ἐπέπεσάν μοι ἐν τοῖς κρατίστοις, B
καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστιν.
7 [7]εὐλογήσω τὸν κύριον τὸν συνετίσαντά με·
ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου.
8 [8]προορώμην τὸν κύριον ἐνώπιόν μου διὰ παντός,
ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.
9 [9]διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου
καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου,
ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι.
10 [10]ὅτι οὐκ ἐνκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην,
οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.
11 [11]ἐγνώρισάς μοι ὁδοὺς ζωῆς·
πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου·
τερπνότητες ἐν τῇ δεξιᾷ σου εἰς τέλος.

ΙΕ′

XVI (XVII) Προσευχὴ τοῦ Δαυείδ.

1 Εἰσάκουσον, Κύριε, τῆς δικαιοσύνης μου,
πρόσχες τῇ δεήσει μου·
ἐνώτισαι τῆς προσευχῆς μου οὐκ ἐν χείλεσιν δολίοις.
2 [2]ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι,
οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας.
3 [3]ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός·
ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.
4 [4]ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου [(4)]τὰ ἔργα τῶν ἀνθρώπων,
διὰ τοὺς λόγους τῶν χειλέων σου ἐφύλαξα ὁδοὺς σκληράς.

6 επεπεσαν] επεσαν ℵ | μοι 1°] με U | κρατιστοις] + μου R | η κληρονομια] ℵARU ε (sic) κληρονομιαν U | μοι 2°] εμοι R **8** προωρωμην B^{ab} | εστι R **9** ευφρανθη ℵ | η σαρξ...ελπ.] rescr $ℵ^{1}$ **10** ενκαταλειψεις A (-λιψ. Bℵ)] εγκαταλιψεις B^{ab} εγκαταλειψης U ενκαταλειπεις R^{vid} | αδην] pr τον ℵ* (om $ℵ^{c.a}$) U αδου A **11** ευφροσυνην AR* (-νης $R^{a\,vid}$) | τερπνοτης $ℵ^{c.c\,(vid)}$ARU | εις τελος] pr εως R — Stich 24 BℵR 23 A XVI **1** του Δ.] om του R* τω Δ. R^{a} | Κυριε] ο θεος R | της δικ.] om της $ℵ^{c.a}$A | της δεησεως U | την προσευχην $B^{ab}ℵ$AR | χειλεσι U **2** μου 1°] μοι ℵ* (μου $ℵ^{c.a}$) | om οι οφθαλμοι...ευθ. ℵ* (hab $ℵ^{c.a}$) | ειδετωσαν A | ευθυτητας BℵAR^{a}] ευθυτητα R*U **3** την καρδια U | επεσκεψω] pr και RU | ουχ ευρεθη (κ ευρε sup ras $A^{a?}$) A ου| ευρεθη R ουκ ευρες U | αδικιαν U **4** λαλησαν U | εφυλαξα] pr εγω ARU

B [5]κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, 5
ἵνα μὴ σαλευθῇ τὰ διαβήματά μου.
[6]ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου, ὁ θεός· 6
κλῖνον τὸ οὖς σου ἐμοὶ καὶ εἰσάκουσον τῶν ῥημάτων μου.
[7]θαυμάστωσον τὰ ἐλέη σου, 7
ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σὲ
ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου.
[8]φύλαξόν με ὡς κόραν ὀφθαλμοῦ· 8
ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με
[9]ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με. 9
οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον,
[10]τὸ στέαρ αὐτῶν συνέκλεισαν, 10
τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν·
[11]ἐκβάλλοντές με νυνὶ περιεκύκλωσάν με, 11
τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ·
[12]ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν, 12
καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.
[13]ἀνάστηθι, Κύριε, πρόφθασον αὐτοὺς καὶ ὑποσκέλισον αὐτούς, 13
ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς,
ῥομφαίαν σου [14]ἀπὸ ἐχθρῶν τῆς χειρός σου· 14
Κύριε ἀπολύων ἀπὸ γῆς,
διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν·
καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν,
ἐχορτάσθησαν υἱείων
καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.
[15]ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, 15
χορτασθήσομαι ἐν τῷ ὀφθῆναι τὴν δόξαν σου.

ℵARU **5** *καταρτισαι*] *κατηρτισα* U | *σαλευθη*] *σαλευθωσιν* ℵAR | om *τα διαβηματα μου* R* (hab R[a]) | *μου* 2°]+ *εν ταις τριβοις σου* A* (ras A[?]) **6** *επηκουσας* B ℵ[c.a]R] *εισηκουσας* ℵ*U *εισηκουσεν* A **7** *θαυμαστωσαν* U | *του ελπιζοντας* U | *τη δεξια*] pr *ρυσαι με* U **8** *με* 1°] + *κε* ℵ[c.a] | *κορην* B[ab]ℵ[c.a]ARU **9** *ασεβους* A | *ταλαιπωρισαντων* ℵ* (-*ρησ.* ℵ[c.a]) **10** *συνεκλεισα* R* (-*σαν* R[a]) **11** *εκβαλλοντες*] *εκβαλοντες* ℵ[c.a] *βαλλοντες* R | *νυνι*] *νυν* R | *εκλειναι* A **12** *υπελαβον*] *υπεβαλον* U | *ως* (2°) ℵ* (*ωσει* ℵ[c.a]) | *αποκυφοις* U **13** *ρομφαιας* ℵ[c.a] | om *σου* U **14** *εχθρων απο* U | *απολυων*] *απο ολιγων* B[a mg] (non inst B[b]) ℵAR *απολαυων* U | *κεκρυμενων* B[edit] | *επλησθη*] *εμπ\ησθητω* U | *υειων* B ℵ] *υιων* A *υων* U [? R] **15** *δικαιοσυνη*] + *σου* R | *τω προσωπου* B* (*τω προσωπω* B[ab]) A | *οφθηναι*] + *μοι* ℵ[c.a]AR[a] *οφθή|σομαι* U — Stich 36 B 34 ℵA 31 R

ΙΖ′ B

XVII (XVIII)

Εἰς τὸ τέλος· τῷ παιδὶ Κυρίου τῷ Δαυείδ, ἃ ἐλάλησεν τῷ κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐν ἡμέρᾳ ᾗ ἐρύσατο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαούλ· [2]καὶ εἶπεν·

Ἀγαπήσω σε, Κύριε ἰσχύς μου.

3 [3]Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου·
ὁ θεός μου βοηθός, καὶ ἐλπιῶ ἐπ' αὐτόν·
ὑπερασπιστής μου καὶ κέρας σωτηρίας, ἀντιλήμπτωρ μου.

4 [4]αἰνῶν ἐπικαλέσομαι Κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.

5 [5]περιέσχον με ὠδῖνες θανάτου,
καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με·

6 [6]ὠδῖνες ᾅδου περιεκύκλωσάν με,
προέφθασάν με παγίδες θανάτου.

7 [7]καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν κύριον,
καὶ πρὸς τὸν θεόν μου ἐκέκραξα·
ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου,
καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.

8 [8]καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ,
καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν
καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ θεός.

9 [9]ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ,
καὶ πῦρ ἐναντίον αὐτοῦ κατεφλόγισεν,
ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ.

10 [10]καὶ ἔκλινεν οὐρανὸν καὶ κατέβη,
καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.

11 [11]καὶ ἐπέβη ἐπὶ χερουβεὶν καὶ ἐπετάσθη,
ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.

XVII **1** om α U | om η R | ερρυσατο B^{ab}ℵU **2** ισχυς] pr η ℵARU ℵARU **3** Κυριος] κυριε R | βοηθος]+μου ℵARU | om και 3° U | σωτηριας]+μου ℵARU | αντιλημπτωρ] pr και ℵ$^{c.a}$ αντιλημπτωρ R **4** επικαλεσομαι] επικαλεσωμοι R^{vid} | Κυριον] pr τον ℵ$^{c.a}$RU **6** περιεκυκλωσαν] περιεσχον U | πακιδες ℵ* (παγ. ℵ$^{c.a}$) **7** om και 1° U | τω θλιβεσθαι με] τη θλιψει μου R | ηκουσεν] και εισηκουσεν R | φωνης] pr της RU | εις] ες U **8** om και 1°, 3° U | οργισθη U **9** εναντιον] απο προσωπου ℵARU | κατεφλογισεν] καταφλεγησεται ℵ$^{c.a}$R^{a} (-γωσεται R*) **10** ουρανον] ουρανους ℵ$^{c.a}$ τον ουνον (sic) U **11** επεβη] ανεβη U | χερουβειν] χερουβ ℵ* χερουβιν ℵ$^{c.a}$ | επετασθη 2°] pr και ℵ* (om ℵ$^{c.a}$)

B [12]καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, 12
κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ,
σκοτινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων.
[13]ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον, 13
χάλαζα καὶ ἄνθρακες πυρός.
[14]καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ Κύριος, 14
καὶ ὁ ὕψιστος ἔδωκεν φωνὴν αὐτοῦ·
[15]καὶ ἐξαπέστειλεν βέλη καὶ ἐσκόρπισεν αὐτούς, 15
καὶ ἀστραπὰς ἐπλήθυνεν καὶ συνετάραξεν αὐτούς.
[16]καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, 16
καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης
ἀπὸ ἐπιτιμήσεώς σου, Κύριε,
ἀπὸ ἐνπνεύσεως πνεύματος ὀργῆς σου.
[17]ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέν με, 17
προσέλαβε ἐξ ὑδάτων πολλῶν.
[18]ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν 18
καὶ ἐκ τῶν μισούντων με,
ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ.
[19]προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου, 19
καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου,
[20]καὶ ἐξήγαγέν με εἰς πλατυσμόν· 20
ῥύσεταί με, ὅτι ἠθέλησέν με.
[21]ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν 21
καὶ ἐκ τῶν μισούντων με.
καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου,
καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι.
[22]ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου, 22
καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ θεοῦ μου·
[23]ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, 23
καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ' ἐμοῦ.

ℵARU **12** om κυκλω...αυτου (3°) A* (hab A$^{a\,(mg)}$) | σκοτεινον B$^{a?b}$ **14** εβροντησεν εν (sic) U | Κυριος] pr ο ℵ$^{c.a}$AU **15** om και 1° ℵ$^{c.a}$AU | συνε|ταραξεν B* συνε|ταρ. B^{b} συνεταραξειν U **16** ανεκαλυφθησαν AU | ενπνευσεως B*R] εμπν. B^{b}ℵAU | οργησου U **17** προσελαβε] προσελαβετο με B^{ab} (superscr το με) ℵARU **18** υπερ] επ R **19** εγενετο] εγενηθη U | Κυριος] pr ο R | μου 2°] μοι ℵ **20** πλατυνασμον U | εθελησεν U **21** ρυσεται...δυνατων (...δικ. μου Tisch^{comm}) uncis incl ℵ$^{c.a}$ | om και εκ των μισ. με ℵ | καθαριοτα U (item 25) | ανταποδωσει 2° BℵA] αποδωσει ℵ*RU **23** μου sup ras U$^{?}$ | απεστησαν] απεστη U

24 [24]καὶ ἔσομαι ἄμωμος μετ᾽ αὐτοῦ, B
καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.
25 [25]καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου
καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου
ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ.
26 [26]μετὰ ὁσίου ὁσιωθήσῃ,
καὶ μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ,
27 [27]καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ,
καὶ μετὰ στρεβλοῦ διαστρέψεις.
28 [28]ὅτι σὺ λαὸν ταπεινὸν σώσεις,
καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις·
29 [29]ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε·
ὁ θεός μου, φωτιεῖς τὸ σκότος μου.
30 [30]ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου,
καὶ ἐν τῷ θεῷ μου ὑπερβήσομαι τεῖχος.
31 [31]ὁ θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ,
τὰ λόγια Κυρίου πεπυρωμένα,
ὑπερασπιστής ἐστιν πάντων τῶν ἐλπιζόντων ἐπ᾽ αὐτόν.
32 [32]ὅτι τίς θεὸς πλὴν τοῦ κυρίου;
καὶ τίς θεὸς πλὴν τοῦ θεοῦ ἡμῶν;
33 [33]ὁ θεὸς ὁ περιζωννύων με δύναμιν,
καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου·
34 [34]ὁ καταρτιζόμενος τοὺς πόδας μου ὡς ἐλάφου,
καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με·
35 [35]διδάσκων χεῖράς μου εἰς πόλεμον,
καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου·
36 [36]καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας μου,
καὶ ἡ δεξιά σου ἀντελάβετό μου·
καὶ ἡ παιδία σου ἀνώρθωσέν με εἰς τέλος,

25 μου 2°] + ανταποδωσει μοι AR **26** μετα 1°] και τα U | οσιωθησῃ] ℵARU οσιος εση ℵ$^{c.a}$R | και μετα bis scr U | αθωος εσῃ] αθωοθησῃ U **27** εκλεκτος] εκλεκτως U **28** λαον] pr τον U | σωσεις] υψωσεις U **30** συ B* (σοι B^{ab}) | ρυθησομαι U | τειχος] τιχον U **31** πεπυρωμενα] περιεργυρώμένα (sic) U **32** πλην 1°] παρεξ ℵU (παρξ) | om και τις θεος πλην του θεου U | και] η ℵ$^{c.a}$ R **34** ο καταρτιζομενος] om ο ℵ ο καταρτιζων AU | ως] ωσει ℵ$^{c.a}$R | ελαφου] ελαφους AR$^{a\,vid}$ ελαφων U **35** διδασκων] pr ο RU | τοξον] pr εις U | βραχιονας] post α 1° ras 1 lit et χιο sup ras A^{a} βραχειωνας U **36** om μου 1° U | αντιλαβοιτο R^{vid} αντιλαβετο U | παιδεια (bis) B^{ab}U | ανωρθωσεν] αναρθωσεν R ανορθωσεν U | om εις τελος...διδαξει ℵ* (hab ℵ$^{c.a}$)

B καὶ ἡ παιδία σου, αὐτή με διδάξει.
37 ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, 37
καὶ οὐκ ἠσθένησαν τὰ ἴχνη μου.
38 καταδιώξω τοὺς ἐχθρούς μου καὶ καταλήμψομαι αὐτούς, 38
καὶ οὐκ ἀποστραφήσομαι ἕως ἂν ἐκλίπωσιν·
39 ἐκθλίψω αὐτοὺς καὶ οὐ μὴ δύνωνται στῆναι, 39
πεσοῦνται ὑπὸ τοὺς πόδας μου.
40 καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον, 40
συνεπόδισας πάντας τοὺς ἐπανιστανομένους ἐπ᾽ ἐμὲ ὑποκάτω μου.
41 καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον, 41
καὶ τοὺς μισοῦντάς με ἐξωλέθρευσας.
42 ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σώζων· 42
πρὸς Κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν.
43 καὶ λεπτυνῶ αὐτοὺς ὡς χοῦν κατὰ πρόσωπον ἀνέμου, 43
ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς.
44 ῥῦσαί με ἐξ ἀντιλογιῶν λαοῦ, 44
καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν·
λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέν μοι,
45 εἰς ἀκοὴν ὠτίου ὑπήκουσέν μοι· 45
υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι,
46 υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν 46
καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν.
47 ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ θεός μου, 47
καὶ ὑψωθήτω ὁ θεὸς τῆς σωτηρίας μου·
48 ὁ θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοί, 48
καὶ ὑποτάξας λαοὺς ὑπ᾽ ἐμέ,
49 ὁ ῥύστης μου ἐξ ἐχθρῶν ὀργίλων· 49

ℵARU **38** καταδιωξω] pr και U | αποστρε|φησονμαι U | om αν U | εκλειπωσιν AU **39** αυτους] αυτου U | στηναι] στηκαι R **40** εις πολεμον] εως πο|λεμον (sic) U | om παντας ℵ* (hab ℵc.a) | επανισταμενους Bb | υποκατων U **41** om και τους εχθρους μου εδωκας μοι U | εξωλοθρ. B? **42** σωζων] ζωσω U | εισηκουεν (ras σ) ℵc.a | αυτων] αυτους RU **43** ως 1°] ωσει AR **44** ρυσαι] ρυσαιτε A ρυσης RU | αντιλογιων] αντιλ sup ras Ba? αντιλογιας ℵc.a R | λαου] λαων A+μου U | ον] ος A | εγνω Rvid **45** ακοην] υπακοην Uvid | ωτιου] ωτος U | υπηκουσεν BℵC.aRU] υπηκουσαν ℵ* επηκουσας A? | μοι 1°] μου ℵc.aRU | υιοι] pr οι A | μοι 2°] με ℵc.a μου U **46** εχωλαναν] εχωραναν U | απο] εκ A **47** om μου 1° ℵc.a U **49** εχθρων] +μου ARU

ἀπὸ τῶν ἐπανιστανομένων ἐπ᾽ ἐμὲ ὑψώσεις με, B
ἀπὸ ἀνδρὸς ἀδίκου ῥύσῃ με.
50 50διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσιν, Κύριε,
καὶ τῷ ὀνόματί σου ψαλῶ·
51 51μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως αὐτοῦ,
καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ,
τῷ Δαυὶδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

ΙΗ΄

XVIII (XIX) Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυείδ.

2 2Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ,
ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.
3 3ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα,
καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.
4 4οὐκ εἰσὶν λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν·
5 5εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν,
καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.
6 6ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ·
καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ,
ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ.¶ ¶ U
7 7ἀπ᾽ ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ,
καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ·
καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ.
8 8ὁ νόμος τοῦ κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς·
ἡ μαρτυρία Κυρίου πιστή, σοφίζουσα νήπια.
9 9τὰ δικαιώματα Κυρίου εὐθεῖα, εὐφραίνοντα καρδίαν·
ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς.
10 10ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος·
τὰ κρίματα Κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό,

49 απο 1°] pr και ℵ* (om ℵ$^{c.a}$) U | επανιστανομενων (-νον U)] επανιστα- ℵARU
μενων B^{b}A | ρυσαι ℵ$^{c.a}$ (ρυση ℵ*$^{c.b?}$) A ρυσης U **50** εθνεσι U
51 μεγαλυνων] pr ο U | om αυτου 1° ℵ$^{c.a}$ | αινος B* (αιωνος B^{ab}) — Stich
116 B 112 ℵ 115 A 117 R XVIII **2** ποιησιν δε] ποιησειν δε A και
ποιησεν U | αναγγελει AU | τω στερεωμα U **3** ημερα 1°] pr η ℵA |
αναγγελει AU **4** λαλειαι AU | ουδε] ο rescr A$^{?}$ | αι φωνη U | om αυτων
A* (hab A^{a}) **6** ηλιω εθετο] ηλιηθετο U | εκπορευομενος] ορευο sup ras
B^{ab} | γιγγας U | om αυτου 3° ℵ$^{c.a}$R cett desunt in U usque XX 14 **7** του
ουρανου 2°] om του ℵ* (hab ℵ$^{c.a}$) **8** του κυριου] om του A **9** ευθεα B^{b}

B [11] ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν 11
καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον.
[12] καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά· 12
ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.
[13] παραπτώματα τίς συνήσει; 13
ἐκ τῶν κρυφίων μου καθάρισόν με,
[14] καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου· 14
ἐὰν μή μου κατακυριεύσουσιν, τότε ἄμωμος ἔσομαι
καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.
[15] καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου 15
καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διὰ παντός,
Κύριε, βοηθέ μου καὶ λυτρωτά μου.

ΙΘ′

Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυείδ. XIX (XX)

[2] Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, 2
ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ θεοῦ Ἰακώβ.
[3] ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, 3
καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου·
[4] μνησθείη πάσης θυσίας σου, 4
καὶ τὸ ὁλοκάυτωμά σου πιανάτω. διάψαλμα.
[5] δῴη σοι κατὰ τὴν καρδίαν σου, 5
καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι.
[6] ἀγαλλιασώμεθα ἐν τῷ σωτηρίῳ σου, 6
καὶ ἐν ὀνόματι θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.
πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου.
[7] νῦν ἔγνων ὅτι ἔσωσεν Κύριος τὸν χριστὸν αὐτοῦ· 7
ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ,
ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ.
[8] οὗτοι ἐν ἅρμασιν καὶ οὗτοι ἐν ἵπποις, 8
ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.
[9] αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσαν, 9

ℵAR **13** με] + Κυριε R **14** απο Ι°] απ ℵ* (απο ℵ$^{c.a}$) | κατακυριευσωσιν ℵ **15** σου] + εστιν A — Stich 31 BℵR 30 A XIX **3** Σειων A **4** θυσια A* (ς superscr A$^{a?}$) | ολοκαυστωμα R | διαψαλμα "praeter morem" inst B^{b} **5** σοι] + κς ℵ$^{c.a}$ AR | πληρωσει AR **6** αγαλλιασομεθα B^{ab}ℵA | εν Ι°] επι A | θεου] pr κῡ ℵR | πληρωσει R^{vid} **7** δυναστειαις B* (-τειαις B^{ab} ℵA) **8** αρμασιν] ασμασιν R | om Κυριου A | μεγαλυνθησομεθα] αγαλλιασομεθα ℵ* επικαλεσομεθα ℵ$^{c.a}$

ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνορθώθημεν. B
10 [10]Κύριε, σῶσον τὸν βασιλέα σου,
καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

Κ′

XX (XXI) Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυείδ.
2 [2]Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς,
καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.
3 [3]τὴν ἐπιθυμίαν τῆς ψυχῆς αὐτοῦ ἔδωκας αὐτῷ,
καὶ τὴν δέησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.
διάψαλμα.
4 [4]ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος,
ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.
5 [5]ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ,
μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.
6 [6]μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου,
δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ᾽ αὐτόν·
7 [7]ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος,
εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.
8 [8]ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον,
καὶ ἐν τῷ ἐλέει τοῦ ὑψίστου οὐ μὴ σαλευθῇ.
9 [9]εὑρεθείη ἡ χείρ σου πᾶσιν τοῖς ἐχθροῖς σου,
ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.
10 [10]θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου·
Κύριε, ἐν ὀργῇ σου συνταράξεις αὐτούς, καὶ καταφάγεται
αὐτοὺς πῦρ.
11 [11]τὸν καρπὸν αὐτῶν ἀπὸ γῆς ἀπολεῖς,
καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.
12 [12]ὅτι ἔκλιναν εἰς σὲ κακά,
διελογίσαντο βουλὴν ἣν οὐ μὴ δύνωνται στῆσαι.

9 ανορθωθημεν ℵA **10** om σου ℵ$^{c.a}$AR | ημων] ημας R — Stich ℵAR 20 BℵR 19 A XX **2** τω σωτηριω] το σωτηριον R **3** ψυχης] καρδιας ℵ$^{c.a}$ | δεησιν] θελησιν ℵ$^{c.a}$R **4** τιμιου]+διαψαλμα R^{a} **5** om σε R* (hab R^{a}) | αιωνος] pr και εις αιωνα του (superscr) B^{ab}R pr και εις τον αιωνα του ℵ* (om ℵ$^{c.a}$) **6** μεγαλοπρεπειαν ℵA **7** αιωνα αιωνος Bℵ$^{c.a}$R] τον αιωνα και εις τον αιωνα του αιωνος ℵ* **8** σαλευθω ℵ* (σαλευθη ℵ$^{c.a}$) **9** πασι ℵ* R (πασιν Bℵ$^{c.a}$) **10** θησεις] pr οτι ℵ* (om ℵ$^{c.a}$) | Κυριε] κ̄ς ℵ$^{c.a}$R | σου 2°] αυτου ℵ$^{c.a}$R | συνταραξει ℵ$^{c.c\,(vid)}$R **11** απο της γης ℵ$^{c.a}$ **12** εκκλιναν A | βουλην ην] βουλας ας ℵ$^{c.a}$A | στησαι Bℵ*] στηναι ℵ$^{c.a}$AR

B [13]ὅτι θήσεις αὐτοὺς νῶτον, 13
ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.
[14]ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου, 14
§ U ᾄσομεν καὶ ψαλοῦμεν §τὰς δυναστείας σου.

ΚΑ′

Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήμψεως τῆς ἑωθινῆς· XXI (XXII)
ψαλμὸς τῷ Δαυείδ.

[2]῾Ο θεὸς ὁ θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με; 2
μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.
[3]ὁ θεός μου, κεκράξομαι ἡμέρας πρὸς σὲ καὶ οὐκ εἰσακούσῃ, 3
καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.
[4]σὺ δὲ ἐν ἁγίοις κατοικεῖς, ὁ ἔπαινος ᾽Ισραήλ. 4
[5]ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, 5
ἤλπισαν καὶ ἐρύσω αὐτούς·
[6]πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν, 6
ἐπὶ σοὶ ἤλπισαν καὶ οὐ κατῃσχύνθησαν.
[7]ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, 7
ὄνειδος ἀνθρώπου καὶ ἐξουδένημα λαοῦ.
[8]πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, 8
ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν
[9]῾Ηλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν· 9
σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν,
[10]ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός, 10
ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου·
[11]ἐπὶ σὲ ἐπερίφην ἐκ μήτρας, 11
ἐκ κοιλίας μητρός μου θεός μου εἶ σύ·

ℵARU **14** ψαλομεν R^{vid} | τας δυναστειας] inc εν ταις δυναστειαις U — Stich 26 BℵA 27 R XXI **1** εις] ες U | om ψαλμος τω Δ. A **2** προσχες] προσθες R^{*vid} | εγκατελειπες AU ενκατελιπες R **3** εκεκραξα R* (κεκρ. R^{a}) | ημερας προς σε] om ℵ$^{c.a}$ προς σε ημερα R | εισακουση] + μου U **4** αγιοις] αγιω ℵ$^{c.a}$ | κατηκεις U | Ισραηλ] pr του ℵ$^{c.a}$U **5** ερρυσω B^{ab}ℵRU **6** σοι] σε R^{vid} | κατησχυθησαν B* (κατησχυνθ. B^{ab}) ...|χυνθησαν U **7** ουκ] ουχι A | ανθρωπου] ανθρωπων ℵRU | εξουθενημα ℵAR **8** παντας U | ελαλησαν] pr και ℵU | εκινησαν] pr και U | κεφαλην] + και ειπαν U **9** ηλπισαν B* (ηλπισεν B^{ab}) | αυτον 1°] αυτων U | οτι θελει αυτον] εθελει αυτου U **10** εκπασας AR*U | μαστρων B* (μαστων B^{ab}) | της μητρος] om της U **11** επερριφην B^{ab}RU | εκ κοιλιας] απο γαστρος ℵ$^{c.a}$ | θεος μου ει συ] συ ει ο θεος μου R ο θς μου ει συ U

μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ, ὅτι θλίψις ἐγγύς, B
12 [12]ὅτι οὐκ ἔστιν ὁ βοηθῶν.
13 [13]περιεκύκλωσάν με μόσχοι πολλοί,
ταῦροι πίονες περιέσχον με·
14 [14]ἤνοιξαν ἐπ᾽ ἐμὲ τὸ στόμα αὐτῶν,
ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος.
15 [15]ὡσεὶ ὕδωρ ἐξεχύθην
καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου,
ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς
κοιλίας μου.
16 [16]ἐξηράνθη ὡσεὶ ὄστρακον ἡ ἰσχύς μου,
καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου,
καὶ εἰς χοῦν θανάτου κατήγαγές με.
17 [17]ὅτι ἐκύκλωσάν με κύνες πολλοί,
συναγωγὴ πονηρευομένων περιέσχον με·
ὤρυξαν χεῖράς μου καὶ πόδας.
18 [18]ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου·
αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με.
19 [19]διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς,
καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.
20 [20]σὺ δέ, Κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν μου,
εἰς τὴν ἀντίλημψίν μου πρόσχες.
21 [21]ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου,
καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου·
22 [22]σῶσόν με ἐκ στόματος λέοντος,
καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.
23 [23]διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου,
ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.
24 [24]οἱ φοβούμενοι Κύριον, αἰνέσατε αὐτόν·
ἅπαν τὸ σπέρμα Ἰακώβ, δοξάσατε αὐτόν,

11 εγγυς] + μου U **12** εστιν] εν U | βοηθων] + μοι ℵ$^{c.a}$ (ras ℵ$^{c.b?}$) ℵARU **14** το στομα] om το U | αυτων] αυτω U | ο αρπαζων] om ο U **15** εξεχυθη ℵ$^{c.a}$R εξεχυνθην U | οστα] διαβηματα ℵ* (οστα ℵ$^{c.a}$) **16** ωσει] ως ℵARU |η 1°]ην U | εις] ες U | θανατου U **17** ποδας] + μου ℵ$^{c.a}$AR^{a}U + διηγησομαι παντα τα θαυμασιασσου (sic) U **18** εξηριθμηθησαν U | επιδον A **19** διεμερισαν ℵ* (διεμερισαντο ℵ$^{c.a}$) | εαυτοις τα ιμ. μ. R **20** μου 1°] σου ℵ* σου απ εμου ℵ$^{c.a}$RU | προσχες] προσθες R^{vid} **21** την ψ. μ. απο ρομφ. U | κυνων U | μονογενην Λ **22** μεκ B* (με εκ B^{ab}) | μονοκερατων U **24** Κυριον] pr τον ℵ$^{c.a}$RU | αινεσατε] αισατε R^{*vid} (αιν. R^{a})

B φοβηθήτωσαν αὐτὸν ἅπαν τὸ σπέρμα Ἰσραήλ.
25 ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισεν τῇ δεήσει τοῦ πτωχοῦ, 25
οὐδὲ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ,
καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέν μου.
26 παρὰ σοῦ ὁ ἔπαινός μου ἐν ἐκκλησίᾳ μεγάλῃ, 26
τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν.
27 φάγονται πένητες καὶ ἐμπλησθήσονται, 27
καὶ αἰνέσουσιν Κύριον οἱ ἐκζητοῦντες αὐτόν·
ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.
28 μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ 28
πέρατα τῆς γῆς,
καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν
ἐθνῶν·
29 ὅτι τοῦ κυρίου ἡ βασιλεία, 29
καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.
30 ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς, 30
ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς
τὴν γῆν·
καὶ ἡ ψυχή μου αὐτῷ ζῇ.
31 καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ· 31
ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ ἡ ἐρχομένη,
32 καὶ ἀναγγελοῦσιν τὴν δικαιοσύνην αὐτοῦ 32
λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ κύριος.

ΚΒ'

Ψαλμὸς τῷ Δανείδ. XXII (XXIII)

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. 1
2 εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν· 2
ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέν με·
3 τὴν ψυχήν μου ἐπέστρεψεν. 3

ℵARU **24** φοβηθητωσαν] φοβηθητω δη ℵ$^{c.a}$ | αυτον] απ αυτου ℵ$^{c.a}$U **25** την δεησιν R | εισηκουσεν] επηκουσεν A **26** σου] σοι U | μεγαλη] + εξομολογησομαι σοι ℵ$^{c.a}$ | αποδωσω] pr τω κω ℵ$^{c.a}$ (ras ℵ$^{c.b?}$) R | ενωπιον] εναντιον R | των φοβ.] pr παντων ARU **27** εμπλησθησονται] εμπλησ sup ras A^{a} επλ. R | αινεσουσι U | Κυριον] pr τον U | ζησεται U | αι καρδιαι] η καρδια U **28** προς] τον U | περα A **29** om και U | των εθνων] pr παντων U **30** προσπεσουνται U | την γην] om την ℵ$^{c.a}$ | η ψυχη] ε ψυχην U | ζη] ζωη U **31** μου] αυτου A **32** αναγγελουσι U | ο κυριος] om o ℵAR — Stich 68 B 65 ℵ 66 AR XXII **1** ποιμαινει B ℵ$^{c.a}$RU] ποιμανει ℵ*A | με 2°] pr ου μη ℵU | υστερηση ℵ **2** επι] εφ U | εξεθρεψε] B* εξεθρεψε με B^{b} (με B$^{a\,vid}$)

ὡδήγησέν με ἐπὶ τρίβους δικαιοσύνης B
ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.
4 [4]ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου,
οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ᾽ ἐμοῦ εἶ·
ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὐταί με παρεκάλεσαν.
5 [5]ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με·
ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου,
καὶ τὸ ποτήριόν σου μεθύσκον ὡς κράτιστον.
6 [6]καὶ τὸ ἔλεός σου καταδιώξεταί με πάσας τὰς ἡμέρας τῆς ζωῆς
μου,
καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν.

ΚΓ΄

XXIII (XXIV) Ψαλμὸς τῷ Δανείδ· τῆς μιᾶς σαββάτων.
1 Τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς,
ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.
2 [2]αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν,
καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.
3 [3]τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κυρίου,
καὶ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;
4 [4]ἀθῷος χερσὶν καὶ καθαρὸς τῇ καρδίᾳ,
ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ,
καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.
5 [5]οὗτος λήμψεται εὐλογίαν παρὰ Κυρίου,
καὶ ἐλεημοσύνην παρὰ θεοῦ σωτῆρος αὐτοῦ.
6 [6]αὕτη ἡ γενεὰ ζητούντων αὐτόν,
ζητούντων τὸ πρόσωπον τοῦ θεοῦ Ἰακώβ. διάψαλμα.
7 [7]ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν,
καὶ ἐπάρθητε, πύλαι αἰώνιοι,

4 κακα] πονηρα R | ραβδον A | βακτη|ριασσου U | αυται] αυτα A ℵARU **5** μεθυσκον] + με ℵ$^{c.a}$ R^{a} | ως] ωσει ℵ$^{c.a}$ **6** καταδιωξει ℵ$^{c.a}$ | τας ημερας] τα της ημ. U | και 2°] δια U — Stich 14 BAR 13 ℵ XXIII **1** om της μιας σαββατων ℵ μια σαββατου A τη μια των σαββατων U | η οικουμενη] οικουμενης U | om εν αυτη U **2** θαλασων U* (σ superscr U^{1}) | ητοιμασεν] ητοιμασας| εν A **3** αναβησεται] βη sup ras 3 ut vid litt A^{a} (αναστησ. A^{*vid}) | και] η ℵ$^{c.a}$U | αγιω] αγιασματος U **4** χερσι U | επι ματαιως A | αυτου 1°] μου A | και ουκ] ουδε U | om αυτου 2° ℵ* (hab ℵ$^{c.a}$) A **5** ελεημοσυνην] ελεος U **6** η γενεα] η sup ras: item post γεν. ras 1 lit A^{a} | ζητουντων 1°] ζ sup ras A^{a} | αυτον] τον κν ℵ$^{c.a}$ (αυτον ℵ$^{c.b?}$) R των (sic) κν U | το προσωπον] om το U | om διαψαλμα A **7** υμων] ημων R

B καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.
[8]τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; 8
Κύριος κραταιὸς καὶ δυνατός,
Κύριος δυνατὸς ἐν πολέμῳ.
[9]ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν, 9
καὶ ἐπάρθητε, πύλαι αἰώνιοι,
καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.
[10]τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; 10
Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν
οὗτος ὁ βασιλεὺς τῆς δόξης.

ΚΔ′

Ψαλμὸς τῷ Δαυείδ. XXIV (XXV)

Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου, [2]ὁ θεός μου· 1 2
ἐπὶ σοὶ πέποιθα· μὴ καταισχυνθείην,
μηδὲ καταγελασάτωσάν μου οἱ ἐχθροί μου.
[3]καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν· 3
αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διὰ κενῆς.
[4]τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι, 4
καὶ τὰς τρίβους σου δίδαξόν με·
[5]ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου 5
καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ θεὸς ὁ σωτήρ μου,
καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.
[6]μνήσθητι τῶν οἰκτειρμῶν σου, 6
καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν.
[7]ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μὴ μνησθῇς· 7
κατὰ τὸ ἔλεός σου μνήσθητί μου
ἕνεκα τῆς χρηστότητός σου, Κύριε.

ℵARU **8** om τις εστιν...δοξης A* (hab A$^{a(mg)}$) | δυνατος και κραταιος U | εν] εξ R^{vid} | πολεμω]+διαψαλμα U **9** υμων] ημων R | επαρθη U **10** om τις εστιν...δοξης A* (hab A$^{a(mg)}$) | των δυναμεων] om των U | om ουτος 2° ℵ$^{c.a}$AR — Stich 24 Bℵ 22 A 23 R XXIV **1** ψαλμος] pr εις το τελος RU **2** ο θεος μου cum seqq coniung R | πεποιθα μη· U | καταισχυνθειην]+εις τον αιωνα ℵ$^{c.a}$ (ras ℵ$^{c.b?}$) R^{a} | καταγελατωσαν U **3** και γαρ] και γ sup ras A^{1} (om γαρ A*) | αισχυνθητωσαν] αισχυνθειησαν U | οι ανομουντες] pr παντες B^{ab} (postea ras B$^{b?}$) AR **4** γνωρισον μοι κε̄ U | τριβουσου U* (s superscr U^{1}) **5** επι την αληθειαν Bℵ$^{c.a}$] εν τη αληθεια ℵ*A (αληθειαν) RU | αληθειασσου U | υπεμεινα] υπομενω U **6** σου 1°]+κε̄ ℵARU | om οτι U | εισι U **7** post και ras aliq B$^{?}$ | αγνοιας] pr τας ℵ* (om ℵ$^{c.a}$) U+μου ℵ$^{c.a}$ARU | ελεος] πληθος του ελεους U | μου 2°]+συ ℵ$^{c.a}$ R$^{a\,vid}$ U | ενεκεν R

8 [8]χρηστὸς καὶ εὐθὴς ὁ κύριος· B
διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.
9 [9]ὁδηγήσει πραεῖς ἐν κρίσει,
διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.
10 [10]πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια
τοῖς ἐκζητοῦσιν τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.
11 [11]ἕνεκα τοῦ ὀνόματός σου, Κύριε,
καὶ ἱλάσῃ τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστιν.
12 [12]τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον;
νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο·
13 [13]ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται,
καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.
14 [14]κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ τὸ ὄνομα Κυρίου
τῶν φοβουμένων αὐτόν,
καὶ ἡ διαθήκη αὐτοῦ τοῦ δηλῶσαι αὐτοῖς·
15 [15]οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν κύριον,
ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.
16 [16]ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με,
ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.
17 [17]αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν,
ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.
18 [18]ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου,
καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.
19 [19]ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν,
καὶ μῖσος ἄδικον ἐμίσησάν με.
20 [20]φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με·
μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.
21 [21]ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε.
22 [22]λύτρωσαι, ὁ θεός, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

8 ευθυς A **9** om διδαξει πραεις οδους αυτου B* hab $B^{ab\,mg\,inf}$ ℵA (post ℵARU διδ. ras 1 lit [forte 5] A^3) RU (ουδους) **10** εκζητουσι U **11** ενεκεν RU | ιλασῃ] ιλασθητι RU | ταις αμαρτιαις R* (τῃ αμαρτια R^a) | εστι U **13** γην] pr την U **14** των φοβου (1°) sup ras A^1 | om και το ονομα... αυτον $B^{b\,vid}$ (non inst) ℵ | φοβουμενων 2°] επικαλουμενων A | του δηλωσαι] δηλωσει $ℵ^{c.a}$ δηλωσαι U **15** εκπασει A | πακιδος ℵ **16** εγω ειμι R **17** επληθυνθησαν] επλατυνθησαν U | εξαγαγε] ρυσαι R **18** την ταπεινωσει U **19** επληθυνθησαν] επλατυνθησαν U **20** ελπισα U **21** εκολλωτο R* (εκολλωντο R^a) | om Κυριε ℵ **22** την Ιηλ U
— Stich 44 BR 45 A 43 ℵ

B

ΚΕ΄

Τοῦ Δαυείδ. XXV (XXVI)

Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην, 1
καὶ ἐπὶ τῷ κυρίῳ ἐλπίζων οὐ μὴ σαλευθῶ.
2 δοκίμασόν με, Κύριε, καὶ πείρασόν με, 2
πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου.
3 ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μού ἐστιν, 3
καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου.
4 οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, 4
καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω·
5 ἐμίσησα ἐκκλησίαν πονηρευομένων, 5
καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.
6 νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου, 6
καὶ κυκλώσω τὸ θυσιαστήριόν σου·
7 τοῦ ἀκοῦσαι φωνὴν αἰνέσεως, 7
καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.
8 Κύριε, ἠγάπησα εὐπρεπίαν οἴκου σου 8
καὶ τόπον σκηνώματος δόξης σου.
9 μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, 9
καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου·
10 ὧν ἐν χερσὶν ἀνομίαι, 10
ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.
11 ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· 11
λύτρωσαί με καὶ ἐλέησόν με.
12 ὁ γὰρ πούς μου ἔστη ἐν εὐθύτητι· 12
ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

ℵARU XXV **1** του Δ.] ψαλμος τω Δ. U | om μου R | σαλευθω] ασθενησω ℵAR **2** om δοκιμασον...2° με ℵ* (hab δοκ. με κε και πιρασον με ℵ$^{c.a}$) | πειρασον B^{ab} (πιρ. B*)] περασον U | καρδια U **3** μου] σου A | ευηρεστησα] +σοι U **4** ματαιοτητας A | εισηλ|θω U **5** εκκλησια U **6** σου] +κε ℵARU **7** φωνην] pr την ℵ$^{c.a}$ (ras ℵ$^{c.b?}$) | αινεσεως] ενεως σου U **8** ευπρεπειαν B^{ab}AU **9** συναπωλεσης U **10** ων] ω U | ανομιαι] ανομια ℵ* αι (ε A) ανομιαι ℵ$^{c.a}$AR ανομιαν U | η δεξια] pr και R **11** ακακιαν U | με 1°]+κε ℵ$^{c.a}$A | με 2°]+Κυριε R^{a} **12** om γαρ B^{a} (ras) ℵ$^{c.a}$R | ευλογησω σε] ευλογησωσει U — Stich 24 BR 23 ℵ 25 A

ΚΓ′ B

XXVI XXVII)

Τοῦ Δαυείδ, πρὸ τοῦ χρισθῆναι.

1 [5]Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; § T
Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω;
2 [2]ἐν τῷ ἐγγίζειν ἐπ᾽ ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου,
οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν.
3 [3]ἐὰν παρατάξηται ἐπ᾽ ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου·
ἐὰν ἐπαναστῇ ἐπ᾽ ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.
4 [4]μίαν ἠτησάμην παρὰ Κυρίου, ταύτην ἐκζητήσω·
τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου,
τοῦ θεωρεῖν με τὴν τερπνότητα τοῦ κυρίου
καὶ ἐπισκέπτεσθαι τὸν ναὸν αὐτοῦ.
5 [5]ὅτι ἔκρυψέν με ἐν σκηνῇ ἐν ἡμέρᾳ κακῶν μου·
ἐσκέπασέν με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ,
ἐν πέτρᾳ ὕψωσέν με.
6 [6]καὶ νῦν ἰδοὺ ὕψωσεν τὴν κεφαλήν μου ἐπ᾽ ἐχθρούς μου·
ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν ἀλαλαγμοῦ,
ᾄσομαι καὶ ψαλῶ τῷ κυρίῳ.
7 [7]εἰσάκουσον, Κύριε, τῆς φωνῆς μου ἧς ἐκέκραξα·
8 ἐλέησόν με καὶ εἰσάκουσόν μου, [8]σοὶ εἶπεν ἡ καρδία μου.
ἐξεζήτησα τὸ πρόσωπόν σου·
τὸ πρόσωπόν σου, Κύριε, ζητήσω.

XXVI **1** ψαλμος τω Δ. U | χρισθῆ ℵ χρισθη A | inc $\overline{\text{κς}}$ φωτ. μου T (deest tit ut vid) | ζωης] σωτηριας U **2** κακουντας] τους κακ. με U | οι εχθροι] om οι U **3** εαν 1°] ην R εαν γαρ U | παραταξητε B* (-ται B^{ab}) | παρεμβολην U | εαν 2°] pr και RU | επαναστη] επανεστη R επαναστησεται U | ελπιω RU **4** εκζητησω] ras εκ $B^{c}R^{a?}$ ζητησω T | το κατοικειν ℵ* (του κ. $\aleph^{c.a}$) A | οικω] pr τω R | Κυριου] pr του ℵ* (om $\aleph^{c.a}$) R | του κυριου] om του AT | ναον] λαον ℵ* (ναον $\aleph^{c.a}$) U τον αγιον ν. AR **5** με εν (1°)] μεν A* (με εν $A^{a?}$) | σκηνη] + αυτου $\aleph^{c.a}$ARTU | om μου RU | αποκρυφω] αποκροις R* (αποκρυφω R^{a}) αποκρυφων U **6** ιδου] ειου (forte ετου) U | υψωσεν] υψωσε B^{c} + $\overline{\text{κς}}$ A | την κεφαλην] om την $B^{c}\aleph^{c.a}$T | αλαλαγμου] pr αινεσεως και $\aleph^{c.a}$ (om $\aleph^{c.b}$) T αινεσεως U | ασω ℵT **7** om μου 1° U | εκεκραξα] + προς σε A με] + $\overline{\text{κε}}$ U **8** σοι] o sup ras $B^{a?}$ συ T | μου] + κν ζητησω $\aleph^{c.a}$ (om $\aleph^{c.b}$) T | εξεζητησα] εζητησεν ℵ*U εξεζητησεν σε $\aleph^{c.a}$T εζητησα R* ζητησω R^{a} | σου 1°] μου ℵT

B [9]μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, 9
μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου·
βοηθός μου γενοῦ, μὴ ἐγκαταλίπῃς με
καὶ μὴ ὑπερίδῃς με, ὁ θεὸς ὁ σωτήρ μου.
[10]ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, 10
ὁ δὲ κύριος προσελάβετό με.
[11]νομοθέτησόν με, Κύριε, τῇ ὁδῷ σου, 11
καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν μου.
[12]μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, 12
ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι,
καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.
[13]πιστεύσω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων. 13
[14]ὑπόμεινον τὸν κύριον· 14
ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν
κύριον.

ΚΖ′

Τοῦ Δαυείδ. XXVII (XXVIII)

Πρὸς σέ, Κύριε, ἐκέκραξα, ὁ θεός μου, 1
μὴ παρασιωπήσῃς ἐπ᾽ ἐμοί·
μή ποτε παρασιωπήσῃς ἐπ᾽ ἐμοὶ καὶ ὁμοιωθήσομαι τοῖς κατα-
βαίνουσιν εἰς λάκκον.
[2]εἰσάκουσον τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ δέεσθαί με 2
πρὸς σέ,
ἐν τῷ με αἴρειν χεῖράς μου εἰς ναὸν ἁγιόν σου.
[3]μὴ συνελκύσῃς μετὰ ἁμαρτωλῶν τὴν ψυχήν μου, 3
καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με,

ℵARTU **9** μη 2°] pr και ℵ$^{c.a}$ (om ℵ$^{c.b}$) RT | δουλουσσου U | εγκαταλιπης B*A (εγκαταλειπ.) R (ενκαταλιπ.)] αποσκορακισης B$^{b(vid)}$ ℵ$^{c.a}$TU^{s} (αποσκαρακ. U*^{vid}) | om υπεριδης...η μητηρ μου U | υπεριδης] ενκαταλιπης ℵ$^{c.a}$T (ενκαταλειπ.) **10** ενκατελειπον AT ενκατελιπον R εκκαταλειπον U **11** με 1°] μοι R | τη οδω] pr εν ℵ$^{c.a}$R^{a}TU | τριβων ευθειαν U **12** θλιβοντων] pr των U | επαναστησαν A | μοι] επ εμε R | εαυτη] εαυτης A εαυτω R^{a} αυτη U **13** πιστευω B^{b}ARTU | Κυριου] pr του R | εν τη γη των ζωντων U **14** υπομεινον] υπομενω U | κραταιουθω B* (-σθω B^{ab}) | σου] μου A — Stich 34 BℵR 33 A 39 T XXVII **1** του Δ.] τω Δ. T ψαλμος τω Δ. U | εκεκραξα] κεκραξομαι ℵAT | επ εμοι bis] απ εμου ℵARTU | παρασιωπησας (2°) U **2** εισακουσον]+κε ℵ$^{c.a}$ (om ℵ$^{c.b}$) T | εν τω δεεσθαι με] ης εκεκραξα A | εν 2°] pr και U | με αιρειν] om με ℵ* αιρειν με ℵ$^{c.a}$ART | εις] προς ℵ$^{c.a}$ARTU **3** συνελκυσης]+με ℵTU | om την ψυχην μου ℵT | εργαζομενων] pr ανδρων ℵ* (om ℵ$^{c.a}$) | αδικιαν Bℵ$^{c.a}$] την ανομιαν ℵ*RU την (sic) A* (sign adpinx A$^{b?}$) | συναπωλεσης U

τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, B
κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.
4 [4]δὸς αὐτοῖς κατὰ τὰ ἔργα αὐτῶν
καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν·
κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς,
ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.
5 [5]ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου
καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ,
καθελεῖς αὐτοὺς καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.
6 [6]εὐλογητὸς Κύριος, ὅτι εἰσήκουσεν τῆς φωνῆς τῆς δεήσεώς μου.
7 [7]Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου·
ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην,
καὶ ἀνέθαλεν ἡ σάρξ μου·
καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ.
8 [8]Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ,
καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ χριστοῦ αὐτοῦ ἐστιν.
9 [9]σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου,
καὶ ποίμανον αὐτοὺς καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

ΚΗ'

XXVIII (XXIX) Ψαλμὸς τῷ Δαυείδ· ἐξοδίου σκηνῆς.

1 Ἐνέγκατε τῷ κυρίῳ, υἱοὶ θεοῦ,
ἐνέγκατε τῷ κυρίῳ υἱοὺς κριῶν·
ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν,
2 [2]ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ·
προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.
3 [3]φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων,
ὁ θεὸς τῆς δόξης ἐβρόντησεν,
Κύριος ἐπὶ ὑδάτων πολλῶν.

3 αυτων 1°] αυτου R | κακα] πονηρα R **4** αυτοις 1°] + κε ℵ$^{c.a}$ (om ℵ$^{c.b}$) ℵARTU T | κατα 3°] pr και U | om αυτων 3° A **5** ου 1°] ο U | συνηκα A (improb vid A^{b}) | om εις τα εργα Κυριου και εις U | οικοδομη.....ους T **6** οτι rescr A^{1} | της φ.] rescr τη A^{1} | δεεσεως U **7** ηλπισεν] ηαλπ. ℵ* (ηλπ. ℵ^{1}) ελπ. U | και εβοηθηθην] εφοβηθην U | ανεθαλλεν A | η σαρξ μου ανεθαλεν U **8** τω λαω T | αυτου 1°] + εισταν U | om εστιν R **9** των λαον U | σου] + Κυριε R | του αιωνος] om του ℵ* (hab ℵ$^{c.a}$) — Stich 25 BA 24 ℵR 26 T XXVIII **1** εξοδου TU (εξοδουσσκ.) | υιους] υιος U **2** om τω κυριω (1°) T | ονοματι] pr τω U | om αγια αυτου R* (hab R^{a})

B [4]φωνὴ Κυρίου ἐν ἰσχύι,
φωνὴ Κυρίου ἐν μεγαλοπρεπίᾳ. 4
[5]φωνὴ Κυρίου συντρίβοντος κέδρους·
συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου, 5
[6]καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον·
καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων. 6
[7]φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός. 7
[8]φωνὴ Κυρίου συνσείοντος ἔρημον, 8
συνσείσει Κύριος τὴν ἔρημον Καδής.
[9]φωνὴ Κυρίου καταρτιζομένου ἐλάφους, 9
καὶ ἀποκαλύψει δρυμούς·
καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.
[10]Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ· 10
καὶ καθιεῖται Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα.
[11]Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, 11
Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

ΚΘ′

Εἰς τὸ τέλος· ψαλμὸς ᾠδῆς τοῦ ἐνκαινισμοῦ τοῦ οἴκου, τοῦ Δανείδ. XXIX (XXX)

[2]Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με, 2
καὶ οὐκ ηὔφρανας τοὺς ἐχθρούς μου ἐπ᾽ ἐμέ.
[3]Κύριε ὁ θεός μου, ἐκέκραξα πρὸς σὲ καὶ ἰάσω με· 3
[4]Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, 4
ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.
[5]ψάλατε τῷ κυρίῳ, οἱ ὅσιοι αὐτοῦ, 5
καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.
[6]ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, 6
καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ·

ℵARTU **4** *ισχυι*] *δυναμει* R | *μεγαλοπρεπεια* B^{ab}ℵU **5** *συντριψει*] pr *και* $ℵ^{c.a}$TU **6** *μονοκερωτος* U **7** *φλογαν* A **8** *συνσιοντ.* B*T (*συνσειοντ.* B^{a}ℵU) *συσειοντ.* A (*σ 2°* rescr A^{1}) *συσειοντ.* B^{b} | *ερημον 1°*] pr *τη* U | *συνσισει* B*ℵ (? R) T *συνσεισ.* B^{b} (? R) U (*συνσεισε*) *συσσεισει* B^{b}A pr *και* ℵRT | *τηρημον* R^{vid} **9** *καταρτιζομενου*] *καταρτιζομενη* $B^{b\,fort}$ (non inst *ου*) $ℵ^{c.a}$T | *δοξαν*] *την δ. αυτου* U **10** om *και* U* (hab U^{1}) | *καθιεται* B*ℵ*U (*καθιεται* $B^{ab}ℵ^{c.a}$A [-*τε*] RT) | *βασιλευσει* U **11** *Κυριος 1°*] *και* U | *τον λαον*] *τον λαω* U | *αυτουν* U* (*αυτ. εν* U^{1}) | *εν ειρηνη*] *εις τον αιωνα* R — Stich 24 BℵT 23 AR XXIX **1** om *εις το τελος* ℵAT | *τωδης* ℵ* (om *τ* $ℵ^{1?}$) | *εγκαινισμου* B^{b}ℵU *ενκαινιασμου* R^{a} | *του οικου*] om *του* U | *του Δ.*] *τω Δ.* ℵA *Δ.* RU **2** *ευφρανας* B^{ab}ℵ | *εμε*] *εμοι* ℵA **4** *απο*] *εκ* ℵ* (*απο* $ℵ^{c.a}$) **5** *ψαλλατε* B^{edit} | *την μνημην* U | *αγιοσυνης* T **6** *τω θυμω*] *αυ|τω θ.* U

τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμός, B
καὶ εἰς τὸ πρωὶ ἀγαλλίασις.
7 [7]ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.
8 [8]Κύριε, ἐν τῷ θελήματί σου παράσχου τῷ κάλλει μου δύναμιν·
ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος.
9 [9]πρὸς σέ, Κύριε, κεκράξομαι,
καὶ πρὸς τὸν θεόν μου δεηθήσομαι.
10 [10]τίς ὠφελία ἐν τῷ αἵματί μου, ἐν τῷ καταβῆναί με εἰς διαφθοράν;
μὴ ἐξομολογήσεταί σοι χοῦς,
ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;
11 [11]ἤκουσεν Κύριος καὶ ἠλέησέν με,
Κύριος ἐγενήθη βοηθός μου.
12 [12]ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί,
διέρρηξας τὸν σάκκον μου καὶ περιέζωσάς με εὐφροσύνην,
13 [13]ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ.
Κύριε ὁ θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

Λ′

XXX (XXXI) Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δανείδ, ἐκστάσεως.
2 [2]Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα·¶ ¶ T
ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.
3 [3]κλῖνον πρὸς μὲ τὸ οὖς σου,
τάχυνον τοῦ ἐξελέσθαι με·
γενοῦ μοι εἰς θεὸν ὑπερασπιστήν,
καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με.
4 [4]ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σύ,
καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με.

7 ειπον TU **8** *τω θελματι*] λ sup ras $A^{a?}$ *το θελματι* U | *παρεσχου* ℵARTU TU | *απεστρεψας*] *εστρεψας* R | om *δε* R **9** *κεκραξομαι*] *εκεκραξα* R* (*κεκραξομαι* R^{a}) *καικραξ.* U | *δεηθησομαι*] *εδεηθην* R* (*δεηθησ.* R^{a}) **10** *ωφελεια* $B^{ab}U$ | *καταβηναι*] *καταβαινιν* $ℵ^{c.a}$ | *διαφθοραν*] pr *την* U | *οι* U* (*σοι* U^{1}) | *η*] *μη* U **11** *Κυριος* 2°] pr *και* ℵ* (om $ℵ^{c.a}$) *κε* U **12** *εστραψας* U | *μου* 1°]+*κε* $ℵ^{c.a}$ **13** *δοξα*] *δεξια* U | *εις*] *ει* U — Stich 25 B 23 ℵAR 22 T XXX **1** om *εκστασεως* ℵ **2** *ηλπισα κε* U | *εις*] *ει* U | *εν τη δικ.*] pr *και* ℵ* (om $ℵ^{c.a}$) | om *και εξελου με* ℵ **3** *του ους* U | *εις* 2°] *οις* A **4** *κραταιωσις* ℵAU | om *μου* 1° ℵU | *καταφυγην* U | om *και* 2° U | *ενενκεν* U | *σου*] *σ* rescr A^{1}

B
5 ἐξάξεις με ἐκ παγίδος ταύτης ἧς ἔκρυψάν μοι, 5
ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου.
6 εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· 6
ἐλυτρώσω με, Κύριε ὁ θεὸς τῆς ἀληθείας.
7 ἐμίσησας τοὺς φυλάσσοντας ματαιότητας διὰ κενῆς· 7
ἐγὼ δὲ ἐπὶ τῷ κυρίῳ ἤλπισα.
8 ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου, 8
ὅτι ἐπεῖδες τὴν ταπείνωσίν μου,
ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου·
9 καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθροῦ, 9
ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.
10 ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι· 10
ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου,
ἡ ψυχή μου καὶ ἡ γαστήρ μου.
11 ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, 11
καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς·
ἠσθένησεν ἐν πτωχίᾳ ἡ ἰσχύς μου,
καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.
12 παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, 12
καὶ τοῖς γείτοσίν μου σφόδρα,
καὶ φόβος τοῖς γνωστοῖς μου·
οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ·
13 ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας, 13
ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός.
14 ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν· 14
ἐν τῷ συναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμὲ
τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.
15 ἐγὼ δὲ ἐπὶ σὲ ἤλπισα, Κύριε· 15
εἶπα Σὺ εἶ ὁ θεός μου.
16 ἐν ταῖς χερσίν σου οἱ κλῆροί μου· 16

ℵARU **5** πακιδος ℵ | μου 2°] + κε ℵ$^{c.a}$AR^{a} **7** εμιμησας B* (εμισ. B^{ab}) | διαφυλασσοντας AU | ματαιοτητα ℵ$^{c.a}$ **8** το ελεει U | επιδες ℵ εφειδες A pr συ U | εσωσας] pr και U **9** om και R* (hab R^{a}) | ου] ο U | εχθρων R | ευρυχω A **10** θλιβομαι U | εν θυμω] απο θυμου R εν τω θυμω σου U | η ψυχη] pr και U | om μου 2° R* (hab R^{a}) **11** om οτι U | εξελειπεν AU | εν 1°] ον A ε U | πτωχεια B^{ab}U | οστα μο sup ras A$^{a?}$ **12** γνωστης U **13** επελησθην B^{ab}ℵA$^{a?}$R] επλησθην B*A* pr οτι U | απολωλος] απωλωλος A pr ει U **14** επισυναχθηναι ℵARU **15** σε ℵ*U] σα B* σοι B^{ab}ℵ$^{c.a}$AR | ηλπισα επι σε U | κε ηλπισα A | συ] pr οτι U

ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου B
καὶ ἐκ τῶν καταδιωκόντων με.
17 [17]ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου,
σῶσόν με ἐν τῷ ἐλέει σου.
18 [18]Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε·
αἰσχυνθείησαν οἱ ἀσεβεῖς καὶ καταχθείησαν εἰς ᾅδου.
19 [19]ἄλαλα γενηθήτωσαν τὰ χείλη τὰ δόλια,
τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν
ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.
20 [20]ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε,
ἧς ἔκρυψας τοῖς φοβουμένοις σε·
ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ
ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.
21 [21]κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου
ἀπὸ ταραχῆς ἀνθρώπων·
σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.
22 [22]εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσεν τὸ ἔλεος αὐτοῦ ἐν πόλει
περιοχῆς.
23 [23]ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου
Ἀπέρριμμαι ἄρα ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου·
διὰ τοῦτο εἰσήκουσας, Κύριε, τῆς φωνῆς τῆς δεήσεώς μου
ἐν τῷ κεκραγέναι με πρὸς σέ.
24 [24]ἀγαπήσατε τὸν κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ,
ὅτι ἀληθείας ἐκζητεῖ Κύριος,
καὶ ἀνταποδίδωσιν τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.
25 [25]ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν,
πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.

16 om εκ 2° U **17** τω προσωπον U* (το πρ. U¹) **18** οι ασεβεις] ℵARU om οι ℵ$^{c.a}$A | αδου] τον αδην U **19** γενηθητω ℵARU **20** τω πλ. U | om Κυριε ℵ | εξειργαζω U | σε 2°] σοι A **21** κατακρυψεις] pr και AU | αποκρυφοις ℵ* (-φω ℵ$^{c.a}$) | ανθρωπων Bℵ$^{c.a}$RU (ανθρωπον)] ανου ℵ* | σκηνη] σκηπη U^{edit} | αντιαντιλογιαν (sic) U* (s pro ν 3° U²) **22** αυτου] + επ εμε U **23** απερριμαι B*ℵ*U (απερριμμ. B$^{c?}$ℵ$^{c.a}$AR) | om αρα ℵ$^{c.a}$ | om προσωπου ℵ* (hab ℵ$^{c.a}$) | σου] σ rescr A¹ (μου A*) | εισηκουσεν A¹ (-σας A*^{vid}) | om Κυριε ℵAU | δεσεως U **24** om οτι ℵ* (hab ℵ$^{c.a}$) | Κυριος] pr ο A | ανταποδιδωσιν] δ 2° rescr A¹ ανταποδωσει U | υπερηφανια U **25** οιλπιζοντες U | Κυριον] pr τον ℵ — Stich 63 B 59 ℵR 62 A

B

ΛΑ′

XXXI (XXXII)

Συνέσεως τῷ Δαυείδ.

Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, 1
καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.
[2]μακάριος ἀνὴρ οὗ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, 2
οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.
[3]ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου 3
ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν.
[4]ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ᾽ ἐμὲ ἡ χείρ σου, 4
ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐνπαγῆναι ἄκανθαν.
διάψαλμα.
[5]τὴν ἁμαρτίαν μου ἐγνώρισα, 5
καὶ τὴν ἀνομίαν μου οὐκ ἐκάλυψα·
εἶπα Ἐξαγορεύσω κατ᾽ ἐμοῦ τὴν ἁμαρτίαν μου τῷ κυρίῳ,
καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. διάψαλμα.
[6]ὑπὲρ ταύτης προσεύξεται πᾶς ὅσιος πρὸς σὲ ἐν καιρῷ εὐθέτῳ· 6
πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσιν.
[7]σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με· 7
τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με.
διάψαλμα.
[8]συνετιῶ σε καὶ συνβιβῶ σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ, 8
ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.
[9]μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστιν σύνεσις· 9
ἐν χαλινῷ καὶ κημῷ τὰς σιαγόνας αὐτῶν ἄγξαι
τῶν μὴ ἐγγιζόντων πρὸς σέ.
[10]πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, 10
τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει.

ℵARU XXXI **1** *συνεσεως τω Δ.*] *τω Δ. συνεσεως* ℵRU *ψαλμος τω Δ.* A | *αφειθησαν* ℵ *αφθεισαν* U | *απεκαλυφθησαν* U **2** *ου* 1°] *ω* ℵ$^{c.a}$R^{a} | om *ου* 2° R **3** *εσιγησα οτι* U | *απο του κρ.*] *εν τω κρ.* U **4** *ενπαγηναι* B*R (εμπ. B^{ab}ℵU)] *παγηναι* A | *ακανθαν*] pr *μοι* A pr *μου* R pr *με ως* U | om *διαψαλμα* A **5** *αμαρτιαν* 1°] *ανομιαν* ℵ$^{c.a}$A | *ανομιαν*] *αμαρτιαν* ℵ$^{c.a}$A | *εκαλυψα*] *εκρυψα* U | *την κατ εμου αμ.* U | *αμαρτιαν* 2°] *ανομιαν* ℵAR **6** *πας οσιος προς σε* B ℵ$^{*c.b}$] *προς σε πας οσιος* ℵ$^{c.a}$ARU | *αυτων* U | *εγγιουσιν* (*ενγ.* B* *εγγ.* B^{b})] + *διαψαλμα* R **7** *τον κυκλ.* U **8** *συμβιβω* B^{ab}ℵ *συμβιβασω* U | *ταυτην* U **9** *ημιονος*] *ως ημινονοσι* (sic) U | *χαλινω και κημω* (*κιμω* B^{b})] *κημω και χαλινω* ℵ$^{c.a}$A | *αγξαι*] *αγξης* ℵ$^{c.a}$R *αγξις* A | *εγγιζοντον* U **10** *μαστιγγες* U | *τους αμαρτωλου* U | *επι κν* bis scr A* (sign adpinx A^{b})

11 [11]εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι· B
καὶ καυχᾶσθε, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

ΛΒ′

XXXII (XXXIII) Τῷ Δαυείδ.

1 [1]Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν τῷ κυρίῳ·
τοῖς εὐθέσι πρέπει αἴνεσις.
2 [2]ἐξομολογεῖσθε τῷ κυρίῳ ἐν κιθάρᾳ,
ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ·
3 [3]ᾄσατε αὐτῷ ᾆσμα καινόν,
καλῶς ψάλατε ἐν ἀλαλαγμῷ.
4 [4]ὅτι εὐθὴς ὁ λόγος τοῦ κυρίου,
καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει·
5 [5]ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν,
τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ.
6 [6]τῷ λόγῳ τοῦ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν,
καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν·
7 [7]συνάγων ὡς ἀσκὸν ὕδατα θαλάσσης,
τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.
8 [8]φοβηθήτω τὸν κύριον πᾶσα ἡ γῆ,
ἀπ᾽ αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.
9 [9]ὅτι αὐτὸς εἶπεν, καὶ ἐγενήθησαν·
αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.
10 [10]Κύριος διασκεδάζει βουλὰς ἐθνῶν,
ἀθετεῖ δὲ λογισμοὺς λαῶν,
καὶ ἀθετεῖ βουλὰς ἀρχόντων·
11 [11]ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει,
λογισμοὶ τῆς καρδίας αὐτοῦ ἀπὸ γενεῶν εἰς γενεάς.

11 *ευφραθησητε* R*vid (*ευφρανθητε* Ra) — Stich 25 BℵA 26 A 24 R ℵARU XXXII **1** *τω Δ.*]+*ψαλμος ανεπιγραφος παρ Εβραιοις* Ra | *εν τω κυριω*] *εν κω* ℵc.a *των κν* U | *πρεπει*] pro *ε* 1° al lit coep B* **3** om *ασατε αυτω ασμα καινον* R | *ψαλατε*]+*αυτω* ℵc.a (ras ℵc.b) RU **5** *κρισιν*]+*ο κς* ℵc.a (om ℵc.b) A | *Κυριου*] pr *του* U **6** *τω λογω*] pr *και* U | *του κυριου*] om *του* ℵA *αυτου* U | *πασαι*[*αι δυ*]*ναμεις* U **7** *συναγων*] pr *ο* U | *ωσει* ℵc.a (*ως* ℵ*c.b) A | *ασκον*] pr *εις* R | *τιθεις*] pr *ο* U | *αβυσσους* ℵc.aA* (*αβυσσους* ℵc.bA?) **8** *σαλευθητωσαν*] *σαλευθητω η*|...*πασα και* U | *την οικουμενην*] *εν αυτη* U **10** *διασκεδασει* U | *βουλας* 1°] *βουλην* U | *αθετει*] *αθετησει* U (bis) | om *και αθετει βουλας αρχοντων* ℵ* (hab *και αθετι β. αρχ.* ℵc.a) **11** *του κυριου*] om *του* U | *απο γενεων εις γενεας*] *εις γενεαν και γενεαν* ℵc.aAU *εις τον αιωνα του αιωνος* R

B
12 μακάριον τὸ ἔθνος οὗ ἐστιν Κύριος ὁ θεὸς αὐτοῦ, 12
λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.
13 ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κύριος, 13
εἶδεν πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων·
14 ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ 14
ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν,
15 ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, 15
ὁ συνιεὶς πάντα τὰ ἔργα αὐτῶν.
16 οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, 16
καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ·
17 ψευδὴς ἵππος εἰς σωτηρίαν, 17
ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.
18 ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, 18
τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ,
19 ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, 19
καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.
20 ἡ ψυχὴ ἡμῶν ὑπομένει τῷ κυρίῳ, 20
ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν·
21 ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, 21
καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.
22 γένοιτο τὸ ἔλεός σου, Κύριε, ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν 22
ἐπὶ σέ.

ΛΓ'

Τῷ Δαυείδ, ὁπότε ἠλλοίωσεν τὸ πρόσωπον XXXIII (XXXIV)
αὐτοῦ ἐναντίον Ἀβειμέλεχ, καὶ ἀπέλυσεν
αὐτόν, καὶ ἀπῆλθεν.

2 Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ, 2
διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.

ℵARU **12** μακαριος B* (μακαριον B^{ab}ℵAR) | τω εθνος U | αυτου] αυτων R^{a} | εξελεξατο]+Κυριος RU | εαυτω] αυτω U **13** ειδεν] του ιδειν U **14** τους] του U **15** πλασας] πλασσων U | συνιεις B*^{b}ℵAR] συνιων B^{ab}U | παντα] pr εις ℵ$^{c.a}$ (om ℵ$^{c.b}$) **16** δυναμιν]+αυ αυτου| U* (om αυ 1° U^{2}) | γιγασσου U **17** εις] ες U | εν δε πλ.] εν τω πλ. U | δυναμεως] pr της U **18** τους ελπ.] pr και επι R **19** ρυσασθαι] pr του U | διαθρεψει R διαθλεψαι U **20** η δε ψ. ℵ$^{c.a}$ (om δε ℵ$^{c.b}$) | τω κυριω] τον κυριον U | υπερασπτης U | ημων 2°] υμων U **21** το αγιω U **22** γενοιτο] γενσθω (sic) R* (γενοιτο $R^{a(vid)}$) γενετο U | κε το ελεος σου ℵ$^{c.a}$ (ℵ$^{c.b}$ ut B) ARU | κε non inst B^{b} | σε] σοι A — Stich 44 BA 42 ℵ 41 R XXXIII **1** τω Δ.] pr ψαλμος RU | οποτε] αποτε R | το προσωπον] την οψιν U | εναντιον] απεναντι U | Αβιμελεχ A Αχειμελεχ U | αυτον] αυτων U

3 [3]ἐν τῷ κυρίῳ ἐπαινεσθήσεται ἡ ψυχή μου· B
ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.
4 [4]μεγαλύνατε τὸν κύριον σὺν ἐμοί,
καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.
5 [5]ἐξεζήτησα τὸν κύριον, καὶ ἐπήκουσέν μου
καὶ ἐκ πασῶν τῶν παροικιῶν μου ἐρύσατό με.
6 [6]προσέλθατε πρὸς αὐτὸν καὶ φωτίσθητε,
καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.
7 [7]οὗτος ὁ πτωχὸς ἐκέκραξεν, καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ
καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.
8 [8]παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ
ῥύσεται αὐτούς.
9 [9]γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ κύριος·
μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν.
10 [10]φοβήθητε τὸν κύριον πάντες οἱ ἅγιοι αὐτοῦ,
ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.
11 [11]πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν,
οἱ δὲ ἐκζητοῦντες τὸν κύριον οὐκ ἐλαττωθήσονται παντὸς
ἀγαθοῦ. διάψαλμα.
12 [12]δεῦτε, τέκνα, ἀκούσατέ μου,
φόβον Κυρίου διδάξω ὑμᾶς.
13 [13]τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν,
ἀγαπῶν ἰδεῖν ἡμέρας ἀγαθάς;
14 [14]παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ,
καὶ χείλη τοῦ μὴ λαλῆσαι δόλον·
15 [15]ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν,
ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.
16 [16]ὅτι ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους,
καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν·

3 επαινεθησεται B^{b} $\aleph^{c.a}$ U (επεναιθ.) **4** εμου U | υ]ψωσομεν A [υ]ψω- ℵARU σατε U **5** εξεζητησα] pr εγω U | παροικιων] θλιψεων $\aleph^{c.a}$A (θλιψαιων) R | ερρυσατο $B^{b\,(vid)}$ ℵARU (ερ[ρυ]σ.) **6** προσηλθατε U **7** αυτου 1° B$\aleph^{c.a}$AU] αυτων ℵ*R | εσωσεν] ερρυσατο U **8** αγγελος Κυριου] αγγ. αυτου A ο αγγ. K. $\aleph^{c.a}$ (om $\aleph^{*\,c.b}$) U ο αγγ. του K. R | αυτους] αυτον A **9** γευσατε R* (γευσασθε R^{a}) | ος ελπιζει] ο ελπιζων R ος ηλπιζε... U **10** om παντες ℵ*$^{c.b}$ (hab $\aleph^{c.a}$) U | αγιοι] οσιοι R **11** om διαψαλμα A* (hab $A^{a\,mg}$) **13** αγαπων] pr και U | ημερας ιδειν ℵA (ημ. ειδειν) R **14** χειλη]+σου $\aleph^{c.a}$AR τα χ. σου U | λαλησει R* (-σαι R^{a}) **16** om οτι $\aleph^{c.a}$AR | οφθαλμοι] pr οι U | ωτα] pr τα RU | δεησιν] pr την U

B [17]πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά, 17
τοῦ ἐξολεθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.
[18]ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν 18
καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρύσατο αὐτούς.
[19]ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, 19
καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.
[20]πολλαὶ αἱ θλίψεις τῶν δικαίων, 20
καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτούς.
[21]Κύριος φυλάσσει πάντα τὰ ὀστᾶ αὐτῶν, 21
ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.
[22]θάνατος ἁμαρτωλῶν πονηρός, 22
καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσιν.
[23]λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, 23
καὶ οὐ μὴ πλημμελήσουσιν πάντες οἱ ἐλπίζοντες ἐπ᾽ αὐτόν.

ΛΔ΄

Τῷ Δαυείδ. XXXIV (XXXV)

¶ U Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς¶ με, 1
πολέμησον τοὺς πολεμοῦντάς με·
[2]ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς βοήθειάν μου· 2
§ U [3]§ἔκχεον ῥομφαίαν καὶ σύνκλεισον ἐξ ἐναντίας τῶν καταδιω- 3
κόντων με·
εἰπὸν τῇ ψυχῇ μου Σωτηρία σου ἐγώ εἰμι.
[4]αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὴν ψυχήν μου, 4
ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθείησαν οἱ
λογιζόμενοί μοι κακά.

ℵARU **17** εξολοθρ. B[?]AR εξολευθρ. U | γης] pr της U **18** εκεκρ. οι δικαιοι] δικαιοι εκεκρ. U | αυτων 1°] αυτους R | om αυτων 2° U | ερρυσατο B[b(vid)] ℵAR εσωσεν U | αυτους] + ο κ̄ς ℵ[c.a] (om ο ℵ[c.b]) **19** τη καρδια U | των πνι U **20** om αυτων U | αυτους] + ο κ̄ς AU **21** φυλασσει κ̄ς ℵ[c.a]A κ̄ς φυλασσε...| ει U[vid] | εν] pr και U **22** ο μισου[ντες] U | των δικαιων U **23** ψυχας δουλων] τας ψ. [των]| δουλων U | πλημμελησωσιν ℵ — Stich 43 B 42 ℵA 41 R[vid] XXXIV **1** τω Δ.] pr ψαλμος A του Δ. U **1—2** omnia perier in U ab αδ[ικουντας] usque ||[εκχεον ρομφ]αιαν **2** βοηθειαν (-θιαν ℵA)] pr την R **3** ρομφαιαν]+ σου A | συγκλ. B[ab]U καταδιωκοντων] θλιβωντων U | την ψυχη U | σωτηρια] σωτηρ U | ειμι εγω AR **4** αισχυνθειησαν] αισχυνθητωσαν ℵAU | εντραπειησαν] εντραπητωσαν ℵAU | οι ζητουντες] pr παντες U | αποστραφειησαν] αποστραφητωσαν ℵAU | καταισχυνθειησαν] καταισχυνθητωσαν ℵAU (κατε[σ]χυνθ.) | διαλογιζομενοι U

5 [5]γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, B
καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς·
6 [6]γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα,
καὶ ἄγγελος Κυρίου καταδιώκων ¶ αὐτούς. ¶ U
7 [7]ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν,
μάτην ὠνείδισαν τὴν ψυχήν μου.
8 [8]ἐλθέτω αὐτοῖς παγὶς ἣν οὐ γινώσκουσιν,
καὶ ἡ θήρα ἣν ἔκρυψαν συλλαβέτω αὐτούς,
καὶ ἐν τῇ παγίδι πεσοῦνται ἐν αὐτῇ.
9 [9]ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ κυρίῳ,
τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ.
10 [10]πάντα τὰ ὀστᾶ μου ἐροῦσιν Κύριε, τίς ὅμοιός σοι;
ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ,
καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν.
11 [11]ἀναστάντες μάρτυρες ἄδικοι ἃ οὐκ ἐγίνωσκον ἐπηρώτων με·
12 [12]ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ καλῶν,
καὶ ἀτεκνίαν τῇ ψυχῇ μου·
13 [13]ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι ἐνεδυόμην σάκκον,
καὶ ἐταπείνουν ἐν νηστίᾳ τὴν ψυχήν μου,
καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.
14 [14]ὡς πλησίον, ὡς ἀδελφὸν ἡμέτερον, οὕτως εὐηρέστουν·
ὡς πενθῶν καὶ σκυθρωπάζων οὕτως ἐταπεινούμην.
15 [15]καὶ κατ᾽ ἐμοῦ ηὐφράνθησαν καὶ συνήχθησαν,
συνήχθησαν ἐπ᾽ ἐμὲ μάστιγες καὶ οὐκ ἔγνων,
διεσχίσθησαν καὶ οὐ κατενύγησαν·
16 [16]ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμόν,
ἔβρυξαν ἐπ᾽ ἐμὲ τοὺς ὀδόντας αὐτῶν.
17 [17]Κύριε, πότε ἐπόψῃ;
ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν,
ἀπὸ λεόντων τὴν μονογενῆ μου.
18 [18]ἐξομολογήσομαί σοι, Κύριε, ἐν ἐκκλησίᾳ πολλῇ,
ἐν λαῷ βαρεῖ αἰνέσω σε.

5 Κυριου] pr ο ℵ **6** ολισθημα]+αυτοις U | καταδιωκ[ω]ν.. U ℵARU **7** πακιδος ℵ **8** ελθατω A | αυτοις] αυτω ℵ$^{c.a}$ | γινωσκει ℵ$^{c.a}$ (-σκι) R^{a} | εκρυψεν ℵ$^{c.a}$ | συνλαβ. AR | αυτους] αυτον ℵ$^{c.a}$A | πακιδι ℵ | πεσειται ℵ$^{c.a}$ (πεσιτ.) A **9** επι 1°] εν ℵ* (επι ℵ$^{c.a}$) **10** Κυριε]+κε A | ρυομενον A | om χειρος A **11** επηρωτων] ηρωτων ℵAR **12** ανταποδιδοσαν A | καλων] αγαθων AR **13** νηστεια B^{ab}A | αποστραφησεται] αποστραφητω (seq ras 1 lit) A **15** ευφρανθησαν ℵ **16** εξεμυκτηρισαν] pr και R **17** μονογενην ℵ$^{c.a}$ (ras ν 2° ℵ$^{c.b}$) AR **18** om Κυριε ℵA

B [19]μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ματαίως, 19
οἱ μισοῦντές με δωρεὰν καὶ διανεύοντες ὀφθαλμοῖς.
[20]ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, 20
καὶ ἐπ᾽ ὀργῇ δόλους διελογίζοντο·
[21]καὶ ἐπλάτυναν ἐπ᾽ ἐμὲ τὸ στόμα αὐτῶν, 21
εἶπαν Εὖγε εὖγε, εἶδαν οἱ ὀφθαλμοὶ ἡμῶν.
[22]εἶδες, Κύριε, μὴ παρασιωπήσῃς· 22
Κύριε, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ.
[23]ἐξεγέρθητι, Κύριε, καὶ πρόσχες τῇ κρίσει μου, 23
ὁ θεός μου καὶ ὁ κύριός μου, εἰς τὴν δίκην μου.
[24]κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην σου, Κύριε ὁ θεός μου, 24
καὶ μὴ ἐπιχαρείησάν μοι.
[25]μὴ εἴπαισαν ἐν καρδίαις αὐτῶν Εὖγε εὖγε τῇ ψυχῇ ἡμῶν· 25
μηδὲ εἴπαισαν Κατεπίομεν αὐτόν.
[26]αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κα- 26
κοῖς μου·
ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλορημονοῦντες
ἐπ᾽ ἐμέ.
[27]ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν οἱ θέλοντες τὴν δικαιοσύνην 27
μου,
καὶ εἰπάτωσαν διὰ παντός Μεγαλυνθείη ὁ κύριος,
οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ.
[28]καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, 28
ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

ΛΕ′

Εἰς τὸ τέλος· τῷ δούλῳ Κυρίου τῷ Δαυείδ. XXXV (XXXVI

[2]Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ, 2
οὐκ ἔστιν φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ·

ℵAR **19** επιχαριησαν B*ℵA (επιχαρειησ. B[ab]) | ματαιως] αδικως ℵAR | om με A **20** οργην ℵAR **21** επλατυνα A | ειπον A | ειδαν] ιδον ℵ (?R) ειδον A (?R) **22** om Κυριε 2° A* (hab κε A[?(mg)]) **23** om Κυριε ℵ[c.a] | om και προσχες R **24** με] μοι A | om Κυριε 1° ℵ | δικαιοσυνην] ελεημοσυνην ℵ* (δικ. ℵ[c.a]) | σου] μου R | επιχαριησαν B* (επιχαρειησ. B[ab]ℵ επιχαρησαν [sic] A) | μοι]+ οι εχθροι μου ℵ* (om ℵ[c.a]) R **25** ειπαισαν bis B[ab] (ειπεσαν B*ℵ*)] ειποισαν ℵ[c.a] AR | τη ψυχη BℵᵀAR[a] η ψ. ℵ[c.a]R* | καταπιομεν R **26** εντραπιησαν B*ℵA (εντραπειησ. B[ab]) | μεγαλορρημ. R **27** αγαλλιασοιντο A | ευφρανθειησαν]+επι σοι A | μεγαλυνθητω ℵAR | ο κυριος] ο θς ℵ* (ο κς ℵ[c.a]) **28** τον επαινον BℵA[a?] (ο επαινος A*)] την αινεσιν R — Stich 59 BR 60 ℵ 64 A XXXV **1** om τω δουλω Κυριου A | τω Δ.]+ψαλμος A

3 [3]ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ B
τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι.
4 [4]τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος,
οὐκ ἐβουλήθη συνιέναι τοῦ ἀγαθῦναι.
5 [5]ἀνομίαν ἐλογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ,
παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ,
τῇ δὲ κακίᾳ οὐ προσώχθισεν.
6 [6]Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου,
καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν·
7 [7]καὶ ἡ δικαιοσύνη ὡσεὶ ὄρη θεοῦ,
τὰ κρίματά σου ὡσεὶ ἄβυσσος πολλή.
ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε,
8 [8]ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ θεός·
οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου
ἐλπιοῦσιν.
9 [9]μεθυσθήσονται ἀπὸ πιότητος τοῦ οἴκου σου,
καὶ τὸν χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς.
10 [10]ὅτι παρὰ σοὶ πηγὴ ζωῆς,
ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.
11 [11]παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσίν σε,
καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ.
12 [12]μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας,
καὶ χεὶρ ἁμαρτωλῶν μὴ σαλεύσαι με.
13 [13]ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν,
ἐξώσθησαν καὶ οὐ μὴ δύνωνται στῆναι.

ΛΓ′

(XXXVI (XXXVII)) Τοῦ Δαυείδ.

1 Μὴ παραζήλου ἐν πονηρευομένοις,
μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν·

4 συνιεναι] συνειναι ℵ* (συνειεναι ℵ$^{c.a}$) **5** ελογισατο] διελογισατο ℵAR | ℵAR τη δε κακια] κακια δε ℵ$^{c.a}$AR **7** om και 1° B^{ab}ℵAR | δικαιοσυνη] + σου ℵA | ωσει 1°] ως ℵ$^{c.a}$A | om ωσει 2° ℵAR **8** οι δε] οιδε οι A | εν σκεπη Bℵ$^{c.a}$AR] εις σκεπην ℵ* **9** πιοτητος] pr της R | του οικου] om του A | om σου 1° ℵ$^{c.a}$ **12** ελθατω AR | αμαρτωλου ℵ$^{c.a}$A | μη σαλευσαι] μη σαλευσει ℵ$^{c.a}$ (-σι) A ου σαλευσει R **13** επεσαν ℵ$^{c.a}$A | om παντες ℵ* (hab ℵ$^{c.a}$) — Stich 26 BℵAR XXXVI **1** του Δ.] εις το τελος ψαλμος τω Δ. A τω Δ. R fort

B [2]ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, 2
καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται.
[3]ἔλπισον ἐπὶ Κύριον καὶ ποίει χρηστότητα, 3
καὶ κατασκήνου τὴν γῆν
καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς.
[4]κατατρύφησον τοῦ κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς 4
καρδίας σου.
[5]ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου 5
καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει·
[6]καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, 6
καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν.
[7]ὑποτάγηθι τῷ κυρίῳ καὶ ἱκέτευσον αὐτόν· 7
μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ζωῇ αὐτοῦ,
ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίας.
[8]παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμόν, 8
μὴ παραζήλου ὥστε πονηρεύεσθαι.
[9]ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται, 9
οἱ δὲ ὑπομένοντες τὸν κύριον αὐτοὶ κληρονομήσουσιν τὴν
γῆν.
[10]καὶ ἔτι ὀλίγον καὶ οὐ μὴ ὑπάρξῃ ἁμαρτωλός, 10
καὶ ζητήσεις τὸν τόπον αὐτοῦ καὶ οὐ μὴ εὕρῃς·
[11]οἱ δὲ πραεῖς κληρονομήσουσιν γῆν, 11
καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.
[12]παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον, 12
καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ·
[13]ὁ δὲ κύριος ἐκγελάσεται αὐτόν, 13
ὅτι προβλέπει ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ.
[14]ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, 14
ἐνέτειναν τόξον αὐτῶν,
τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα,
τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ·

ℵAR **3** ελπισον] pr ȝ ℵ$^{c.a}$ | ποιμανθησει A ποιμανθης R **4** κατατρυφησον] καταφρυτησον (sic) A | του κυριου] τω κυριω R | δωσει] δωη A **5** om και 1° ℵ* (hab ℵ$^{c.a}$) **6** το κριμα σου ως sup ras A^{1} **7** ζωη] οδω ℵ$^{c.a}$R οδου A | παρανομιαν ℵ$^{c.a}$AR^{a} **8** οργης] κακου R | εγκαταλιπε B^{ab} εγκαταλειπε A | ωστε] εν τω ℵ* (ωστε ℵ$^{c.a}$) **9** εξολεθρευθησονται ℵA (ο 2° rescr A^{1}) | κληρονομησουσι ℵ | την γην] om την AR **10** om και 2° R | υπαρξει A | αμαρτωλος] pr ο ℵAR | om και 3° ℵ* (hab ȝ ℵ$^{c.a}$) | αυτου] ου sup ras A$^{a?}$ **11** ειρηνης]+επ αυτης A **14** ανετειναν R | πενητα κ. πτωχον R

15 [15]ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὴν καρδίαν αὐτῶν, B
καὶ τὰ τόξα αὐτῶν συντριβείησαν.
16 [16]κρεῖσσον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν.
17 [17]ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται,
ὑποστηρίζει δὲ τοὺς δικαίους Κύριος.
18 [18]γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων,
καὶ ἡ κληρονομία αὐτῶν εἰς τὸν αἰῶνα ἔσται·
19 [19]οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ,
καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται.
20 [20]ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται,
οἱ δὲ ἐχθροὶ τοῦ κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ
[§]ὑψωθῆναι § T
ἐκλιπόντες ὡσεὶ καπνὸς ἐξέλιπον.
21 [21]δανίζεται ὁ ἁμαρτωλὸς καὶ οὐκ ἀποτίσει,
ὁ δὲ δίκαιος οἰκτείρει καὶ διδοῖ.
22 [22]ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν,
οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται.
23 [23]παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται,
καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει·
24 [24]ὅταν πέσῃ οὐ καταραχθήσεται,
ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ.
25 [25]νεώτερος ἐγενόμην καὶ γὰρ ἐγήρασα,
καὶ οὐκ ἴδον δίκαιον ἐγκαταλελιμμένον
οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.
26 [26]ὅλην τὴν ἡμέραν ἐλεᾷ καὶ δανίζει,
καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται.
27 [27]ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν,
καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος.
28 [28]ὅτι Κύριος ἀγαπᾷ κρίσιν,
καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ,

15 εισελθοι] εισελθατω R | την καρδιαν] ψυχην ℵ* τας καρδιας ℵ$^{c.a}$ | συν- ℵART τριβειη ℵ$^{c.a}$A (-βιη) R **17** Κυριος Bℵ$^{*c.b}$R*] pr ο ℵ$^{c.a}$AR^{a} **18** τον αιωνα] om τον ℵ$^{c.a}$A **20** τω δοξασθηναι] του δοξ. R | εκλιποντες B*$^{b\,(vid)}$ℵ] εκλειποντες B^{a}AT | εξελειπον AT **21** δανειζ. B^{ab}] (item 26) | διδοι] διδωσιν ℵ$^{c.a}$ (διδοι ℵ$^{c.b}$) AT **22** κληρονομησουσιν RT | εξολεθρ. ℵART **23** τα διαβ. ανθρωπου (ανου sic T) κατευθ.] κατευθ. τα διαβ. ανδρι ℵ* τα δ. ανδρι κατευθ. ℵ$^{c.a}$ | θελησει] +σφοδρα ART **24** πεσειται R **25** ειδον B^{ab}A | εγκαταλελειμμ. B^{ab} εγκαταλελιμμ. A | ζητειν R **26** ελεει B^{ab}A | δανιζει] +ο δικαιος AT **27** om αιωνος ℵ* (hab ℵ$^{c.a}$) **28** εγκαταλειψ. B^{ab}A

B εἰς τὸν αἰῶνα φυλαχθήσονται·
ἄμωμοι ἐκδικηθήσονται,
καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται.
29 δίκαιοι δὲ κληρονομήσουσι γῆν, 29
καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ᾽ αὐτῆς.
30 στόμα δικαίου μελετήσει σοφίαν, 30
καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν·
31 ὁ νόμος τοῦ θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, 31
καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.
32 κατανοήσει ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι 32
αὐτόν·
33 ὁ δὲ κύριος οὐ μὴ ἐνκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, 33
οὐδὲ μὴ καταδικάσῃ αὐτὸν ὅταν κρίνηται αὐτῷ.
34 ὑπόμεινον τὸν κύριον καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ, 34
καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι τὴν γῆν,
ἐν τῷ ἐξολεθρεύεσθαι ἁμαρτωλοὺς ὄψῃ.
35 εἶδον ἀσεβῆ ὑπερυψούμενον 35
καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου·
36 καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν· 36
καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.
37 φύλασσε ἀκακίαν καὶ ἴδε εὐθύτητα, 37
ὅτι ἐστὶν ἐνκατάλιμμα ἀνθρώπῳ εἰρηνικῷ.
38 οἱ δὲ παράνομοι ἐξολεθρευθήσονται ἐπὶ τὸ αὐτό, 38
τὰ ἐνκαταλίμματα τῶν ἀσεβῶν ἐξολεθρευθήσονται.
39 σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίῳ, 39
καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως·
40 καὶ βοηθήσει αὐτοῖς Κύριος καὶ ῥύσεται αὐτούς, 40

ℵART **28** αιωνα] *ν* sup ras A^{a} | *φυλαχθησονται*] *φ* sup ras A^{a} | *αμωμοι εκδικηθησονται*] *ανομοι δε εκδιωχθησονται* ℵ$^{c.a}$ (ras *ανομοι δε* ℵ$^{c.b}$) ART | *εξολεθρ.* ℵART **29** om *δε* ℵ* (hab ℵ$^{c.a}$) | *κληρονομησουσιν* ART **30** *μελετηση* T | *λαλησει*] *μελετησει* ℵ* (λαλ. ℵ$^{c.a}$) **31** *υποσκελισθησονται* R **32** *κατανοει* ℵART **33** *εγκαταλιπη* B^{ab}ℵR^{vid} *εγκαταλειπη* A *ενκαταλειπη* T | *ουδε*] *ουδ ου* A | *καταδικασηι* T (*-σαι* B)] *καταδικασηται* ℵAR^{vid} | om *οταν* A | *κρινεται* A **34** *την οδον*] *τας οδους* R | *την γην*] om *την* B^{ab} ℵART | *εξολεθρευεσθαι* (*εξολοθρ.* B^{b})] *εξολεθρευσαι* R | *οψει* B^{ab} **35** *ιδον* T | *ασεβη*] pr *τον* ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) AT **36** *ηυρεθη* T **37** *ακακιαν* T* | *εγκαταλειμμα* B^{ab}A **38** *εξωλεθρ.* B* *εξολοθρ.* B^{ab} (*εξολεθρ.* ℵART) bis | *εγκαταλειμματα* B^{ab}A *εγκαταλιμματα* ℵ **39** Κυριω] $\overline{κυ}$ ℵ$^{c.a}$ART | om *εστιν* ℵ* (hab ℵ$^{c.a}$) **40** om *και βοηθησει...αυτους* (I^{o}) ℵ* (hab *ϗ βοηθησι αυτοις* $\overline{κς}$ *και ρυσεται αυτους* ℵ$^{c.a}$) | *βοηθηση* T | *αυτοις*] *αυτους* R | *ρυσηται* T
— Stich 88 B 86 ℵA 85 R

καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν καὶ σώσει αὐτούς, ὅτι B
ἤλπισαν ἐπ᾽ αὐτόν.

ΛΖ΄

XXVII (XXVIII)

Ψαλμὸς τῷ Δανείδ· εἰς ἀνάμνησιν περὶ σαββάτου.

2 [2]Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με,
μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

3 [3]ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι,
καὶ ἐπεστήρισας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου·

4 [4]καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου,
οὐκ ἔστιν εἰρήνη τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

5 [5]ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου,
ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾽ ἐμέ.

6 [6]προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου
ἀπὸ προσώπου τῆς ἀφροσύνης μου·

7 [7]ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους,
ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην·

8 [8]ὅτι ἡ ψυχή μου ἐπλήσθη ἐνπαιγμῶν,
καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

9 [9]ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα,
ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

10 [10]καὶ ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου,
καὶ ὁ στεναγμός μου οὐκ ἐκρύβη ἀπὸ σοῦ.

11 [11]ἡ καρδία μου ἐταράχθη,
ἐνκατέλιπέν με ἡ ἰσχύς μου,
καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου οὐκ ἔστιν μετ᾽ ἐμοῦ.

12 [12]οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν,
καὶ οἱ ἔγγιστά μου μακρόθεν ἔστησαν·

XXXVII **1** om εις R* (hab R^a) | αμνησιν A | σαββατου] pr του A ℵART **2** ελεγξεις A **3** επεστηριξας T | χειραν R **4** om και ℵART | om εν ℵ* (hab $ℵ^{c.a}$) | τοις οστεοις] pr εν AT **5** om βαρυ A **8** η ψυχη] αι ψυχαι $ℵ^{c.a}$ αι ψυαι AT αι ψοαι R | επλησθησαν $ℵ^{c.a}$ART | εμπαιγμων $B^{ab}ℵ^*$ εμπαιγματων $ℵ^{c.a}$T ενπεγματων A | om εν ℵ* (hab $ℵ^{c.a}$) **9** ωρυομενον R^{vid} **10** και 1°] κε ℵAT om R | μου 1°] σου R | απο σου ουκ εκρυβη ℵAR α. σ. ο. απεκρυβη T **11** εγκατελιπεν $B^{ab}ℵ$ ενκατελειπεν AT (ενκαγελ. T^{edit}) | μου 3°]+και αυτο $ℵ^{c.a}$AT **12** μακροθεν] pr απο $ℵ^{c.a}$AT

B [13] καὶ ἐξεβιάσαντο οἱ ζητοῦντες τὴν ψυχήν μου, 13
καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας,
καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.
[14] ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, 14
καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ·
[15] καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων 15
καὶ οὐκ ἔχων ἐν στόματι αὐτοῦ ἐλεγμούς.
[16] ὅτι ἐπὶ σοὶ ἤλπισα, Κύριε· 16
σὺ εἰσακούσῃ, Κύριε ὁ θεός μου.
[17] ὅτι εἶπα Μή ποτε ἐπιχαρῶσίν μοι οἱ ἐχθροί μου, 17
καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλορημόνησαν.
[18] ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, 18
καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου διὰ παντός.
[19] ὅτι τὴν ἀνομίαν μου ἀναγγελῶ, 19
καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.
[20] οἱ δὲ ἐχθροί μου ζῶσιν καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, 20
καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως·
[21] οἱ ἀνταποδιδόντες κακὰ ἀντὶ ἀγαθῶν 21
ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον δικαιοσύνην.
[22] μὴ ἐγκαταλίπῃς με, Κύριε· 22
ὁ θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ·
[23] πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου. 23

ΛΗ'

Εἰς τὸ τέλος, τῷ Ἰδιθούν· ᾠδὴ τῷ Δανείδ. XXXVII (XXXIX

[2] Εἶπα Φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου· 2
ἐθέμην τῷ στόματί μου φυλακὴν
ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.

ℵART **13** εξεβιαζοντο ℵT | ματαιοτητα ℵ* (-τας ℵc.a) | δολιοτητα ℵ* (-τας ℵc.a) **15** εγενομην] εγενηθην R | στοματι] pr τω ℵc.aAT **16** om οτι ℵ* (hab ℵc.a) | κε ηλπισα ℵART | συ BcℵAT] σοι B*R **17** ειπα] ειπε R* (ειπα Ra) ειπον T | μη ποτε bis scr A | επιχαρωσιν] επιχαρεισαν R | om οι εχθροι μου ℵ* (hab ℵc.a) **18** μου 2°] + εστιν ℵc.aART **19** αναγγελω] αναγγελλω ℵ pr εγω ℵc.a (om ℵc.b) ART **20** οι δε] οιδε οι R | υπερ] επ R | om με A **21** ανταποδιδοντες] + μοι ℵc.aART | κακα] πονηρα R | επι B*AT (επει BabℵRa) om R* | δικαιοσυνην] αγαθωσυνην ℵc.aRa + και απερριψαν με τον αγαπητον ωσει νεκρον εβδελυγμενον R **22** εγκαταλιπης Babℵ εγκαταλειπης AT (ενκ.) | Κυριε ο θεος μου coniung AR **23** προσχες] προσθες Rvid | βοηθιαν T — Stich 45 BT 42 ℵR 44 A XXXVIII **1** Ιδιθουμ ARvidT **2** αμαρτανειν (-ταννειν A*vid)] + με ℵc.a (om ℵc.b) ARaT | φυλακην] + εναντιον μου R

3 [3]ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν, B
καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη.
4 [4]ἐθερμάνθη ἡ καρδία μου ἐντός μου,
καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ·
5 ἐλάλησα ἐν γλώσσῃ μου [5]Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου,
καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν,
ἵνα γνῶ τί ὑστερῶ ἐγώ.
6 [6]ἰδοὺ παλαιὰς ἔθου τὰς ἡμέρας μου,
καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐδὲν ἐνώπιόν σου·
πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν. διάψαλμα.
7 [7]μέντοι γε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος,
πλὴν μάτην ταράσσονται·
θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.
8 [8]καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ ὁ κύριος;
καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν.
9 [9]ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με,
ὄνειδος ἄφρονι ἔδωκάς με.
10 [10]ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ εἶ ὁ ποιήσας με.
11 [11]ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου·
ἀπὸ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον.
12 [12]ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον,
καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ·
πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος. διάψαλμα.
13 [13]εἰσάκουσον τῆς προσευχῆς μου καὶ τῆς δεήσεώς μου,
ἐνώτισαι τῶν δακρύων μου.
μὴ παρασιωπήσῃς· ὅτι πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ
καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.
14 [14]ἄνες μοι ἵνα ἀναψύξω
πρὸ τοῦ με ἀπελθεῖν καὶ οὐκέτι μὴ ὑπάρξω.

5 om μου 2° A **6** παλαιας B*ℵ*R] παλαιστας B^{ab}ℵ$^{c.a}$ παλεστας AT | ℵART ουθεν ℵ$^{c.a}$ART | συνπαντα ℵAR | om διαψαλμα T **7** διαπορευεται] post δ ras 1 lit A | ταρασσεται B^{b}ℵ$^{c.a}$RT | om ου R* (hab R^{a}) | συναξει] συναγει (γ sup ras) A^{a} **8** ο κυριος] om ο ℵ$^{c.a}$RT | σου] σοι B^{b} **9** ρυσαι] καθαρισον ℵ* (ρυσαι ℵ$^{c.a}$) **10** οτι] ουχι R* (οτι R^{a}) | ει ο ποιησας] εποιησας ℵ$^{c.a}$ART | om με ℵ$^{c.a\,vid}$T **11** απο]+γαρ ℵ$^{c.a}$AT | εξελειπον AT **12** αυτου] μου R | om ταρασσεται ℵAT | ανθρωπος]+ζων R | om διαψαλμα AT **13** μου 1°]+κε ℵART | μου 2°]+ενωτισαι ℵ$^{c.a}$ (ipse rursus del) | των δακρυων] τα δακρυα R | παρασιωπησης (-πησησης ℵ)]+απ εμου R | ειμι εγω ℵ* (εγω ειμι ℵ$^{c.a}$) | εν τη γη] παρα σοι ℵAT παρα σου R **14** μη] pr ου AT — Stich 32 BR 30 ℵ 33 AT

ΛΘ′

B Εἰς τὸ τέλος· τῷ Δαυεὶδ ψαλμός. XXXIX (XL)

2 Ὑπομένων ὑπέμεινα τὸν κύριον, καὶ προσέσχεν μοι 2
καὶ εἰσήκουσεν τῆς δεήσεώς μου·
3 καὶ ἀνήγαγέν με ἐκ λάκκου ταλαιπωρίας 3
καὶ ἀπὸ πηλοῦ ὕλεως,
καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου,
καὶ κατηύθυνεν τὰ διαβήματά μου·
4 καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν, 4
ὕμνον τῷ θεῷ ἡμῶν·
ὄψονται πολλοὶ καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον.
5 μακάριος ἀνὴρ οὗ ἐστιν τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ, 5
καὶ οὐκ ἐνέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς.
6 πολλὰ ἐποίησας σύ, Κύριε ὁ θεός μου, τὰ θαυμάσιά σου, 6
καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστιν τίς ὁμοιωθήσεται·
ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν.
7 θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, 7
σῶμα δὲ κατηρτίσω μοι·
ὁλοκαύτωμα καὶ περὶ ἁμαρτίας οὐκ ᾔτησας.
8 τότε εἶπον Ἰδοὺ ἥκω, 8
ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ·
9 τοῦ ποιῆσαι τὸ θέλημά σου ὁ θεός μου ἐβουλήθην, 9
καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς καρδίας μου.
10 εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ· 10
ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω.
Κύριε, σὺ ἔγνως 11 τὴν δικαιοσύνην μου· 11
οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου τὴν ἀλήθειάν σου,
καὶ τὸ σωτήριόν σου εἶπα·
οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς.

ℵART XXXIX **1** ψαλμος τω Δ. A **3** λακου T | απο] υπο A | υλεως] ιλυος $B^{c\,(mg)}$ | κατευθυνεν ℵ **4** πολλοι] δικαιοι R **5** ελπις] pr η R | ενεβλεψεν $B^{*\,b}A^{b}$] επεβλεψεν B^{a}ℵRT **6** ομοιωθησεται BℵARaT] ομοιος R* + σοι RT **7** ολοκαυτωματα ART | ητησας] εζητησας ℵART **9** εβουληθην B*ℵRaT] ηβουληθην B^{ab}A εθελησα R* | καρδιας] κοιλιας ℵAT **10** δικαιοσυνην] την δ. σου R **11** την δικ. inc stich in ART | μου 1° $B^{*\,b}$] σου B^{a}ℵ$^{c.a}$ART | την αληθειαν (1°) inc stich in ART | ειπα] ειπον T

12 [12]σὺ δέ, Κύριε, μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ· B
τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διὰ παντὸς ἀντελάβοντό μου.
13 [13]ὅτι περιέσχον με κακὰ ὧν οὐκ ἔστιν ἀριθμός,
κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνάσθην τοῦ βλέπειν·
ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου,
καὶ ἡ καρδία μου ἐνκατέλιπέν με.
14 [14]εὐδόκησον, Κύριε, τοῦ ῥύσασθαί με·
Κύριε, εἰς τὸ βοηθῆσαί μοι πρόσχες.
15 [15]καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξᾶραι αὐτήν·
ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ ἐντραπείησαν οἱ θέλοντές μοι κακά.
16 [16]κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι Εὖγε εὖγε.
17 [17]ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, Κύριε,
καὶ εἰπάτωσαν διὰ παντός Μεγαλυνθήτω ὁ κύριος,
οἱ ἀγαπῶντες τὸ σωτήριόν σου διὰ παντός.
18 [18]ἐγὼ δὲ πτωχὸς καὶ πένης εἰμί, Κύριος φροντιεῖ μου·
βοηθός μου καὶ ὑπερασπιστής μου σὺ εἶ, ὁ θεύς μου, μὴ χρονίσῃς.

Μ'

XL (XLI) Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυείδ.

2 [2]Μακάριος ὁ συνίων ἐπὶ πτωχὸν καὶ πένητα,
ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος.
3 [3]Κύριος φυλάξαι αὐτόν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ,
καὶ μὴ παραδοῖ αὐτὸν εἰς χεῖρας ἐχθροῦ αὐτοῦ.

12 αντιλαβοιντο AR αντελαβοωτο (sic) T **13** ουκ ηδυνασθην B^{ab} (-θη ℵART B*)] ουκ ηδυνηθην ℵAR$^{a\,vid}$T ου μη δυνηθην (sic) R* | εγκατελιπεν B^{ab}ℵ εγκατελειπεν A ενκατελειπεν T **14** προσχες] σπευσον AT προσθες R^{vid} **15** αποστραφειησαν] αποστραφητωσαν R | εντραπειησαν 2°] καταισχυνθιησαν ℵ$^{c.a}$ (εντραπ. ℵ$^{c.b}$) (? R) καταισχυνθειησαν A (? R) T **16** κομισατωσαν R **17** αγαλλειασοιντο A αγαλλιασθωσαν T | σου] αυτου R | om δια παντος 2° ℵART **18** ειμι και πενης AR (ειμι sup ras R^{a}) T | Κυριος] pr ο AT | ει συ ℵT ει σοι A | ο θεος μου] Κυριε R κε T — Stich 43 B 42 ℵ 47 A 44 RT XL **2** ο κυριος] om ο ℵR **3** φυλαξαι] διαφυλαξαι ℵART | αυτον 1°]+και ζησαι αυτον ℵART | παραδωη ℵAR παραδω T | εχθρου] εχθρων ℵAT των εχθρων R

B [4]Κύριος βοηθήσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ, 4
ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ.
[5]ἐγὼ εἶπα Κύριε, ἐλέησόν με· 5
ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.
[6]οἱ ἐχθροί μου εἶπαν κακά μοι 6
Πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;
[7]καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει· 7
ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ,
ἐξεπορεύετο ἔξω καὶ ἐλάλει [8]ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ. 8
ἐψιθύριζον πάντες οἱ ἐχθροί μου κατ' ἐμοῦ·
ἐλογίζοντο κακά μοι·
[9]λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ 9
Μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι;
[10]καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, 10
ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.
[11]σὺ δέ, Κύριε, ἐλέησόν με καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω 11
αὐτοῖς.
[12]ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, 12
ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ.
[13]ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, 13
καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς αἰῶνα.

[14]εὐλογητὸς Κύριος ὁ θεὸς Ἰσραὴλ 14
ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο.

ℵART **4** *βοηθησει* AR *βοηθηση* T **6** *ειπαν*] *ειπον* T | *κακα*] *πονηρα* R **7** *ει* B^{ab} (*η* B*) ℵ*] om ℵ$^{c.a}$ART | om *ματην ελαλει* B* (hab B^{ab}) | *αυτου*] *αυτων* R | *συνηγαγον* R | *εαυτω*] *αυτω* A *εαυτοις* R | *εξεπορευετο*] *και εξεπορευοντο* R | *ελαλει* R **8** *επι το αυτο* inc stich in AT | om *κατ εμου* 2° ℵ* (hab ℵ$^{c.a}$) inc stich in AT | *κακα μοι*] *μοι πονηρα* R **10** *ηλπισα*] *επηλπισα* R | *ο εσθιων*] *ος εσθιων* R^{vid} | *αρτους*] pr *τους* R **11** *αναστησο|μαι* B*^{vid} (*αναστησον* [B^{a}] *με* B^{ab}) **12** *τεθεληκας*] *ηθελησας* ℵ* (*τεθ.* ℵ$^{c.a}$) | *επιχαιρη* A?^{vid} **13** *ακακιαν*]+*μου* R | *αντελαβου*] *αντιλαβου* (sic) *μου* R | *εβεβαιωσας*] *στερεωσας* R | *αιωνα*] pr *τον* ℵART **14** *Ισραηλ*] pr *του* R | *εις τον αιωνα*] *εως του αιωνος* R — Stich 26 BART 24 ℵ

II

ΜΑ΄ B

XLI (XLII) Εἰς τὸ τέλος· εἰς σύνεσιν τοῖς υἱοῖς Κόρε.

2 [2ϐ]Ον τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων,
οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ θεός.

3 [3]ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν θεὸν τὸν ζῶντα·
πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ θεοῦ;

4 [4]ἐγενήθη τὰ δάκρυά μου ἄρτος ἡμέρας καὶ νυκτός,
ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν Ποῦ ἐστιν ὁ θεός
σου;

5 [5]ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου·
ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου
τοῦ θεοῦ,
ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως, ἤχου ἑορταζόντων.

6 [6]ἵνα τί περίλυπος εἶ, ἡ ψυχή, καὶ ἵνα τί συνταράσσεις με; ¶ ¶ T
ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ·
σωτήριον τοῦ προσώπου μου ὁ θεός μου.

7 [7]πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη·
διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμω-
νιείμ, ἀπὸ ὄρους μικροῦ.

8 [8]ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταρακτῶν σου·
πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.

9 [9]ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς δηλώσει·
παρ' ἐμοὶ προσευχὴ τῷ θεῷ τῆς ζωῆς μου.

10 [10]ἐρῶ τῷ θεῷ Ἀντιλήμπτωρ μου εἶ, διὰ τί μου ἐπελάθου;
ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχ-
θρόν μου;

XLI **1** Κορε] + ψαλμος τω Δαδ A ψαλμος RT **3** *τον θεον*] + τον ℵART *ισχυρον* B^{c}ℵ$^{c.a}$AT **4** *εγενηθη*] + *μοι* R | *μου*] + *μοι* ℵ$^{c.a}$ + *εμοι* AT **5** *διελευσομαι*] *εισελευσομαι* R | *εν τοπω*] *εις τοπον* R | *σκηνης*] *σκηνωματος* R | *θαυμαστως* R^{vid} | *ηχους* ART | *εορταζοντος* ℵ$^{c.a}$ART **6** *ψυχη*] + *μου* ℵ$^{c.a}$ART | *τον θεον*] *Κυριον* R | *μου* 1°] *σου* ℵ* (*μου* ℵ$^{c.a}$) | *ο θεος*] pr *και* ℵ$^{c.a}$AR **7** *σου*] + *κε* ℵ* (om ℵ$^{c.a}$) AR | *Ιορδαννου* R | *Ερνωμειν* R*^{vid} (*Ερμωνιειμ* sup ras R^{a}) **8** *φωνας* R* (*φωνην* R^{a}) **9** *νυκτος*] *εν νυκτι* R | *δηλωσει*] *ωδη αυτω* ℵ$^{c.a}$ *ω. αυτου* A | om *παρ εμοι* ℵ* (hab ℵ$^{c.a}$ sed ipse rursus del vid) c praec coniung A | *εμοι*] *εμαυτου* R **10** om *ει* A | *επελαθου*] + *ινα τι απωσω με* R | *ινα τι*] pr *και* ℵ$^{c.a}$AR | om *μου* 3° ℵ$^{c.a}$

B [11]ἐν τῷ καταθλάσαι τὰ ὀστᾶ μου ὠνείδισάν με οἱ θλίβοντές με, 11
ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν Ποῦ ἐστιν ὁ
θεός σου;
[12]ἵνα τί περίλυπος εἶ, ἡ ψυχή, καὶ ἵνα τί συνταράσσεις με; 12
ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ·
ἡ σωτηρία τοῦ προσώπου μου ὁ θεός μου.

ΜΒ′

Ψαλμὸς τῷ Δαυείδ. XLII (XLIII)

Κρῖνόν με, ὁ θεός, καὶ δίκασον τὴν δίκην μου ἐξ ἔθνους 1
οὐχ ὁσίου·
ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με.
[2]ὅτι σὺ εἶ ὁ θεὸς κραταίωμά μου· 2
ἵνα τί ἀπώσω με;
καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν
ἐχθρόν μου;
[3]ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου· 3
αὐτά με ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου
καὶ εἰς τὰ σκηνώματά σου.
[4]καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ θεοῦ, 4
πρὸς τὸν θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου·
ἐξομολογήσομαί σοι, Κύριε ὁ θεός μου, ἐν κιθάρᾳ.
[5]ἵνα τί περίλυπος εἶ, ψυχή, καὶ ἵνα τί συνταράσσεις με; 5
ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ·
σωτήριον τοῦ προσώπου μου ὁ θεός μου.

ΜΓ′

Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κόρε εἰς σύνεσιν ψαλμός. XLIII (XLIV)

[2]Ὁ θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, 2
οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν,

ℵAR **11** *καταθλασθαι* ℵ$^{c.a}$ | *ωνειδιζον* ℵ$^{c.a}$A | *με* 1°] seq ras 2 litt in A | *οι θλιβοντες με*] *οι εχθροι μου* ℵ$^{c.a}$A | *λεγεσθαι* R | om *αυτους* R | *μοι*] *μν* (sic) R* *με* R$^{a\,vid}$ | *καθεκαθεκαστην* A | *εστιν*]+*ων* R **12** *η ψυχη*] om *η* B^{ab}+*μου* AR | *τον θεον*] *Κυριον* R | *η σωτηρια*] *σωτηριον* ℵ$^{c.a}$AR | *ο θεος*] pr *και* ℵ$^{c.a}$AR — Stich 25 Bℵ 30 AR XLII **1** *ψαλμος τω Δ.*] *τω Δ. ψαλμος* ℵ pr *εις το τελος συνεσεως τοις υιοις Κορε* A+*ανεπιγραφος παρ Εβραιοις* R | *με* 1°] *μοι* A **2** om *ει* ℵ$^{c.a}$A | *ο θεος*]+*μου* ℵR | om *και* ℵ* (hab ℵ$^{c.a}$) | om *μου* 2° ℵ$^{c.a}$ **4** om *Κυριε* ℵA | *εν κιθαρα ο θς μου* ℵ*A *εν κιθ. ο θς ο θς μου* ℵ$^{c.a\,vid}$R **5** *ψυχη*] *η ψ. μου* ℵ$^{c.a}$AR | *τον θεον*] *Κυριον* R | *ο θεος*] pr *και* ℵ$^{c.a}$AR — Stich 14 BA 13 ℵR XLIII **1** om *εις συνεσιν* A (sign adpinx A$^{b?}$) | om *ψαλμος* ℵ

ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις. B
3 [3]ἡ χείρ σου ἔθνη [§]ἐξωλόθρευσεν, καὶ κατεφύτευσας αὐτούς, § T
ἐκάκωσας λαοὺς καὶ ἐξέβαλες αὐτούς.
4 [4]οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν,
καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς·
ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ φωτισμὸς τοῦ προσ-
ώπου σου,
ὅτι εὐδόκησας ἐν αὐτοῖς.
5 [5]σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ ὁ θεός μου,
ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ.
6 [6]ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν,
καὶ ἐν τῷ ὀνόματί σου ἐξουθενώσομεν τοὺς ἐπανισταμέ-
νους ἡμῖν.
7 [7]οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ,
καὶ ἡ ῥομφαία μου οὐ σώσει με·
9 [9]ἐν τῷ θεῷ ἐπαινεσθησόμεθα ὅλην τὴν ἡμέραν,
καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα.
διάψαλμα.
10 [10]νυνὶ δὲ ἀπώσω καὶ κατῃσχυνας ἡμᾶς,
καὶ οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν.
11 [11]ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν,
καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς·
12 [12]ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως,
καὶ ἐν τοῖς ἔθνεσιν διέσπειρας ἡμᾶς·
13 [13]ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς,
καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν αὐτῶν·
14 [14]ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν,
μυκτηρισμὸν καὶ καταγέλωτα τοῖς κύκλῳ ἡμῶν·

2 εργον ο] εργον ον R (nisi forte εργων ων) **3** εξωλοθρευσεν] εξωλεθρ. ℵART B$^{?}$ℵAR^{vid} ...σεν T | εξεβαλας ART **4** εκληρονομησαν] κληρονομησασιν R | ηυδοκησας T **5** ο εντελλ.] ει εντελλ. R **6** εξουθενωσομεν] εξουθενησομεν ℵ* εξουδενωσομεν ℵ$^{c.a}$A*^{vid}RT εξουδενωσωμεν (ω 2° rescr) A^{1} | επανισταννομενους A* (ras ν 1° A$^{?}$) επανισταμομενους R επανισταμενους B^{c}T **7** σωσει με]+(**8**) εσωσας γαρ ημας εκ των θλιβοντων ημας| και τους μισουντας (μεισ. ℵT) ημας κατησχηνας (-σχυνας ℵART) B$^{b(vid)}$ℵART **9** επαινεθησομεθα ℵ$^{c.a}$A (επενεθ.) T | εξομολογησωμεθα T | om διαψαλμα AT **10** κατησχυνας] εξουδενωσας R | εξελευσῃ]+ο θς ℵ$^{c.a}$ART **13** αυτων] ημων ℵ$^{c.a}$ART **14** ονειδος] pr εις A **14—15** om μυκτηρισμον... εθνεσιν ℵ* (hab ℵ$^{c.a}$) **14** καταγελωτα] χλευασμον ℵ$^{c.a}$ART | ημων 2°] +και οι εχθροι ημων εμυκτηρισαν ημας (sup ras) A$^{1?a?}$

B [15]ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσιν, 15
κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.
[16]ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστιν, 16
καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέν με,
[17]ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ παραλαλοῦντος, 17
ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος.
[18]ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, 18
καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου·
[19]καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν, 19
καὶ ἐξέκλινας τοὺς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου.
[20]ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως, 20
καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.
[21]εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ θεοῦ ἡμῶν, 21
καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον,
[22]οὐχὶ ὁ θεὸς ἐκζητήσει ταῦτα; 22
αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας.
[23]ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, 23
ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.
[24]ἐξεγέρθητι· ἵνα τί ὑπνοῖς, Κύριε; 24
ἀνάστηθι καὶ μὴ ἀπώσῃ εἰς τέλος.
[25]ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις; 25
ἐπιλανθάνῃ τῆς πτωχίας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν;
[26]ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν, 26
ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν.
[27]ἀνάστα, Κύριε, βοήθησον ἡμῖν 27
καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

ΜΔ'

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· τοῖς υἱοῖς XLIV (XLV)
Κόρε εἰς σύνεσιν· ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ.

[2]Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, 2
λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ·
ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.

ℵART **15** κεφαλην $A^{a?}$ **16** κατεναντιον] κατενωπιον A **17** παραλαλουντος] καταλαλ. ℵ$^{c.a}$AT | προσωπου] φοβου ℵ* (προσ. ℵ$^{c.a}$) **19** τας τριβους $B^{b\,vid}$T **20** επεκαλυψεν] εκαλυψεν R **21** om του ονοματος A | χειρας] pr τας R **23** ενεκεν ℵAT | προβατα] προτα ℵ **24** απωση] απωσης ημας R **25** το προσ.] om το A | πτωχειας B^{ab} **26** εις] ε sup ras $A^{a?}$ — Stich 55 B 53 ℵ 57 A 54 R XLIV **1** om εις το τελος...ωδη A om ωδη R | υπερ του αγαπητου sup ras A^{a} pr Δαδ A

3 [3]ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, B
ἐξεχύθη ἡ χάρις ἐν χείλεσίν σου·
διὰ τοῦτο εὐλόγησέν σε ὁ θεὸς εἰς τὸν αἰῶνα.
4 [4]περιζώσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, Δυνατέ,
τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου,
5 [5]καὶ ἔντεινον, καὶ κατευοδοῦ καὶ βασίλευε
ἕνεκεν ἀληθείας καὶ πραύτητος καὶ δικαιοσύνης,
καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.
6 [6]τὰ βέλη σου ἠκονημένα, Δυνατέ·
λαοὶ ὑποκάτω σου πεσοῦνται
ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως.
7 [7]ὁ θρόνος σου ὁ θεὸς εἰς αἰῶνα αἰῶνος,
ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.
8 [8]ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν·
διὰ τοῦτο ἔχρισέν σε ὁ θεός, ὁ θεός σου,
ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.
9 [9]σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου,
ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν ηὔφρανάν σε.
10 [10]θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου·
παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ
περιβεβλημένη πεποικιλμένη.
11 [11]ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου,
καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου·
12 [12]ὅτι ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους σου,
ὅτι αὐτός ἐστιν ὁ κύριός σου.
13 [13]καὶ προσκυνήσουσιν αὐτῷ θυγατέρες Τύρου ἐν δώροις,
τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ τῆς
γῆς.
14 [14]πᾶσα ἡ δόξα αὐτῆς θυγατρὸς βασιλέως Ἐσεβών·
ἐν κροσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη.

3 η χαρις] om η ℵ$^{c.a}$AT **4** om σου 3° R **6** εν καρδια] ενωπιον R ℵART **7** αιωνα αιωνος] τον αιωνα του αιωνος ℵART **8** ανομιαν] αδικιαν A **9** σμυρναν κ. στακτην κ. κασιαν (κασσ. R) ℵ$^{c.a}$RT **10** βασιλεως A | πεποικιλμενοις ℵ **12** οτι επεθυμησεν] και επιθυμησει ℵ$^{c.a}$AT | καλλουσου A | ο κυριος] om ο ℵ$^{c.a}$T ο θεος R **13** προσκυνησουσιν] προσκυνησις ℵ$^{c.a}$ προσκυνησης T | αυτω] αυτων R | θυγατερες Τυρου] θυγατηρ Τυρου ℵ* και θυγατηρ Τυρου ℵ$^{c.a}$ T om Τυρου A*^{vid} (θυγα| Τυρου A^{a}) | λιτανευσωσιν T | om της γης ℵART **14** αυτης θυγατρος B*ℵ* R^{a}] της θυγατρος B^{b} (αυ non inst) ℵ$^{c.a}$AT αυτης θυγατερες R* | βασιλεως] pr του ℵ$^{c.a}$AT βασιλεων R | Εσεβων] εσωθεν B^{ab}ℵ$^{c.a}$ART | κροσσωτοις ℵ$^{c.a}$RT | πεποικιλμενοις ℵ* (-νη ℵ$^{c.a}$)

B [15]ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, 15
αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι·
[16]ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, 16
ἀχθήσονται εἰς ναὸν βασιλέως.
[17]ἀντὶ τῶν πατέρων σου ἐγεννήθησάν σοι υἱοί· 17
καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.
[18]μνησθήσονται τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ· 18
διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι
εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ΜΕ′

Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κόρε, ὑπὲρ τῶν κρυφίων ψαλμός. XLV (XLVI)

[2]Ὁ θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, 2
βοηθὸς ἐν θλίψεσιν ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.
[3]διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν 3
καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.
[4]ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν, 4
ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ. διάψαλμα.
[5]τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσιν τὴν πόλιν τοῦ θεοῦ· 5
ἡγίασεν τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος.
[6]ὁ θεὸς ἐν μέσῳ αὐτῆς, οὐ σαλευθήσεται· 6
βοηθήσει αὐτῇ ὁ θεὸς τῷ προσώπῳ.
[7]ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι· 7
ἔδωκεν φωνὴν αὐτοῦ, ἐσαλεύθη ἡ γῆ.
[8]Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, 8
ἀντιλήμπτωρ ἡμῶν ὁ θεὸς Ἰακώβ. διάψαλμα.

ℵART **15** αυτης 1°] αυτου A | αι πλησιον] οι πλ. A **17** εγεννηθησαν] εγενηθησαν B^bAT εγενηθη ℵ | om σοι T | υιοι] + σου $ℵ^{c.a}T$ | καταστησης T **18** μνησθησονται] pr και ℵ*A μνησθησομαι $ℵ^{c.a}RT$ | σου του ονοματος ℵ | om λαοι A^{*vid} (δια τουτο λ. in mg et sup ras A^a) — Stich 41 BAT 39 ℵ 37 R XLV **1** om εις το τελος...κρυφιων A | υιων Κορε υπερ των κρυφιων] κρ. τοις υιοις K. ℵ | ψαλμος] pr του $\overline{\text{Δαδ}}$ A + τω $\overline{\text{Δαδ}}$ T **3** εν καρδιαις θαλασσων c seqq coniung ℵ **4** υδατα αυτων] κυματα ℵ* (υδ. αυτ. $ℵ^{c.a}$) | εταραχθησαν 2°] εταραχθη A | αυτου] αυτων ℵ* (αυτου $ℵ^{c.a}$) | om διαψαλμα T **6** ου] pr και $ℵ^{c.a}T$ | βοηθησει ℵ | τω προσωπω] το (τω $ℵ^{c.a}$) προς πρωι πρωι $B^bℵ^{c.a}AT$ πρωι πρωι R^a **7** εκλιναν] post ε ras 1 lit (forte κ) A^2 | αυτου] + ο υψιστος $ℵ^{c.a}$ (om $ℵ^{c.b}$) ART | εσαλευθη] pr και R **8** om διαψαλμα A^{*vid} (hab διαψ $A^{a(mg)}$) T

9 [9]δεῦτε, ἴδετε τὰ ἔργα Κυρίου, B
ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς·
10 [10]ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς,
τόξον συντρίψει καὶ συνκλάσει ὅπλον,
καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.
11 [11]σχολάσατε, καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ θεός·
ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.
12 [12]Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν,
ἀντιλήμπτωρ ἡμῶν ὁ θεὸς Ἰακώβ.

ΜΖ′

XLVI (XLVII) Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κόρε ψαλμός.

2 [2]Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας,
ἀλαλάξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.
3 [3]ὅτι Κύριος Ὕψιστος φοβερός,
βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
4 [4]ὑπέταξεν λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν·
5 [5]ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν αὐτοῦ,
τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησεν. διάψαλμα.
6 [6]ἀνέβη ὁ θεὸς ἐν ἀλαλαγμῷ,
Κύριος ἐν φωνῇ σάλπιγγος.
7 [7]ψάλατε τῷ θεῷ ἡμῶν, ψάλατε·
ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε·
8 [8]ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ θεός,
9 ψάλατε συνετῶς. [9]ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη,
ὁ θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.
10 [10]ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ θεοῦ Ἀβραάμ,
ὅτι τοῦ θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

9 ιδετε] ιδατε A pr *και* ℵ$^{c.a}$ART | *κυριου*] *του θυ* ℵ$^{c.a}$AT **10** *ανταναι-* ℵART *ρων* (*-νερων* T)] *αντανελων* A | *της γης*] om *γης* A | *συνκλασει* (*συγκλ.* B^{ab})] *συ|θλασει* T **11** *θεος*] *κυριος* R | *υψωθησομαι* 2°] pr *και* R **12** om Κυριος A* (hab κ̄ς A$^{a?(mg)}$) Κυριος ο *θεος* ℵR — Stich 23 BAT 22 ℵ 20 R XLVI **1** om *εις το τελος* R | om *υπερ των υιων* Κορε A *τοις υιοις* Κορε R | *ψαλμος*]+*τω* Δᾱδ̄ ART **3** Κυριος] ο *θεος* R **4** *υπεταξεν*] *υπαταξεν* A* *επαταξεν* A$^{?vid}$ | *τας ποδας* A **5** *αυτου*] *εαυτου* ℵART | om διαψαλμα AT **6** *αναλαγμω* A **9** ο *θεος* (1°)] Κυριος R | *τα εθνη*] pr *παντα* AR — Stich 16 BAT 17 ℵ 15 R

B MZ′

Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κόρε, δευτέρᾳ σαββάτου. XLVII (XLVIII)

[2]Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα 2
ἐν πόλει τοῦ θεοῦ ἡμῶν, ὄρει ἁγίῳ αὐτοῦ,
[3]*εὐρίζῳ ἀγαλλιάματι πάσης τῆς γῆς·* 3
ὄρη Σιών, τὰ πλευρὰ τοῦ βορρᾶ,
ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου.
[4]*ὁ θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται,* 4
ὅταν ἀντιλαμβάνηται αὐτῆς.
[5]*ὅτι ἰδοὺ οἱ βασιλεῖς συνήχθησαν, ἦλθοσαν ἐπὶ τὸ αὐτό·* 5
[6]*αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν,* 6
ἐταράχθησαν, ἐσαλεύθησαν· [7]*τρόμος ἐπελάβετο αὐτῶν,* 7
ἐκεῖ ὠδῖνες ὡς τικτούσης.
[8]*ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσείς.* 8
[9]*καθάπερ ἠκούσαμεν, οὕτως εἴδομεν* 9
ἐν πόλει Κυρίου τῶν δυνάμεων,
ἐν πόλει τοῦ θεοῦ ἡμῶν·
ὁ θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. διάψαλμα.
[10]*ὑπελάβομεν, ὁ θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου.* 10
[11]*κατὰ τὸ ὄνομά σου, ὁ θεός, οὕτως καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ* 11
πέρατα τῆς γῆς·
δικαιοσύνης πλήρης ἡ δεξιά σου.
[12]*εὐφρανθήτω τὸ ὄρος Σιών,* 12
ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας
ἕνεκα τῶν κριμάτων σου, Κύριε.
[13]*κυκλώσατε Σιὼν καὶ περιβάλετε αὐτήν,* 13
διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς·

ℵART XLVII **1** *ψαλμος...σαββατου*] *εις το τελος ψαλμος τω* Δαδ A | *ψαλμος ωδης*] *ωδη ψαλμου* ℵT **2** *αινετοσφοδρα* A | *ορει*] pr *εν* ℵ$^{c.a\ vid}$ (ras *εν* ℵ$^{c.b}$) RT **3** *ευριζω* B$^{a\ vid}$] *ευριζων* B^{*b}ℵART | *πασης της γης*] *πασα* (sic) *τη γη* A | *ορη*] *οροs* R | *Σειων* ℵT **4** *αντιλαμβανεται* A **5** *βασιλεις*]+*της γης* AR | *ηλθοσαν*] *διηλθοσαν* ℵA$^{a?}$RT pr *και* R **6** *αυτοι*] *αυτο* ℵ | *ιδοντες*] *ιδοτες* A **7** *υπελαβετο* A | *αυτων*] *αυτους* R **8** *συντριψει* A **9** *ειδομεν*] *ιδαμεν* A$^{a\ mg}$R^{vid}T pr *και* ℵ$^{c.a}$RT | *εν πολει* (1°)...*εις τον αιωνα* sup ras A^{a} | *του θεου* sup ras A$^{a\ vid}$ | om *διαψαλμα* AT **11** *επι*] *εις* R | *πληρεις* B* (-*ρης* B^{ab}) **12** *το ορος*] om *το* RT | *Σειων* T (item 13) | *αγαλλιασθωσαν*] pr *και* ℵ$^{c.a}$ART | *Ιουδαιας*] *Ιουδαις* R^{*vid} *Ιουδαιας* R^{a} | *ενεκεν* ℵART | om *Κυριε* ℵ* (hab *κε* ℵ$^{c.a}$) **13** *περιβαλετε*] *περιλαβετε* B^{b}ℵART

14 [14]θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς, Β
καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς,
ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν.
15 [15]ὅτι οὗτός ἐστιν ὁ θεὸς ἡμῶν
εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ΜΗ′

XLVIII XLIX) Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κόρε ψαλμός.
2 [2]Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη,
ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην,
3 [3]οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων,
ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης.
4 [4]τὸ στόμα μου λαλήσει σοφίαν,
καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.
5 [5]κλινῶ εἰς παραβολὴν τὸ οὖς μου,
ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.
6 [6]ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ;
ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με,
7 [7]οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν
καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι.
8 [8]ἀδελφὸς οὐ λυτροῦται· λυτρώσεται ἄνθρωπος;
οὐ δώσει τῷ θεῷ ἐξίλασμα αὐτοῦ,
9 [9]καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ·
10 καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, [10]καὶ ζήσεται εἰς τέλος,
11 ὅτι οὐκ ὄψεται καταφθοράν, [11]ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας.
ἐπὶ τὸ αὐτὸ ἄνους καὶ ἄφρων ἀπολοῦνται,
καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν.
12 [12]καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα,
σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν·
ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν·

14 om *και καταδιελεσθε τας β. αυτης* ℵ* (hab *κ. καταδιελεσθαι τ. β. αυτ.* ℵART ℵ$^{c.a}$) | *διηγησεσθαι* A **15** *αιωνος*] + *αυτος ποιμανει ημας εις τον αιωνα* ℵ + *αυτος π. η. εις τους αιωνας* ART — Stich 28 BA 29 ℵ 30 RT XLVIII **1** om *εις το τελος...Κορε* A | *ψαλμος*] om RT + *τω Δαδ* A **2** *τα εθνη*] *α εθνη* sup ras A^{a} **3** *οι υιοι*] om *οι* RT **4** *λαληση* T | *συνεσεις* B^{a} (*-σιν* B^{*b}) **6** *κυκλωση* T **7** *αυτων* 1°] *αυτου* A$^{*\,vid}$ (*αυτῶ*| [*ω* sup ras] A^{a}) **8** *λυτρουται*] *λυτρωται* A | *λυτρωσεται*] *λυτρωσηται* T | *αυτου*] *εαυτω* R *εαυτου* T **10** om *οτι* ℵ$^{c.a}$A* (hab A$^{a(mg)}$) T **11** *αφρων και ανους* ℵART | *καταλιψουσιν* ℵA *καταλειψωσιν* T **12** om *αυτων* 5° ℵ$^{c.a}$T

B [13]καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν· 13
παρασυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.
[14]αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς, 14
καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐλογήσουσιν.
διάψαλμα.
[15]ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο, θάνατος ποιμαίνει αὐτούς· 15
καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωί,
καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ ἐκ τῆς δόξης αὐτῶν.
[16]πλὴν ὁ θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν 16
λαμβάνῃ με. διάψαλμα.
[17]μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, 17
καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ·
[18]ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήμψεται τὰ πάντα, 18
οὐδὲ συνκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.
[19]ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται, 19
ἐξομολογήσεταί σοι ὅταν ἀγαθύνῃς αὐτῷ.
[20]εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, 20
ἕως αἰῶνος οὐκ ὄψεται φῶς.
[21]ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν, 21
παρασυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.

ΜΘ′

Ψαλμὸς τῷ Ἀσάφ. XLIX (L)

Θεὸς θεῶν Κύριος ἐλάλησεν καὶ ἐκάλεσεν τὴν γῆν 1
ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν·

ℵART **13** παρεσυνεβληθη ℵ$^{c.a}$AT | κτηνεσι ℵT **14** σκανδαλον αυτοις sup ras et in mg A$^{a?}$ | ευλογησουσιν] ευδοκησουσιν ℵ$^{c.a}$ART | om διαψαλμα A* (hab A$^{a\,(mg)}$) **15** εθετο ℵ | ποιμανει B^{ab}ℵART | κατακυριευσωσιν A | βοηθια T | επαλαιωθη ℵ* (παλαιωθησεται ℵ$^{c.a}$) | εκ της δοξης inc stich in A | αυτων 3°] + εξωσθησαν ℵ$^{c.a}$AT **16** λυτρωσηται T | λαμβανει R^{vid}T | om διαψαλμα A **17** πλουτησει A | ανθρωπος] pr ο R | και] η ℵ$^{c.a}$AT **18** om οτι ουκ...η δοξα αυτου ℵ* (hab ℵ$^{c.a}$) | ληψεται T | συγκαταβ. B^{ab} | αυτω] μετ αυτου R | αυτου] pr του οικου ℵ$^{c.a}$R **19** εξομολογηθησεται ℵ* (-γησεται ℵ^{1}) | αυτω] αυτον R **20** αιωνος] pr του R **21** ανθρωπος] pr και ℵAT pr ο R | παρεσυνεβληθη AT | κτηνεσι RT — Stich 40 B 38 ℵ 42 AR 43 T XLIX **1** ψαλμος] pr εις το τελος A | Ασαφ] Δαδ AR | απο] απ ℵ | om και 2° ℵ$^{c.a}$RT

2 [2]ἐκ Σιὼν ἡ εὐπρεπία τῆς ὡραιότητος αὐτοῦ. B
3 [3]ὁ θεὸς ἐμφανῶς ἥξει, ὁ θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται·
πῦρ ἐναντίον αὐτοῦ καυθήσεται,
καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα.
4 [4]προσκαλέσεται τὸν οὐρανὸν ἄνω
καὶ τὴν γῆν, διακρῖναι τὸν λαὸν αὐτοῦ.
5 [5]συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ,
τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις.
6 [6]καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ,
ὅτι θεὸς κριτής ἐστιν. διάψαλμα.
7 [7]ἄκουσον, λαός μου, καὶ λαλήσω σοι·
Ἰσραήλ, καὶ διαμαρτύρομαί σοι·
ὁ θεὸς ὁ θεός σού εἰμι ἐγώ.
8 [8]οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε,
τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μού ἐστιν διὰ παντός·
9 [9]οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους,
οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους.
10 [10]ὅτι ἐμά ἐστιν πάντα τὰ θηρία τοῦ δρυμοῦ,
κτήνη ἐν τοῖς ὄρεσιν καὶ βόες·
11 [11]ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ,
καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν.
12 [12]ἐὰν πεινάσω, οὐ μή σοι εἴπω·
ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς.
13 [13]μὴ φάγομαι κρέα ταύρων;
ἢ αἷμα τράγων πίομαι;
14 [14]θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως,
καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου·
15 [15]καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε, καὶ
δοξάσεις με. διάψαλμα.
16 [16]τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός
Ἵνα τί σὺ διηγῇ τὰ δικαιώματά μου,

2 Σειων T | ευπρεπεια B^{ab}ℵ **3** ενφανως AR | εναντιον] ενωπιον ℵART RT | καταιγισφοδρα A **4** προσκαλεσηται T | διακριναι] pr του $ℵ^{c.a}$ART **6** αυτου] + διαψ $A^{a(mg)}$ | θεος] pr ο ℵRT | om διαψαλμα AT **7** om σοι 1° R* (hab R^{a}) | Ισραηλ] Ιηδ (sic) A | διαμαρτυρουμαι $ℵ^{c.a}$T | ο θεος ο θεος σου] οτι θς θς σου $ℵ^{c.a}$ **10** δρυμου B$ℵ^{*c.b}$RT] αγρου $ℵ^{c.a}$A **13** φαγωμαι A | πιωμαι A **15** θλιψεως] + σου $ℵ^{c.a}$AR (θλιψεωσου) T | om διαψαλμα A **16** ο θεος] + διαψ $A^{a(mg)}$ | διηγη B$ℵ^{*c.b}$R] εκδιηγη $ℵ^{c.a}$AT

B καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;
17 σὺ δὲ ἐμίσησας παιδίαν, 17
καὶ ἐξέβαλλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω.
18 εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, 18
καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις·
19 τὸ στόμα σου ἐπλεόνασεν κακίαν, 19
¶ A καὶ ἡ γλῶσσά σου περιέπλεκεν δολιότητα.¶
20 καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, 20
καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον.
21 ταῦτα ἐποίησας καὶ ἐσίγησα, 21
ὑπέλαβες ἀνομίαν ὅτι ἔσομαί σοι ὅμοιος·
ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου.
22 σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ θεοῦ, 22
μή ποτε ἁρπάσῃ, καὶ μὴ ᾖ ὁ ῥυόμενος.
23 θυσία αἰνέσεως δοξάσει με, 23
καὶ ἐκεῖ ὁδὸς ᾗ δείξω αὐτῷ τὸ σωτήριον τοῦ θεοῦ.

N′

Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυείδ, 2 ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Ναθὰν τὸν προφήτην, ἡνίκα εἰσῆλθεν πρὸς Βηρσάβεε. L (LI)

3 Ἐλέησόν με, ὁ θεός, κατὰ τὸ μέγα ἔλεός σου, 3
καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου·
4 ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, 4
καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
5 ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, 5
καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.
6 σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιον σοῦ ἐποίησα· 6
ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου,
καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

ℵART **16** αναλαμβανεις R^{vid} **17** παιδειαν B^{ab} | εξεβαλλες] εξεβαλες ℵ εξεβαλας ART | τας λογους A **18** μοιχου T **19** δολιοτητα] δολιοτητας ℵ$^{c.a}$ R^{a} hiat A usque LXXIX 10 **20** κατελαλεις R^{a} | της μητρος] s 1° non inst B^{b} **21** ανομιαν] ανομε ℵ* (ανομιαν vel forte ανομειαν ℵ$^{c.a}$) | προσωπον] του προσωπου R | σου] + τας αμαρτιας σου B^{c} ℵ$^{c.a}$ (om ℵ$^{c.b}$) T **22** αρπαση]+ ως λεων R | μη 2°] pr ου ℵ$^{c.a}$ RT | om η R **23** δοξαση T | η] ην ℵ$^{c.a}$ T | του θεου B ℵ* $^{c.b}$ R] μου ℵ$^{c.a}$ T — Stich 48 BR 46 ℵ 49 T L **1** Ναθαμ R | Βηρσαβεε B ℵ R^{a} T (-βεαι)] Βηθσαβεε R* **3** οικτειρμων ℵ

7 [7]ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήμφθην, B
καὶ ἐν ἁμαρτίαις ἐκίσσησέν με ἡ μήτηρ μου.
8 [8]ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας,
τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
9 [9]ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι,
πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
10 [10]ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην·
ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα.
11 [11]ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου,
καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
12 [12]καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ θεός,
καὶ πνεῦμα εὐθὲς ἐνκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
13 [13]μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου,
καὶ τὸ πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
14 [14]ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου,
καὶ πνεύματι ἡγεμονικῷ στήρισόν με.
15 [15]διδάξω ἀνόμους τὰς ὁδούς σου,
καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.
16 [16]ῥῦσαί με ἐξ αἱμάτων, ὁ θεὸς ὁ θεὸς τῆς σωτηρίας μου·
17 ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου, [17]Κύριε.
τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
18 [18]ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν·
ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
19 [19]θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον,
καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουθενώσει.
20 [20]ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών,
καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.
21 [21]τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης,
ἀναφορὰν καὶ ὁλοκαυτώματα·
τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

7 εκισησεν R **9** υσωπω R | λευκανθησομαι] ras aliq in ν et ante θ B[?] ℵRT **10** οστεα ℵ[c.a] T **12** εγκαινισον B[ab]ℵ | ενκατοις RT **13** αποριψης T | σου το αγιον ℵ[c.a] (το αγ. σου ℵ*[c.b]) T **14** στηριξον RT **17** Κυριε cum seqq coniung RT **18** θυσιατ R*[vid] (θυσιαν R[a]) | ευδοκησης T **19** εξουδενωσει ℵRT **20** om Κυριε ℵ* (hab κε̄ ℵ[c.a]) | Σειων T **21** ευδοκησης T | ανοισωσιν T — Stich 39 BℵR 40 T[vid]

B

ΝΑ′

Εἰς τὸ τέλος· συνέσεως τῷ Δαυείδ, ²ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ καὶ εἰπεῖν αὐτῷ Ἦλθεν Δαυεὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ. LI (LII)

³Τί ἐνκαυχᾷ ἐν κακίᾳ, ὁ δυνατός, 3
ἀνομίαν ὅλην τὴν ἡμέραν;
⁴ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου· 4
ὡσεὶ ξυρὸν ἐξηκονημένον ἐποίησας δόλον.
⁵ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, 5
ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην. διάψαλμα.
⁶ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν. 6
⁷διὰ τοῦτο ὁ θεὸς καθελεῖ σε εἰς τέλος· 7
ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματος,
καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. διάψαλμα.
⁸καὶ ὄψονται δίκαιοι καὶ φοβηθήσονται, 8
καὶ ἐπ᾽ αὐτὸν γελάσονται καὶ ἐροῦσιν
⁹Ἰδοὺ ἄνθρωπος ὃς οὐκ ἔθετο τὸν θεὸν βοηθὸν αὐτοῦ, 9
ἀλλὰ ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τοῦ πλούτου αὐτοῦ,
καὶ ἐδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.
¹⁰ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ θεοῦ· 10
ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ θεοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·
¹¹ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας· 11
καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

ΝΒ′

Εἰς τὸ τέλος, ὑπὲρ μαελέθ· συνέσεως τῷ Δαυείδ. LII (LIII)

²Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ 2
Οὐκ ἔστιν θεός.
διέφθειραν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις,
οὐκ ἔστιν ὁ ποιῶν ἀγαθόν.

ℵRT LI **1** συνεσεως] ψαλμος R **2** ειπεν R* (ειπειν R^{a}) | om αυτω R | Αβειμελεχ ℵ **3** εγκαυχα B^{ab} **4** εξηκονημενον] ηκονημενον B$^{b\,vid}$ ℵ$^{c.a}$ T ηκονωμενον R **5** αγαθοσυνην T **6** τα ρηματα] om τα ℵ$^{c.a}$ T **7** καθελει σε ο θεος R | καθελοι B$^{c\,vid}$ | εκτειλαι BℵT | μεταναστευσει R^{vid} | σκηνωματος] pr του ℵ$^{c.a}$ + σου RT **8** om και 1° ℵT **9** αλλα] αλλ RT | εφηλπισεν T | το πληθος] τω πληθει ℵ$^{c.a}$ (-θι) T | εδυναμωθη] ενεδυναμωθη B^{ab} ℵ$^{c.a}$ R^{a}T | επι 2°] εν T **10** θεου 1°] κυριου R **11** εποιησας Bℵ$^{c.a}$ RT] επηκουσας μου ℵ* — Stich 19 B 20 ℵ 17 R 21 T LII **2** διεφθειραν Bℵ* $^{c.b}$] διεφθαρησαν ℵ$^{c.a}$ RT | ανομιαις] επιτηδευμασιν R | ο ποιων] om ο ℵRT | αγαθον] + ουκ εστιν εως ενος R

3 [3]ὁ θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, Β
τοῦ ἰδεῖν εἰ ἔστιν συνίων ἢ ἐκζητῶν τὸν θεόν.
4 [4]πάντες ἐξέκλιναν, ἅμα ἠχρεώθησαν,
οὐκ ἔστιν ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνός.
5 [5]οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν,
οἱ ἔσθοντες τὸν λαόν μου βρώσει ἄρτου; τὸν θεὸν οὐκ ἐπε-
καλέσαντο.
6 [6]ἐκεῖ φοβηθήσονται φόβον οὗ οὐκ ἦν φόβος,
ὅτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων·
κατῃσχύνθησαν, ὅτι ὁ θεὸς ἐξουδένωσεν αὐτούς.
7 [7]τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ;
ἐν τῷ ἀποστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ
ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ.

ΝΓ′

LIII (LIV) Εἰς τὸ τέλος, ἐν ὕμνοις· συνέσεως τῷ Δαυείδ, [2]ἐν
τῷ ἐλθεῖν τοὺς Ζειφαίους· καὶ εἶπεν τῷ Σαούλ
Οὐκ ἰδοὺ Δαυεὶδ κέκρυπται παρ' ἡμῖν;

3 [3]Ὁ θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με,
καὶ ἐν τῇ δυνάμει σου κρῖνόν με.
4 [4]ὁ θεός, εἰσάκουσον τῆς προσευχῆς μου,
ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.
5 [5]ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμέ,
καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου·
οὐ προέθεντο τὸν θεὸν ἐνώπιον αὐτῶν. διάψαλμα.
6 [6]ἰδοὺ γὰρ ὁ θεὸς βοηθεῖ μοι,
καὶ ὁ κύριος ἀντιλήμπτωρ τῆς ψυχῆς μου.
7 [7]ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου·
ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.
8 [8]ἑκουσίως θύσω σοι,

4 αμα BℵᶜᵃRT] επι το αυτο ℵ* | ηχρειωθησαν Bᵃᵇ T (ηχριωθ.) | αγαθον ℵRT BℵᶜᵃRT] χρηστοτητα ℵ* **5** εσθοντες Bℵ*ᶜᵇ] κατεσθοντες ℵᶜᵃ κατεσθιοντες RT (καταισθ.) | βρωσει] pr εν T | θεον Bℵᶜᵃ] κυριον ℵ* R **6** φοβηθησονται Bℵ*ᶜᵇ] εφοβηθησαν ℵᶜᵃ T εδειλιασαν R | φοβον] φοβω ℵᶜᵃ T | ου] ω T **7** Σειων T | αποστρεψαι] επιστρεψαι Bᵇ ℵ Rᵃ (επιστρεψεν [sic] R*) T | Κυριον] τον θν ℵᶜᵃ Rᵃ T — Stich 15 Bℵ 17 R 16 T LIII **2** Ζιφεους T | ειπειν Bᵃᵇ ℵRT **3** κρινον] κρινεις ℵᶜᵃ (κρεινις) T | με 2ᵒ] μοι T **4** την προσευχην R **5** ου] pr και ℵᶜᵃ (om ℵᶜᵇ) RT **7** τα κακα] πονηρα R | τοις εχθροις] pr εν R | εξολεθρευσον ℵRT

B ἐξομολογήσομαι τῷ ὀνόματί σου, ὅτι ἀγαθόν·
9 ὅτι ἐκ πάσης θλίψεως ἐρύσω με, 9
καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

ΝΔ′

Εἰς τὸ τέλος, ἐν ὕμνοις· συνέσεως τῷ Δαυείδ. LIV (LV)

2 Ἐνώτισαι, ὁ θεός, τὴν προσευχήν μου, 2
καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου,
3 πρόσχες μοι καὶ εἰσάκουσόν μου. 3
ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην
4 ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ· 4
ὅτι ἐξέκλιναν ἐπ᾽ ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.
5 ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν 5
ἐπ᾽ ἐμέ·
7 καὶ εἶπα Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ 7
πετασθήσομαι καὶ καταπαύσω;
8 ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. 8
διάψαλμα.
9 προσεδεχόμην τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ καταιγίδος. 9
10 καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, 10
ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει.
11 ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, 11
ἀνομία καὶ πόνος ἐν μέσῳ αὐτῆς 12 καὶ ἀδικία, 12
καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς κόπος καὶ δόλος.
13 ὅτι εἰ ἐχθρὸς ὠνείδισέν με, ὑπήνεγκα ἄν, 13
καὶ εἰ ὁ μισῶν ἐπ᾽ ἐμὲ ἐμεγαλορημόνησεν, ἐκρύβην ἂν
ἀπ᾽ αὐτοῦ.
14 σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου· 14
15 ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανας ἐδέσματα, 15
ἐν τῷ οἴκῳ τοῦ θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.

ℵRT **8** εξομολογησομαι] pr και R | σου] + κε ℵRT **9** ερρυσω B^{b}ℵR | επειδεν] εφ᾽ιδεν T — Stich 15 BℵT 16 R LIV **3** αδολεσχεια B^{ab} **4** ανομιαι $ℵ^{c.a}$T **5** εμε] + (**6**) φοβος και τρομος ηλθεν επ εμε και εκαλυψεν (εκαλυψε $B^{a?b?}$) με σκοτος $B^{a?b?mg\ inf}$ℵRT **7** ειπα] ειπον T | ως ℵ* (ωσει $ℵ^{c.a}$) **8** εμακρυνον R **9** τον σωζοντα] pr τον θν $ℵ^{c.a}$T | καταιγιδος] pr απο $ℵ^{c.a}$T **10** ιδον ℵT | πολει] γη ℵ* (πολι $ℵ^{c.a}$) **11** κυκλωση T | αυτης 1°] σαυτης B* (αυτ. B^{ab}) | ανομια] pr και $ℵ^{c.a}$T | πονος] κοπος ℵRT **12** εξελειπεν T | κοπος] τοκος $ℵ^{c.a}$RT **13** μισων] + με RT **14** γνωστα $ℵ^{c.a}$RT **15** εγλυκανας] pr μοι ℵ*R + μοι $ℵ^{c.a}$T | θεου] κυριου R

16 [16]ἐλθέτω θάνατος ἐπ' αὐτούς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες· B
ὅτι πονηρίαι ἐν ταῖς παροικίαις αὐτῶν ἐν μέσῳ αὐτῶν.
17 [17]ἐγὼ πρὸς τὸν θεὸν ἐκέκραξα, καὶ ὁ κύριος εἰσήκουσέν μου.
18 [18]ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας διηγήσομαι·
ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου.
19 [19]λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι,
ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.
20 [20]εἰσακούσεται ὁ θεὸς καὶ ταπεινώσει αὐτοὺς ὁ ὑπάρχων πρὸ
τῶν αἰώνων. διάψαλμα.
οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα,
καὶ οὐκ ἐφοβήθησαν τὸν θεόν.
21 [21]ἐξέτεινεν τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι·
ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ,
22 [22]διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, καὶ ἤγγισεν
ἡ καρδία αὐτοῦ·
ἠπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσιν
βολίδες.
23 [23]ἐπίριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει·
οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.
24 [24]σὺ δέ, ὁ θεός, κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς·
ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσιν τὰς
ἡμέρας αὐτῶν·
ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ, Κύριε.

ΝΕ′

LV (LVI) Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου· τῷ Δαυεὶδ εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ.

2 [2]Ἐλέησόν με, Κύριε, ὅτι κατεπάτησέν με ἄνθρωπος,
ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέν με.

16 ελθατω ℵT + δη T | καταβητωσαν R | πονηρια R **17** εγω] + δε ℵ* ℵRT (om ℵ$^{c.a}$) R **18** απαγγελω] pr και ℵ$^{c.a}$RT | εισακουσεται] + Κυριος R **20** εισακουσεται] + με R | ο θεος] Κυριος R | om διαψαλμα T | και 2°] οτι T **21** om εξετεινεν την χειρα αυτου ℵ* (hab εξετινεν την χ. α. ℵ$^{c.a}$) | om εβεβηλωσαν την δ. αυτου ℵ* (hab ℵ$^{c.a}$) **22** διεμερισθησαν] pr και ℵ | ηγγισαν αι καρδιαι T | αυτου 2°, 3° B ℵ* $^{c.b}$R] αυτων ℵ$^{c.a}$T **23** επιρριψον B^{ab}R | διαθρεψη T **24** καταξης T | ημισευσουσιν R | ελπιω επι σε Κυριε] κε ελπιω επι σοι ℵ$^{c.a}$ επι σε ελπιω Κυριε ℵ* $^{c.b}$R ελπιω επι σοι κε T — Stich 40 B 42 ℵ 46 R 53 T LV **2** Κυριε] ο θς ℵRT

B [3]κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν ἀπὸ ὕψους 3
ἡμέρας·
ὅτι πολλοὶ οἱ πολεμοῦντές με [4]φοβηθήσονται, 4
ἐγὼ δὲ ἐπὶ σοὶ ἐλπιῶ.
[5]ἐν τῷ θεῷ ἐπαινέσω τοὺς λόγους μου ὅλην τὴν ἡμέραν· 5
ἐν τῷ θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ.
[6]ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο, 6
κατ᾽ ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.
[7]παροικήσουσιν καὶ κατακρύψουσιν· 7
αὐτοὶ τὴν πτέρναν μου φυλάξουσιν, καθάπερ ὑπέμεινα τῇ
ψυχῇ μου·
[8]ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτούς, 8
ἐν ὀργῇ λαοὺς κατάξεις.
ὁ θεός, [9]τὴν ζωήν μου ἐξήγγειλά σοι, 9
ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ
σου.
[10]ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω, 10
ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε
ἰδοὺ ἔγνων ὅτι θεός μου εἶ σύ.
[11]ἐπὶ τῷ κυρίῳ αἰνέσω ῥῆμα, 11
ἐπὶ τῷ κυρίῳ αἰνέσω λόγον.
[12]ἐπὶ τῷ θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. 12
[13]ἐν ἐμοί, ὁ θεός, αἱ εὐχαὶ ἃς ἀποδώσω αἰνέσεως· 13
[14]ὅτι ἐρύσω τὴν ψυχήν μου ἐκ θανάτου, 14
καὶ τοὺς πόδας μου ἐξ ὀλισθήματος,
τοῦ εὐαρεστῆσαι ἐνώπιον τοῦ θεοῦ ἐν φωτὶ ζώντων.

ℵRT **3** οτι πολλοι οι πολ. με απο υψους ημερας ℵ$^{c.a}$T (distinx ante απο T) **4** φοβηθησονται] ου φοβηθησομαι ℵ$^{c.a}$T | επι σοι ελπιω] επι σε ελπ. ℵ ελπ. επι σοι T+Κυριε R **5** εν 1°] επι R | om ολην την ημεραν ℵT | εν 2°] επι ℵRT | θεω 2°] κω ℵ* (θω ℵ$^{c.a}$) **6** κατ εμου] pr και R | κακον B ℵ*$^{c.b}$RT] κακα ℵ$^{c.a}$ **7** υπεμειναν ℵ$^{c.a}$RT | την ψυχην ℵ$^{c.a}$RT **8** μηδενος R | σωσεις R^{vid} | μηθενοσωσης T | καταξης T **9** om μου 1° R* (hab R^{a}) **10** επιστρεψουσιν] pr τοτε ℵ$^{c.a}$ (om ℵ$^{c.b}$) επιστρεψωσιν T | θεος μου ει συ] συ ει ο θεος μου R **11** κυριω 1°] θω̄ ℵRT | κυριω 2°] θεω R **12** θεω B ℵ$^{c.a}$RT] κω ℵ* **13** αι ευχαι] om αι R | αινεσεως]+σοι ℵRT **14** ερρυσω B^{b}ℵR | θανατου]+τους οφθαλμους μου απο δακρυων B$^{b\,(vid)\,mg\,inf}$ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) RT | εξ] απο ℵ$^{c.a}$RT | του εναρεστησαι] εναρεστησω ℵ$^{c.a}$T | του θεου B ℵ*$^{c.b}$] κυ θυ ℵ$^{c.a}$ Κυριου RT — Stich 26 B 25 ℵ 27 RT

NF′ B

LVI (LVII) Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Δαυεὶδ εἰς στηλογραφίαν, ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.

2 [2]Ἐλέησόν με, ὁ θεός, ἐλέησόν με·
ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου,
καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ
ἕως οὗ παρέλθῃ ἡ ἀνομία.
3 [3]κεκράξομαι πρὸς τὸν θεὸν τὸν ὕψιστον,
τὸν θεὸν τὸν εὐεργετήσαντά με. διάψαλμα.
4 [4]ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέν με,
ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με·
ἐξαπέστειλεν ὁ θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ,
5 [5]καὶ ἐρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων.
ἐκοιμήθην τεταραγμένος·
υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλον καὶ βέλη,
καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα.
6 [6]ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ θεός,
καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.
7 [7]παγίδας ἡτοίμασαν τοῖς ποσίν μου,
καὶ κατέκαμψαν τὴν ψυχήν μου·
ὤρυξαν πρὸ προσώπου μου βόθρον,
καὶ ἐνέπεσαν εἰς αὐτόν. διάψαλμα.
8 [8]ἑτοίμη ἡ καρδία μου, ὁ θεός,
ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ.
9 [9]ἐξεγέρθητι ἡ δόξα μου,
ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα·
ἐξεγερθήσομαι ὄρθρου.
10 [10]ἐξομολογήσομαί σοι ἐν λαοίς, Κύριε,
ψαλῶ σοι ἐν ἔθνεσιν·
11 [11]ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου,
καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.

LVI **1** αποδιδρασκειν αυτον R **2** η ψυχην ℵ | τη σκια] σκεπη R* (τη ℵRT σκια R^a) **3** τον υψιστον] om τον R | om διαψαλμα ℵ **4** του καταπατουντας ℵ* (τους καταπ. $ℵ^{c.a}$) | με 2°] + διαψαλμα ℵ **5** ερρυσατο B^bℵR (καιρρυσατο) | οπλον] B$ℵ^{*c.b}$] οπλα $ℵ^{c.a}$RT **7** παγιδας (πακιδας ℵ*)] παγιδα $B^?$ (ras s) $ℵ^{c.a}$RT | τοις ποσιν] την ψυχην ℵ | om διαψαλμα T **8** ασωμαι T | ψαλω] + σοι εν τη δοξη μου ℵ* (om σοι $ℵ^{c.a}$) **9** κιθαρα] κιραραμ R^{vid} **11** η αληθεια σου εως των νεφελων ℵ — Stich 30 Bℵ 26 R 29 T

B [12]ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ θεός, 12
καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

ΝΖ′

Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Δαυεὶδ εἰς στηλογραφίαν. LVII (LVIII)

[2]Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε; 2
εὐθεῖα κρίνετε, οἱ υἱοὶ τῶν ἀνθρώπων;
[3]καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ, 3
ἀδικίαν αἱ χεῖρες ὑμῶν συνπλέκουσιν.
[4]ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, 4
ἐπλανήθησαν ἀπὸ γαστρός, ἐλάλησαν ψεύδη.
[5]θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, 5
ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς,
[6]ἥτις οὐκ εἰσακούσεται φωνὴν ἐπᾳδόντων 6
φαρμάκου τε φαρμακευομένου παρὰ σοφοῦ.
[7]ὁ θεὸς συνέτριψεν τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, 7
τὰς μύλας τῶν λεόντων συνέθλασεν Κύριος.
[8]ἐξουδενωθήσονται ὡς ὕδωρ διαπορευόμενον, 8
ἐντενεῖ τὸ τόξον αὐτοῦ ἕως οὗ ἀσθενήσουσιν.
[9]ὡσεὶ κηρὸς ὁ τακεὶς ἀνταναιρεθήσονται· 9
ἐπέπεσε πῦρ, καὶ οὐκ εἶδον τὸν ἥλιον.
[10]πρὸ τοῦ συνεῖναι τὰς ἀκάνθας ὑμῶν 10
τὴν ῥάμνον, ὡσεὶ ζῶντας, ὡσεὶ ἐν ὀργῇ καταπίεται ὑμᾶς.
[11]εὐφρανθήσεται δίκαιος ὅταν ἴδῃ ἐκδίκησιν ἀσεβῶν. 11
τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ.
[12]καὶ ἐρεῖ ἄνθρωπος Εἰ ἄρα ἐστὶν καρπὸς τῷ δικαίῳ, 12
ἄρα ἐστὶν ὁ θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.

ℵRT LVII **1** μη διαφθειρης τω Δανειδ· ℵ | Δανεδ B **2** λαλοιτε R^{vid} | ευθειας B^{ab} R^{a} | κρινετε $B^{a?b}$ℵ (κρινεται B*)] κρινατε T | οι υιοι] om οι RT **3** ανομιαν R | συμπλεκουσιν RT **6** επαδοντος R | φαρμακου τε] φαρμακουται B^{ab}T | φαρμακευομενου] φαρμακευομενη $ℵ^{c.a}$RT **7** συνετριψεν] συντριψει B^{ab} $ℵ^{c.a}$RT | Κυριος] pr ο $ℵ^{c.a}$ (om $ℵ^{c.b}$) RT **9** ο τακεις] om ο $ℵ^{c.a}$RT | επεπεσε Bℵ*] επεπεσεν R επεσεν $ℵ^{c.a}$T | πυρ]+επ αυτους $ℵ^{c.a}$T | ιδον T **10** συνειναι (συνιν. B*)] συνιεναι B^{ab} | τη ραμνω $ℵ^{c.a}$T | υμας] αυτους ℵR **11** om ασεβων ℵT | του αμαρτωλου] om του R **12** om ει R* (hab R^{a}) — Stich 22 BℵRT

ΝΗ΄ B

LVIII (LIX)

Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Δαυεὶδ εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλεν Σαοὺλ καὶ ἐφύλαξεν τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν.

2 [2]Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ θεός,
καὶ ἐκ τῶν ἐπανιστανομένων ἐπ᾽ ἐμὲ λύτρωσαί με.
3 [3]ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν,
καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.
4 [4]ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου,
ἐπέθεντο ἐπ᾽ ἐμὲ κραταιοί·
οὔτε ἡ ἀνομία μου οὔτε ἡ ἁμαρτία μου, Κύριε.
5 [5]ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυνα·
ἐξεγέρθητι εἰς συνάντησίν μου καὶ ἴδε,
6 [6]καὶ σύ, Κύριε ὁ θεὸς τῶν δυνάμεων, ὁ θεὸς Ἰσραήλ,
πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη,
μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.
διάψαλμα.
7 [7]ἐπιστρέψουσιν εἰς ἑσπέραν καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσιν πόλιν.
8 [8]ἰδοὺ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν·
9 ὅτι τίς ἤκουσεν; [9]καὶ σύ, Κύριε, ἐκγελάσῃ αὐτούς,
ἐξουδενώσεις πάντα τὰ ἔθνη.
10 [10]τὸ κράτος μου πρὸς σὲ φυλάξω,
ὅτι θεὸς ἀντιλήμπτωρ μου εἶ.
11 [11]ὁ θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με·
ὁ θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου.
12 [12]μὴ ἀποκτείνῃς αὐτούς, μή ποτε ἐπιλάθωνται τοῦ νόμου σου·
διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου
καὶ κατάγαγε αὐτούς, ὁ ὑπερασπιστής μου Κύριε.

LVIII **1** *εισπηλογρ.* B* (*εις στηλογρ.* B^{ab}) **2** *εξελου με*]+*κε* ℵ* (om ℵRT ℵ$^{c.a}$) | *ο θεος*]+*μου* ℵ* (om ℵ$^{c.a}$) | *επανισταμενων* BbT **4** *η αμαρτια*] om *η* R **5** *κατηυθυνα* T **6** *Ισραηλ*] pr *του* ℵ$^{c.a}$RT | *οικτιρησεις* T | *παντας*] *παντες* R | om *διαψαλμα* T **7** *επιστρεψωσιν* T | *λιμωξωσιν* T | *κυκλωσωσιν* T **8** *αποφθεγξονται*] pr *αυτοι* ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) T **9** *εξουδενωσης* T **10** *θεος*] *ο θς* ℵ*R *συ ο θς* ℵ$^{c.a}$ (om *συ* ℵ$^{c.b}$) T | om *ει* ℵ **11** *προφθασῃ* T | *με*] *μοι* R* (*με* R^{a}) | *δειξει*] *διξη* T **12** *νομου*] *ονοματος* ℵ$^{c.a}$

B [13]ἁμαρτίαν στόματος αὐτῶν, λόγον χειλέων αὐτῶν, 13
καὶ συνληµφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν·
καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται [14]συντέλειαι, 14
¶ T ἐν ὀργῇ συντελείας, καὶ οὐ µὴ ὑπάρξουσιν·¶
καὶ γνώσονται ὅτι ὁ θεὸς τοῦ Ἰακὼβ δεσπόζει τῶν περάτων
τῆς γῆς. διάψαλµα.
[15]ἐπιστρέψουσιν εἰς ἑσπέραν καὶ λιµώξουσιν ὡς κύων, καὶ 15
κυκλώσουσιν πόλιν·
[16]αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν, 16
ἐὰν δὲ χορτασθῶσιν, καὶ γογγύσουσιν.
[17]ἐγὼ δὲ ᾄσοµαι τῇ δυνάµει σου, 17
καὶ ἀγαλλιάσοµαι τὸ πρωὶ τὸ ἔλεός σου·
ὅτι ἐγενήθης ἀντιλήµπτωρ µου
καὶ καταφυγὴ ἐν ἡµέρᾳ θλίψεως.
[18]βοηθός µου, σοὶ ψαλῶ, ὁ θεός µου· 18
ὅτι ἀντιλήµπτωρ µου εἶ,
ὁ θεός µου, τὸ ἔλεός µου.

ΝΘ′

LIX (LX)

Εἰς τὸ τέλος· τοῖς ἀλλοιωθησοµένοις, ἔτι εἰς στηλο-
γραφίαν τῷ Δαυείδ, εἰς διδαχήν, [2]ὁπότε ἐνεπύρισεν 2
τὴν Μεσοποταµίαν Συρίας καὶ τὴν Συρίαν Σωβάλ,
καὶ ἐπέστρεψεν Ἰωὰβ καὶ ἐπάταξεν τὴν
φάραγγα τῶν ἁλῶν δώδεκα χιλιάδας.

[3]Ὁ θεός, ἀπώσω ἡµᾶς καὶ καθεῖλες ἡµᾶς, 3
ὠργίσθης καὶ ᾠκτείρησας ἡµᾶς.
[4]συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν· 4
ἴασαι τὰ συντρίµµατα αὐτῆς, ὅτι ἐσαλεύθησαν,
[5]ἔδειξας τῷ λαῷ σου σκληρά, 5
ἐπότισας ἡµᾶς οἶνον κατανύξεως.
§ T [6]§ἔδωκας τοῖς φοβουµένοις σε σηµείωσιν, τοῦ φυγεῖν ἀπὸ 6
προσώπου τόξου. διάψαλµα.

ℵRT **13** αµαρτια ℵ$^{c.a}$ (-τιαν ℵ$^{c.b}$) RT | λογος ℵ$^{c.a}$ (-γον ℵ$^{c.b}$) RT | χειλεων] pr των R | συλλημφθ. B^{ab}ℵ **14** συντελειαι] εν συντελεια ℵ$^{c.a}$RT | συντελιας B* (-λειας B^{ab}) T | υπαρξουσιν (υμαξ. R)] υπαρξωσιν ℵT | δεσποζει του Ιακωβ ℵR | των περατων] pr και ℵ$^{c.a}$ (ras ϛ ℵ$^{c.b}$) R **16** εαν δε] +μη ℵ$^{c.a}$R **17** τη δυναμει] την δυναμειν (sic) ℵ$^{c.a}$ (ras ν 1°, 3° ℵ$^{c.b}$) την δυναμιν R | καταφυγη]+μου R | θλιψεως]+μου ℵ **18** om ο θς μου (1°) ℵ$^{c.a}$R | οτι]+ο θς ℵ$^{c.a}$R — Stich 39 Bℵ 40 R LIX **1** om ετι R | εισταλογρ. B* (εις στηλογρ. B^{ab}) **2** Συριας] Συριαν R | δωδεκα] ιβ′ ℵ **3** οικτειρησας ℵ **4** εσαλευθη ℵR **6** om διαψαλμα T

7 [7]ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, B
σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.
8 [8]ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ
Ἀγαλλιάσομαι καὶ διαμεριῶ Σίκιμα,
καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.¶ ¶ T
9 [9]ἐμός ἐστιν Γαλαάδ, καὶ ἐμός ἐστιν Μανασσή,
καὶ Ἐφράιμ κραταίωσις τῆς κεφαλῆς μου·
Ἰούδας βασιλεύς μου,
10 [10]Μωὰβ λέβης τῆς ἐλπίδος μου·
§[ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου, § T
ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.
11 [11]τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;
τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;
12 [12]οὐχὶ σύ, ὁ θεός, ὁ ἀπωσάμενος ἡμᾶς;
καὶ οὐχὶ ἐξελεύσῃ, ὁ θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν;
13 [13]δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως,¶ ¶ T
καὶ ματαία σωτηρία ἀνθρώπου.
14 [14]ἐν δὲ τῷ θεῷ ποιήσομεν δύναμιν,
καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

Ξ′

LX (LXI) Εἰς τὸ τέλος, ἐν ὕμνοις· §τῷ Δαυείδ. §T
2 [2]Εἰσάκουσον τῆς δεήσεώς μου,
πρόσχες τῆς προσευχῆς μου.
3 [3]ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα, ἐν τῷ ἀκηδιάσαι
τὴν καρδίαν μου.
ἐν πέτρᾳ ὕψωσάς με,
4 ὡδήγησάς με, [4]ὅτι ἐγενήθης ἐλπίς μου,
πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ.
5 [5]παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας, διάψαλμα.
σκεπασθήσομαι ἐν σκέπῃ τῶν πτερύγων σου.
6 [6]ὅτι σύ, ὁ θεός, εἰσήκουσας τῶν προσευχῶν μου,
ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.

8 αγαλλιασωμαι T **9** Μανασσης ℵ$^{c.a}$ | βασιλευς] pr ο R **10** επι ℵRT την Ιδουμαιαν] εν τη Ιδουμαια R **11** τις 2°] pr η ℵ$^{c.a}$ (ipse fort del) RT **12** ουχι 2°] ουκ ℵ$^{c.a}$RT **14** om δε ℵ$^{c.a}$ — Stich 26 Bℵ 27 R LX **1** τω Δανειδ] pr ψαλμος ℵRT (..μος T : quae praecess perier) **2** εισακουσον]+ ο θς B^{ab}ℵRT | τη προσευχη ℵRT **5** om διαψαλμα T | σκεπη] pr τη T **6** των προσευχων Bℵ$^{c.a}$] της προσευχης ℵ* των ευχων RT | ο ονομα ℵ* (το ον. ℵ^{1}) | σου]+ Κυριε R^{a}

B [7]ἡμέρας ἐφ' ἡμέρας βασιλέως προσθήσεις ἔτη αὐτοῦ, 7
ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς.
[8]διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ θεοῦ· 8
ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει αὐτῶν;
[9]οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, 9
τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας.

ΞΑ'

Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθούν· ψαλμὸς τῷ Δαυείδ. LXI (LXII)

[2]Οὐχὶ τῷ θεῷ ὑποταγήσεται ἡ ψυχή μου; 2
παρ' αὐτοῦ γὰρ τὸ σωτήριόν μου.
[3]καὶ γὰρ αὐτὸς ὁ θεός μου καὶ σωτήρ μου, 3
ἀντιλήμπτωρ μου· οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον.
[4]ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον; 4
φονεύετε πάντες
ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὡσμένῳ.
[5]πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι, 5
ἔδραμον ἐν δίψει·
τῷ στόματι αὐτῶν εὐλογοῦσαν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο. διάψαλμα.
[6]πλὴν τῷ θεῷ ὑποτάγηθι, ψυχή μου, 6
ὅτι παρ' αὐτοῦ ἡ ὑπομονή μου.
[7]ὅτι αὐτὸς ὁ θεός μου καὶ σωτήρ μου, 7
ἀντιλήμπτωρ μου· οὐ μὴ μεταναστεύσω.
[8]ἐπὶ τῷ θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου· 8
ὁ θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ θεῷ.
[9]ἐλπίσατε ἐπ' αὐτόν, πᾶσα συναγωγὴ λαοῦ· 9
ἐκχέετε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν·

ℵRT **7** *βασιλεως*] pr *του* ℵ$^{c.a}$T *βασιλευς* R^{vid} | *προσθησεις ετη*] *προσθησεις τα ετη* ℵ$^{c.a}$ *προς τα ετη* R* (*προσθησεις εις τα ετη* R^{a}) *προσθησης τα ετη* T **8** om *αυτων* ℵT **9** *τον αιωνα του αιωνος* Bℵ*$^{c.b}$R] *αιωνα* ℵ$^{c.a}$ *τους αιωνας* T — Stich 16 B 17 ℵT 15 R LXI **1** Ιδιθουμ T **2** *παρ αυτου γαρ*] *οτι παρ αυτου* R | *το σωτηριον*] *η υπομονη* R **3** *αυτος*]+*εστιν* R | *ο θεος*] om *ο* B^{ab}ℵT | *σαλευθω επι πλειον*] *μεταναστευσω* R **4** *παντες*]+*υμεις* ℵ$^{c.a}$ (*υμις*) T | *κεκλιμμενω* R **5** *ευλογουν* B^{b}ℵ$^{c.a}$T | *κατηρουντο* R | om *διαψαλμα* T **6** *υποταγηθι*] *υποταγησεται* R | *ψυχη*] pr *η* ℵRT **7** *ο θεος*] om *ο* RT | om *μη* ℵ* (hab ℵ$^{c.a}$) **9** om *ελπισατε...λαου* ℵ* (hab *ελπισαται επ αυτον π. σ. λαων* ℵ$^{c.a}$) | *λαων* R | *εκχεατε* ℵT | *αυτου τας*] *αυτας* B* (*του* superscr B^{ab})

ὁ θεὸς βοηθὸς ἡμῶν. διάψαλμα. B

10 [10]πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων,
ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι,
αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό.
11 [11]μὴ ἐλπίζετε ἐπὶ ἀδικίαν,
καὶ ἐπὶ ἁρπάγματα μὴ ἐπιποθεῖτε·
πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.
12 [12]ἅπαξ ἐλάλησεν ὁ θεός, δύο ταῦτα ἤκουσα,
13 ὅτι τὸ κράτος τοῦ θεοῦ, [13]καὶ σοῦ, Κύριε, τὸ ἔλεος,
ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

ΞΒ΄

LXII (LXIII) Ψαλμὸς τῷ Δαυείδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰδουμαίας.

2 [2]Ὁ θεὸς ὁ θεός μου, πρὸς σὲ ὀρθρίζω·
ἐδίψησέν σοι ἡ ψυχή μου,
ποσαπλῶς σοι ἡ σάρξ μου,
ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ,
3 [3]οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι,
τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
4 [4]ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς·
τὰ χείλη μου ἐπαινέσουσίν σε.
5 [5]οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου,
ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
6 [6]ὡσεὶ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου,
καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ ὄνομά σου.
7 [7]εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τῷ ὄρθρῳ μου
ἐμελέτων εἰς σέ·
8 [8]ὅτι ἐγενήθης βοηθός μου,
καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
9 [9]ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου,
ἐμοῦ ἀντελάβετο ἡ δεξιά σου.

9 *ο θεος*] pr *οτι* ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) T | om *διαψαλμα* T **10** *οι υιοι* bis] om ℵRT *οι* R **11** *επι* 1°] *επ* ℵT | *αρπαγμα* ℵ$^{c.a}$RT | *καρδια* ℵ$^{c.a}$ **13** *σου*] *συ* B* *σοι* R^{vid} | *συ*] *σου* ℵ$^{c.a}$ | *αποδωσεις* T — Stich 28 BR 25 ℵ 29 T
LXII **1** *Ιδουμαιας*] *Ιουδαιας* ℵT **2** *σοι* 1°] *σε* B$^{b\,et\,fort\,c}$ ℵ$^{c.a}$T **4** *κρεισσων* B (*κρεισσον* ℵT) **6** *εμπλησθειη*] *επλησθη* R | *η ψυχη*] om *η* R | *το ονομα σου*] *το στομα μου* ℵ$^{c.a}$T *στομα μου* R$^{a\,vid}$ **7** *τω ορθρω*] *τοις ορθροις* B^{a}ℵRT | om *μου* 2° ℵRT **8** *τη σκεπη*] om *τη* R **9** *εμου*] + *δε* ℵ$^{c.a}$RT

B [10]αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, 10
εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς,
[11]παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, 11
μερίδες ἀλωπέκων ἔσονται.
[12]ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ θεῷ, 12
ἐπαινεσθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ,
ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

ΞΓ′

Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυείδ. LXIII (LXIV)

[2]Εἰσάκουσον, ὁ θεός, τῆς προσευχῆς μου ἐν τῷ δέεσθαί με 2
πρὸς σέ,
ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.
[4]οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν, 4
ἐνέτειναν τόξον πρᾶγμα πικρόν,
[5]τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον· 5
ἐξάπινα κατατοξεύσουσιν αὐτὸν καὶ οὐ φοβηθήσονται.
[6]ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν, 6
διηγήσαντο τοῦ κρύψαι παγίδας·
εἶπαν Τίς ὄψεται αὐτούς;
[7]ἐξηράνησαν ἀνομίαν, 7
ἐξέλιπον ἐξεραυνῶντες ἐξεραυνήσει·
προσελεύσεται ἄνθρωπος καὶ καρδία βαθεῖα,
[8]καὶ ὑψωθήσεται ὁ θεός. 8
βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν,
[9]καὶ ἐξουθένησαν αὐτὸν αἱ γλῶσσαι αὐτῶν. 9
ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς,
[10]καὶ ἐφοβήθη πᾶς ἄνθρωπος· 10

ℵRT **11** om παραδοθησονται...ρομφαιας ℵ* (hab ℵ$^{c.a}$) **12** θεω] κω ℵ* (θω ℵ$^{c.a}$) R | επαινεθησεται B^{b}ℵ$^{c.a}$T — Stich 23 B 24 ℵR 25 T LXIII **2** της προσευχης] της φωνης ℵ* φωνης ℵ$^{c.a}$T | δεεσθαι με προς σε B ℵ$^{c.a}$R^{a}T] om προς σε ℵ* θλιβεσθαι με R* | εξελου] ρυσαι R | μου 2°] + (3) εσκεπασας (εσκεπ. B^{ab}ℵ$^{*c.b}$ σκεπασον ℵ$^{c.a}$T σκεπασας R) με απο συστροφης πονηρευομενων απο πληθους εργαζομενων αδικιαν (αδ. B^{ab}ℵ$^{c.a}$T την αδ. ℵ* την ανομιαν R) B$^{ab\ mg\ inf}$ℵRT **4** τοξον] + αυτων ℵ$^{c.a}$ (om ℵ$^{c.b}$) T **5** κατατοξευσωσιν T | φοβηθησεται ℵ$^{c.a}$T **6** παγιδας (πακιδας ℵ*)] παγιδα ℵ$^{c.a}$ | ειπον T **7** εξηρευνησαν B^{ab}ℵRT | εξελειπον T | εξερευνωντες B^{ab}RT | εξερανυνησει] εξερευνησει B^{ab} εξερανυνησεις ℵ$^{c.a}$ T (εξερευν.) εξαρευνησιν R^{*vid} (εξερευνησιν R^{a}) **9** εξουθενησαν] εξησθενησαν B^{ab}ℵRT | αυτον] επ αυτους B^{ab}ℵR^{a} (αυτον επ αυτους R*) T

καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ θεοῦ, 8
καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν.
11 [11]εὐφρανθήσεται δίκαιος ἐπὶ τῷ κυρίῳ, καὶ ἐλπιεῖ ἐπ᾽ αὐτόν·
καὶ ἐπαινεσθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

ΞΔ΄

LXIV (LXV)

Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δανείδ, ᾠδή.

2 [2]Σοὶ πρέπει ὕμνος, ὁ θεός, ἐν Σιών,
καὶ σοὶ ἀποδοθήσεται εὐχή.
3 [3]εἰσάκουσον προσευχῆς μου, πρὸς σὲ πᾶσα σὰρξ ἥξει.
4 [4]λόγοι ἀνόμων ὑπερηδυνάμωσαν ἡμᾶς,
καὶ τὰς ἀσεβείας ἡμῶν σὺ ἱλάσῃ.
5 [5]μακάριος ὃν ἐξελέξω καὶ προσελάβου,
κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου.
πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου·
ἅγιος ὁ ναός σου, [6]θαυμαστὸς ἐν δικαιοσύνῃ.
6 ἐπάκουσον ἡμῶν, ὁ θεὸς ὁ σωτὴρ ἡμῶν,
ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς·
7 [7]ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύι σου,
περιεζωσμένος ἐν δυναστίᾳ·
8 [8]ὁ συνταράσσων τὸ ὕδωρ τῆς θαλάσσης, ἦχους κυμάτων
αὐτῆς.
9 ταραχθήσονται τὰ ἔθνη [9]καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ
πέρατα ἀπὸ τῶν σημείων σου·
ἐξόδους πρωίας καὶ ἑσπέρας τέρψεις.
10 [10]ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν,
ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν·
ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων·
ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία σου.

11 επι] εν ℵ$^{c.a}$RT | ελπισει R | επαινεθησονται B^{b}T — Stich 23 BℵRT 20 R 22 T LXIV **1** τω Δ. ψαλμος ℵ | om ωδη ℵT **2** σοι 1°] σε R συ T | Σειων T | σοι 2°] συ T | ευχη]+ εν Ιηλμ ℵT (Ιλημ T) εν Ιερουσαλημ R **3** om μου ℵ* (hab ℵ$^{c.a}$) | σαρηξει B* (σαρξ ηξ. B^{ab}) **4** υπερεδυναμωσαν B^{ab}ℵ$^{c.a}$ | ταις ασεβειαις ℵ$^{c.a}$T (-βιαις) **5** κατασκηνωσει Bℵ$^{c.a}$ (κατασκηνωση T)] κατοικησει ℵ* | πλησθησωμεθα T **6** γης]+ και εν θαλασση μακραν B$^{ab\,mg}$ℵ*R και των εν θ. μ. ℵ$^{c.a}$T **7** σου] αυτου ℵT | δυναστεια B^{ab}ℵ **8** υδωρ] κυτος ℵRT | αυτης]+ τις υποστησεται ℵ$^{c.a}$R^{a}T **9** τα περατα Bℵ$^{c.a}$RT] την γην ℵ* **10** αυτων Bℵ$^{c.a}$RT] αυτης ℵ* | om σου ℵ$^{c.a}$

B [11]τοὺς αὔλακας αὐτῆς μέθυσον, 11
πλήθυνον τὰ γενήματα αὐτῆς,
ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.
¶ T [12]εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός¶ σου, 12
καὶ τὰ πεδία σου πλησθήσονται πιότητος·
[13]πιανθήσεται τὰ ὄρη τῆς ἐρήμου, 13
καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.
[14]ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, 14
καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον·
κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.

ΞΕ′

Εἰς τὸ τέλος· ᾠδὴ ψαλμοῦ ἀναστάσεως. LXV (LXVI)

[1]Ἀλαλάξατε τῷ θεῷ, πᾶσα ἡ γῆ, 1
[2]ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, 2
δότε δόξαν αἰνέσει αὐτοῦ·
[3]εἴπατε τῷ θεῷ Ὡς φοβερὰ τὰ ἔργα σου· 3
ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.
[4]πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, 4
ψαλάτωσαν τῷ ὀνόματί σου. διάψαλμα.
[5]δεῦτε, τέκνα, καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ, 5
φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων.
[6]ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, 6
ἐν ποταμῷ διελεύσονται ποδί·
ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ,
[7]τῷ δεσπόζοντι ἐν τῇ δυναστίᾳ τοῦ αἰῶνος αὐτοῦ. 7
οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν,
οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς. διάψαλμα.
[8]εὐλογεῖτε, ἔθνη, τὸν θεὸν ἡμῶν, 8
καὶ ἀκουτίσασθε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ,

ℵRT **11** αυτης 1°] αυτος R **12** ευλογησης T | της χρη... T | πλησθησεται ℵ* (πλησθησονται ℵ c.a) **13** πιανθησονται ℵ c.a | ορη] ωραια ℵ c.a ορια R | περιεζωσονται (sic) R **14** πληθυνουσιν R | κραξονται R — Stich 30 BℵR 28 R LXV **1** om αναστασεως ℵ **3** σε] σοι R **4** ψαλατωσαν 2°] + δη ℵ c.a | σου] + υψιστε ℵ c.a (ras ℵ c.b) R a **5** om τεκνα B ab ℵR | om και ℵ* (hab κ ℵ c.a) | θεου] κυριου R | φοβερος] pr ως ℵ c.a **7** δυναστια (-τεια B ab)] + αυτου ℵ c.a | του αιωνος αυτου] om αυτου ℵ αυτου του αιωνος R **8** ακουτισασθε B ab (-σθαι B*)] ακουτισατε ℵ c.a | της αινεσεως] τ. αινεσεσεως ℵ ταινεσεως (sic) R

9 [9]τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν, B
καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.
10 [10]ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ θεός, καὶ ἐπύρωσας ἡμᾶς ὡς πυροῦται
τὸ ἀργύριον.
11 [11]εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα,
ἔθου θλίψεις ἐνώπιον ἡμῶν,
12 [12]ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν·
διήλθομεν διὰ πυρὸς καὶ ὕδατος,
καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.
13 [13]εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν,
14 ἀποδώσω σοι τὰς εὐχάς μου, [14]ἃς διέστειλεν τὰ χείλη μου
καὶ ἐλάλησεν τὸ στόμα μου ἐν τῇ θλίψει μου·
15 [15]ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσω σοι μετὰ θυμιάματος καὶ
κριῶν,
ποιήσω σοι βόας μετὰ χιμάρων. διάψαλμα.
16 [16]δεῦτε ἀκούσατε καὶ διηγήσομαι, πάντες οἱ φοβούμενοι τὸν
κύριον,
ὅσα ἐποίησεν τῇ ψυχῇ μου.
17 [17]πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα,
καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου.
18 [18]ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ, μὴ εἰσακουσάτω Κύριος.
19 [19]διὰ τοῦτο εἰσήκουσέν μου ὁ θεός,
προσέσχεν τῇ φωνῇ τῆς προσευχῆς μου.
20 [20]εὐλογητὸς ὁ θεὸς ὃς οὐκ ἀπέστησεν τὴν προσευχήν μου καὶ
τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.

ΞF′

LXVI (LXVII) Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς τῷ Δαυείδ.
2 [2]Ὁ θεός, οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς,
ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς. διάψαλμα.

9 *τους ποδας* B𝔑*c.b R] *τον ποδα* 𝔑c.a **10** om *και* 𝔑R **11** *πακιδα* 𝔑R 𝔑* (*παγ.* 𝔑c.a) | *ενωπιον*] *επι τον νωτον* 𝔑c.a R **13** *αποδωσω σοι τας ευχας μου*] *τας ευχ. μου αποδ.* 𝔑* *αποδ. τας ευχ. μου* 𝔑c.a **15** *μεμυολωμενα* Rvid | *ποιησω*] *ανοισω* Bab𝔑c.a R **16** *διηγησομαι*] + *υμιν* 𝔑c.a R | *κυριον*] *θν* 𝔑c.a **18** *καρδια*] + *μου* 𝔑R | *εισακουσατω*] + *μου* 𝔑c.a (om 𝔑c.b) | *Κυριος*] *ο θεος* R **19** *προσεσχεν*] pr *και* R | *προσευχης*] *δεησεως* 𝔑c.a R **20** *ος ουκ*...LXVIII **3** *υποστασις* rescr Ra | *μου* B𝔑c.a Ra] *αυτου* 𝔑* — Stich 38 B 40 𝔑 36 R LXVI **1** *ψαλμος*] *ωδη* Ra | *τω Δαυειδ*] *ωδης* 𝔑 **2** *ημας* 2°] + *και ελεησαι ημας* 𝔑c.a Ra | om *διαψαλμα* Ra

B
3 τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, 3
καὶ ἐν πᾶσιν ἔθνεσιν τὸ σωτήριόν σου
4 ἐξομολογησάσθωσαν λαοί, ὁ θεός, 4
ἐξομολογησάσθωσαν λαοὶ πάντες.
5 εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη, 5
ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι,
καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. διάψαλμα.
6 ἐξομολογησάσθωσάν σοι λαοί, ὁ θεός, 6
ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.
7 γῆ ἔδωκεν τὸν καρπὸν αὐτῆς· 7
εὐλογήσαι ἡμᾶς ὁ θεὸς ὁ θεὸς ἡμῶν, 8 εὐλογήσαι ἡμᾶς ὁ 8
θεός,
καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

ΞΖ′

Εἰς τὸ τέλος· τῷ Δαυείδ, ψαλμὸς ᾠδῆς. LXVII (LXVIII)

2 Ἀναστήτω ὁ θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, 2
καὶ φυγέτωσαν οἱ μισοῦντες αὐτὸν ἀπὸ προσώπου αὐτοῦ.
3 ὡς ἐκλείπει καπνὸς ἐκλιπέτωσαν· 3
ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός,
οὕτως ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ θεοῦ.
4 καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν, διάψαλμα. 4
ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ θεοῦ,
τερφθήτωσαν ἐν εὐφροσύνῃ.
5 ᾄσατε τῷ θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ· 5
ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν· Κύριος ὄνομα
αὐτῷ·
καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ.
6 ταραχθήσονται ἀπὸ προσώπου αὐτοῦ, 6
τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν·
ὁ θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ.

ℵR 3 και εν πασιν εθνεσιν] και εν πασι τοις λαοις ℵ* εν πασι (sic) εθνεσιν ℵc.a εν πασιν εθνεσιν Ra 4 εξομολογησασθωσαν 1°, 2°] + σοι Babℵ Ra 5 οτι] + κρινει την οικουμενην εν δικαιοσυνη ℵ* (om ℵc.a) | κρινεις] κρινει ℵ | οδηγησει ℵ | om διαψαλμα Ra — Stich 14 B 15 ℵ (de R non liquet) LXVII 2 απο προσωπου αυτου οι μισ. αυτον Ra 3 εκλιπει B*ℵ (εκλειπει Bab) | απολοιντο] απολουνται Ra 4 om διαψαλμα ℵRa | αγαλλιασθωσαν] pr και ℵ* (om ℵc.a) 5 om και αγαλλιασθε ενωπιον αυτου ℵ* (hab κ. αγαλλιασθαι εν. αυτου ℵc.a) 6 ταραχθησονται] ταραχθητωσαν ℵ1 (-θησαν ℵ*) Ra

7 [7]ὁ θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ, Β
ἐξάγων πεπεδημένους ἐν ἀνδρίᾳ,
ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις.
8 [8]ὁ θεός, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου,
ἐν τῷ διαβαίνειν σε τὴν ἔρημον, διάψαλμα.
9 [9]γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ θεοῦ τοῦ Σινά,
ἀπὸ προσώπου τοῦ θεοῦ Ἰσραήλ.
10 [10]βροχὴν ἑκούσιον ἀφοριεῖς, ὁ θεός, τῇ κληρονομίᾳ σου·
καὶ ἠσθένησεν, σὺ δὲ κατηρτίσω αὐτήν.
11 [11]τὰ ζῶά σου κατοικοῦσιν ἐν αὐτῇ,
ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ.
12 [12]ὁ θεὸς [(12)]Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ,
13 [13]ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ,
τοῦ ἀγαπητοῦ, καὶ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.
14 [14]ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων,
πτέρυγες περιστερᾶς περιηργυρωμέναι,
καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου. διάψαλμα.
15 [15]ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς,
χιονωθήσονται ἐν Σελμών.
16 [16]ὄρος τοῦ θεοῦ ὄρος πῖον,
ὄρος τετυρωμένον, ὄρος πῖον.
17 [17]ἵνα τί ὑπολαμβάνετε, ὄρη τετυρωμένα;
τὸ ὄρος ὃ εὐδόκησεν ὁ θεὸς κατοικεῖν ἐν αὐτῷ·
καὶ γὰρ ὁ κύριος κατασκηνώσει εἰς τέλος.
18 [18]τὸ ἅρμα τοῦ θεοῦ μυριοπλάσιον,
χιλιάδες εὐθηνούντων·
ὁ κύριος ἐν αὐτοῖς ἐν Σινά, ἐν τῷ ἁγίῳ.
19 [19]ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσας αἰχμαλωσίαν,

7 ανδρεια B^{ab} **8** την ερημον] εν τη ερημω $\aleph R^a$ | om διαψαλμα R^a $\aleph R$ **9** εσσεισθη R^a | om του Σινα...του θεου $\aleph^*$ (hab $\aleph^{c.a}$) | τουτο Σινα B^{ab} (το superscr) **10** βροχην] βρωσιν $R^{a\,fort}$ | εκουσιαν $\aleph^{c.a} R^a$ | την κληρονομιαν R^a **12** om ο θς $B^{b?}$ post θς distinx $\aleph^{c.a}$ **13** om του αγαπητου (2°) $\aleph R^a$ | και ωρ. $B\aleph^{*\,c.b}$] τη ωρ. $\aleph^{c.a} R^a$ | διελεσθε B^{ab} **14** μεσον] μεσα R^a | περιαργυρωμεναι R^a | χρυσου R^a | om διαψαλμα R^a **15** Σελμω R^a **17** υπολαμβανεται B^* (-τε B^{ab}) $\aleph$ | om ο θεος $\aleph$ **18** ο κυριος] om ο $\aleph^{c.a} R^a$ | Σεινα $\aleph$ Σιναιν R^a **19** αναβας] ανεβης $B^{ab}\aleph^{c.a}$ (ανεβη $\aleph^*$) R^a | ηχμαλωτευσεν $\aleph^*$ (-σας $\aleph^{c.a}$)

B ἔλαβες δόματα ἐν ἀνθρώπῳ,
καὶ γὰρ ἀπειθοῦντες τοῦ κατασκηνῶσαι.
[20]Κύριος ὁ θεὸς εὐλογητός, 20
εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν,
καὶ κατευοδώσει ἡμῖν ὁ θεὸς τῶν σωτηρίων ἡμῶν. διάψαλμα.
[21]ὁ θεὸς ἡμῶν ὁ θεὸς τοῦ σώζειν, 21
καὶ τοῦ κυρίου αἱ διέξοδοι τοῦ θανάτου.
[22]πλὴν ὁ θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ, 22
κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελίαις αὐτοῦ.
[23]εἶπεν Κύριος Ἐκ Βασὰν ἐπιστρέψω, 23
ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης·
[24]ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι, 24
ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ.
[25]ἐθεωρήθησαν αἱ πορίαι σου, ὁ θεός, 25
αἱ πορίαι τοῦ θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ·
[26]προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων, 26
ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.
[27]ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεόν, 27
τὸν κύριον ἐκ πηγῶν Ἰσραήλ.
[28]ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει, 28
ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν,
ἄρχοντες Ζαβουλών,
ἄρχοντες Νεφθαλεί.
[29]ἔντειλαι, θεός, τῇ δυνάμει σου, 29
δυνάμωσον, ὁ θεός, τοῦτο ὃ κατηρτίσω ἡμῖν.
[30]ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἰερουσαλὴμ 30
σοὶ οἴσουσιν βασιλεῖς δῶρα.
[31]ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου· 31
ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσιν τῶν λαῶν
τοῦ μὴ ἀποκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ·

ℵR **19** *ανθρωπω* B*[b]] *ανθρωποις* B[a]ℵR[a] | *απειθουντες* B[ab] (*απιθ.* B*)] *απειθουντας* ℵ[c.a] (*απιθ.*) R[a] **20** om *και* ℵR[a] | om *διαψαλμα* R[a] **21** *ο θεος* 2° B ℵ[c.a] R[a]] om *ο* ℵ* | *σωζειν*] *σωσαι* R[a] | *του κυριου*] + *κυ* ℵ[c.a] R[a] **22** *πλημμελιαις* (-*λειαις* B[ab]) Bℵ[c.a] R[a vid]] *πλημμελια* ℵ* | *αυτου* 2°] *αυτων* B[ab]ℵ[c.a] om ℵ* **25** *πορiαι* bis] *πορειαι* B[ab]ℵ | *βασιλεως*] + *μου* ℵ[c.a] **26** *εχομενα* ℵR[a] **27** *τον κυριον*] om *τον* ℵ[c.a] R[a] **28** om *αρχοντες Ιουδα ηγ. αυτων* ℵ* (hab ℵ[c.a]) | *Νεφθαλειμ* ℵ *Νεφθαλειν* R[a] **29** *θεος*] pr *ο* B[ab]ℵR[a] | *κατηρτισω*] *κατιργασω* ℵ[c.a] *κατηργασω* R[a] | *ημιν*] pr *εν* R[a] **31** *δαμαλεσι* B[1 vid] | *των λαων*] *λαων* sup ras ℵ[1] *του λαου* R[a] (*των λαων* R[b]) | om *μη* ℵ[c.a] R[a] | *αποκλεισθηναι*] *εκκλεισθηναι* ℵ[c.a] R[a]

διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα. B

32 [32]ἥξουσιν πρέσβεις ἐξ Αἰγύπτου,
Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ.

33 [33]αἱ βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ θεῷ, ψάλατε τῷ κυρίῳ.
διάψαλμα.

34 [34]ψάλατε τῷ θεῷ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ
κατὰ ἀνατολάς.
ἰδοὺ δώσει ἐν τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.

35 [35]δότε δόξαν τῷ θεῷ·
ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρεπία αὐτοῦ,
καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις.

36 [36]θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ὁσίοις αὐτοῦ·
ὁ θεὸς Ἰσραήλ, αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ
αὐτοῦ·
καὶ εὐλογητὸς ὁ θεός.

ΞΗ′

LXVIII (LXIX)

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων·
τῷ Δανείδ.

2 [2]Σῶσόν με, ὁ θεός, ὅτι εἰσῆλθοσαν ὕδατα ἕως ψυχῆς μου.

3 [3]ἐνεπάγην εἰς ὕλην βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις·
ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέν με.

4 [4]ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου,
ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐγγίζειν ἐπὶ τὸν θεόν μου.

5 [5]ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές
με δωρεάν·
ἐκραταιώθησαν οἱ ἐχθροί μου οἱ ἐκδιώκοντές με ἀδίκως·
ἃ οὐχ ἥρπασα τότε ἀπετίννυον.

6 [6]ὁ θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου,
καὶ αἱ πλημμελίαι μου ἀπὸ σοῦ οὐκ ἐκρύβησαν.

32 *θεω*] κω ℵ* (θω̄ ℵc.a) **33** *θεω*] κω ℵ* (θω̄ ℵc.a) | *κυριω*] θω̄ ℵ* (κω̄ ℵR ℵc.a) | om *διαψαλμα* Ra **34** om *ψαλατε τω θεω* ℵ | *θεω*] *κυριω* Ra | *κατα* Bℵc.a Ra] *κατ* ℵ* | om *ιδου* ℵ* (hab ℵc.a) | om *εν* ℵRa | *τη φωνη*] *την φωνην* Rb **35** *μεγαλοπρεπεια* Bab **36** *οσιοις*] *αγιοις* ℵRa | *Ισραηλ*] pr *του* ℵ* (om ℵc.a) | om *και* 2° ℵc.a Ra — Stich 84 B 80 ℵ (de R non liq) LXVIII **3** *ενεπαγη* Ra (*-γην* Rb) | *υλην*] *ιλυν* Bb (*ιλην* Cozzcomm) Ra | *βυθου*] *β* non inst Bb | *αποστασις* Ra (*υπ.* Rb) **4** *εβραγχιασεν* B*ℵ* (*εβραγχιασεν* Bbℵc.a R) | *εγγιζειν*] *ελπιζειν* Ba(mg)b(txt) ℵR + *με* R **5** *εκδιωκοντες*] *διωκοντες* ℵ **6** *πλημμελειαι* Bab | *εκρυβησαν*] *απεκρυβησαν* ℵc.a

Β
7 μὴ αἰσχυνθείησαν ἐπ᾽ ἐμοὶ οἱ ὑπομένοντές σε, Κύριε τῶν δυνά- 7
μεων·
μὴ ἐντραπείησαν ἐπ᾽ ἐμοὶ οἱ ζητοῦντές σε, ὁ θεὸς τοῦ Ἰσραήλ.
8 ὅτι ἕνεκα σοῦ ὑπήνεγκα ὀνειδισμόν, 8
ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου·
9 ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, 9
καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου·
10 ὅτι ὁ ζῆλος τοῦ οἴκου σου καταφάγεταί με, 10
καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσαν ἐπ᾽ ἐμέ.
11 καὶ συνέκαμψα ἐν νηστίᾳ τὴν ψυχήν μου, 11
καὶ ἐγενήθη εἰς ὀνειδισμὸν ἐμοί·
12 καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, 12
καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.
13 κατ᾽ ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλῃ, 13
καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες τὸν οἶνον.
14 ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σέ, Κύριε· 14
καιρὸς εὐδοκίας, ὁ θεός·
ἐν τῷ πλήθει τοῦ ἐλέους σου
ἐπάκουσον, ἐν ἀληθείᾳ τῆς σωτηρίας σου.
15 σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐνπαγῶ· 15
ῥυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τοῦ βάθους τῶν ὑδάτων.
16 μή με καταποντισάτω καταιγὶς ὕδατος, 16
μηδὲ καταπιέτω με βυθός,
μηδὲ συνσχέτω ἐπ᾽ ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.
17 εἰσάκουσόν μου, Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου· 17
κατὰ τὸ πλῆθος τῶν οἰκτειρμῶν σου ἐπίβλεψον ἐπ᾽ ἐμέ·
18 ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου. 18
19 πρόσχες τῇ ψυχῇ μου καὶ λύτρωσαι αὐτήν, 19
ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με.
20 σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου 20

ℵR **7** εμοι bis] εμε $B^{a\dagger b}$ R | Κυριε]+$\overline{\kappa\varepsilon}$ ℵR **10** ζολος R* (ζηλος R^{a}) | καταφαγεται] κατεφαγε B^{b} κατεφαγεν $ℵ^{c.a}$R **11** συνεκαμψα] συνεκαλυψα $ℵ^{c.a}$R | νηστεια B^{ab} | εγενηθη]+μοι R | ονιδισμους $ℵ^{c.a}$ | om εμοι R **12** εγενομην B$ℵ^{c.a}$R] εγενηθην ℵ* **13** πυλαις $ℵ^{c.a}$R | τον οινον] om τον $ℵ^{c.a}$ **14** επακουσον]+μου B^{ab}R | σωτηριας σου] σωτηρια εμου B^{edit} **15** εμπαγω B^{ab} | του βαθους] των βαθεων $ℵ^{c.a}R^{a}$ **16** συνσχετω (συσχ. B^{b}ℵ)] συνεχετω R **17** εισακουσον (οισακ. ℵ* εισακ. $ℵ^{1\,(vid)}$)] επακουσον R | εμε]+ϗ (om και ℵR) μη αποστρεψης το προσωπον σου απο του παιδος σου $B^{ab\,mg\,sup}$ℵR **18** ταχῡ ℵ* **20** om γαρ ℵ | μου] εμου ℵ* (μου $ℵ^{c.a}$)

καὶ τὴν αἰσχύνην μου καὶ τὴν ἐντροπήν μου· β
ἐναντίον σου πάντες οἱ θλίβοντές με.
21 [21]ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν·
καὶ ὑπέμεινα συνλυπούμενον, καὶ οὐχ ὑπῆρξεν,
καὶ παρακαλοῦντα, καὶ οὐχ εὗρον.
22 [22]καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν,
καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.
23 [23]γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα,
καὶ εἰς ἀνταπόδοσιν καὶ σκάνδαλον·
24 [24]σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν,
καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύνκαμψον·
25 [25]ἔκχεον ἐπ᾽ αὐτοὺς τὴν ὀργήν σου,
καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.
26 [26]γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη,
καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν·
27 [27]ὅτι ὃν σὺ ἐπάταξας αὐτοὶ κατεδίωξαν,
καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.
28 [28]πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν,
καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου·
29 [29]ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων,
καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.
30 [30]πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ,
καὶ ἡ σωτηρία τοῦ προσώπου σου ἀντελάβετό μου.
31 [31]αἰνέσω τὸ ὄνομα τοῦ θεοῦ μετ᾽ ᾠδῆς,
μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει,
32 [32]καὶ ἀρέσει τῷ θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ
ὁπλάς.
33 [33]ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν,
ἐκζητήσατε τὸν θεὸν καὶ ζήσεσθε.

20 εναντιον] ενωπιον R **21** ψυχη B𝔑c.a R] καρδια 𝔑* c.b | συλλυπουμενον Bb | και ουχ υπηρξεν...ουχ ευρον] και ουχ ευρον και παρακ. και ουχ υπηρχεν 𝔑* και ουχ υπηρχεν και παρακαλουντας (ita et R) και ουχ ευρον 𝔑c.a **23** πακιδα 𝔑 | σκανδαλον] pr εις 𝔑R **24** συγκαμψον Bb **25** ο θυμος της οργης σου καταλαβοι B𝔑c.a R] ο θ. σου λαβοι 𝔑* **26—32** om γενηθητω...οπλας R* (hab Ra mg vid) **27** om ον Ra **28** εισελθατωσαν Ra **30** om και 2ο 𝔑c.a | om του προσωπου 𝔑c.a Ra | αντελαβετο] pr ο θεος 𝔑Ra **31** του θεου]+μου 𝔑c.a Rb | μετ] μετα 𝔑 **32** om εκφεροντα 𝔑* (hab 𝔑c.a) **33** εκζητησατε] ζητησατε R | θεον] κυριον R | ζησεσθε Bab (-σθαι B*)] ζησεται η ψυχη ημων (υμων 𝔑c.a) 𝔑*R

B [34]ὅτι εἰσήκουσεν τῶν πενήτων ὁ κύριος, 34
καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.
[35]αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, 35
θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτοῖς.
[36]ὅτι ὁ θεὸς σώσει τὴν Σιών, 36
καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας,
καὶ κατοικήσουσιν ἐκεῖ καὶ κληρονομήσουσιν αὐτήν·
[37]καὶ τὸ σπέρμα τῶν δούλων αὐτοῦ καθέξουσιν αὐτήν, 37
καὶ οἱ ἀγαπῶντες τὸ ὄνομα αὐτοῦ κατασκηνώσουσιν ἐν αὐτῇ.

ΞΘ′

Εἰς τὸ τέλος· τῷ Δαυεὶδ εἰς ἀνάμνησιν, εἰς τὸ Σῶσαί με Κύριον. LXIX (LXX)

[2]Ὁ θεός, εἰς τὴν βοήθειάν μου πρόσχες· 2
[3]αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντές μου τὴν ψυχήν, 3
ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθείησαν οἱ βουλόμενοί μοι κακά·
[4]ἀποστραφείησαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι 4
Εὖγε εὖγε.
[5]ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζη- 5
τοῦντές σε,
καὶ λεγέτωσαν διὰ παντός Μεγαλυνθήτω ὁ θεός, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.
[6]ἐγὼ δὲ πτωχὸς καὶ πένης· ὁ θεός, βοήθησόν μοι· 6
βοηθός μου καὶ ῥύστης μου εἶ σύ· Κύριε, μὴ χρονίσῃς.

Ο′

Τῷ Δαυείδ, υἱῶν Ἰωναδὰβ καὶ τῶν πρώτων αἰχμαλωτισθέντων. LXX (LXXI)

[1]Ὁ θεός, ἐπὶ σοὶ ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. 1
[2]ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με, 2

NR **34** εξουδενωσει ℵ* (-σεν ℵ$^{c.a}$) R **35** ερποντα εν αυταις B ℵ$^{c.a}$ R] *περατα της γης* ℵ* **36** Σειων ℵ **37** *αυτου* 2°] *σου* ℵ — Stich 76 B 75 ℵ (64 R*) LXIX **1** om *εις το σωσαι με Κυριον* R **2** *προσχες*] + *κε εις το βοηθησαι μοι σπευσον* B$^{a?b?img\ inf}$ ℵ$^{c.a}$ R + *κε εις το β. μ. θελησον* ℵ* **3** *αισχυνθειησαν*] *αισχυνθητωσαν* NR | *εντραπειησαν*] *εντραπητωσαν* NR | *την ψυχην μου* ℵ$^{c.a}$ R | *βουλομενοι*] *λογιζομενοι* R **4** *αποστραφειησαν*] *αποστραφητωσαν* R **5** *και ευφρανθητωσαν* sup ras R^{b} | *σε*] + *κε* ℵ$^{c.a}$ R | *θεος*] *κυριος* R **6** *πτωχος*] + *ειμι* ℵ$^{c.a}$ | *πενης*] + *ειμι* R | *βοηθησον*] *βοηθει* R | *ρυστης*] *υπερασπιστης* R | *συ ει* R — Stich 9 B 10 NR LXX **1** *τω Δαυειδ*] + *ψαλμος* NR | *υιων*] pr *των* R | Ιωναδαβ] Αμιναδαμ R | om *ο θεος* NR | *ηλπισα*] + *κε* NR **2** om *και εξελου με* ℵ* (hab *ℵ εξ. με* ℵ$^{c.a}$)

κλῖνον πρὸς μὲ τὸ οὖς σου καὶ σῶσόν με. B
3 [3]γενοῦ μοι εἰς θεὸν ὑπερασπιστήν,
εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με·
ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ.
4 [4]ὁ θεός, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ,
ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος·
5 [5]ὅτι σὺ εἶ ἡ ὑπομονή μου, Κύριε·
Κύριος ἡ ἐλπίς μου ἐκ νεότητός μου.
6 [6]ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός,
ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής·
ἐν σοὶ ἡ ὕμνησίς μου διὰ παντός.
7 [7]ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς,
καὶ σὺ βοηθὸς κραταιός.
8 [8]πληρωθήτω τὸ στόμα μου αἰνέσεως,
ὅπως ὑμνήσω τὴν δόξαν σου,
ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρεπίαν σου.
9 [9]μὴ ἀπορίψῃς με εἰς καιρὸν γήρους,
ἐν τῷ ἐκλιπεῖν τὴν ἰσχύν μου μὴ ἐνκαταλίπῃς με.
10 [10]ὅτι εἶπαν οἱ ἐχθροί μου ἐμοί,
καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου
11 ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό, [11]λέγοντες Ὁ θεὸς ἐνκατέλιπεν αὐτόν·
καταδιώξατε καὶ καταλάβετε αὐτόν,
ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.
12 [12]ὁ θεός, μὴ μακρύνῃς ἀπ' ἐμοῦ,
13 [13]αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου,
περιβαλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι.
14 [14]ἐγὼ δὲ διὰ παντὸς ἐλπιῶ,

3 εις τοπον] pr και ℵR **4** ο θεος] + μου ℵR | εκ 2°] pr και R ℵR **6** επεστηριχθην] επερριφην R | απο γαστρος] εκ ματρος (sic) R | μητρος] pr της R | μου ει σκεπαστης BℵR[a]] ει ο υπερασπιστης μου R* | υμνησις] υπομνησις ℵ **7** βοηθος] + μου ℵ[c.a]R **8** αινεσεως] + Κυριε R | om οπως υμν. την δ. σου ℵ* (hab ℵ[c.a]) | την μεγαλοπρεπιαν (-πειαν B[ab]) B*ℵ[c.a]R] της μεγαλοπρεπιας ℵ* **9** απορριψης B[a?b]ℵ | γηρως ℵ* (γηρους ℵ[c.a]) | εκλιπειν ℵ (εκλιπιν B*)] εκλειπειν B[ab] | ισχυν] ψυχην ℵ | εγκαταλιπης B[a?b]ℵ **11** εγκατελιπεν B[a?b]ℵ | ρυομενος] + αυτον R **12** ο θεος] + μου B[ab]ℵ[c.a]R | εμου] + ο θς μου εις την βοηθειαν μου προσχες ℵR **13** εκλιπετωσαν (εκλειπ. B[ab])] εντραπετωσαν R | τα κακα] om τα R **14** ελπιω] επι σε ελπιω ℵ*R (ελπια) ελπιω επι σε ℵ[c.a]

B καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου.
15 τὸ στόμα μου ἐξαγγελεῖ τὴν δικαιοσύνην σου, 13
ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου,
ὅτι οὐκ ἔγνων πραγματίας.
16 εἰσελεύσομαι ἐν δυναστίᾳ Κυρίου· 16
Κύριε, μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου.
17 ἐδίδαξάς με, ὁ θεός, ἐκ νεότητός μου, 17
καὶ μέχρι νῦν ἀναγγελῶ τὰ θαυμάσιά σου,
18 καὶ ἕως γήρους καὶ πρεσβείου· ὁ θεός, μὴ ἐγκαταλίπῃς με 18
ἕως ἂν ἀπαγγείλω τὸν βραχίονά σου πάσῃ τῇ γενεᾷ τῇ
ἐρχομένῃ,
τὴν δυναστίαν σου 19 καὶ τὴν δικαιοσύνην σου, 19
ὁ θεός, ἕως ὑψίστων, ἃ ἐποίησας μεγαλεῖα.
ὁ θεός, τίς ὅμοιός σοι;
20 ὅτι ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακά, 20
καὶ ἐπιστρέψας ἐζωοποίησάς με,
καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με, 21 πλεο- 21
νάσας τὴν δικαιοσύνην σου.
καὶ ἐπιστρέψας παρεκάλεσάς με,
καὶ ἐκ τῶν ἀβύσσων πάλιν ἀνήγαγές με.
22 καὶ γὰρ ἐξομολογήσομαί σοι ἐν σκεύει ψαλμοῦ τὴν ἀλήθειάν 22
σου,
ψαλῶ σοι, ὁ θεός, ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ Ἰσραήλ.
23 ἀγαλλιάσονται τὰ χείλη μου ὅταν ψάλω σοι, 23
καὶ ἡ ψυχή μου ἣν ἐλυτρώσω.
24 ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαι- 24
οσύνην σου,
ὅταν αἰσχυνθῶσιν καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.

ℵR **15** εξαγγελει] αναγγελει ℵR | πραγματιας] γραμματιας B^{ab}ℵ (-τειας) **16** δυναστεια B^{ab}ℵ **17** εδιδαξας με ο θεος] ο θς̄ μου α εδιδ. με ℵ$^{c.a}$ | νυν] pr του ℵ$^{c.a}$ | αναγγελω] απαγγελω ℵ απαγγελλω R **18** γηρως B^{ab} | πρεσβιου B* (πρεσβειου B^{ab}ℵ) | ο θεος]+μου ℵ$^{c.a}$ | εγκαταλιπης $B^{a?b}$ ενκατελιπες R | om αν ℵ* (hab ℵ$^{c.a}$) R* ου R^{a} | απαγγειλω] απαγγελλω R* απαγγελω R^{a} | παση τη γενεα] τη γενεα παση ℵ$^{c.a}$ παση γενεα γενεα (sic) R | ερχομενη] επερχομενη R | δυναστειαν B^{ab} **19** εποιησας]+μοι ℵ$^{c.a}$ | μεγαλεια] τα θαυμασια σου R **20** οτι] οσας ℵ$^{c.a}$ | κακα] κακας R **21** πλεονασας] επλεονασας ℵR+επ εμε R | δικαιοσυνην] μεγαλωσυνην R | om και εκ των αβ. π. ανηγαγες με ℵ | αβυσσων]+της γης ℵR **22** και γαρ]+εγω B^{ab}ℵR | om εν σκευει ψαλμου ℵ | σκευει] σκευεσιν R | ο θς̄ ψαλω σοι ℵ | αγιος Ισραηλ R* (ο αγ. του Ισρ. R^{a}) — Stich 53 B 51 ℵ 52 R

ΟΑ′ B

LXXI (LXXII)

Εἰς Σαλομών.

1 Ὁ θεός, τὸ κρίμα σου τῷ βασιλεῖ δός,
καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως,
2 κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ καὶ τοὺς πτωχούς σου
ἐν κρίσει.
3 ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ σου καὶ οἱ βουνοί.
4 ἐν δικαιοσύνῃ κρινεῖ τοὺς πτωχοὺς §τοῦ λαοῦ· § T
καὶ σώσεις τοὺς υἱοὺς τῶν πενήτων,
καὶ ταπεινώσει συκοφάντην·
5 καὶ συνπαραμενεῖ τῷ ἡλίῳ,
καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν.
6 καὶ καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον,
καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν.
7 ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη,
καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.
8 καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης,
καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης.
9 ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες,
καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λίξουσιν·
10 βασιλεῖς Θαρσεὶς καὶ αἱ νῆσοι δῶρα προσοίσουσιν,
βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσάξουσιν·
11 καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς,
πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.
12 ὅτι ἐρύσατο πτωχὸν ἐκ χειρὸς δυνάστου,
καὶ πένητα ᾧ οὐχ ὑπῆρχεν βοηθός·
13 φείσεται πτωχοῦ καὶ πένητος,
καὶ ψυχὰς πενήτων σώσει·
14 ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν,
καὶ ἔντιμον τὸ ὄνομα αὐτῶν ἐνώπιον αὐτοῦ.

LXXI **1** Σαλωμων B^{ab}ℵ Σαλομωνα R + ψαλμος R | τω 2°] ω R | υιω του ℵRT βασιλεως sup ras $B^{1?a?}$ **2** λαον] λεων R **3** αναλαβετωσαν $ℵ^{c.a}$R | om σου ℵ **4** εν δικαιοσυνη] om εν R* δικαιοσυνην $ℵ^{c.a}R^{a}$ | σωσει B^{ab}ℵRT **5** συμπαραμενει $B^{a?b}$R **6** om και 1° $ℵ^{c.a}$T | ως] ωσει ℵRT | της γης T **7** ου] του ℵ* (ου $ℵ^{1\,c.a}$) **8** κατακυριευση T **10** αι νησοι] om αι RT | προσοισουσιν] προσαξουσιν ℵ* (προσοισ. $ℵ^{c.a}$) προσοισωσιν T | προσαξωσιν T **11** προσκυνησωσιν T | αυτω 1°] αυτον R | βασιλεις] + της γης ℵRT | δουλευσωσιν T **12** ερρυσατο B^{ab}ℵR | om εκ χειρος $ℵ^{c.a}$ om χειρος T **14** λυτρωσηται T | αυτων 2°] αυτου RT | αυτου] αυτων ℵRT

B [15]καὶ ζήσεται καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας, 15
καὶ προσεύξονται περὶ αὐτοῦ διὰ παντός,
ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν.
[16]ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ᾽ ἄκρων τῶν ὀρέων· 16
ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ,
καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.
[17]ἔστω τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας, 17
πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ·
καὶ εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς,
πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.

[18]εὐλογητὸς Κύριος ὁ θεὸς Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος, 18
[19]καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα καὶ 19
εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·
καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ.
γένοιτο, γένοιτο.

[20]Ἐξέλιπον οἱ ὕμνοι Δαυεὶδ τοῦ υἱοῦ Ἰεσσαί. 20

ℵRT **15** ευλογησωσιν T **16** αυτου] αυτων T | εξανθησωσιν T **17** εστω] εσται T | αυτου 1° Bℵᵃᶜᵇ RT] του κυ ℵᶜᵃ | ευλογηθησονται] ενευλογ. ℵᶜᵃ RT **18** Ισραηλ] pr του R **19** ευλογητον] ευλογημενον ℵᶜᵃ | om εις τον αιωνα (1°)...της δοξης αυτου ℵ* (hab ℵᶜᵃ) | πασα η γη BℵᶜᵃRT] εν παση τη γη ℵ* **20** εξελειπον T | του υιου] om του T — Stich 41 B 40 ℵ 42 R

III

ΟΒ′ B

LXXII LXXIII)

Ψαλμὸς τῷ Ἀσάφ.

1 Ὡς ἀγαθὸς τῷ Ἰσραὴλ ὁ θεός, τοῖς εὐθέσι τῇ καρδίᾳ.

2 [2]ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες,
παρ᾽ ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου.

3 [3]ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν·

4 [4]ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν,
καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν·

5 [5]ἐν κόποις ἀνθρώπων οὐκ εἰσίν,
καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.

6 [6]διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία,
περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν αὐτῶν.

7 [7]ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν,
διῆλθον εἰς διάθεσιν καρδίας·

8 [8]διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ,
ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν·

9 [9]ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν,
καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.

10 [10]διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα,
καὶ ἡμέραι πλήρεις εὑρεθήσονται αὐτοῖς,

11 [11]καὶ εἶπαν Πῶς ἔγνω ὁ θεός;
καὶ εἰ ἔστιν γνῶσις ἐν τῷ ὑψίστῳ;

12 [12]ἰδοὺ ἁμαρτωλοὶ καὶ εὐθηνοῦνται·
εἰς τὸν αἰῶνα κατέσχον πλούτου.

13 [13]καὶ εἶπα Ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου,
καὶ ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου,

14 [14]καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν,
καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωίας.

LXXII **1** τω Ισρ. ο θεος] ο θς̄ τω Ισρ. ℵ$^{c.a}$ ο θεος του Ισρ. RT | ευθεσι ℵRT BℵRT **4** om εν 1° ℵ* (hab ℵ$^{c.a}$) R **6** υπερηφανια]+ εις τελος ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) R^{a}T | ασεβειαν και αδικιαν ℵ* (αδ. και ασ. ℵ$^{c.a}$) | ασεβιαν T | αυτων] εαυτων T **7** ως] ωσει ℵ* (ως ℵ$^{c.a}$) | διηλθοσαν RT **8** ελαλησαν] σ non inst B^{b} | εν πονηρια] πονηρα T **10** δια το B* (δ. τουτο B$^{ab\,(vid)}$) | ημεραι] pr αι ℵ$^{c.a}$T | αυτοις] pr εν ℵRT **11** ειπον T | ει εστιν] εισιν R **12** αμαρτωλοι] pr ουτοι B$^{ab\,mg}$ℵRT | ευθηνουνταις ℵ$^{c.a}$ ευθηνουντες RT **13** ειπα] ειπον T

B [15]εἰ ἔλεγον Διηγήσομαι οὕτως, 15
ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκα.
[16]καὶ ὑπέλαβον τοῦ γνῶναι· 16
τοῦτο κόπος ἐναντίον μου,
[17]ἕως εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ θεοῦ, 17
καὶ συνῶ εἰς τὰ ἔσχατα.
[18]πλὴν διὰ τὰς δολιότητας ἔθου αὐτοῖς. 18
[19]πῶς ἐγένοντο εἰς ἐρήμωσιν; 19
ἐξάπινα ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν.
[20]ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου, 20
Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.
[21]ὅτι ἠψφράνθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν· 21
[22]καὶ ἐγὼ ἐξουδενωμένος καὶ οὐκ ἔγνων, 22
κτηνώδης ἐγενόμην παρὰ σοί.
[23]καὶ ἐγὼ διὰ παντὸς μετὰ σοῦ· 23
ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου,
[24]ἐν τῇ βουλῇ σου ὡδήγησάς με, 24
καὶ μετὰ δόξης προσελάβου με.
[25]τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ; 25
καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;
[26]ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου, ὁ θεὸς τῆς καρδίας μου, 26
καὶ ἡ μερίς μου ὁ θεὸς εἰς τὸν αἰῶνα.
[27]ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται· 27
ἐξωλέθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.
[28]ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ κυρίῳ ἀγαθόν ἐστιν, 28
τίθεσθαι ἐν τῷ κυρίῳ τὴν ἐλπίδα μου,
τοῦ ἐξαγγεῖλαι πάσας τὰς αἰνέσεις σου
ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.

ℵRT **15** της γενεα R* (της γενεας Ra) | ησυνθετηκα Bℵ*c.b] ησυνθετηκας ℵc.a R* vid (ras penitus Ra) ησυντεθικας T **16** τουτο...μου bis scr R | κοπος] + εστιν Bab mg ℵc.a RT | εναντιον] ενωπιον ℵc.a RT | μου] εμου ℵc.a **17** εως] + ου ℵc.a RT | om και R | εσχατα] + αυτων ℵc.a R (εις τα εσχ. αυτ. bis scr R* [om 1o vid Ra]) T **18** δολιοτητας] + αυτων ℵc.a RT | αυτοις] + κακα ℵc.a (ras ℵc.b) T + κατεβαλες αυτους εν τω επαρθηναι Bab mg ℵR + κατεβαλας αυτ. εν τω επ. T **19** distinx post εξαπινα ℵc.a T | εξελειπον T **20** εξεγιρομενων T | εικονα ℵ* (-να ℵc.a) | εξουδενωσης T **21** ηυφρανθη] εξεκανθη ℵc.a RT **22** εγενομην] εγενηθην ℵT **24** εν] pr ȳ ℵc.a T | δοξας R | προελαβου R* (προσελ. Ra) **25** υπαρχει] εστιν R **26** εξελειπεν T **27** om εαυτους R | εξολεθρευσας T | πορνευοντα] εκπορν. R **28** το προσκολλασθαι] του προσκολλας (sic) R | τω κυριω 1o] τω θω̄ ℵT τω θεω| τω θεω R* (om τω θ. 1o Ra) | Σειων T — Stich 55 Bℵ 54 R 56 T

ΟΓ′ B

LXXIII (LXXIV)

Συνέσεως τῷ Ἀσάφ.

1 Ἵνα τί ἀπώσω, ὁ θεός, εἰς τέλος;
ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;
2 μνήσθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς·
ἐλυτρώσω ῥάβδον κληρονομίας σου,
ὄρος Σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ.
3 ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος,
ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τοῖς ἁγίοις σου.
4 καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου,
5 ὡς εἰς τὴν εἴσοδον ὑπεράνω·
6 ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς·
ἐπὶ τὸ αὐτὸ ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν.
7 ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου·
εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.
8 εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν ἡ συγγενία αὐτῶν ἐπὶ τὸ αὐτό
Δεῦτε καὶ καταπαύσωμεν τὰς ἑορτὰς Κυρίου ἀπὸ τῆς γῆς.
9 τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν,
οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.
10 ἕως πότε, ὁ θεός, ὀνειδιεῖ ὁ ἐχθρός;
παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος;
11 ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου
καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;
12 ὁ δὲ βασιλεὺς ἡμῶν πρὸ αἰῶνος,
εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.
13 σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν,
σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος·

LXXIII **1** απωσω ο θεος] ο θς̄ απωσω ℵ$^{c.a}$T απωσω ημας ο θεος R ℵRT **2** Σειων T **3** οσα B*ℵ$^{c.a}$RT] οσας B^{ab}ℵ* | τοις αγιοις] τω αγιω ℵ$^{c.a}$T **4** εορτης] οργης ℵ* (εορτ. ℵ$^{c.a}$) | σου] + εθεντο τα σημεια αυτων σημεια και ουκ εγνωσαν B$^{ab\ mg\ inf}$ℵRT **5** εισοδον] οδον ℵ* εξοδον ℵ$^{c.a}$R^{a}T | εξεκοψαν] διεκοψαν ℵ* (εξεκ. ℵ$^{c.a}$) **6** πελυκι T **7** om ενεπυρισαν...σου (1°) R **8** ειπον T | η συγγενια (-νεια B^{ab})] αι συγγενειαι ℵ$^{c.a}$T (-νιαι) | om και B^{ab}ℵ* (hab ℵ$^{c.a}$) R | τας εορτας] pr πασας ℵ$^{c.a}$RT | Κυριου] του θῦ ℵRT **9** ημων] αυτων T | ειδομεν] ειδαμεν (?ιδ.) R ιδομεν T | ουκ εστιν] pr και R **10** om ο θεος ℵ* (hab superscr ℵ^{1}) **11** χειραν R | om και την δεξιαν σου ℵ* (hab ℵ$^{c.a}$) **12** βασιλευς] pr θεος B^{ab}ℵRT **13** δυναμει] δυναστεια ℵ* (δυναμ. ℵ$^{c.a}$)

B [14]ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψιν. 14
[15]σὺ διέρρηξας πηγὰς καὶ χειμάρρους, 15
[16]σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ· 16
σὺ κατηρτίσω ἥλιον καὶ σελήνην.
[17]σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς· 17
θέρος καὶ ἔαρ σὺ ἐποίησας· [18]μνήσθητι ταύτης τῆς κτίσεώς 18
σου.
ἐχθρὸς ὠνείδισεν τὸν κύριον,
καὶ λαὸς ἄφρων παρώξυνεν τὸ ὄνομα αὐτοῦ.
[19]μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι, 19
τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος.
[20]ἐπίβλεψον εἰς τὴν διαθήκην σου, 20
ὅτι ἐπληρώθησαν οἱ ἐσκοτωμένοι τῆς γῆς οἴκων ἀνομιῶν.
[21]μὴ ἀποστραφήτω τεταπεινωμένος καὶ κατῃσχυμμένος· 21
πτωχὸς καὶ πένης αἰνέσουσιν τὸ ὄνομά σου.
[22]ἀνάστα, ὁ θεός, δίκασον τὴν δίκην σου· 22
μνήσθητι τῶν ὀνειδισμῶν σου τῶν ὑπὸ ἄφρονος ὅλην τὴν
ἡμέραν.
[23]μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ἱκετῶν σου, 23
ἡ ὑπερηφανία τῶν μισούντων σε ἀναβαίη διὰ παντὸς πρὸς
σέ.

ΟΔ′

Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· ψαλμὸς τῷ LXXIV (LXXV)
Ἀσὰφ ᾠδῆς.

[2]Ἐξομολογησόμεθά σοι, ὁ θεός, 2
ἐξομολογησόμεθα καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου·
διηγήσομαι πάντα τὰ θαυμάσιά σου, [3]ὅταν λάβω καιρόν· 3

ℵRT **14** εδωκας] pr συ συνετριψας τας κεφαλας του δρακοντος $B^{ab\,mg\,inf}$ pr συ συνεθλασας την κεφαλην του δρακ. ℵT pr συ συνεθλ. τας κεφαλας του δρακοντος του μεγαλου R **15** χειμαρρους] + συ εξηρανας ποταμους Hθαμ RT **16** η ημερα] om η R | η νυξ om η R | κατηρτισω] εποιησας R | ηλιον και σεληνην] φαυσιν κ. ηλιον $ℵ^{c.a}$T **17** εποιησας 2°] επλασας $ℵ^{c.a}$T + αυτα ℵT **18** om της κτισεως σου ℵT | εχθρος] pr ο R | τον κυριον] τω κυριω R | αυτου] σου ℵRT **19** om σου ℵ* (hab $ℵ^{c.a}$) **20** εσκοτισμενοι B^{ab}ℵRT **21** om και 1° RT **22** των ονειδισμων σου των] του ονιδισμου σου του $ℵ^{c.a}$ | ολην την ημεραν] των ικετων σου R* (ολ. την ημ. R^{a}) **23** μη επιλαθη της φωνης] η υπερηφανια R* (μη επιλαθης τ. φ. R^{a}) | επιλαθη B^{ab} (επιλαθε B*) | αναβαιη] ανεβη $ℵ^{c.a}$RT | om προς σε $ℵ^{c.a}$T — Stich 45 BT 44 ℵ 49 R LXXIV **1** ψ. τω Ασαφ ωδης] τω Α. ψ. R **2** εξομολογησωμεθα T bis | εξομολογ. 2°] + σοι ℵRT | επικασομεθα B* (επικαλεσ. B^{ab}) επικαλεσωμεθα T | διηγησωμαι T | om παντα ℵ* c.b (hab $ℵ^{c.a}$)

ἐγὼ εὐθύτητας κρινῶ. B
4 ⁴ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες αὐτήν,
ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς. διάψαλμα.
5 ⁵εἶπα τοῖς παρανομοῦσιν μὴ παρανομεῖν,
καὶ τοῖς ἁμαρτάνουσιν Μὴ ὑψοῦτε κέρας·
6 ⁶μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν,
μὴ λαλεῖτε κατὰ τοῦ θεοῦ ἀδικίαν·
7 ⁷ὅτι οὔτε ἀπὸ ἐξόδων οὔτε ἀπὸ δυσμῶν
8 οὔτε ἀπὸ ἐρήμων, ⁸ὅτι ὁ θεὸς κριτής ἐστιν·
τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ.
9 ⁹ὅτι ποτήριον ἐν χειρὶ Κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος,
καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο· πλὴν ὁ τρυγίας αὐτοῦ
οὐκ ἐξεκενώθη,
καὶ πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.
10 ¹⁰ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα,
ψαλῶ τῷ θεῷ Ἰακώβ·
11 ¹¹καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνκλάσω,
καὶ ὑψωθήσεται τὰ κέρατα τοῦ δικαίου.

ΟΕ′

LXXV LXXVI)

Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς τῷ Ἀσάφ,
ᾠδὴ, πρὸς τὸν Ἀσσύριον.

2 ²Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ θεός,
ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.
3 ³καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ,
καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών·
4 ⁴ἐκεῖ συνέτριψεν τὰ κράτη τῶν τόξων,
ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον·
ἐκεῖ συνκλάσει τὰ κέρατα. διάψαλμα.

3 ευθυτητα R **4** κατοικουντες] + σοι κατοικουντες R^a | αυτην] + εν ℵRT αυτη ℵRT | στερεωσα R | στυλ||λους T | om διαψαλμα RT **5** ειπα] ειπον T | παρανομουσι ℵ | παρανομειν] παρανομειτε $ℵ^{c.a}$ (-ται) RT **6** μη 2°] pr ϗ $ℵ^{c.a}$T και μηδε R | κατα του θεου] om θεου B^* (superscr B^{ab}) **7** απο 1°] εξ $ℵ^{c.a}$T | ερημων] + ορεων ℵRT **9** πληρες] πληρης $ℵ^{c.a}$ (mox ipse restit -ρες) | εκκλινεν R | om και 2° B^{ab}ℵRT **10** αγαλλιασομαι (-σωμαι T)] + κω ℵ* (om $ℵ^{c.a}$) **11** συνκλασω] συνθλασω B^{ab}RT | τα κερατα 2°] το κερας $ℵ^{c.a}$RT — Stich 20 Bℵ 21 R 24 T LXXV **1** του Ασαφ R | om ωδη ℵ ωδης T | om προς τον Ασσυριον ℵT **2** εν τω Ισρ.] om εν τω R **3** Σειων T **4** om εκει συνκλασει τα κερατα B^{ab}ℵRT | om διαψαλμα T

B
5 φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων. 5
6 ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ· 6
ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδὲν
πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν.
7 ἀπὸ ἐπιτιμήσεώς σου, ὁ θεὸς Ἰακώβ, 7
ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοὺς ἵππους.
8 σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι 8
ἀπὸ τῆς ὀργῆς σου;
9 ἐκ τοῦ οὐρανοῦ ἠκόντισας κρίσιν, 9
γῆ ἐφοβήθη καὶ ἡσύχασεν, 10 ἐν τῷ ἀναστῆναι εἰς κρίσιν 10
τὸν θεόν,
τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆ καρδίᾳ. διάψαλμα.
11 ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, 11
καὶ ἐνκατάλιμμα ἐνθυμίου ἑορτάσει σοι.
12 εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ θεῷ ἡμῶν· 12
πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσιν δῶρα
13 τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, 13
φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

OF′

Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθούμ· τῷ Ἀσὰφ ψαλμός. LXXVI (LXXVII

2 Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, 2
καὶ ἡ φωνή μου πρὸς τὸν θεόν, καὶ προσέσχεν μοι.
3 ἐν ἡμέρᾳ θλίψεώς μου τὸν θεὸν ἐξεζήτησα, 3
ταῖς χερσίν μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην·
ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου.
4 ἐμνήσθην τοῦ θεοῦ καὶ εὐφράνθην· 4
ἠδολέσχησα καὶ ὠλιγοψύχησεν τὸ πνεῦμά μου. διάψαλμα.

ℵRT **5** φωτισει R | απο] απ R **6** ταις χερσιν] pr εν R **7** οι επιβεβηκοτες] pr παντες R | τους ιππους] τοις ιπποις ℵ$^{c.a}$T **8** απο] pr τοτε R+τοτε B$^{a?b}$ℵT | της οργης σου] η οργη σου B$^{a?b}$ℵ η ορ[γη]T **9** ηκοντισας] ηκουτισας B$^{b txt}$ (-σαν B$^{b comm}$) ℵRT **10** τη καρδια] της γης B$^{ab mg}$ℵ$^{c.a}$RT | om διαψαλμα T **11** om οτι ενθυμιον...σοι (1°) R | ενκαταλειμμα B^{ab} (εγκ. B$^{1?}$) | εορταση T **12** τω κω̄ θω̄ ℵ* (κω̄ τω θω̄ ℵ$^{c.a}$) | οισωσιν T **13** βασιλευσιν T — Stich 24 B 22 ℵ 20 R 23 T
LXXVI **1** Ιδιθουν ℵ | ψαλμος τω Ασαφ T **2** και η φωνη] om και η B^{b} (inst prius) ℵT | θεον]+μου R **3** ταις χερσιν] pr εν R | απηνηνατο] επηνηνατο R* (απ. R^{a}) απενηνατο T **4** ηυφρανθην T | ολιγοψυχησεν T | om διαψαλμα T

5 [5]προκατελάβοντο φυλακὰς οἱ ἐχθροί μου· Β
ἐταράχθην καὶ οὐκ ἐλάλησα.
6 [6]διελογισάμην ἡμέρας ἀρχαίας,
7 καὶ ἔτη αἰώνια [7]ἐμνήσθην καὶ ἐμελέτησα·
νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἔσκαλεν τὸ
πνεῦμά μου.
8 [8]μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος,
καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι;
9 [9]ἢ εἰς τέλος ἀποκόψει τὸ ἔλεος ἀπὸ γενεᾶς καὶ γενεᾶς;
10 [10]ἢ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ θεός,
ἢ συνέξει τοὺς οἰκτειρμοὺς αὐτοῦ ἐν τῇ ὀργῇ αὐτοῦ;
διάψαλμα.
11 [11]καὶ εἶπα Νῦν ἠρξάμην,
αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου.
12 [12]ἐμνήσθην τῶν ἔργων Κυρίου,
ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου,
13 [13]καὶ μελετήσω ἐν πᾶσιν τοῖς ἔργοις σου,
καὶ ἐν τοῖς ἐπιτηδεύμασίν σου ἀδολεσχήσω.
14 [14]ὁ θεός, ἐν τῇ ἁγίῳ ἡ ὁδός σου·
τίς θεὸς μέγας ὡς ὁ θεὸς ἡμῶν;
15 [15]σὺ εἶ ὁ θεὸς ἡμῶν ὁ ποιῶν θαυμάσια,
ἐγνώρισας ἐν τοῖς λαοῖς σου τὴν δύναμίν σου·
16 [16]ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου,
τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ. διάψαλμα.
17 [17]εἴδοσάν σε ὕδατα, ὁ θεός,
εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν,
18 καὶ ἐταράχθησαν ἄβυσσοι· [18]πλῆθος ἤχους ὕδατος·
φωνὴν ἔδωκαν αἱ νεφέλαι, καὶ γὰρ τὰ βέλη σου διαπορεύονται·

5 οι εχθροι] pr παντες $B^{ab\,mg}$ ℵ¹ (ο παντες ℵ* om ℵ$^{c.a}$) οι οφθαλμοι ℵRT RT | μου] αυτου T **7** εσκαλεν $B^{*\,vid}$ (εσκαλε $B^{b\,vid}$) εσκαλον $B^{a\,vid}$ εσκαλαν $B^{?\,vid}$ εσκαλλον ℵ* R^{a} (σκαλλουν $R^{*\,vid}$) εσκαλλεν ℵ$^{c.a}$T **8** μη] pr και ειπα R | απωσηται T | Κυριος] ο θεος RT **9** om αποκοψει ℵRT | ελεος] + αυτου ℵ* + αυτου αποκοψει ℵ$^{c.a}$RT (-ψη) | απο] pr συντελεσει ρημα ℵ$^{c.a}$ pr συνετελεσεν ρ. T | και γενεας] εις γενεαν RT **10** η 1°] μη RT | η 2°] μη ℵ$^{c.a}$ | συνεξη T | εν τη οργη αυτ. τους οικτειρμους (οικτιρμ. T) αυτου ℵ$^{c.a}$RT | om διαψαλμα T **11** ειπα] ειπον T **12** απο της αρχης] απ αρχ. RT **13** πασι ℵ **14** τη αγιω] τω αγ. B^{b}ℵRT | τις] pr ο R* (om R^{a}) | om θεος 2° ℵ* (hab ℵ$^{c.a}$) **15** om ημων B^{ab}ℵRT | θαυμασια] + μονος ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) R | om σου 1° ℵRT **16** Ιακωβ] Ισραηλ R | om διαψαλμα RT **17** ιδοσαν T bis | om και 2°· T | αβυσσοι] pr αι ℵ$^{c.a}$ **18** υδατος] υδατων ℵ$^{c.a}$R

B [19]φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ, 19
ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.
[20]ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, 20
καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς,
καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.
[21]ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου ἐν χειρὶ Μωυσῆ καὶ 21
Ἀαρών.

OZ′

Συνέσεως τῷ Ἀσάφ. LXXVII (LXXVIII)

Προσέχετε λαός μου τὸν νόμον μου, 1
κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου.
[2]ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, 2
φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς,
[3]ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά, 3
καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν·
[4]οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν, 4
ἀπαγγέλλοντες τὰς αἰνέσεις Κυρίου
καὶ τὰς δυναστίας αὐτοῦ,
καὶ τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησεν.
[5]καὶ ἀνέστησεν μαρτύριον ἐν Ἰακώβ, 5
καὶ νόμον ἔθετο ἐν Ἰσραήλ,
ὃν ἐνετείλατο τοῖς πατράσιν ἡμῶν
γνωρίσαι αὐτὸν τοῖς υἱοῖς αὐτῶν,
[6]ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, 6
υἱοὶ οἱ τεχθησόμενοι,
καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν·
[7]ἵνα θῶνται ἐπὶ τὸν θεὸν τὴν ἐλπίδα αὐτῶν, 7
καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ θεοῦ,
καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσουσιν·

ℵRT **19** *τροχω*] + *εφαναν αι αστραπαι σου τη οικουμενη* $B^{ab\,mg\,inf}$ℵRT **20** *υδασιν* R | *γνωσθησεται* ℵ — Stich 40 Bℵ 42 R 44 T LXXVII **2** *παραβολη* ℵ* (-*λαις* $ℵ^{c.a}$) | *φθεγξωμαι* T **4** om *εις* R* (hab R^{a}) | *Κυριου*] pr *του* RT | *δυναστειας* B^{ab}ℵ | *εποιησαν* ℵ* (-*σεν* $ℵ^{1}$) **5** *ον*] *οσα* $ℵ^{c.a}$T | *ενετειλατο* (*ενετειλα* B* -*λατο* B^{ab})] *εθετο* ℵ* (*ενετιλ.* $ℵ^{c.a}$) | *γνωρισαι*] pr *του* ℵRT | *αυτον*] *αυτα* $ℵ^{c.a}$RT **6** *οι τεχθησομενοι*] om *οι* RT | *απαγγελουσιν*] *αναγγελ.* ℵR | om *αυτα* ℵ* (hab $ℵ^{c.a}$) **7** *θεον*] *θν* (sic) ℵ | *μη*] pr *ου* R | *εκζητησωσιν* T

8 [8]ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν B
γενεὰ σκολιὰ καὶ παραπικραίνουσα,
γενεὰ ἥτις οὐ κατηύθυνεν ἐν τῇ καρδίᾳ αὐτῆς,
καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ θεοῦ τὸ πνεῦμα αὐτῆς.
9 [9]υἱοὶ Ἐφράιμ ἐντείνοντες καὶ βάλλοντες τόξον ,
ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου·
10 [10]οὐκ ἐφυλάξαντο τὴν διαθήκην τοῦ θεοῦ,
καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἤθελον πορεύεσθαι.
11 [11]καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ
καὶ τῶν θαυμασίων αὐτοῦ ὧν ἔδειξεν αὐτοῖς,
12 [12]ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησεν θαυμάσια,
ἐν γῇ Αἰγύπτῳ ἐν πεδίῳ Τάνεως.
13 [13]διέρρηξεν θάλασσαν καὶ διήγαγεν αὐτούς,
ἔστησεν ὕδατα ὡσεὶ ἀσκόν·
14 [14]καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας,
καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός·
15 [15]διέρρηξεν πέτραν ἐν ἐρήμῳ,
καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ·
16 [16]καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας,
καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα.
17 [17]καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ·
παρεπίκραναν τὸν ὕψιστον ἐν ἀνύδρῳ,
18 [18]καὶ ἐξεπείρασαν τὸν θεὸν ἐν ταῖς καρδίαις αὐτῶν,
τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν.
19 [19]καὶ κατελάλησαν τοῦ θεοῦ
καὶ εἶπαν Μὴ δυνήσεται ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν
ἐρήμῳ;
20 [20]ἐπεὶ ἐπάταξεν πέτραν, καὶ ἐρρύησαν ὕδατα,
καὶ χείμαρροι κατεκλύσθησαν·
μὴ καὶ ἄρτον δυνήσεται δοῦναι;
ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ;

8 ενωνται ℵ* (γεν. ℵ[1]) | κατευθυνεν ℵ | εν τη καρδια] την καρδιαν ℵ[c.a] RT | ℵRT **αυτης** I[o] εαυτης ℵ[c.a] **9** Εφρεμ (? R) T | τοξον] τοξοις B[ab]ℵRT **10** εφυλαξαν B[ab]ℵRT | ηθελον] ηβουληθησαν ℵ[c.a] εβουλ. T **11** επελαθεντο B* (επελαθοντο B[b]) **12** α] οσα R | Αιγυπτου RT **13** εστησεν] παρεστησεν ℵ[c.a]T | ωσει] ως εις R **14** πυρος] φωτος ℵ* (πυρος ℵ[c.a]) **15** διερηξεν T | ερημω] pr τη ℵ **16** ως] ωσει ℵ* (ως ℵ[c.a]) **17** παρεπικραναν] παρεπικρανεν R* (-ναν R[a]) pr και R **18** εξεπειρασαν] επειρασαν R **19** ειπον T **20** ερυησαν T | δυνησεται] δυναται ℵR[vid]T

B [21] διὰ τοῦτο ἤκουσεν Κύριος καὶ ἀνεβάλετο, 21
καὶ πῦρ ἀνήφθη ἐν Ἰακώβ,
καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ·
[22] ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ θεῷ, 22
οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ.
[23] καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, 23
καὶ θύρας οὐρανοῦ ἠνέῳξεν·
[24] καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν, 24
καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς·
[25] ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, 25
ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.
[26] καὶ ἐπῆρεν νότον ἐξ οὐρανοῦ, 26
καὶ ἐπήγαγεν ἐν τῇ δυναστίᾳ αὐτοῦ λίβα,
[27] καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας, 27
καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά·
[28] καὶ ἐπέπεσον εἰς μέσον τῆς παρεμβολῆς αὐτῶν, 28
κύκλῳ τῶν σκηνωμάτων αὐτῶν.
[29] καὶ ἐφάγοσαν καὶ ἐνεπλήσθησαν σφόδρα, 29
καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς.
[30] οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν· 30
ἔτι τῆς βρώσεως αὐτῶν οὔσης ἐν τῷ στόματι αὐτῶν,
[31] καὶ ὀργὴ τοῦ θεοῦ ἀνέβη ἐπ' αὐτοὺς 31
καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν,
καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν.
[32] ἐν πᾶσιν τούτοις ἥμαρτον ἔτι, 32
καὶ οὐκ ἐπίστευσαν τοῖς θαυμασίοις αὐτοῦ·
[33] καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν, 33
καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς.
[34] ὅταν ἀπέκτεννεν αὐτοὺς ἐζήτουν αὐτόν, 34
καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν θεόν·
[35] καὶ ἐμνήσθησαν ὅτι ὁ θεὸς βοηθὸς αὐτῶν ἐστιν, 35
καὶ ὁ θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστιν.

ℵRT **22** om εν τω θεω ουδε ηλπισαν R **23** ανεωξεν B^{ab}ℵRT **24** om και 2° R **26** om και 1° ℵRT | επηρεν] απηρεν B^{ab}ℵRT | om εν R* (hab R^{a}) | δυναστια (-τεια B^{ab})] δυναμει T **27** χουν] χνουν ℵT **28** επεπεσον Bℵ$^{c.a}$R] επεσον ℵ* επεπεσεν T **29** εφαγοσαν] εφαγον ℵRT | ηνεγκεν] εδωκεν ℵ* (ην. ℵ$^{c.a}$) **30** om αυτων 2° ℵ$^{c.a}$T **32** πασι ℵ* (πασιν ℵ$^{c.a}$) RT | τοις θαυμ.] pr εν ℵRT **33** εξελειπον T **34** απεκτενεν $B^{?vid}$ | εζητουν] εξεζητουν ℵRT pr τοτε ℵT **35** om ο θεος (2°) ℵ* (hab ℵ$^{c.a}$)

36 [36]καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν, B
καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ·
37 [37]ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ,
οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ.
38 [38]αὐτὸς δέ ἐστιν οἰκτίρμων
καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν,
καὶ οὐ διαφθερεῖ·
καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ,
καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ.
39 [39]καὶ ἐμνήσθη ὅτι σάρξ εἰσιν,
πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.
40 [40]ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ,
παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ;
41 [41]καὶ ἐπέστρεψαν καὶ ἐπείρασαν τὸν θεόν,
καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ παρῴξυναν.
42 [42]οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ,
ἡμέρας ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος·
43 [43]ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ,
καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως·
44 [44]καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν,
καὶ τὰ ὀμβρήματα αὐτῶν ὅπως μὴ πίωσιν·
45 [45]ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν καὶ κατέφαγεν αὐτούς,
καὶ βάτραχον καὶ διέφθειρεν αὐτούς·
46 [46]καὶ ἔδωκεν τῇ ἐρυσίβῃ τὸν καρπὸν αὐτῶν,
καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι·
47 [47]ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν,
καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ·
48 [48]καὶ παρέδωκεν ἐν χαλάζῃ τὰ κτήνη αὐτῶν,
καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί·
49 [49]ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ,
θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν,
ἀποστολὴν δι' ἀγγέλων πονηρῶν·
50 [50]ὡδοποίησεν τρίβον τῇ ὀργῇ αὐτοῦ,

36 αυτω] αυτον T **37** ευθια T **38** οικτειρμων ℵ | ιλασηται T | ℵRT διαφθιρει T | πληθυνω R* (-νει R[a]) **40** γη ανυδρω] τη ερημω ℵ* (γη αν. ℵ[c.a]) **41** επειρασαντο R **42** ουκ] pr και R | ης ελυτρωσατο] ηλητρωσατο R[vid] | χειρος 2°] ρος (sic) ℵ | θλιβοντων ℵ **46** τον καρπον] τους καρπους T **47** συκαμινας R **48** εν χαλαζη] εις αιχμαλωσιαν ℵ* εις χαλαζαν ℵ[c.a]T εις την χ. R | υπαρξιαν R **49** εξαπεστειλ sup ras ℵ[1] **50** οδοποιησεν ℵT

B οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν,
καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισεν·
51 καὶ ἐπάταξεν πᾶν πρωτότοκον ἐν Αἰγύπτῳ, 51
ἀπαρχὴν τῶν πόνων αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ.
52 καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ 52
καὶ ἤγαγεν αὐτοὺς ὡς ποίμνιον ἐν ἐρήμῳ·
53 καὶ ὡδήγησεν αὐτοὺς ἐν ἐλπίδι καὶ οὐκ ἐδειλίασαν, 53
καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψεν θάλασσα.
54 καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, 54
ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ·
55 καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη, 55
καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας,
καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν ταῖς φυλαῖς
τοῦ Ἰσραήλ.
56 καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν θεὸν τὸν ὕψιστον, 56
καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο·
57 καὶ ἐπέστρεψαν καὶ ἠσυνθέτησαν καθὼς καὶ οἱ πατέρες αὐτῶν 57
καὶ μετεστράφησαν εἰς τόξον στρεβλόν·
58 καὶ παρώργισαν αὐτὸν ἐπὶ τοῖς βουνοῖς αὐτῶν, 58
καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν.
59 ἤκουσεν ὁ θεός, καὶ ὑπερεῖδεν 59
καὶ ἐξουδένωσεν τὸν Ἰσραὴλ σφόδρα·
60 καὶ ἀπώσατο τὴν σκηνὴν Σηλώμ, 60
σκήνωμα αὐτοῦ οὗ κατεσκήνωσεν ἐν ἀνθρώποις·
61 καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, 61
καὶ τὴν καλλονὴν αὐτοῦ εἰς χεῖρας ἐχθροῦ·
62 καὶ συνέκλεισεν εἰς ῥομφαίαν τὸν λαὸν αὐτοῦ, 62
καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδεν.
63 τοὺς νεανίσκους αὐτῶν κατέφαγεν πῦρ, 63
καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπένθησαν·

ℵRT **51** Αιγυπτω] γη Αιγυπτου ℵRT | των πονων] των πρωτοτοκων ℵ* παντος πονου ℵ$^{c.a}$RT | σκηνωμασιν RT **52** ηγαγεν] ανηγαγεν ℵRT | ως 2°] ωσει ℵ$^{c.a}$RT **53** εν] επ ℵ$^{c.a}$T | θαλασσα] pr η ℵ$^{c.a}$ **55** ταις φυλαις] τας φυλας B^{b}ℵRT | του Ισραηλ] om του R **56** παρεπικρανεν R **57** επεστρεψαν] απεστρεψαν B^{ab}RT | ησυνθετησαν] ηθετησαν ℵ$^{c.a}$RT | καθως] ως R | om και 3° RT | om και 4° ℵ$^{c.a}$RT | εις] ως R **58** επι] εν ℵRT **59** ηκουσεν] pr και ℵ* (om ℵ$^{c.a}$) | ο θεος] κ̄ς̄ ℵ* (ο θ̄ς̄ ℵ$^{c.a}$) R | υπεριδε̄ T | σφοδρα τον Ισρ. ℵRT **60** Σηλω ℵ* (Σηλωμ ℵ$^{c.a}$) | om αυτου ℵ$^{c.a}$RT | ου] ο ℵ$^{c.a}$T **61** αυτου] αυτων ℵRT | εχθρου] εχθρων R **62** αυτου 2°] αυτων ℵ | υπεριδεν ℵT **63** επενθησαν] επενθηθησαν ℵ$^{c.a}$T

64 [64]οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσαν, Β
καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυσθήσονται.
65 [65]καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος,
ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου·
66 [66]καὶ ἐπάταξεν τοὺς ἐχθροὺς αὐτῶν εἰς τὰ ὀπίσω,
ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.
67 [67]καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσήφ,
καὶ τὴν φυλὴν Ἐφράιμ οὐκ ἐξελέξατο·
68 [68]καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα,
τὸ ὄρος τὸ Σειὼν ἠγάπησεν.
69 [69]καὶ ᾠκοδόμησεν ὡς μονοκερώτων τὸ ἁγίασμα αὐτοῦ,
ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.
70 [70]καὶ ἐξελέξατο Δαυεὶδ τὸν δοῦλον αὐτοῦ,
καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων·
71 [71]ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτόν,
ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ
καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ.
72 [72]καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ,
καὶ ἐν τῇ συνέσει τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς.

ΟΗ′

LXXVIII (LXXIX)

Ψαλμὸς τῷ Ἀσάφ.

1 Ὁ θεός, ἦλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου,
ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου,
ἔθεντο Ἰερουσαλὴμ εἰς ὀπωροφυλάκιον·
2 [2]ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς
τοῦ οὐρανοῦ,
τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς·
3 [3]ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡς ὕδωρ κύκλῳ Ἰερουσαλήμ, καὶ
οὐκ ἦν ὁ θάπτων.
4 [4]ἐγενήθημεν εἰς ὄνειδος τοῖς γείτοσιν ἡμῶν,
μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.

64 κλαυθησονται R **65** εξηγερθην R | κεκραιπαληκως B^{ab} (κεκρεπ. ℵRT B^{*}ℵT)] pr ℵ B^{ab} **66** αυτων] αυτου ℵ* (-των $ℵ^{c.a}$) T | ονειδος] ονειδισμον R **68** το Σειων] Σιων ℵR (? Σειων) | ηγαπησεν] pr ο ℵRT **69** μονοκερωτος T | αυτην] αυτο ℵ **72** τη συνεσει] ταις συνεσεσι $ℵ^{c.a}$T (-σιν) — Stich 162 B 159 ℵT 160 R LXXVIII **1** Ασαφ] Δαυειδ ℵ | κληρονομιαν] ο 2° rescr ℵ¹ (κληρονομ. ℵ* fort) | εις 2°] ως R **3** ως] ωσει $ℵ^{c.a}$T **4** om εις T

B [5]ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος;
ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;
[6]ἔχεον τὴν ὀργήν σου ἐπὶ ἔθνη τὰ μὴ ἐπεγνωκότα σε,
καὶ ἐπὶ βασιλείας αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο·
[7]ὅτι κατέφαγον τὸν Ἰακώβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν.
[8]μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων·
ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτειρμοί σου,
ὅτι ἐπτωχεύσαμεν σφόδρα.
[9]βοήθησον ἡμῖν, ὁ θεὸς ὁ σωτὴρ ἡμῶν,
ἕνεκα τῆς δόξης τοῦ ὀνόματός σου· Κύριε, ῥῦσαι ἡμᾶς,
καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκα τοῦ ὀνόματός σου·
[10]μή ποτε εἴπωσιν ἐν τοῖς ἔθνεσιν Ποῦ ἐστιν ὁ θεὸς αὐτῶν;
καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν
ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου.
[11]εἰσελθάτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων,
κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου,
περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.
[12]ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλάσια εἰς τὸν κόλπον αὐτῶν,
τὸν ὀνειδισμὸν αὐτῶν ὃν ὠνείδισάν σε, Κύριε.
[13]ἡμεῖς γὰρ λαός σου καὶ πρόβατα τῆς νομῆς σου
ἀνθομολογησόμεθά σοι εἰς τὸν αἰῶνα,
εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.

ΟΘ′

LXXIX (LXXX)

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· μαρτύριον τῷ Ἀσάφ, ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίου.

[2]Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες,
ὁ ὁδηγῶν ὡσεὶ πρόβατα τὸν Ἰωσήφ·
ὁ καθήμενος ἐπὶ τῶν χερουβεὶμ ἐμφάνηθι,

ℵRT **6** om εκχεον...σε ℵ*(hab εκχ. τ. ο. σου επι εθνη τα μη ειδοτα σε ℵ[1](vid)) | εθνη] pr τα ℵ[c.a]RT | επεγνωκοτα] γινωσκοντα ℵ[c.a]RT **8** ημων ανομιων] των ανομιων ημων R | οικτιρμοι T | σου]+κε T **9** ημιν] ημας R | ενεκα 1°] ενεκεν ℵ[c.a]T | om σου 1° ℵ | ενεκα 2°] ενεκεν ℵ[c.a]RT | σου 2°] αυτου ℵ* (σου ℵ[1]) **10** εν τοις εθνεσιν (1°)] τα εθνη ℵ[c.a]RT **11** εισελθετω B[ab] | κατα] και ℵ* (κατα ℵ[1]) | μεγαλοσυνην T **12** επταπλασιονα ℵRT | om αυτων 2° R | σε] σοι R **13** γαρ] δε ℵRT | της νομης] om της ℵ[c.a]RT | ανθομολογησομεθα] εξομολογησομεθα R ανθομολογησωμεθα T | σοι]+ο θς ℵ[c.a] (om ℵ[c.b]) T — Stich 30 Bℵ 34 R 33 T LXXIX **1** om υπερ του Ασσυριου ℵ **2** προβατον RT | τον Ιωσηφ] om τον R | χερουβιν B[b]T | εμφανητι ℵ ενφανηθι RT

3 [3]ἐναντίον Ἐφράιμ καὶ Βενιαμεὶν καὶ Μανασσή, B
ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.
4 [4]ὁ θεός, ἐπίστρεψον ἡμᾶς καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ
σωθησόμεθα.
5 [5]Κύριε ὁ θεὸς τῶν δυνάμεων,
ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τοῦ δούλου σου;
6 [6]ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων,
καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ;
7 [7]ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν,
καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς.
8 [8]Κύριε ὁ θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς
καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.
διάψαλμα.
9 [9]ἄμπελον ἐξ Αἰγύπτου μετῆρας,
ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν·
10 [10]ὡδοποίησας ἔμπροσθεν αὐτῆς,
καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήσθη ἡ γῆ.
11 [11]ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς,
καὶ αἱ ἀναδενδράδες αὐτῆς [§]τὰς κέδρους τοῦ θεοῦ· § A
12 [12]ἐξέτεινεν τὰ κλήματα αὐτῆς ἕως θαλάσσης,
καὶ ἕως ποταμοῦ τὰς παραφυάδας αὐτῆς.
13 [13]ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς,
καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;
14 [14]ἐλυμήνατο αὐτὴν σῦς ἐκ δρυμοῦ,
καὶ ὄνος ἄγριος κατενεμήσατο αὐτήν.
15 [15]ὁ θεὸς τῶν δυνάμεων, ἐπίστρεψον δή,
ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε,
καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην·
16 [16]καὶ κατάρτισαι αὐτὴν ἣν ἐφύτευσεν ἡ δεξιά σου,
καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας σεαυτῷ.
17 [17]ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη·
ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται.

3 Βενιαμιν T | δυναστιαν ℵT **5** εως] ες R^{vid} | του δουλου] των δουλων ℵART ℵ$^{c.a}$T **7** εμυκτηριζον ℵ$^{c.a}$ **8** om διαψαλμα ℵT **9** εξεβαλας T **10** οδοποιησας T | επλησθη η γη] επληρωσεν την γην ℵ$^{c.a}$T **12** σληματα B* (κληματα B^{ab}) | ποταμων ℵ$^{c.a}$AR **13** καθειλας RT (καθιλας) | αυτην παντες οι παραπο sup ras et in mg A^{a} (om αυτην A*) **14** συς] υς ℵ$^{?}$ART | ονος] μεσονιος B^{c} μονιος ℵ$^{c.a}$AR^{a}T | κατενωμεσατο R **15** επιβλεψον] pr και ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) AT **17** ενπεπυρισμενη R

B: [18]γενηθήτω ἡ χείρ σου ἐπ᾽ ἄνδρα δεξιᾶς σου, 18
καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας σεαυτῷ·
[19]καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ· 19
ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα.
[20]Κύριε ὁ θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς 20
καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

Π′

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· τῷ Ἀσὰφ ψαλμός. LXXX (LXXXI)

[2]Ἀγαλλιᾶσθε τῷ θεῷ τῷ βοηθῷ ἡμῶν, 2
ἀλαλάξατε τῷ θεῷ Ἰακώβ·
[3]λάβετε ψαλμὸν καὶ δότε τύμπανον, 3
ψαλτήριον τερπνὸν μετὰ κιθάρας·
[4]σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι, 4
ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν,
[5]ὅτι πρόσταγμα τῷ Ἰσραὴλ ἐστιν, 5
καὶ κρίμα τῷ θεῷ Ἰακώβ·
[6]μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτόν, 6
ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου.
γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν,
[7]ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ, 7
αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν.
[8]ἐν θλίψει ἐπεκαλέσω με καὶ ἐρυσάμην σε· 8
ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος,
ἐδοκίμασά σε ἐπὶ ὕδατος Ἀντιλογίας. διάψαλμα.
[9]ἄκουσον, λαός μου, καὶ λαλήσω σοι· Ἰσραήλ, καὶ διαμαρτύρο- 9
μαί σοι.
ἐὰν ἀκούσῃς μου, [10]οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος, 10
οὐδὲ προσκυνήσεις θεῷ ἀλλοτρίῳ.
[11]ἐγὼ γάρ εἰμι Κύριος ὁ θεός σου, 11
ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου·

ℵART **18** δεξιαν A **19** ζωωσης T | επικαλεσωμεθα AT — Stich 39 BT 38 ℵ 37 R LXXX **1** om υπερ των ληνων T | ληνων] αλλοιωθησομενων A | τω Ασαφ ψαλμος] ψ. τω Ασαφ ℵ$^{c.a}$RT ψ. τω Δαδ A **4** ημερας A | ημων] υμων ℵ$^{c.a}$ (statim restit ημ.) **6** αυτον 1°] αυτο T | εξελθειν] εξελθεν ℵ* (ι superscr ℵ^{1}) εξειλεν R*^{vid} (εξελθειν R^{a}) **7** αυτου 1°] αυτων A **8** ερρυσαμην AR | om διαψαλμα AT **9** om λαλησω σοι Ισρ. και ℵ$^{c.a}$AT | om Ισραηλ R | διαμαρτυρουμαι AT | εαν] pr Ιηλ (inc stich) ℵ$^{c.a}$ART **10** προσκυνησης T **11** ο αναγαγων] οναγαγων R^{vid}

πλάτυνον τὸ στόμα σου καὶ πληρώσω αὐτό. B

12 [12]καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου,
καὶ Ἰσραὴλ οὐ προσέσχεν μοι·

13 [13]καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν,
πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

14 [14]εἰ ὁ λαὸς ἤκουσέν μου Ἰσραήλ,
ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη,

15 [15]ἐν τῷ μηδενὶ τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα,
καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον τὴν χεῖρά μου.

16 [16]οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ,
καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα·

17 [17]καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ,
καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.

ΠΑ′

(XXXI XXXII)

Ψαλμὸς τῷ Ἀσάφ.

1 Ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν,
ἐν μέσῳ δὲ θεοὺς διακρίνει.

2 [2]ἕως πότε κρίνετε ἀδικίαν,
καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; διάψαλμα.

3 [3]κρίνατε ὀρφανὸν καὶ πτωχόν,
ταπεινὸν καὶ πένητα δικαιώσατε·

4 [4]ἐξέλεσθε πένητα καὶ πτωχόν,
ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε.

5 [5]οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν,
ἐν σκότει διαπορεύονται·
σαλευθήσονται πάντα τὰ θεμέλια τῆς γῆς.

6 [6]ἐγὼ εἶπα Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες·

7 [7]ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε,
καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.

11 αυτο] αυτην R **12** της φωνης] την φωνην R **13** εξαπεστειλα ℵART ℵ **14** λαος] + μου ℵ$^{c.a}$ART | Ισραηλ (Ισραλ ℵ* η superscr ℵ^{1}) c seqq coniung B$^{a(vid)}$ART **15** μηδενι] + αν ℵART | αυτους] αυτου ℵ | επεβαλον] + αν ℵ$^{c.a}$AT — Stich 34 BℵA 35 RT LXXXI **3** κρινατε] κρινεται A | ορφανον και πτωχον] πτωχον κ. ορφανον ℵ* ορφανω κ. πτωχω ℵ$^{c.a}$ART **4** εξελεσθε] ανταναιρειτε R* (εξελ. R^{a}) | ρυσασθε] + αυτον ℵ$^{c.a}$ (om ℵ$^{c.b}$) T + αυτους A **5** σαλευθησονται] σαλευθητωσαν ℵ$^{c.a}$ R **7** αν] δη ℵ* om B^{c}ℵ$^{c.a}$ART | ανθρωποι R | εις] ις T (ante ι ras τ T$^{1 vid}$) | αρχοντων] αρχων ℵ

B [8]ἀνάστα, ὁ θεός, κρῖνον τὴν γῆν· 8
ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσιν τοῖς ἔθνεσιν.

ΠΒ′

Ὠδὴ ψαλμοῦ τῷ Ἀσάφ. LXXXII (LXXXII)

[2]Ὁ θεός, τίς ὁμοιωθήσεταί σοι; 2
μὴ σιγήσῃς μηδὲ καταπραύνῃς, ὁ θεός·
[3]ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, 3
καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν·
[4]ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, 4
καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου·
[5]εἶπαν Δεῦτε καὶ ἐξολεθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, 5
καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι·
[6]ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό, 6
κατὰ σοῦ διαθήκην διέθεντο,
[7]τὰ σκηνώματα τῶν Ἰδουμαίων καὶ οἱ Ἰσμαηλεῖται, 7
Μωὰβ καὶ οἱ Ἀγγαρηνοί,
[8]Ναιβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλήκ, 8
καὶ ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον·
[9]καὶ γὰρ καὶ Ἀσσοὺρ συνπαρεγένετο μετ᾽ αὐτῶν, 9
ἐγενήθησαν εἰς ἀντίλημψιν τοῖς υἱοῖς Λώτ. διάψαλμα.
[10]ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ καὶ τῷ Σεισαρά, 10
ὡς ὁ Ἰαβεὶν ἐν τῷ χειμάρρῳ Κεισών·
[11]ἐξολεθρεύθησαν ἐν Ἀενδώρ, 11
ἐγενήθησαν ὡς κόπρος τῇ γῇ.
[12]θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ὠρὴβ καὶ Ζὴβ καὶ Ζέβεε 12
καὶ Σελμανά, πάντας τοὺς ἄρχοντας αὐτῶν,
[13]οἵτινες εἶπαν Κληρονομήσωμεν ἑαυτοῖς τὸ θυσιαστήριον τοῦ 13
θεοῦ.

ℵART **8** κατακληρονομησεις B ℵ$^{c.a}$ (-σης A* [εις sup ras A$^{a?}$] T)] εξολεθρευσεις ℵ* + αυτους A$^{?(mg)}$ — Stich 16 B ℵ 15 A 14 R 17 T LXXXII **1** ψαλμος R **4** σου 1° + κε A | των αγιων] αγιων R **5** ειπον T | ου μη μνησθη] ουκ εσται εις μνημοσυνον R **6** οτι] και ℵ* (οτι ℵ$^{c.a}$) **7** Ισμαηλιται T | Αγαρηνοι B^{b}T **8** Ναιβαλ] Γαιβαλ ℵ$^{c.a}$(? R) Γεβαλ A (? R)T | om και 3° ℵ$^{c.a}$T | αλλοφυλοι μετα] οι μ sup ras 4 vel 5 litt A$^{a?}$ **9** συμπαρεγενετο B^{b} | Λωθ R^{vid} | om διαψαλμα ART **10** αυτοις R | Μαδιαμ] Μαζιαμ R | Σισαρα B^{b}AT | Ιαβιν T | Κισσω| A Κισων T **11** εξωλεθρευθησαν B^{ab}A | ως] ωσει ℵART | τη γη] της γης R **12** Σαλμανα ℵAR^{a} (Σαλμαν R*) T **13** ειπον T | θυσιαστηριον] αγιαστηριον ℵAT

14 [14]ὁ θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν, B
ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου.
15 [15]ὡσεὶ πῦρ ὃ διαφλέξει δρυμόν,
ὡς εἰ φλὸξ κατακαύσαι ὄρη,
16 [16]οὕτως καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου,
καὶ ἐν τῇ ὀργῇ σου ταράξεις αὐτούς.
17 [17]πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας,
καὶ ζητήσουσιν τὸ ὄνομά σου, Κύριε.
18 [18]αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος,
καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν·
19 [19]καὶ γνώτωσαν ὅτι ὄνομά σοι Κύριος,
σὺ μόνος εἶ Ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

ΠΓ′

(LXXXIII LXXXIV) Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· τοῖς υἱοῖς Κόρε ψαλμός.
2 [2]Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων.
3 [3]ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου·
ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ θεὸν ζῶντα.
4 [4]καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν,
καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ οὗ θήσει τὰ νοσσία αὐτῆς·
τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων, ὁ βασιλεύς μου
καὶ ὁ θεός μου.
5 [5]μακάριοι πάντες οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου,
εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσίν σε. διάψαλμα.
6 [6]μακάριος ἀνὴρ οὗ ἐστιν ἡ ἀντίλημψις αὐτοῦ παρὰ σοῦ, Κύριε·
ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο,
7 [7]ἐν τῇ κοίλαδι τοῦ κλαυθμῶνος, εἰς τύπον ὃν ἔθετο.
καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν·
8 [8]πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν,
ὀφθήσεται ὁ θεὸς τῶν θεῶν ἐν Σιών.

14 ανεμου] πυρος ℵ* (αν. ℵc.a) **15** om ο T | κατακαυσει R **16** κατα- ℵART διωξης T | ταραξεις (-ξης T)] συνταραξεις R **17** ζητησουσιν T | ονομα] προσωπον A **18** και ταραχθητωσαν...αιωνα] και ταραχθητ, εις τον αιω sup ras ℵ1 **19** om ει ART | υψιστος] pr ο R — Stich 34 Bℵ 36 AR 35 T LXXXIII **1** τοις υιοις] om τοις R **3** επεποθει R | κυριου] θυ ℵ* (κυ ℵc.a) | θεον ζωντα] τον θ. τον ζ. R **4** νοσσιαν T* (νοσσ. T1(vid)) | om εαυτη ℵ* (hab ℵc.a) | αυτης] εαυτης ℵc.aAT **5** om παντες RT | τους αιωνας των αιωνων] τον αιωνα του αιωνος R | om διαψαλμα AT **6** η αντιλημψις] om η ℵAT | αυτου 1°] αυτω T | om Κυριε ℵc.aT **7** εν τη κοιλαδι] εις την κοιλαδα ℵc.aAT | κλαυθμονος A | εθετο] διεθετο R | ευλογιαν R **8** Σειων ℵT

B [9]Κύριε ὁ θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, 9
ἐνώτισαι, ὁ θεὸς Ἰακώβ. διάψαλμα.
[10]ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ θεός, 10
καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ χριστοῦ σου.
[11]ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας· 11
ἐξελεξάμην παραριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ μᾶλλον ἢ
οἰκεῖν ἐπὶ σκηνώμασιν ἁμαρτωλῶν.
[12]ὅτι ἔλεον καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος ὁ θεός, 12
χάριν καὶ δόξαν δώσει·
Κύριος οὐχ ὑστερήσει τὰ ἀγαθὰ τοὺς πορευομένους ἐν
ἀκακίᾳ.
[13]Κύριε τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. 13

ΠΔ΄

Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κόρε ψαλμός. LXXXIV (LXXXV)

[2]Εὐδοκήσας, Κύριε, τὴν γῆν σου, 2
ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ·
[3]ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, 3
ἐκάλυψας τὰς ἁμαρτίας αὐτῶν. διάψαλμα.
[4]κατέπαυσας τὴν ὀργήν σου, 4
ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου.
[5]ἐπίστρεψον ἡμᾶς, ὁ θεὸς τῶν σωτηρίων ἡμῶν, 5
καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν.
[6]μὴ εἰς τὸν αἰῶνα ὀργισθήσῃ ἡμῖν; 6
ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν;
[7]ὁ θεός, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, 7
καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί.
[8]δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, 8
καὶ τὸ σωτήριόν σου, Κύριε, δῴης ἡμῖν.

ℵART **9** om διαψαλμα AT **10** επι] εις T **11** κρεισσω B* (κρεισσων $B^{b?c?}$ [? R]) κρισσον A(? R)T | παραριπτεσθαι ℵART | θεου]+μου $ℵ^{c.a}$AT κυριου R | οικειν]+με $ℵ^{c.a}$RT | επι] εν $ℵ^{c.a}$ART **12** ο θεος c seqq coniung vid ℵ* (post ο θς̄ distinx $ℵ^{c.a}$) | post κς̄ 2° distinx T | ουχ (ουκ ℵ*) υστερησει] ὁ στερησει (sic ut vid) B^{b} ου στερησει $ℵ^{c.a}$T (-ση) **13** Κυριε]+ο θς̄ $ℵ^{c.a}$RT σε] σοι T—Stich 24 B 25 ℵ 26 A 29 R 28 T LXXXIV **1** ψαλμος]+τω Δαδ T **2** απεστρεψας] επεστρεψας A+ο θεος R **3** τω λαω] του λαου R | τας αμαρτιας] pr πασας ℵART | om διαψαλμα A* (hab διαψ̄ A^{b}) T **4** την οργην] pr πασαν $B^{1?mg}$ℵART | απο] απ R **6** τον αιωνα B$ℵ^{*c.b\ vid}$R] τους αιωνας $ℵ^{c.a}$AT | οργισθησῃ] οργισθης $ℵ^{c.a}$ A^{a} (οργισθεις A*vid) RT | γενεας] γενεαν (sic) ℵ **7** ζωωσης T **8** om Κυριε 2° ℵT

9 [9]ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ θεός, B
ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ
καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ καὶ τοὺς ἐπιστρέφοντας πρὸς
αὐτὸν καρδίαν.
10 [10]πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ,
τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.
11 [11]ἔλεος καὶ ἀλήθεια συνήντησαν,
δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν·
12 [12]ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλεν,
καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψεν.
13 [13]καὶ γὰρ ὁ κύριος δώσει χρηστότητα,
καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς.
14 [14]δικαιοσύνη ἐναντίον αὐτοῦ προπορεύσεται,
καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

ΠΕ΄

LXXXV (LXXXVI)

Προσευχὴ τῷ Δανείδ.

1 Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ εἰσάκουσόν μου,
ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.
2 [2]φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι·
σῶσον τὸν δοῦλόν σου, ὁ θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ.
3 [3]ἐλέησόν με, Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν.
4 [4]εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου,
ὅτι πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου.
5 [5]ὅτι σύ, Κύριε, χρηστὸς καὶ ἐπιεικὴς
καὶ πολυέλεος πᾶσιν τοῖς ἐπικαλουμένοις σε.
6 [6]ἐνώτισαι, Κύριε, τὴν προσευχήν μου,
καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.
7 [7]ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σέ, ὅτι εἰσήκουσάς μου.
8 [8]οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε,
καὶ οὐκ ἔστιν κατὰ τὰ ἔργα σου.

9 λαληση T (bis) | om *και* 2° ℵ* (hab ℵ$^{c.a}$) | *τους επιστρεφ.*] pr *επι* ℵART ℵ$^{c.a}$ART | *καρδιαν επ αυτον* ℵ$^{c.a}$T **10** *πλην*]+η R **12** om *και* A **13** *ο κυριος*] *ος κ.* R **14** *εναντιον*] *ενωπιον* ℵ$^{c.a}$AT | *προπορευσεται* Bℵ$^{c.a}$A$^{a?}$R] *πορευσεται* ℵ* *προπορευεται* A* *προπορευσηται* T — Stich 27 BℵT 28 AR LXXXV **1** om *προσευχη* A | *του Δανειδ* ℵ | *εισακουσον*] *επακουσον* ℵART **2** *φυλαξον την ψ. μου οτι ο* sup ras ℵ^{1} | *οσιος*] *ο* rescr A^{1} | *σε*] *σοι* T **3** *κεκραξομαι*] *μ* sup ras A^{a} **4** om *Κυριε* ℵ* (hab ℵ$^{c.a}$) T | *ηρα την ψυχην μου* sup ras A^{a} | *μου*]+*ο θς* ℵ* (om ℵ$^{c.a}$) **5** *πασι* ℵ **6** *δεησιος* R^{vid} **7** *εισηκουσας*] *επηκουσας* ℵ$^{c.a}$AT

B
9 πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσιν 9
καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε,
καὶ δοξάσουσιν τὸ ὄνομά σου·
10 ὅτι μέγας εἶ σὺ καὶ ποιῶν θαυμάσια, 10
σὺ εἶ ὁ θεὸς μόνος ὁ μέγας.
11 ὁδήγησόν με, Κύριε, τῇ ὁδῷ σου, 11
καὶ πορεύσομαι τῇ ἀληθείᾳ σου·
εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.
12 ἐξομολογήσομαί σοι, Κύριε ὁ θεός μου, ἐν ὅλῃ καρδίᾳ μου, 12
καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα·
13 ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ, 13
καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου.
14 ὁ θεός, παράνομοι ἐπανέστησαν ἐπ' ἐμέ, 14
καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου·
οὐ προέθεντό σε ἐνώπιον αὐτῶν.
15 καὶ σύ, Κύριε ὁ θεός, οἰκτίρμων καὶ ἐλεήμων, 15
μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός.
16 ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, 16
δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς
παιδίσκης σου.
17 ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν, 17
καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν,
ὅτι σύ, Κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με.

ΠΓ'

Τοῖς υἱοῖς Κόρε ψαλμὸς ᾠδῆς. LXXXVI (LXXXVII)

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσιν τοῖς ἁγίοις· 1
2 ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα 2
Ἰακώβ.
3 δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ θεοῦ. 3
διάψαλμα.

ℵART **9** *προσκυνησου* (sic) ℵ | *δοξασωσιν* T **10** om *ο μεγας* B^{c}ℵAT **11** *τη οδω*] pr *εν* RT | *τη αληθεια*] pr *εν* ℵRT **12** om *μου* 1° R^{*} (hab R^{a}) | *καρδια*] pr *τη* $ℵ^{c.a}$ **13** *ερυσω* T **14** *επανεστησταν* ℵ | *συναγωγη κραταιων*] *κραταιοι* $ℵ^{*}$ (*συν. κρατ.* $ℵ^{c.a}$) | *εζητησαν*] *εξεζητησαν* R | *ου*] pr *και* $ℵ^{c.a}$ART | *προσεθεντο* ℵ **15** *θεος*]+*μου* $ℵ^{c.a}$T | *οικτειρμων* ℵA **16** om *σου* 1° R **17** *και* 1°] *ινα* R | *με* 1° B^{*b}] *σε* B^{a} | *αισχυνθητωσαν*] *ευφρανθητωσαν* R — Stich 36 BAT 35 ℵR LXXXVI **1** *τοις υιους* R^{vid} | *ορεσι* ℵT **2** *Σειων* ℵT **3** om *διαψαλμα* A^{*} (hab *διαψ* A^{a}) T

4 [4]μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσίν με· B
καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος καὶ λαὸς Αἰθιόπων, οὗτοι
ἐγενήθησαν ἐκεῖ.
5 [5]Μήτηρ Σειών, ἐρεῖ ἄνθρωπος,
καί Ἄνθρωπος ἐγενήθη ἐν αὐτῇ,
καὶ Αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος.
6 [6]Κύριος διηγήσεται ἐν γραφῇ λαῶν καὶ ἀρχόντων τούτων τῶν
γεγενημένων ἐν αὐτῇ. διάψαλμα.
7 [7]ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

ΠΖ′

LXXXVII LXXXVIII) Ὠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κόρε· εἰς τὸ τέλος,
ὑπὲρ μαελὲθ τοῦ ἀποκριθῆναι· συνέσεως Αἰμὰν
τῷ Ἰσραηλείτῃ.

2 [2]Κύριε ὁ θεὸς τῆς σωτηρίας μου,
ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου·
3 [3]εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου,
κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου, Κύριε.
4 [4]ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου,
καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισεν.
5 [5]προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον,
6 ἐγενήθην ὡς ἄνθρωπος ἀβοήθητος, [6]ἐν νεκροῖς ἐλεύθερος·
ὡσεὶ τραυματίαι ἐρριμμένοι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνή-
σθης ἔτι,
καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν·
7 [7]ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ,
ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.
8 [8]ἐπ᾽ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου,
καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπ᾽ ἐμὲ ἐπήγαγες.
διάψαλμα.
9 [9]ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾽ ἐμοῦ,

4 γινωσκουσι ℵ* (-σιν ℵc.a) | om και 2° R | Αιθιοπων] pr των ℵc.aT | om ℵART ουτοι εγενηθησαν εκει ℵ* (hab ℵc.a) **5** Σιων A **6** γεγεννημενων R | om διαψαλμα AT **7** κατοικια]+σου T — Stich 10 Bℵ 11 AR 13 T LXXXVII **1** om εις το τελος ℵ | Αιμαν] Αιθαμ A | Ισραηλιτη B^{b}AT **2** εκεκραξα] κεκραξομαι A **3** εισελθατω ℵART | προσ|ευχη B* προσευ|χη B^{b} | om Κυριε $B^{c(vid)}$ℵT **5** προσελογισθης R | ως] ωσει ℵART **6** ερριμμενοι καθευδοντες] om ερριμμενοι ℵc.aAT καθευδοντες ερριμ. R **7** εθετο ℵ* (εθεντο ℵ1) | om εν 3° ℵc.aT **8** ο θυμους B^{edit} | επηγαγες επ εμε ℵAT | om διαψαλμα A* (hab διαψ A^{a}) T

B ἔθεντό με βδέλυγμα ἑαυτοῖς·
παρεδόθην καὶ οὐκ ἐξεπορευόμην.
[10]οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας· 10
καὶ ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν,
διεπέτασα τὰς χεῖράς μου·
[11]μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; 11
ἢ ἰατροὶ ἀναστήσουσιν καὶ ἐξομολογήσονταί σοι;
[12]μὴ διηγήσεταί τις ἐν τάφῳ τὸ ἔλεός σου, 12
καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλίᾳ;
[13]μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, 13
καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;
[14]κἀγώ, Κύριε, πρὸς σὲ ἐκέκραξα, 14
καὶ τὸ πρωὶ ἡ προσευχή μου προφθάσει σε.
[15]ἵνα τί, Κύριε, ἀπωθεῖς τὴν προσευχήν μου, 15
ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;
[16]πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου, 16
ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.
[17]ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, 17
καὶ οἱ φοβερισμοί σου ἐτάραξάν με.
[18]ἐκύκλωσάν με ὡς ὕδωρ ὅλην τὴν ἡμέραν, 18
περιέσχον με ἅμα.
[19]ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον 19
καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

ΠΗ'

Συνέσεως Αἰθὰν τῷ Ἰσραηλείτῃ. LXXXVIII (LXXXIX)

[2]Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι, 2
εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου.

ℵART **10** πτωχιας ℵAT | om και ℵAT | ολην την ημ. c seqq coniung ℵRT | τας χειρας μου]+προς σε $B^{a(vid)}$ pr προς σε $B^{b(vid)}$ $ℵ^{c.a}$AT **11** ποιησης T **12** ταφω] pr τω $ℵ^{c.a}$T | απωλεια B^{ab} **13** γνωσθησεται] γνωσθητω $ℵ^{c.a}$ (-θησεται $ℵ^{c.b}$) **14** καγω] και εγω ℵAT | προς σε Κυριε ℵART | προφθασει T **15** επωθεις R | προσευχην] ψυχην $ℵ^{1}$ (rescr πωθεις την ψ. μο) AT | απ εμου το προσωπον σου R **16** εν κοποις και ℵ* (και εν κοποις $ℵ^{c.a}$) | om και εξηπορηθην A* (hab ℵ εξεπορηθη $A^{a(mg)}$) **17** om και $ℵ^{c.a}$A* (hab A^{a}) T | εταραξαν] εξεταραξαν ℵART **18** ως] ωσει $ℵ^{c.a}$T **19** φιλον] +και πλησιον $ℵ^{c.a}$ART — Stich 38 BAT 37 ℵR LXXXVIII **1** Αιθαν] Αιμαν R Αιθαμ T | Ισραπλειτη B^{*edit} (Ισραηλειτη ℵ) Ισραηλιτη B^{b}AT Ισραηλιτης R **2** ασωμαι T | om και R* (hab $R^{1(vid)}$) | απαγγελλω R^{*vid} (απαγγελω R^{a})

3 [3]ὅτι εἶπας Εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται, B
ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου·
4 [4]διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου,
ὤμοσα Δαυεὶδ τῷ δούλῳ μου
5 [5]Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου,
καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου.
διάψαλμα.
6 [6]ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε,
καὶ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.
7 [7]ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ κυρίῳ;
καὶ τίς ὁμοιωθήσεται τῷ κυρίῳ ἐν υἱοῖς θεοῦ;
8 [8]ὁ θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων,
μέγας καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.
9 [9]Κύριε ὁ θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι;
δυνατὸς εἶ, Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου.
10 [10]σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης,
καὶ τὸν σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραύνεις.
11 [11]σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον,
καὶ ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου.
12 [12]σοί εἰσιν οἱ οὐρανοί, καὶ σή ἐστιν ἡ γῆ·
τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας.
13 [13]τὸν βορρᾶν καὶ θαλάσσας σὺ ἔκτισας,
Θαβὼρ καὶ Ἑρμωνιεὶμ τῷ ὀνόματί σου ἀγαλλιάσονται.
14 [14]σὸς ὁ βραχίων μετὰ δυναστείας·
κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου.
15 [15]δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου·
ἔλεος καὶ ἀλήθεια προπορεύσεται πρὸ προσώπου σου.
16 [16]μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν·
Κύριε, ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται,

4 *μου 2°*]+*υψωσα εκλεκτον εκ του λαου μου* ℵ* (improb ℵ$^{c.a}$) **5** *γενεαν* ℵART 2°] pr *εις* R | om *διαψαλμα* AT **6** *και*]+*γαρ* ℵ$^{c.a}$AT | *αγιων*] *οσιων* R **7** *και τις*] om ℵ$^{c.a}$AT *η τις* R | *κυριω 2°*] *θεω* ℵ* (κ̄ω ℵ$^{c.a}$) R **8** *φοβερος*] +*εστιν* ℵ$^{c.a}$AT | *επι παντας* sup ras A^{a} **9** *ομοιος*] *ομοιωθησεται* R **10** *και τον σαλον*] *τον δε σ.* ℵ$^{c.a}$ART **11** om *και* ℵ$^{c.a}$AT **12** *σοι*] *συ* T **13** *θαλασσας*] *την θαλασσαν* ℵ$^{c.a}$AT *θαλασσαν* R | *Ερμωνιμ* T (*ιμ* fort rescr T$^{?}$) | om *σου* R* (hab R^{a}) **14** *δυναστιας* ℵT | *υψωθητω*] pr *και* R **15** *προπορευσεται*] *προπορευσονται* ℵT *πορευσονται* A

B [17]καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν, 17
καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται.
[18]ὅτι τὸ καύχημα τῆς δυνάμεως αὐτῶν εἶ σύ, 18
καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν.
[19]ὅτι τοῦ κυρίου ἡ ἀντίλημψις, 19
καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν.
[20]τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου, 20
καὶ εἶπας Ἐθέμην βοήθειαν ἐπὶ δυνατόν,
ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου·
[21]εὗρον Δαυεὶδ τὸν δοῦλόν μου, 21
ἐν ἐλέει ἁγίῳ ἔχρισα αὐτόν.
[22]ἡ γὰρ χείρ μου συναντιλήμψεται αὐτῷ, 22
καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν·
[23]οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, 23
καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν·
[24]καὶ συγκόψω τοὺς ἐχθροὺς αὐτοῦ ἀπὸ προσώπου αὐτοῦ, 24
καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι.
[25]καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ, 25
καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ·
[26]καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, 26
καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ.
[27]αὐτὸς ἐπικαλέσεταί με Πατήρ μου εἶ σύ, 27
θεός μου καὶ ἀντιλήμπτωρ τῆς σωτηρίας μου·
[28]κἀγὼ πρωτότοκον θήσομαι αὐτόν, 28
ὑψηλὸν παρὰ τοῖς βασιλεῦσιν τῆς γῆς.
[29]εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, 29
καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ·
[30]καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, 30
καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.

ℵART **17** *και εν τω ονοματι*] *και ε, τι* inst ℵ? | *τ, ολην τη*|*ν ημεραν· και εν τη δικαιοσυνη σου υψωθησοντ,* sup ras et in mgg A^a **18** *το καυχημα*] om *το* $ℵ^{c.a}$AT | *συ ει* RT **19** *αντιληψις* T **20** bis scr *ορασει* R* (om *ορ.* 2° R^a) | *βοηθιαν* ℵT **21** *ελεει*] *ελεω* B^a(? R) *ελαιω* B^bℵA(? R)T | *αγιω*] +*μου* $ℵ^{c.a}$ART | *εχρισω* R* (*εχρισα* R^a) **23** *προσθησει του κακωσαι*] *κακωσει* ℵ* (*προσθησι του κακ.* $ℵ^{c.a}$) A^{*vid} (*προσθησει του κακωσι αυτο*| sup ras et in mg A^a) **24** *συνκοψω* ℵAR^{vid}T | *απο προσωπου αυτου τους εχθρους αυτου* ℵT *τους εχθρ. μου απο πρ. αυτου* A **25** *η αληθεια*] om *η* R* (hab R^a) **26** *χειρα*] pr *την* R **27** *επικαλεσηται* T | *θεος*] pr *ο* AR **28** *καγω*] *και εγω* ℵA | *βασιλευσι* ℵR **30** *ως*] *ωσει* R

31 [31]ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, B
καὶ τοῖς κρίμασίν μου μὴ πορευθῶσιν·
32 [32]ἐὰν τὰ δικαιώματά μου βεβηλώσουσιν,
καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν·
33 [33]ἐπισκέψομαι ἐν ῥάβδῳ ἀνομίας αὐτῶν,
καὶ ἐν μάστιξιν τὰς ἁμαρτίας αὐτῶν.
34 [34]τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτοῦ,
οὐδὲ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου,
35 [35]οὐδὲ μὴ βεβηλώσω τὴν διαθήκην μου,
καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω.
36 [36]ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαυεὶδ ψεύσομαι·
37 [37]τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ,
καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου,
38 [38]καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα·
καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. διάψαλμα.
39 [39]σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας,
ἀνεβάλου τὸν χριστόν σου·
40 [40]κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου,
ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ.
41 [41]καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ,
ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν·
42 [42]διήρπασαν αὐτὸν πάντες οἱ διοδεύοντες ὁδόν,
ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ.
43 [43]ὕψωσας τὴν δεξιὰν τῶν ἐχθρῶν αὐτοῦ,
εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ·
44 [44]ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ,
καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ.
45 [45]κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτόν,
τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέρραξας·

31 εγκαταλειπωσιν A ενκαταλιπ. R ενκαταλειπ. T | οι υιοι] om οι R | ℵART τοις κριμασιν] pr εν R **32** βεβηλωσωσιν T **33** επισκεψωμαι T | ανομιας] pr τας ℵART | αμαρτιας] αδικιας ℵAT **34** αυτου] αυτων ℵ$^{c.a}$ RT | ουδε] ουδ ου A | αληθια A **35** την διαθηκην] εν τη διαθηκη ℵ* (την δ. ℵ$^{c.a}$) | δια] εκ R **37** ο θρονος] om ο R **38** ως η σελ.] ωσει σελ. R^{vid} | om διαψαλμα A* (hab διαψ A^{a}) T **39** εξουδενωσας] + ημας ℵ* (ℵ$^{c.a}$) | ανεβαλου] pr και A* + Κυριε R **40** om αυτου B*^{vid} (hab subscr B$^{?}$) **41** καθειλας ℵ καθιλας T | δειλειᾶ] B* (δειλιᾶ] B^{b} διλιαν ℵAT) **42** διηρπαζον ℵ$^{c.a}$T | διοδευοντες] παραπορευομενοι A | οδον] pr την A **43** εχθρων αυτου] θλιβοντων αυτον ℵ$^{c.a}$AT | ηυφρανας T **44** βοηθιαν AT **45** αυτον] αυτου ℵ$^{c.a}$ (mox revoc αυτον)

B [46]ἐσμίκρυνας τὰς ἡμέρας τοῦ θρόνου αὐτοῦ, 46
κατέχεας αὐτοῦ αἰσχύνην. διάψαλμα.
[47]ἕως πότε, Κύριε, ἀποστρέψεις εἰς τέλος; 47
ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου;
[48]μνήσθητι τίς μου ἡ ὑπόστασις· 48
μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων;
[49]τίς ἐστιν ὁ ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον; 49
ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου; διάψαλμα.
[50]ποῦ ἐστιν τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε, 50
ἃ ὤμοσας τῷ Δαυεὶδ ἐν τῇ ἀληθείᾳ σου;
[51]μνήσθητι, Κύριε, τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, 51
οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν·
[52]οὗ ὠνείδισαν οἱ ἐχθροί σου, Κύριε, 52
οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ χριστοῦ σου.

[53]εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα. γένοιτο, γένοιτο. 53

ℵART **46** εμικρυνας R* (εσμικρ. Rᵃ) | θρονου] χρονου ℵART | αυτου 2°] αυτω ℵᶜ·ᵃ (mox revoc αυτου) T | om διαψαλμα T **47** αποστρεψεις ℵAR αποστρεφη T **49** ο ανθρωπος] om ο ℵART | θανατον] ν sup ras Aᵃ | om διαψαλμα T **50** εστιν] εισιν ℵᶜ·ᵃART **51** υπεσχον AR υπεσχω T **52** το ανταλλαγμα] pr τι R*ᵛⁱᵈ (om Rᵃ) **53** ευλογητος Κυριος] ευλογια Κυριου R — Stich 103 B 104 ℵR 102 AT

IV

LXXXIX (XC)

ΠΘ′ B

Προσευχὴ τοῦ Μωυσῆ ἀνθρώπου τοῦ θεοῦ.

1 Κύριε, καταφυγὴ ἡμῖν ἐγενήθης ἐν γενεᾷ καὶ γενεᾷ·

2 [2]πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην,
καὶ ἀπὸ τοῦ αἰῶνος ἕως τοῦ αἰῶνος σὺ εἶ.

3 [3]μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν,
καὶ εἶπας Ἐπιστρέψατε υἱοὶ ἀνθρώπων;

4 [4]ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου ὡς ἡ ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθεν, καὶ φυλακὴ ἐν νυκτί.

5 [5]τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται,
τὸ πρωὶ ὡσεὶ χλόη παρέλθοι·

6 [6]τὸ πρωὶ ἀνθήσαι καὶ παρέλθοι,
τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη.

7 [7]ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου,
καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν·

8 [8]ἔθου τὰς ἀνομίας ἡμῶν ἐνώπιόν σου,
ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.

9 [9]ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον,
καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν·
τὰ ἔτη ἡμῶν ὡς ἀράχνην ἐμελέτων.

10 [10]αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν ἐνιαυτοῖς ἑβδομήκοντα ἔτη,
ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη,
καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος·
ὅτι ἐπῆλθεν πραΰτης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα.

LXXXIX **1** του Μωυση] τω Μωυση ℵR τω Μωση A Μωυσεως T | ανθρωπω ℵA | εγενηθης ημιν ℵ$^{c.a}$ART | εν γενεα και γενεα] απο γενεας εις γενεαν R **2** γενηθηναι] εδρασθηναι ℵ* (γεν. ℵ$^{c.a}$) | πλασθηναι την γην και την οικ.] πλ. γην οικ. A$^{*\,vid}$ πλ. την (sic) και την οικ. sup ras et in mg A^{a} | εως] pr και ℵ$^{c.a}$ AT | om συ ει ℵ* (hab ℵ$^{c.a}$) **3** υιοι] pr οι A | ανθρωπων] pr των ART **4** σου]+κε ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) AT | ως η ημερα] ως ημερα ℵ ωσει ημ. R^{vid} | χθες B^{b}R^{vid} εκχθες A **5** ετη] ετι B^{b} **6** ανθησοι ℵ$^{c.a}$ (mox revoc -σαι) ανθησει R **7** εξελειπομεν AT **8** ενωπιον] εναντιον ℵ$^{c.a}$T **9** εξελειπον AT | om και ℵ$^{c.a}$ | εξελειπομεν AT | ως] ωσει ℵAT | αραχνη ℵ$^{c.a}$ART **10** ενιαυτοις] αυτοις ℵART | δυναστιαις T | εφ ημας πραυτης ℵ* (πρ. εφ ημ. ℵ$^{c.a}$) R πραοτης εφ ημ. AT | παιδευθησωμεθα T

B [11]τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, 11
καὶ ἀπὸ τοῦ φόβου τοῦ θυμοῦ σου ἐξαριθμήσασθαι; [12]τὴν 12
δεξιάν σου γνώρισον,
καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ.
[13]ἐπίστρεψον, Κύριε· ἕως πότε; 13
καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου.
[14]ἐνεπλήσθημεν τὸ πρωὶ τοῦ ἐλέους σου, 14
καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν
ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν,
[15]ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, 15
ἐτῶν ὧν εἴδομεν κακά.
[16]καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ τὰ ἔργα σου, 16
καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.
[17]καὶ ἔστω ἡ λαμπρότης Κυρίου θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, 17
καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς.

ϙ′

Αἶνος ᾠδῆς τῷ Δανείδ. XC (XCI)

[1]Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου 1
ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.
[2]ἐρεῖ τῷ θεῷ Ἀντιλήμπτωρ μου εἶ· 2
καὶ καταφυγή μου ὁ θεός μου, ἐλπιῶ ἐπ' αὐτόν.
[3]ὅτι αὐτὸς ῥύσεται ἐκ παγίδος θηρευτῶν, 3
καὶ ἀπὸ λόγου ταραχώδους·
[4]ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, 4
καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς·
ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.
[5]οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, 5
ἀπὸ βέλους πετομένου ἡμέρας,

ℵART **11** *φοβου*]+*σου* AT | *τον θυμον* ℵ$^{c.a}$ART **12** *σου*]+*ουτως* ℵ$^{c.a}$ART | *γνωρισον*]+*μοι* ℵ$^{c.a}$ART | *πεπαιδημενους* ℵ$^{c.a}$(? R) *πεπεδημενους* A(? R)T **13** *τους δουλους* R **14** *το ελεος* R | *ελεους...ημων* in mg et sup ras A^{a} | *ηυφρανθημεν* A^{a}T | *ημων*]+*ευφρανθημεν* ℵ$^{c.a}$A$^{a\,(mg)}$R+*ηυφρανθημεν* T (c seqq coniung RT) **15** *εταπεινωσας*] pr *ων* R | *ιδομεν* T | *κακα*] pr *τα* R **16** *τα εργα*] pr *επι* ℵ$^{c.a}$ART | *ωδηγησον* A **17** *θεου*] pr *του* ℵ$^{c.a}$ART | *ημας* 2°]+*και το εργον των χειρων ημων κατευθυνον* ℵART — Stich 35 B 34 ℵ 38 A 37 R 41 T XC **1** *βοηθια* T **2** *θεω*] *κω* B^{ab}ℵ$^{c.a}$AT *ο θεος μου* inc stich in AT | *ελπιω*] pr *και* R | *αυτω* T **3** *ρυσεται*]+*με* ℵAR *ρυσηται με* T | *πακιδος* ℵ **4** *επισκιαση* T | *κυκλωση* T **5** *απο* 2°] pr *και* ℵ* (om ℵ$^{c.a}$)

6 [6]ἀπὸ πράγματος διαπορευομένου ἐν σκότει, B
ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.
7 [7]πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς,
καὶ μυριὰς ἐκ δεξιῶν σου,
πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ·
8 [8]πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις,
καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψῃ.
9 [9]ὅτι σύ, Κύριε, ἡ ἐλπίς μου·
τὸν ὕψιστον ἔθου καταφυγήν σου.
10 [10]οὐ προσελεύσεται πρὸς σὲ κακά,
καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου·
11 [11]ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ
τοῦ διαφυλάξαι σε ἐν ταῖς ὁδοῖς σου·
12 [12]ἐπὶ χειρῶν ἀροῦσίν σε,
μή ποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.
13 [13]ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ,
καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.
14 [14]ὅτι ἐπ' ἐμὲ ἤλπισεν, καὶ ῥύσομαι αὐτόν·
σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου.
15 [15]ἐπικαλέσεταί με, καὶ εἰσακούσομαι αὐτοῦ,
μετ' αὐτοῦ εἰμι ἐν θλίψει,
καὶ ἐξελοῦμαι καὶ δοξάσω αὐτόν.
16 [16]μακρότητι ἡμερῶν ἐμπλήσω αὐτόν,
καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

ϘΑ′

XCI (XCII) Ψαλμὸς ᾠδῆς, εἰς τὴν ἡμέραν τοῦ σαββάτου.

2 [2]Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε·
3 [3]τοῦ ἀναγγέλλειν τὸ πρωὶ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα,

6 εν σκοτ. διαπορευομενου ℵ$^{c.a}$T | συμπτωματος (ευμπτ. B^{edit})] συνπτω- ℵART ματος ℵ **7** κλιτουσου A (ras 1 lit ante τ) T κλιτους R* (κλιτους σου R^{a}) **8** κατανοησης T | οψει B^{ab} **9** συ]+ει R **11** ταις οδοις] pr πασαις A (-σες) T pr πασιν R **12** επι] pr και ℵ* (om ℵ$^{c.a}$) **13** επ] επι ℵ$^{c.a}$ART | καταπατησης T **15** επικαλεσεται με] κεκραξεται (καικρ. A) προς με ℵAT | εισακουσομαι] επακουσομαι ℵ$^{c.a}$AT | om και 2° ℵ$^{c.a}$RT | εξελουμαι]+αυτον ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) AT **16** μακροτητα ART — Stich 35 BRT 33 ℵA XCI **1** σαββατου] προσαββατου ℵ

B [4]ἐν δεκαχόρδῳ ψαλτηρίῳ μετ' ᾠδῆς ἐν κιθάρᾳ· 4
[5]ὅτι εὔφρανάς με, Κύριε, ἐν τῷ ποιήματί σου, 5
καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι.
[6]ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, 6
σφόδρα ἐβαρύνθησαν οἱ διαλογισμοί σου.
[7]ἀνὴρ ἄφρων οὐ γνώσεται, 7
καὶ ἀσύνετος οὐ συνήσει ταῦτα.
[8]ἐν τῷ ἀνατεῖλαι τοὺς ἁμαρτωλοὺς ὡς χόρτον, καὶ διέκυψαν 8
πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν,
ὅπως ἂν ἐξολεθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
[9]σὺ δὲ Ὕψιστος εἰς τὸν αἰῶνα, Κύριε. 9
[10]ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται, 10
καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.
[11]καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου, 11
καὶ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι·
[12]καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, 12
καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις εἰσακούσεται τὸ οὖς μου.
[13]δίκαιος ὡς φοίνιξ ἀνθήσει, 13
ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
[14]πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου 14
ἐν ταῖς αὐλαῖς τοῦ θεοῦ ἡμῶν ἐξανθήσουσιν·
[15]τότε πληθυνθήσονται ἐν γήρει πίονι, 15
καὶ εὐπαθοῦντες ἔσονται·
[16]τοῦ ἀναγγεῖλαι ὅτι εὐθὴς Κύριος ὁ θεός μου, 16
καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

ℵART **4** *μετα* ℵ* (*μετ* ℵ$^{c.a}$) **5** om *οτι* A* (hab A^{a}?$^{(mg\text{-}sinistr)}$) | *ηυφρανας* T **6** *σφοδρα*] pr *η* (? *ει*) R*^{vid} (om R^{a}) | *εβαρυνθησαν*] *εβαθυνθησαν* B^{ab}ℵ$^{c.a}$RT **8** *τους αμαρτωλους*] om *τους* ℵ$^{c.a}$AT | *ως*] *ωσει* ℵAR^{a}T **9** *Ὑψιστος*] pr *ο* R **10** *οτι ιδου*] pr *οτι ιδου οι εχθροι σου κε* ℵA$^{a\,(mg)}$RT **11** *υψωθησεται*] *ωθ* sup ras A^{a} | *ελαιω* B^{ab}ℵA(? R)T] *ελεω* B*(? R) **12** *και επειδεν*] *και εφιδεν* (*και ε, ι* sup ras A^{a}?) AT | *μου* 1°] *σου* R | om *εν τοις* A* (hab A^{a}?) | *επανιστανομενοις* ℵAR | *εισακουσεται*] *ακουσεται* ℵ$^{c.a}$ART **13** *ανθησει* T | *ως η*] *ωσει* R^{vid} **14** *πεφυτευμενοι* (*υ* 1° sup ras A^{a})] *πεφυτευμενη* T | *Κυριου*] pr *του* R | *ταις αυλαις*] om *ταις* R | *του θεου*] *τ* sup ras A^{a}? *οικου θεου* R | *εξανθησωσιν* T **15** *τοτε*] om ℵ* *ετι* ℵ$^{c.a}$ART **16** post *αναγγειλαι* distinx ℵ$^{c.a}$ | *μου*] *ημων* ℵAR^{a}T — Stich 27 BA 24 ℵ 29 R 30 T

ϞΒ′ B

XCII (XCIII) Εἰς τὴν ἡμέραν τοῦ προσαββάτου, ὅτε κατῴκισται ἡ γῆ· αἶνος ᾠδῆς τῷ Δαυείδ.

1 Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο·
ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο,
καὶ γὰρ ἐστερέωσεν τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται
2 [2]ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε·
ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.
3 [3]ἐπῆραν οἱ ποταμοί, Κύριε,
ἐπῆραν οἱ ποταμοὶ φωνὰς¶ αὐτῶν. ¶ T
4 [4]ἀπὸ φωνῶν ὑδάτων πολλῶν θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης·
θαυμαστὸς ἐν ὑψηλοῖς ὁ κύριος.
5 [5]τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα·
τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

ϞΓ′

XCIII (XCIV) Ψαλμὸς τῷ Δαυείδ, τετράδι σαββάτων.

1 Ὁ θεὸς ἐκδικήσεων Κύριος, ὁ θεὸς ἐκδικήσεων ἐπαρρησιάσατο.
2 [2]ὑψώθητι ὁ κρίνων τὴν γῆν,
ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις.
3 [3]ἕως πότε ἁμαρτωλοί, Κύριε,
ἕως πότε ἁμαρτωλοὶ καυχήσονται;
4 [4]φθέγξονται καὶ λαλήσουσιν ἀδικίαν,
λαλήσουσιν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν;
5 [5]τὸν λαόν σου, Κύριε, ἐταπείνωσαν,
καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν·
6 [6]χήραν καὶ ὀρφανὸν ἀπέκτειναν,
καὶ προσήλυτον ἐφόνευσαν·
7 [7]καὶ εἶπαν Οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ θεὸς τοῦ §'Ιακώβ. § T

XCII **1** αινος ωδης τω Δ. εις την ημεραν τ. πρ. ο. κ. η γη R | προσαββατου] σαββατου ART | Κυριος 1°] pr ο B^cℵART | ευπρεπιαν ℵAT | στερεωσεν R **2** σου]+ο θεος R | απο 1°] απ sup ras A^a | απο 2°] pr και R **3** φωνας] φω...T | αυτων]+αρουσιν οι ποταμοι επιτριψεις (επιτριψις A [ε sup ras $A^{a?}$]) αυτων ℵ$^{c.a}$A **4** μετεωρισμοι] μ 1° sup ras A^a — Stich 11 BR 10 ℵ 15 A XCIII **1** ψαλμος]+ωδης A | σαββατου A | ο θεος (1°)] om ο B^cℵA | ο θεος (2°)] om ο B^cA ras ο ℵ? **6** ορφανους R | προσηλυτους R **7** οψεται]+ταυτα R | Κυριος] pr ο ℵ* (ras ℵ²) | συνησει]+ταυτα R

ב [8]σύνετε δή, ἄφρονες ἐν τῷ λαῷ· καὶ μωροί, ποτὲ φρονήσατε. 8
[9]ὁ φυτεύσας τὸ οὖς, οὐχὶ ἀκούει; 9
ἢ ὁ πλάσας ὀφθαλμούς, οὐ κατανοεῖ;
[10]ὁ παιδεύων ἔθνη, οὐχὶ ἐλέγξει, 10
ὁ διδάσκων ἄνθρωπον γνῶσιν;
[11]Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶν 11
μάταιοι.
[12]μακάριος ὁ ἄνθρωπος ὃν ἂν σὺ παιδεύσῃς, Κύριε, 12
καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν,
[13]τοῦ πραῦναι αὐτῷ ἀφ' ἡμερῶν πονηρῶν, 13
ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος.
[14]ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, 14
καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει,
[15]ἕως οὗ δικαιοσύνη ἐπιστρέψῃ εἰς κρίσιν, 15
καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. διάψαλμα.
[16]τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένους, 16
ἢ τίς συνπαραστήσεταί μοι ἐπὶ ἐργαζομένους τὴν ἀνομίαν;
[17]εἰ μὴ ὅτι Κύριος ἐβοήθησέν μοι, 17
παρὰ βραχὺ παρῴκησεν τῷ ᾅδῃ ἡ ψυχή μου.
[18]εἰ ἔλεγον Σεσάλευται ὁ πούς μου, 18
τὸ ἔλεός σου, Κύριε, βοηθεῖ μοι.
[19]Κύριε, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ 19
παρακλήσεις σου ἠγάπησαν τὴν ψυχήν μου.
[20]μὴ συνπροσέσται σοι θρόνος ἀνομίας, 20
ὁ πλάσσων κόπον ἐπὶ προστάγματι;
[21]θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, 21
καὶ αἷμα ἀθῷον καταδικάσονται.
[22]καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγήν, 22
καὶ ὁ θεός μου εἰς βοηθὸν ἐλπίδος μου·

ℵART 9 *οφθαλμους*] *οφθαλμον* ℵ$^{c.a}$ *τον οφθαλμον* A *τους οφθαλμους* R | *ου*] *ουχει* ℵ$^{c.a}$ *ουχι* AT **12** *ο ανθρωπος*] om *ο* ℵART | om *συ* ℵ$^{c.a}$AT **13** *αυτω*] *αυτον* R **14** *εγκαταλειψει* B^{ab} (*-λιψει* B*)] *ενκατελιψεν* ℵ^{1} (*ουκ εν* rescr ℵ^{1}) *ενκαταλιψει* ℵ$^{c.a}$ *ενκαταλειψει* AR *ενκαταλειψη* T **15** om *διαψαλμα* A* (hab *διαψ* A^{a}) T **16** *συμπαραστησεται* B^{b} | *εργαζομενους*] pr *τους* ℵ$^{c.a}$AT **18** om *το ελεος σου* A* (hab A$^{a(mg)}$) | *εβοηθει* ℵ$^{c.a}$A **19** om *Κυριε* ℵ$^{c.a}$AT | *παρακλησις* A | *ηγαπησαν*] *ευφραναν* B^{b}(? R)T *ηυφραναν* ℵ$^{c.a}$A(? R) | *ψυχην*] *καρδιαν* ℵ* (*ψυχ.* ℵ$^{c.a}$) **20** *συμπροσεσται* B^{b} *συνπροσεστω* ℵ$^{c.a}$AT | *προσταγμα* ℵ$^{c.a}$AT **21** *θηρευσωσιν* T | *καταδικασωνται* T **22** *εγενετο*] *εγενηθη* R

23 [23]καὶ ἀποδώσει αὐτοῖς τὴν ἀνομίαν αὐτῶν B
καὶ τὴν πονηρίαν αὐτῶν·
ἀφανιεῖ αὐτοὺς Κύριος ὁ θεὸς ἡμῶν.

ϘΔ′

XCIV (XCV) Αἶνος ᾠδῆς τῷ Δανείδ.

1 Δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ,
ἀλαλάξωμεν τῷ θεῷ τῷ σωτῆρι ἡμῶν·
2 [2]προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει,
καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ.
3 [3]ὅτι θεὸς μέγας Κύριος
καὶ βασιλεὺς μέγας ἐπὶ πάντας τοὺς θεούς.
4 [4]ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ,
ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς
καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ ἐστιν·
5 [5]ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα καὶ αὐτὸς ἐποίησεν αὐτήν,
καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.
6 [6]δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ,
καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς·
7 [7]ὅτι αὐτός ἐστιν ὁ θεὸς ἡμῶν,
καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ
καὶ πρόβατα χειρὸς αὐτοῦ.
8 [8]σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε,
μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ,
κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ·
9 [9]οὗ ἐπείρασαν οἱ πατέρες ὑμῶν,
ἐδοκίμασαν καὶ ἴδοσαν τὰ ἔργα μου.
10 [10]τεσσεράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ,
καὶ εἶπα Ἀεὶ πλανῶνται τῇ καρδίᾳ,
καὶ αὐτοὶ οὐκ ἔγνωσαν τὰς ὁδούς μου.

23 αποδωση T | αυτοις] + κ̄ς ℵ$^{c.a}$ART | την ανομιαν] pr κατα AR | και ℵART την πονηριαν] κατα την πον. ℵ$^{c.a}$ και κατα την πον. ART | αφανιει] εξολεθρευσει R — Stich 41 B 40 ℵ 44 A 45 R XCIV **1** αγαλλιασομεθα A **3** παντας τους θεους] πασαν την γην ℵ$^{c.a}$AT **4** om οτι ουκ...λαον αυτου ℵ* (hab ℵ$^{c.a}$) AT | τη χειρι] om τη ℵ* (hab ℵ$^{c.a}$) | τα περατα] pr παντα ℵ* (om ℵ$^{c.a}$) | εστιν] εισιν ℵ$^{c.a}$AR **6** προσκυνησωμεν (sic) A | κλαυσομεν A | εναντιον] ενωπιον ℵ* (εναντ. ℵ$^{c.a}$) **7** ο θεος] pr Κυριος R | χειρος] pr της A **9** επειρασαν] + με ℵ$^{c.a}$T | εδοκιμασαν] + με ℵ$^{c.a}$AT | ιδοσαν] ειδοσαν B^{ab} (? R) ιδον ℵAT **10** τεσσαρακοντα B^{ab}RT | προσωχθισα] pr διο R | ειπα] ειπον AT | και αυτοι] αυτοι δε ℵAT

B [11]ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου Εἰ εἰσελεύσονται εἰς τὴν κατά- 11
παυσίν μου.

ΡΕ′

Ὅτε ὁ οἶκος οἰκοδομεῖται μετὰ τὴν αἰχμαλωσίαν· XCV (XCVI)
ᾠδὴ τῷ Δαυείδ.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν, 1
ᾄσατε τῷ κυρίῳ, πᾶσα ἡ γῆ·
[2]ᾄσατε τῷ κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ, 2
εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ.
[3]ἀναγγείλατε ἐν τοῖς ἔθνεσιν τὴν δόξαν αὐτοῦ, 3
ἐν πᾶσιν τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.
[4]ὅτι μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, 4
φοβερός ἐστιν ἐπὶ πάντας τοὺς θεούς·
[5]ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, 5
ὁ δὲ κύριος τοὺς οὐρανοὺς ἐποίησεν.
[6]ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ, 6
ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ.
[7]ἐνέγκατε τῷ κυρίῳ, αἱ πατριαὶ τῶν ἐθνῶν, 7
ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν·
[8]ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ, 8
ἄρατε θυσίας καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ.
[9]προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ· 9
σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.
[10]εἴπατε ἐν τοῖς ἔθνεσιν Ὁ κύριος ἐβασίλευσεν, 10
καὶ γὰρ κατώρθωσεν τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται·
κρινεῖ λαοὺς ἐν εὐθύτητι.
[11]εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ, 11
σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς·
[12]χαρήσεται τὰ πεδία καὶ πάντα τὰ ἐν αὐτοῖς, 12
τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ

ℵART **11** ει] η ℵA$^{a\,(mg\ sinistr)}$ (om A*) | καταπαυσιν] αναπαυσιν R — Stich 25 BR 23 ℵT 22 A XCV **1** οτε...Δαυειδ] ωδη τω Δ. οτε ο οικος οικοδ. μ. τ. αιχμαλωσιαν ℵA | οικοδομειται] οικοδομειτο B^{c}ℵT ωκοδομειτο AR **2** ευαγγελισασθε T **3** om αναγγειλατε...δοξαν αυτου A* (hab A$^{a\,(mg)}$) R | πασι ℵ **6** εξομολογησεις A | αγιοσυνη T | μεγαλοπρεπια AT **7** ενεγκατε τω κ̄ω̄ δοξαν και τιμην| ενεγκατε τω κ̄ω̄ αι πατριαι των εθνων ℵ* **8** om αρατε...αυλας αυτου R **10** ειπα A* (ειπατε A$^{a\,?}$) | ο κυριος] οτι κ̄ς ℵ$^{c.a}$AT | εβασιλευσεν]+απο ξυλου R

13 [13]πρὸ προσώπου Κυρίου, ὅτι ἔρχεται, Β
ὅτι ἔρχεται κρῖναι τὴν γῆν·
κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ
καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ.

ϘF′

XCVI (XCVII)

Τῷ Δαυείδ, ὅτε ἡ γῆ αὐτοῦ καθίσταται.

1 Ὁ κύριος ἐβασίλευσεν, ἀγαλλιάσεται ἡ γῆ,
εὐφρανθήτωσαν νῆσοι πολλαί.
2 [2]νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ,
δικαιοσύνη καὶ κρίμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ.
3 [3]πῦρ ἐναντίον αὐτοῦ προπορεύσεται,
καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ·
4 [4]ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ,
εἶδεν καὶ ἐσαλεύθη ἡ γῆ.
5 [5]τὰ ὄρη ἐτάκησαν ὡσεὶ κηρὸς ἀπὸ προσώπου Κυρίου,
ἀπὸ προσώπου Κυρίου πάσης τῆς γῆς.
6 [6]ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ,
καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ.
7 [7]αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς,
οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν·
προσκυνήσατε αὐτῷ πάντες οἱ ἄγγελοι αὐτοῦ.
8 [8]ἤκουσεν καὶ εὐφράνθη Σειών,
καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας,
ἕνεκεν τῶν κριμάτων σου, Κύριε·
9 [9]ὅτι σὺ εἶ Κύριος ὁ ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν,
σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς θεούς.
10 [10]οἱ ἀγαπῶντες τὸν κύριον, μισεῖτε πονηρόν·
φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ,
ἐκ χειρὸς ἁμαρτωλῶν ῥύσεται αὐτούς.

13 προ] απο ℵ$^{c.a}$AT — Stich 29 BℵAT 27 R XCVI **1** η γη] ℵART om η R | σιλευσεν αγαλλια sup ras ℵ^{1} | αγαλλιασεται] αγαλλιασθω B^{c}ℵ$^{c.a}$ ART | νησοι] νησσοι ℵ$^{c.a}$ **3** εναντιον] ενωπιον T | προπορευσηται T | του εχθρους B* (τους ε. B^{ab}) **4** ιδεν T **5** ωσει κηρος ετακησαν ℵT | om Κυριου 2° ℵ | της γης] της γη της R^{vid} **6** om και ℵ* (hab ℵ$^{c.a}$) | ειδοσαν] ιδοσαν ℵ*A^{a}[? R] ιδον ℵ$^{c.a}$A*T **7** προσκυνουντες] πεποιθοτες επι ℵ (προσκ. ℵ$^{c.a}$) | ενκαυχωμενοι ℵART | αυτω] αυτον R **8** ηυφρανθη AT | Σειων] η Σιων B^{c} Σιων ℵA | ηγαλλιασονται (sic) R **9** om ει ℵ$^{c.a}$AT | ο υψιστος] om ο ℵAT | υπερ] επι ℵ **10** πονηρα B^{c}ℵ$^{c.a}$AT | αμαρτωλου AT | ρυσηται T | αυτους] αυτον R* (-τους R^{a})

B [11]φῶς ἀνέτειλεν τῷ δικαίῳ, 11
καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.
[12]εὐφράνθητε, δίκαιοι, ἐπὶ τῷ κυρίῳ, 12
¶ T καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης¶ αὐτοῦ.

ΨΖ′

Ψαλμὸς τῷ Δαυείδ. XCVII (XCVIII)

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησεν Κύριος· 1
ἔσωσεν αὐτῷ ἡ δεξιὰ αὐτοῦ
καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.
[2]ἐγνώρισεν Κύριος τὸ σωτήριον αὐτοῦ ἐναντίον τῶν ἐθνῶν· 2
ἀπεκάλυψεν τὴν δικαιοσύνην αὐτοῦ.
[3]ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακώβ, 3
καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ·
εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ θεοῦ ἡμῶν.
[4]ἀλαλάξατε τῷ θεῷ πᾶσα ἡ γῆ, 4
ᾄσατε καὶ ἀγαλλιᾶσθε καὶ ψάλατε.
[5]ψάλατε τῷ κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ, 5
[6]ἐν σάλπιγξιν ἐλαταῖς καὶ φωνῇ σάλπιγγος κερατίνης· 6
ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως Κυρίῳ.
[7]σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς, 7
ἡ οἰκουμένη καὶ οἱ κατοικοῦντες αὐτήν·
[8]ποταμοὶ κροτήσουσιν χειρὶ ἐπὶ τὸ αὐτό, 8
§ T τὰ ὄρη ἀγαλλιάσονται, [9]§ὅτι ἥκει κρῖναι τὴν γῆν· 9
κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ
καὶ λαοὺς ἐν εὐθύτητι.

ΨΗ′

Ψαλμὸς τῷ Δαυείδ. XCVIII (XCIX)

Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί· 1
ὁ καθήμενος ἐπὶ τῶν χερουβείμ, σαλευθήτω ἡ γῆ.

ℵART **11** ευφροσυνῃ ℵ* (ras lineol ℵ²) ευφροσυνην A **12** επι] εν ℵ$^{c.a}$ART | αγιοσυ...T — Stich 27 BART 26 ℵ XCVII **1** Κυριος] pr ο A | αυτω] αυτον B^{ab} | αυτου 1°] ου rescr A^{1} **2** bis scr το σωτηριον R | εναντιον των εθν. c seqq coniung AR **3** τω Ιακωβ] om ℵ* (hab ℵ$^{c.a}$) του I. A | αληθιας ℵ | ιδοσαν A **4** θεω] κω̄ B^{ab}ℵA | η γη] om η R* (hab R^{a}) **5** και] η R* (και R^{a}) **6** φωνης ℵA | Κυριω] κῡ B$^{1\,vid}$ℵ$^{c.a}$AR **7** οι κατοικουντες] pr παντες ℵ$^{c.a}$AR | αυτην] εν αυτη ℵAR **8** αγαλλιασονται] + απο προσωπου κῡ οτι ερχεται ℵ$^{c.a}$AT **9** δικαιοσυνη] seq ras 1 lit (forte ν) in A — Stich 19 Bℵ 22 A 21 R XCVIII **1** Κυριος] pr ὁ B^{c} pr ο ℵ$^{c.a}$ART | χερουβιν ℵT(? R) χερουβειν A(? R)

2 [2]Κύριος ἐν Σειὼν μέγας, καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς B
λαούς.
3 [3]ἐξομολογησάσθωσαν πάντες τῷ ὀνόματί σου τῷ μεγάλῳ,
ὅτι φοβερὸν καὶ ἅγιόν ἐστιν.
4 [4]καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ·
σὺ ἡτοίμασας εὐθύτητας,
κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας.
5 [5]ὑψοῦτε Κύριον τὸν θεὸν ἡμῶν,
καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.
6 [6]ἅγιός ἐστιν [(6)]Μωυσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ
καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ·
ἐπεκαλοῦντο τὸν κύριον, καὶ αὐτὸς ἐπήκουσεν αὐτοῖς,
7 [7]ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς·
ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ,
καὶ τὰ προστάγματα ἃ ἔδωκεν αὐτοῖς.
8 [8]Κύριε ὁ θεὸς ἡμῶν, σὺ ἐπήκουες αὐτῶν·
ὁ θεός, εὐίλατος ἐγίνου αὐτοῖς,
καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν.
9 [9]ὑψοῦτε Κύριον τὸν θεὸν ἡμῶν,
καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ,
ὅτι ἅγιος Κύριος ὁ θεὸς ἡμῶν.

ϘΘ′

XCIX (C)

Ψαλμὸς εἰς ἐξομολόγησιν.

1 Ἀλαλάξατε τῷ κυρίῳ, πᾶσα ἡ γῆ,
2 [2]δουλεύσατε τῷ κυρίῳ ἐν εὐφροσύνῃ,
εἰσέλθατε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει.
3 [3]γνῶτε ὅτι Κύριος, αὐτός ἐστιν ὁ θεός·
αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐχ ἡμεῖς,

2 Σιων B^b ("sic et inferius pluries") A | λαους] in λα ras aliq $B^{a?}$ **3** εξο- ℵART μολογισθωσαν ℵ* c.b (εξομολογησασθ. ℵc.a) | om παντες ℵAT **4** om και τιμη...αγαπα ℵ* (hab ℵc.a) **5** τω υποποδιω] το υποποδιον R **6** αγιος] pr οτι ℵc.a RT οτι αγιον A | Μωυσης inc stich in ART | επηκουσεν αυτοις] εισηκουσεν αυτων ℵA εισηκουεν αυτων T επηκουσεν αυτους R **7** εφυλασσον] pr οτι ℵc.a AT | τα προσταγματα α] το προσταγμα ο ℵ* τα προσταγματα αυτου α ℵc.a AT **8** επηκουσας ℵ* (επηκουες ℵc.a) | αυτων 1°] αυτους R | ευιλατος] pr συ $B^{a?b}$ ℵART | εγινου] εγενου ℵ* (εγεινου ℵc.a) **9** προσκυνητε R^{vid} — Stich 22 BℵR 24 A 23 T XCIX **1** κυριω 1°] θεω RT **2** εισελθετε ℵ* (-θατε ℵc.a) **3** ο θεος]+ημων ℵc.a AT | ουχι R

Ε λαὸς αὐτοῦ καὶ πρόβατα τῆς νομῆς αὐτοῦ.
[4]εἰσέλθατε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, 4
τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις·
ἐξομολογεῖσθε αὐτῷ,
αἰνεῖτε τὸ ὄνομα αὐτοῦ, [5]ὅτι χρηστὸς Κύριος, 5
εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.

Ρ′

Τῷ Δαυεὶδ ψαλμός. C (CI)

[1]Ἔλεος καὶ κρίσιν ᾄσομαί σοι, Κύριε· 1
[2]ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ· πότε ἥξεις πρὸς μέ; 2
διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου.
[3]οὐ προεθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, 3
ποιοῦντας παραβάσεις ἐμίσησα·
οὐκ ἐκολλήθη μοι καρδία σκαμβή,
[4]ἐκκλίνοντος ἀπ᾽ ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. 4
[5]τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξε- 5
δίωκον·
ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνή-
σθιον.
[6]οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, 6
τοῦ συνκαθῆσθαι αὐτοὺς μετ᾽ ἐμοῦ·
πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.
[7]οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν· 7
λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐναντίον τῶν ὀφθαλμῶν μου.
[8]εἰς τὰς πρωίας ἀπέκτεννον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, 8
τοῦ ἐξολεθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομέ-
νους τὴν ἀδικίαν.

ℵART **3** λαος] pr ημεις δε ℵ$^{c.a}$ART | της νομης] om της ℵ$^{c.a}$ART **4** εισελθετε ℵ* (-θατε ℵ$^{c.a}$) | τας αυλας] pr εις ℵART **5** εις] pr οτι A | αληθια ℵ — Stich 12 Bℵ 11 ART C **1** ψαλμος τω Δαδ ℵ om ψαλμος A | ελεος] ελεον ℵ$^{c.a}$T ελαιον A | ασωμαι T **2** ωδη] δ tantum inst B^{b} οδω ART | τω οικω ℵ* (του οικου ℵ$^{c.a}$) | μου 2°] σου R* (μ. R^{a}) **3** προεθεμην] προετιθεμην ℵ$^{c.a}$ | om πραγμα παρανομον B*vid (subscr B$^{?}$) | ποιουντα ℵ* (-τας ℵ$^{c.a}$) | παραβασεις] παρα βασιλεις ℵ* (παραβασεις ℵ$^{c.a}$) **5** του] τον T **6** μου] αυτου ℵ* (μου ℵ$^{c.a}$) | συγκαθησθαι B^{a} **7** οικιας bis scr R | κατηυθυνεν AT | εναντιον] ενωπιον ℵA **8** απεκτινον ℵ* (απεκτεννον ℵ$^{c.a}$) απεκτενον A | τους αμαρτωλους] om τους A* (hab A$^{a?}$) | αδικιαν] ανομιαν ℵART — Stich 16 Bℵ 17 ART

ΡΑ′ B

CI (CII)

Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ καὶ ἐναντίον Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ.

2 [2]Εἰσάκουσον, Κύριε, τῆς προσευχῆς μου,
καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθάτω.
3 [3]μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ·
ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλίνον τὸ οὖς σου πρὸς μέ·
ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ εἰσάκουσόν μου.
4 [4]ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου,
καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.
5 [5]ἐπλήγην ὡσεὶ χόρτος καὶ ἐξηράνθη ἡ καρδία μου,
ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.
6 [6]ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου
τῇ σαρκί μου.
7 [7]ὡμοιώθην πελεκᾶνι ἐρημικῷ,
ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ,
8 [8]ἠγρύπνησα καὶ ἐγενήθην ὡσεὶ στρουθίον μονάζον ἐπὶ δώματι.
9 [9]ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου,
καὶ οἱ ἐπαινοῦντές με κατ᾽ ἐμοῦ ὤμνυον.
10 [10]ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον,
καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων,
11 [11]ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου,
ὅτι ἐπάρας κατέρραξάς με.
12 [12]αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν,
καὶ ἐγὼ ὡσεὶ χόρτος ἐξηράνθην.
13 [13]σὺ δέ, Κύριε, εἰς τὸν αἰῶνα μένεις,
καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.
14 [14]σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σειών,
ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός.

CI **1** *εναντιον*]·ενωπιον ℵ εναντι A **2** κε *εισακουσον* ℵAT | *την προσ-* ℵART *ευχην* R | *ελθετω* B^{c} ℵ$^{c.a}$ R **3** *θλιβωμαι* ℵAT | *προς με το ους σου* ℵAT | om *προς με* B^{*vid} | *αν* 2°] *α* A* (*ν* superscr A$^{a?}$) | *επικαλεσομαι* A | *εισακουσον*] *επακουσον* ℵT **4** *εξελειπον* AT **5** *επληγη* ℵ* (*ν* superscr ℵ$^{c.a}$) **6** *το οστουν*] *τα οστα* R **7** *ωμοιωθη* A* (*ν* superscr A$^{a?}$) **8** *εγενηθην*] *εγενομην* ℵ$^{c.a}$AT | *ωσει στρουθιον*] *ωστρουθιον* A *ως στρ.* T | *μοναζων* A **11** *κατεραξας* ℵ* (*κατερρ.* ℵ$^{c.a}$) T **12** *σκιαι* ℵ$^{c.a}$T | *και εγω*] *κἀγω* B^{c} | *εξηρανθησαν* ℵ* (*-θην* ℵ$^{c.a}$) **14** *οικτιρησης* T | *Σιων* ℵA | *καιρος* 1°] pr *ερχεται* R

B [15]ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, 15
καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσιν·
[16]καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομά σου, Κύριε, 16
καὶ πάντες οἱ βασιλεῖς τὴν δόξαν σου·
[17]ὅτι οἰκοδομήσει Κύριος τὴν Σειών, 17
καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.
[18]ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, 18
καὶ οὐκ ἐξουδένωσεν τὴν δέησιν αὐτῶν.
[19]γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, 19
καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν κύριον·
[20]ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ, 20
Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψεν·
[21]τοῦ ἀκοῦσαι τὸν στεναγμὸν τῶν πεπεδημένων, 21
τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων,
[22]τοῦ ἀναγγεῖλαι ἐν Σειὼν τὸ ὄνομα Κυρίου 22
καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἰερουσαλήμ,
[23]ἐν τῷ συναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτὸ καὶ βασιλείας τοῦ 23
δουλεύειν τῷ κυρίῳ.
[24]ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ 24
Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι.
[25]μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου· 25
ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.
[26]κατ' ἀρχὰς τὴν γῆν σύ, Κύριε, ἐθεμελίωσας, 26
καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί·
[27]αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· 27
καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται,
καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται·
[28]σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. 28

ℵART **15** οικτιρησωσιν T **16** om τα εθνη ℵ* (hab ℵ$^{c.a}$) | σου Κυριε] $\overline{κυ}$ ℵA*^{vid} (σου $\overline{κε}$ sup ras et in mg A^{a}) T | βασιλεις]+της γης ℵART **17** $\overline{κς}$ την Σιων sup ras A$^{a?}$ | Σιων ℵ **18** ταπεινων] πτωχων ℵ* (ταπινων ℵ$^{c.a}$) R | εξωδενωσεν ℵ **19** ετεραν] εταιραν ℵ | αινεση T **20** εξεκυψαν B* (-ψεν B^{ab}) | υψου ℵ* (υψους ℵ$^{c.a}$) | εξ ουρανου] εκ του ουρανου R | επι] εις R **21** τον στεναγμον] του στεναγμου T **22** αναγγειλαι Bℵ$^{c.a}$ RT (αναγγιλ.)] αναγγελναι ℵ* | Σιων ℵA **23** συναχθηναι] επισυναχθηναι ℵ$^{c.a}$AT | βασιλειας] βασιλεις ℵ$^{c.a}$AT **25** εν γενεα γενεων] εις γενεαν και γενεαν R **26** συ $\overline{κε}$ την γην ART | om συ Κυριε ℵ* (hab ℵ$^{c.a}$) | των χειρων] om των ℵ **27** ελιξεις (ελειξ. A)] αλλαξεις ℵ* αιλιξ. ℵ$^{c.a}$ ελιξης T | αλλαγησονται] αγαλλησονται A* (improb A$^{?}$) **28** συ] σοι A | εκλειψωσιν T

29 [29]οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσιν, B
καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

ΡΒ′

CII (CIII)

Τῷ Δανείδ.

1 Εὐλόγει ἡ ψυχή μου τὸν κύριον,
καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
2 [2]εὐλόγει ἡ ψυχή μου τὸν κύριον,
καὶ μὴ ἐπιλανθάνου πάσας τὰς αἰνέσεις αὐτοῦ·
3 [3]τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις σου,
τὸν ἰώμενον πάσας τὰς νόσους σου·
4 [4]τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου,
τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς,
5 [5]τὸν ἐμπιμπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου·
ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.
6 [6]ποιῶν ἐλεημοσύνας ὁ κύριος,
καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις.
7 [7]ἐγνώρισεν τὰς ὁδοὺς αὐτοῦ τῷ Μωυσῇ,
τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.
8 [8]οἰκτείρμων καὶ ἐλεήμων ὁ κύριος,
μακρόθυμος καὶ πολυέλεος.
9 [9]οὐκ εἰς τέλος ὀργισθήσεται,
οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ·
10 [10]οὐ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν,
οὐδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.
11 [11]ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς
ἐκραταίωσεν Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους
αὐτόν·
12 [12]καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν,
ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.
13 [13]καὶ καθὼς οἰκτείρει πατὴρ υἱούς,
οἰκτείρησεν Κύριος τοὺς φοβουμένους αὐτόν,

29 *οι υιοι*] om *οι* AR | *κατασκηνωσωσιν* T — Stich 54 B 55 ℵ 56 AT 57 R ℵART
CII **1** *τω Δ.*] pr *ψαλμος* T **2** *επιλανθανε* R | *αινεσεις*] *αποδοσις* ℵ *ανταποδοσεις* ART **4** *οικτειρμοις*] *οικτιρμω* ℵ* (*οικτιρμοις* ℵ$^{c.a}$) R **5** *εμπιπλωντα* AT *ενπιμπλωντα* R **6** *πασιν* AT **7** *τω Μωυσῃ*] om *τω* ℵ* (hab ℵ$^{c.a}$) **8** *οικτιρμων* B^{b} ("et alias") T | *πολυελεος*] + *ϗ αληθεινος* A$^{a?(mg)}$ **11** *κς* (sic) T | om *αυτου* R* (hab R^{a}) **12** *ανομιας*] *αμαρτιας* R **13** om *και* ℵ$^{c.a}$ART | *οικτειρησεν*] *ωκτειρησεν* B^{ab} pr *ουτως* R

B
14 ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν· 14
μνήσθητι ὅτι χοῦς ἐσμεν.
15 ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· 15
ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.
16 ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει, 16
καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.
17 τὸ δὲ ἔλεος τοῦ κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος 17
ἐπὶ τοὺς φοβουμένους αὐτόν·
καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοὺς υἱῶν·
18 τοῖς φυλάσσουσιν τὴν διαθήκην αὐτοῦ, 18
καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.
19 Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασεν τὸν θρόνον αὐτοῦ, 19
καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
20 εὐλογεῖτε τὸν κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ, 20
δυνατοὶ ἰσχύι, ποιοῦντες τὸν λόγον αὐτοῦ,
τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.
21 εὐλογεῖτε τὸν κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, 21
λειτουργοὶ αὐτοῦ ποιοῦντες τὰ θελήματα αὐτοῦ.
22 εὐλογεῖτε τὸν κύριον, πάντα τὰ ἔργα αὐτοῦ 22
ἐν παντὶ τόπῳ τῆς δυναστείας αὐτοῦ·
εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον.

ΡΓ′

Τῷ Δαυείδ. CIII (CIV)

Εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον· 1
Κύριε, Κύριε, ὁ θεός μου, ὡς ἐμεγαλύνθης σφόδρα.
ἐξομολόγησιν καὶ εὐπρέπειαν ἐνεδύσω,
2 ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, 2
ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν·
3 ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ, 3
ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ,
ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων·

ℵART **14** μνησθητι] εμνησθη ℵ$^{c.a}$AT+Κυριε R **15** ημεραι|ραι ℵ | ωσει 2°] οτι ει ℵ* (ωσει ℵ$^{c.a}$) **16** υπαξει R* (υπαρξ. R$^{a\,(vid)}$) υπαρξη T **17** υιους] υιον B$^{c\,vid}$ **18** φυλασσουσι T **19** αυτου 2°] ου sup ras A^{a} (αυτων A$^{*\,vid}$) **20** οι αγγελοι] om οι ℵ* (hab ℵ$^{c.a}$) **21** τα θεληματα] το θελημα ℵ$^{c.a}$ART **22** δυναστειας (-τιας ℵ*)] δεσποτιας ℵ$^{c.a}$ART — Stich 46 BT 45 ℵR 47 A CIII **1** τω Δ.] pr ψαλμος T | om Κυριε 2° ℵART | om ως ℵ$^{c.a}$ART | ευπρεπειαν (-πιαν ℵ*)] μεγαλοπρεπιαν ℵ$^{c.a}$AT **3** νεφη Bℵ$^{c.a}$A^{1} (νεφην A$^{*\,vid}$) RT] νεφελην ℵ* | την επιβασιν] om την ℵ* (hab ℵ$^{c.a}$)

4 [4]ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, B
καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον.
5 [5]ἐθεμελίωσεν τὴν γῆν ἐπὶ τὴν ἀσφαλίαν αὐτῆς,
οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
6 [6]ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ,
ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα·
7 [7]ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται,
ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.
8 [8]ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσιν πεδία
εἰς τόπον ὃν ἐθεμελίωσας αὐτοῖς·
9 [9]ὅριον ἔθου ὃ οὐ παρελεύσονται,
οὐδὲ ἀποστρέψουσιν καλύψαι τὴν γῆν.
10 [10]ὁ ἀποστέλλων πηγὰς ἐν φάραγξιν,
ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα·
11 [11]ποτιοῦσιν πάντα τὰ θηρία τοῦ ἀγροῦ,
προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.
12 [12]ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει,
ἐκ μέσου τῶν πετρῶν δώσουσιν φωνήν.
13 [13]ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ,
ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.
14 [14]ἐξανατέλλων χόρτον τοῖς κτήνεσιν
καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων,
τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς·
15 [15]καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου,
τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ,
καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.
16 [16]χορτασθήσεται τὰ ξύλα τοῦ πεδίου,
αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσεν·
17 [17]ἐκεῖ στρουθία ἐννοσσεύσουσιν,

4 *πυρ φλεγον*] *πυρος φλεγα* (sic) A^a **5** *εθεμελιωσεν*] *ο θεμελιων* $\aleph^{c.a}AT$ | ℵART *ασφαλειαν* B^{ab} | *κλιθησεται* $B\aleph^{c.a}$(? R)T] *κληθησεται* $\aleph^*$(? R) *κεινηθησεται* A **7** *φωνης*]+*σου* $\aleph^*$ (om $\aleph^{c.a}$) | *διλιασωσιν* T **8** *τοπον*] pr *τον* ℵT | *αυτοις*] *αυτους* $\aleph^*$ (*-τοις* $\aleph^{c.a}$) **9** *ο*] *ον* R* (*ο* R^a) | *αποστρεψουσιν*] *επιστρεψουσιν* ℵART **10** *αποστελλων*] *εξαποστελλων* ℵART **11** *προσδεξονται*] *εξοντ* sup ras B^{ab} *προσδεξωνται* T **12** *κατασκηνωση* T | *πετρων*] *πτερων* $\aleph^*$ (*πετρ.* $\aleph^1$) | *δωσουσι* A *δωσωσιν* T | *φωνην*]+*αυτων* R **14** *εξανατελλων*] pr *ο* $\aleph^{c.a}$ART | *κτηνεσι* T | *δουλια* ℵAT | *εξαγαγεν* T **16** *χορτασθησονται* AR | *πεδιου*] *κῡ* $\aleph^*$ (*πεδ.* $\aleph^{c.a}$) | *αι κεδροι*] *και κεδρ.* R | *εφυτευσας* $\aleph^{c.a}$AT **17** *εννοσευσουσιν* B^* (*εννοσσ.* B^{ab}) *εννοσσευσωσιν* T

B τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῷ.
[18] ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, 18
πέτρα καταφυγὴ τοῖς χοιρογρυλλίοις.
[19] ἐποίησεν σελήνην εἰς καιρούς, 19
ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.
[20] ἔθου σκότος καὶ ἐγένετο νύξ, 20
ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ,
[21] σκύμνοι ὠρυόμενοι ἁρπάσαι 21
καὶ ζητῆσαι παρὰ τοῦ θεοῦ βρῶσιν αὐτοῖς.
[22] ἀνέτειλεν ὁ ἥλιος καὶ συναχθήσονται, 22
καὶ ἐν ταῖς μάνδραις αὐτῶν κοιτασθήσονται·
[23] ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, 23
καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.
[24] ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, 24
πάντα ἐν σοφίᾳ ἐποίησας·
ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.
[25] αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· 25
ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός,
ζῶα μικρὰ μετὰ μεγάλων,
[26] δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. 26
[27] πάντα πρὸς σὲ προσδοκῶσιν, δοῦναι τὴν τροφὴν αὐτοῖς εὖ- 27
καιρον·
[28] δόντος σου αὐτοῖς συλλέξουσιν, 28
ἀνοίξαντος δέ σου τὴν χεῖρα τὰ σύμπαντα ἐμπλησθήσεται
χρηστότητος.
[29] ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται· 29
ἀνταναλεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσιν,
καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

ℵART **17** ερωδιου] αρωδιου A ηρωδιου T | οικια] κατοικια T | αυτω] αυτων ℵART **18** χοιρογρυλλιοις] λαγωοις ℵ$^{c.a}$AT **19** εποιησαν R **20** om και εγενετο νυξ (est litur 3 litt) R | διελευσεται ℵ **21** ορυομενοι ℵ ορυωμενοι T | αρπασαι] pr του ℵ$^{c.a}$AT | του θεου] om του R **22** συναχθησονται] συνηχθησαν ℵART | εν ταις μανδραις] επι ταις μανδραις ℵ* εις τας μανδρας ℵ$^{c.a}$AT **23** εως] μεχρι ℵ* (εως ℵ$^{c.a}$) | εσπεραν R **26** δρακων] pr εκει πλοια διαπορευονται B^{ab}ℵART | επλασας] εφυτευσας R | ενπαιζειν R | αυτω] αυτοις R **27** δουναι] pr του R | την τροφην αυτοις] τ. τροφην αυτων ℵ$^{c.a}$AT αυτοις τροφην R | ευκαιρον] εις καιρον A εν ευκαιρια R εις ευκαιρον T **28** αυτοις] αυτοι T | συλλεξωσιν T | ανυξαντος A* (ανοιξ. A^{a}) | συμπαντα] παντα ℵ* (συμπ. ℵ$^{c.a}$) συνπαντα R | εμπλησθησεται] πλησθησονται ℵAT πλησθησεται R | χρηστοτητος] πιοτητος A **29** εκλειψωσιν T | επιστρεψωσιν T

30 [30]ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται, B
καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.
31 [31]ἤτω ἡ δόξα Κυρίου εἰς τὸν αἰῶνα,
εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ·
32 [32]ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν,
ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.
33 [33]ᾄσω τῷ κυρίῳ ἐν τῇ ζωῇ μου,
ψαλῶ τῷ θεῷ μου ἕως ὑπάρχω·
34 [34]ἡδυνθείη αὐτῷ ἡ διαλογή μου,
ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ κυρίῳ.
35 [35]ἐκλίποισαν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς
καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς·
εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον.

ΡΔ΄

CIV (CV) Ἀλληλουιά.

1 Ἐξομολογεῖσθε τῷ κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ,
ἀπαγγείλατε ἐν τοῖς ἔθνεσιν τὰ ἔργα αὐτοῦ.
2 [2]ᾄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ,
διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.
3 [3]ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ·
εὐφρανθήτω καρδία ζητούντων τὸν κύριον.
4 [4]ζητήσατε τὸν κύριον καὶ κραταιώθητε,
ζητήσατε τὸ πρόσωπον αὐτοῦ διὰ παντός·
5 [5]μνήσθητε τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίησεν,
τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ·
6 [6]σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ,
υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.
7 [7]αὐτὸς Κύριος ὁ θεὸς ἡμῶν·
ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.

31 *τον αιωνα*] *τους αιωνας* ℵ$^{c.a}$AT | *επι*] *εν* R **32** *των ορεων*] om ℵART *των* ℵ$^{c.a}$ **33** om *ψαλω...υπαρχω* A* (hab A$^{?(mg)}$) **35** *εκλειποισαν* B^{ab}AT | *απο της γης*] *υπαρξειν αυτους* R*^{vid} (*απο της γης* R^{a}) | *υπαρχειν*] *υπαρξειν* R*^{vid} (*-χειν* R^{a}) — Stich 76 B 77 ℵA 79 R 78 T CIV **1** *αλληλουια*] *τ* pro *α* 1° ℵ* (*αλλ.* ℵ^{1}) | *τω κυριω*] pr *κα* (sic) ℵ* (om ℵ^{1}) | *αναγγειλατε* R^{vid} | *εργα*] *μεγαλια* ℵ* (*εργα* ℵ$^{c.a}$) **3** *γιω αυτου* sup ras A^{1} **4** *το προσωπον*] om *το* R* (hab R^{a}) **5** *αυτου* 1°] *του* sup ras 3 vel 4 litt A^{a} **6** *δουλου* R* (*δουλοι* R$^{1(vid)}$) | *εκλεκτοι α* sup ras A^{1}

B
8 ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, 8
λόγου οὗ ἐνετείλατο εἰς χιλίας γενεάς,
9 ὃν διέθετο τῷ Ἀβραάμ, 9
καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ·
10 καὶ ἔστησεν αὐτὴν τῷ Ἰακὼβ εἰς πρόσταγμα 10
καὶ τῷ Ἰσραὴλ διαθήκην αἰώνιον,
11 λέγων Σοὶ δώσω τὴν γῆν Χανάαν, 11
σχοίνισμα κληρονομίας ὑμῶν·
12 ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, 12
ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ.
13 καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος 13
ἐκ βασιλείας εἰς λαὸν ἕτερον·
14 οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς, 14
καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς
15 Μὴ ἅψησθε τῶν χριστῶν μου, 15
καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.
16 καὶ ἐκάλεσεν λιμὸν ἐπὶ τὴν γῆν, 16
πᾶν στήριγμα ἄρτου συνέτριψεν.
17 ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, 17
εἰς δοῦλον ἐπράθη Ἰωσήφ.
18 ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ, 18
σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ·
19 μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ, 19
τὸ λόγιον τοῦ κυρίου ἐπύρωσεν αὐτόν.
20 ἐξαπέστειλεν βασιλεὺς καὶ ἔλυσεν αὐτόν, 20
ἄρχων λαῶν, καὶ ἀφῆκεν αὐτόν·
21 κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ 21
καὶ ἄρχοντα πάσης τῆς κτήσεως αὐτοῦ,
22 τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτόν, 22
καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.

ℵART 9 του ορκου] τω ορκω A | Ισακ ℵ 10 αυτην BℵᶜᵃARᵃT] αυτον ℵ* αυτο R* | διαθηκην] pr εις ℵᶜᵃRT 13 εκ] pr και ℵART | εις 2°] προς R 14 αυτους] αυτοις R* (-τους Rᵃ) om και ℵ* (hab ℵᶜᵃ) | αυτων] αυτους R* (-των Rᵃ) | βασιλις ℵ 15 αψησθε] απτεσθαι ℵA απτεσθε T | των χριστων] τους χριστους R 16 αρτου] αυτου ℵ* (αρτου ℵᶜᵃ) 17 απεστείλεν] εξαπεστειλεν Aᵃ R 18 εταπεινωσαν] εταπεινωθησαν R* (-νωσαν Rᵃ) 19 του κυριου] om του T 20 εξαπεστειλεν] απεστειλεν ℵᶜᵃART | αυτον 1°] +το λογιον του κυ επυρωσεν αυτον ℵ* (om ℵ¹ ᶜᵃ) 21 κτησεως] κτισεως ℵARᵛⁱᵈ

23 [23]καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, B
καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ·
24 [24]καὶ ἠὔξησεν τὸν λαὸν αὐτοῦ σφόδρα,
καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.
25 [25]καὶ μετέστρεψεν τὴν καρδίαν αὐτῶν τοῦ μισῆσαι τὸν λαὸν
αὐτοῦ,
τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ.
26 [26]ἐξαπέστειλεν Μωυσῆν τὸν δοῦλον αὐτοῦ,
Ἀαρὼν ὃν ἐξελέξατο αὐτόν·
27 [27]ἔθετο αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ
καὶ τῶν τεράτων ἐν γῇ Χάμ.
28 [28]ἐξαπέστειλεν σκότος καὶ ἐσκότασεν,
καὶ παρεπίκραναν τοὺς λόγους αὐτοῦ.
29 [29]μετέστρεψεν τὰ ὕδατα αὐτῶν εἰς αἷμα,
καὶ ἀπέκτεινεν τοὺς ἰχθύας αὐτῶν·
30 [30]ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους,
ἐν τοῖς ταμείοις τῶν βασιλειῶν αὐτῶν.
31 [31]εἶπεν, καὶ ἦλθεν κυνόμυια
καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.
32 [32]ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν,
πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν·
33 [33]καὶ ἐπάταξεν τὰς ἀμπέλους αὐτῶν καὶ τὰς συκᾶς αὐτῶν,
καὶ συνέτριψεν πᾶν ξύλον ὁρίου αὐτῶν.
34 [34]εἶπεν, καὶ ἦλθεν ἀκρὶς καὶ βροῦχος οὗ οὐκ ἦν ἀριθμός,
35 [35]καὶ κατέφαγεν πάντα τὸν χόρτον ἐν τῇ γῇ αὐτῶν,
καὶ κατέφαγεν τὸν καρπὸν τῆς γῆς αὐτῶν.
36 [36]καὶ ἐπάταξεν πᾶν πρωτότοκον ἐκ τῆς γῆς αὐτῶν,
ἀπαρχὴν παντὸς πόνου αὐτῶν.

25 om *και* ℵ^c.a ART | *αυτων*] *αυτου* ℵ^c.a AT **26** *εξαπεστειλεν*] *απε-στειλεν* R | *αυτον*] *εαυτω* ℵ^c.a ART **27** *αυτοις*] pr *εν* B^ab ℵ^c.a ART | *τερατων*] + *αυτου* ℵ^c.a AT **28** *σκοτους* R* (*-τος* R^a) | *και* 2° *οτι* ℵ^c.a AT | *παρεπικρανεν* ℵ* (*-ναν* ℵ^c.a) **29** *μετεστρεψεν*] pr *και* R | *απεκτεινε* R **30** *εξηρψεν*] *εξηρευξατο* R | *ταμιοις* B*ℵT (*ταμειοις* B^ab A) | *βασιλειων* Bℵ^c.a T] *βασιλεων* ℵ*A^a R **31** *κυνομυια*] a sup ras A^a (seq ras 1 lit) | *σκνειπες* B* (*σκνιπες* B^b A*^vid R)] *σκνιφες* ℵA^a R*T (*-φαις*) | *πασιν* AR **33** om *παν* ℵ* (hab ℵ^c.a) | *οριου*] *οριων* R^a vid **35** *τον χορτον*] om *τον* ℵ^c.a AT | *εν τη γη*] *της γης* R | om *και κατεφαγεν* (2°)...*της γης αυτων* R | *τον καρπον*] *τον χορτον* ℵ* (*τον κ.* ℵ^c.a) pr *παντα* ℵ^c.a AT **36** *εκ της γης*] *εν τη γη* ℵART

B
37 καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ, 37
καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ἀσθενῶν·
38 εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν, 38
ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτούς.
39 διεπέτασεν νεφέλην εἰς σκέπην αὐτοῖς, 39
καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα·
40 ᾔτησαν, καὶ ἦλθεν ὀρτυγομήτρα, 40
καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς.
41 διέρρηξεν πέτραν, καὶ ἐρρύησαν ὕδατα, 41
ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί.
42 ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ, 42
τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ·
43 καὶ ἐξήγαγεν τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, 43
καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ.
44 καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν, 44
καὶ πόνους λαῶν ἐκληρονόμησαν,
45 ὅπως ἂν φυλάξωσιν τὰ δικαιώματα αὐτοῦ, 45
καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν.

ΡΕ'

Ἀλληλουιά. CV (CVI)

Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός, 1
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
2 τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου, 2
ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;
3 μακάριοι οἱ φυλάσσοντες κρίσιν καὶ ποιοῦντες δικαιοσύνην ἐν 3
παντὶ καιρῷ.
4 μνήσθητι ἡμῶν, Κύριε, ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου, 4
ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου,

ℵART **37** *ασθενων*] pr o ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) T **38** *ο φοβος*] om ο R **39** *νεφελην*] *νεφελη* ℵ* (-*λην* ℵ$^{c.a}$) | om *αυτοις* 2° ℵ* (hab *αυτους* ℵ$^{c.a}$) T **41** *διερρηξεν* T | *ερυησαν* T | *ποταμοις* ART **43** *εγλεκτους* B* (*εκλ.* B^{b}) | om *αυτου* 2^{c} A **44** *εκληρονομησαν*] *κατεκληρονομησαν* ℵ$^{c.a}$ (*εκληρ.* ℵ$^{c.b}$) AT **45** *εκζητησουσιν* AR — Stich 89 BℵA 90 RT CV **1** *χρηστος*] *os* sup ras A^{a} **2** *δυναστιας* ℵT | *α:ουστα* ℵ | *αινεσις* ℵA **4** *επισκεψαι*] pr *και* R

5 [5]τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, B
τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου,
τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου.
6 [6]ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν,
ἠνομήσαμεν, ἠδικήσαμεν·
7 [7]οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου,
καὶ οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου,
καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ.
8 [8]καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ,
τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ·
9 [9]καὶ ἐπετίμησεν τῇ ἐρυθρᾷ θαλάσσῃ καὶ ἐξηράνθη,
καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ ὡς ἐν ἐρήμῳ·
10 [10]καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρῶν μισούντων,
καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθροῦ·
11 [11]καὶ ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς,
εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη.
12 [12]καὶ ἐπίστευσαν ἐν τοῖς λόγοις αὐτοῦ,
καὶ ᾖνεσαν τὴν αἴνεσιν αὐτοῦ.
13 [13]ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ,
οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ·
14 [14]καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ,
καὶ ἐπείρασαν τὸν θεὸν ἐν ἀνύδρῳ.
15 [15]καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν,
καὶ ἐξαπέστειλεν πλησμονὴν εἰς τὴν ψυχὴν αὐτῶν.
16 [16]καὶ παρώργισαν Μωυσῆν ἐν τῇ παρεμβολῇ
καὶ Ἀαρὼν τὸν ἅγιον Κυρίου·
17 [17]ἠνοίχθη ἡ γῆ καὶ κατέπιεν Δαθάν,
καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών·

5 μετα της κληρονομιας] εν τη κληρονομια ℵ* (μετα της κληρονομια [sic] ℵ$^{c.a}$) ℵART **7** om και 1° ℵAT | παραπικραναν ℵ* (παρεπ. ℵ^{1}) | αναβαινοντας R | ερυθα A* (superscr ρ A^{1}) | θαασση T* (superscr λ T^{1}) **8** δυναστιαν ℵT **9** επετιμησεν] ε 2° sup ras A^{b} | ερημω] pr τη R **10** χειρων] χειρος ART | μισουντων (μισουντ rescr ℵ^{1})] μισουντος ℵ$^{c.a}$ART | εχθρου] εχθρων ℵ$^{c.a}$ **11** om και AT **12** επιστευσαν] ηπιστησαν R | εν τοις λογοις] τω λογω ℵ$^{c.a}$ | ηνεσαν] ησαν ℵ$^{c.a}$T | την αινεσιν] τας αινεσεις R **13** εταχυνεν R* (-ναν R^{a}) **15** το αιτημα] τα αιτηματα R | om και 2° AT | εξαπεστειλεν (εξαποστ. A)] εισηγαγεν R | την ψυχην] τας ψυχας ℵ$^{c.a}$ART **16** Μωυσην (Μωσ. A)] pr τον ℵAT | om και 2° ℵ$^{c.a}$AT | Ααρων] pr τον ℵ* (om ℵ$^{c.a}$) AT **17** ηνυχθη ℵ | συναγωγην] συ sup ras A$^{a?}$

(Β) (א) [18] καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, 18
καὶ φλὸξ κατέφλεξεν ἁμαρτωλούς.
[19] καὶ ἐποίησαν μόσχον ἐν Χωρήβ, 19
καὶ προσεκύνησαν τῷ γλυπτῷ·
[20] καὶ ἠλλάξαντο τὴν δόξαν αὐτῶν 20
ἐν ὁμοιώματι μόσχου ἔσθοντος χόρτον.
[21] ἐπελάθοντο τοῦ θεοῦ τοῦ σώζοντος αὐτούς, 21
τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ,
[22] θαυμαστὰ ἐν γῇ Χάμ, 22
καὶ φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς.
[23] καὶ εἶπεν τοῦ ἐξολεθρεῦσαι αὐτούς, 23
εἰ μὴ Μωυσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη
ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ,
τοῦ ἀποστρέψαι ἀπὸ θυμοῦ ὀργῆς αὐτοῦ
τοῦ μὴ ἐξολεθρεῦσαι.
[24] καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν, 24
καὶ οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ·
[25] καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν, 25
οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου.
[26] καὶ ἐπῆρεν τὴν χεῖρα αὐτοῦ αὐτοῖς, 26
¶ Β τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ,¶
[27] καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσιν 27
καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις.
[28] καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ, 28
καὶ ἔφαγον θυσίας νεκρῶν·
[29] καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν, 29
καὶ ἐπληθύνθη ἐπ᾽ αὐτοὺς ἡ πτῶσις.

ℵART **18** om *και* 2° ℵART **19** Χωβηβ R^{vid} **20** *αυτων*] *αυτου* ℵ$^{c.a}$ ART | *εσθιοντος* RT (*αισθ.*) **21** *του θεου*] *κυ* ℵ* *θυ* ℵ$^{c.a}$AT *τον θεον* R | *σωζοντος*] *ρυσαντος* (sic) R | *μεγαλα*] *μεγαλεια* A^{1}R **22** *θαυμασια* ℵ$^{c.a}$ (*-στα* ℵ$^{c.b}$) ART | om *και* ℵART **23** *εγλεκτος* B* (*εκλ.* B^{ab}) | *τη θραυσει*] om *τη* ℵ* (hab ℵ$^{c.a}$) | *του αποστρ.*] *του μη αποστρ.* ℵ* (om *μη* ℵ$^{c.a\,vid}$) | *απο θυμου οργης*] *την οργην* ℵ* R *τον θ.* ℵ$^{c.a\,vid}$ AT | *εξολεθρευσαι*] + *αυτους* ART **24** om *και* 2° ℵART | *επιστρευσαν* ℵ^{edit} **25** *εγογγυζον* R **26** *αυτοις*] *επ αυτους* ART | *ερημω*] *ερη..* B* *μω* praeter lineas subscr B$^{?}$: deest B* usque CXXXVII 6 **27** om *και* 2° T | *διασκορπισαι* (*-σε* A)] *α* 1° sup ras A^{a} **28** *θυσιαν* R **29** *παρωξυναν*] *παρεπικραναν* R | *επ*] *εν* ART | *αυτους*] *αυτοις* ℵ$^{c.a}$ART

30 [30]καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, ℵ
καὶ ἐκόπασεν ἡ θραῦσις·
31 [31]καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην
εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος.
32 [32]καὶ παρώργισαν ἐφ' ὕδατος Ἀντιλογίας,
καὶ ἐκακώθη Μωυσῆς δι' αὐτούς,
33 [33]ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ,
καὶ διέστειλεν τοῖς χείλεσιν αὐτοῦ.
34 [34]οὐκ ἐξωλέθρευσαν τὰ ἔθνη ἃ εἶπεν Κύριος,
35 [35]καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσιν
καὶ ἔμαθον τὰ ἔργα αὐτῶν·
36 [36]καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν,
καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον·
37 [37]καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν
καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις,
38 [38]καὶ ἐξέχεαν αἷμα ἀθῷον,
αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων·
ἔθυσαν τοῖς γλυπτοῖς Χανάαν·
καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασιν,
39 [39]καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν·
καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.
40 [40]καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ,
καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ·
41 [41]καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐθνῶν,
καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς·
42 [42]καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν,
καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν.
43 [43]πλεονάκις ἐρρύσατο αὐτούς,
αὐτοὶ δὲ παρεπίκραναν ἐν τῇ βουλῇ αὐτῶν,
καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν.

32 παρωργισαν] +αυτον ℵ$^{c.a}$ART | εφ] επι A **33** τοις χειλεσιν] pr εν ART ℵ$^{c.a}$ART **34** εξολεθρ. T | Κυριος] +αυτοις ℵ$^{c.a}$ART **36** εισκανδαλον A **38** εθυσαν] ων εθυον ℵ$^{c.a}$ ων εθυσαν AT και εθυσαν R | εφονοκτονηθη] εφονοκτηνηθη ℵ* (εφονοκτον. ℵ^{1}) ονοκτονη sup ras A^{a} εφονοκτη (? -κθη) R^{vid} | αιμασιν]+αυτων A **39** om και εμιανθη...αυτων 2° A (not adscr A^{1mg}) | εμιανθη]+η γη R **40** επι] εις R **41** εθνων] εχθρων A^{a} (sup ras) **42** θησαν υπο τας χειρας αυτ$\bar{ω}$| sup ras A^{a} **43** ερυσατο T | παρεπικραναν] +αυτον ℵ$^{c.a}$ART **43—48** εν τη βουλη...γενοιτο rescr R^{a}

ℵ [44]καὶ ἴδεν ἐν τῷ θλίβεσθαι αὐτούς, 44
ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν·
[45]καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, 45
καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ,
[46]καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς 46
ἐναντίον πάντων αἰχμαλωτισάντων αὐτούς.
[47]σῶσον ἡμᾶς, Κύριε ὁ θεὸς ἡμῶν, 47
καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν,
τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι τῷ ἁγίῳ σου,
τοῦ ἐνκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου.

[48]εὐλογητὸς Κύριος ὁ θεὸς Ἰσραὴλ 48
ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος·
καὶ ἐρεῖ πᾶς ὁ λαός Γένοιτο.

ART **44** *ιδεν*]+$\overline{\text{κς}}$ AR$^{b(vid)}$T | *της δεησεως*] *τας δεησεις* R^a **45** om *αυτου* 1° A* (hab A$^{a(mg)}$) | *μετεμελη θη*] pr ras 1 lit (*ε* ut vid) A **46** *οικτειρμους* A | *εναντιον*] *ενωπιον* R^a | *αιχμαλωτισαντων*] *των αιχμαλωτισ.* A *των αιχμαλωτευσαντων* R^{a}T **47** *ημας* $\overline{\text{κε}}$ *ο* $\overline{\text{θς}}$ *ημων* sup ras et in mg A^a (om *ημας* A*) | *σου τω αγιω* AT **48** *θς* (sic) A | *Ισραηλ*] pr *του* R^a | *γενοιτο*] +*γενοιτο* AR^{a}T — Stich 100 ℵ 104 AT 105 R^{vid}

V

PF′ ℵ

CVI (CVII)

Ἀλληλουιά.

1 Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
2 εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου,
οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ.
3 ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς,
ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης.
4 ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ,
ὁδὸν πόλιν κατοικητηρίου οὐχ εὗρον·
5 πεινῶντες καὶ διψῶντες,
ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν.
6 καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς,
καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐρρύσατο αὐτούς·
7 καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν
τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου.
8 ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ
καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων,
9 ὅτι ἐχόρτασεν ψυχὴν κενήν,
καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.
10 καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου,
πεπεδημένους ἐν πτωχίᾳ καὶ ἐν σιδήρῳ·
11 ὅτι παρεπίκραναν τὰ λόγια τοῦ θεοῦ,
καὶ τὴν βουλὴν τοῦ ὑψίστου παρώξυναν·
12 καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν,
ἠσθένησαν καὶ οὐκ ἦν ὁ βοηθῶν.
13 καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς,
καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς·
14 καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ ἐκ σκιᾶς θανάτου,
καὶ τοὺς δεσμοὺς αὐτῶν διέρρηξεν.

CVI **1—2** rescr R^a **2** Κυριω R^a | εχθρου] εχθρων $\aleph^{c.a}$ **3** εκ] pr ART και $\aleph^{c.a}$T **4** πολιν] πολεως $\aleph^{c.a}$ART **5** εξελειπεν AT **6** ερυσατο AT **8** τοις υιοις] om τοις R **9** κενην] καινην $\aleph$A πενην $R^{*\,vid}$ (κεν. R^a) **10** om εν 3° $\aleph^{c.a}$ART **11** του θεου] Κυριου R **12** ησθενησαν] pr και A **14** εξηγαγεν] ωδηγησεν R | εκ 1° $\aleph^{c.a}$ (εν $\aleph^*$) | om εκ 2° ART

א [15] ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ 15
καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων,
[16] ὅτι συνέτριψεν πύλας χαλκᾶς, 16
καὶ μοχλοὺς σιδηροῦς συνέκλασεν.
[17] ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν, 17
διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν.
[18] πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, 18
καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου.
[19] καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, 19
καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς,
[20] ἀπέστειλεν τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτούς, 20
καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.
[21] ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ 21
καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων,
[22] καὶ θυσάτωσαν θυσίαν αἰνέσεως, 22
καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.
[23] οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν ἐν πλοίοις, 23
ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς,
[24] αὐτοὶ εἶδοσαν τὰ ἔργα Κυρίου 24
καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ.
[25] εἶπεν, καὶ ἔστη πνεῦμα καταιγίδος, 25
καὶ ὑψώθη τὰ κύματα αὐτῆς·
[26] ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, 26
καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων·
ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο,
[27] ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων, 27
καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη.
[28] καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, 28
καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς,
[29] καὶ ἔστησεν καταιγίδα αὐτῆς, 29
καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς·
[30] καὶ εὐφράνθησαν ὅτι ἡσύχασαν, 30

ART **15** *και τα*] *κατα* R **16** *συνεκλασεν*] *συνεθλασεν* AT **17** *αυτων* 1°] *αυτους* R **20** *ερυσατο* T **22** *θυσατωσαν*] + *αυτω* AT **23** om *εις* R* (hab R^{a}) | *την θαλασσαν*] om *την* RT | *ποιουντες*] pr *οι* A$^{a?}$ | *υδασιν* RT **24** *ειδοσαν*] *ειδον* ℵ$^{c.a}$ *ιδον* AT | *Κυριου*] pr *του* R | *τω βυθω*] om *τω* R **27** *εσαλευθησαν*] pr *και* ℵ$^{c.a}$R **29** *εστησεν καταιγιδα αυτης*] *επετιμησεν* (+ *τη* R) *καταιγιδι και εστη εις αυραν* AT **30** *ηυφρανθησαν* AT | *ησυχασαν*] *ησυ* sup ras A$^{a?}$

καὶ ὡδήγησεν αὐτοὺς ἐπιμελίᾳ θελήματος αὐτοῦ. ℵ
31 [31]ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ
καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων,
32 [32]ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίαις λαοῦ,
καὶ ἐν καθέδραις πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.
33 [33]ἔθετο ποταμοὺς εἰς ἔρημον,
καὶ ἐξόδους ὑδάτων εἰς δίψαν,
34 [34]γῆν καρποφόρον εἰς ἅλμην,
ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.
35 [35]ἔθετο ἔρημον εἰς λιμένας ὑδάτων,
36 [36]καὶ κατῴκισεν ἐκεῖ πεινῶντας,
καὶ συνεστήσαντο πόλιν κατοικεσίας,
37 [37]καὶ ἔσπειραν ἀγροὺς καὶ ἐφύτευσαν ἀμπελῶνας,
καὶ ἐποίησαν καρπὸν γενήματος.
38 [38]καὶ εὐλόγησεν αὐτοὺς καὶ ἐπληθύνθησαν σφόδρα,
καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνεν.
39 [39]καὶ ὠλιγώθησαν καὶ ἐκακώθησαν
ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης.
40 [40]ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας,
καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ.
41 [41]καὶ ἐβοήθησεν πένητι ἐκ πτωχίας,
καὶ ἔθετο ὡς πρόβατα πατριάς.
42 [42]ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται,
καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς.
43 [43]τίς σοφὸς καὶ φυλάξει ταῦτα,
καὶ συνήσουσιν τὰ ἐλέη τοῦ κυρίου;

ΡΖ'

CVII (CVIII)

Ὠδὴ ψαλμοῦ τῷ Δαυείδ.

2 [2]Ἑτοίμη ἡ καρδία μου, ὁ θεός, ἑτοίμη ἡ καρδία μου,
ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου·

30 επιμελια] επι λιμενα ℵ$^{c.a}$ART | αυτου] αυτων R **32** εκκλησια ART ℵ$^{c.a}$AT | καθεδρα ℵ$^{c.a}$T | πρεσβυτην (?τεν) R **33** εξοδους] διεξοδους ℵ$^{c.a}$ART **34** αυτη] αυταις R^{vid} **35** λιμενας] λιμνας ART | υδατων] +και γην ανυδρον εις διεξοδους υδατων ℵ$^{c.a}$ART **36** κατωκισεν (-κησεν A*)] κατεσκηνωσεν R | πολιν] πολεις ℵ$^{c.a\,(vid)}$ART **38** εσμηκρυναν A **40** αρχοντας] +αυτων AT | ουχ οδω] ουκ εν οδω R **41** εκ] απο R **42** εμφραξη T | το στομα] om το A **43** φυλαξει] συνησει R — Stich 83 ℵ 87 A 81 R 86 T CVII **1** ωδη ψαλμου] ψαλμος A **2** ασωμαι T | μου 3°] +εξεγερθητι (εξηγ. ℵ$^{c.a}$) η δοξα μου ℵ$^{c.a}$T

א [3]ἐγέρθητι, ψαλτήριον καὶ κιθάρα· ἐξεγερθήσομαι ὄρθρου. 3
[4]ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, 4
καὶ ψαλῶ σοι ἐν ἔθνεσιν·
[5]ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου, 5
καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.
[6]ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ θεός, 6
καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.
[7]ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, 7
σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.
[8]ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ 8
Ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα,
καὶ τὴν κοιλάδα τῶν σκηνωμάτων ἐκμετρήσω.
[9]ἐμός ἐστιν Γαλαάδ, καὶ ἐμός ἐστιν Μανασσή, 9
καὶ Ἐφράιμ ἀντίλημψις τῆς κεφαλῆς μου·
Ἰούδας βασιλεύς μου,
[10]Μωὰβ λέβης τῆς ἐλπίδος μου· 10
ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου,
ἐμοὶ οἱ ἀλλόφυλοι ὑπετάγησαν.
[11]τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; 11
τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;
[12]οὐχὶ σύ, ὁ θεός, ὁ ἀπωσάμενος ἡμᾶς; 12
καὶ οὐχὶ ἐξελεύσῃ, ὁ θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν;
[13]δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, 13
καὶ ματαία σωτηρία ἀνθρώπου.
[14]ἐν τῷ θεῷ ποιήσομεν δύναμιν, 14
καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

ΡΗ′

Εἰς τὸ τέλος· τῷ Δαυεὶδ ψαλμός. CVIII (CIX)

[1]Ὁ θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς· 1
[2]ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ᾽ ἐμὲ ἠνοίχθη, 2

ART **3** εγερθητι] εξεγερθητι $\aleph^{c.a}$ART **4** om και $\aleph^{c.a}$ART **5** μεγα] εμεγαλυνθη R | επανω] εως R **8** υψωθησομαι] αγαλλιασομαι R | σκηνωματων] σκηνων ART | εκμετρησω] διαμετρησω ART **9** Γαλααδ] δ sup ras A^a | Μανασσης ART | Εφρεμ (? R) T | αντιλημψις] κραταιωσις R | βασιλευς] pr ο R **10** εκτενω] επιβαλω $\aleph^{c.a}$AT | οι αλλοφυλοι] om οι $\aleph^{c.a}$ART **11** απαξη T | τις 2°] pr η $\aleph^{c.a}$ART | οδηγησει T **12** ουχι 2°] ουκ $\aleph^{c.a}$ART **13** βοηθειαν AT **14** ποιησωμεν AT | εξουδενωσει T | εχθρους ημων] θλιβοντας ημας A^1 — Stich 27 ℵ 29 A 28 R 30 T CVIII **1** ψαλμος τω Δ. ART **2** ηνοιχθη] οι sup ras A^a

ἐλάλησαν κατ᾽ ἐμοῦ γλώσσῃ δολίᾳ· ℵ
3 [3]καὶ λόγοις μίσους ἐκύκλωσάν με,
καὶ ἐπολέμησάν με δωρεάν.
4 [4]ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με,
ἐγὼ δὲ προσευχόμην·
5 [5]καὶ ἔθεντο κατ᾽ ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν,
καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.
6 [6]κατάστησον ἐπ᾽ αὐτὸν ἁμαρτωλόν,
καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ·
7 [7]ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος,
καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν.
8 [8]γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι,
καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος·
9 [9]γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί,
καὶ ἡ γυνὴ αὐτοῦ χήρα·
10 [10]σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ καὶ ἐπαιτησάτωσαν,
ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.
11 [11]καὶ ἐξεραυνησάτω δανιστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ·
διαρπασάτωσαν ἀλλότριοι πάντας τοὺς πόνους αὐτοῦ·
12 [12]μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήμπτωρ,
μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ·
13 [13]γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολέθρευσιν,
ἐν γενεᾷ μιᾷ ἐξαλειφθήτω τὸ ὄνομα αὐτοῦ.
14 [14]ἀναμνησθείη ἡ ἁμαρτία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου,
καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη·
15 [15]γενηθήτωσαν ἔναντι Κυρίου διὰ παντός,
καὶ ἐξολεθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.
16 [16]ἀνθ᾽ ὧν οὐκ ἐμνήσθη τοῦ ποιῆσαι ἔλεος,
καὶ κατεδίωξεν πένητα καὶ πτωχὸν
καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.

2 γλωσσαν δολιαν R **4** ενδιαβαλλον ℵ* (ενδιεβ. ℵ[1]) | προσευχομην] ART προσηυχομην AT προσευχομαι R **5** κακα] πονηρα R **8** λαβοι] λαβετω R **9** οι υιοι] om οι R **10** οι υιοι] om οι R | om αυτου R **11** om και ℵ[c.a]A* (hab A[a]) RT | εξερευνησατω RT | διαρπασατωσαν] pr και AT | om παντας ℵ[c.a]AT | αυτου] υ sup ras A[a?] **12** οικτειρμων A | ορφανοις] pr φοβουμ (sic) ℵ* punctis et uncis improb ℵ[1] **13** εξαλειφθητω] εξαλιφθη ℵ[c.a]T (-φθειη) | αυτου 2°] αυτων R **14** αμαρτια 1°] ανομια ℵ[c.a]ART **15** εναντι] εναντιον ℵ[c.a]AT | εξολεθρ. T* (εξολεθρ. T[1]) | αυτων] αυτου AR **16** εμνησθησαν RT | του ποιησαι] om του ℵ[c.a]T | κατεδιωξαν RT | πενητα] pr ανον ℵ[c.a]ART | κατανυγμενον R | post θανατωσαι ras 2 vel 3 litt A[a?]

א [17]καὶ ἠγάπησεν κατάραν, καὶ ἥξει αὐτῷ· 17
καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ᾽ αὐτοῦ.
[18]καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, 18
καὶ εἰσῆλθεν ὡς ὕδωρ εἰς τὰ ἔνκατα αὐτοῦ
καὶ ὡς ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ·
[19]γενηθήτω αὐτῷ ὡς ἱμάτιον ὃ περιβάλλεται, 19
καὶ ὡσεὶ ζώνη ἣν διὰ παντὸς ζώννυται.
[20]τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίῳ 20
καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.
[21]καὶ σύ, Κύριε κύριε, ποίησον μετ᾽ ἐμοῦ ἔλεος ἕνεκα τοῦ ὀνό- 21
ματός σου,
ὅτι χρηστὸν τὸ ἔλεός σου, ῥῦσαί με·
[22]ὅτι πτωχὸς καὶ πένης ἐγώ εἰμι, 22
καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.
[23]ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀνταναῃρέθη, 23
ἐξετινάχθην, ὡσεὶ ἀκρίδες.
[24]τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστίας, 24
καὶ ἡ σάρξ μου ἠλλοιώθη δι᾽ ἔλαιον.
[25]καὶ ἐγὼ ἐγενήθην ὄνειδος αὐτοῖς· 25
εἶδόσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν.
[26]βοήθησόν μοι, Κύριε ὁ θεός μου, 26
σῶσόν με κατὰ τὸ μέγα ἔλεός σου·
[27]καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, 27
καὶ σύ, Κύριε, ἐποίησας αὐτήν.
[28]καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις· 28
οἱ ἐπανιστανόμενοί μοι αἰσχυνθήτωσαν,
ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.
[29]ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν, 29
καὶ περιβαλλέσθωσαν αἰσχύνην ὡσεὶ διπλοΐδα αὐτῶν.
[30]ἐξομολογήσομαι τῷ κυρίῳ σφόδρα τῷ στόματί μου, 30

ART **17** καταραν] α 2° sup ras A^a **18** εισηλθε R | ως 2°] ωσει AT | ως 3°] ωσει $\aleph^{c.a}$ART **19** ζωνη $\aleph^{c.a}$TR] ζωνην $\aleph^*$A | ζωννυται] περιζωννυται $\aleph^{c.a}$ ART **20** Κυριου R **21** om ελεος 1° $\aleph^{c.a}$ A^* (hab $A^{a\dagger}$) R | ενεκεν $\aleph^{c.a}$ART **22** ειμι εγω ART | τεταρακται] εταραχθη R **23** εκκλινειν R | ανταναρεθη] ανταναρεθην $\aleph^{c.a}$RT ανταναιρεθην A **24** νηστειας A | ελεον ℵ **25** ιδοσαν AT **26** σωσον] pr και AT | om μεγα $\aleph^{c.a}$ART **28** ευλογησης T | επανισταμενοι T | αισχυνθητωσαν] αισχυνθησονται R **29** με] μοι R | περιβαλεσθωσαν ART | αισχυνην ωσει διπλοιδα (-δαν ℵ)] ωσει διπλ. αισχ. $\aleph^{c.a}$R ως διπλ. αισχ. AT **30** τω κυριω] om τω $\aleph^{c.a}$ | τω στοματι] pr εν $\aleph^{c.a}$ART

καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν· ℵ
31 31 ὅτι παρέστη ἐκ δεξιῶν πένητος,
τοῦ σῶσαι ἐκ τῶν διωκόντων τὴν ψυχήν μου.

ΡΘ′

CIX (CX) Τῷ Δαυεὶδ ψαλμός.

1 Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου Κάθου ἐκ δεξιῶν μου
ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.
2 2 ῥάβδον δυνάμεως ἐξαποστελεῖ Κύριος ἐκ Σιών·
καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.
3 3 μετὰ σοῦ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου,
ἐν τῇ λαμπρότητι τῶν ἁγίων·
ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐξεγέννησά σε.
4 4 ὤμοσεν Κύριος καὶ οὐ μεταμεληθήσεται
Σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισέδεκ.
5 5 κύριος ἐκ δεξιῶν σου συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασι-
λεῖς·
6 6 κρινεῖ ἐν τοῖς ἔθνεσιν, πληρώσει πτῶμα,
συνθλάσει κεφαλὰς ἐπὶ γῆν πολλήν.
7 7 ἐκ χειμάρρου ἐν ὁδῷ πίεται·
διὰ τοῦτο ὑψώσει κεφαλήν.

ΡΙ′

CX (CXI) Ἀλληλουιά.

1 Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου,
ἐν βουλῇ εὐθείων καὶ συναγωγῇ.
2 2 μεγάλα τὰ ἔργα Κυρίου,
ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ·
3 3 ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ,
καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

31 διωκοντων] καταδιωκοντων ℵ$^{c.a}$ART — Stich 64 ℵAR 62 T CIX **1** ο ART κυριος] om ο R **2** δυναμεως]+σου R | εξαποστελει] εξαποστελλει R +σοι ℵ$^{c.a}$T | Σειων T **3** αρχη] pr η ℵ$^{c.a}$ART | τη λαμπροτητι] ταις λαμπροτεσι ℵ$^{c.a}$T ταις λαμπροτησιν A | αγιων]+σου ℵ$^{c.a}$AT | εξεγεννησα] εγεννησα ℵ$^{c.a}$AT **4** om ει AT **5** οργης] pr της R **6** κρινει εν ART] κρινιν ℵ* κρινι ε ℵ$^{c.a\ vid}$ | πληρωση T | πτωματα ART | συνθλαση T | γην πολλην] γης πολλην (sic) ℵ$^{c.a}$ γης πολλων ART **7** πιεται]+υδωρ A | υψωση T — Stich 14 ℵT 15 A 13 R CX **1** ευθιων ℵAT **2** Κυριου] pr του R | εξεζητημενα] εξητημενα R **3** εξομολογησεις ℵA | μεγαλοπρεπια T

א [4]μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ, 4
ἐλεήμων καὶ οἰκτίρμων ὁ κύριος·
[5]τροφὴν ἔδωκεν τοῖς φοβουμένοις αὐτόν, 5
μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ.
[6]ἰσχὺν ἔργων ἑαυτοῦ ἀνήγγειλεν τῷ λαῷ ἑαυτοῦ, 6
τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν.
[7]ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις· 7
πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ,
[8]ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, 8
πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι.
[9]λύτρωσιν ἀπέστειλεν τῷ λαῷ αὐτοῦ· 9
ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ·
ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ.
[10]ἀρχὴ σοφίας φόβος Κυρίου, 10
σύνεσις ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν·
ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ΡΙΑ′

Ἀλληλουιά. CXI (CXII)

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον, 1
ἐν ταῖς ἐντολαῖς αὐτοῦ θέλει σφόδρα·
[2]δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, 2
γενεὰ εὐθείων εὐλογηθήσεται·
[3]δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, 3
καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
[4]ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι· 4
ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.
[5]χρηστὸς ἀνὴρ ὁ οἰκτίρμων καὶ κιχρῶν, 5
οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει·

ART **4** οικτειρμων A **5** αυτον] αυτου R **6** εαυτου bis] αυτου $\aleph^{c.a}$ART | ενηγγειλεν R **7** αληθια ℵ (item 8) **8** στηριγμεναι R **9** απεστειλεν] +κς $\aleph^{c.a}$T | διαθηκης $\aleph^{c.a}$ **10** συνεσις (-σεις A)]+δε $\aleph^{c.a}$ (ras $\aleph^{c.b}$) | πασιν $\aleph^{c.a}$AR — Stich 21 ℵART CXI **1** αλληλουια]+της επιστροφης Αγγαιου και Ζαχαριου R+Ζαχαριου T | θελει] θελησει $\aleph^{c.a}$ART | om σφοδρα A^{*vid} (hab $A^{a?}$) **2** εσται εν τη γη R | ευθιων ℵT (ευθειων A) **4** εξανετειλεν (seq ras 4 litt [τοις ut vid] in A) | ευθεσιν RT | οικτειρμων A | δικαιος]+κς ο θς A+ο κυριος R **5** οικτιρμων] οικτειρων A (? R) οικτιρων (? R) T | οικονομηση T

6 [6]ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται· ℵ
εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.
7 [7]ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται·
ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ τὸν κύριον.
8 [8]ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ φοβηθήσεται,
ἕως οὗ ἐφίδῃ τοὺς ἐχθροὺς αὐτοῦ.
9 [9]ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν,
ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·
τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.
10 [10]ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται,
τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται·
ἐπιθυμία ἁμαρτωλῶν ἀπολεῖται.

ΡΙΒ′

CXII (CXIII) Ἀλληλουιά.

1 Αἰνεῖτε, παῖδες, Κύριον,
αἰνεῖτε τὸ ὄνομα αὐτοῦ.
2 [2]εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον
ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος·
3 [3]ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν
αἰνεῖται τὸ ὄνομα Κυρίου.
4 [4]ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ κύριος,
ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.
5 [5]τίς ὡς Κύριος ὁ θεὸς ἡμῶν;
ὁ ἐν ὑψηλοῖς κατοικῶν,
6 [6]καὶ τὰ ταπεινὰ ἐφορῶν
ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ·
7 [7]ὁ ἐγείρων ἀπὸ γῆς πτωχόν,
καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα,
8 [8]τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων,
μετὰ ἀρχόντων λαοῦ αὐτοῦ·
9 [9]ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ,
μητέρα τέκνων εὐφραινομένων.

7 *τον κυριον*] om *τον* ART **8** *ου φοβηθησεται*] *ου μη φοβηθη* ℵ$^{c.a}$AT ART *ου μη σαλευθησεται* R | *εως*] pr *ετοιμη η καρδια αυτου ελπιζειν επι τον κν* ℵ* (om ℵ$^{1\,c.a}$) | *εφιδη*] *επιδη* AR^{vid} | *τους εχθρους*] pr *επι* ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) ART — Stich 23 ℵ 22 ART CXII **1** *αινειται* bis ℵA | *Κυριον*] pr *τον* AR | *αυτου*] *κυ* ℵ$^{c.a}$AR T **3** *μεχρι*] pr *και* AR | *αινειται* ℵ*R^{vid}] *αιναιτον* A *αινετον* ℵ$^{c.a}$T **8** *λαου*] pr *του* R **9** *τεκνων*] *επι τεκνοις* ℵ$^{c.a}$AT | *ευφραινομενη* ℵ$^{c.a\ edit}$ *ευφραινομενην* ART — Stich 11 ℵ 17 AT 16 R

א ΡΙΓ′

Ἀλληλουιά. CXIII (CXIV)

Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, 1
οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου,
ἐγενήθη ἡ Ἰουδαία ἁγίασμα αὐτοῦ, 2
Ἰσραὴλ ἡ ἐξουσία αὐτοῦ.
ἡ θάλασσα εἶδεν καὶ ἔφυγεν, 3
ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω·
τὰ ὄρη ἐσκίρτησαν ὡς κριοί, 4
καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.
τί ἐστιν, θάλασσα, ὅτι ἔφυγες; 5
καὶ σύ, Ἰορδάνη, ὅτι ἀνεχώρησας εἰς τὰ ὀπίσω;
τὰ ὄρη, ἐσκιρτήσατε ὡς κριοί; 6
ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, 7
ἀπὸ προσώπου τοῦ θεοῦ Ἰακώβ,
τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων 8
καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.
μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν 9 (1) (CXV)
ἀλλ᾽ ἢ τῷ ὀνόματί σου δὸς δόξαν
ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου.
μή ποτε εἴπωσιν τὰ ἔθνη 10 (2)
Ποῦ ἐστιν ὁ θεὸς αὐτῶν;
ὁ δὲ θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ ἄνω· 11 (3)
ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς
πάντα ὅσα ἠβούλετο ἐποίησεν.
τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, 12 (4)
ἔργα χειρῶν ἀνθρώπων.

ART CXIII **1** εξοδου A | οικου] οικοι ℵ **2** η Ιουδαια] om η ℵ$^{c.a}$ART | Ισραηλ η εξουσια] Ιηλ εξουσια A^{*vid} (Ιηλ εις εξουσια [sic] A^{a}) R^{vid}T **3** η θαλασσα] om η R | ιδεν AT | ο Ιορδανη A* (ο Ιορδανης A$^{a\text{-}t}$) Ιορδανης R **4** ως 1°] ωσει ART **5** τι]+σοι ℵ$^{c.a}$ART | Ιορδανης R | ανεχωρησας] εστραφης ℵ$^{c.a}$A (-φη A* -φης A^{a}) T **6** εσκιρτησατε] pr οτι ℵ$^{c.a}$A^{a} (τα ορη οτι εσκι sup ras) RT | ως] ωσει ℵ$^{c.a}$ART | κριοι]+και οι βουνοι ως αρνια προβατων ℵ$^{c.a}$ART **8** την πετραν] om την R **9** αληθια ℵA **10** τα εθνη] εν τοις εθνεσιν R **11** om ανω εν τοις ουρανοις ℵ$^{c.a}$AT (hab ανω εν τω ουρανω R) | επι της γης] εν τη γη ℵ$^{c.a}$ART | ηβουλετο] ηθελησεν ℵ$^{c.a}$ART

(5) 13 [13]στόμα ἔχουσιν καὶ οὐ λαλοῦσιν, ℵ
ὀφθαλμοὺς ἔχουσιν καὶ οὐκ ὄψονται·
(6) 14 [14]ὦτα ἔχουσιν καὶ οὐκ ἀκούσονται,
ῥῖνας ἔχουσιν καὶ οὐκ ὀσφρανθήσονται·
(7) 15 [15]χεῖρας ἔχουσιν καὶ οὐ ψηλαφήσουσιν,
πόδας ἔχουσιν καὶ οὐ περιπατήσουσιν·
οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν.
(8) 16 [16]ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ
καὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς.
(9) 17 [17]οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον·
βοηθὸς αὐτῶν καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.
(10) 18 [18]οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον·
βοηθὸς αὐτῶν καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.
(11) 19 [19]οἱ φοβούμενοι τὸν κύριον ἤλπισαν ἐπ᾽ αὐτόν·
βοηθὸς αὐτῶν καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.
(12) 20 [20]Κύριος ἐμνήσθη ἡμῶν καὶ εὐλόγησεν ἡμᾶς,
εὐλόγησεν τὸν οἶκον Ἰσραήλ,
εὐλόγησεν τὸν οἶκον Ἀαρών·
(13) 21 [21]εὐλόγησεν τοὺς φοβουμένους τὸν κύριον,
τοὺς μικροὺς μετὰ τῶν μεγάλων.
(14) 22 [22]προσθείη Κύριος ἐφ᾽ ὑμᾶς,
ἐφ᾽ ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν·
(15) 23 [23]εὐλογημένοι ὑμεῖς ἐστε τῷ κυρίῳ,
τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.
(16) 24 [24]ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ κυρίῳ,
τὴν δὲ γῆν ἔδωκεν τοῖς υἱοῖς τῶν ἀνθρώπων.
(17) 25 [25]οὐχ οἱ νεκροὶ αἰνέσουσίν σε, Κύριε,
οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου·
(18) 26 [26]ἀλλ᾽ ἡμεῖς οἱ ζῶντες εὐλογήσωμεν τὸν κύριον
ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

13 λαλησουσιν ART 15 φωνησωσιν T 16 αυτοις 1°] αυτων ART AT | οι ποιουντες] pr παντες RT | επ] εν R 17 om αυτων 1° ℵ^c.a AT | υπερασπις R (item 18, 19) 18 om αυτων 1° ℵ^c.a AT 19 τον κυριον] om τον A | επ αυτον] επι κν ART | om αυτων 1° ℵ^c.a AT 20 εμνησθη ημων και] μνησθεις ημων ℵ^c.a (-θις) AT 21 τους φοβουμενους] pr παντας R | των μεγαλων] μεγαλους R 22 υμας 1°] ημας A 23 om εστε (εσται ℵ*) ℵ^c.a ART | του ποιησαντος R 24 τω ουρανω AR 25 ουχι T 26 ευλογησομεν R^fort — Stich 48 ℵ 54 A 51 R 53 T

ℵ

ΡΙΔ′

Ἀλληλουιά. CXIV (CXVI)

Ἠγάπησα ὅτι εἰσακούσεται ὁ θεὸς 1
τῆς φωνῆς τῆς δεήσεώς μου,
ὅτι ἔκλινεν τὸ οὖς αὐτοῦ ἐμοί, 2
καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ ἐπεκαλεσάμην.
περιέσχον με ὠδῖνες θανάτου, 3
κίνδυνοι ᾅδου εὗρόσάν με·
θλῖψιν καὶ ὀδύνην εὗρον.
καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην 4
Ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου.
ἐλεήμων καὶ δίκαιος ὁ κύριος, 5
καὶ Κύριος ὁ θεὸς ἡμῶν ἐλεᾷ.
φυλάσσων τὰ νήπια ὁ κύριος· 6
ἐταπεινώθην, καὶ ἔσωσέν με.
ἐπίστρεψον, ἡ ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, 7
ὅτι Κύριος εὐηργέτησέν σε·
ὅτι ἐξείλατο τὴν ψυχήν μου ἐκ θανάτου, 8
τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων,
καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.
εὐαρεστήσω ἐναντίον Κυρίου ἐν χώρᾳ ζώντων. 9

ΡΙΕ′

Ἀλληλουιά. CXV (CXVI)

Ἐπίστευσα, διὸ ἐλάλησα· 1 (10)
ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.
ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου 2 (11)
Πᾶς ἄνθρωπος ψεύστης.
τί ἀνταποδώσω τῷ κυρίῳ 3 (12)
περὶ ὧν ἀνταπέδωκέν μοι;

ART CXIV **1** ο θεος] $\overline{\text{κς}}$ ℵ$^{c.a}$ART **2** αυτου 2°] μου ℵ$^{c.a}$ART | επεκαλεσαμην] επικαλεσομαι ℵ$^{c.a}$AR επικαλεσωμαι T **3** περιεσχον] περιεκυκλωσαν R **4** επεκαλεσαμην] επεκαλεσα A^{a} επικαλεσομαι R **5** και δικαιος ο κυριος] ο κς και δικ. ℵ$^{c.a}$AT Κυριος και δικ. R | om κυριος 2° ℵ$^{c.a}$ART | ελεει AT **7** η ψυχη] om η ℵ$^{c.a}$AT | ευεργετησεν T | σε] με AR **8** εξειλατο] ερρυσατο R **9** εναντιον] ενωπιον ℵ$^{c.a}$AT — Stich 15 ℵ 18 ART CXV **2** εγω]+δε RT | ειπα] ειπον T **3** ων] pr παντων ℵ$^{c.a}$ART

(13) 4 [4]ποτήριον σωτηρίου λήμψομαι, ℵ
καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.
(15) 6 [6]τίμιος ἐναντίον Κυρίου
ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.
(16) 7 [7]ὦ Κύριε, ἐγὼ δοῦλος σός,
ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου·
διέρρηξας τοὺς δεσμούς μου.
(17) 8 [8]σοὶ θύσω θυσίαν αἰνέσεως·
(18) 9 [9]τὰς εὐχάς μου ἀποδώσω τῷ κυρίῳ
ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ,
(19) 10 [10]ἐν αὐλαῖς οἴκου Κυρίου,
ἐν μέσῳ σου, Ἰερουσαλήμ.

PIF′

CXVI (CXVII) Ἀλληλουιά.

1 Αἰνεῖτε τὸν κύριον, πάντα τὰ ἔθνη,
αἰνεσάτωσαν αὐτὸν πάντες οἱ λαοί·
2 [2]ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς,
καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς τὸν αἰῶνα.

PIZ′

CXVII (CXVIII) Ἀλληλουιά.

1 Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθός,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
2 [2]εἰπάτω δὴ οἶκος Ἰσραὴλ ὅτι ἀγαθός,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
3 [3]εἰπάτω δὴ οἶκος Ἀαρὼν ὅτι ἀγαθός,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

4 ληψομαι T | επικαλεσωμαι T **7** εγω δουλος σος (2°) και υιος sup ras et in mg A^a | διερηξας T **8** σοι] συ T | αινεσεως] + και εν ονοματι κυ και επικαλεσομαι ℵ$^{c.a}$ + και εν ονοματι κῡ επικαλεσομαι A (και...κῡ sup ras A^a) + και εν ον. κῡ επικαλεσωμαι T **9** τω κω αποδωσω ℵ$^{c.a}$ART **9—10** εν αυλαις οικου Κυριου εναντιον παντος του λαου αυτου R **10** κυ (sic) T^{edit} — Stich 14 ℵT 16 A 13 R CXVI **1** αινεσατωσαν] επαινεσαται ℵ$^{c.a}$T (-τε) ℸ (A$^{a?\,(mg)}$) επεναισατωσαν A και επαινεσατε R **2** εφ ημας το ελαιος (? ελεος R) αυτου AR | η αληθεια (-θια ℵ)] om η R* (hab R^a) | του κυριου] om του T — Stich 4 ℵART CXVII **3** αυτου] + (**4**) ειπατωσαν δη παντες οι φοβουμενοι τον κν| οτι εις τον αιωνα το ελαιος αυτου A ειπατωσαν δη π. οι φοβ. τον κυριον οτι αγαθος οτι εις τ. αιωνα το ελεος αυτου RT ART

א [5]ἐν θλίψει ἐπεκαλεσάμην τὸν κύριον, 5
καὶ ἐπήκουσέν μοι εἰς πλατυσμόν.
[6]Κύριος ἐμοὶ βοηθός, οὐ φοβηθήσομαι· 6
τί ποιήσει μοι ἄνθρωπος;
[7]Κύριος ἐμοὶ βοηθός, 7
κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου.
[8]ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον 8
ἢ πεποιθέναι ἐπ᾽ ἄνθρωπον·
[9]ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον 9
ἢ ἐλπίζειν ἐπ᾽ ἄρχοντας.
[10]πάντα τὰ ἔθνη ἐκύκλωσάν με, 10
καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς·
[11]κυκλώσαντες ἐκύκλωσάν με, 11
καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς·
[12]ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, 12
καὶ ἐξεκαύθησαν ὡσεὶ πῦρ ἐν ἀκάνθαις,
καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
[13]ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, 13
καὶ Κύριος ἀντελάβετό μου.
[14]ἰσχύς μου καὶ ὕμνησίς μου ὁ κύριος, 14
καὶ ἐγένετό μοι εἰς σωτηρίαν.
[15]φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. 15
δεξιὰ Κυρίου ἐποίησεν δύναμιν,
[16]δεξιὰ Κυρίου ὕψωσέν με. 16
[17]οὐκ ἀποθανοῦμαι ἀλλὰ ζήσομαι, 17
καὶ ἐκδιηγήσομαι τὰ ἔργα Κυρίου.
[18]παιδεύων ἐπαίδευσέν με Κύριος, 18
καὶ τῷ θανάτῳ οὐ παρέδωκέν με.
[19]ἀνοίξατέ μοι πύλας δικαιοσύνης· 19
εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ κυρίῳ.
[20]αὕτη ἡ πύλη τοῦ κυρίου, 20
δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.

ART **5** εν θλιψει] εκ θλιψαιως AT (-ψεως) | μοι] μου $\aleph^{c.a}$ART **6** ου] pr και $\aleph^{c.a}$AT | ποιησει T **7** καγω] και εγω AT **9** αρχοντας $\aleph^{*}A^{a}$R] αρχουσιν $\aleph^{c.a}$A*T **12** ωσει 2°] ως T **13** ωθεις R | Κυριος] pr ο $\aleph^{c.a}$ART | αντιλαβετο R **14** ισχυς] pr η R | υμνησεις A **16** με] + δεξια κυ εποιησεν δυναμιν $\aleph^{c.a}$ART **17** εκδιηγησομαι] διηγησομαι $\aleph^{c.a}$RT | Κυριου] pr του R **18** καιδευων $\aleph^{*}$ (παιδ. $\aleph^{c.a}$) | Κυριος] pr ο ART

21 [21]ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου ℵ
καὶ ἐγένου μοι εἰς σωτηρίαν.
22 [22]λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες,
οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας·
23 [23]παρὰ Κυρίου ἐγένετο αὕτη,
καὶ ἔστιν θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
24 [24]αὕτη ἡμέρα ἣν ἐποίησεν Κύριος·
ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
25 [25]ὦ Κύριε, σῶσον δή,
ὦ Κύριε, εὐόδωσον δή.
26 [26]εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου·
εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου.
27 [27]θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν·
συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν
ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου.
28 [28]θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι·
θεός μου εἶ σύ, καὶ ὑψώσω σε·
ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου
καὶ ἐγένου μοι εἰς σωτηρίαν.
29 [29]ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθός,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

ΡΙΗ΄

CXVIII (CXIX) Ἀλληλουιά.

1 Μακάριοι ἄμωμοι ἐν ὁδῷ,
οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.
2 [2]μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ,
ἐν ὅλῃ καρδίᾳ ἐκζητοῦσιν αὐτόν·
3 [3]οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν
ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.
4 [4]σὺ ἐνετείλω τὰς ἐντολάς σου
φυλάξασθαι σφόδρα.

21 σοι] + Κυριε R **24** ημερα] pr η RT | Κυριος] pr ο ART **26** υμας] ART υ sup ras $A^{a?}$ (ημ. A*) **27** θεος] pr ο R **28** om συ 1° A* (superscr $A^{a?}$) | σοι 2°] + Κυριε R — Stich 48 ℵ 59 A 55 R 56 T CXVIII **1** αμωμοι] pr οι ART **2** εξερευνωντες T | εκζητησουσιν $ℵ^{c.a}$ART **4** φυλαξασθαι] φυλασσεσθαι A^{1} (φυλασεσθ. A*) RT

ℵ [5]ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου
τοῦ φυλάξασθαι τὰ δικαιώματά σου·
[6]τότε οὐ μὴ ἐπαισχυνθῶ,
ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.
[7]ἐξομολογήσομαί σοι, Κύριε, ἐν εὐθύτητι καρδίας,
ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.
[8]τὰ δικαιώματά σου φυλάξω,
μή με ἐνκαταλίπῃς ἕως σφόδρα.

[9]Ἐν τίνι κατορθώσει ὁ νεώτερος τὴν ὁδὸν αὐτοῦ;
ἐν τῷ φυλάσσεσθαι τοὺς λόγους σου.
[10]ἐν ὅλῃ καρδίᾳ ἐξεζήτησά σε,
μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.
[11]ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου,
ὅπως ἂν μὴ ἁμάρτω σοι.
[12]εὐλογητὸς εἶ, Κύριε,
δίδαξόν με τὰ δικαιώματά σου.
[13]ἐν τοῖς χείλεσίν μου ἐξήγγειλα
πάντα τὰ κρίματα τοῦ στόματός σου·
[14]ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην
ὡς ἐπὶ παντὶ πλούτῳ.
[15]ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω,
καὶ ἐκζητήσω τὰς ὁδούς σου·
[16]ἐν τοῖς δικαιώμασίν σου μελετήσω,
οὐκ ἐπιλήσομαι τῶν λόγων σου.

[17]Ἀνταπόδος τῷ δούλῳ σου·
ζήσομαι, καὶ φυλάξω τοὺς λόγους σου.
[18]ἀποκάλυψον τοὺς ὀφθαλμούς μου,
καὶ κατανοήσω τὰ θαυμάσιά σου ἐκ τοῦ νόμου σου.
[19]πάροικός εἰμι ἐν τῇ γῇ,
μὴ ἀποστρέψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου.
[20]ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι

ART **6** επαισχυνθω (επεσχ. ℵ*)] αισχυνθω ℵc.a (εσχ.) RT **7** om Κυριε ℵc.a T **8** εγκαταλειπης A ενκαταλειπης T **9** κατορθωση T | ο νεωτερος] om ο ℵc.a AT | φυλασσεσθαι] φυλαξασθαι R **10** καρδια]+μου ℵc.a RT | απωσης R **12** με] μ sup ras Aa **15** εκζητησω] κατανοησω ℵc.a ART **17** ανταποδος] adscr β′ Tmg **18** om σου 1° R | νομους A **19** ειμι] pr εγω ℵc.a ART | αποστρεψης] αποκρυψης ℵc.a ART

εἰς τὰ δικαιώματά σου ἐν παντὶ καιρῷ. ℵ

21 [21]ἐπετίμησας ὑπερηφάνοις·
ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.
22 [22]περίελε ἀπ᾽ ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν,
ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.
23 [23]καὶ γὰρ ἐκάθισαν ἄρχοντες, κατ᾽ ἐμοῦ κατελάλουν·
ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασίν σου·
24 [24]καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μού ἐστιν,
καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.

25 [25]Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου·
ζήσομαι κατὰ τὸ λόγιόν σου.
26 [26]τὰς ὁδούς σου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου·
δίδαξόν με τὰ δικαιώματά σου,
27 [27]καὶ ὁδὸν δικαιωμάτων σου συνέτισόν με,
καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.
28 [28]ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας,
βεβαίωσόν με ἐν τοῖς λόγοις σου·
29 [29]ὁδὸν ἀδικίας ἀπόστησον ἀπ᾽ ἐμοῦ,
καὶ τῷ νόμῳ σου ἐλέησόν με.
30 [30]ὁδὸν ἀληθείας ᾑρετισάμην·
τὰ κρίματά σου οὐκ ἐπελαθόμην.
31 [31]ἐκολλήθην τοῖς μαρτυρίοις σου·
Κύριε, μή με καταισχύνῃς.
32 [32]ὁδὸν ἐντολῶν σου ἔδραμον,
ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

33 [33]Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου,
καὶ ἐκζητήσω αὐτὴν διὰ παντός.
34 [34]συνέτισόν με, καὶ ἐκζητήσω τὸν νόμον σου,
καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου.
35 [35]ὁδήγησόν με ἐν τρίβῳ τῶν ἐντολῶν σου,
ὅτι αὐτὸν ἠθέλησα.

20 om εις ℵ$^{c.a}$ART | δικαιωματα] κριματα ℵ$^{c.a}$ART **23** κατ εμου] ART pr και ℵ$^{c.a}$ART **24** η συμβουλια ℵ$^{c.a}$ART **25** ζησομαι] ζησον με ART | το λογιον ℵA$^{a?}$R] τον λογον A*T **27** om και 1^{o} ℵ$^{c.a}$ART | δικαιωματων] pr των R **33** νομοθετησον] adscr γ′ T^{mg} | με] μοι R **34** εκζητησω] εξεραυνησω ℵ$^{c.a}$AR εξερευν. T | αυτον] αυτην R **35** τριβω pr τη ℵ$^{c.a}$T | αυτον] αυτην ℵ$^{c.a}$ART

ℵ [36] κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου 36
καὶ μὴ εἰς πλεονεξίαν.
[37] ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα, 37
ἐν τῇ ὁδῷ σου ζῆσόν με.
[38] στῆσον τῷ δούλῳ σου εἰς τὸ λόγιόν σου, 38
εἰς τὸν φόβον σου.
[39] περίελε τὸ ὄνειδός μου ὃ ὑπώπτευσα, 39
τὰ γὰρ κρίματά σου χρηστά.
[40] ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου· 40
ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.

[41] Καὶ ἐλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε, 41
τὸ σωτήριόν σου κατὰ τὸ ἔλεός σου·
[42] καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί με λόγον, 42
ὅτι ἤλπισα ἐπὶ τοὺς λόγους σου.
[43] καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως 43
σφόδρα,
ὅτι ἐπὶ τὰ κρίματά σου ἐπήλπισα.
[44] καὶ φυλάξω τὸν νόμον σου διὰ παντός, 44
εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
[45] καὶ ἐπορευόμην ἐν πλατυσμῷ, 45
ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα·
[46] καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, 46
καὶ οὐκ ᾐσχυνόμην·
[47] καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου 47
αἷς ἠγάπησας σφόδρα·
[48] καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου αἷς ἠγάπησας 48
σφόδρα,
καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασίν σου.

[49] Μνήσθητι τὸν λόγον σου τῶν δούλων σου 49
ᾧ ἐπήλπισάς με.

ART **36** την ℵ[1 c.a] (τα ην ℵ*) **38** om εις 1° ℵ[1] ART **39** το ονειδος] τον ονιδισμον ℵ[c.a] ART | ο] ον ℵ[c.a] ART | τα γαρ] οτι τα ℵ[c.a] AT **40** ζησον με] ζησομαι R **41** το ελεος (2°)] τον λογον ℵ[c.a] RT λογιον A **42** ονιδιζουσιν ℵ[c.a] ART | με] μοι ℵ[c.a] RT **43** τα κριματα] τοις κριμασιν ℵ[c.a] ART | εφηλπισα AT **45** τας εντολας] τα μαρτυρια R **47** ηγαπησα ART | om σφοδρα ℵ[c.a] **48** αις] ας ℵ[1 c.a] AT | ηγαπησα ART | om σφοδρα A*[vid] RT **49** μνησθητι] adscr δ' T[mg] | των λογων ℵ[c.a] | των δουλων] τω δουλω ℵ[c.a] AR του δουλου T | ω] pr εν R | εφηλπισας AT

50 [50]αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ℵ
ὅτι τὸ λόγιόν σου οὐκ ἐξέκλινα.
52 [52]ἐμνήσθην τῶν κριμάτων σου, Κύριε, ἀπ᾽ αἰῶνος
καὶ παρεκλήθην.
53 [53]ἀθυμία κατέσχεν με
ἀπὸ ἁμαρτωλῶν τῶν ἐνκαταλιμπανόντων τὸν νόμον σου.
54 [54]ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου
ἐν τόπῳ παροικίας μου.
55 [55]ἐμνήσθην ἐν νυκτὶ τὸ ὄνομά σου, Κύριε,
καὶ ἐφύλαξα τὸν νόμον σου.
56 [56]αὕτη ἐγενήθη μοι,
τὰ δικαιώματά σου ἐξεζήτησα.

57 [57]Μερίς μου, Κύριε·
εἶπα φυλάξασθαι τὰς ἐντολάς σου.
58 [58]ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου,
ἐλέησόν με κατὰ τὸ λόγιόν σου.
59 [59]ὅτι διελογισάμην κατὰ τὰς ὁδούς σου,
καὶ ἀπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.
60 [60]ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην
φυλάξασθαι τὰς ἐντολάς σου.
61 [61]σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι,
καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.
62 [62]μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι
ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.
63 [63]μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε
καὶ φυλασσόντων τὰς ἐντολάς σου.
64 [64]τοῦ ἐλέους σου, Κύριε, πλήρης πᾶσα ἡ γῆ·
τὰ δικαιώματά σου, Κύριε, δίδαξόν με.

50 αυται T | παρεκαλεσαν T | ουκ εξεκλινα] εζησεν με ℵ$^{c.a}$ εζησεν με| **(51)** ART υπερηφανοι παρηνομουν (παρεν. A) εως σφοδρα| απο δε του νομου σου ουκ εξεκλινα ART **52** απ αιωνος κε ℵ$^{c.a}$ ART **53** αθυμια] ακηδια R | με] μου R **55** του ονοματος ℵ$^{c.a}$ART **56** τα δικ.] pr οτι ℵ$^{c.a}$ART **57** μου]+ει ℵ$^{c.a}$AR^{a}T | ειπα] ειπον T | φυλαξασθαι] φυλαξασθε A pr του ℵ$^{c.a}$T | τας εντολας] τον νομον ℵ$^{c.a}$ART **58** το προσωπον R | το λογιον] om το A **59** om οτι ℵ$^{c.a}$AT | om κατα ℵ$^{c.a}$RT | επεστρεψα ART **60** φυλαξασθαι] pr του ℵ$^{c.a}$ART **62** εξεγειρομην AT (εξεγιρ.) | εξομολογησασθαι AR **63** φυλασσοντων] pr των ℵ$^{c.a}$ART **64** το ελεος R | om σου 1° A | Κυριε 1°] κῦ A | om πασα ℵ$^{c.a}$ART | om Κυριε 2° ℵ$^{c.a}$ART

ת [65]Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, 65
Κύριε, κατὰ τὸ λόγιόν σου.
[66]χρηστότητα καὶ παιδίαν καὶ γνῶσιν δίδαξόν με, 66
ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.
[67]πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα, 67
διὰ τοῦτο τὸ λόγιόν σου ἐγὼ ἐφύλαξα.
[68]χρηστὸς εἶ σύ, Κύριε, καὶ ἐν τῇ χρηστότητί σου 68
δίδαξόν με τὰ δικαιώματά σου.
[69]ἐπληθύνθη ἐπ᾽ ἐμὲ ἀδικία ὑπερηφάνων, 69
ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου.
[70]ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, 70
ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.
[71]ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, 71
ὅπως ἂν μάθω τὰ δικαιώματά σου.
[72]ἀγαθόν μοι ὁ νόμος τοῦ στόματός σου 72
ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

[73]Αἱ χεῖρές σου ἔπλασάν με καὶ ἡτοίμασάν με· 73
συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.
[74]οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, 74
ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.
[75]ἔγνων, Κύριε, ὅτι δικαιοσύνῃ καὶ ἀληθείᾳ 75
τὰ κρίματά σου ἐταπείνωσάν με.
[76]γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με 76
καὶ τὸ λόγιόν σου τῷ δούλῳ σου·
[77]ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου καὶ ζήσομαι, 77
ὅτι ὁ νόμος σου μελέτη μοί ἐστιν.
[78]αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ· 78
ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.
[79]ἐπιστρεψάτωσαν οἱ φοβούμενοί σε 79

ART **65** *χρηστοτητα*] adscr ε′ T^{mg} | *το λογιον*] *τον λογον* ℵ$^{c.a}$T **66** *παιδειαν* T **67** *επλημμ8|μελησα* (sic) T | om *εγω* 2° ℵ$^{c.a}$RT **68** om *συ* R **69** *μου*] *σου* ℵ* (improb ℵ^{1}) | *εξερευνησω* T **70** *αυτων*] *αυτουν* ℵ* (*ου* improb ℵ^{1}) *μου* R **72** *αγαθον*] *αγαθος* ℵ$^{c.a}$ | *σου*] *μου* ℵ* (*σου* ℵ$^{c.a}$) **73** *αι χειρες*] adscr ς′ T^{mg} | *επλασαν*] *εποιησαν* ℵ$^{c.a}$ART | *ητοιμασαν*] *επλασαν* ℵ$^{c.a}$ART (*επλασαν*) **74** *εφηλπισα* AT **75** *και αληθεια τα κριματα σου*] *τα κρ. σου και αληθεια* ℵ$^{c.a}$ (*-θια* ℵ) AT *τα κρ. σου και τη αληθεια σου* R | *εταπινωσας* ℵ$^{c.a}$A (*εταπειν.*) RT **76** *και*] *κατα* ℵ$^{c.a}$ART **77** *ελθατωσαν* AT | *οικτειρμοι* A | *ζησομαι*] *ζησον μαι* A | *μοι* 2°] *μου* ℵ$^{c.a}$ART **79** *επιστρεψατωσαν*] + *με* ℵ$^{c.a}$AT + *εις εμε* R

καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου. ℵ

80 [80]γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασίν σου,
ὅπως ἂν μὴ αἰσχυνθῶ.

81 [81]Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου,
καὶ εἰς τὸν λόγον σου ἐπήλπισα.
82 [82]ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου,
λέγοντες Παρεκάλεσάν με.
83 [83]ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ·
τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.
84 [84]πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου;
πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;
85 [85]διηγήσαντό μοι παράνομοι ἀδολεσχίας,
ἀλλ' οὐχ ὡς ὁ νόμος σου, Κύριε.
86 [86]πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια·
ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι.
87 [87]παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ,
ἐγὼ δὲ οὐκ ἐνκατέλειπον τὰς ἐντολάς σου.
88 [88]κατὰ τὸ ἔλεός σου ζήσομαι,
καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

89 [89]Εἰς τὸν αἰῶνα, Κύριε,
ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ.
90 [90]εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου·
ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει.
91 [91]τῇ διατάξει σου διαμένει ἡ ἡμέρα,
ὅτι τὰ σύμπαντα δοῦλά σου.
92 [92]εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μού ἐστιν,
τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου·
93 [93]εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου,
ὅτι ἐν αὐτοῖς ἔζησάς με, Κύριε.

80 οπως αν] ινα R **81** εκλειπει] adscr ζ′ T^{mg} | η ψυχη μου εις το σωτ. σου T | om και $\aleph^{c.a}$AT | τον λογον] τους λογους $\aleph^{c.a}$T το λογιον R | εφηλπισα AT **82** εξελειπον AT | om λεγοντες παρεκ. με A | παρεκαλεσαν] ποτε παρακαλεσεις $\aleph^{1}$RT **83** ως] ωσει AR **84** ποσται R^{vid} | ποιησης T | om μοι R **85** παρανομοι] αμαρτωλοι R | αδολεσχια R^{*} (-χιας $R^{a(vid)}$) | ως] ουτως R **88** ζησομε ℵ ζησον με ART | του στομ.] σου στομ. $\aleph^{*}$ (του $\aleph^{1}$) **89** διαμενει ο λ. σου R **90** αληθια ℵA **91** τη διαταξει σου c seqq coniung ART | συνπαντα A | σου 2°] σα $\aleph^{c.a}$AT **92** ο νομος] om ο R **93** om Κυριε AT

א 94 σός εἰμι, Κύριε, σῶσόν με, 94
ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα·
95 τὰ δὲ μαρτύριά σου συνῆκα. 95
96 πάσης συντελείας εἶδον πέρας, 96
πλατεῖα ἡ ἐντολή σου σφόδρα.

97 Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε· 97
ὅλην τὴν ἡμέραν μελέτη μού ἐστιν.
98 ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὰς ἐντολάς σου, 98
ὅτι εἰς τὸν αἰῶνά μοί ἐστιν.
99 ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, 99
ὅτι τὰ μαρτύριά σου μελέτη μού ἐστιν.
100 ὑπὲρ πρεσβυτέρους συνῆκα, 100
ὅτι τὰς ἐντολάς σου ἐζήτησα.
101 ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, 101
ὅπως ἂν φυλάξω τοὺς λόγους σου·
102 ἀπὸ τῶν κλιμάτων σου οὐκ ἐξέκλινα, 102
ὅτι σὺ ἐνομοθέτησάς μοι.
103 ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, 103
ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου.
104 ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· 104
διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας, ὅτι σὺ ἐνομοθέτησάς μοι.

105 Λύχνος τοῖς ποσίν μου ὁ νόμος σου, 105
καὶ φῶς ταῖς τρίβοις μου.
106 ὠμόμοκα καὶ ἔστησα 106
τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.
107 ἐταπεινώθην ἕως σφόδρα· 107
Κύριε, ζῆσόν με κατὰ τὸ λόγιόν σου.
108 τὰ ἑκούσια τοῦ στόματός μου εὐλόγησον, Κύριε, 108

ART **94** ειμι] + εγω ℵ$^{c.a}$ ART | om Κυριε ℵ$^{c.a}$ ART **95** τα δε μαρτ.] om δε ART pr εμε υπεμειναν (υπεμιναν ℵ$^{c.a}$ υπεμεινα A) αμαρτωλοι του απολεσαι με ℵ$^{c.a}$ ART **96** συντελιας T | ιδον AT | πλατια T **97** ως] adscr η′ T^{mg} **98** υπερ] επι R | τας εντολας] την εντολην ℵ$^{c.a}$ ART | μοι] εμοι ℵ$^{c.a}$ R εμη T **100** εζητησα] εξεζητησα ART **102** κλιματων] κρματων ℵ$^{c.a}$ ART | μοι] με AT μου R^{vid} **103** γλυκεια ℵ$^{c.a}$(? R) γλυκια A(? R)T | om και κηριον ℵ$^{c.a}$ AT **104** om οτι συ ενομοθ. μοι ℵ$^{c.a}$ T | μοι] με AR **106** ομωμοκα] ωμοσα ART **107** το λογιον] τον λογον ℵ$^{c.a}$ AT **108** ευλογησον] ευδοκησον δη ℵ$^{c.a}$ AT ευδοκησον R

καὶ τὰ κρίματά σου δίδαξόν με. ℵ

109 [109]ἡ ψυχή μου ἐν ταῖς χερσὶ διὰ παντός,
καὶ τὸν νόμον σου οὐκ ἐπελαθόμην.

110 [110]ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι,
καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.

111 [111]ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα,
ὅτι ἀγαλλίαμα τῆς καρδίας μού εἰσιν·

112 [112]ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου
εἰς τὸν αἰῶνα διὰ παντὸς ἄμειψιν.

113 [113]Παρανόμους ἐμίσησα,
καὶ τὸν νόμον σου ἠγάπησα.

114 [114]βοηθός μου καὶ ἀντιλήμπτωρ μου εἶ σύ,
καὶ εἰς τὸν λαόν σου ἤλπισα.

115 [115]ἐκκλίνατε ἀπ' ἐμοῦ, οἱ πονηρευόμενοι,
καὶ ἐξεραυνήσω τὰς ἐντολὰς τοῦ θεοῦ μου.

116 [116]ἀντιλαβοῦ κατὰ τὸ λόγιόν σου καὶ ζῆσόν με,
καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου.

117 [117]βοήθησόν μοι καὶ σωθήσομαι,
καὶ μελετήσω ἐν τοῖς δικαιώμασίν σου διὰ παντός.

118 [118]ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου,
ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.

119 [119]παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς,
διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου διὰ παντός.

120 [120]καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου,
ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.

121 [121]Ἐποίησα κρίμα καὶ δικαιοσύνην,
μὴ παραδῷς με τοῖς ἀδικοῦσίν με.

122 [122]ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθά,
μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.

109 χερσι] χερσιν σου ℵ$^{c.a}$RT χερσιν μου A | του νομου ℵ$^{c.a}$ART ART **110** εκ] απο R **111** εισιν] εστιν T **112** δια παντος αμειψιν (αμιψειν ℵ*)] δι ανταμειψιν ℵ$^{c.a}$ (-μιψειν) A (-μιμψιν) R^{vid}T (-μιψιν) **113** παρανομους] adscr θ′ T^{mg} | και τον νομον] τον δε ν. ℵ$^{c.a}$ART **114** συ] σοι A | om και 2° ℵ$^{c.a}$AT | τον λαον] τους λογους ℵ$^{c.a}$AT τον λογον R | ηλπισα] εφηλπισα ℵ$^{c.a}$AT επηλπισα R **115** οι πονηρευομενοι] om οι ART | εξερευνησω T **116** αντιλαβου]+μου ℵ$^{c.a}$ART | ζησον με] ζησομαι RT **119** om παντας R | om δια παντος ℵ$^{c.a}$AT **122** αγαθον ART | με] μοι R

א [123]οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου 123
καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου.
[124]ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ λόγιόν σου, 124
καὶ κατὰ τὰ δικαιώματά σου δίδαξόν με.
[125]δοῦλός σού εἰμι ἐγώ· συνέτισόν με, 125
καὶ γνώσομαι τὰ μαρτύριά σου.
[126]καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ· 126
διεσκέδασαν τὸν νόμον σου.
[127]διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου 127
ὑπὲρ τὸ χρυσίον καὶ τοπάζιον·
[128]διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, 128
πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

[129]Θαυμαστὰ τὰ μαρτύριά σου, 129
διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.
[130]ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, 130
καὶ συνετιεῖ νηπίους.
[131]τὸ στόμα μου ἤνοιξα καὶ ἤλκυσα πνεῦμα, 131
ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν.
[132]ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με 132
κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.
[133]τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, 133
καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία·
[134]λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, 134
καὶ φυλάξω τὰς ἐντολάς σου.
[135]τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, 135
καὶ δίδαξόν με τὰ δικαιώματά σου.
[136]διεξόδους ὑδάτων κατέβησαν οἱ ὀφθαλμοί μου, 136
ἐπεὶ οὐκ ἐφύλαξαν τὸν νόμον σου.

[137]Δίκαιος εἶ, Κύριε, 137
καὶ εὐθὴς ἡ κρίσις σου·

ART **123** εξελειπον AT **124** *σου* 1°]+κε A | *λογιον*] ελεος $\aleph^{c.a}$RT | om *κατα* 2° ART **127** *σου* ART] *το* $\aleph^{*}$ (om $\aleph^{1}$) *συ* $\aleph^{c.a}$ | *το χρυσιον*] om *το* $\aleph^{c.a}$T | *τοπαδιον* R* (-*ζιον* R^{a}) **128** *κατορθουμην* T **129** *δια τουτο*] *δια του* A | *εξηραυνησεν* AR **131** *ηλκυσα*] *ειλκυσα* $\aleph^{c.a}$RT (ιλκ.) **132** *επιβλεψον*] adscr *ι'* T^{mg} | *αγαπουντων* A **133** om *και μη...ανομια* A* (subscr A^{a}) **134** *φυλαξαι* $\aleph^{*}$ (*φυλαξω* $\aleph^{1}$ART) **136** *κατεβησαν*] *διεβησαν* A | *εφυλαξαν*] *εφυλαξα* $\aleph^{c.a}$AT **137** *ευθεις* A | *η κρισις*] *αι κρις* (sic) A

138 [138]ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου ℵ
καὶ ἀλήθειαν σφόδρα.
139 [139]ἐξέτηξέν με ὁ ζῆλος τοῦ οἴκου σου,
ὅτι ἐπελάθοντο τῶν ἐντολῶν σου οἱ ἐχθροί μου.
140 [140]πεπυρωμένον τὸ λόγιόν σου σφόδρα,
καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό.
141 [141]νεώτερός εἰμι ἐγὼ καὶ ἐξουδενωμένος·
τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.
142 [142]ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα,
καὶ ὁ λόγος σου ἀλήθεια.
143 [143]θλίψεις καὶ ἀνάγκη εὗρόσάν με·
αἱ ἐντολαί σου μελέτη μου.
144 [144]δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα·
συνέτισόν με καὶ ζῆσόν με.

145 [145]Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ, ἐπάκουσόν μου, Κύριε,
τὰ δικαιώματά σου ἐκζητήσω.
146 [146]ἐκέκραξά σε, σῶσόν με,
καὶ φυλάξω τὰ μαρτύριά σου.
147 [147]προέφθασάν με ἐν ὠρίᾳ καὶ ἐκέκραξα,
εἰς τοὺς λόγους σου ἐπήλπισα.
148 [148]προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς σὲ ὀρθροῦν,
τοῦ μελετᾶν τὰ λόγιά σου.
149 [149]τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ λόγιόν σου,
κατὰ τὸ κρίμα σου ζῆσόν με.
150 [150]προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ,
ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.
151 [151]ἐγγὺς εἶ, Κύριε,
καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.
152 [152]κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου,
ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.

138 αληθεια R **139** εξετηξεν] κατεφαγεν R | om του οικου ℵ$^{c.a}$A$^{*\,vid}$ ART (hab A^{a}) T | εντολων] λογων ℵ$^{c.a}$RT **141** νεωτερος ℵ* (s superscr ℵ^{1}) | εγω ειμι ART **142** λογος] νομος ℵ$^{c.a}$ART **143** αναγκαι AT | μου] +εισιν R **144** ζησον με] ζησομαι T **145** εκεκραξα] adscr ια′ T^{mg} | καρδια] +μου ℵ$^{c.a}$ART **146** σε] σοι ℵ$^{c.a}$T om R **147** προεφθασαν με] προεφθασα ℵ$^{c.a}$ART | εφηλπισα AT **148** προς σε ορθρουν] προς ορθρον ℵ$^{c.a}$AT προς σε ορθρου R **149** λογιον] ελεος ℵ^{1}A (ελαιος) RT | κατα 2°] pr και R **150** ανομια] αδικως R **151** ει]+συ AT **152** κατ αρχας] απ αρχης R | om εγνων ℵ* (hab ℵ$^{c.a}$ART)

א [153]Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, 153
ὅτι τὸν νόμον σου οὐκ ἐπελαθόμην.
[154]κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με· 154
διὰ τὸν λόγον σου ζῆσόν με.
[155]μακρὰν ἀπὸ ἁμαρτωλῶν ἡ σωτηρία, 155
ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.
[156]οἱ οἰκτιρμοί σου πολλοί, Κύριε, σφόδρα· 156
κατὰ τὰ κρίματά σου ζῆσόν με.
[157]πολλοὶ οἱ ἐκδιώκοντές με καὶ ἐκθλίβοντές με· 157
ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα.
[158]εἶδον ἀσυνθετοῦντας καὶ ἐξετηκόμην, 158
ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.
[159]Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα, Κύριε· 159
ἐν τῷ ἐλέει σου ζῆσόν με.
[160]ἀρχὴ τῶν λόγων σου ἀλήθεια, 160
καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

[161]Ἄρχοντες κατεδίωξάν με δωρεάν, 161
καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.
[162]ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, 162
ὡς ὁ εὑρίσκων σκῦλα πολλά.
[163]ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, 163
τὸν δὲ νόμον σου ἠγάπησα.
[164]ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σοι 164
ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.
[165]εἰρήνη πολλὴ τοῖς ἀγαπῶσιν τὸν νόμον σου, 165
καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.
[166]προσεδόκων τὸ σωτήριόν σου, Κύριε, 166
καὶ τὰς ἐντολάς σου ἠγάπησα·
[167]καὶ ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, 167
καὶ ἠγάπησεν αὐτὰ σφόδρα·

ART **153** του νομου ℵ$^{c.a}$AT **155** η σωτηρια] om η ℵ$^{c.a}$ART | om σου R* (hab R^{a}) **156** οικτειρμοι A | πολλαι R^{vid} | om σφοδρα ℵ$^{c.a}$ART | τα κριματα] το κριμα ℵ$^{c.a}$ART **157** εκθλιβοντες] θλιβοντες ℵ$^{c.a}$T **158** ιδον AT | ασυνθετουντας] ασυνετουντας ℵ$^{c.a}$ART **159** Κυριε c seqq coniung ART **160** παντα] απαντα R **161** αρχοντες] adscr ιβ′ T^{mg} **163** om και ℵ* (hab ℵ^{1}) **164** ηνεσα] αινεσω R **165** αγαπωσι T | τον νομον] το ονομα A **166** προσεδοκουν A **167** om και 1° ℵ$^{c.a}$ART

168 [168]ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, ℵ
ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου.

169 [169]Ἐγγισάτω δὴ ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε, Κύριε·
κατὰ τὸ λόγιόν σου συνέτισόν με.
170 [170]εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου·
κατὰ τὸ λόγιόν σου ῥῦσαί με.
171 [171]ἐξηρεύξαντο τὰ χείλη μου ὕμνον,
ὅταν διδάξῃς με τὰ δικαιώματά σου·
172 [172]φθέγξαιτο ἡ γλῶσσά μου τὸ λόγιόν σου,
ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη ἐστίν.
173 [173]γενέσθω ἡ χείρ σου τοῦ σῶσαι,
ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην.
174 [174]ἐπεπόθησα τὸ σωτήριόν σου, Κύριε,
καὶ ὁ νόμος σου μελέτη μού ἐστιν.
175 [175]ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε,
καὶ τὰ κρίματά σου βοηθήσει μοι.
176 [176]ἐπλανήθην ὡσεὶ πρόβατον ἀπολωλός·
ζῆσον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

ΡΙΘ΄

CXIX (CXX) Ὠδὴ τῶν ἀναβαθμῶν.

1 Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέν μου.
2 [2]Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας.
3 [3]τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;
4 [4]τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξιν τοῖς ἐρημικοῖς.

168–**169** εφυλαξα...σου (4°) sup ras pl litt $A^{a?}$ **168** εναντιον] ενωπιον $A^{a?}$ | σου 3°]+κε $\aleph^{c.a}$ $A^{a?}$RT **169** om δη $\aleph^{c.a}$ $A^{a?}$RT | ενωπιον] εναντιον $A^{a?}$R | om Κυριε 1° $A^{a?}$ | om Κυριε 2° $\aleph^{c.a}$ $A^{a?}$RT | κατα] pr κε A **170** σου 1°]+κε $\aleph^{c.a}$RT | κατα] pr κε A | λογιον] κριμα A | ρυσαι] ζησον A **171** εξερευξονται AT **172** φθεγξαιτο] φθεγξοιτο $\aleph^{c.a}$ φθεγξεται AR φθεγξηται T | μου]+Κυριε R | τα λογια $\aleph^{c.a}$RT | om εστιν $\aleph^{c.a}$ART **173** γενεσθω] γενηθητω R | σωσαι]+με ART **174** επεποθα ℵ **175** αινεση T | βοηθηση T **176** ωσει] ως $\aleph^{c.a}$ART | ζησον] ζητησον ART — Stich 241 ℵ 330 A 314 R 331 T CXIX **2** αδικιων R **3** και] η R **4** τη βελη R^{vid} | ηκονωμενα R

ℵ [5]οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη, 5
κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ.
[6]πολλὰ παρῴκησεν ἡ ψυχή μου 6
μετὰ τῶν μισούντων τὴν εἰρήνην. [7]ἤμην εἰρηνικός· 7
ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

ΡΚ′

ᾨδὴ τῶν ἀναβαθμῶν. CXX (CXXI)

[1]Ηρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη· πόθεν ἥξει ἡ βοήθειά 1
μου;
[2]ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν 2
καὶ τὴν γῆν.
[3]μὴ δῷς εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξει ὁ φυλάσσων σε. 3
[4]ἰδοὺ οὐ νυστάξει οὐδὲ ἐξυπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ. 4
[5]Κύριος φυλάξει σε, Κύριος σκέπη σου ἐπὶ χεῖρα δεξιάν σου· 5
[6]ἡμέρας ὁ ἥλιος οὐκ ἐκκαύσει σε, καὶ ἡ σελήνη τὴν νύκτα. 6
[7]Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξαι τὴν ψυχήν σου. 7
[8]Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου ἀπὸ 8
τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

ΡΚΑ′

ᾨδὴ τῶν ἀναβαθμῶν· τῷ Δαυείδ. CXXI (CXXII)

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσιν μοι Εἰς οἶκον Κυρίου πορευσό- 1
μεθα·
[2]ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς Ἰερουσαλήμ. 2
[3]Ἰερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ 3
τὸ αὐτό.
[4]ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαὶ Κυρίου, μαρτύριον τοῦ Ἰσραήλ, 4
τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου·

ART **5** *οιμμοι* ℵAT | *εμακρυνθη*] seq ras 2 vel 3 litt in A **6** *την ειρηνην*] om *την* A — Stich 9 ℵ 11 A 10 RT CXX **2** *τον ουραν* rescr A^1 **3** *δωης* $ℵ^{c.a}$AR | *νυσταξη* T (item 4) **4** *εξυπνωσει*] *υπνωσει* ART (*-ση*) **5** *φυλαξη* T | *δεξιαν* $ℵA^{*\,vid}$T] *δεξιας* A^aR **6** *ουκ εκκαυσει*] *ου συνκαυσει* $ℵ^{c.a}$RT (*-ση*) | *και*] *ουδε* $ℵ^{c.a}$ART **7** *φυλαξαι*] *φυλαξει* ART | *σου*]+*ο* $\overline{κς}$ $ℵ^{c.a}$AR+$\overline{κς}$ T **8** om Κυριος R | *φυλαξεις* ℵ* (*φυλαξει* $ℵ^{1\,c.a}$) — Stich 8 ℵ 13 ART CXXI **1** om *τω Δαυειδ* ART | *πορευσωμεθα* A(?R)T **2** *αυλαις*]+*σου* $ℵ^{c.a}$ART **3** *οικοδομουμενη*] *κ* rescr A^2 pr *η* R *ωκοδομουμ.* T | *η μετοχη*] *οι μετοχοι* A **4** *φυλαι*]+*φιλαι* $ℵ^{c.a}$T+*αι φυλαι* AR | *κυ μαρτυριον* sup ras A^a | *του Ισρ.*] *τω Ισρ.* ART

5 [5]ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαυείδ, ℵ
6 [6]καὶ εὐθηνία τοῖς ἀγαπῶσίν σε·
ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τῇ Ἰερουσαλήμ.
7 [7]γενέσθω δὴ εἰρήνη σου ἐν τῇ δυνάμει σου,
καὶ εὐθηνία ἐν τοῖς πυργοβάρεσίν σου,
8 [8]ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου.
ἐλάλουν δὲ εἰρήνην περὶ σοῦ·
9 [9]ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ θεοῦ ἡμῶν ἐξεζήτησά σοι.

ΡΚΒ′

CXXII (CXXIII) ὨΙδὴ τῶν ἀναβαθμῶν.

1 Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.
2 [2]ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν,
ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς,
οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν θεὸν ἡμῶν,
ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς.
3 [3]ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς,
ὅτι ἐπὶ πολὺ ἐπληθύνθημεν ἐξουδενώσεως·
4 [4]ἐπὶ πλεῖον ἐπληθύνθη ἡ ψυχὴ ἡμῶν·
τὸ ὄνειδος τοῖς εὐθηνοῦσιν
καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

ΡΚΓ′

CXXIII (CXXIV) ὨΙδὴ τῶν ἀναβαθμῶν· τῷ Δαυείδ.

1 Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ, 2 [2]εἰ μὴ ὅτι
Κύριος ἦν ἐν ἡμῖν,
3 ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, [3]ἄρα ζῶντας ἂν
κατέπιον ἡμᾶς,
ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς.

5 επι] επ A **6** ερωτησατε δη τα εις ειρ. τη (om τη R την T) Ιερ. ART και ευθηνια (-νιαν T) τοις αγ. σε ℵ$^{c.a}$ART **7** γενεσθω] γενηθητω R | δη] δε A om R | om σου 1° ART | ταις πυργοβ. ℵ$^{c.a}$ART **8** ενεκεν A | δε] δη T **9** ενεκεν A | ημων] μου RT | εξεζητησα] εζητησα T | σοι] αγαθα A pr αγαθα ℵ$^{c.a}$RT — Stich 13 ℵ 18 AT 17 R CXXII **2** ως 2°] pr και R | οικτειρησει (?-σῃ) R οικτιρηση T **3** επληθυνθημεν] επλησθημεν ℵ$^{c.a}$ART **4** επληθυνθη] επλησθη ART | η ψυχη] η ψυ resc A^{1} — Stich 10 ℵT 11 A 9 R CXXIII **1** om τω Δαυειδ ART

א 4 ἄρα τὸ ὕδωρ κατεπόντισεν ἡμᾶς, 4
χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν·
5 ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. 5
6 εὐλογητὸς Κύριος ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν 6
αὐτῶν.
7 ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη 7
ἐκ τῆς παγίδος τῶν θηρευόντων·
ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρύσθημεν.
8 βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν 8
καὶ τὴν γῆν.

ΡΚΔ΄

ᾨδὴ τῶν ἀναβαθμῶν. CXXIV (CXXV)

Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών· 1
οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἰερουσαλήμ.
2 ὄρη κύκλῳ αὐτῆς, καὶ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ 2
ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.
3 ὅτι οὐκ ἀφήσει τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον 3
τῶν δικαίων,
ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίᾳ χεῖρας αὐτῶν.
4 ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ· 4
5 τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς 5
ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν.
εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

ΡΚΕ΄

ᾨδὴ τῶν ἀναβαθμῶν. CXXV (CXXVI)

Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν 1
ἐγενήθημεν ὡς παρακεκλημένοι.
2 τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν 2
καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως·

ART 4 υδωρ]+αν ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) T 7 ωστρουθιον ℵA | ερυσθη AT | της παγιδος] om της R | θηρευοντων] υοντων sup ras A^{a} | ερρυσθημεν R 8 βοηθεια (-θια T)] pr η ART — Stich 11 ℵ 15 AR 13 T CXXIV 1 Σειων T | Ιερουσαλημ] pr εν R 2 Κυριος] pr ο R 3 αφησει (-ση T)]+κς ℵ$^{c.a}$RT | ανομαις T 4 αγαθοις] pr ευθες ℵ* (om ℵ^{1}) 5 τασγραγγαλιας A | απαξη T — Stich 10 ℵT 14 A 11 R CXXV 1 Σειων T | ως] ωσει ℵ$^{c.a}$T 2 χαρα A

τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν ℵ
Ἐμεγάλυνεν Κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν.
3 [3]*ἐμεγάλυνεν Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν,*
ἐγενήθημεν εὐφραινόμενοι.
4 [4]*ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν*
ὡς ὁ χειμάρρους ἐν τῷ νότῳ.
5 [5]*οἱ σπείροντες ἐν δάκρυσιν*
ἐν ἀγαλλιάσει θεριοῦσιν.
6 [6]*πορευόμενοι ἐπορεύοντο, καὶ ἔκλαιον αἴροντες τὰ σπέρματα αὐτῶν·*
ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει αἴροντες τὰ δράγματα αὐτῶν.

PKF′

CXXVI (CXXVII)
Ὠδὴ τῶν ἀναβαθμῶν.
1 *Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν·*
ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.
2 [2]*εἰς μάτην ἐστὶν ὑμῖν τοῦ ὀρθρίζειν,*
ἐγείρεσθαι μετὰ τὸ καθῆσθαι,
οἱ ἔσθοντες ἄρτον ὀδύνης,
ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον.
3 [3]*ἰδοὺ ἡ κληρονομία Κυρίου υἱοί,*
ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρὸς αὐτῆς.
4 [4]*ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ,*
οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.
5 [5]*μακάριος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν·*
οὐ καταισχυνθήσεται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλῃ.

2—**3** om μετ αυτων...του ποιησαι (2°) R **3** του ποιησαι] τι ποιησαι R ART **4** ο χειμαρρους] om ο ℵ$^{c.a}$ **6** αιροντες 1°] βαλλοντες ℵ$^{c.a}$T | αιροντες 2° (ερ. T)] φεροντες R — Stich 14 ℵ 15 AT 12 R CXXVI **1** αναβαθμων]+τω Σαλωμων R | Κυριος 1°] pr ο A | οικοδομησει AR^{vid} | om αυτον ℵ$^{c.a}$T | Κυριος 2°] pr ο A | ηγρυπνισεν T **2** υμιν εστιν ℵ$^{c.a}$ART | ορθιζιν ℵ | εγειρεσθε R^{vid}T (εγιρ.) | εσθιοντες ℵ$^{c.a}$RT (αισθ.) **3** om αυτης ℵ$^{c.a}$ART **5** ος] pr ανθρωπος AR | πληρωση T | αυτου] αυτο R | καταισχυνθησεται] καταισχυνθησονται ℵ$^{c.a}$ (κατεσχ.) T καταισχυνθωσιν A | λαλωσιν ART | αυτων 2°] αυτου R | πυλη] πυλαις ℵ$^{c.a}$ — Stich 12 ℵ 14 AT 13 R

א

ΡΚΖ′

Ὠδὴ τῶν ἀναβαθμῶν. CXXVII (CXXVIII)

Μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον, 1
οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.
2τοὺς καρποὺς τῶν πόνων σου φάγεσαι, 2
μακάριος εἶ καὶ καλῶς σοι ἔσται.
3ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας 3
σου·
οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου.
4ἰδοὺ οὕτως εὐλογηθήσεται ὁ ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον. 4
5εὐλογήσαι σε Κύριος ἐκ Σιών, καὶ ἴδοις τὰ ἀγαθὰ Ἰερουσαλὴμ 5
πάσας τὰς ἡμέρας τῆς ζωῆς σου,
6καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου. 6
εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

ΡΚΗ′

Ὠδὴ τῶν ἀναβαθμῶν. CXXVIII (CXXIX)

Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, 1
εἰπάτω δὴ Ἰσραήλ·
2πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, 2
καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι.
3ἐπὶ τοῦ νώτου μου ἐτέκταινον οἱ ἁμαρτωλοί, 3
ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν·
4Κύριος δίκαιος συνέκοψεν αὐχένα ἁμαρτωλῶν. 4
5αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ 5
μισοῦντες Σιών·
6γενηθήτωσαν ὡς χόρτος δωμάτων, 6
ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη·
7οὗ οὐκ ἐπλήρωσεν τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, 7
καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων·

ART CXXVII **2** καρπους των πονων] πονους των καρπων ℵ$^{c.a}$RT **3** τοις κλιτεσιν A ταις κλιτεσιν ℵ$^{c.a}$ ταις κλιτεσι RT | νεοφυτα] θ pro ε ℵ^{*vid} **4** ο ανθρωπος] πας ανθρωπος ℵ$^{c.a}$T ανθρωπος AR **5** ευλογησει AR^{vid} ευλογηση T | Σειων AT **6** ιδης ℵ — Stich 11 ℵ 14 A 12 RT

CXXVIII **1** ειπατω δη Ιηλ c seqq coniung A **2** εδυνηθησαν A **3** του νωτου] τω νωτου A τον νωτον (?των νωτων) R | om μου A **4** αυχενας ℵ$^{c.a}$ART **5** Σειων T **6** ως] ωσει ℵ$^{c.a}$AT | δοματων A | εκπασθηναι R* (εκσπ. R^{a}) **7** συνλεγων A^{*vid} (συλλ. A^{a})

8 [3]καὶ οὐκ εἶπαν οἱ παράγοντες Εὐλογία Κυρίου ἐφ' ἡμᾶς, ℵ
εὐλογήσομεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

ΡΚΘ'

CXXIX (CXXX) Ὠδὴ τῶν ἀναβαθμῶν.

1 Ἐκ βαθέων ἐκέκραξά σε, Κύριε·
2 [2]Κύριε, εἰσάκουσον τῆς φωνῆς μου·
γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.
3 [3]ἐὰν ἀνομίας παρατηρήσῃ, Κύριε, Κύριε, τίς ὑποστήσηται;
4 [4]ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.
5 ἕνεκεν τοῦ ὀνόματός σου [5]ὑπέμεινά, Κύριε·
ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν νόμον αὐτοῦ.
6 [6]ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν κύριον
ἀπὸ φυλακῆς πρωίας μέχρι νυκτός·
7 [7]ὅτι παρὰ τῷ κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις,
8 [8]καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

ΡΛ'

CXXX (CXXXI) Ὠδὴ τῶν ἀναβαθμῶν· τῷ Δαυείδ.

1 Κύριε, οὐχ ὑψώθη μου ἡ καρδία,
οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου·
οὐδὲ ἐπορεύθην ἐν μεγάλοις
2 οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ, [2]εἰ μὴ ἐταπεινοφρόνουν.
καὶ ὕψωσα τὴν ψυχήν μου,
ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ,
ἕως ἀνταποδώσεις ἐπὶ ψυχήν μου.

8 ειπον T | ημας] υμας AR | ευλογησομεν] ευλογηκαμεν ℵ$^{c.a}$ART ART — Stich 14 ℵT 13 A 15 R CXXIX **1** σε] σοι ℵ$^{c.a}$T προς σε R **2** της φωνης] της προσευχης A την προσευχην R **4** ενεκεν] pr και R | ονοματος] νομου R **5** υπεμεινα] + σε ℵ$^{c.a}$ART | νομον αυτου] λογον αυτου ℵ$^{c.a}$ λογον σου ART **6** απο φυλακης] pr απο φυλακης πρωιας ελπισατω Ιηλ επι τον κν ℵ$^{c.a}$ | νυκτος] + απο φυλακης πρωιας ελπισατω Ιηλ επι τον κν ART **7** ελεος] + εστιν A | αυτω] αυτου R **8** λυτρωσηται T — Stich 11 ℵ 16 A 13 RT CXXX **1** om τω Δαυειδ T | η καρδια μου T **1—2** ουδε εν θαυμ. υ. ε. ει μη εταπ. ουδε επορ. εν μεγαλοις ℵ* (transp ℵ^{1}) **2** εταπεινοφορουν A | και] αλλα ℵ$^{c.a}$ART | ψυχην 1^{o}] καρδιαν A | εως] ως ℵ$^{c.a}$ART | ανταποδοσεις A ανταποδοσις R^{vid}T | ψυχην 2^{o}] pr την ℵ$^{c.a}$ART

א [3]ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν κύριον 3
ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

ΡΛΑ′

ὨΙδὴ τῶν ἀναβαθμῶν. CXXXI (CXXXII)

Μνήσθητι, Κύριε, τοῦ Δανεὶδ καὶ πάσης τῆς πραΰτητος αὐτοῦ· 1
[2]ὡς ὤμοσεν τῷ κυρίῳ, ηὔξατο τῷ θεῷ Ἰακώβ 2
[3]Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, 3
εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου,
[4]εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου 4
νυσταγμὸν
καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου,
[5]ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ θεῷ Ἰακώβ. 5
[6]ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθά, 6
εὕρομεν αὐτὴν ἐν ταῖς δασέσι τοῦ δρυμοῦ·
[7]εἰσελεύσομαι εἰς τὰ σκηνώματα αὐτοῦ, 7
προσκυνήσομεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.
[8]ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, 8
σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου·
[9]οἱ ἱερεῖς σου ἐνεδύσαντο δικαιοσύνην, 9
καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.
[10]ἕνεκεν Δανεὶδ τοῦ δούλου σου, 10
μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου.
[11]ὤμοσεν Κύριος τῷ Δανεὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν 11
Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου.
[12]ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, 12
καὶ τὰ μαρτύριά μου ταῦτα ἃ διδάξω αὐτούς,
καὶ οἱ υἱοὶ αὐτῶν ἕως αἰῶνος καθιοῦνται ἐπὶ τὸν θρόνον σου.

ART **3** Ιηλ (sic) T[edit] — Stich 9 ℵAT 10 R CXXXI (ρλε′ ℵ) **1** *του Δανειδ*] *τω Δ.* R | *πραοτητος* T **2** *ως*] *ος* T **3** *ει* 1°] *η* A | *εισκηνωμα* A | *ωμα οικου μου* sup ras A[a] **4** *μου* 2°] *μοι* A* (*μου* A[a]) **5** *τω κυριω*] *τω ω* ℵ* (*τω κω* ℵ[1]) **6** Ευφραθα A Ευφρατα R[vid] | *ευραμεν* AT | *ταις δασεσι* (*-σει* A)] *τοις πεδιοις* ℵ[c.a] (παιδ.) RT **7** *εισελευσομαι* (*-με* ℵ*)] *εισελευσομεθα* ℵ[c.a] AR[vid] *εισελευσωμεθα* T | *αυτου* 1°] *ου* sup ras A[a] | *προσκυνησωμεν* AT | *τον τοπον*] om *τον* AR **9** *ενεδυσαντο*] *ενδυσονται* ℵ[c.a] ART | *αγαλλιασονται*] pr *αγαλλιασει* A **11** *αθετηση* T | *αυτην*] *αυτον* ART | *κοιλιας*] *οσφυος* R | *του θρονου* ℵ[c.a] T **12** *οι υιοι* (1°)] om *οι* A | *μου* 2° (*μ* sup ras A[b])] *σου* A* | *εως αιωνος καθιουνται*] *εως του αιωνος καθ.* ℵ[c.a] RT *καθειουνται εως του αιωνος* A | *τον θρονον*] *του θρονου* ℵ[c.a] A[a] (sup ras) RT

13 [13]ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ℵ
ἠρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ·
14 [14]αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος·
ὧδε κατοικήσω, ὅτι ἠρετισάμην αὐτήν.
15 [15]τὴν χήραν αὐτῆς εὐλογῶν εὐλογήσω,
τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων·
16 [16]τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν,
καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται.
17 [17]ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δανείδ,
ἡτοίμασα λύχνον τῷ χριστῷ σου·
18 [18]τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην,
ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

ΡΛΒ′

(CXXXII CXXXIII)

Ὠδὴ τῶν ἀναβαθμῶν· τῷ Δανείδ.

1 Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;
2 [2]ὡς μύρον ἐπὶ κεφαλὴν τὸ καταβαῖνον ἐπὶ πώγωνα,
τὸν πώγωνα τὸν Ἀαρών,
τὸ καταβαῖνον ἐπὶ τὴν ᾠαν τοῦ ἐνδύματος αὐτοῦ·
3 [3]ὡς δρόσος Ἑρμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών·
ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν καὶ ζωὴν ἕως τοῦ αἰῶνος.

ΡΛΓ′

(CXXXIII CXXXIV)

Ὠδὴ τῶν ἀναβαθμῶν.

1 Ἰδοὺ δὴ εὐλογεῖτε τὸν κύριον, πάντες οἱ δοῦλοι Κυρίου,
οἱ ἑστῶτες ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν·
2 [2]ἐν ταῖς νυξὶν ἐπάρατε χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν κύριον.

13 οτι] + εκει A | εξελαξατο ℵ* (εξελεξ. ℵ[1]) | Σειων T **14** αιωνα] pr ART τον A*[vid] **15** χηραν] θηραν ℵ[c.a]T | τους πτωχους] pr και R | αρτους R **16** αυτης 2°] αυτου R **17** κερας] pr το R | ητοιμασας A **17—18** $\overline{\chi\omega}$ σου, δυσω αι, ησει τ inst ℵ[2] **17** λυχνον τω χρ. σου] τω $\overline{\chi\omega}$ μου λυχνον A λ. τω χρ. μου RT **18** εξανθηση T — Stich 34 ℵ 39 A 35 R 36 T CXXXII **1** om τω Δανειδ A*[vid]T | η 1°] και R | η 2°] pr αλλ ℵ[c.a]ART **2** κεφαλης ℵ[c.a]RT | επι πωγωνα sup ras pl litt A[a] | καταβαινων (2°) ℵ **3** Σειων T | ευλογιαν] + αυτου A | om και ℵ[c.a]T — Stich 6 ℵ 8 ART CXXXIII **1** δη] νυν R | εν αυλαις] pr εν οικω κῡ ℵ[1]ART **2** χειρας] pr τας ℵ[c.a]ART

א [3]εὐλογήσει σε Κύριος ἐκ Σιών, 3
ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

ΡΛΔ′

Ἀλληλουιά. CXXXIV (CXXXV)

Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε δοῦλοι Κύριον, 1
[2]οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν. 2
[3]αἰνεῖτε τὸν κύριον, ὅτι ἀγαθὸς Κύριος· 3
ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν·
[4]ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ κύριος, 4
Ἰσραὴλ εἰς περιουσιασμὸν αὐτοῦ.
[5]ὅτι ἔγνων ὅτι μέγας Κύριος, 5
καὶ ὁ κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς·
[6]πάντα ὅσα ἠθέλησεν ἐποίησεν ὁ κύριος 6
ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ,
ἐν ταῖς θαλάσσαις καὶ ἐν ταῖς ἀβύσσοις·
[7]ἀνάγων νεφέλας ἐξ ἐσχάτου γῆς, 7
ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν·
ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ.
[8]ὃς ἐπάταξεν τὰ πρωτότοκα Αἰγύπτου 8
ἀπὸ ἀνθρώπου ἕως κτήνους·
[9]ἐξαπέστειλεν σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε, 9
ἐν Φαραὼ καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ.
[10]ἐπάταξεν ἔθνη πολλά, καὶ ἀπέκτεινεν βασιλεῖς κραταιούς, 10
[11]τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων, 11
καὶ τὸν *Ὠγ βασιλέα τῆς Βασάν,
καὶ πάσας τὰς βασιλείας Χανάαν·
[12]καὶ ἔδωκεν τὴν γῆν αὐτῶν κληρονομίαν, 12
κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ.
[13]Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, 13
Κύριε, τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.

ART 3 ευλογησει] ευλογησαι A ευλογηση T | Σειων T — Stich 5 ℵ 8 A 4 R 7 T CXXXIV 1 Κυριον] pr τον R 3 καλον] ηδυ A[a] (sup ras) R 4 Ισλ c praec coniung A[2 vid] | αυτου] εαυτω ℵ[c.a] RT 5 οτι] + εγω ℵ[c.a] AR | εγνων] εγνωκα ℵ[c.a] T | Κυριος] pr ο R 6 εποιησεν ο κυριος] om ο κς ℵ[c.a] ο κς εποιησεν AT Κυριος εποιησεν R | αλασσαις ℵ* (θαλ. ℵ[1]) | ταις αβυσσοις] pr πασαις ℵ[c.a] T πασιν τοις αβυσσοις R 7 γης] pr της ART | ο εξαγων] om ο R | αυτου] αυτων R 8 πρωτοτοα ℵ* (-τοκα ℵ[1]) 9 πασιν ART 10 επαταξεν ℵ[1] (απεκτινεν ℵ*)] pr ος ℵ[c.a] ART 13 Κυριε 2° ℵ* [c.b] AR] και ℵ[c.a] T

14 [14]οἰκτείρει Κύριος τὸν λαὸν αὐτοῦ, ℵ
καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.
15 [15]τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον,
ἔργα χειρῶν ἀνθρώπων.
16 [16]στόμα ἔχουσιν καὶ οὐ λαλοῦσιν,
ὀφθαλμοὺς ἔχουσιν καὶ οὐκ ὄψονται·
17 [17]ὦτα ἔχουσιν καὶ οὐκ ἐνωτισθήσονται,
οὐδὲ γάρ ἐστιν πνεῦμα ἐν τῷ στόματι αὐτῶν.
18 [18]ὅμοιοι αὐτοῖς γένοιντο πάντες οἱ ποιοῦντες αὐτὰ
καὶ πάντες οἱ πεποιθότες ἐν αὐτοῖς.
19 [19]οἶκος Ἰσραήλ, εὐλογήσατε τὸν κύριον,
οἶκος Ἀαρών, εὐλογήσατε τὸν κύριον·
20 [20]οἶκος Λευεί, εὐλογήσατε τὸν κύριον,
οἱ φοβούμενοι τὸν κύριον, εὐλογήσατε τὸν κύριον.
21 [21]εὐλογητὸς Κύριος ἐκ Σιών,
ὁ κατοικῶν Ἰερουσαλήμ.

ΡΛΕ′

CXXXV (CXXXVI)

Ἀλληλουιά.

1 Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
2 [2]ἐξομολογεῖσθε τῷ θεῷ τῶν θεῶν,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
3 [3]ἐξομολογεῖσθε τῷ κυρίῳ τῶν κυρίων,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
4 [4]τῷ ποιοῦντι θαυμάσια μεγάλα μόνῳ,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
5 [5]τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

14 οικτειρει (οικτιρι ℵ*)] οτι κρινι ℵc.a οτι κρινει ART | Κυριος τον] ART κ̄ς τ reser A1 **16** λαλουσιν] λαλησουσιν ART **17** ενωτισθησονται] ακουσονται AR+ρινας (ρεινας A) εχουσιν και ουκ οσφρανθησονται| χειρας εχουσιν και ου ψηλαφησουσιν| ποδας εχουσιν και ου περιπατησουσιν| ου φωνησουσιν εν τω λαρυγγι αυτων AR **18** αυτοις 1°] αυτων T | om παντες 1° ℵc.a T | εν] επ ℵc.a ART **19—20** ευλογησατε] ευλογειτε quater R **20** Λευι T **21** ευλογητος] ευλογησει σε R | Σειων T | Ιερουσαλημ] pr εν R — Stich 41 ℵ 51 A 47 R 44 T CXXXV **1** αλληλουια]+αλληλουια T | χρηστος] αγαθος ℵc.a RT **4** ποιουντι] ποιησαντι ℵc.a AT

ℵ [6]τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τὸ ὕδωρ, 6
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[7]τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ, 7
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
[8]τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, 8
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
[9]τὴν σελήνην καὶ τὰ ἄστρα εἰς ἐξουσίαν τῆς νυκτός, 9
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[10]τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν, 10
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[11]καὶ ἐξαγαγόντι Ἰσραὴλ ἐκ μέσου αὐτῶν, 11
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
[12]ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, 12
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[13]τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, 13
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[14]καὶ διαγαγόντι τὸν Ἰσραὴλ ἐν μέσῳ αὐτῆς, 14
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[15]καὶ ἐκτινάξαντι Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν 15
ἐρυθράν,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[16]τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν ἐρήμῳ, 16
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[17]τῷ πατάξαντι βασιλεῖς μεγάλους, 17
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
[18]καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς, 18
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
[19]τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων, 19
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
[20]καὶ τὸν *Ωγ βασιλέα τῆς Βασάν, 20
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

ART **6** *το υδωρ*] *των υδατων* ℵ$^{c.a}$AT *τα υδατα* R | *αυτου*] *υ* 1° inst A^{a} **7** *λα μονω*| *οτι εις τον αιωνα το ελεος αυτου* sup ras pl litt A^{a} **9** *τα αστρα*] *τους αστερας* ℵ$^{c.a}$T **11** *Ισραηλ*] pr *τον* ℵ$^{c.a}$ART **14** *εν μεσω*] *δια μεσου* ℵ$^{c.a}$AT *εκ μεσου* R | *αυτης*] *ης* sup ras A^{a} **15** *και εκτιναξαντι*] *τω εκτιν.* A | *αυτου* 1°] *του* rescr A^{1} | *οτι εις τον αιωνα το ελεος αυτου* A$^{a(mg)}$ **16—17** *τω διαγαγοντι...τω παταξαντι* sup ras A^{a} **16** *ερημω*] pr *τη* ℵ$^{c.a}$A^{a}RT | *αυτου* 2°] + *και εξαγαγοντι υδωρ εκ πετρας ακροτομου*| *οτι εις τον αιωνα το ελεος αυτου* R

21 [21]καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, ℵ
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,
22 [22]κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
24 [24]καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ χειρὸς ἐχθρῶν ἡμῶν,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
25 [25]ὁ διδοὺς τροφὴν πάσῃ σαρκί,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
26 [26]ἐξομολογεῖσθε τῷ κυρίῳ τοῦ οὐρανοῦ,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

ΡΛΓ′

XXXVI (XXXVII)

Τῷ Δανείδ.

1 Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν
ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών·
2 [2]ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν.
3 [3]ὅτι ἐκεῖ ἠρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους
ᾠδῶν,
καὶ οἱ ἀπαγαγόντες ἡμᾶς Ὑμνήσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών.
4 [4]πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;
5 [5]ἐὰν ἐπιλάθωμαί σου, Ἰερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου·
6 [6]κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου
μνησθῶ,
ἐὰν μὴ προανατάξωμαι τὴν Ἰερουσαλὴμ ἐν ἀρχῇ τῆς εὐφρο-
σύνης μου.
7 [7]μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἰερουσαλήμ,
τῶν λεγόντων Ἐκκενοῦτε, ἐκκενοῦτε, ἕως ὁ θεμέλιος ἐν αὐτῇ.

21 *δοντι*] εδωκεν R **22** *δουλω*] λαω ℵ$^{c.a}$T | *αυτου* 2°]+(**23**) *οτι εν τη ταπεινωσει* (*ταπιν.* ℵ$^{c.a}$T) *ημων εμνησθη ημων ο* κς *οτι εις τον αιωνα το ελεος* (*ελαιος* A) *αυτου* ℵ$^{c.a}$ART **24** om *χειρος* AT | *εχθρων*] pr *των* ART **26** *κυριω*] *θω* ℵ$^{c.a}$RT — Stich 25 ℵ 51 A 54 R 52 T CXXXVI **1** *Σειων* T **2** *εκρεμασαμεν*] pr *εκει* A **3** *ηρωτησαν*] *επηρωτησαν* ℵ$^{c.a}$ART | *αιχμαλωτευσαντες*] *εκχμαλωτευοντες* A | *ημας* 3°] *η* sup ras A^{a} (*υμας* A*) +*υμνον*| AT | *υμνησατε*] *υμνον ασατε* ℵ$^{c.a}$R *ασατε* AT (inc stich) | *Σειων* T **5** *επιλαθωμαι*] *επιλαθωμεν* A* (*επιλαθωμε* A^{2}) | *επιλησθειη*]+*μου* R **6** *λαρυγγι*] post *γ* 1° ras 2 litt (forte *γι*!) A$^{?}$ | *προαναταξωμεν* A* (-*ξωμε* A$^{?}$) | *εν αρχη*] pr *ως* ℵ$^{c.a}$ **7** *την ημεραν*] *εν ημερα* R | *εκκενουται* bis A(?R) T | *εως*]+*ου* AR | *ο θεμελιος εν αυτη*] *των θεμελιων αυτης* ℵ$^{c.a}$T *θεμελιων αυτης* R

(א) (B) [8]θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος, 8
μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου ὃ ἀνταπέδωκας ἡμῖν·
[9]μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν 9
πέτραν.

ΡΛΖ΄

Τῷ Δαυείδ. CXXXVII (CXXXVII

[1]Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, 1
ὅτι ἤκουσας τὰ ῥήματα τοῦ στόματός μου·
καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι.
[2]προσκυνήσω πρὸς ναὸν ἅγιόν σου, καὶ ἐξομολογήσομαι τῷ ὀνό- 2
ματί σου
ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου,
ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν ὄνομα τὸ ἅγιόν σου.
[3]ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαι, ταχὺ ἐπάκουσόν μου· 3
πολυωρήσεις με ἐν ψυχῇ μου ἐν δυνάμει πολλῇ.
[4]ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντες οἱ βασιλεῖς τῆς γῆς, 4
ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου·
[5]καὶ ᾄσάτωσαν ἐν ταῖς ὁδοῖς Κυρίου, 5
ὅτι ἡ δόξα Κυρίου μεγάλη·
[6]ὅτι ὑψηλὸς Κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ, 6
§ B [7]καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει.
[7]ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με· 7
ἐπ᾽ ὀργὴν ἐχθρῶν ἐξέτεινας χεῖράς μου,
καὶ ἔσωσέν με ἡ δεξιά σου.
[8]Κύριε, ἀνταποδώσεις ὑπὲρ ἐμοῦ· 8

ART 8 θυγατηρ pr η R^{vid} — Stich 14 ℵ 16 ART CXXXVII 1 τω Δαυειδ] + Ζαχαριου A + Ζαχαριας T | om οτι ηκουσας...στομ. μου A | και εναντιον αγγ. ψ. σοι| οτι ηκ. τα ρ. του στ. μου $ℵ^{c.a}$T | ηκουσας] εισηκουσας R 2 προς] προ R^{edit} | εξομολογησομαι τω] ι τ rescr A^1 | παν] παντας ART | ονομα] pr το $ℵ^{c.a}$ART | το αγιον σου] σου το αγιον σου A* (ras σου 2° $A^?$) 3 αν rescr A^1 | επικαλεσωμαι (-σομαι A)] + σε $ℵ^{c.a}$ART | πολυωρησης T | om εν 3° $ℵ^{c.a}$T | δυναμει] + σου T | om πολλη $ℵ^{c.a}$ART 4 βασιλεις] ασιλ sup ras $A^{a?}$ 5 οδοις Κυριου] ωδαις σου κε T | μεγαλη η δοξα κυ $ℵ^{c.a}$ART 7 εν] ν sup ras $A^{a?}$ | ζησεις] ζωσις A ζησης T | εχθρων] + μου $ℵ^{c.a}A^{a}$RT | εξετεινας B$ℵ^{c.a}A^{a}$RT] εξετενα ℵ*A^{*fort} | χειρας] την χειρα R χειρα T | μου] σου $ℵ^{c.a}$ (σοι $ℵ^{*vid}$) ART 8 Κυριε 1°] κς $ℵ^{?}$AT | ανταποδωσει A ανταποδωση T | εμου] εμε R

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, B
Κύριε, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρῇς.

ΡΛΗ′

(CXXXVIII CXXXIX)

Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυείδ.

1 Κύριε, ἐδοκίμασάς με καὶ ἔγνως με·
2 [2]σὺ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου,
σὺ συνῆκας πάντας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν·
3 [3]τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου ἐξιχνίασας,
καὶ πάσας τὰς ὁδούς μου πρόιδες,
4 [4]ὅτι οὐκ ἔστιν λόγος ἄδικος ἐν γλώσσῃ μου·
5 ἰδού, Κύριε, σὺ ἔγνως πάντα [5]τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα·
σὺ ἔπλασάς με καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου.
6 [6]ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ·
ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν.
7 [7]ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου;
καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;
8 [8]ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ εἶ ἐκεῖ·
ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει·
9 [9]ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὀρθὸν
καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης,
10 [10]καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με,
καὶ καθέξει με ἡ δεξιά σου.
11 [11]καὶ εἶπα Ἄρα σκότος καταπατήσει με,
καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου·
12 [12]ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς.
13 [13]ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, Κύριε,

8 om Κυριε 3° ℵ$^{c.a}$AT | παρης] παριδης ℵAT ενπαριδης R — Stich 20 ℵART ℵAR 21 T CXXXVIII **1** ψαλμος τω Δαυειδ] τω Δ̄α̅δ̄ ψαλμος A + Ζαχαριου A + εν τη διασπορα A$^{a(mg)}$ τω Δ. ψ. Ζ. εν τη δ. T **2** om παντας ℵ$^{c.a}$ART | ante μου 3° ras 1 lit (σ ut vid) A$^{?}$ **3** εξιχνιασας] pr συ ℵA (σ rescr A^{a}) RT | προειδες B^{ab}A **4** λογος αδικος] δολος ℵ$^{c.a}$RT **5** αρχαια B ℵ$^{c.a}$ART] δικαια ℵ* **6** αυτον ℵ* (αυτην ℵ^{1}) **7** που απο πρ. σου φυγω ℵ* (που φ. απο πρ. σου ℵ$^{c.a}$) **8** ει εκει] εκει ει ℵ$^{c.a}$RT **9** εαν] ει R | αναλαβω] λαβοιμι ℵ* αναλαβοιμι ℵ$^{c.a}$T αναλαβω μοι R^{vid} | ορθον] ορθρον A (ο 2° rescr A^{1}) RT | τας εσχ. A* (ras 5 A^{2}) **10** οδηγηση T | καθεξη T **11** ειπον T | καταπατηση T **12** ως] pr οτι το (om το ℵRT) σκοτος ου σκοτισθησεται απο σου | και νυξ ως ημερα φωτισθησεται B$^{ab\,mg\,inf}$ℵRT pr οτι το σκοτος ου σκοτισθησεται απο σου A **13** om συ A* (superscr A^{a}) | κε εκτησω τους νεφρους μου ℵ* (om κε ℵ$^{c.a}$)

B ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου.
14 ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης· 14
θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα.
15 οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ ὃ ἐποίησας ἐν κρυφῇ, 15
καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτω τῆς γῆς·
16 τὸ ἀκατέργαστόν σου εἶδοσαν οἱ ὀφθαλμοί μου, 16
καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται·
ἡμέρας πλασθήσονται, καὶ οὐδεὶς ἐν αὐτοῖς.
17 ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ θεός· 17
λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν·
18 ἐξαριθμήσομαι αὐτοὺς καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται· 18
ἐξηγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ.
19 ἐὰν ἀποκτείνῃς ἁμαρτωλούς, ὁ θεός· 19
ἄνδρες αἱμάτων, ἐκκλίνατε ἀπ' ἐμοῦ.
20 ὅτι ἔρεις εἰς διαλογισμόν· 20
λήμψονται εἰς ματαιότητα τὰς πόλεις σου.
21 οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, 21
καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην;
22 τέλειον μῖσος ἐμίσουν αὐτούς, 22
εἰς ἐχθροὺς ἐγένοντό μοι.
23 δοκίμασόν με, ὁ θεός, καὶ γνῶθι τὴν καρδίαν μου· 23
ἔτασόν με καὶ γνῶθι τὰς τρίβους μου·
24 καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, 24
καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

ΡΛΘ'

Εἰς τὸ τέλος· τῷ Δαυεὶδ ψαλμός. CXXXIX (CXL)

2 Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, 2
ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με,

ℵART **13** αντελαβου] αντελ sup ras B^{vid} | μητρος] pr της R **14** σοι] + Κυριε R | εθαυμαστωθην ℵ* (-θης ℵ$^{c.a}$) **15** κατωτατοις ℵART **16** σου 1°] μου ℵ$^{c.a}$RT | ειδοσαν] ειδον B^{ab}ℵ$^{c.a}$ ιδον T | μου] σου ℵ$^{c.a}$RT | πλιασθησονται T* (ι 1° ras T$^{?}$) | ουθεις AT **18** σου] + εγω ℵ* (om ℵ$^{c.a}$) **19** αποκτενῃς R (nisi potius -νεις) | εξαμαρτωλους ℵ* (αμ. ℵ$^{c.a}$) **20** ερεις (ερις B^{ab})] ερεισται εσται ℵ$^{c.a}$ ερισται εστε T ερειτε R | εις διαλογισμον] εις διαλογισμους ℵ$^{c.a}$T εν διαλογισμω R | εις ματαιοτητα] εν ματαιοτητι R **21** τους εχθρους RT **23** δοκιμασον] pr δοκιμασον με και γνωθι τας τριβους μου ℵ* (om ℵ$^{c.a}$ [prius superscr ο θς post με]) | ο θεος] κε ART **24** ιδε] ειδε ℵA | ει] η A | ιδες] ειδες B^{ab}ℵ*A οδος ℵ$^{c.a}$RT | ανομιας] pr οδον A — Stich 46 B 48 ℵT 47 AR CXXXIX **1** ψαλμος τω Δαδ ART

3 [3]οἵτινες ἐλογίσαντο ἀδικίας ἐν καρδίᾳ, B
ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους·
4 [4]ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως,
ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. διάψαλμα.
5 [5]φύλαξόν με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ,
ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με,
οἵτινες ἐλογίσαντο ὑποσκελίσαι τὰ διαβήματά μου·
6 [6]ἔκρυψαν ὑπερήφανοι παγίδα μοι,
καὶ σχοινία διέτειναν, παγίδας τοῖς ποσίν μου·
ἐχόμενα τρίβου σκάνδαλον ἔθεντό μοι. διάψαλμα.
7 [7]εἶπα τῷ κυρίῳ Θεός μου εἶ σύ·
ἐνώτισαι Κύριος τὴν φωνὴν τῆς δεήσεώς μου.
8 [8]Κύριε, Κύριε, δύναμις τῆς σωτηρίας μου,
ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου.
9 [9]μὴ παραδῷς με, Κύριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ·
διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μή ποτε ὑψωθῶσιν. διάψαλμα.
10 [10]ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν,
κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς.
11 [11]πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες πυρὸς ἐπὶ τῆς γῆς,
καὶ καταβαλεῖς αὐτούς.
ἐν ταλαιπωρίαις οὐ μὴ ὑποστῶσιν·
12 [12]ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς καταφθοράν.
13 [13]ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τοῦ πτωχοῦ
καὶ τὴν δίκην τῶν πενήτων.
14 [14]πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου,
καὶ κατοικήσουσιν εὐθεῖς ἐν τῷ προσώπῳ σου.

3 αδικιας] ras aliq fort B[?] αδικιαν ℵ[c.a]ART **5** om Κυριε ℵ | ανθρωπου ℵART αδικου A | εξελου] ρυσαι A | υποσκελισαι] pr του RT **6** παγιδας] παγιδα RT | σκανδαλα T | om διαψαλμα T **7** ειπα] pr ρμ′ errore rubricatoris ℵ (postea om) ειπον T | Κυριος] κε ℵART **9** om με 1° T | ενκαταλειπης A(? R)T | om διαψαλμα AT **10** κοπος...αυτους sup ras et in mg A[a] | καλυψη T **11** πυρος] εν πυρι ℵ[c.a]ART | και καταβαλεις αυτους επι της γης ℵ* | επι της γης] om ℵ[c.a]AT εν τη γη R (c seqq coniung) | om και ART | εν ταλαιπ. c praec coniung ℵ[c.a] | ου μη] pr ϗ ℵ[c.a] **12** ανδρα] pr ανηρ γλωσσωδης ου (+ μη ℵ* om ℵ[c.a]) κατευθυνθησεται επι της γης B[ab mg inf]ℵART | θηρευσαι T | καταφθοραν] διαφθοραν ℵA[a?] (διαφθραν A*) RT **13** ποιηση T | των πτωχων ℵ[c.a]T | του πενητος ℵ* (των πενητων ℵ[c.a]) **14** om και A* (hab ϗ A[a?(mg)] | εν] συν ℵ[c.a]ART | προσωπου ℵ — Stich 28 BℵAT 27 R

B ΡΜ′

Ψαλμὸς τῷ Δανείδ. CXL (CXLI)

Κύριε, πρὸς σὲ ἐκέκραξα, εἰσάκουσόν μου· 1
πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου
ἐν τῷ κεκραγέναι με πρὸς σέ.
[2]κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου, 2
ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.
[3]θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, 3
καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.
[4]μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, 4
τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις,
σὺν ἀνθρώποις ἐργαζομένοις ἀνομίαν,
καὶ οὐ μὴ συνδοιάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.
[5]παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με, 5
ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου·
ὅτι ἔτι καὶ ἔτι ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν.
[6]κατεπόθησαν ἐχόμενα πέτρας οἱ κραταιοὶ αὐτῶν· 6
ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἠδυνήθησαν.
[7]ὡσεὶ πάχος γῆς διερράγη ἐπὶ τῆς γῆς, 7
διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην.
[8]ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί μου, 8
ἐπὶ σὲ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου·
[9]φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι, 9
καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.
[10]πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτοῦ ἁμαρτωλοί· 10
κατὰ μόνας εἰμὶ ἐγὼ ἕως οὗ ἂν παρέλθω.

ℵART CXL **1** εκεκραξα προς σε ART | προσχες] προσθες R^{vid} | της φωνης ℵ | om με ℵ **2** επαρσις] pr η R **3** εθου ℵ* (θου ℵ$^{c.a}$) **4** πονηριας] πονηρους ℵR | ανομιαν] pr την ℵ$^{c.a}$ART | συνδοιασω (συνδυασω ℵ$^{c.a}$A^{a}(? R) T)] ενδυασω ℵ* **5** παιδευση T | om εν ελεει R | ελεγξη T | om δε ℵ* (hab ℵ$^{c.a}$) | λιπανατω] πιανατω R | om ετι 2° ℵART **6** κραταιοι] κριται ℵ$^{c.a}$RT | τα ρηματα] om τα ℵ* (hab ℵ$^{c.a}$) | ηδυνηθησαν B*ℵ$^{c.a}$RT] ηδυνθησαν B^{b}ℵ* c.b (fort) A **7** διερραγη] ερραγη ℵ$^{c.a}$R εραγη T | διεσκορπισθησαν ℵ* (-σθη ℵ$^{c.a}$) | ημων] αυτων B^{b}ℵ$^{c.a}$A^{a}RT **8** om Κυριε 2° ℵ*A*T* (hab ℵ$^{c.a}$A$^{a?}$T^{1}) | σε 2°] σοι B$^{a\,(vid)\,b}$ℵ$^{c.a}$ART **9** σκανδαλου A **10** αμαρτωλοι] pr οι ℵ$^{c.a}$ART | εγω ειμι R | om αν ℵART — Stich 24 BT 23 ℵAR

ΡΜΑ′ B

CXLI (CXLII)

Συνέσεως τῷ Δαυεὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ· προσευχή.

2 [2]Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα,
φωνῇ μου πρὸς Κύριον ἐδεήθην.

3 [3]ἐκχεῶ ἐναντίον αὐτοῦ τὴν δέησίν μου,
τὴν θλίψιν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

4 [4]ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου·
ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην ἔκρυψάν μοι παγίδα.

5 [5]κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον,
ὅτι οὐκ ἦν ὁ ἐπιγινώσκων με·
ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ,
καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

6 [6]πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ εἶπα Σὺ εἶ ἡ ἐλπίς μου,
μερίς μου ἐν γῇ ζώντων.

7 [7]πρόσχες πρὸς τὴν δέησίν μου,
ὅτι ἐταπεινώθην σφόδρα·
ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με,
ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

8 [8]ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου,
τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου, Κύριε·
ἐμὲ ὑπομενοῦσιν δίκαιοι ἕως οὗ ἀνταποδῷς μοι.

ΡΜΒ′

CXLII (CXLIII)

Ψαλμὸς τῷ Δαυείδ, ὅτε αὐτὸν ὁ υἱὸς καταδιώκει.

1 Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου,
ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου,
ἐπάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·

CXLI **2** *φωνη 2°*] pr *και η* A | *Κυριον 2°*] *τον θν* AT *τον θεον μου* R | ℵART *εδεηθην*] *και προσεσχεν μοι* A **3** *εναντιον*] *ενωπιον* ℵ$^{c.a}$ART | *απαγγελω*] *αναγγελλω* R **4** *εκλιπειν* ℵ | *παγιδα μοι* ℵ$^{c.a}$AT **5** *οτι*] *και* ℵ$^{c.a}$RT | *απολετο* A | *εστιν*] *ην* R **6** *εκεκραξα προς σε κε* ℵ$^{c.a}$ART | om *και* ℵ$^{c.a}$ART | *ειπα*] *ειπον* T | *μερις μου*] + *ει* ℵ$^{c.a}$T **7** *προς*] *εις* AR | *εταπεινωθην σφοδρα* sup ras R^{a} **8** om *Κυριε* ℵ$^{c.a}$RT | *υπομενουσι* ℵ | *ου* sup ras A^{a} | *ανταποδωσεις* R (fort *-σης*) — Stich 19 BℵR 20 A 17 T
CXLII **1** *ο υιος καταδιωκει*] *ο υιος κατεδιωξεν* A *εδιωκεν Αβεσσαλωμ ο υιος αυτου* R *ο υιος αυτου κατεδιωκεν* T | *επακουσον*] *εισακουσον* ART

B [2]καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, 2
ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
[3]ἐταπείνωσεν εἰς τὴν γῆν τὴν ζωήν μου· 3
ἐκάθισέν με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·
[4]καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, 4
ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.
[5]ἐμνήσθην ἡμερῶν ἀρχαίων, 5
καὶ ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου,
ἐν ποιήμασιν τῶν χειρῶν σου ἐμελέτων.
[6]διεπέτασα τὰς χεῖράς μου πρὸς σέ, 6
ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. διάψαλμα.
[7]ταχὺ εἰσάκουσόν μου, Κύριε, 7
ἐξέλιπεν τὸ πνεῦμά μου·
μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ,
καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
[8]ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, 8
ὅτι ἐπὶ σοὶ ἤλπισα·
γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι,
ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.
[9]ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, 9
ὅτι πρὸς σὲ κατέφυγον.
[10]δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι θεός μου εἶ σύ· 10
τὸ πνεῦμά σου τὸ ἅγιον ὁδηγήσει με ἐν τῇ εὐθείᾳ.
[11]ἕνεκα τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με ἐν τῇ δικαιοσύνῃ σου, 11
ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου·
[12]καὶ ἐν τῷ ἐλέει σου ἐξολεθρεύσεις τοὺς ἐχθρούς μου, 12
καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου·
ὅτι δοῦλός σού εἰμι ἐγώ.

ℵART **2** των δουλων ℵ* (του δουλου ℵ[1]) **3** εταπεινωσεν] pr οτι κατεδιωξεν ο εχθρος την ψυχην μου $B^{ab\,(mg)}$ℵRT | την γην] om την ART | εκαθισαν ℵR | σκοτινοις AT | νεκρους A* (νεκρους $A^{a?}$) **4** επ εμε] εν εμοι R **5** εμνησθη R | om και ℵ$^{c.a}$T | πασιν ART **6** προς σε τας χειρας μου ℵ$^{c.a}$ART | om διαψαλμα T **7** μου 1° bis scr T | εξελειπεν AT **8** ακουστον] + μοι ℵ* (om ℵ$^{c.a}$) | πορευσωμαι T | προς σε] + κε ℵ$^{c.a}$ **9** om οτι ℵ$^{c.a}$T | κατεφυγα ℵ$^{c.a}$RT **10** θεος μου ει συ] συ ει ο θς μου ℵ$^{c.a}$RT om A | αγιον] αγαθον ℵ$^{c.a}$RT | τη ευθεια] γη ευθεια ART **11** ενεκεν RT | ζησης T | εν τη δικαιοσ. σου c seqq coniung RT | εξαξης T **12** εξολεθρευσης T | δουλος σου ειμι εγω] εγω δουλος σου ειμι ℵ$^{c.a}$AT δουλος σος ειμι R — Stich 31 B 29 ℵT 30 A 31 R

ΡΜΓ′ Β

CXLIII (CXLIV)

Τῷ Δανείδ, πρὸς τὸν Γολιάδ.

1 Εὐλογητὸς Κύριος ὁ θεύς μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν,
τοὺς δακτύλους μου εἰς πόλεμον·
2 [2]ἔλεός μου καὶ καταφυγή μου,
ἀντιλήμπτωρ μου καὶ ῥύστης μου,
ὑπερασπιστής μου καὶ ἐπ᾽ αὐτῷ ἤλπισα,
ὁ ὑποτάσσων τὸν λαόν μου ὑπ᾽ ἐμέ.
3 [3]Κύριε, τί ἐστιν ἄνθρωπος ὅτι ἐγνώσθης αὐτῷ,
ἢ υἱὸς ἀνθρώπου ὅτι λογίζῃ αὐτόν;
4 [4]ἄνθρωπος ματαιότητι ὡμοιώθη,
αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσιν.
5 [5]Κύριε, κλῖνον οὐρανούς σου καὶ κατάβηθι,
ἅψαι τῶν ὀρέων καὶ καπνισθήσονται·
6 [6]ἄστραψον ἀστραπὴν καὶ σκορπιεῖς αὐτούς,
ἐξαπόστειλον τὰ βέλη σου καὶ συνταράξεις αὐτούς.
7 [7]ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους,
ἐξελοῦ με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν,
ἐκ χειρὸς υἱῶν ἀλλοτρίων,
8 [8]ὧν τὸ στόμα ἐλάλησεν ματαιότητα,
καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας.
9 [9]ὁ θεός, ᾠδὴν καινὴν ᾄσομαί σοι,
ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι,
10 [10]τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσιν,
τῷ λυτρουμένῳ Δανεὶδ τὸν δοῦλον αὐτοῦ.
11 ἐκ ῥομφαίας πονηρᾶς [11]ῥῦσαί με, καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων,
ὧν τὸ στόμα ἐλάλησεν ματαιότητα,
καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας·

CXLIII **1** om *προς τον* Γολιαδ A | Γολιαθ T **2** *ο υποτασσων*] ℵART om *ο* ℵ* (hab ℵ$^{c.a}$) | *μου* 6° B ℵ$^{c.a}$ RT] *σου* ℵ* *αυτου* A **3** *τι*] *τις* AT | *εγνωσθης*] *εγνωρισθης* ℵ | *αυτω*] *αυτον* R **4** *ωμοιωθη*] *ομοιοτητι* R | *σκιαι* ℵ$^{c.a}$A*T **5** *κε* (sic) T^{edit} | om *σου* R | *των ορεων*] *ορη* R **6** *αστραπην*]+*σου* A$^{a?}$T | *σκορπιεις*] *εις* sup ras B$^{a\,(vid)\,b}$ | *συνταραξης* T **8** *ματαιοτητας* T **9** *ασωμαι* T **10** *την σωτηριαν*] om *την* A | *βασιλευσιν* (*βασιλεσουσιν* (sic) R^{vid})]+*αυτου* R | om *τον δουλον αυτου* R | *εκ ρομφαιας πονηρας* c praeced coniung ART **11** *εξελου με και ρυσαι με* R | om *εξελου με* ℵ* (hab *εξελου μαι* ℵ$^{c.a}$) | *ματαιοτητας* T

B [12]ὧν οἱ υἱοὶ ὡς νεόφυτα ἡδρυμμένα ἐν τῇ νεότητι αὐτῶν, 12
αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς
ὁμοίωμα ναοῦ·
[13]τὰ ταμεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο· 13
τὰ πρόβατα αὐτῶν πολύτοκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις
αὐτῶν,
[14]οἱ βόες αὐτῶν παχεῖς· 14
οὐκ ἔστιν κατάπτωμα φραγμοῦ οὐδὲ διέξοδος
οὐδὲ κραυγὴ ἐν ταῖς ἐπαύλεσιν αὐτῶν.
[15]ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστιν, 15
μακάριος ὁ λαὸς οὗ Κύριος ὁ θεὸς αὐτοῦ.

ΡΜΔ΄

Αἴνεσις τοῦ Δαυείδ. CXLIV (CXLV)

Ὑψώσω σε, ὁ θεός μου ὁ βασιλεύς μου, 1
καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα
τοῦ αἰῶνος·
[2]καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, 2
καὶ αἰνέσω τὸ ὄνομά σου.
[3]μέγας ὁ κύριος καὶ αἰνετὸς σφόδρα, 3
καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστιν πέρας.
[4]γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου 4
ἀπαγγελοῦσιν·
[5]καὶ τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλή- 5
σουσιν,
καὶ τὰ θαυμάσιά σου διηγήσονται·
[6]καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσιν, 6

ℵART **12** ων sup ras A^a | οι υιοι] om οι ℵR+αυτων $ℵ^{c.a}$AT | ηδρυμμενα] ηδρυμενα B^bR (nisi fort ιδρυμενα) ιδρυμμενα $ℵ^{c.a}$T | ως ομοιωμα] εν ομοιωματι R **13** ταμια AT | εξερευομενα A | τουτου]+του ℵ* (om $ℵ^1$) | πλυτοκα ℵ* (πολυτ. $ℵ^1$) | εξοδοις] διεξοδοις R **14** επαυλεσιν] πλατιαις $ℵ^{c.a}$RT **15** εμακαρισα ℵ* (-σαν $ℵ^{c.a}$) | ου] σου ℵ* (ου $ℵ^{c.a}$) | αυτου]+εστιν ℵ* (om $ℵ^{c.a}$) — Stich 35 Bℵ 36 AR 38 T CXLIV **1** αινεσεως ℵAT | τω Δαδ ART | θε̄ ℵ* (ο θεος $ℵ^{c.a}$) | om μου 1° A* (hab $A^{a\,?mg}$) T | βασιλευ ℵ* (ο βασιλευς $ℵ^{c.a}$) **2** ημερα A | σου]+εις τον αιωνα | και εις τον αιωνα του αιωνος ℵART **3** ο κυριος] om ο $ℵ^{c.a}$ART | μεγαλοσυνης T **4** γενεα 2°]+α ℵ* | επαινεσει (-ση T)] αινεσει A^* (αιπενεσει $A^{a\,?}$) | δυναμιν] δυναμι sup ras $B^{a\,?}$ | απαγγελουσιν] αναγγελουσιν $A^{*\,vid}$ **5** om και 1° $ℵ^{c.a}$RT | μεγαλοπρεπιαν ℵAT | δοξης]+σου A | της αγιωσυνης (αγιοσ. AT)] s, s sup ras A^a

καὶ τὴν μεγαλωσύνην σου, διηγήσομαι αὐτήν, B
καὶ τὴν δυναστείαν σου λαλήσουσιν.
7 [7]μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται,
καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.
8 [8]οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος,
μακρόθυμος καὶ πολυέλεος·
9 [9]χρηστὸς Κύριος τοῖς ὑπομένουσιν,
καὶ οἱ οἰκτειρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.
10 [10]ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου,
καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε·
11 [11]δόξαν τῆς βασιλείας σου ἐροῦσιν,
καὶ τὴν δυναστείαν σου λαλήσουσιν,
12 [12]τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου
καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου.
13 [13]ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων,
καὶ ἡ δεσποτία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
14 [14]πιστὸς Κύριος ἐν τοῖς λόγοις αὐτοῦ,
καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ·
ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας,
καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους.
15 [15]οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσιν,
καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ·
16 [16]ἀνοίγεις σὺ τὰς χεῖράς σου, καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας.
17 [17]δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσιν
τοῖς ἔργοις αὐτοῦ.
18 [18]ἐγγὺς Κύριος πᾶσιν τοῖς ἐπικαλουμένοις αὐτόν,
πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ·

6 *και την μεγαλωσυνην σου διηγησομαι αυτην* non inst B^b om ℵ* (hab ℵART *και την μεγ. σου διηγησονται* $ℵ^{c.a}$) | *την μεγ. σου διηγησωνται* sup ras A^a | *μεγαλοσυνην* T | *διηγησομαι αυτην*] *διηγησονται* RT | om *και την δυναστειαν σου λαλησουσιν* $ℵ^{c.a}$RT | *δυναστιαν* ℵ*A **7** *την δικαιοσυνην* R | *αγαλλιασονται*] *υψωθησονται* sup ras A^a **8** *οικτειρμων* ℵA **9** *υπομενουσιν*]+*αυτον* A *συνπασιν* $ℵ^{c.a}$RT | *οικτιρμοι* B^bT **10** *εξομολογεισθωσαν* ℵ **11** *βασιλιας* B*ℵ (-λειας B^{ab}AT) | *δυναστιαν* ℵT **12** *δυναστειαν* (-*τιαν* ℵT)] *δυναμιν* A | *μεγαλοπρεπιας* ℵAT | *βασιλιας* B* (-λειας B^{ab}) **13** *σου* 1°]+*Κυριε* R | *βασιλεια* 2°] *βαλεια* B*ℵ* (*βασιλεια* [*σι* superscr] $B^{ab}ℵ^{1}$) | *δεσποτεια* B^{ab} **14** *τοις λογοις*] pr *πασιν* $ℵ^{c.a}$RT | *πασι*] *πασιν* RT | *κατεραγμενους* T **15** *διδους* R **16** *ανοιξεις* A | *τας χειρας*] *την χειρα* $ℵ^{c.a}$RT | *ενπιπλας* R *εμπιμπλας* T **17** *αυτου* 1°] *αυ* sup ras A^a | *οσιοις* ℵ* (*οσιος* $ℵ^{2}$) | *πασιν*] *πασι* ℵ **18** om *πασι τοις επικαλουμενοις αυτον* (2°) ℵ*A* (hab *πασιν τοις επικ. αυτον* $ℵ^{c.a}A^a$) | *πασι*] *τασιν* RT|

B [19]θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, 19
καὶ τῆς δεήσεως αὐτῶν ἐπακούσεται καὶ σώσει αὐτούς.
[20]φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν, καὶ πάντας 20
τοὺς ἁμαρτωλοὺς ἐξολεθρεύσει.
[21]αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, 21
καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ
εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ΡΜΕ΄

Ἀλληλουιά· Ἀγγαίου καὶ Ζαχαρίου. CXLV (CXLVI)

Αἴνει, ἡ ψυχή μου, τὸν κύριον· 1
[2]αἰνέσω Κύριον ἐν ζωῇ μου, 2
ψαλῶ τῷ θεῷ μου ἕως ὑπάρχω.
[3]μὴ πεποίθατε ἐπ᾽ ἄρχοντας καὶ ἐφ᾽ υἱοὺς ἀνθρώπων, οἷς 3
οὐκ ἔστιν σωτηρία·
[4]ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ 4
καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ·
ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν.
[5]μακάριος οὗ ὁ θεὸς Ἰακὼβ βοηθός, 5
ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν θεὸν αὐτοῦ·
[6]τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, 6
τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·
τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα,
[7]ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις, 7
διδόντα τροφὴν τοῖς πεινῶσιν.
Κύριος λύει πεπεδημένους·
[8]Κύριος ἀνορθοῖ κατερραγμένους· 8
Κύριος σοφοῖ τυφλούς·
Κύριος ἀγαπᾷ δικαίους·

ℵART **19** ποιηση T | επακουσεται] επακουσει ℵ* εισακουσει ℵ$^{c.a}$ εισακουσεται RT **20** εξολεθρευει ℵ **21** λαλησει] ει rescr A^{1} λαληση T | τω αιωνος R* (του αι. R^{1}) — Stich 42 B 36 ℵ 46 ART CXLV **1** Αγγεου AT | Ζακκαριου (vel potius Ζακχ.) R **2** ζωη] pr τη R **3** om και ℵ$^{c.a}$T | εφ] επι ℵ$^{c.a}$RT επ A **4** αυτου 2°] αυτος ℵ* (αυτου ℵ$^{c.a}$) | αυτων] αυτου T **5** ου] σου ℵ* (ου ℵ$^{c.a}$) | βοηθος] + αυτου ℵ$^{c.a}$RT **6** τον ποιησαντα] του ποιησαντος R | αυτοις] αυτη T | αληθιαν ℵ **8** κς σοφοι τυφλους κς ανορθοι κατερραγμενους (κατεραγμ. T) ℵ$^{c.a}$T

9 [9]Κύριος φυλάσσει τοὺς προσηλύτους, B
ὀρφανὸν καὶ χήραν ἀναλήμψεται,
καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.
10 [10]βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ θεός σου, Σιών,
εἰς γενεὰν καὶ γενεάν.

PMF′

(CXLVI LVII)

Ἀλληλουιά· Ἀγγαίου καὶ Ζαχαρίου.

1 Αἰνεῖτε τὸν κύριον, ὅτι ἀγαθὸν ψαλμός·
τῷ θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις.
2 [2]οἰκοδομῶν Ἰερουσαλὴμ ὁ κύριος,
καὶ τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει·
3 [3]ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν,
καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν·
4 [4]ὁ ἀριθμῶν πλήθη ἄστρων,
καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.
5 [5]μέγας ὁ κύριος ἡμῶν,
καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ,
καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.
6 [6]ἀναλαμβάνων πραεῖς ὁ κύριος,
ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως τῆς γῆς.
7 [7]ἐξάρξατε τῷ κυρίῳ ἐν ἐξομολογήσει,
ψάλατε τῷ θεῷ ἡμῶν ἐν κιθάρᾳ,
8 [8]τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις,
τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν,
τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον
καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων,
9 [9]καὶ διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν
καὶ τοῖς νοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν.
10 [10]οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει,
οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ·

9 αφανισει A **10** αιωνα] seq ras 1 lit in A | Σειων T | εις γενεαν κ. ℵART γενεαν] εν γενεα κ. γενεα R — Stich 23 BℵT 22 AR CXLVI **1** Αγγεου AT | Ζακχαριου R | τον κυριον] om τον ℵ | αγαθον BℵᶜᵃAT] αγαθος ℵ* R | αινεσις] pr η RT **2** om και ℵᶜᵃT | επισυναξη T **3** τη καρδια ℵᶜᵃRT **5** αυτου 1°] ου sup ras A¹ **6** της γης] om της T **8** om και χλοην τη δουλεια των ανθρ. A | δουλια ℵT **9** om και 1° ℵᶜᵃRT | διδοντι] pr τω R | κτηνεσιν R | νεοσσοις ℵᶜᵃART **10** τη δυναστεια (-τια ℵT)] om τη R | θελησει] seq ras 1 lit in A θεληση T | κνημαις] σκηναις R | ευδοκει] ευδοκησει R

B [11]εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν 11
καὶ ἐν πᾶσιν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.

PMZ′

Ἀλληλουιά· Ἀγγαίου καὶ Ζαχαρίου. CXLVII

Ἐπαίνει, Ἰερουσαλήμ, τὸν κύριον, 1 (12)
αἶνει τὸν θεόν σου, Σειών·
[2]ὅτι ἐνίσχυσεν τοὺς μοχλοὺς τῶν πυλῶν σου, 2 (13)
εὐλόγησεν τοὺς υἱούς σου ἐν σοί.
[3]ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην, 3 (14)
καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε·
[4]ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ, 4 (15)
ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ·
[5]τοῦ διδόντος χιόνα ὡσεὶ ἔριον, 5 (16)
ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος·
[6]βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς, 6 (17)
κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται;
[7]ἀποστελεῖ τὸν λόγον αὐτοῦ καὶ τήξει αὐτά· 7 (18)
πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα.
[8]ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακώβ, 8 (19)
δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ.
[9]οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει, 9 (20)
καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς.

PMH′

Ἀλληλουιά· Ἀγγαίου καὶ Ζαχαρίου. CXLVIII

Αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, 1
αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.
[2]αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· 2

ℵART **11** ευδοκει] ευδοκησεν (vel ηυδ.) R | εν bis] επι R | om πασιν ℵ$^{c.a}$ RT | τους ελπιζοντας R — Stich 25 BℵA 20 R 23 R 24 T CXLVII **1** Αγγεου AT | Ζακχαριου R | αινεις ℵ* (s ras ℵ$^{?}$) | Σιων B^{b}A **3** ειρηνην] seq ras 2 vel 3 litt in A | ενπιμπλων R εμπιμπλων T | σε] σοι ℵ$^{c.a}$ **4** ο αποστελλων] om ο ℵ* (hab ℵ$^{c.a}$) | το λογιον] τον λογον T | ως ταχυς ℵ* (εως ταχους ℵ$^{c.a}$) **5** του διδοντος] om του T | χιονα]+αυτου ℵ$^{c.a}$T | ομιχλη ℵ* (-χλην ℵ$^{c.a}$) **6** ψυχους rescr A^{1} | υποστησεται] υ rescr A^{1} **7** αποστελει] εξαποστελλει R εξαποστελει T | πνευσει] πνευσαι ℵ* (-σει ℵ$^{c.a}$) πνευση T **8** απαγγελλων] απαγγελων A pr ο ℵ$^{c.a}$ RT | τον λογον] το λογιον R | και κριματα αυτου τω Ιηλ sup ras et in mg A^{a} — Stich 18 BℵART CXLVIII **1** Αγγεου AT | Ζακχαριου R | ταν κν̄ ℵ* (τον κν ℵ^{1}) **2** οι αγγελοι] om οι ℵ

αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. B
3 [3]αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη·
αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.
4 [4]αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν,
καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.
5 [5]αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου·
ὅτι αὐτὸς εἶπεν καὶ ἐγενήθησαν,
αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.
6 [6]ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα
καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·
πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.
7 [7]αἰνεῖτε τὸν κύριον ἐκ τῆς γῆς,
δράκοντες καὶ πᾶσαι ἄβυσσοι·
8 [8]πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος,
τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ·
9 [9]τὰ ὄρη καὶ πάντες βουνοί,
ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι·
10 [10]τὰ θηρία καὶ πάντα τὰ κτήνη,
ἑρπετὰ καὶ πετεινὰ πτερωτά·
11 [11]βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί,
ἄρχοντες καὶ πάντες κριταὶ γῆς·
12 [12]νεανίσκοι καὶ παρθένοι,
πρεσβῦται μετὰ νεωτέρων·
13 [13]αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου,
ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου,
ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ·
14 [14]καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ,
τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

ΡΜΘ′

XLIX Ἀλληλουιά.

1 Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν,
ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

9 *βουνοι*] pr *οι* ℵ$^{c.a}$ART **10** *θηρια και παντα τα κτηνη* rescr A^{1} | ℵART *ερπετα*] *ερπετινα* ℵ* **11** *ντες κριται* sup ras A^{a} **12** *και*] *καιναι* R^{vid} | *πρεσβυται*] *πρεσβυτεροι* ℵT **14** *υψωση* T | *τοις υιοις*] pr *υμνος πασι* (*-σιν* ART) *τοις οσιοις αυτου* B$^{ab\,(mg)}$ℵART | *λαω εγγιζοντι*] *ω ε* sup ras A^{a} — Stich 31 BℵA 28 R 30 T CXLIX **1** om *αλληλουια* necnon *ρμθ′* rubricator in ℵ | *αλληλουια*]+ *Αγγαιου και Ζακχαριου* R | *ασατω* R

B [2]εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, 2
καὶ υἱοὶ Σειὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν·
[3]αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, 3
ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
[4]ὅτι εὐδοκεῖ Κύριος ἐν λαῷ αὐτοῦ, 4
καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.
[5]καυχήσονται ὅσιοι ἐν δόξῃ, 5
καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
[6]αἱ ὑψώσεις τοῦ θεοῦ ἐν λάρυγγι αὐτῶν, 6
καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν,
[7]τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, 7
ἐλεγμοὺς ἐν τοῖς λαοῖς,
[8]τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις 8
καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς,
[9]τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔνγραπτον· 9
δόξα αὕτη ἐστὶν πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

PN′

Ἀλληλουιά. CL

Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, 1
αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ·
[2]αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, 2
αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
[3]αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, 3
αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ·
[4]αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, 4
αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ·
[5]αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, 5
αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.
[6]πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον. ἀλληλουιά. 6

ℵART **2** *υιοι*] pr *οι* ℵ | *Σιων* $B^{b}A$ | *βασιλεια* A **4** *λαω*] pr *τω* $ℵ^{c.a}T$ **5** *αγαλλιασονται*] *αγαλλιασθωσαν* R* (*-σονται* R^{a}) **6** *αι υψωσεις του θεου*] *υψωσεις θυ* ℵ* *υψ. του θυ* $ℵ^{c.a}$ | *λαρυγγι*] pr *τω* ℵART | *ρομφαιαι*] pr *αι* R **7** om *εν* 1° T **9** om *εν* ℵ* (hab $ℵ^{c.a}$) | *εγγραπτον* B^{ab} | *εστιν αυτη* ℵ* (*αυτη εστιν* $ℵ^{c.a}$) | *πασιν* ℵART | *αυτου*] *αυτων* ℵ* (*-του* $ℵ^{c.a}$) — Stich 18 BℵAT 17 R CL **2** *δυναστιαις* ℵAT | *μεγαλοσυνης* T **4** *οργανοις* A **5** *ευηχοιοις* ℵ* (*-χοις* $ℵ^{c.a}$) | *αλαλαγμω* T **6** *αλληλουια*] post *α* 2° ras aliq B^{2} *αλλ.* ps seq fort inscr ℵ om ART — Stich 11 BℵART

Subscr *βιβλος ψαλμων ρν′* B *βιβλος ψαλμῶ* $\overline{\Delta\alpha\delta}$ *ρν′* T

[CLI] Οὗτος ὁ ψαλμὸς ἰδιόγραφος εἰς Δαυεὶδ καὶ ἔξωθεν τοῦ ἀριθμοῦ, ὅτε ἐμονομάχησεν τῷ Γολιάδ. B

1 Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου,
καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου·
ἐποίμαινον τὰ πρόβατα τοῦ πατρός μου.
2 [2]αἱ χεῖρές μου ἐποίησαν ὄργανον,
οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον.
3 [3]καὶ τίς ἀναγγελεῖ τῷ κυρίῳ μου;
αὐτὸς Κύριος, αὐτὸς εἰσακούει.
4 [4]αὐτὸς ἐξαπέστειλεν τὸν ἄγγελον αὐτοῦ,
καὶ ἦρέν με ἐκ τῶν προβάτων τοῦ πατρός μου,
καὶ ἔχρισέν με ἐν τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ.
5 [5]οἱ ἀδελφοί μου καλοὶ καὶ μεγάλοι,
καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς Κύριος.
6 [6]ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ,
καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτοῦ·
7 [7]ἐγὼ δὲ σπασάμενος τὴν παρ' αὐτοῦ μάχαιραν
ἀπεκεφάλισα αὐτόν, καὶ ἦρα ὄνειδος ἐξ υἱῶν Ἰσραήλ.

[CLI] **1** ιδιωταγραφος R* (ιδιογρ. R[a]) | εις Δαυειδ] του Δ. RT | τω Γολιαδ] προς τον Γολιαθ AT προς τον Γολιαδ R **3** αναγγελλει ℵ αναγγελω R | εισακουει] pr παντων ℵ εισακουσεται μου A **4** om εν R | ελαιω] ελεει ℵAR | της χρισεως] pr της χρισεν (sic) με εν τω ελαιω T* (om T[1]) **5** ηυδοκησεν T | Κυριος] pr ο ART[vid] **6** συναντησι A* (-σιν A[1]) απαντησιν R | επηκατηρασατο A*[vid] (επικατηρ. A[2]) επικαταρασατο R επεκατηρασατο T **7** αυτου] εκεινου A — Stich 16 BℵA 17 A 14 R[vid] ℵART

Subscr ψαλμοι Δαα (sic) ρνα' ℵ ψαλμοι ρν' και ιδιογραφος α' A

ΠΑΡΟΙΜΙΑΙ

B ΠΑΡΟΙΜΙΑΙ Σαλωμῶντος υἱοῦ Δαυὶδ 1 I
ὃς ἐβασίλευσεν ἐν Ἰσραήλ,
2 γνῶναι σοφίαν καὶ παιδείαν 2
§ C 3 νοῆσαί τε λόγους φρονήσεως,
3 δέξασθαί τε στροφὰς λόγων, 3
νοῆσαί τε δικαιοσύνην ἀληθῆ
καὶ κρίμα κατευθύνειν·
4 ἵνα δῷ ἀκάκοις πανουργίαν, 4
παιδὶ δὲ νέῳ αἴσθησίν τε καὶ ἔννοιαν.
5 τῶνδε γὰρ ἀκούσας σοφὸς σοφώτερος ἔσται, 5
ὁ δὲ νοήμων κυβέρνησιν κτήσεται,
6 νοήσει τε παραβολὴν καὶ σκοτεινὸν λόγον 6
ῥήσεις τε σοφῶν καὶ αἰνίγματα.

7 Ἀρχὴ σοφίας φόβος θεοῦ, 7
σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν·
εὐσέβεια δὲ εἰς θεὸν ἀρχὴ αἰσθήσεως,
σοφίαν δὲ καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσουσιν.
8 ἄκουε, υἱέ, παιδείαν πατρός σου, 8
καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου·
9 στέφανον γὰρ χαρίτων δέξῃ σῇ κορυφῇ, 9
καὶ κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ.

ℵAC I **1** Σολομωντος A **2** παιδιαν A **5** *τωνδε*] των τε AC | om γαρ ℵ* (hab ℵ$^{c.a}$) | εσται] εστιν C **6** σκοτινον ℵAC **7** θεου] κυ AC | ευσεβια ℵ | αρχη 2°] αρετη A | παιδιαν C | ασεβεις rescr C^{1} | εξουθενησουσιν] εξουθενουσιν ℵ εξουδενησουσιν sup ras C^{1} **8** παιδειαν] νομους ℵAC **9** στεφανος ℵ* (-νον ℵ$^{c.a}$) | δεξῃ] εξη A

10 [10]υἱέ, μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς, B
11 μηδὲ βουληθῇς [11]ἐὰν παρακαλέσωσί σε λέγοντες
Ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος,
κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως,
12 [12]καταπίωμεν δὲ αὐτὸν ὥσπερ ᾅδης ζῶντα,
καὶ ἄρωμεν αὐτοῦ τὴν μνήμην ἐκ γῆς·
13 [13]τὴν κτῆσιν αὐτοῦ τὴν πολυτελῆ καταλαβώμεθα,
πλήσωμεν δὲ οἴκους ἡμετέρους σκύλων·
14 [14]τὸν δὲ σὸν κλῆρον βάλε ἐν ἡμῖν,
κοινὸν δὲ βαλλάντιον κτησώμεθα πάντες
καὶ μαρσίππιον ἓν γενηθήτω ἡμῖν.
15 [15]μὴ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν,
ἔκκλινον δὲ τὸν πόδα σου ἐκ τῶν τρίβων αὐτῶν·
17 [17]οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς.
18 [18]αὐτοὶ γὰρ οἱ φόνου μετέχοντες θησαυρίζουσιν ἑαυτοῖς κακά,
ἡ δὲ καταστροφὴ ἀνδρῶν παρανόμων κακή.
19 [19]αὗται αἱ ὁδοὶ εἰσιν πάντων τῶν συντελούντων τὰ ἄνομα·
τῇ γὰρ ἀσεβείᾳ τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται.

20 [20]Σοφία ἐν ἐξόδοις ὑμνεῖται,
ἐν δὲ πλατείαις παρρησίαν ἄγει·
21 [21]ἐπ' ἄκρων δὲ τειχέων κηρύσσεται,
ἐπὶ δὲ πύλαις δυναστῶν παρεδρεύει,
ἐπὶ δὲ πύλαις πόλεως θαρροῦσα λέγει
22 [22]"Οσον ἂν χρόνον ἄκακοι ἔχωνται τῆς δικαιοσύνης, οὐκ αἰσχυνθήσονται·
οἱ δὲ ἄφρονες, τῆς ὕβρεως ὄντες ἐπιθυμηταί,
ἀσεβεῖς γενόμενοι ἐμίσησαν αἴσθησιν,
23 [23]καὶ ὑπεύθυνοι ἐγένοντο ἐλέγχοις.
ἰδοὺ προήσομαι ὑμῖν ἐμῆς πνοῆς ῥῆσιν,
διδάξω δὲ ὑμᾶς τὸν ἐμὸν λόγον.

10 πλανησουσιν C **11** παρακαλεσωσιν ℵAC **12** μνημης A* (-μην $A^{a\,f}$) ℵAC **13** κτισιν A | πολυτελην ℵ* (-λη $ℵ^{c.a}$) | ημετερων ℵ **14** om εν 2° ℵ* (superscr $ℵ^{1}$) | γενηθητω ℵ* (ras θη 2° $ℵ^{1}$) **15** μη] pr υιε $ℵ^{c.a}$ | εν οδω] οδους A | ποδα σου]σον ποδα A om ο 1° C* vid (superscr C^{2}) | αυτων 2°]+(**16**) οι γαρ ποδες αυτων εις κακιαν τρεχουσιν και ταχινοι (+εισιν $ℵ^{c.a}$) του εγχεαι αιμα $ℵ^{c.a}$A **20** σοφια]+δε C | πλατειαις] λατιαι sup ras 7 vel 8 litt C^{a} **21** πολεως] πολ sup ras A^{a} | θαρουσα C **22** υβρεως] ως sup ras A^{a} | ασεβεις c praec coniung A **23** υπευθυνοι εγενοντο B$ℵ^{c.a}$AC] υπευθυνοντο ℵ*

B [24]ἐπειδὴ ἐκάλουν καὶ οὐχ ὑπηκούσατε, 24
καὶ ἐξέτεινον λόγους καὶ οὐ προσείχετε,
[25]ἀλλὰ ἀκύρους ἐποιεῖτε ἐμὰς βουλάς, 25
τοῖς δὲ ἐμοῖς ἐλέγχοις ἠπειθήσατε·
[26]τοιγαροῦν κἀγὼ τῇ ὑμετέρᾳ ἀπωλείᾳ ἐπιγελάσομαι, 26
καταχαροῦμαι δὲ ἡνίκα ἂν ἔρχηται ὑμῖν ὄλεθρος,
[27]καὶ ὡς ἂν ἀφίκηται ὑμῖν ἄφνω θόρυβος, 27
ἡ δὲ καταστροφὴ ὁμοίως καταιγίδι παρῇ,
καὶ ὅταν ἔρχηται ὑμῖν θλίψις καὶ πολιορκία,
ἢ ὅταν ἔρχηται ὑμῖν ὄλεθρος.
[28]ἔσται γὰρ ὅταν ἐπικαλέσησθέ με, ἐγὼ δὲ οὐκ εἰσακούσομαι ὑμῶν· 28
ζητήσουσίν με κακοί, καὶ οὐχ εὑρήσουσιν.
[29]ἐμίσησαν γὰρ σοφίαν, τὸν δὲ λόγον τοῦ κυρίου οὐ προείλαντο, 29
[30]οὐδὲ ἤθελον ἐμαῖς προσέχειν βουλαῖς, 30
ἐμυκτήριζον δὲ ἐμοὺς ἐλέγχους.
[31]τοιγαροῦν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρπούς, 31
καὶ τῆς ἑαυτῶν ἀσεβείας πλησθήσονται·
[32]ἀνθ' ὧν γὰρ ἠδίκουν νηπίους φονευθήσονται, 32
καὶ ἐξετασμὸς ἀσεβεῖς ὀλεῖ.
[33]ὁ δὲ ἐμοῦ ἀκούων κατασκηνώσει ἐπ' ἐλπίδι, 33
καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ.

[1]Υἱέ, ἐὰν δεξάμενος ῥῆσιν ἐμῆς ἐντολῆς κρύψῃς παρὰ σεαυτῷ, 1 II
[2]ὑπακούσεταί σοφίας τὸ οὖς σου, 2
καὶ παραβαλεῖς καρδίαν σου εἰς σύνεσιν,
παραβαλεῖς δὲ αὐτὴν ἐπὶ νουθέτησιν τῷ υἱῷ σου.
[3]ἐὰν γὰρ τὴν σοφίαν ἐπικαλέσῃ 3
καὶ τῇ συνέσει δῷς φωνήν σου,
[4]καὶ ἐὰν ζητήσῃς αὐτὴν ὡς ἀργύριον 4
καὶ ὡς θησαυροὺς ἐξεραυνήσῃς αὐτήν·

ℵAC **24** επειδη] seq ras 3 vel 4 litt in C | υπηκουσατε] υπηκουετε ℵA **25** ηπειθησατε] και ου προσειχετε ℵ* ου προσειχετε ℵ$^{c.a}$A (-τ$_{ε}$) C **26** αν] εαν ℵ **27** και 2°] η AC | om η οταν ερχηται υμιν ολεθρος C **28** επικαλεσασθαι ℵ* (-σησθαι ℵ^{1}AC) **29** σοφιαν] παιδιαν A | λογον] φοβον ℵ$^{c.a}$C | του κυριου] om του ℵ$^{c.a}$AC **30** εμου C* (εμους C$^{?}$) **33** επ] εν ℵA | ησυχασει] η sup ras A^{a} II **1** εαν] αν C **2** αυτην] αυτον C | νουθετησιν] νουθεσιαν C **3** και τη συνεσει δως φ. σου C$^{a(mg)}$ | σου] + την δε αισθησιν ζητησης μεγαλη τη φωνη B$^{ab\,mg\,inf}$A sup ras C^{a} (om ut vid C*) **4** εξερεινησης B^{ab}ℵ$^{c.a}$ εξεραυνησεις A εξερεινησεις C

5 [5]τότε συνήσεις φόβον Κυρίου, B
καὶ ἐπίγνωσιν θεοῦ εὑρήσεις.
6 [6]ὅτι Κύριος δίδωσιν σοφίαν,
καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις·
7 [7]καὶ θησαυρίζει τοῖς κατορθοῦσι σωτηρίαν,
8 ὑπερασπιεῖ τὴν πορείαν αὐτῶν [8]τοῦ φυλάξαι ὁδοὺς δικαιωμάτων,
καὶ ὁδὸν εὐλαβουμένων αὐτὸν διαφυλάξει.¶ ¶ C
9 [9]τότε συνήσεις δικαιοσύνην καὶ κρίμα,
καὶ κατορθώσεις πάντας ἄξονας ἀγαθούς.
10 [10]ἐὰν γὰρ ἔλθῃ ἡ σοφία εἰς τὴν διάνοιαν,
ἡ δὲ αἴσθησις τῇ σῇ ψυχῇ καλὴ εἶναι δόξῃ,
11 [11]βουλὴ καλὴ φυλάξει σε,
ἔννοια δὲ ὁσία τηρήσει σε·
12 [12]ἵνα ῥύσηταί σε ἀπὸ ὁδοῦ κακῆς
καὶ ἀπὸ ἀνδρὸς λαλοῦντος μηδὲν πιστόν.
13 [13]ὧ οἱ ἐγκαταλείποντες ὁδοὺς εὐθείας
τοῦ πορεύεσθαι ἐν ὁδοῖς σκότους,
14 [14]οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς
καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ,
15 [15]ὧν αἱ τρίβοι σκολιαὶ καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν,
16 [16]τοῦ μακράν σε ποιῆσαι ἀπὸ ὁδοῦ εὐθείας
καὶ ἀλλότριον τῆς δικαίας γνώμης.
υἱέ, μή σε καταλάβῃ κακὴ βουλή,
17 [17]ἡ ἀπολείπουσα διδασκαλίαν νεότητος,
καὶ διαθήκην θείαν ἐπιλελησμένη.
18 [18]ἔθετο γὰρ παρὰ τῷ θανάτῳ τὸν οἶκον αὐτῆς,
καὶ παρὰ τῷ ᾅδῃ μετὰ τῶν γηγενῶν τοὺς ἄξονας αὐτῆς·
19 [19]πάντες οἱ πορευόμενοι ἐν αὐτῇ οὐκ ἀναστρέψουσιν
οὐδὲ μὴ καταλάβωσιν τρίβους εὐθείας·
οὐ γὰρ καταλαμβάνονται ὑπὸ ἐνιαυτῶν ζωῆς.
20 [20]εἰ γὰρ ἐπορεύοντο τρίβους ἀγαθάς,
εὗροσαν ἂν τρίβους δικαιοσύνης λείους.

6 *συνεσεις* A **7** *κατορθουσιν* ℵA *κατορθωσιν* C | *υπερασπιει*]+ *δε* ℵ$^{c.a}$ | ℵAC *πορειαν* ℵAC **8** *οδους*] *οδον* AC **9** *αυξονας* A (item 18) **10** *η σοφια*] *σοφια* ℵ* (*η σ.* ℵ$^{c.a}$) | *την διαν.*] *σην διαν.* ℵA | *ειναι*] *ειη* A$^{*\,fort}$ **12** om *σε* A **13** *εγκαταλιποντες* ℵ **15** *τροχειαι* B* (*-χιαι* B^{b}ℵA) **17** *απολιπουσα* ℵ **19** *πορευοιμενοι* ℵ | *καταλαμβανωνται* A

B [21]ὅτι εὐθεῖς κατασκηνώσουσι γῆν, 21
καὶ ὅσιοι ὑπολειφθήσονται ἐν αὐτῇ·
[22]ὁδοὶ ἀσεβῶν ἐκ γῆς ὀλοῦνται, 22
οἱ δὲ παράνομοι ἐξωσθήσονται ἀπ' αὐτῆς.

[1]Υἱέ, ἐμῶν νομίμων μὴ ἐπιλανθάνου, 1 III
τὰ δὲ ῥήματά μου τηρείτω σὴ καρδία·
[2]μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς καὶ εἰρήνην προσθήσουσίν σοι. 2
[3]ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλιπέτωσάν σε, 3
ἄφαψαι δὲ αὐτὰς ἐπὶ σῷ τραχήλῳ, καὶ εὑρήσεις χάριν·
[4]καὶ προνοοῦ καλὰ ἐνώπιον Κυρίου καὶ ἀνθρώπων. 4
[5]ἴσθι πεποιθὼς ἐν ὅλῃ τῇ καρδίᾳ ἐπὶ θεῷ, 5
ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου·
[6]πάσαις ὁδοῖς σου γνώριζε αὐτήν, 6
ἵνα ὀρθοτομῇ τὰς ὁδούς σου.
[7]μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ, 7
φοβοῦ δὲ τὸν θεὸν καὶ ἔκκλινε ἀπὸ παντὸς κακοῦ·
[8]τότε ἴασις ἔσται τῷ σώματί σου, 8
καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου.
[9]τίμα τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων, 9
καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης·
[10]ἵνα πίμπληται τὰ ταμεῖά σου πλησμονῆς σίτῳ, 10
οἴνῳ δὲ αἱ ληνοί σου ἐκβλύζωσιν.

[11]Υἱέ, μὴ ὀλιγώρει παιδείας Κυρίου, 11
μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος·
[12]ὃν γὰρ ἀγαπᾷ Κύριος ἐλέγχει, 12
μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.
[13]μακάριος ἄνθρωπος ὃς εὗρεν σοφίαν, 13
καὶ θνητὸς ὃς εἶδεν φρόνησιν.

ℵA **21** οτι] pr χρηστοι εσονται οικητορες γης και οσιοι υπολιφθησονται εν αυτη ℵ*+χρ. εσ. οικ. γης ακακοι δε υπολιφθησονται (υπολειφθ. A) εν αυτη ℵ$^{c.a}$A | κατασκηνωσουσιν ℵ | om και οσιοι...εν αυτη ℵ* (hab ℵ$^{c.a}$ οσιοι υπολιφθ. εν αυτη) **22** οδοι]+δε A III **3** πιστις ℵA | εκλειπετωσαν B^{ab}A | σε] τε ℵ* (σε ℵ^{1}) | χαριν]+γραψον δε αυτας επι το πλατος της καρδιας σου A **5** τη καρδια] om τη ℵ$^{c.a}$A **6** πασαις] pr εν A | σου 2°]+ο δε πους σου μη προσκοπτη ℵ$^{c.a}$ **7** εκκλιναι A **8** επιμελια ℵ **10** πιμπλωνται ℵ* (πιμπληται ℵ$^{c.a}$) | ταμεια B^{ab} (-μια B*ℵ)] ταμιεια A | σιτου ℵ$^{c.a}$A | εκβλυζωσιν] εκβυζ. ℵ* (εκβλυζ. ℵ^{1}) **11** παιδιας B*ℵ (-δειας B^{ab}A) **12** ελεγχει] παιδευει ℵA **13** ιδεν A

14 [14]κρεῖττον γὰρ αὐτὴν ἐμπορεύεσθαι B
ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς.
15 [15]τιμιωτέρα δέ ἐστιν λίθων πολυτελῶν·
οὐκ ἀντιτάξεται αὐτῇ οὐδὲν πονηρόν.
εὔγνωστός ἐστιν πᾶσιν τοῖς ἐγγίζουσιν αὐτῇ,
πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν.
16 [16]μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς,
ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα·
16a [16a]ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη,
νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ.
17 [17]αἱ ὁδοὶ αὐτῆς ὁδοὶ καλαί,
καὶ πάντες οἱ τρίβοι αὐτῆς ἐν εἰρήνῃ·
18 [18]ξύλον ζωῆς ἐστιν πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς,
καὶ τοῖς ἐπερειδομένοις ἐπ᾽ αὐτὴν ὡς ἐπὶ Κύριον.
19 [19]ὁ θεὸς τῇ σοφίᾳ ἐθεμελίωσεν τὴν γῆν,
ἡτοίμασεν δὲ οὐρανοὺς φρονήσει·
20 [20]ἐν αἰσθήσει ἄβυσσοι ἐρράγησαν,
νέφη δὲ ἐρρύησαν δρόσους.

21 [21]Υἱέ, μὴ παραρυῇς,
τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν·
22 [22]ἵνα ζήσῃ ἡ ψυχή σου, καὶ χάρις ᾖ περὶ σῷ τραχήλῳ.
22a [22a]ἔσται δὲ ἴασις ταῖς σαρξί σου,
καὶ ἐπιμέλεια τοῖς σοῖς ὀστέοις·
23 [23]ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ πάσας τὰς ὁδούς σου,
ὁ δὲ πούς σου οὐ μὴ προσκόψῃ.
24 [24]ἐὰν γὰρ κάθῃ, ἄφοβος ἔσῃ,
ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις·
25 [25]καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν
οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομένας·
26 [26]ὁ γὰρ Κύριος ἔσται ἐπὶ πασῶν ὁδῶν σου,
καὶ ἐρείσει σὸν πόδα ἵνα μὴ σαλευθῇς.
27 [27]μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῆ,
ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν.

15 αντιτασσεται $\aleph^{c.a}$A | εστιν 2°] εστι A **17** αι τριβοι $B^{a?c?}$ | om εν $\aleph$ $\aleph$A **18** εστι $\aleph$A | επι Κυριον] + ασφαλη B^{ab} + ασφαλης $\aleph^{c.a}$A **19** φρονησει] pr εν $\aleph^{c.a}$A **20** αισθησει] + αυτου $\aleph^{c.a}$ | εφη A* (νεφη A$^{?}$) | δροσους] δροσω $\aleph^{c.a}$ **22 a** σαρξιν $\aleph^{c.a}$A | επιμελια $\aleph$ | σοις (οις $\aleph^{*}$ σοις $\aleph^{1}$) οστεοις] οστ. σου $\aleph^{c.a}$A **24** om γαρ A **25** ου] + μη A **27** βοηθειν] ευ ποιει (sic) A

B [28]μὴ εἴπῃς Ἐπανελθὼν ἐπάνηκε, αὔριον δώσω,
δυνατοῦ σου ὄντος εὖ ποιεῖν·
οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα.
[29]μὴ τεκτήνῃ ἐπὶ σὸν φίλον κακά,
παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί.
[30]μὴ φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην,
μή τί σε ἐργάσηται κακόν.
[31]μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη,
μηδὲ ζηλώσῃς τὰς ὁδοὺς αὐτῶν.
[32]ἀκάθαρτος γὰρ ἔναντι Κυρίου πᾶς παράνομος,
ἐν δὲ δικαίοις οὐ συνεδριάζει.
[33]κατάρα θεοῦ ἐν οἴκοις ἀσεβῶν,
ἐπαύλεις δὲ δικαίων εὐλογοῦνται.
[34]Κύριος ὑπερηφάνοις ἀντιτάσσεται,
ταπεινοῖς δὲ δίδωσιν χάριν.
[35]δόξαν σοφοὶ κληρονομήσουσιν,
οἱ δὲ ἀσεβεῖς ὕψωσαν ἀτιμίαν.

[1]Ἀκούσατε, παῖδες, παιδείαν πατρός, 1 IV
καὶ προσέχετε γνῶναι ἔννοιαν.
[2]δῶρον γὰρ ἀγαθὸν δωροῦμαι ὑμῖν, 2
τὸν ἐμὸν νόμον μὴ ἐγκαταλίπητε.
[3]υἱὸς γὰρ ἐγενόμην κἀγὼ πατρὶ ὑπήκοος 3
καὶ ἀγαπώμενος ἐν προσώπῳ μητρός,
[4]οἳ ἔλεγον καὶ ἐδίδασκόν με 4
Ἐρειδέτω ὁ ἡμέτερος λόγος εἰς σὴν καρδίαν·
φύλασσε ἐντολάς, [5]μὴ ἐπιλάθῃ· 5
μηδὲ παρίδῃς ῥῆσιν ἐμοῦ στόματος
[6]μηδὲ ἐγκαταλίπῃς αὐτήν, καὶ ἀνθέξεταί σου· 6
ἐράσθητι αὐτῆς, καὶ τηρήσει σε.
[8]περιχαράκωσον αὐτήν, καὶ ὑψώσει σε· 8
τίμησον αὐτήν, ἵνα σε περιλάβῃ·

ℵA **28** επανηκε] επανη|και ℵ* επανηκε| και ℵ$^{c.a}$A **29** τεκτηνη] τεκτενε ℵ$^{c.a}$A **30** om σε ℵ* εις σε ℵ$^{c.a}$A **31** ζηλωση A **32** om γαρ ℵ IV **1** παιδιαν A **2** εγκαταλειπητε A **4** καρδιαν] διανοιαν ℵ | εντολας] + μου ℵ$^{c.a}$ **5** επιλαθη] + κτησαι σοφιαν και συνεσιν ℵ$^{c.a}$ | στοματος] + κτησαι σοφιαν κτησαι συνεσιν μη επιλαθη| μηδε εκκλεινης απο ρηματων στοματος μου| A **6** μηδε] μη A | ενκαταλιπης ℵ εγκαταλειπης A

9 [9]ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων, B
στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσῃ σου.

10 [10]Ἄκουε, υἱέ, καὶ δέξαι ἐμοὺς λόγους,
καὶ πληθυνθήσεταί ἔτη ζωῆς σου,
11 ἵνα σοι γένωνται πολλαὶ ὁδοὶ βίου.
[11]ὁδοὺς γὰρ σοφίας διδάσκω σε,
ἐμβιβάζω δέ σε τροχιαῖς ὀρθαῖς.
12 [12]ἐὰν γὰρ πορεύῃ, οὐ συνκλεισθήσεταί σου τὰ διαβήματα·
ἐὰν δὲ τρέχῃς, οὐ κοπιάσεις.
13 [13]ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς,
ἀλλὰ φύλαξον αὐτὴν σεαυτῷ εἰς ζωήν σου.
14 [14]ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς,
μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων·
15 [15]ἐν ᾧ ἂν τόπῳ στρατοπεδεύσωσιν, μὴ ἐπέλθῃς ἐκεῖ,
ἔκκλινον δὲ ἀπ᾽ αὐτῶν καὶ παράλλαξον.
16 [16]οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσιν·
ἀφῄρηται ὁ ὕπνος αὐτῶν, καὶ οὐ κοιμῶνται·
17 [17]οἵδε γὰρ σιτοῦνται σῖτα ἀσεβείας,
οἶνῳ δὲ παρανόμῳ μεθύσκονται.
18 [18]αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσιν,
προπορεύονται καὶ φωτίζουσιν ἕως κατορθώσῃ ἡ ἡμέρα.
19 [19]αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναί,
οὐκ οἴδασιν πῶς προσκόπτουσιν.

20 [20]Υἱέ, ἐμῇ ῥήσει πρόσεχε,
τοῖς δὲ ἐμοῖς λόγοις παράβαλε σὸν οὖς,
21 [21]ὅπως μὴ ἐκλίπωσίν σε αἱ πηγαί σου,
φύλασσε αὐτὰς ἐν καρδίᾳ·
22 [22]ζωὴ γάρ ἐστιν τοῖς εὑρίσκουσιν αὐτήν,
καὶ πάσῃ σαρκὶ ἴασις.
23 [23]πάσῃ φυλακῇ τήρει σὴν καρδίαν·
ἐκ γὰρ τούτων ἔξοδοι ζωῆς.

9 στεφανω] τρεφανω ℵ* (στ. ℵ$^{c.a}$) **10** πληθυνθησεται] + σοι ℵ$^{c.a}$ A ℵA **11** τροχειαις B* (-χιαις B^{b}ℵA) **12** συγκλεισθησεται B$^{ab\,vid}$ (εγκλ. Cozz^{app}) A **13** παιδιας ℵA | om αλλα A **15** om τοπω ℵ* (hab ℵ$^{c.a}$) **16** αυτων] pr απ ℵ$^{c.a}$A | om και A **18** κατορθωσει A **19** σκοτιναι ℵA | οιδασι ℵ **20** παραβαλλε A **21** εκλειπωσιν B^{ab}A λιπωσιν ℵ* (εκλιπ. ℵ$^{c.a}$) | καρδια] pr σῃ ℵ$^{c.a}$A **22** αυτην] αυτας ℵA | σαρκι] + αυτου ℵ$^{c.a}$A

B [24] περίελε σεαυτοῦ σκολιὸν στόμα, 24
καὶ ἄδικα χείλη ἀπὸ σοῦ μακρὰν ἄπωσαι.
[25] οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, 25
τὰ δὲ βλέφαρά σου νευέτω δίκαια.
[26] ὀρθὰς τροχιὰς ποίει σοῖς ποσίν, 26
καὶ τὰς ὁδούς σου κατεύθυνε.
[27] μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ μηδὲ εἰς τὰ ἀριστερά, 27
ἀπόστρεψον δὲ σὸν πόδα ἀπὸ ὁδοῦ κακῆς.
[27 a] ὁδοὺς γὰρ τὰς ἐκ δεξιῶν οἶδεν ὁ θεός, 27 a
διεστραμμέναι δέ εἰσιν αἱ ἐξ ἀριστερῶν·
[27 b] αὐτὸς δὲ ὀρθὰς ποιήσει τὰς τροχιάς σου, 27 b
τὰς δὲ πορείας σου ἐν εἰρήνῃ προάξει.

[1] Υἱέ, ἐμῇ σοφίᾳ πρόσεχε, 1 V
ἐμοῖς δὲ λόγοις παράβαλλε σὸν οὖς,
[2] ἵνα φυλάξῃς ἔννοιαν ἀγαθήν· 2
αἴσθησις δὲ ἐμῶν χειλέων ἐντέλλεταί σοι.
[3] μὴ πρόσεχε φαύλῃ γυναικί· 3
μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης,
ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα·
[4] ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις 4
καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου.
[5] τῆς γὰρ ἀφροσύνης οἱ πόδες κατάγουσιν 5
τοὺς χρωμένους αὐτῇ μετὰ θανάτου εἰς τὸν ᾅδην,
τὰ δὲ ἴχνη αὐτῆς οὐκ ἐρείδεται·
[6] ὁδοὺς γὰρ ζωῆς οὐκ ἐπέρχεται, 6
σφαλεραὶ δὲ αἱ τροχιαὶ αὐτῆς καὶ οὐκ εὔγνωστοι.
[7] νῦν οὖν, υἱέ, ἄκουέ μου, 7
καὶ μὴ ἀκύρους ποιήσῃς ἐμοὺς λόγους.
[8] μακρὰν ποίησον ἀπ' αὐτῆς σὴν ὁδόν, 8
μὴ ἐγγίσῃς πρὸς θύραις οἴκων αὐτῆς·
[9] ἵνα μὴ πρόῃ ἄλλοις ζωήν σου, 9
καὶ σὸν βίον ἀνελεήμοσιν·

ℵA **24** μακραν απο σου ℵ | απωσον A **26** τροχειας B* (-χιας B^{b}ℵA) item 27 b **27** a αι εξ] om αι ℵ **27** b πορειας ℵA | προαξαι A V **1** παραβαλε ℵ **2** αισθησιν $ℵ^{c.a}$ (αισθησις $ℵ^{*(vid)}$ c.b) A | εντελλομαι $ℵ^{c.a}$ (εντελλεται $ℵ^{*(vid)}$) A **4** μεντοι] δε A **5** καταγουσι A **6** τροχειαι B* (-χιαι B^{b}ℵA) | εγνωστοι A **7** ακυρους] μακρυνης ℵ* (ακ. $ℵ^{c.a\ et\ c.c}$) | ποιησαι $ℵ^{1?a?}$ (-σης ℵ*) **8** μη] pr ῃ $ℵ^{c.a}$ | προς θυραις] προθυραις A **9** ανελαιημοσι ℵ

B

10 [10]ἵνα μὴ πλησθῶσιν ἀλλότριοι σῆς ἰσχύος,
οἱ δὲ σοὶ πόνοι εἰς οἴκους ἀλλοτρίων ἔλθωσιν·
11 [11]καὶ μεταμεληθήσῃ ἐπ᾽ ἐσχάτων,
ἡνίκα ἂν κατατριβῶσιν σάρκες σώματός σου,
12 [12]καὶ ἐρεῖς Πῶς ἐμίσησα παιδείαν,
καὶ ἐλέγχους ἐξέκλινεν ἡ καρδία μου·
13 [13]οὐκ ἤκουον φωνὴν παιδεύοντός με καὶ διδάσκοντός με,
οὐδὲ παρέβαλλον τὸ οὖς μου·
14 [14]παρ᾽ ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ
ἐν μέσῳ ἐκκλησίας καὶ συναγωγῆς.
15 [15]πῖνε ὕδατα ἀπὸ σῶν ἀγγείων
καὶ ἀπὸ σῶν φρεάτων πηγῆς.
16 [16]μὴ ὑπερεκχείσθω σοι ὕδατα ἐκ τῆς σῆς πηγῆς,
εἰς δὲ σὰς πλατείας διαπορευέσθω τὰ σὰ ὕδατα·
17 [17]ἔστω σοι μόνα ὑπάρχοντα,
καὶ μηδεὶς ἀλλότριος μετασχέτω σοι·
18 [18]ἡ πηγή σου τοῦ ὕδατος ἔστω σοι ἰδία,
καὶ συνευφραίνου μετὰ γυναικὸς τῆς ἐκ νεότητός σου.
19 [19]ἔλαφος φιλίας καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι,
ἡ δὲ ἰδία ἡγείσθω σου καὶ συνέστω σοι ἐν παντὶ καιρῷ·
ἐν γὰρ τῇ ταύτης φιλίᾳ συνπεριφερόμενος πολλοστὸς ἔσῃ.
20 [20]μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν,
μηδὲ συνέρχου ἀγκάλαις τῆς μὴ ἰδίας·
21 [21]ἐνώπιον γάρ εἰσιν τῶν τοῦ θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρός,
εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ σκοπεύει.
22 [22]παρανομίαι ἄνδρα ἀγρεύουσιν,
σειραῖς δὲ τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται.
23 [23]οὗτος τελευτᾷ μετὰ ἀπαιδεύτων,
ἐκ δὲ πλήθους τῆς ἑαυτοῦ βιότητος ἐξερίφη
καὶ ἀπώλετο δι᾽ ἀφροσύνην.

10 om μη A | ελθωσιν] εισελθωσιν A **11** μεταμεληθηση (μεταμελεηθ. ℵA ℵ* μεταμεληθ. ℵ[1])] pr μη A | εσχατων]+σου ℵ[c.a] **12** παιδιαν ℵA **13** παρεβαλον ℵ **14** κακω] καιρω ℵ* (κακω ℵ[1])+μου A **15** αγγειων] αγιων ℵ* αγγιων ℵ[c.a] A **16** om μη ℵ[1]A | υδατα I[o]] pr τα A **17** μονω ℵA **19** ιδια] ηδια ℵ* (ιδ. ℵ[c.a]) pr vid φιλια ℵ[c.c mg] (φιλη ℵ[c.a fort]) | τη ταυτης] ταυτη τη A | συμπεριφερομενος B[b] **20** ισθι] ησθι A | προς] pr μη ℵ* (om μη ℵ[1]) | συνερχου] συνεχου ℵA | της μη ιδιας] ταις μη ιδιαις A **21** πασας τας] σας A | τροχειας B*A (-χιας B[b]ℵ) | αυτου] αυτους A **22** εκαστος των εαυτου αμ. ℵ **23** ουτος] ος A* (ουτος A[a]) | δι] δια ℵA

B [1]Υἱέ, ἐὰν ἐγγυήσῃ σὸν φίλον, 1 VI
παραδώσεις σὴν χεῖρα ἐχθρῷ.
[2]παγὶς γὰρ ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, 2
καὶ ἁλίσκεται χείλεσιν ἰδίου στόματος.
[3]ποίει, υἱέ, ἃ ἐγώ σοι ἐντέλλομαι, καὶ σώζου· 3
ἥκεις γὰρ εἰς χεῖρας κακῶν διὰ σὸν φίλον·
ἴσθι μὴ ἐκλυόμενος,
παρόξυνε δὲ καὶ τὸν φίλον σου ὃν ἐνεγυήσω.
[4]μὴ δῷς ὕπνον σοῖς ὄμμασιν, 4
μηδὲ ἐπινυστάξῃς σοῖς βλεφάροις,
[5]ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ βρόχων 5
καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος.

[6]Ἴσθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ, 6
καὶ ζήλωσον ἰδὼν τὰς ὁδοὺς αὐτοῦ,
καὶ γενοῦ ἐκείνου σοφώτερος·
[7]ἐκείνῳ γὰρ γεωργίου μὴ ὑπάρχοντος, 7
μηδὲ τὸν ἀναγκάζοντα ἔχων
μηδὲ ὑπὸ δεσπότην ὤν,
[8]ἑτοιμάζεται θέρους τὴν τροφήν, 8
πολλήν τε ἐν τῷ ἀμήτῳ ποιεῖται τὴν παράθεσιν.
[8a]ἢ πορεύθητι πρὸς τὴν μέλισσαν 8 a
καὶ μάθε ὡς ἐργάτις ἐστιν,
τήν τε ἐργασίαν ὡς σεμνὴν ποιεῖται·
[8b]ἧς τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται, 8 b
ποθεινὴ δέ ἐστιν πᾶσιν καὶ ἐπίδοξος·
[8] καίπερ οὖσα τῇ ῥώμῃ ἀσθενής, 8 c
τὴν σοφίαν τιμήσασα προήχθη.
[9]ἕως τίνος, ὀκνηρέ, κατάκεισαι; 9
πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ;
[10]ὀλίγον μὲν ὑπνοῖς, ὀλίγον δὲ κάθησαι, μικρὸν δὲ νυστάζεις, 10
ὀλίγον δὲ ἐναγκαλίζῃ χερσὶν στήθη·
[11]εἶτ' ἐνπαραγίνεταί σοι ὥσπερ κακὸς ὁδοιπόρος ἡ πενία, 11

ℵA VI **1** εγγυη A | χειρας A **2** τα ιδια χειλη ανδρι A **3** παροξυνε B*[b]ℵA] παρωξυνε B[a] | φιλον σου] σον φιλον ℵ | ενεγυησω B*ℵA] ενηγγυησω B[a(vid)b] **6** ισθι B*ℵA[1]] ιθι B[ab]A* **7** εκεινου ℵ[c.a]A | γεωργιου γαρ ℵ* (γαρ γεωργ. ℵ[c.a]) **8 a** ως εργατις] ωργατις A **8 b** υγειαν ℵ (-γιαν B*A)] υγιειαν B[ab] | προσφερονται] φερονται A **9** υπνου] pr ο ℵ* (om ℵ[1]) **11** om σοι ℵ

καὶ ἡ ἔνδεια ὥσπερ ἀγαθὸς δρομεύς. B

11a [11a]ἐὰν δὲ ἄοκνος ᾖς, ἥξει ὥσπερ πηγὴ ὁ ἀμητός σου,
ἡ δὲ ἔνδεια ὥσπερ κακὸς δρομεὺς ἀπαυτομολήσει.

12 [12]Ἀνὴρ ἄφρων καὶ παράνομος πορεύεται ὁδοὺς οὐκ ἀγαθάς·
13 [13]ὁ δ' αὐτὸς ἐννεύει ὀφθαλμῷ, σημαίνει δὲ ποδί,
διδάσκει δὲ ἐννεύμασιν δακτύλων·
14 [14]διεστραμμένῃ καρδίᾳ τεκταίνεται κακὰ ἐν παντὶ καιρῷ·
ὁ τοιοῦτος ταραχὰς συνίστησιν πόλει.
15 [15]διὰ τοῦτο ἐξαπίνης ἔρχεται ἡ ἀπώλεια αὐτοῦ,
διακοπὴ καὶ συντριβὴ ἀνίατος·
16 [16]ὅτι χαίρει πᾶσιν οἷς μισεῖ ὁ θεός,
συντρίβεται δὲ δι' ἀκαθαρσίαν ψυχῆς·
17 [17]ὀφθαλμὸς ὑβριστοῦ, γλῶσσα ἄδικος,
χεῖρες ἐκχέουσαι αἷμα δικαίου,
18 [18]καὶ καρδία τεκταινομένη λογισμοὺς κακούς,
καὶ πόδες ἐπισπεύδοντες κακοποιεῖν.
19 [19]ἐκκαίει ψευδῆ μάρτυς ἄδικος,
καὶ ἐπιπέμπει κρίσεις ἀνὰ μέσον ἀδελφῶν.

20 [20]Υἱέ, φύλασσε νόμους πατρός σου,
καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου·
21 [21]ἄφαψαι δὲ αὐτοὺς ἐπὶ σῇ ψυχῇ διὰ παντός,
καὶ ἐνκλοίσαι ἐπὶ σῷ τραχήλῳ.
22 [22]ἡνίκα ἂν περιπατῇς ἐπάγου αὐτὴν καὶ μετὰ σοῦ ἔστω·
ὡς δ' ἂν καθεύδῃς φυλασσέτω σε,
ἵνα ἐγειρομένῳ συλλαλῇ σοι.
23 [23]ὅτι λύχνος ἐντολὴ νόμου,
καὶ φῶς ὁδὸς ζωῆς καὶ ἔλεγχος καὶ παιδεία,

11 a ηξει] pr ω ℵ* (om ω ℵ¹ ras ℵ²) + σοι A | σου] σοι ℵ | δρομευς] ανηρ ℵA A | απαυτομολησει] απαυτομολογησει ℵ* (om ογ ℵ¹ (vid)) αυτομολησει A **13** εννευμασι ℵ | δακτυλων sup ras A$^{a?}$ **14** διεστραμμενη] + δε ℵA | τεκταινεται] κατασκευαζει B$^{a\,?mg}$ | εν παντι καιρω c seqq coniung A **15** δια] + δε B^{ab}ℵ$^{c.a}$A | απωλια ℵ | διακοπη] + δε ℵ **16** θεος] κς ℵA | συντριβεται B (συντρειβ.) ℵ$^{c.a}$A] συντριβη ℵ* | δι] δια A **17** δικαιου] δικαιον ℵ$^{c.a}$A **18** επιδπευδοντες A*^{vid} (επισπ. A$^{a?}$) **19** κρισις BℵA | αδελφου ℵ* (-φων ℵ¹) **20** φυλασσε υιε A **21** αφασψαι ℵ* (αφαψ. ℵ¹) | αυτους Bℵ$^{c.a}$A] αυτας ℵ* | εγκλοισαι B^{ab}A (-σε) | επι 2°] περι ℵ$^{c.a}$A **22** αν 1°] εαν ℵ | συλλαλη] συνλαλη ℵ συλλαλησω A **23** και φως c praec coniung A | οδος] pr και ℵ$^{c.a}$A | om και 2° B^{c}ℵA | παιδια ℵA

B [24]τοῦ διαφυλάσσειν σε ἀπὸ γυναικὸς ὑπάνδρου 24
καὶ ἀπὸ διαβολῆς γλώσσης ἀλλοτρίας.
[25]μή σε νικήσῃ κάλλους ἐπιθυμία, 25
μηδὲ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς,
μηδὲ συναρπασθῇς ἀπὸ τῶν αὐτῆς βλεφάρων.
[26]τιμὴ γὰρ πόρνης ὅση καὶ ἑνὸς ἄρτου, 26
γυνὴ δὲ ἀνδρῶν τιμίας ψυχὰς ἀγρεύει.
[27]ἀποδήσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει; 27
[28]ἢ περιπατήσει τις ἐπ' ἀνθράκων πυρός, τοὺς δὲ πόδας οὐ 28
κατακαύσει;
[29]οὕτως ὁ εἰσελθὼν πρὸς γυναῖκα ὕπανδρον· 29
οὐκ ἀθῳωθήσεται, οὐδὲ πᾶς ὁ ἁπτόμενος αὐτῆς.
[30]οὐ θαυμαστὸν ἐὰν ἁλῷ τις κλέπτων, 30
κλέπτει γὰρ ἵνα ἐμπλήσῃ τὴν ψυχὴν πεινῶν·
[31]ἐὰν δὲ ἁλῷ, ἀποτίσει ἑπταπλάσια, 31
καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ δοὺς ῥύσεται ἑαυτόν·
[32]ὁ δὲ μοιχὸς δι' ἔνδειαν φρενῶν ἀπώλειαν τῇ ψυχῇ αὐτοῦ 32
περιποιεῖται,
[33]ὀδύνας τε καὶ ἀτιμίας ὑποφέρει· 33
τὸ δὲ ὄνειδος αὐτοῦ οὐκ ἐξαλειφθήσεται εἰς τὸν αἰῶνα.
[34]μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς, 34
οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως·
[35]οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν, 35
οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων.

[1]Υἱέ, φύλασσε ἐμοὺς λόγους, 1 VII
τὰς δὲ ἐμὰς ἐντολὰς κρύψον παρὰ σεαυτῷ·
[1a]υἱέ, τίμα τὸν κύριον καὶ ἰσχύσεις, 1a
πλὴν δὲ αὐτοῦ μὴ φοβοῦ ἄλλον.
[2]φύλαξον ἐμὰς ἐντολὰς καὶ βιώσεις, 2
τοὺς δὲ ἐμοὺς λόγους ὥσπερ κόρας ὀμμάτων·
[3]περίθου δὲ αὐτοὺς σοῖς δακτύλοις, 3

ℵA **24** διαφυλασσειν B ℵ$^{c.a}$A] φυλασσειν ℵ* | αλοτριας ℵ **25** συναρπασης A **27** om ου ℵ* (superscr ℵ^{1}) **29** αθοωθησεται B*ℵA (αθωωθ. B$^{a?b}$) **30** εμπλησει A | την ψυχην] om την ℵ$^{c.a}$A | πεινων] πινωσαν A **32** απωλιαν ℵ **33** εφξαλιφθησεται ℵ* (improb φ ℵ^{1}) **34** om μεστος... αυτης ℵ **35** αταλλαξεται ℵ* (αντ. ℵ$^{c.a}$) | διαλυθη] δια A VII **1** υιε] +μου ℵ* (om ℵ^{1}) **2** λογους εμους ℵ* (εμ. λογ. ℵ$^{c.a}$) **3** περιθου] περι ℵ* (περιθου ℵ$^{c.a}$) | om δε 1° A | αυτοις A

ἐπίγραψον δὲ ἐπὶ τὸ πλάτος τῆς καρδίας σου. B

4 [4]εἰπὸν τὴν σοφίαν σὴν ἀδελφὴν εἶναι,
τὴν δὲ φρόνησιν γνώριμον περιποίησαι σεαυτῷ,
5 [5]ἵνα σε τηρήσῃ ἀπὸ γυναικὸς ἀλλοτρίας καὶ πονηρᾶς,
ἐάν σε λόγοις τοῖς πρὸς χάριν ἐμβάληται.
6 [6]ἀπὸ γὰρ θυρίδος ἐκ τοῦ οἴκου αὐτῆς εἰς τὰς πλατείας παρακύπτουσα,
7 [7]ὃν ἂν ἴδῃ τῶν ἀφρόνων τέκνων νεανίαν ἐνδεῆ φρενῶν,
8 [8]παραπορευόμενον παρὰ γωνίαν ἐν διόδοις οἴκων αὐτῆς
9 καὶ λαλοῦντα [9]ἐν σκότει ἑσπερινῷ,
ἡνίκα ἂν ἡσυχία νυκτερινὴ καὶ γνοφώδης,
10 [10]ἡ δὲ γυνὴ συναντᾷ αὐτῷ, εἶδος ἔχουσα πορνικόν,
ἢ ποιεῖ νέων ἐξίπτασθαι καρδίας.
11 [11]ἀνεπτερωμένη δέ ἐστιν καὶ ἄσωτος,
ἐν οἴκῳ δὲ οὐχ ἡσυχάζουσιν οἱ πόδες αὐτῆς·
12 [12]χρόνον γάρ τινα ἔξω ῥέμβεται,
χρόνον δὲ ἐν πλατείαις παρὰ πᾶσαν γωνίαν ἐνεδρεύει.
13 [13]εἶτα ἐπιλαβομένη ἐφίλησεν αὐτόν,
ἀναιδεῖ δὲ προσώπῳ προσεῖπεν αὐτῷ
14 [14]Θυσία εἰρηνική μοί ἐστιν·
σήμερον ἀποδίδωμι τὰς εὐχάς μου·
15 [15]ἕνεκα τούτου ἐξῆλθον εἰς ὑπάντησίν σοι,
ποθοῦσα τὸ σὸν πρόσωπον, εὕρηκά σε.
16 [16]κειρίᾳ τέτακα τὴν κλίνην μου,
ἀμφιτάποις δὲ ἔστρωκα τοῖς ἀπ' Αἰγύπτου·
17 [17]διέρραγκα τὴν κοίτην μου κρόκῳ,
τὸν δὲ οἶκόν μου κινναμώμῳ·
18 [18]ἐλθὲ καὶ ἀπολαύσωμεν φιλίας ἕως ὄρθρου,
δεῦρο καὶ ἐνκυλισθῶμεν ἔρωτι.
19 [19]οὐ γὰρ πάρεστιν ὁ ἀνήρ μου ἐν οἴκῳ,
πεπόρευται δὲ ὁδὸν μακράν,

3 πλατος] πλαθος ℵ* (πλατ. ℵc.a) **4** τη σοφια ℵ* (την σοφιαν ℵ1(vid)) ℵA **9** ενσπερινω ℵ | νυκτερινη] + η ℵA | γνοφωδης] γνοφος A **10** η 1°] ει ℵ* (η ℵ1) **13** om δε ℵ | ειπεν ℵ* (προσειπεν ℵc.a) **14** ειρηνικοι ℵ* (-κη ℵ1) **15** υπαντησιν] συναντησιν B^{ab}ℵA | σοι] μου A **16** κειρια B^{b} (κειρεια B* κιρια ℵ*)] κιριαις ℵc.a κηριαις A **17** διερραγκα B^{ab} (-νκα B*) A] διερρακα ℵ | κροκω B*vid ℵc.a A] κροκινω B$^{?}$ (ινω sup ras) ℵ* **18** ορθου ℵ | εγκυλισθωμεν B^{ab}A

B [20]ἔνδεσμον ἀργυρίου λαβὼν ἐν χειρὶ αὐτοῦ, 20
διʼ ἡμερῶν πολλῶν ἐπανήξει εἰς τὸν οἶκον αὐτοῦ.
[21]ἀπεπλάνησεν δὲ αὐτὸν πολλῇ ὁμιλίᾳ, 21
βρόχοις τε τοῖς ἀπὸ χειλέων ἐξώκειλεν αὐτόν·
[22]ὁ δὲ ἐπηκολούθησεν αὐτῇ κεπφωθείς, 22
ὥσπερ δὲ βοῦς ἐπὶ σφαγὴν ἄγεται,
καὶ ὥσπερ κύων ἐπὶ δεσμούς,
[23]ἢ ὡς ἔλαφος τοξεύματι πεπληγὼς εἰς τὸ ἧπαρ· 23
σπεύδει δὲ ὥσπερ ὄρνεον εἰς παγίδα,
οὐκ εἰδὼς ὅτι περὶ ψυχῆς τρέχει.
[24]νῦν οὖν, υἱέ, ἄκουέ μου, καὶ πρόσεχε ῥήμασιν στόματός μου. 24
[25]μὴ ἐκκλινάτω εἰς τὰς ὁδοὺς αὐτῆς ἡ καρδία σου· 25
[26]πολλοὺς γὰρ τρώσασα καταβέβληκεν, 26
καὶ ἀναρίθμητοί εἰσιν οὓς πεφόνευκεν·
[27]ὁδοὶ ᾅδου ὁ οἶκος αὐτῆς, 27
κατάγουσαι εἰς τὰ ταμεῖα τοῦ θανάτου.

[1]Σὺ τὴν σοφίαν κηρύξεις, ἵνα φρόνησίς σοι ὑπακούσῃ. 1 VIII
[2]ἐπὶ γὰρ τῶν ὑψηλῶν ἄκρων ἐστιν, 2
ἀνὰ μέσον δὲ τῶν τρίβων ἔστηκεν·
[3]παρὰ γὰρ πύλαις δυναστῶν παρεδρεύει, 3
ἐν δὲ εἰσόδοις ὑμνεῖται
[4]Ὑμᾶς, ὦ ἄνθρωποι, παρακαλῶ, 4
καὶ προίεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων.
[5]νοήσατε, ἄκακοι, πανουργίαν, 5
οἱ δὲ ἀπαίδευτοι, ἔνθεσθε καρδίαν.
[6]εἰσακοῦσατέ μου· σεμνὰ γὰρ ἐρῶ, 6
καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά.
[7]ὅτι ἀλήθειαν μελετήσει ὁ φάρυγξ μου, 7
ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χεῖλη ψευδῆ·
[8]μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, 8
οὐδὲν ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλῶδες·

ℵA **21** τοις] των ℵ **22** κεφφωθεις A **23** om δε ℵ* (hab ℵ$^{c.a}$) **24** ρημασιν] ρησιν A **25** om εις τας οδους ℵ* (hab ℵ$^{c.a}$) | σου]+και μη πλανηθης εν ατραποις αυτης ℵ$^{c.a}$A **27** εις] pr τα ℵ* (om ℵ^{1}) | τα ταμεια] om τα ℵ$^{c.a}$A | ταμιεια A | του θανατου] om του ℵ$^{c.a\,vid}$ VIII **2** αναβμεσον ℵ* (om β ℵ$^{1c.a}$) **3** δυνατων ℵ* (δυναστ. ℵ^{1}) **6** σεμνα] πολλα ℵ* (σεμνα ℵ$^{c.a}$) | ανοισω] ανοιγω A **8** s παντα τα ρημα sup ras B^{ab} | ρηματα] κριματα A | μου] σου ℵ* (μου ℵ^{1}) | στραγγαλιωδες ℵ$^{c.a}$

9 [9]πάντα ἐνώπια τοῖς συνιοῦσιν, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι B
γνῶσιν.
10 [10]λάβετε παιδείαν καὶ μὴ ἀργύριον,
καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον·
11 [11]κρείσσων γὰρ σοφία λίθων πολυτελῶν,
πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν.
12 [12]ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλήν,
καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην·
κρείσσων γὰρ σοφία λίθων πολυτελῶν.
13 [13]φόβος Κυρίου μισεῖ ἀδικίαν,
ὕβριν τε καὶ ὑπερηφανίαν καὶ ὁδοὺς πονηρῶν·
μεμίσηκα δὲ ἐγὼ διεστραμμένας ὁδοὺς κακῶν.
14 [14]ἐμὴ βουλὴ καὶ ἀσφάλεια,
ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς·
15 [15]δι' ἐμοῦ βασιλεῖς βασιλεύουσιν,
καὶ οἱ δυνάσται γράφουσιν δικαιοσύνην·
16 [16]δι' ἐμοῦ μεγιστᾶνες μεγαλύνονται,
καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς.
17 [17]ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ,
οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσιν.
18 [18]πλοῦτος καὶ δόξα ἐμοὶ ὑπάρχει,
καὶ κτῆσις πολλῶν καὶ δικαιοσύνη.
19 [19]βέλτιον ἐμὲ καρπίζεσθαι ὑπὲρ χρυσίον καὶ λίθον τίμιον,
τὰ δὲ ἐμὰ γενήματα κρείσσω ἀργυρίου ἐκλεκτοῦ.
20 [20]ἐν ὁδοῖς δικαιοσύνης περιπατῶ,
καὶ ἀνὰ μέσον τρίβων δικαιώματος ἀναστρέφομαι,
21 [21]ἵνα μερίσω τοῖς ἐμὲ ἀγαπῶσιν ὕπαρξιν,
καὶ τοὺς θησαυροὺς αὐτῶν ἐμπλήσω ἀγαθῶν.
21 a [21 a]ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα,
μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμῆσαι.

9 ευρισκουσιν ℵ **10** παιδιαν A | δεδοκιμασμενον] + αντερεισθαι δε ℵA αισθησει χρυσιου καθαρου $B^{b(vid)\,mg\,inf}$ + ανταναιρεισθαι εσθησιν χρυσιου και αργυριου A **12** κρεισσων...πολυτελων unc incl B^{a} om ℵA (hab B^{*c}) **13** αδικιαν] αδικ sup ras $B^{c\,vid}$ | υπερηφανιαν υβριν τε και αδικιαν ℵ* (αδ. υβριν τε και υπ. $ℵ^{c.a}$) **14** ασφαλια ℵA **15** γραφουσιν] γαρ αφουσιν A **17** φιλουντας] ζητουντας ℵ* (φιλ. $ℵ^{1}$) | ευρησουσιν] + χαριν $ℵ^{c.a}$A **18** κτησεις A **19** τιμιον] + πολυν A | κρεισσω] κρισσων ℵ κρισσον A **20** τριβων] οδων ℵ* (τριβ. $ℵ^{c.a\,mg}$) | δικαιωματος] ϛ δικοσυνης $ℵ^{c.a\,mg}$ δικαιοσυνης A **21** θυσαυρους B

B [22]Κύριος ἔκτισέν με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, 22
[23]πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέν με ἐν ἀρχῇ, 23
πρὸ τοῦ τὴν γῆν ποιῆσαι [24]καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι, 24
πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων,
[25]πρὸ τοῦ ὄρη ἑδρασθῆναι, 25
πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.
[26]Κύριος ἐποίησεν χώρας καὶ ἀοικήτους 26
καὶ ἄκρα οἰκούμενα τῆς ὑπ' οὐρανῶν.
[27]ἡνίκα ἡτοίμαζεν τὸν οὐρανόν, συνπαρήμην αὐτῷ, 27
καὶ ὅτε ἀφώριζεν τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων·
[28]καὶ ὡς ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, 28
καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ' οὐρανόν,
[29]καὶ ὡς ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, 29
[30]ἤμην παρ' αὐτῷ ἁρμόζουσα· 30
ἐγὼ ἤμην ᾗ προσέχαιρεν,
καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ
καιρῷ,
[31]ὅτε ἐνευφραίνετο τὴν οἰκουμένην συντελέσας, 31
καὶ εὐφραίνετο ἐν υἱοῖς ἀνθρώπων.
[32]νῦν οὖν, υἱέ, ἄκουέ μου. 32
[34]μακάριος ἀνὴρ ὃς εἰσακούσεταί μου, 34
καὶ ἄνθρωπος ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει,
ἀγρυπνῶν ἐπ' ἐμαῖς θύραις καθ' ἡμέραν,
τηρῶν σταθμοὺς ἐμῶν εἰσόδων.
[35]αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς, 35
καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου.
[36]οἱ δὲ εἰς ἐμὲ ἁμαρτάνοντες ἀσεβοῦσιν τὰς ἑαυτῶν ψυχάς, 36
καὶ οἱ μισοῦντές με ἀγαπῶσιν θάνατον.

ℵA **23** om *εν αρχη* A **25** *ορη*] *ο* sup ras A^{a} | *εδρασθηναι*]+*και πλασθηναι την γην* ℵ **26** *υπ ουρανων*] *υπο τον ουρανον* ℵ* *υπ ουρανον* ℵ$^{c.a}$A **27** *συμπαρημην* B^{b} **28** *και ως* (1°)] *ηνικα* ℵA | *ουρανον*]+*εν τω τιθεναι αυτον τη θαλασση ακριβασμον αυτου* | *και υδατα ου παρελευσονται στοματος αυτου* ℵ$^{c.a}$A **29** om *ως* ℵA | *θεμελια*] *θεληματα* A* (improb A^{a}) **31** *ενευφραινετο*] *ηυφραινετο* A | *ευφραινετο*] *ενηυφραινετο* A **32** *ουν υιε ακο* sup ras B$^{1?a?}$ | *μου*]+*μακαριοι οι οδους μου φυλασσοντες·* (33) *ακουσαται παιδιαν και σοφισθηται και μη αποφραγηται* ℵ$^{c.a}$+*και μακαριοι οι οδ. μ. φυλασσοντες*| (33) *ακουσατε σοφιαν και σοφισθητε και μη αποφραγητε* A **34** *θυραις καθ ημεραν*] *θυραν* ℵ* (*θυραις κ. η.* ℵ$^{c.a}$) **36** *αμαρτανοντες εις εμε* ℵ | *ασεβουσιν*]+*εις* ℵ$^{c\,a}$A | om *με* ℵ* (hab ℵ$^{c.a}$)

IX 1 [1]Ἡ σοφία οἰκοδόμησεν ἑαυτῇ οἶκον, B
καὶ ὑπήρεισεν στύλους ἑπτά·
2 [2]ἔσφαξεν τὰ ἑαυτῆς θύματα,
ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον,
καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν·
3 [3]ἀπέστειλεν τοὺς ἑαυτῆς δούλους,
συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα, λέγουσα
4 [4]Ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρὸς μέ·
καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν
5 [5]Ἐλθατε, φάγετε τῶν ἐμῶν ἄρτων,
καὶ πίετε οἶνον ὃν ἐκέρασα ὑμῖν·
6 [6]ἀπολείπετε ἀφροσύνην, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε,
καὶ ζητήσατε φρόνησιν,
καὶ κατορθώσατε ἐν γνώσει σύνεσιν.

7 [7]Ὁ παιδεύων κακοὺς λήμψεται ἑαυτῷ ἀτιμίαν·
ἐλέγχων δὲ τὸν ἀσεβῆ μωμήσεται ἑαυτόν.
8 [8]μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισῶσίν σε·
ἔλεγχε σοφόν, καὶ ἀγαπήσει σε.
9 [9]δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται·
γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι.
10 [10]ἀρχὴ σοφίας φόβος Κυρίου,
καὶ βουλὴ ἁγίων σύνεσις·
τὸ γὰρ γνῶναι νόμον διανοίας ἐστὶν ἀγαθῆς.
11 [11]τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον,
καὶ προστεθήσεταί σοι ἔτη ζωῆς σου.
12 [12]υἱέ, ἐὰν σοφὸς γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τοῖς πλησίον·
ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἂν ἀντλήσεις κακά.
12a [12a]ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμαίνει ἀνέμους,
ὁ δ' αὐτὸς διώξεται ὄρνεα πετόμενα·
12b [12b]ἀπέλιπεν γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος,
τοὺς δὲ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται·

IX **1** ωκοδομησεν ℵA **3** συνκαλουσα ℵ **5** ελθετε ℵ **6** ινα... ℵA βασιλευσητε] ινα ζησεσθαι ℵ$^{c.a}$ | φρονησιν] + ινα βιωσηται ℵ$^{c.a}$A **7** μωμησεται εαυτον] μωμησετε αυτον ℵ **8** σε 2°] + ασοφον κ μισησι σε ℵ$^{c.a}$ + ασ. και μισησει σε A **9** γνωριζε] + δε A **10** βουλημα ℵ* (βουλη ℵ$^{c.a}$) | γαρ] δε ℵ$^{c.a}$A **11** ζησεις] ζηση A | om σου A **12** εαν 1°] εα A* (εαν A$^{a?}$) | τοις πλησιον] τω πλ. A | om αποβης ℵ* (hab ℵ$^{c.a}$) | om αν ℵ | αντλησης B^{ab} **12 a** ποιμανει ℵ* (ποιμαινει ℵ$^{c.a}$) A | om ο δ αυτος διωξεται ορνεα πετομενα ℵ **12 b** απελειπεν A

B [12c]διαπορεύεται δὲ δι᾽ ἀνύδρου ἐρήμου 12 c
καὶ γῆν διατεταγμένην ἐν διψώδεσιν,
συνάγει δὲ χερσὶν ἀκαρπίαν.

[13]Γυνὴ ἄφρων καὶ θρασεῖα ἐνδεὴς ψωμοῦ γίνεται, 13
ἣ οὐκ ἐπίσταται αἰσχύνην·
[14]ἐκάθισεν ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου ἐπὶ δίφρου, 14
ἐμφανῶς ἐν πλατείαις [15]προσκαλουμένη τοὺς παριόντας 15
καὶ κατευθύνοντας ἐν ταῖς ὁδοῖς αὐτῶν
[16]Ὃς ἐστιν ὑμῶν ἀφρονέστατος, ἐκκλινάτω πρὸς μέ· 16
ἐνδεέσι δὲ φρονήσεως παρακελεύομαι λέγουσα
[17]Ἄρτων κρυφίων ἡδέως ἅψασθε, 17
καὶ ὕδατος κλοπῆς γλυκεροῦ.
[18]ὃ δὲ οὐκ οἶδεν ὅτι γηγενεῖς παρ᾽ αὐτῇ ὄλλυνται, 18
καὶ ἐπὶ πέτευρον ᾅδου συναντᾷ.
[18a]ἀλλὰ ἀποπήδησον, μὴ χρονίσῃς ἐν τῷ τόπῳ, 18 a
μηδὲ ἐπιστήσῃς τὸ σὸν ὄνομα πρὸς αὐτήν·
οὕτως γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον·
[18b]ἀπὸ δὲ ὕδατος ἀλλοτρίου ἀπόσχου, 18 b
καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς,
[18c]ἵνα πολὺν ζήσῃς χρόνον, 18 c
προστεθῇ δέ σοι ἔτη ζωῆς.

[1]Υἱὸς σοφὸς εὐφραίνει πατέρα, 1 X
υἱὸς δὲ ἄφρων λύπη τῇ μητρί.
[2]οὐκ ὠφελήσουσιν θησαυροὶ ἀνόμους, 2
δικαιοσύνη δὲ ῥύσεται ἐκ θανάτου.
[3]οὐ λιμοκτονήσει Κύριος ψυχὴν δικαίαν, 3
ζωὴν δὲ ἀσεβῶν ἀνατρέψει.
[4]πενία ἄνδρα ταπεινοῖ, 4
χεῖρες δὲ ἀνδρείων πλουτίζουσιν.
[4a]υἱὸς πεπαιδευμένος σοφὸς ἔσται, 4 a
τῷ δὲ ἄφρονι διακόνῳ χρήσεται.

ℵA **14** επι διφρου c seqq coniung A | ενφανως A **15** παριοντας]+οδον A **16** αφρων ℵ* (αφρονεστατος ℵc.a) **17** κλοπης] κοπης A **18** ολλυνται] ολουνται ℵc.a | πεταυρον Bab ℵc.a **18 a** χρονισης] ενχρονισης A | τοπω]+αυτης ℵc.a | επιστησης] επιστης A | ονομα] ομμα A | διαβησεται ℵ* (διαβησης ℵc.a) | αλλοτριον]+και υπερβηση ποταμον αλλοτριον ℵc.a A **18 c** ζησης A | δε σοι] σοι δε ℵ X **1** τη μητρι] om τη ℵ **3** δικαιω̄ ℵ* (δικαιαν ℵc.a) **4 a** σοφος πεπαιδευμενος ℵ

5 [5]διεσώθη ἀπὸ καύματος υἱὸς νοήμων, B
ἀνεμόφθορος δὲ γίνεται ἐν ἀμήτῳ υἱὸς παράνομος.
6 [6]εὐλογία Κυρίου ἐπὶ κεφαλὴν δικαίου,
στόμα δὲ ἀσεβῶν καλύψει πένθος ἄωρον.
7 [7]μνήμη δικαίων μετ᾽ ἐγκωμίων,
ὄνομα δὲ ἀσεβοῦς σβέννυται.
8 [8]σοφὸς καρδίᾳ δέξεται ἐντολάς,
ὁ δὲ ἄστεγος χείλεσιν σκολιάζων ὑποσκελισθήσεται.
9 [9]ὃς πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς·
ὁ δὲ διαστρέφων τὰς ὁδοὺς αὐτοῦ γνωσθήσεται.
10 [10]ὁ ἐννεύων ὀφθαλμοῖς μετὰ δόλου συνάγει ἀνδράσι λύπας,
ὁ δὲ ἐλέγχων μετὰ παρρησίας εἰρηνοποιεῖ.
11 [11]πηγὴ ζωῆς ἐν χειρὶ δικαίου,
στόμα δὲ ἀσεβοῦς καλύψει ἀπώλεια.
12 [12]μῖσος ἐγείρει νεῖκος,
πάντας δὲ τοὺς μὴ φιλονεικοῦντας καλύπτει φιλία·
13 [13]ῥάβδῳ τύπτει ἄνδρα ἀκάρδιον.
14 [14]σοφοὶ κρύψουσιν αἴσθησιν,
στόμα δὲ προπετοῦς ἐγγίζει συντριβῇ.
15 [15]κτῆσις πλουσίων πόλις ὀχυρά,
συντριβὴ δὲ ἀσεβῶν πενία.
16 [16]ἔργα δικαίων ζωὴν ποιεῖ,
καρποὶ δὲ ἀσεβῶν ἁμαρτίας.
17 [17]ὁδοὺς δικαίας ζωῆς φυλάσσει παιδεία,
παιδεία δὲ ἀνεξέλεγκτος πλανᾶται.
18 [18]καλύπτουσιν ἔχθραν χείλη δίκαια,
οἱ δὲ ἐκφέροντες λοιδορίας ἀφρονέστατοί εἰσιν.
19 [19]ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν,
φειδόμενος δὲ χειλέων νοήμων ἔσῃ.
20 [20]ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου,
καρδία δὲ ἀσεβοῦς ἐκλείψει.
21 [21]χείλη δικαίων ἐπίσταται ὑψηλά,
οἱ δὲ ἄφρονες ἐν ἐνδείᾳ τελευτῶσιν.

6 *κεφαλης* ℵ* (-λην ℵ$^{c.a}$) A **7** *ασεβουσβεννυται* A **10** *οφθαλμω* ℵ ℵA **11** *απωλια* B*^{b}ℵA (-λεια B^{a}) **12** *καλυψει* A **13** *ραβδω*] pr *ος εκ χειλεων* (χιλ. ℵ) *προφερει σοφιαν* ℵA | *καρδιον* ℵ* (ακ. ℵ^{1}) **15** *κτισεις* ℵ* (*κτησις* ℵ$^{c.a}$) *κτησεις* A **16** *αμαρτιαι* ℵ* (-τιας ℵ$^{c.a}$) **17** om *δικαιας* ℵ$^{c.a}$A | *παιδια* bis ℵA | *ανεξελεκτος* B* (*ανεξελεγκτ.* B^{ab}) **19** *εκφευξη αμαρτιαν*] *εκφευξεται αμαρτια* A **20** *πεπωρωμενος* A **21** om *εν* ℵ* (hab ℵ$^{c.a}$) | *τελευτησωσιν* ℵ* (*τελευτωσιν* ℵ$^{c.a}$)

B [22]εὐλογία Κυρίου ἐπὶ κεφαλὴν δικαίου· 22
αὕτη πλουτίζει, καὶ οὐ μὴ προστεθῇ αὐτῇ λύπη ἐν καρδίᾳ.
[23]ἐν γέλωτι ἄφρων πράσσει κακά, 23
ἡ δὲ σοφία ἀνδρὶ τίκτει φρόνησιν.
[24]ἐν ἀπωλείᾳ ἀσεβὴς περιφέρεται, 24
ἐπιθυμία δὲ δικαίου δεκτή.
[25]παραπορευομένης καταιγίδος ἀφανίζεται ἀσεβής, 25
δίκαιος δὲ ἐκκλίνας σώζεται εἰς τὸν αἰῶνα.
[26]ὥσπερ ὄμφαξ ὀδοῦσι βλαβερὸν καὶ καπνὸς ὄμμασιν, 26
οὕτως παρανομία τοῖς χρωμένοις αὐτήν.
[27]φόβος Κυρίου προστίθησιν ἡμέρας, 27
ἔτη δὲ ἀσεβῶν ὀλιγωθήσεται.
[28]ἐνχρονίζει δικαίοις εὐφροσύνη, 28
ἐλπὶς δὲ ἀσεβῶν ἀπολεῖται.
[29]ὀχύρωμα ὁσίου φόβος Κυρίου, 29
συντριβὴ δὲ τοῖς ἐργαζομένοις κακά.
[30]δίκαιος τὸν αἰῶνα οὐκ ἐνδώσει, 30
ἀσεβεῖς δὲ οὐκ οἰκήσουσιν γῆν.
[31]στόμα δικαίου ἀποστάζει σοφίαν, 31
γλῶσσα δὲ ἀδίκου ἐξολεῖται.
[32]χείλη ἀνδρῶν δικαίων ἀποστάζει χάριτας, 32
στόμα δὲ ἀσεβῶν ἀποστρέφεται.
[1]ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, 1 XI
στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ.
[2]οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· 2
στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν.
[3]ἀποθανὼν δίκαιος ἔλιπεν μετάμελον, 3
πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια.
[5]δικαιοσύνη ἀμώμους ὀρθοτομεῖ ὁδούς, 5
ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ.

ℵA **22** κεφαλης ℵA | om αυτη πλουτιζει A **24** απωλια ℵA (πωλια sup ras A^1) | περιφερεται] + δουλευσει δε αφρων φρονιμω A | δεκτη] + καρδια δε ασεβους εκλειψει A · **25** om παραπορευομενης...ασεβης ℵ* (hab $ℵ^{c.a}$) | ασεβης] pr ο $ℵ^{c.a}$A **26** βλαβερος A | αυτην] αυτη A **28** εγχρονιζει B^{ab} | απολειται] ολλυται ℵA **30** ουκηκουσιν B* ουκ οικησουσιν B^{ab}A (-σι) ουκηοικησουσιν ℵ* (om η 1° $ℵ^{c.a}$) **32** δικαια ℵ* (δικαιων $ℵ^{c.a}$) | αποστραφεται ℵ* (καταστρεφ. $ℵ^{c.a}$) XI **2** εαν] αν ℵ **3** αποθανων] pr τελειοτης ευθειων οδηγησει αυτους| και υποσκελισμος αθετουντων προνομευσει αυτους| (**4**) ουκ ωφελησει υπαρχοντα εν ημερα θυμου| και δικαιοσυνη ρυσεται απο θανατου| A | ελειπεν A | απωλια ℵ **5** αμωμου ℵA | om ασεβεια...αδικια ℵ* (hab ασεβια δε περιπιπτι αδικεια $ℵ^{c.a}$)

6 [6]δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύεται αὐτούς, B
τῇ δὲ ἀπωλείᾳ αὐτῶν ἁλίσκονται παράνομοι.
7 [7]τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς,
τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται.
8 [8]δίκαιος ἐκ θήρας ἐκδύνει,
ἀντ᾽ αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής.
9 [9]ἐν στόματι ἀσεβῶν παγὶς πολίταις,
αἴσθησις δὲ δικαίων εὔοδος.
10 [10]ἐν ἀγαθοῖς δικαίων κατώρθωσεν πόλις,
11 [11]στόμασιν δὲ ἀσεβῶν κατεσκάφη.
12 [12]μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν,
ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.
13 [13]ἀνὴρ δίγλωσσος ἀποκαλύπτει βουλὰς ἐν συνεδρίῳ,
πιστὸς δὲ πνοῇ κρύπτει πράγματα.
14 [14]οἷς μὴ ὑπάρχει κυβέρνησις, πίπτουσιν ὥσπερ φύλλα,
σωτηρία δὲ ὑπάρχει ἐν πολλῇ βουλῇ.
15 [15]πονηρὸς κακοποιεῖ ὅταν συνμίξῃ δικαίῳ,
μισεῖ δὲ ἦχον ἀσφαλείας.
16 [16]γυνὴ εὐχάριστος ἐγείρει ἀνδρὶ δόξαν,
θρόνος δὲ ἀτιμίας γυνὴ μισοῦσα δίκαια.
πλούτου ὀκνηροὶ ἐνδεεῖς γίνονται,
οἱ δὲ ἀνδρεῖοι ἐρείδονται πλούτῳ.
17 [17]τῇ ψυχῇ αὐτοῦ ἀγαθὸν ποιεῖ ἀνὴρ ἐλεήμων,
ἐξολλύει δὲ αὐτοῦ σῶμα ὁ ἀνελεήμων.
18 [18]ἀσεβὴς ποιεῖ ἔργα ἄδικα,
σπέρμα δὲ δικαίων μισθὸς ἀληθείας.
19 [19]υἱὸς δίκαιος γεννᾶται εἰς ζωήν,
διωγμὸς δὲ ἀσεβοῦς εἰς θάνατον.
20 [20]βδέλυγμα Κυρίῳ διεστραμμέναι ὁδοί,
προσδεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ταῖς ὁδοῖς αὐτῶν.

6 om δικαιοσυνη...αυτους ℵ* (hab ℵ$^{c.a}$) | ρυσεται ℵ$^{c.a}$A | απωλεια Bℵ* ℵA (-λια)] ασεβια ℵ$^{c.a}$ αβουλεια A | om αυτων A **8** εκδυνει] δινει A **9** ασεβων] αμαρτων ℵ* (αμαρτωλων ℵ$^{c.a}$) | αισθησεις ℵA **10** δικαιων] διων ℵ* (δικων ℵ$^{c.a}$) | πολις]+και επ απωλεια ασεβων αγαλλιαμα **(11)** εν ευλογιαις δικαιων υψωθησεται πολις B$^{b\,img\,sup}$ + και εν απωλια (-λεια A) ασ. αγαλλ. **(11)** εν ευλογια (-γεια A) ευθιων (-θειων A) υψ. πολις ℵ$^{c.a}$A **12** ενδεεις A | φρονιμος] pr ο ℵ* (om ℵ$^{c.a}$) **14** φυλλον ℵ* (φυλλα ℵ$^{c.a}$) | om δε ℵ* (hab ℵ$^{c.a}$) **15** συνμειξη B* συμμειξη ℵ συμμιξη B^{b}A **17** εξολλυει] εξολλυσι ℵ$^{c.a}$ | αυτου 2°] το εαυτου ℵ$^{c.a}$

B [21]χειρὶ χεῖρας ἐμβαλὼν ἀδίκως οὐκ ἀτιμώρητος ἔσται, 21
ὁ δὲ σπείρων δικαιοσύνην λήμψεται μισθὸν πιστόν.
[22]ὥσπερ ἐνώτιον ἐν ῥινὶ ὑός, 22
οὕτως γυναικὶ κακόφρονι κάλλος.
[23]ἐπιθυμία δικαίων πᾶσα ἀγαθή, 23
ἐλπὶς δὲ ἀσεβῶν ἀπολεῖται.
[24]εἰσὶν οἳ τὰ ἴδια σπείροντες πλείονα ποιοῦσιν· 24
εἰσὶν καὶ οἳ συνάγοντες ἐλαττονοῦνται.
[25]ψυχὴ εὐλογουμένη πᾶσα ἁπλῆ, 25
ἀνὴρ δὲ θυμώδης οὐκ εὐσχήμων.
[26]ὁ συνέχων σῖτον, ὑπολίποιτο αὐτὸν τοῖς ἔθνεσιν· 26
εὐλογία δὲ εἰς κεφαλὴν τοῦ μεταδιδόντος.
[27]τεκταινόμενος ἀγαθὰ ζητεῖ χάριν ἀγαθήν, 27
ἐκζητοῦντα δὲ κακὰ καταλήμψεται αὐτόν.
[28]ὁ πεποιθὼς ἐπὶ πλούτῳ, οὗτος πεσεῖται, 28
ὁ δὲ ἀντιλαμβανόμενος δικαίων, οὗτος ἀνατελεῖ.
[29]ὁ μὴ συνπεριφερόμενος τῷ ἑαυτοῦ οἴκῳ κληρονομήσει ἄνεμον, 29
δουλεύσει δὲ ἄφρων φρονίμῳ.
[30]ἐκ καρποῦ δικαιοσύνης φύεται δένδρον ζωῆς, 30
ἀφαιροῦνται δὲ ἄωροι ψυχαὶ παρανόμων.
[31]εἰ ὁ μὲν δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ 31
φανεῖται;
[1]ὁ ἀγαπῶν παιδείαν ἀγαπᾷ αἴσθησιν, 1 XII
ὁ δὲ μισῶν ἐλέγχους ἄφρων.
[2]κρείσσων ὁ εὑρὼν χάριν παρὰ Κυρίῳ, 2
ἀνὴρ δὲ παράνομος παρασιωπηθήσεται.
[3]οὐ κατορθώσει ἄνθρωπος ἐξ ἀνόμου, 3
αἱ δὲ ῥίζαι τῶν δικαίων οὐκ ἐξαρθήσονται.
[4]γυνὴ ἀνδρεία στέφανος τῷ ἀνδρὶ αὐτῆς· 4
ὥσπερ δὲ ἐν ξύλῳ σκώληξ, οὕτως ἄνδρα ἀπόλλυσιν γυνὴ
κακοποιός.
[5]λογισμοὶ δικαίων κρίματα, 5
κυβερνῶσιν δὲ ἀσεβεῖς δόλους.

ℵA **21** χειρας] χειρα ℵ* (-ρας ℵc.a) | πιστων A **22** ενωτιον] + χρυσουν ℵc.a | υος] υιος A **24** εισιν 2°] + δε ℵc.a | ελαττονουνται (ελατον. ℵc.a)] pr τα αλλοτρια ℵc.a **25** ευλογουμενη] ηυλογημενη A **26** υπολειποιτο ℵ υπολειποτο A **29** συμπεριφερ. Bb | τω οικω εαυτου ℵ **31** αμαρτωλος και ασεβης ℵ XII **1** παιδιαν ℵA **2** παρανομος] παρανο sup ras Ba? **4** απολλυσι ℵ **5** λογοισμοι ℵ* (λογισμ. ℵ1(vid) c.a) | δολους] λογοις ℵ* (δολους ℵc.a)

6 [6]λόγοι ἀσεβῶν δόλιοι, Β
στόμα δὲ ὀρθῶν ῥύσεται αὐτούς.
7 [7]οὗ ἐὰν στραφῇ, ἀσεβὴς ἀφανίζεται,
οἶκοι δὲ δικαίων παραμένουσιν.
8 [8]στόμα συνετοῦ ἐγκωμιάζεται ὑπὸ ἀνδρός,
νωθροκάρδιος δὲ μυκτηρίζεται.
9 [9]κρείσσων ἀνὴρ ἐν ἀτιμίᾳ δουλεύων ἑαυτῷ,
ἢ τιμὴν ἑαυτῷ περιτιθεὶς καὶ προσδεόμενος ἄρτου.
10 [10]δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ,
τὰ δὲ σπλάγχνα τῶν ἀσεβῶν ἀνελεήμονα.
11 [11]ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν ἐμπλησθήσεται ἄρτων,
οἱ δὲ διώκοντες μάταια ἐνδεεῖς φρενῶν.
11 a [11a]ὅς ἐστιν ἡδὺς ἐν οἴνων διατριβαῖς,
ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασιν καταλείψει ἀτιμίαν.
12 [12]ἐπιθυμίαι ἀσεβῶν κακαί,
αἱ δὲ ῥίζαι τῶν εὐσεβῶν ἐν ὀχυρώμασιν.
13 [13]δι' ἁμαρτίαν χειλέων ἐμπίπτει εἰς παγίδας ἁμαρτωλός,
ἐκφεύγει δὲ ἐξ αὐτῶν δίκαιος.
13 a [13a]ὁ βλέπων λεῖα ἐλεηθήσεται,
ὁ δὲ συναντῶν ἐν πύλαις ἐκθλίψει ψυχάς.
14 [14]ἀπὸ καρπῶν στόματος ψυχὴ ἀνδρὸς πλησθήσεται ἀγαθῶν,
ἀνταπόδομα δὲ χειλέων αὐτοῦ δοθήσεται αὐτῷ.
15 [15]ὁδοὶ ἀφρόνων ὀρθαὶ ἐνώπιον αὐτῶν,
εἰσακούει δὲ συμβουλίας σοφός.
16 [16]ἄφρων αὐθημερὸν ἐξαγγέλλει ὀργὴν αὐτοῦ,
κρύπτει δὲ τὴν ἑαυτοῦ ἀτιμίαν πανοῦργος.
17 [17]ἐπιδεικνυμένην πίστιν ἀπαγγέλλει δίκαιος,
ὁ δὲ μάρτυς τῶν ἀδίκων δόλιος.
18 [18]εἰσὶν οἱ λέγοντες τιτρώσκουσιν μάχαιραι,
γλῶσσαι δὲ σοφῶν ἰῶνται.
19 [19]χείλη ἀληθινὰ κατορθοῖ μαρτυρίαν,
μάρτυς δὲ ταχὺς γλῶσσαν ἔχει ἄδικον.

7 ασεβης] pr ο A | αφανιζεται] pr ο ℵ* (om ℵ[1 c.a ?]) **9** περιθεις ℵ | ℵA αρτων A **10** οικτειρει δικαιος A | αυτου] εαυτου ℵ* (αυτ. ℵ[c.a]) **11** εμπλησθησηται B **11 a** καταλιψω ℵ* (-ψει ℵ[1]) | ατιμιαν BℵA] αμαρτιαν ℵ* **12** ευσεβων] ασεβων B **13** δι] δια ℵA | αμαρτιας A | αμαρτωλος] pr ο ℵ* (om ο ℵ[c.a]) | εκφευει ℵ* (εκφευγ. ℵ[c.a]) **14** καρπων] γαρπων A **16** εξαγγελει ℵ | πανουργος] pr ο ℵ[c.a] **18** μαχαιραν A

B [20]δόλος ἐν καρδίᾳ τεκταινομένου κακά, 20
οἱ δὲ βουλόμενοι εἰρήνην εὐφρανθήσονται.
[21]οὐκ ἀρέσει τῷ δικαίῳ οὐδὲν ἄδικον, 21
οἱ δὲ ἀσεβεῖς πλησθήσονται κακῶν.
[22]βδέλυγμα Κυρίῳ χείλη ψευδῆ, 22
ὁ δὲ ποιῶν πίστεις δεκτὸς παρ᾽ αὐτῷ.
[23]ἀνὴρ συνετὸς θρόνος αἰσθήσεως, 23
καρδία δὲ ἀφρόνων συναντήσεται ἀραῖς.
[24]χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς, 24
δόλιοι δὲ ἔσονται ἐν προνομῇ.
[25]φοβερὸς λόγος καρδίαν ταράσσει ἀνδρὸς δικαίου, 25
ἀγγελία δὲ ἀγαθὴ εὐφραίνει αὐτόν.
[26]ἐπιγνώμων δίκαιος ἑαυτοῦ φίλος ἔσται, 26
ἁμαρτάνοντας δὲ καταδιώξεται κακά,
ἡ δὲ ὁδὸς τῶν ἀσεβῶν πλανήσει αὐτούς.
[27]οὐκ ἐπιτεύξεται δόλιος θήρας, 27
κτῆμα δὲ τίμιον ἀνὴρ καθαρός.
[28]ἐν ὁδοῖς δικαιοσύνης ζωή, 28
ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον.

[1]Υἱὸς πανοῦργος ὑπήκοος πατρί, 1 XIII
υἱὸς δὲ ἀνήκοος ἐν ἀπωλείᾳ.
[2]ἀπὸ καρπῶν δικαιοσύνης φάγεται ἀγαθός, 2
ψυχαὶ δὲ παρανόμων ὀλοῦνται ἄωροι.
[3]ὃς φυλάσσει τὸ ἑαυτοῦ στόμα τηρεῖ τὴν ἑαυτοῦ ψυχήν, 3
ὁ δὲ προπετὴς χείλεσιν πτοήσει ἑαυτόν.
[4]ἐν ἐπιθυμίαις ἐστιν πᾶς ἀεργός, 4
χεῖρες δὲ ἀνδρείων ἐν ἐπιμελείᾳ.
[5]λόγον ἄδικον μισεῖ δίκαιος, 5
ἀσεβὴς δὲ αἰσχύνεται καὶ οὐχ ἕξει παρρησίαν.
[7]εἰσὶν οἱ πλουτίζοντες ἑαυτοὺς μηδὲν ἔχοντες, 7
καὶ εἰσὶν οἱ ταπεινοῦντες ἑαυτοὺς ἐν πολλῷ πλούτῳ.

ℵA **23** καρδιαι ℵ* (ras ι 2° postea inst ℵ²) **24** ευχερως] εχθρων A | εν προνομη] εις προνομη| A **25** ευφρανει ℵ* (ευφραιν. ℵ^c.a) A **26** εσται] +αι δε γνωμαι των ασεβων ανεπιεικεις A | αμαρτανοντας...κακα uncis incl ℵ^c.a XIII **1** πατρι] μητρι ℵ* (πατρι ℵ^c.a) **2** καρπου A | ολουνται] ολλυνται ℵ **5** παρρησιαν]+(6) δικαιοσυνη φυλασσει ακακους οδω| τους δε ασεβεις φαυλους ποιει αμαρτια A **7** πλουτιζουσιν A

8 [8]λύτρον ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος, B
πτωχὸς δὲ οὐχ ὑφίσταται ἀπειλήν.
9 [9]φῶς δικαίοις διὰ παντός,
φῶς δὲ ἀσεβῶν σβέννυται.
9 a [9a]ψυχαὶ δόλιαι πλανῶνται ἐν ἁμαρτίαις,
δίκαιοι δὲ οἰκτείρουσιν καὶ ἐλεῶσιν.
10 [10]κακὸς μεθ' ὕβρεως πράσσει κακά,
οἱ δὲ ἑαυτῶν ἐπιγνώμονες σοφοί.
11 [11]ὕπαρξις ἐπισπουδαζομένη μετὰ ἀνομίας ἐλάσσων γίνεται,
ὁ δὲ συνάγων ἑαυτῷ μετ' εὐσεβείας πληθυνθήσεται·
δίκαιος οἰκτείρει καὶ κιχρᾷ.
12 [12]κρείσσων ἐναρχομένοις βοηθῶν καρδίᾳ
τοῦ ἐπαγγελλομένου καὶ εἰς ἐλπίδα ἄγοντος·
δένδρον γὰρ ζωῆς ἐπιθυμία ἀγαθή.
13 [13]ὃς καταφρονεῖ πράγματος, καταφρονηθήσεται ὑπ' αὐτοῦ·
ὁ δὲ φοβούμενος ἐντολήν, οὗτος ὑγιαίνει.
13 a [13a]υἱῷ δολίῳ οὐδὲν ἔσται ἀγαθόν·
οἰκέτῃ δὲ σοφῷ εὔοδοι ἔσονται πράξεις,
καὶ κατευθυνθήσεται ἡ ὁδὸς αὐτοῦ.
14 [14]νόμος σοφοῦ πηγὴ ζωῆς,
ὁ δὲ ἄνους ὑπὸ παγίδος θανεῖται.
15 [15]σύνεσις ἀγαθὴ δίδωσιν χάριν,
τὸ δὲ γνῶναι νόμον διανοίας ἐστὶν ἀγαθῆς,
ὁδοὶ δὲ καταφρονούντων ἐν ἀπωλείᾳ.
16 [16]πᾶς πανοῦργος πράσσει μετὰ γνώσεως,
ὁ δὲ ἄφρων ἐξεπέτασεν ἑαυτοῦ κακίαν.
17 [17]βασιλεὺς θρασὺς ἐμπεσεῖται εἰς κακά,
ἄγγελος δὲ σοφὸς ῥύσεται αὐτόν.
18 [18]πενίαν καὶ ἀτιμίαν ἀφαιρεῖται παιδεία,
ὁ δὲ φυλάσσων ἐλέγχους δοξασθήσεται.
19 [19]ἐπιθυμίαι εὐσεβῶν ἡδύνουσιν ψυχήν,
ἔργα δὲ ἀσεβῶν μακρὰν ἀπὸ γνώσεως.
20 [20]συμπορευόμενος σοφοῖς σοφὸς ἔσῃ,

8 υπισταται ℵ* (υφ. ℵ[1]) **9 a** ελεουσι] A **12** εν αρχ. B[fort] εναρχομενος ℵA | βοηθων] βοηθειν ℵ[c.a] (-θιν) A | αγαθη] om ℵ* (hab ℵ[c.a]) κακη A **13 a** δουλιω ℵ* (δλ. ℵ[1?c.a]) | εσταγαθον ℵ* (εσται αγ. ℵ[c.a]) | πραξεις ℵ*[vid] (-ξεις ℵ[c.a]) **15** διδωσι A | απωλια ℵ **16** εξεπετασε ℵ **17** σοφος] πιστος ℵ* (σοφ. ℵ[c.a]) **18** παιδια ℵA **19** ηδυνουσι ℵ **20** συμπορευομενος ι[o]] pr ο ℵ[c.a]A | εση] εσται ℵ[c.a]A

B ὁ δὲ συμπορευόμενος ἄφροσι γνωσθήσεται.
21 ἁμαρτάνοντας καταδιώξεται κακά, 21
τοὺς δὲ δικαίους καταλήμψεται ἀγαθά.
22 ἀγαθὸς ἀνὴρ κληρονομήσει υἱοὺς υἱῶν, 22
θησαυρίζεται δὲ δικαίοις πλοῦτος ἀσεβῶν.
23 δίκαιοι ποιήσουσιν ἐν πλούτῳ ἔτη πολλά, 23
ἄδικοι δὲ ἀπολοῦνται συντόμως.
24 ὃς φείδεται τῆς βακτηρίας, μισεῖ τὸν υἱὸν αὐτοῦ, 24
ὁ δὲ ἀγαπῶν ἐπιμελῶς παιδεύει.
25 δίκαιος ἔσθων ἐμπιπλᾷ τὴν ψυχὴν αὐτοῦ, 25
ψυχαὶ δὲ ἀσεβῶν ἐνδεεῖς.
1 σοφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους, 1 XIV
ἡ δὲ ἄφρων κατέσκαψεν ταῖς χερσὶν αὐτῆς.
2 ὁ πορευόμενος ὀρθῶς φοβεῖται τὸν κύριον, 2
ὁ δὲ σκολιάζων ταῖς ὁδοῖς αὐτοῦ ἀτιμασθήσεται.
3 ἐκ στόματος ἀφρόνων βακτηρία ὕβρεως, 3
χείλη δὲ σοφῶν φυλάσσει αὐτούς.
4 οὗ μὴ εἰσιν βόες, φάτναι καθαραί· 4
οὗ δὲ πολλὰ γενήματα, φανερὰ βοὸς ἰσχύς.
5 μάρτυς πιστὸς οὐ ψεύδεται, 5
ἐκκαίει δὲ ψευδῆ μάρτυς ἄδικος.
6 ζητήσεις σοφίαν παρὰ κακοῖς καὶ οὐχ εὑρήσεις, 6
αἴσθησις δὲ παρὰ φρονίμοις εὐχερής.
7 πάντα ἐναντία ἀνδρὶ ἄφρονι, 7
ὅπλα δὲ αἰσθήσεως χείλη σοφά.
8 σοφία πανούργων ἐπιγνώσεται τὰς ὁδοὺς αὐτῶν, 8
ἄνοια δὲ ἀφρόνων ἐν πλάνῃ.
9 οἰκίαι παρανόμων ὀφειλήσουσιν καθαρισμόν, 9
οἰκίαι δὲ δικαίων δεκταί.
10 καρδία ἀνδρὸς αἰσθητική, λυπηρὰ ψυχὴ αὐτοῦ· 10
ὅταν δὲ εὐφραίνηται, οὐκ ἐπιμίγνυται ὕβρει.
11 οἰκίαι ἀσεβῶν ἀφανισθήσονται, 11
σκηναὶ δὲ κατορθούντων στήσονται.

NA **20** συμπορευομενος 2°] συνρεμβομενος A | αφροσι] αφρονι ℵ* (αφροσι ℵc.a) αφροσιν A **22** αγαθος] pr o A **25** εσθων] εσθιων ℵc.a XIV **1** κατεσκαψεν] κατεστρεψεν A **2** om δε ℵ* (hab ℵc.a) **3** φυλαξει A **5** εκκαει ℵ* (εκκαιει ℵc.a) **9** παρανομων] αφρονων A | οφιλησουσι ℵ* (-σῖ ut vid ℵc.a) **10** υβρει Bab (υβρι B*ℵ)] υβριν A

12 [12]ἔστιν ὁδὸς ἡ δοκεῖ παρὰ ἀνθρώποις ὀρθὴ εἶναι, B
τὰ δὲ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα ᾅδου.
13 [13]ἐν εὐφροσύναις οὐ προσμίγνυται λύπη,
τελευταία δὲ χαρὰ εἰς πένθος ἔρχεται.
14 [14]τῶν ἑαυτοῦ ὁδῶν πλησθήσεται θρασυκάρδιος,
ἀπὸ δὲ τῶν διανοημάτων αὐτοῦ ἀνὴρ ἀγαθός.
15 [15]ἄκακος πιστεύει παντὶ λόγῳ,
πανοῦργος δὲ ἔρχεται εἰς μετάνοιαν.
16 [16]σοφὸς φοβηθεὶς ἐξέκλινεν ἀπὸ κακοῦ,
ὁ δὲ ἄφρων ἑαυτῷ πεποιθὼς μίγνυται ἀνόμῳ.
17 [17]ὀξύθυμος πράσσει μετὰ ἀβουλίας,
ἀνὴρ δὲ φρόνιμος πολλὰ ὑποφέρει.
18 [18]μεριοῦνται ἄφρονες κακίαν,
οἱ δὲ πανοῦργοι κρατήσουσιν αἰσθήσεως.
19 [19]ὀλισθήσουσιν κακοὶ ἔναντι ἀγαθῶν,
καὶ ἀσεβεῖς θεραπεύσουσιν θύρας δικαίων.
20 [20]φίλοι μισήσουσιν φίλους πτωχούς,
φίλοι δὲ πλουσίων πολλοί.
21 [21]ὁ ἀτιμάζων πένητας ἁμαρτάνει,
ἐλεῶν δὲ πτωχοὺς μακαριστός.
22 [22]πλανώμενοι τεκταίνουσι κακά,
ἔλεον δὲ καὶ ἀλήθειαν τεκταίνουσιν ἀγαθοί·
οὐκ ἐπίστανται ἔλεον καὶ πίστιν τέκτονες κακῶν,
ἐλεημοσύναι δὲ καὶ πίστεις παρὰ τέκτοσιν ἀγαθοῖς.
23 [23]ἐν παντὶ μεριμνῶντι ἔνεστιν περισσόν,
ὁ δὲ ἡδὺς καὶ ἀνάλγητος ἐν ἐνδείᾳ ἔσται.
24 [24]στέφανος σοφῶν πανοῦργος,
ἡ δὲ διατριβὴ ἀφρόνων κακή.
25 [25]ῥύσεται ἐκ κακῶν ψυχὴν μάρτυς πιστός,
ἐκκαίει δὲ ψευδῆ δόλιος.
26 [26]ἐν φόβῳ Κυρίου ἐλπὶς ἰσχύος,
τοῖς δὲ τέκνοις αὐτοῦ καταλείπει ἔρεισμα.
27 [27]πρόσταγμα Κυρίου πηγὴ ζωῆς,
ποιεῖ δὲ ἐκκλίνειν ἐκ παγίδος θανάτου.

12 ορθη ειναι παρα ανοις A | αυτης] αυτου A **13** ευφροσυνη ℵ | ℵA χαρας A **16** εαυτω] pr εν ℵ* (om ℵ$^{c.a}$) **20** μισησωσιν A **21** μακαριστος] μακαριος εστ, A **22** τεκταινουσι] τεκτενουσιν A | πιστεις] πιστις ℵA **26** καταλειπει] καταλιψι ℵ$^{c.a}$ | ερισμα B*ℵA (ερεισμα B^{ab})

B [28]ἐν πολλῷ ἔθνει δόξα βασιλέως, 28
ἐν δὲ ἐκλείψει λαοῦ συντριβὴ δυνάστου.
[29]μακρόθυμος ἀνὴρ πολὺς ἐν φρονήσει, 29
ὁ δὲ ὀλιγόψυχος ἰσχυρὸς ἄφρων.
[30]πραΰθυμος ἀνὴρ καρδίας ἰατρός, 30
σὴς δὲ ὀστέων καρδία αἰσθητική.
[31]ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν, 31
ὁ δὲ τιμῶν αὐτὸν ἐλεᾷ πτωχόν.
[32]ἐν κακίᾳ αὐτοῦ ἀπωσθήσεται ἀσεβής, 32
ὁ δὲ πεποιθὼς τῇ ἑαυτοῦ ὁσιότητι δίκαιος.
[33]ἐν καρδίᾳ ἀγαθῇ ἀνδρὸς σοφία, 33
ἐν δὲ καρδίᾳ ἀφρόνων οὐ διαγινώσκεται.
[34]δικαιοσύνη ὑψοῖ ἔθνος, 34
ἐλασσονοῦσι δὲ φυλὰς ἁμαρτίαι.
[35]δεκτὸς βασιλεῖ ὑπηρέτης νοήμων, 35
τῇ δὲ ἑαυτοῦ εὐστροφίᾳ ἀφαιρεῖται ἀτιμίαν.
[1]ὀργὴ ἀπόλλυσιν καὶ φρονίμους, 1 XV
ἀπόκρισις δὲ ὑποπίπτουσα ἀποστρέφει θυμόν,
λόγος δὲ λυπηρὸς ἐγείρει ὀργάς.
[2]γλῶσσα σοφῶν καλὰ ἐπίσταται, 2
στόμα δὲ ἀφρόνων ἀναγγελεῖ κακά.
[3]ἐν παντὶ τόπῳ ὀφθαλμοὶ Κυρίου· 3
σκοπεύουσιν κακούς τε καὶ ἀγαθούς.
[4]ἴασις γλώσσης δένδρον ζωῆς, 4
ὁ δὲ συντηρῶν αὐτὴν πλησθήσεται πνεύματος.
[5]ἄφρων μυκτηρίζει παιδίαν πατρός, 5
ὁ δὲ φυλάσσων ἐντολὰς πανουργότερος.
[6]ἐν πλεοναζούσῃ δικαιοσύνῃ ἰσχὺς πολλή, 6
οἱ δὲ ἀσεβεῖς ὀλόριζοι ἐκ γῆς ἀπολοῦνται·
οἴκοις δικαίων ἰσχὺς πολλή,
καρποὶ δὲ ἀσεβῶν ἀπολοῦνται.
[7]χείλη σοφῶν δέδεται αἰσθήσει, 7
καρδίαι δὲ ἀφρόνων οὐκ ἀσφαλεῖς.

ℵA **29** ολιγοσχος ℵ* (ολιγοψυχος ℵ[1]) | ισχυρως B^{ab}ℵ[c.a]A **31** ελεα] ελεει B^{ab} **33** ανδρος] αναπαυσεται ℵ[c.a] **34** ελασσονουσι (sic) BℵA XV **1** om δε 2° ℵ **2** αναγγελλει A^{vid} **4** πνευματος] πιοτητος ℵ* των καρπων αυτης ℵ[c.a] **5** παιδειαν B^{ab} **6** απολουνται 1°] ολουνται ℵ[c.a]A | om οικοις...απολουνται (2°) ℵ* (hab ℵ[c.a]) **7** χειλη] + δ ℵ* (om δ ℵ[1])

8 [8]θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίῳ, B
εὐχαὶ δὲ κατευθυνόντων δεκταὶ παρ᾽ αὐτῷ.
9 [9]βδέλυγμα Κυρίῳ ὁδοὶ ἀσεβοῦς,
διώκοντας δὲ δικαιοσύνην ἀγαπᾷ.
10 [10]παιδεία ἀκάκου γνωρίζεται ὑπὸ τῶν παριόντων,
οἱ δὲ μισοῦντες ἐλέγχους τελευτῶσιν αἰσχρῶς.
11 [11]ᾅδης καὶ ἀπώλεια φανερὰ παρὰ τῷ κυρίῳ,
πῶς οὐχὶ καὶ αἱ καρδίαι τῶν ἀνθρώπων;
12 [12]οὐκ ἀγαπήσει ἀπαίδευτος τοὺς ἐλέγχοντας αὐτόν,
μετὰ δὲ σοφῶν οὐχ ὁμιλήσει.
13 [13]καρδίας εὐφραινομένης πρόσωπον θάλλει,
ἐν δὲ λύπαις οὔσης σκυθρωπάζει.
14 [14]καρδία ὀρθὴ ζητεῖ αἴσθησιν,
στόμα δὲ ἀπαιδεύτων γνώσεται κακά.
15 [15]πάντα τὸν χρόνον οἱ ὀφθαλμοὶ τῶν κακῶν προσδέχονται κακά,
οἱ δὲ ἀγαθοὶ ἡσυχάσουσιν διὰ παντός.
16 [16]κρείσσων μικρὰ μερὶς μετὰ φόβου Κυρίου
ἢ θησαυροὶ μεγάλοι μετὰ ἀφοβίας.
17 [17]κρείσσων ξενισμὸς μετὰ λαχάνων πρὸς φιλίαν καὶ χάριν
ἢ παράθεσις μόσχων μετὰ ἔχθρας.
18 [18]ἀνὴρ θυμώδης παρασκευάζει μάχας,
μακρόθυμος δὲ καὶ τὴν μέλλουσαν καταπραΰνει·
18a [18a]μακρόθυμος ἀνὴρ κατασβέσει κρίσεις,
ὁ δὲ ἀσεβὴς ἐγείρει μᾶλλον.
19 [19]ὁδοὶ ἀεργῶν ἐστρωμέναι ἀκάνθαις,
αἱ δὲ τῶν ἀνδρείων τετριμμέναι.
20 [20]υἱὸς σοφὸς εὐφραίνει πατέρα,
υἱὸς δὲ ἄφρων μυκτηρίζει μητέρα αὐτοῦ.
21 [21]ἀνοήτου τρίβοι ἐνδεεῖς φρενῶν,
ἀνὴρ δὲ φρόνιμος κατευθύνων πορεύεται.
22 [22]ὑπερτίθενται λογισμοὺς οἱ μὴ τιμῶντες συνέδρια,
ἐν δὲ καρδίαις βουλευομένων μένει βουλή.
23 [23]οὐ μὴ ὑπακούσῃ ὁ κακὸς αὐτῇ,

8 *ασεβων*] αμαρτωλων ℵ **9** *αγαπα*] απατα ℵ* (αγ. ℵ$^{c.a}$) **10** *παιδια* ℵA ℵA **13** *ουσης* B^{ab}ℵ] *ουσαις* B* *ουσα* A **14** *απαιδευτων*] *ασεβων* ℵ* (*απαιδ.* ℵ$^{c.a}$) **15** *ησυχαζουσιν* A **17** om *μετα* 1° A | *μετα* 2°] *μετ* A **18 a** *κρισις* ℵA **21** *ανηρ δε φρονιμος*] *ο δε φρ. ανηρ* ℵ **22** *υπερτιθονται* ℵ* (*-θενται* ℵ$^{c.a}$) | *τιμωτες* ℵ* (*-ντες* ℵ$^{c.a}$) **23** *ου*] *υ* A* (pr *ο* A$^{a?mg}$) | *κακος*] *ακακος* ℵ$^{c.a}$

B οὐδὲ μὴ εἴπῃ καίριόν τι καὶ καλὸν τῷ κοινῷ.
[24]ὁδοὶ ζωῆς διανοήματα συνετοῦ, 24
ἵνα ἐκκλίνας ἐκ τοῦ ᾅδου σωθῇ.
[25]οἴκους ὑβριστῶν κατασπᾷ Κύριος, 25
ἐστήρισεν δὲ ὅριον χήρας.
[26]βδέλυγμα Κυρίῳ λογισμὸς ἄδικος, 26
ἁγνῶν δὲ ῥήσεις σεμναί.
[27]ἐξόλλυσιν ἑαυτὸν ὁ δωρολήμπτης, 27
ὁ δὲ μισῶν δώρων λήμψεις σώζεται.
[(6)]ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι, (6) (XVI)
τῷ δὲ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ.
[28]καρδίαι δικαίων μελετῶσιν πίστεις, 28
στόμα δὲ ἀσεβῶν ἀποκρίνεται κακά.
[(7)]δεκταὶ παρὰ Κυρίῳ ὁδοὶ ἀνθρώπων δικαίων, (7)
διὰ δὲ αὐτῶν καὶ οἱ ἐχθροὶ φίλοι γίνονται.
[29]μακρὰν ἀπέχει ὁ θεὸς ἀπὸ ἀσεβῶν, 29
εὐχαῖς δὲ δικαίων ἐπακούει.
§ C §[(8)]κρείσσων ὀλίγη λῆμψις μετὰ δικαιοσύνης (8)
ἢ πολλὰ γενήματα μετὰ ἀδικίας.
[1]καρδία δὲ ἀνδρὸς λογιζέσθω δίκαια, 1 (9) XVI
ἵνα ὑπὸ τοῦ θεοῦ διορθωθῇ τὰ διαβήματα αὐτοῦ.
[2]θεωρῶν ὀφθαλμὸς καλὰ εὐφραίνει καρδίαν, 2 (30) (XV)
φήμη δὲ ἀγαθὴ πιαίνει ὀστᾶ.
[3]ὃς ἀπωθεῖται παιδείαν μισεῖ ἑαυτόν, 3 (32)
ὁ δὲ τηρῶν ἐλέγχους ἀγαπᾷ ψυχὴν αὐτοῦ.
[4]φόβος θεοῦ παιδεία καὶ σοφία, 4 (33)
καὶ ἀρχὴ δόξης ἀποκριθήσεται αὐτῇ. –
[5]πάντα τὰ ἔργα τοῦ ταπεινοῦ φανερὰ παρὰ τῷ θεῷ, 5
οἱ δὲ ἀσεβεῖς ἐν ἡμέρᾳ κακῇ ὀλοῦνται.
[6]ἀκάθαρτος παρὰ θεῷ πᾶς ὑψηλοκάρδιος, 6 (5) (XVI)
χειρὶ δὲ χεῖρας ἐμβαλὼν ἀδίκως οὐκ ἀθῳωθήσεται. –
[7]ἀρχὴ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια, 7

ℵAC **25** εστηρισεν] εστησεν ℵ* (εστηρ. ℵc.a) **27** λημψις A | ελαιημοσυναι ℵ* (-ναις ℵc.a nisi forte 1) | πιστισιν ℵ* (-τεσιν ℵ1 c.a) **28** καρδια ℵ* (-διαι ℵ1 c.a (vid)) | πιστις ℵA **29** επακουει] υπακουει ℵ | ληψις C XVI **1** om δε AC | θεου] κῡ C **3** παιδιαν ℵA **4** παιδια ℵ | δοξης] + αυτου A | αυτη] αυτω A + προσπορευεται δε ταπινοις δοξα ℵc.a + προσπορευεται ταπεινος (sic) δοξα A **5** ασεβης B* (-βεις Bab) **6** θεω] pr τω A | αθωωθησεται B*ℵAC (αθωωθ. Bb)

δεκτὰ δὲ παρὰ θεῷ μᾶλλον ἢ θύειν θυσίας. B
8 [8]ὁ ζητῶν τὸν κύριον εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης,
οἱ δὲ ὀρθῶς ζητοῦντες αὐτὸν εὑρήσουσιν εἰρήνην.
(4) 9 [9]πάντα τὰ ἔργα τοῦ κυρίου μετὰ δικαιοσύνης,
φυλάσσεται δὲ ὁ ἀσεβὴς εἰς ἡμέραν κακήν.
10 [10]μαντεῖον ἐπὶ χείλεσιν βασιλέως,
ἐν δὲ κρίσει οὐ μὴ πλανηθῇ τὸ στόμα αὐτοῦ.
11 [11]ῥοπὴ ζυγοῦ δικαιοσύνη παρὰ Κυρίῳ,
τὰ δὲ ἔργα αὐτοῦ στάθμια δίκαια.
12 [12]βδέλυγμα βασιλεῖ ὁ ποιῶν κακά,
μετὰ γὰρ δικαιοσύνης ἑτοιμάζεται θρόνος ἀρχῆς.
13 [13]δεκτὰ βασιλεῖ χείλη δίκαια,
λόγους δὲ ὀρθοὺς ἀγαπᾷ.
14 [14]θυμὸς βασιλέως ἄγγελος θανάτου,
ἀνὴρ δὲ σοφὸς ἐξιλάσεται αὐτόν.
15 [15]ἐν φωτὶ ζωῆς υἱὸς βασιλέως,
οἱ δὲ προσδεκτοὶ αὐτῷ ὥσπερ νέφος ὄψιμον.
16 [16]νοσσιαὶ σοφίας αἱρετώτεραι χρυσίου,
νοσσιαὶ δὲ φρονήσεως αἱρετώτεραι ὑπὲρ ἀργύριον.
17 [17]τρίβοι ζωῆς ἐκκλίνουσιν ἀπὸ κακῶν,
μῆκος δὲ βίου ὁδοὶ δικαιοσύνης.
ὁ δεχόμενος παιδείαν ἐν ἀγαθοῖς ἔσται,
ὁ δὲ φυλάσσων ἐλέγχους σοφισθήσεται.
ὃς φυλάσσει τὰς ἑαυτοῦ ὁδοὺς τηρεῖ τὴν ἑαυτοῦ ψυχήν,
ἀγαπῶν δὲ ζωὴν αὐτοῦ φείσεται στόματος αὐτοῦ.
18 [18]πρὸ συντριβῆς ἡγεῖται ὕβρις,
πρὸ δὲ πτώματος κακοφροσύνη.
19 [19]κρείσσων πραΰθυμος μετὰ ταπεινώσεως
ἢ ὃς διαιρεῖται σκῦλα μετὰ ὑβριστῶν.
20 [20]συνετὸς ἐν πράγμασιν εὑρετὴς ἀγαθῶν,
πεποιθὼς δὲ ἐπὶ θεῷ μακαριστός.
21 [21]τοὺς σοφοὺς καὶ συνετοὺς φαύλους καλοῦσιν,
οἱ δὲ γλυκεῖς ἐν λόγῳ πλείονα ἀκούσονται.

7 δεκται ℵ | θεω] pr τω ℵ | θυσιαν C **9** του κυριου] om του A ℵΛC **10** κρισει] seq ras 2 litt in C **11** Κυριω] κῡ Λ θω C **13** ορθους] αγαθους C | αγαπα periit in C **15** οψιμοι ℵ* (-μον ℵc.a) **16** χρυσιω Λ **17** εκκινουσιν ℵ | παιδιαν AC | εν] επ ℵ | αυτου 1°] εαυτου C **19** πραυθυμος] προθυμος Λ | ταπεινωσεως] ταπινοφροσυνης C | υβριστων] υβρεως Λ **20** θεω] κῶ AC **21** πλειονα] πλιον Λ πλειον C | ακουσονται] ακουονται Λ

B [22]πηγὴ ζωῆς ἔννοια τοῖς κεκτημένοις, 22
παιδεία δὲ ἀφρόνων κακή.
[23]καρδία σοφοῦ νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος, 23
ἐπὶ δὲ χείλεσιν φορέσει ἐπιγνωμοσύνην.
[24]κηρία μέλιτος λόγοι καλοί, 24
γλύκασμα δὲ αὐτοῦ ἴασις ψυχῆς.
[25]εἰσὶν ὁδοὶ δοκοῦσαι εἶναι ὀρθαὶ ἀνδρί, 25
τὰ μέντοι τελευταῖα αὐτῶν βλέπει εἰς πυθμένα ᾅδου.
[26]ἀνὴρ ἐν πόνοις πονεῖ ἑαυτῷ 26
καὶ ἐκβιάζεται ἑαυτοῦ τὴν ἀπώλειαν·
ὁ μέντοι σκολιὸς ἐπὶ τῷ ἑαυτοῦ στόματι φορεῖ τὴν ἀπώλειαν.
[27]ἀνὴρ ἄφρων ὀρύσσει ἑαυτῷ κακά, 27
ἐπὶ δὲ τῶν ἑαυτοῦ χειλέων θησαυρίζει πῦρ.
[28]ἀνὴρ σκολιὸς διαπέμπεται κακά, 28
καὶ λαμπτῆρα δόλου πυρσεύσει κακοῖς, καὶ διαχωρίζει φίλους.
[29]ἀνὴρ παράνομος ἀποπειρᾶται φίλων, 29
καὶ ἀπάγει αὐτοὺς ὁδοὺς οὐκ ἀγαθάς.
[30]στηρίζων δὲ ὀφθαλμοὺς αὐτοῦ διαλογίζεται διεστραμμένα, 30
ὁρίζει δὲ τοῖς χείλεσιν αὐτοῦ πάντα τὰ κακά,
οὗτος κάμινός ἐστιν κακίας.
[31]στέφανος καυχήσεως γῆρας, 31
ἐν δὲ ὁδοῖς δικαιοσύνης εὑρίσκεται.
[32]κρείσσων ἀνὴρ μακρόθυμος ἰσχυροῦ, 32
ὁ δὲ κρατῶν ὀργῆς κρείσσων καταλαμβανομένου πόλιν.
[33]εἰς κόλπους ἐπέρχεται πάντα τοῖς ἀδίκοις, 33
παρὰ δὲ Κυρίου πάντα τὰ δίκαια.
[1]κρείσσων ψωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ 1 XVII
¶ C ἢ οἶκος πολλῶν ἀγαθῶν καὶ ἀδίκων θυμάτων μετὰ μάχης.¶

ℵAC **22** παιδεια (-δια A)] *και παιδια* ℵ* (om *και* ℵ$^{c.a}$) **23** *του ιδιου*] om *του* ℵ* (hab ℵ$^{c.a}$) | *χειλεσι* C **24** *αυτου*] *αυτων* AC **25** *μεντοι*] *δε* C | *αυτων*] *αυτου* C **26** *εαυτου* 1°] *αυτου* ℵC | *σκολιοις* C | *φορει*] *φερει* C | *απωλειαν* 2° B^{b}AC] *απωλιαν* B*ℵ **27** *θησαυριζει*] *θησαυριζεται* ℵ* (-*ζει* ℵ$^{c.a}$) *ορυσσει* A **28** *δολου*] *χολου* ℵ | *πυρσευει* ℵA | *διαχωριζει*] *διαχωρι* C **30** om *δε* 1° AC | *διαλογιζεται*] *λογιζεται* ℵAC | *οριζει*] *οργιζει* A | *εστι* C | *κακιας*] *κακων* A **31—32** *εν δε οδοις...ισχυρου* rescr C? **32** *ισχυρου*] +*και ανηρ φρονησιν εχων γεωργιου μεγαλου* ℵ$^{c.a}$AC^{a} | *κρεισσων* 2°] *κρισσου* (sic) A | *καταλαμβανομενου*] pr *του* A **33** *αδικοις*] *δικαιοις* ℵ* (*αδ.* ℵ$^{c.a}$) | *παντα* 2°] *πασιν* ℵ$^{c.a}$ XVII **1** *ηδονης*] *ειδονης* A | *οικος*] pr *ο* C | *πολλων*] pr *πληρης* ℵAC

2 [2]οἰκέτης νοήμων κρατήσει δεσποτῶν ἀφρόνων, B
ἐν δὲ ἀδελφοῖς διελεῖται μέρη.
3 [3]ὥσπερ δοκιμάζεται ἐν καμίνῳ ἄργυρος καὶ χρυσός,
οὕτως ἐκλεκταὶ καρδίαι παρὰ Κυρίῳ.
4 [4]κακὸς ὑπακούει γλώσσης παρανόμων,
δίκαιος δὲ οὐ προσέχει χείλεσιν ψευδέσιν.
5 [5]ὁ καταγελῶν πτωχοῦ παροξύνει τὸν ποιήσαντα αὐτόν,
ὁ δὲ ἐπιχαίρων ἀπολλυμένῳ οὐκ ἀθῳωθήσεται·
ὁ δὲ ἐπισπλαχνιζόμενος ἐλεηθήσεται.
6 [6]στέφανος γερόντων τέκνα τέκνων,
καύχημα δὲ τέκνων πατέρες αὐτῶν.
6a [6a]τοῦ πιστοῦ ὅλος ὁ κόσμος τῶν χρημάτων,
τοῦ δὲ ἀπίστου οὐδὲ ὀβολός.
7 [7]οὐχ ἁρμόσει ἄφρονι χείλη πιστά,
οὐδὲ δικαίῳ χείλη ψευδῆ.
8 [8]μισθὸς χαρίτων παιδεία τοῖς χρωμένοις,
οὗ δ' ἂν ἐπιστρέψῃ, εὐοδωθήσεται.
9 [9]ὃς κρύπτει ἀδικήματα ζητεῖ φιλίαν,
ὃς δὲ μισεῖ κρύπτειν διίστησιν φίλους καὶ οἰκείους.
10 [10]συντρίβει ἀπειλὴ καρδίαν φρονίμου,
ἄφρων δὲ μαστιγωθεὶς οὐκ αἰσθάνεται.
11 [11]ἀντιλογίας ἐγείρει πᾶς κακός,
ὁ δὲ Κύριος ἄγγελον ἀνελεήμονα ἐκπέμψει αὐτῷ.
12 [12]ἐμπεσεῖται μέριμνα ἀνδρὶ νοήμονι,
οἱ δὲ ἄφρονες διαλογιοῦνται κακά.
13 [13]ὃς ἀποδίδωσιν κακὰ ἀντὶ ἀγαθῶν,
οὐ κινηθήσεται κακὰ ἐκ τοῦ οἴκου αὐτοῦ.
14 [14]ἐξουσίαν δίδωσιν λόγοις ἀρχὴ δικαιοσύνης,
προηγεῖται δὲ τῆς ἐνδείας στάσις καὶ μάχη.
15 [15]ὃς δίκαιον κρίνει τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον,

2 δεσποτην ℵ* (-των ℵ[1]) **3** εκλεκται καρδιαι] καρδια εκλεγεται ℵ* ℵA καρδιαι εκλεκται ℵ[c.a] | Κυριω] θω̃ A **4** γλωσσης] γλωσση ℵ? | ψευδεσιν] + του πιστου ολος ο κοσμος των χρηματων του δε απιστου ουδε οβολος A **5** καταγελων] καταγγελλων A | αθωωθησεται B*ℵA (αθωωθ. B[b]) | επισπλαγχνιζομενος] σπλαγχνιζομενος A **6a** om του πιστου...οβολος A **7** om πιστα...χειλη 2° ℵ | ψευδη] πιστα ℵ[c.a] **8** παιδια B*ℵ (-δεια B[ab]A)] pr η B[ab]ℵA | ευοδωθησεται] αδικηθησεται ℵ **10** καρδιαν sup ras ℵ[1] **13** εκ του οικου] εις τους οικους A **14** αρχην ℵ* (ν ras postea inst ℵ?) | ενδιαστασις ℵ* (ενδιας στ. ℵ[c.a]) | στασεις A **15** αδικον 1°] δικαιον ℵ

B ἀκάθαρτος καὶ βδελυκτὸς παρὰ θεῷ.
16 ἵνα τί ὑπῆρξεν χρήματα ἄφρονι; 16
κτήσασθαι γὰρ σοφίαν ἀκάρδιος οὐ δυνήσεται.
(19) ὃς ὑψηλὸν ποιεῖ τὸν ἑαυτοῦ οἶκον ζητεῖ συντριβήν,
(20) ὁ δὲ σκολιάζων τοῦ μαθεῖν ἐμπεσεῖται εἰς κακά.
17 εἰς πάντα καιρὸν φίλος ὑπαρχέτω σοι, 17
ἀδελφοὶ δὲ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν,
τούτου γὰρ χάριν γεννῶνται.
18 ἀνὴρ ἄφρων ἐπικροτεῖ καὶ ἐπιχαίρει ἑαυτῷ, 18
ὡς καὶ ὁ ἐγγυώμενος ἐγγύην τῶν ἑαυτοῦ φίλων.
19 φιλαμαρτήμων χαίρει μάχαις, 19
20 ὁ δὲ σκληροκάρδιος οὐ συναντᾷ ἀγαθοῖς. 20
ἀνὴρ εὐμετάβολος γλώσσῃ ἐμπεσεῖται εἰς κακά,
21 καρδία δὲ ἄφρονος ὀδύνη τῷ κεκτημένῳ αὐτήν. 21
οὐκ εὐφραίνεται πατὴρ ἐπὶ υἱῷ ἀπαιδεύτῳ,
υἱὸς δὲ φρόνιμος εὐφραίνει μητέρα αὐτοῦ.
22 καρδία εὐφραινομένη εὐεκτεῖν ποιεῖ, 22
ἀνδρὸς δὲ λυπηροῦ ξηραίνεται τὰ ὀστᾶ.
23 λαμβάνοντος δῶρα ἐν κόλποις ἀδίκως οὐ κατευοδοῦνται ὁδοί, 23
ἀσεβὴς δὲ ἐκκλίνει ὁδοὺς δικαιοσύνης.
24 πρόσωπον συνετὸν ἀνδρὸς σοφοῦ, 24
οἱ δὲ ὀφθαλμοὶ τοῦ ἄφρονος ἐπ᾽ ἄκρα γῆς.
25 ὀργὴ πατρί ἐστιν υἱὸς ἄφρων, 25
καὶ ὀδύνη τῇ τεκούσῃ αὐτοῦ.
26 ζημιοῦν ἄνδρα δίκαιον οὐ καλόν, 26
οὐδὲ ὅσιον ἐπιβουλεύειν δυνάσταις δικαίοις.
27 ὃς φείδεται ῥῆμα προελέσθαι σκληρὸν ἐπιγνώμων, 27
μακρόθυμος δὲ ἀνὴρ φρόνιμος.
28 ἀνοήτῳ ἐπερωτήσαντι σοφίαν σοφία λογισθήσεται, 28
ἐνεὸν δέ τις ἑαυτὸν ποιήσας δόξει φρόνιμος εἶναι.
XVIII 1 προφάσεις ζητεῖ ἀνὴρ βουλόμενος χωρίζεσθαι ἀπὸ φίλων, 1
ἐν παντὶ δὲ καιρῷ ἐπονείδιστος ἔσται.
2 οὐ χρείαν ἔχει σοφίας ἐνδεὴς φρενῶν, 2
μᾶλλον γὰρ ἄγεται ἀφροσύνῃ.

ℵA **16** γαρ] δε A | σοφιας A **17** φιλος] pr ο ℵ$^{c.a}$ **18** εγγυην] εγγυη ℵ$^{?}$A | τον εαυτ. φιλον ℵ$^{c.a}$A **19** χαιρει] κειρει A **21** επι] εφ A | ευφραινει] ευφρανει A **23** κολπω ℵA | αδικω ℵ **25** om εστιν ℵ$^{c.a}$A | αυτου] αυτον B$^{?}$ℵ$^{c.a}$ **27** προελεσθαι] προεσθαι ℵ$^{c.a}$A **28** σοφιαν] σοφια ℵ$^{?}$ om A XVIII **2** αγεται] αγαγεται A

3 [3]ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ, B
ἐπέρχεται δὲ αὐτῷ ἀτιμία καὶ ὄνειδος.
4 [4]ὕδωρ βαθὺ λόγος ἐν καρδίᾳ ἀνδρός,
ποταμὸς δὲ ἀναπηδύει καὶ πηγὴ ζωῆς.
5 [5]θαυμάσαι πρόσωπον ἀσεβοῦς οὐ καλόν,
οὐδὲ ὅσιον ἐκκλίνειν τὸ δίκαιον ἐν κρίσει.
6 [6]χεῖλη ἄφρονος ἄγουσιν αὐτὸν εἰς κακά,
τὸ δὲ στόμα αὐτοῦ τὸ θρασὺ θάνατον ἐπικαλεῖται.
7 [7]στόμα ἄφρονος συντριβὴ αὐτῷ,
τὰ δὲ χεῖλη αὐτοῦ παγὶς τῇ ψυχῇ αὐτοῦ.
8 [8]ὀκνηροὺς καταβάλλει φόβος,
ψυχαὶ δὲ ἀνδρογύνων πεινάσουσιν.
9 [9]ὁ μὴ ἰώμενος αὐτὸν ἐν τοῖς ἔργοις αὐτοῦ
ἀδελφός ἐστιν τοῦ λυμαινομένου ἑαυτόν.
10 [10]ἐκ μεγαλωσύνης ἰσχύος ὄνομα Κυρίου,
αὐτῷ δὲ προσδραμόντες δίκαιοι ὑψοῦνται.
11 [11]ὕπαρξις πλουσίου ἀνδρὸς πόλις ὀχυρά,
[§]ἡ δὲ δόξα αὐτῆς μέγα ἐπισκιάζει. § C
12 [12]πρὸ συντριβῆς ὑψοῦται καρδία ἀνδρός,
καὶ πρὸ δόξης ταπεινοῦται.
13 [13]ὃς ἀποκρίνεται λόγον πρὶν ἀκοῦσαι,
ἀφροσύνη αὐτῷ ἐστιν καὶ ὄνειδος.
14 [14]θυμὸν ἀνδρὸς πραΰνει θεράπων φρόνιμος,
ὀλιγόψυχον δὲ ἄνδρα τίς ὑποίσει;
15 [15]καρδία φρονίμου κτᾶται αἴσθησιν,
ὦτα δὲ σοφῶν ζητεῖ ἔννοιαν.
16 [16]δόμα ἀνθρώπου ἐμπλατύνει αὐτόν,
καὶ παρὰ δυνάσταις καθιζάνει αὐτόν.
17 [17]δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ·
ὡς δ' ἂν ἐπιβάλῃ ὁ ἀντίδικος, ἐλέγχεται.
18 [18]ἀντιλογίας παύει σιγηρός,
ἐν δὲ δυναστείαις ὁρίζει.

4 αναπηδυει BℵA **6** αυτον] αυτα A | θρασυν A **8** ανδρογυναιων ℵAC ℵ* (-γυνων ℵ$^{c.a}$) **9** αυτον] εαυτον ℵ$^{c.a}$A **10** Κυριου] κω̄ ℵ* (κυ ℵ$^{c.a}$) | om δε ℵ* (hab ℵ$^{c.a}$) | προσδραμουντες ℵ* (-μοντες ℵ$^{?}$) **11** υπαρξεις A | μεγα] μεγαλα ℵ$^{c.a}$ | επισκιαζει] επισκειασει A **13** αυτω bis scr A | εστι C **14** υποισει] οιποισει ℵ* (υπ. ℵ$^{c.a}$) **16** ενπλατυνει ℵ (-νι) AC **18** σιγηρος] adpinx κληρος ℵ$^{c.a\ mg}$ | δυναστιαις ℵ δυνασταις AC

B [19]ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρὰ καὶ ὑψηλή, 19
ἰσχύει δὲ ὥσπερ τεθεμελιωμένον βασίλειον.
[20]ἀπὸ καρπῶν στόματος ἀνὴρ πίμπλησιν κοιλίαν αὐτοῦ, 20
ἀπὸ δὲ καρπῶν χειλέων αὐτοῦ ἐμπλησθήσεται.
[21]θάνατος καὶ ζωὴ ἐν χειρὶ γλώσσης, 21
οἱ δὲ κρατοῦντες αὐτῆς ἔδονται τοὺς καρποὺς αὐτῆς.
[22]ὃς εὗρεν γυναῖκα ἀγαθὴν εὗρεν χάριτας, 22
ἔλαβεν δὲ παρὰ θεοῦ ἱλαρότητα·
[22a]ὃς ἐκβάλλει γυναῖκα ἀγαθὴν ἐκβάλλει τὰ ἀγαθά, 22a
ὁ δὲ κατέχων μοιχαλίδα ἄφρων καὶ ἀσεβής.
[23]ἀφροσύνη ἀνδρὸς λυμαίνεται τὰς ὁδοὺς αὐτοῦ, 23 (3) (XIX)
τὸν δὲ θεὸν αἰτιᾶται τῇ καρδίᾳ αὐτοῦ.
[1]πλοῦτος προστίθησιν φίλους πολλούς, 1 (4) XIX
ὁ δὲ πτωχὸς καὶ ἀπὸ τοῦ ὑπάρχοντος φίλου λείπεται.
[2]μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται, 2 (5)
ὁ δὲ ἐγκαλῶν ἀδίκως οὐ διαφεύξεται.
[3]πολλοὶ θεραπεύουσιν πρόσωπα βασιλέων, 3 (6)
πᾶς δὲ ὁ κακὸς γίνεται ὄνειδος ἀνδρί.
[4]πᾶς ὃς ἀδελφὸν πτωχὸν μισεῖ, καὶ φιλίας μακρὰν ἔσται· 4 (7)
ἔννοια ἀγαθὴ τοῖς εἰδόσιν αὐτὴν ἐγγιεῖ,
ἀνὴρ δὲ φρόνιμος εὑρήσει αὐτήν.
ὁ πολλὰ κακοποιῶν τελεσιουργεῖ κακίαν,
ὃς δὲ ἐρεθίζει λόγους οὐ σωθήσεται.
[5]ὁ κτώμενος φρόνησιν ἀγαπᾷ ἑαυτόν, 5 (8)
ὃς δὲ φυλάσσει φρόνησιν εὑρήσει ἀγαθά.
[6]μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται, 6 (9)
ὃς δ' ἂν ἐκκαύσῃ κακίαν ἀπολεῖται ὑπ' αὐτῆς.
[7]οὐ συμφέρει ἄφρονι τρυφή, 7 (10)
καὶ ἐὰν οἰκέτης ἄρξηται μεθ' ὕβρεως δυναστεύειν.
[8]ἐλεήμων ἀνὴρ μακροθυμεῖ, 8 (11)
τὸ δὲ καύχημα αὐτοῦ ἐπέρχεται παρανόμοις.

ℵAC **20** καρπων 1°] καρπου AC | πιμπλησει A πιμπλησι C | εμπλησθησεται] πλησθησεται ℵ **21** θανατος και ζωη] θανατος ζωης A **22** δε] τε C^{vid} (ε tantum superest) | θεου] κυ ℵ$^{c.a}$A **22a** τα αγαθα] om τα C **23** λοιμαινεται B* (λυμ. B^{ab}ℵA[? C]) XIX **1—6** πλουτος...ατιμωρητος] plurima perier in C **1** προστιθησι ℵ προστιθησει A **2** δε] δ ℵC **3** πολλοι]+δε ℵ* (om ℵ$^{c.a}$) | θεραπευουσι C | ο κακος] om ο B^{b}ℵ$^{c.a}$A | ονειδος] αδικος A **4** μισει] ποιει ℵ* (μισ. ℵ$^{c.a}$) | ιδοσιν A | ο]+μεν C | om πολλα C | τελεσιουρει A* (·ργει A$^{a?}$) | σωθησεται] σωζεται C **6** απολειται] απολιπεται ℵ* (απολιται ℵ$^{c.a}$)

(12) 9 [9]βασιλέως ἀπειλὴ ὁμοία βρυγμῷ λέοντος, B
ὥσπερ δὲ δρόσος ἐπὶ χόρτῳ, οὕτως τὸ ἱλαρὸν αὐτοῦ.
(13) 10 [10]αἰσχύνη πατρὶ υἱὸς ἄφρων·
οὐχ ἁγναὶ εὐχαὶ ἀπὸ μισθώματος ἑταίρας.
(14) 11 [11]οἶκον καὶ ὕπαρξιν μερίζουσιν πατέρες παισίν,
παρὰ δὲ θεοῦ ἁρμόζεται γυνὴ ἀνδρί.
(15) 12 [12]δειλία κατέχει ἀνδρογύναιον,
ψυχὴ δὲ ἀεργοῦ πεινάσει.
(16) 13 [13]ὃς φυλάσσει ἐντολὴν τηρεῖ τὴν ἑαυτοῦ ψυχήν,
ὁ δὲ καταφρονῶν τῶν ἑαυτοῦ ὁδῶν ἀπολεῖται.
(17) 14 [14]δανίζει θεῷ ὁ ἐλεῶν πτωχόν,
κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδοθήσεται αὐτῷ.
(18) 15 [15]παίδευε υἱόν σου, οὕτως γὰρ ἔσται εὔελπις,
εἰς δὲ ὕβριν μὴ ἐπαίρου τῇ ψυχῇ σου.
(19) 16 [16]κακόφρων ἀνὴρ ζημιωθήσεται·
ἐὰν δὲ λοιμεύηται, καὶ τὴν ψυχὴν αὐτοῦ προσθήσει.

(20) 17 [17]Ἄκουε, υἱέ, παιδείαν πατρός σου,
ἵνα σοφὸς γένῃ ἐπ᾽ ἐσχάτων σου.
(21) 18 [18]πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρός,
ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει.
(22) 19 [19]καρπὸς ἀνδρὶ ἐλεημοσύνη,
κρείσσων δὲ πτωχὸς δίκαιος ἢ πλούσιος ψευδής.
(23) 20 [20]φόβος Κυρίου εἰς ζωὴν ἀνδρί,
ὁ δὲ ἄφοβος αὐλισθήσεται ἐν τόποις οὗ οὐκ ἐπισκοπεῖται
γνῶσις.
(24) 21 [21]ὁ ἐγκρύπτων εἰς τὸν κόλπον αὐτοῦ χεῖρας ἀδίκως,
οὐδὲ τῷ στόματι οὐ μὴ προσενέγκῃ αὐτάς.
(25) 22 [22]λοιμοῦ μαστιγουμένου ἄφρων πανουργότερος γίνεται·
ἐὰν δὲ ἐλέγχῃς ἄνδρα φρόνιμον, νοήσει αἴσθησιν.

10 αφρων]+· και οδυνη τη τεκουση αυτον· A | ουχ] pr ῆ ℵ$^{c.a}$ και ουκ C ℵAC. **11** μεριουσιν AC | θεου] κῦ AC | αρμοζεται] συνοικει B$^{a\,mg}$ **12** ανδρογυναιον] ανδρογυνον ℵ$^{c.a}$AC **13** τηρει] inter η et ρ est ras in C **14** δανειζει B^{ab}C | κατα] α 2° sup ras A$^{a?}$ | ανταποδοθησεται (-δωθησεται B*)] ανταποδωσει B^{ab}ℵAC **16** κακοφρων] κακοφρονων C | ζημιωθησεται] pr πολλα AC **17** παιδιαν ℵA | εσχατω ℵ* (-των ℵ$^{c.a}$) **18—19** καρδια... ψευδης] plurima perier in C **18** εις τον αιωνα μενει B*AC] μενει εις τον αιωνα B$^{?}$ℵ **19** δικαιος η πλουσιος] καιος η πλου sup ras A^{a} | ψευδης BℵC^{vid}] ψευστης ℵ$^{c.a}$A **20** ου] οις ℵ$^{c.a}$ **21** εγκρυπτων ℵ εκκρυπτων C | προσενεγκη] προσαγαγη B^{b}ℵAC **22** γινεται] εσται A | ελεγχης] ελεγξης C

B ²³ὁ ἀτιμάζων πατέρα καὶ ἀπωθούμενος μητέρα αὐτοῦ 23 (26)
¶C καταισχυνθήσεται καὶ ἐπονείδιστος ἔσται.¶
²⁴υἱὸς ἀπολειπόμενος φυλάξαι παιδείαν πατρὸς 24 (27)
μελετήσει ῥήσεις κακάς.
²⁵ὁ ἐγγυώμενος παῖδα ἄφρονα καθυβρίζει δικαίωμα, 25 (28)
στόμα δὲ ἀσεβῶν καταπίεται κρίσεις.
²⁶ἑτοιμάζονται ἀκολάστοις μάστιγες, 26 (29)
καὶ τιμωρίαι ὁμοίως ἄφροσιν.
¹ἀκόλαστον οἶνος καὶ ὑβριστικὸν μέθη, 1 XX
πᾶς δὲ ἄφρων τοιούτοις συμπλέκεται.
²οὐ διαφέρει ἀπειλὴ βασιλέως θυμοῦ λέοντος, 2
ὁ δὲ παροξύνων αὐτὸν ἁμαρτάνει εἰς τὴν ἑαυτοῦ ψυχήν.
³δόξα ἀνδρὶ ἀποστρέφεσθαι λοιδορίας, 3
πᾶς δὲ ἄφρων τοιούτοις συμπλέκεται.
⁴ὀνειδιζόμενος ὀκνηρὸς οὐκ αἰσχύνεται, 4
ὡσαύτως καὶ ὁ δανιζόμενος σῖτον ἐν ἀμήτῳ.
⁵ὕδωρ βαθὺ βουλὴ ἐν καρδίᾳ ἀνδρός, 5
ἀνὴρ δὲ φρόνιμος ἐξαντλήσει αὐτήν.
⁶μέγα ἄνθρωπος καὶ τίμιον ἀνὴρ ἐλεήμων, 6
ἄνδρα δὲ πιστὸν ἔργον εὑρεῖν.
⁷ὃς ἀναστρέφεται ἄμωμος ἐν δικαιοσύνῃ, 7
μακαρίους τοὺς παῖδας αὐτοῦ καταλείψει.
⁸ὅταν βασιλεὺς δίκαιος καθίσῃ ἐπὶ θρόνου, 8
οὐκ ἐναντιοῦται ἐν ὀφθαλμοῖς αὐτοῦ πᾶν πονηρόν.
⁹τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; 9
ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν;
¹⁰κακολογοῦντος πατέρα ἢ μητέρα σβεσθήσεται λαμπτήρ, 10 (20)
αἱ δὲ κόραι τῶν ὀφθαλμῶν αὐτοῦ ὄψονται σκότος.
¹¹μερὶς ἐπισπουδαζομένη ἐν πρώτοις 11 (21)
ἐν τοῖς τελευταίοις οὐκ εὐλογηθήσεται.
¹²μὴ εἴπῃς Τίσομαι τὸν ἐχθρόν· 12 (22)
ἀλλὰ ὑπόμεινον τὸν κύριον, ἵνα σοι βοηθήσῃ.

ℵA **21** απολιπομενος ℵ | παιδιαν ℵA **25** κρισις ℵA **26** ακολαστοι ℵ* (-τοις ℵc.a) XX **1** μεθη] + πας δε ο συμμιγνυμενος αυτη ουκ εσται σοφος ℵc.a + πας δε ο συμμενομενος ουκ εστ, σοφος A | τοιουτος ℵ* (-τοις ℵ1 (vid)) **2** αυτον] εαυτον A **4** ουκ αισχυνεται] ου καταισχυνεται ℵ | δανειζομενος Bab ℵ **8** καθιση βασιλευς δικαιος A **9** την καρδιαν] om την ℵ* (hab την ℵc.a) **10** οψονται] εσονται ℵ **12** αλλα] αλλ ℵ

(10) 13 [13]στάθμιον μέγα καὶ μικρὸν καὶ μέτρα δισσά, B
ἀκάθαρτα ἐνώπιον Κυρίου καὶ ἀμφότερα·
(11) 14 [14]καὶ ὁ ποιῶν αὐτὰ ἐν τοῖς ἐπιτηδεύμασιν αὐτοῦ συνποδισθήσεται,
νεανίσκος μετὰ ὁσίου· καὶ εὐθεῖα ἡ ὁδὸς αὐτοῦ.
(12) 15 [15]οὖς ἀκούει καὶ ὀφθαλμὸς ὁρᾷ· Κυρίου ἔργα καὶ ἀμφότερα.
(13) 16 [16]μὴ ἀγάπα καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς·
διάνοιξον τοὺς ὀφθαλμούς σου καὶ ἐμπλήσθητι ἄρτων.
(23) 17 [17]βδέλυγμα Κυρίῳ δισσὸν στάθμιον,
καὶ ζυγὸς δόλιος οὐ καλὸν ἐνώπιον αὐτοῦ.
(24) 18 [18]παρὰ Κυρίου εὐθύνεται τὰ διαβήματα ἀνδρί,
θνητὸς δὲ πῶς ἂν νοήσαι τὰς ὁδοὺς αὐτοῦ;
(25) 19 [19]παγὶς ἀνδρὶ ταχύ τι τῶν ἰδίων ἁγιάσαι,
μετὰ γὰρ τὸ εὔξασθαι μετανοεῖν γίνεται.
(26) 20 [20]λικμήτωρ ἀσεβῶν βασιλεὺς σοφός,
καὶ ἐπιβαλεῖ αὐτοῖς τροχόν.
(27) 21 [21]φῶς Κυρίου πνοὴ ἀνθρώπων,
ὃς ἐραυνᾷ ταμεῖα κοιλίας.
(28) 22 [22]ἐλεημοσύνη καὶ ἀλήθεια φυλακὴ βασιλεῖ,
καὶ περικυκλώσουσιν ἐν δικαιοσύνῃ τὸν θρόνον αὐτοῦ.
(29) 23 [23]κόσμος νεανίαις σοφία,
δόξα δὲ πρεσβυτέρων πολιαί.
(30) 24 [24]ὑπώπια καὶ συντρίμματα συναντᾷ κακοῖς,
πληγαὶ δὲ εἰς ταμεῖα κοιλίας.

XXI 1 [1]ὥσπερ ὁρμὴ ὕδατος, οὕτως καρδία βασιλέως ἐν χειρὶ θεοῦ·
οὗ ἐὰν θέλων νεῦσαι, ἐκεῖ ἔκλινεν αὐτήν.
2 [2]πᾶς ἀνὴρ φαίνεται ἑαυτῷ δίκαιος,
κατευθύνει δὲ καρδίας Κύριος.
3 [3]ποιεῖν δίκαια καὶ ἀληθεύειν
ἀρεστὰ παρὰ θεῷ μᾶλλον ἢ θυσιῶν αἷμα.
4 [4]μεγαλόφρων ἐφ' ὕβρει θρασυκάρδιος·
λαμπτὴρ δὲ ἀσεβῶν ἁμαρτία.

13 om *και* 3° ℵ **14** *συμποδισθησεται* B^{b}ℵA **16** *διανοιξον*] + *δε* ℵA ℵΛ | *αρτων*] *αυτων* ℵ* (*αρτ.* ℵ$^{c.a}$) **18** *τα διαβηματα*] om *τα* A | *δε*] *ε* inst ℵ$^{?}$ **19** *αγιασαι*] prius *απαται* ℵ* **21** *ος*] pr *η λυχνος* A | *ερευνα* B^{ab}ℵA | *ταμεια* B^{ab} (*ταμια* Bℵ*)] *ταμεια* A **24** *ταμεια* $B^{a(vid)}$ b (*ταμια* B*ℵ)] *ταμεια* A pr *τα* ℵ* (om *τα* ℵ$^{c.a}$) XXI **1** *εαν*] *δ αν* ℵA | *νευση* ℵ$^{c.a}$A | om *εκει* A **4** *αμαρτιαι* ℵ$^{c.a}$A

B [6]ὁ ἐνεργῶν θησαυρίσματα γλώσσῃ ψευδεῖ 6
μάταια διώκει ἐπὶ παγίδας θανάτου.
[7]ὄλεθρος ἀσεβέσιν ἐπιξενωθήσεται, 7
οὐ γὰρ βούλονται πράσσειν τὰ δίκαια.
[8]πρὸς τοὺς σκολιοὺς σκολιὰς ὁδοὺς ἀποστέλλει ὁ θεός, 8
ἁγνὰ γὰρ καὶ ὀρθὰ τὰ ἔργα αὐτοῦ.
[9]κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας ὑπαίθρου 9
ἢ ἐν κεκονιαμένοις μετὰ ἀδικίας καὶ ἐν οἴκῳ κοινῷ.
[10]ψυχὴ ἀσεβοῦς οὐκ ἐλεηθήσεται ὑπ' οὐδενὸς τῶν ἀνθρώπων. 10
[11]ζημιουμένου ἀκολάστου πανουργότερος γίνεται ὁ κακός, 11
συνίων δὲ σοφὸς δέξεται γνῶσιν.
[12]συνίει δίκαιος καρδίας ἀσεβῶν 12
καὶ φαυλίζει ἀσεβεῖς ἐν κακοῖς.
[13]ὃς φράσσει τὰ ὦτα τοῦ μὴ ἐπακοῦσαι ἀσθενοῦς, 13
καὶ αὐτὸς ἐπικαλέσεται καὶ οὐκ ἔσται ὁ εἰσακούων.
[14]δόσις λάθριος ἀνατρέπει ὀργάς, 14
δῶρον δὲ ὁ φειδόμενος θυμὸν ἐγείρει ἰσχυρόν.
[15]εὐφροσύνη δικαίων ποιεῖ κρίμα, 15
ὅσιος δὲ ἀκάθαρτος παρὰ κακούργοις.
[16]ἀνὴρ πλανώμενος ἐξ ὁδοῦ δικαιοσύνης 16
ἐν συναγωγῇ γιγάντων ἀναπαύσεται.
[17]ἀνὴρ ἐνδεὴς ἀγαπᾷ εὐφροσύνην, 17
φιλῶν οἶνον καὶ ἔλαιον εἰς πλοῦτον·
[18]περικάθαρμα δὲ δικαίου ἄνομος. 18
[19]κρεῖσσον οἰκεῖν ἐν τῇ ἐρήμῳ 19
ἢ μετὰ γυναικὸς γλωσσώδους καὶ μαχίμου καὶ ὀργίλου.
[20]θησαυρὸς ἐπιθυμητὸς ἀναπαύσεται ἐπὶ στόματος σοφοῦ, 20
ἄφρονες δὲ ἄνδρες καταπίονται αὐτόν.
[21]ὁδὸς δικαιοσύνης καὶ ἐλεημοσύνης εὑρήσει ζωὴν καὶ δόξαν. 21
[22]πόλεις ὀχυρὰς ἐπέβη σοφὸς 22
καὶ καθεῖλεν τὸ ὀχύρωμα ἐφ' ᾧ ἐπεποίθεισαν οἱ ἀσεβεῖς.
[23]ὃς φυλάσσει τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶσσαν, 23
διατηρεῖ ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ.

ℵA **6** διωκει] + και ερχεται ℵ$^{c.a}$A **8** αποστελει A **9** κρεισσον] κρισσων A | επι] εν ℵ* (επι ℵ$^{c.a}$) | η εν] η ε sup ras A^{a} | οικω] κοινω ℵ* (οικ. ℵ$^{c.a}$) | κοινω] + μετα γυναικος μαχημης (sic) B^{c} **11** κακος] ακακος B^{ab}ℵA **13** ωτα] + αυτου A | υπακουσαι A | εισακουων] επακουων ℵ **15** δικαιω ℵ* (-ων ℵ$^{c.a}$) | ποιειν ℵA **17** φιλον ℵ* (-λων ℵ$^{c.a}$) | ελαιον] ελεον A **19** κρεισσων B (κρισσον ℵA) | μαχιμου κ. γλωσσωδους ℵA | οργιλους ℵ* (-λου ℵ^{2}) **22** πολις A

24 [24]θρασὺς καὶ αὐθάδης καὶ ἀλαζὼν λοιμὸς καλεῖται, B
ὃς δὲ μνησικακεῖ παράνομος.
25 [25]ἐπιθυμίαι ὀκνηρὸν ἀποκτείνουσιν,
οὐ γὰρ προαιροῦνται αἱ χεῖρες αὐτοῦ ποιεῖν τι.
26 [26]ἀσεβὴς ἐπιθυμεῖ ὅλην τὴν ἡμέραν ἐπιθυμίας κακάς,
ὁ δὲ δίκαιος ἐλεᾷ καὶ οἰκτείρει ἀφειδῶς.
27 [27]θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίῳ,
καὶ γὰρ παρανόμως προσφέρουσιν αὐτάς.
28 [28]μάρτυς ψευδὴς ἀπολεῖται,
ἀνὴρ δὲ ὑπήκοος φυλασσόμενος λαλήσει.
29 [29]ἀσεβὴς ἀνὴρ ἀναιδῶς ὑφίσταται προσώπῳ,
ὁ δὲ εὐθὴς αὐτὸς συνίει τὰς ὁδοὺς αὐτοῦ.
30 [30]οὐκ ἔστιν σοφία, οὐκ ἔστιν ἀνδρία,
οὐκ ἔστιν βουλὴ πρὸς τὸν ἀσεβῆ.
31 [31]ἵππος ἑτοιμάζεται εἰς ἡμέραν πολέμου,
παρὰ δὲ Κυρίου ἡ βοήθεια.
XXII 1 [1]αἱρετώτερον ὄνομα καλὸν ἢ πλοῦτος πολύς·
ὑπὲρ δὲ ἀργύριον καὶ χρυσίον χάρις ἀγαθή.
2 [2]πλούσιος καὶ πτωχὸς συνήντησαν ἀλλήλοις,
ἀμφοτέρους δὲ ὁ κύριος ἐποίησεν.
3 [3]πανοῦργος ἰδὼν πονηρὸν τιμωρούμενον
κραταιῶς αὐτὸς παιδεύεται,
οἱ δὲ ἄφρονες παρελθόντες ἐζημιώθησαν.
4 [4]γενεὰ σοφίας φόβος Κυρίου
καὶ πλοῦτος καὶ δόξα καὶ ζωή.
5 [5]τρίβολοι καὶ παγίδες ἐν ὁδοῖς σκολιαῖς,
ὁ δὲ φυλάσσων τὴν ἑαυτοῦ ψυχὴν ἀφέξεται αὐτῶν.
7 [7]πλούσιοι πτωχῶν ἄρξουσιν,
καὶ οἰκέται ἰδίοις δεσπόταις δανιοῦσιν.
8 [8]ὁ σπείρων φαῦλα θερίσει κακά,
πληγὴν δὲ ἔργων αὐτοῦ συντελέσει.
8a [8a]ἄνδρα ἱλαρὸν καὶ δότην εὐλογεῖ ὁ θεός,
ματαιότητα δὲ ἔργων αὐτοῦ συντελέσει.
9 [9]ὁ ἐλεῶν πτωχὸν αὐτὸς διατραφήσεται,

25 *οκνηρον*] *οκνηρουσιν* ℵ* (*-ρον* ℵ²) | *αποκτεννουσιν* ℵ$^{c.a}$ *αποκτενουσιν* Λ 𝔑A
26 *ημεραν*] *ν* sup ras ℵ² | *ελεει* B^{ab} XXII **1** *χρυσιον κ. αργυριον* ℵ
2 *συνητησαν* Λ **3** *παρελθοντες*] inter *ρ* et *ε* ins *ο* ℵ* (om ℵ¹ postea ras ℵ²) **7** *δανειουσιν* B$^{a\,(vid)\,b}$ **9** *διαστραφησεται* Λ

B τῶν γὰρ ἑαυτοῦ ἄρτων ἔδωκεν τῷ πτωχῷ.
9a νίκην καὶ τιμὴν περιποιεῖται ὁ δῶρα δούς, 9a
τὴν μέντοι ψυχὴν ἀφαιρεῖται τῶν κεκτημένων.
10 ἔκβαλε ἐκ συνεδρίου λοιμόν, καὶ συνεξελεύσεται αὐτῷ νεῖκος· 10
ὅταν γὰρ καθίσῃ ἐν συνεδρίῳ πάντας ἀτιμάζει.
11 ἀγαπᾷ Κύριος ὁσίας καρδίας, 11
δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι·
χείλεσιν ποιμαίνει βασιλεύς.
12 οἱ δὲ ὀφθαλμοὶ Κυρίου διατηροῦσιν αἴσθησιν, 12
φαυλίζει δὲ λόγους παράνομος.
13 προφασίζεται καὶ λέγει ὀκνηρός 13
Λέων ἐν ταῖς ὁδοῖς, ἐν δὲ ταῖς πλατείαις φονευταί.
14 βόθρος βαθὺς στόμα παρανόμου, 14
ὁ δὲ μισηθεὶς ὑπὸ Κυρίου ἐμπεσεῖται εἰς αὐτόν.
14a εἰσὶν ὁδοὶ κακαὶ ἐνώπιον ἀνδρός, 14a
καὶ οὐκ ἀγαπᾷ τοῦ ἀποστρέψαι ἀπ᾽ αὐτῶν·
ἀποστρέφειν δὲ δεῖ ἀπὸ ὁδοῦ σκολιὰς καὶ κακῆς.
15 ἄνοια ἐξῆπται καρδίας νέου, 15
ῥάβδος δὲ καὶ παιδία μακρὰν ἀπ᾽ αὐτοῦ.
16 ὁ συκοφαντῶν πένητα πολλὰ ποιεῖ τὰ ἑαυτοῦ· 16
δίδωσιν δὲ πλουσίῳ ἐπ᾽ ἐλάσσονι.

17 Λόγοις σοφῶν παράβαλλε σὸν οὖς καὶ ἄκουε ἐμὸν λόγον, 17
§ C 5 τὴν δὲ σὴν καρδίαν ἐπίστησον, ἵνα γνῷς ὅτι καλοί εἰσιν.
18 καὶ ἐὰν ἐμβάλῃς αὐτοὺς εἰς τὴν καρδίαν σου, εὐφρανοῦσίν σε 18
ἅμα ἐπὶ σοῖς χείλεσιν·
19 ἵνα σου γένηται ἐπὶ Κύριον ἡ ἐλπίς, 19
καὶ γνωρίσῃ σοι τὴν ὁδόν σου.
20 καὶ σὺ δὲ ἀπόγραψαι αὐτὰ σεαυτῷ τρισσῶς 20
εἰς βουλὴν καὶ γνῶσιν ἐπὶ τὸ πλάτος τῆς ψυχῆς σου.
21 διδάσκω οὖν σε ἀληθῆ λόγον καὶ γνῶσιν ἀγαθὴν ὑπακούειν, 21

ℵAC 9 εδωκεν] δεδωκεν A 9a δους] διδους A 12 διατηρησουσιν A 13 οκνηρος κ. λεγει ℵ 14a ανδρος] pr π ℵ* (om π ℵ¹) 15 καρδιας] καρδια B^{ab}ℵ* (pr εν $ℵ^{c.a}$) A | παιδεια B^{ab} 16 εαυτου]+κακα $ℵ^{c.a}$A 17 παραβαλε $ℵ^{c.a}$A | γνως] γνοις ℵ* (γνως $ℵ^{c.a}$)+αυτους ℵ | εισι C 18 om εαν ℵ | ευφρανουσιν] ευφραινουσιν C pr ϰ $ℵ^{c.a}$ 19 γνωρισοι ℵ* (γνωρισῃ σοι $ℵ^{c.a}$) | σου 2°] αυτου ℵAC 20 om δε C | ψυχης] καρδιας AC 21 διδασκων C | αγαθην] αληθη A | υπακουειν] εἰ inst $ℵ^{c.c}$

τοῦ ἀποκρίνεσθαι λόγους ἀληθείας τοῖς προβαλλομένοις σοι. B

22 [22]μὴ ἀποβιάζου πένητα, πτωχὸς γάρ ἐστιν,
καὶ μὴ ἀτιμάσῃς ἀσθενῆ ἐν πύλαις.
23 [23]ὁ γὰρ Κύριος κρινεῖ αὐτοῦ τὴν κρίσιν, καὶ ῥύσῃ σὴν ἄσυλον
ψυχήν.
24 [24]μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει,
φίλῳ δὲ ὀργίλῳ μὴ συναυλίζου,
25 [25]μή ποτε μάθῃς τῶν ὁδῶν αὐτοῦ καὶ λάβῃς βρόχους τῇ σῇ
ψυχῇ.
26 [26]μὴ δίδου σεαυτὸν εἰς ἐγγύην, αἰσχυνόμενος πρόσωπον·
27 [27]ἐὰν γὰρ μὴ ἔχῃ πόθεν ἀποτίσῃ,
λήμψονται τὸ στρῶμα τὸ ὑπὸ τὰς πλευράς σου.
28 [28]μὴ μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο οἱ πατέρες σου.
29 [29]ὁρατικὸν ἄνδρα καὶ ὀξὺν ἐν τοῖς ἔργοις αὐτοῦ
βασιλεῦσι δεῖ παρεστάναι,
καὶ μὴ παρεστάναι ἀνδράσι νωθροῖς.

XXIII 1 [1]ἐὰν καθίσῃς δειπνεῖν ἐπὶ τραπέζης δυναστῶν,
2 νοητῶς νόει τὰ παρατιθέμενά σοι, [2]καὶ ἐπίβαλλε τὴν χεῖρά
σου,
εἰδὼς ὅτι τοιαῦτά σε δεῖ παρασκευάσαι.
3 εἰ δὲ ἁπληστότερος εἶ, [3]μὴ ἐπιθύμει τῶν ἐδεσμάτων αὐτοῦ·
ταῦτα γὰρ ἔχεται ζωῆς ψευδοῦς.
4 [4]μὴ παρεκτείνου πένης ὢν πλουσίῳ,
τῇ δὲ σῇ ἐννοίᾳ ἀπόσχου.
5 [5]ἐὰν ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτόν, οὐδαμοῦ πεσεῖται·
κατεσκεύασται γὰρ αὐτῷ πτέρυγες ὥσπερ ἀετοῦ,
καὶ ὑποστρέφει εἰς τὸν οἶκον τοῦ προεστηκότος αὐτοῦ.
6 [6]μὴ συνδείπνει ἀνδρὶ βασκάνῳ, μηδὲ ἐπιθύμει τῶν βρωμάτων
αὐτοῦ·
7 [7]ὃν τρόπον γὰρ εἴ τις καταπίοι τρίχα,
οὕτως ἐσθίει καὶ πίνει.

21 αποκρινασθαι A +σε AC | λογους] λογον ℵ λογοις A | αληθιαν ℵ* ℵAC (αληθιας ℵc.a) | σοι] σε A **22** om γαρ C **23** om Κυριος ℵ* (hab ℵc.a) | αυτου] εαυτου A | κρισιν] ψυχην ℵ* (κρ. ℵc.a) δικην A | ψυχην ασυλον ℵ **27** εχῃς AC | αποτεισῃς ℵc.a αποτισῃς ACtxt (-σεις Capp) | ληψονται C | πλερας C* vid (υ superscr C?) **29** βασιλευσιν ℵ | παραστηναι bis C παρισταναι (2°) A | ανδρασιν ℵ XXIII **1** δυναστου AC **2** την χειρα] τας χειρας C **3** επιθυμη C **4** παρεκτεινου (-τινου ℵc.aAC)] παρεκτινῃς ℵ* **5** προς] επ ℵ* (προς ℵc.a) | πεσειται] φανιται ℵc.a φανειται AC | πτερυγας ℵ* (-γαις ℵc.a) | αυτου] αυτον C **6** βρωματων] εδεσματων C

B μηδὲ πρὸς σὲ εἰσαγάγῃς αὐτὸν καὶ φάγῃς τὸν ψωμόν σου
μετ᾽ αὐτοῦ·
[8]ἐξεμέσει γὰρ αὐτὸν καὶ λυμανεῖται τοὺς λόγους σου τοὺς 8
καλούς.
[9]εἰς ὦτα ἄφρονος μηδὲν λέγε, 9
μή ποτε μυκτηρίσῃ τοὺς συνετοὺς λόγους σου.
[10]μὴ μεταθῇς ὅρια αἰώνια, 10
εἰς δὲ κτῆμα ὀρφανῶν μὴ εἰσέλθῃς·
[11]ὁ γὰρ λυτρούμενος αὐτοὺς Κύριος· 11
κραταιός ἐστιν, καὶ κρινεῖ τὴν κρίσιν αὐτῶν μετὰ σοῦ.
[12]δὸς εἰς παιδείαν τὴν καρδίαν σου, 12
τὰ δὲ ὦτά σου ἑτοίμασον λόγοις αἰσθήσεως.
[13]μὴ ἀπόσχῃ νήπιον παιδεύειν, 13
ὅτι ἐὰν πατάξῃς αὐτὸν ῥάβδῳ, οὐ μὴ ἀποθάνῃ·
[14]σὺ μὲν γὰρ πατάξεις αὐτὸν ῥάβδῳ, 14
τὴν δὲ ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥύσῃ.
[15]υἱέ, ἐὰν σοφὴ γένηταί σου ἡ καρδία, 15
εὐφρανεῖς καὶ τὴν ἐμὴν καρδίαν,
[16]καὶ ἐνδιατρίψει λόγοις τὰ σὰ χείλη πρὸς τὰ ἐμὰ χείλη, ἐὰν 16
ὀρθὰ ὦσιν.
[17]μὴ ζηλούτω ἡ καρδία σου ἁμαρτωλούς, 17
ἀλλὰ ἐν φόβῳ Κυρίου ἴσθι ὅλην τὴν ἡμέραν.
[18]ἐὰν γὰρ τηρήσῃς αὐτά, ἔσται σοι ἔκγονα, 18
ἡ δὲ ἐλπίς σου οὐκ ἀποστήσεται.
[19]ἄκουε, υἱέ, καὶ σοφὸς γενοῦ, 19
καὶ κατεύθυνε ἐννοίας σῆς καρδίας.
[20]μὴ ἴσθι οἰνοπότης, μηδὲ ἐκτείνου συμβολαῖς, κρεῶν ἀγορασμοῖς· 20
[21]πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτωχεύσει, 21
καὶ ἐνδύσεται διερρηγμένα καὶ ῥακώδη πᾶς ὑπνώδης.
[22]ἄκουε, υἱέ, πατρὸς τοῦ γεννήσαντός σε, 22
καὶ μὴ καταφρόνει ὅτι γεγήρακέν σου ἡ μήτηρ.

ℵAC **8** λοιμανειται B*C (λυμ. B^{b}ℵA) **9** μυκτηρισει C **10** αιωνια]+α εθεντο οι πατερες σου A **11** κραταιος εστιν c praec coniung AC **12** παιδιαν B*ℵA (-δειαν B^{ab}C) **13** παιδευων A **15** σοφος C **16** ενδιατριψη A **17** ζηλωτου B* (-λουτω B^{ab}) **18** εκγονα] εγγονα A **19** γενου] γειυου B^{a}ℵ γινου B^{b}AC | εννοιας] εννοιαν $ℵ^{c.a}$ **20** εκτειυου] εκλυου C | κρεων]+τε $ℵ^{c.a}$AC **21** πτωχευσει] pr και ℵ* (om και $ℵ^{1}$) πτωχευ.. (πτωχευει nisi potius πτωχευσι) C | ρακωδη] ρακκωδη $ℵ^{c.a}$ ρα... (cett perier usque fin lin) C

24 [24]καλῶς ἐκτρέφει πατὴρ δίκαιος, B
ἐπὶ δὲ υἱῷ σοφῷ εὐφραίνεται ἡ ψυχὴ αὐτοῦ.
25 [25]εὐφραινέσθω ὁ πατὴρ καὶ ἡ μήτηρ ἐπὶ σοί,
καὶ χαιρέτω ἡ τεκοῦσά σε.¶ ¶C
26 [26]δός μοι, υἱέ, σὴν καρδίαν·
οἱ δὲ σοὶ ὀφθαλμοὶ ἐμὰς ὁδοὺς τηρείτωσαν.
27 [27]πίθος γὰρ τετρημένος ἐστὶν ἀλλότριος οἶκος
καὶ φρέαρ στενὸν ἀλλότριον.
28 [28]οὗτος γὰρ συντόμως ἀπολεῖται,
καὶ πᾶς παράνομος ἀναλωθήσεται.
29 [29]τίνι οὐαί; τίνι θόρυβος; τίνι κρίσις;
τίνι δὲ ἀηδία καὶ λέσχαι;
τίνι συντρίμματα διὰ κενῆς;
τίνος πελιοὶ οἱ ὀφθαλμοί;
30 [30]οὐ τῶν ἐνχρονιζόντων ἐν οἴνοις;
οὐ τῶν ἰχνευόντων ποῦ πότοι γίνονται;
31 [31]μὴ μεθύσκεσθε ἐν οἴνοις, ἀλλὰ ὁμιλεῖτε ἀνθρώποις δικαίοις,
καὶ ὁμιλεῖτε ἐν περιπάτοις·
ἐὰν γὰρ εἰς τὰς φιάλας καὶ τὰ ποτήρια δῷς τοὺς ὀφθαλμούς
σου,
ὕστερον περιπατήσεις γυμνότερος ὑπέρου·
32 [32]τὸ δὲ ἔσχατον ὥσπερ ὑπὸ ὄφεως πεπληγὼς ἐκτείνεται,
καὶ ὥσπερ ὑπὸ κεράστου διαχεῖται αὐτῷ ὁ ἰός.
33 [33]οἱ ὀφθαλμοί σου ὅταν ἴδωσιν ἀλλοτρίαν,
τὸ στόμα σου τότε λαλήσει σκολιά,
34 [34]καὶ κατακείσῃ ὥσπερ ἐν καρδίᾳ θαλάσσης,
καὶ ὥσπερ κυβερνήτης ἐν πολλῷ κλύδωνι.
35 [35]ἐρεῖς δέ Τύπτουσίν με καὶ οὐκ ἐπόνεσα,
καὶ ἐνέπαιξάν μοι, ἐγὼ δὲ οὐκ ᾔδειν·
πότε ὄρθρος ἔσται, ἵνα ἐλθὼν ζητήσω μεθ' ὧν συνελεύσομαι;
XXIV 1 [1]υἱέ, μὴ ζηλώσῃς κακοὺς ἄνδρας,
μηδὲ ἐπιθυμήσῃς εἶναι μετ' αὐτῶν·

26 εμας] pr ο ℵ* (om ο ℵ[1]) 27 εστιν τετρημενος ℵ 28 ουτως A ℵA
29 om δε ℵ[c.a]A | αηδιαι ℵA | πελιοι ℵ* (πελειοι B* [vid]A)] πελιδνοι B[b?c?] (sup ras) μελανες B[a mg] et superius φλυαριαι (φλοιαριαι corr) ομιλιαι ενφιλονικοι ℵ[e] | οι οφθαλμοι] om οι A 30 εγχρονιζοντων B[ab] 31 εν οινοις] οινοις ℵ οινω A | τα ποτηρια] pr εις ℵA | γυμνοτερος] γυμνος ℵ* (-νοτερος ℵ[c.a]) | υπερου] υπεροης ℵ* (-ρου ℵ[c.a]) 32 αυτω] αυτου A 35 ορθρος] ορθος ℵ

B [2]ψευδῇ γὰρ μελετᾷ ἡ καρδία αὐτῶν, 2
καὶ πόνους τὰ χείλη αὐτῶν λαλεῖ.
[3]μετὰ σοφίας οἰκοδομεῖται οἶκος, 3
καὶ μετὰ συνέσεως ἀνορθοῦται·
[4]μετὰ αἰσθήσεως ἐμπίμπλανται ταμεῖα 4
ἐκ παντὸς πλούτου τιμίου καὶ καλοῦ.
[5]κρείσσων σοφὸς ἰσχυροῦ, 5
καὶ ἀνὴρ φρόνησιν ἔχων γεωργίου μεγάλου.
[6]μετὰ κυβερνήσεως γίνεται πόλεμος, 6
βοήθεια δὲ μετὰ καρδίας βουλευτικῆς.
[7]σοφία καὶ ἔννοια ἀγαθὴ ἐν πύλαις σοφῶν· 7
σοφοὶ οὐκ ἐκκλίνουσιν ἐκ στόματος Κυρίου,
[8]ἀλλὰ λογίζονται ἐν συνεδρίοις. 8
ἀπαιδεύτοις συναντᾷ θάνατος,
[9]ἀποθνήσκει δὲ ἄφρων ἐν ἁμαρτίαις. 9
ἀκαθαρσία δὲ ἀνδρὶ λοιμῷ ἐμμολυνθήσεται
[10]ἐν ἡμέρᾳ κακῇ καὶ ἐν ἡμέρᾳ θλίψεως ἕως ἂν ἐκλίπῃ. 10
[11]ῥῦσαι ἀγομένους εἰς θάνατον 11
καὶ ἐκπρίου κτεινομένους, μὴ φείσῃ.
[12]ἐὰν δὲ εἴπῃς Οὐκ οἶδα τοῦτον, 12
γίνωσκε ὅτι Κύριος καρδίας πάντων γινώσκει·
καὶ ὁ πλάσας πνοὴν πᾶσιν αὐτὸς οἶδεν πάντα,
ὃς ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.
[13]φάγε μέλι, υἱέ, ἀγαθὸν γὰρ κηρίον, 13
ἵνα γλυκανθῇ σου ὁ φάρυγξ.
[14]οὕτως αἰσθηθήσῃ σοφίαν τῇ σῇ ψυχῇ· 14
ἐὰν γὰρ εὕρῃς, ἔσται καλή ἡ τελευτή σου
καὶ ἐλπίς σε οὐκ ἐγκαταλείψει.
[15]μὴ προσαγάγῃς ἀσεβῆ νομῇ δικαίων, 15
μηδὲ ἀπατηθῇς χορτασίᾳ κοιλίας.
[16]ἑπτάκι γὰρ πεσεῖται δίκαιος καὶ ἀναστήσεται, 16
οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν κακοῖς.
[17]ἐὰν πέσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχαρῇς αὐτῷ, 17

ℵA XXIV **4** εμπιπλανται ℵ εμπιπλαται A | ταμεια B^{ab} (ταμια B^{*}ℵ)] ταμιεια A **6** βοηθει ℵ* (-θεια $ℵ^{c.a}$) **9** om δε 2° A | εν|μολυνθησεται ℵ **10** om εως ℵ* (hab $ℵ^{c.a}$) | εκλειπη A **11** εκπριω A **12** Κυριος] pr ο A **14** αισθηση ℵA | σοφιας A | τελευτη] τελ^{ευ}τη ras σου ut vid $ℵ^{1}$ **15** ασεβην ℵ | νομην B **16** επτακις A | δικαιος] pr ο A

ἐν δὲ τῷ ὑποσκελίσματι αὐτοῦ μὴ ἐπαίρου· B
18 [18]ὅτι ὄψεται Κύριος καὶ οὐκ ἀρέσει αὐτῷ,
καὶ ἀποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ᾽ αὐτοῦ.
19 [19]μὴ χαῖρε ἐπὶ κακοποιοῖς,
μηδὲ ζήλου ἁμαρτωλούς·
20 [20]οὐ γὰρ μὴ γένηται ἔκγονα πονηρῷ,
λαμπτὴρ δὲ ἀσεβῶν σβεσθήσεται.
21 [21]φοβοῦ τὸν θεόν, υἱέ, καὶ βασιλέα,
καὶ μηθετέρῳ αὐτῶν ἀπειθήσῃς·
22 [22]ἐξαίφνης γὰρ τίσονται τοὺς ἀσεβεῖς,
τὰς δὲ τιμωρίας ἀμφοτέρων τίς γνώσεται;
22a [22a]λόγον φυλασσόμενος υἱὸς ἀπωλείας ἐκτὸς ἔσται,
δεχόμενος δὲ ἐδέξατο αὐτόν.
22b [22b]μηδὲν ψεῦδος ἀπὸ γλώσσης βασιλεῖ λεγέσθω,
καὶ οὐδὲν ψεῦδος αὐτοῦ ἀπὸ γλώσσης μὴ ἐξέλθῃ.
22c [22c]μάχαιρα γλῶσσα βασιλέως καὶ οὐ σαρκίνη·
ὃς δ᾽ ἂν παραδοθῇ, συντριβήσεται.
22d [22d]ἐὰν γὰρ ὀξυνθῇ ὁ θυμὸς αὐτοῦ,
σὺν νεύροις ἀνθρώπους ἀναλίσκει,
22e [22e]καὶ ὀστᾶ ἀνθρώπων κατατρώγει,
καὶ συνκαίει ὥσπερ φλόξ,
§[§]ὥστε ἄβρωτα εἶναι νεοσσοῖς ἀετῶν. § C

XXX) (1) 24 [24]Τοὺς ἐμοὺς λόγους, υἱέ, φοβήθητι,
καὶ δεξάμενος αὐτοὺς μετανόει.
τάδε λέγει ὁ ἀνὴρ τοῖς πιστεύουσιν θεῷ, καὶ παύομαι.
(2) 25 [25]ἀφρονέστατος γάρ εἰμι πάντων ἀνθρώπων,
καὶ φρύνησις ἀνθρώπων οὐκ ἔστιν ἐν ἐμοί.
(3) 26 [26]θεὸς δεδίδαχέν με σοφίαν, καὶ γνῶσιν ἁγίων ἔγνωκα.
(4) 27 [27]τίς ἀνέβη εἰς τὸν οὐρανὸν καὶ κατέβη;

18 υποστρεψει ℵ* (αποστρ. ℵc.a) **19** κακοποιοις] κακοτητι ℵ* (-ποιοις ℵAC ℵc.a) **20** πονηρων ℵA **21** μηδετερω A **22a** λογον] asterisc adpinx A2mg **22b** βασιλει] βασιλεως A | om αυτου ℵA | γλωσσης]+αυτου ℵA | μη] pr ου ℵ **22d** συνευροις ℵ* (συν ν. ℵc.a) | ανθρωπους] ανοῡ A **22e** συνκαιει (συγκ. Ba?bA)] εκκαιει ℵ | ωστε] ως τα ℵ* (ωστε ℵc.a) **24** τους]+δε A | δεξαμενους ℵ* (-νος ℵc.a) | ταδε] τι δε ℵ* (ταδε ℵc.a) | παυσομαι ℵ* (παυομαι ℵc.a) **25** ανθρωπων 1°] pr των C | ανθρωπων 2°] ανοῡ AC **26** θεος] pr ο ℵC | δεδιδαχεν] εδιδαξεν ℵ | ἁγιων] ανων̄ A*vid

B τίς συνήγαγεν ἀνέμους ἐν κόλπῳ;
τίς συνέστρεψεν ὕδωρ ἐν ἱματίῳ;
τίς ἐκράτησεν τῶν ἄκρων τῆς γῆς,
τί ὄνομα αὐτῷ; ἢ τί ὄνομα τοῖς τέκνοις αὐτοῦ;
[28]πάντες γὰρ λόγοι θεοῦ πεπυρωμένοι, 28 (5)
ὑπερασπίζει δὲ αὐτὸς τῶν εὐλαβουμένων αὐτόν.
[29]μὴ προσθῇς τοῖς λόγοις αὐτοῦ, ἵνα μὴ ἐλέγξῃ σε καὶ ψευδὴς 29 (6)
γένῃ.
[30]δύο αἰτοῦμαι παρὰ σοῦ, 30 (7)
μὴ ἀφέλῃς μου χάριν πρὸ τοῦ ἀποθανεῖν με·
[31]μάταιον λόγον καὶ ψευδῆ μακράν μου ποίησον, 31 (8)
πλοῦτον δὲ καὶ πενίαν μή μοι δῷς,
σύνταξον δέ μοι τὰ δέοντα καὶ τὰ αὐτάρκη·
[32]ἵνα μὴ πλησθεὶς ψευδὴς γένωμαι καὶ εἴπω Τίς με ὁρᾷ; 32 (9)
ἢ πενηθεὶς κλέψω καὶ ὀμόσω τὸ ὄνομα τοῦ θεοῦ.
[33]μὴ παραδῷς οἰκέτην εἰς χεῖρας δεσπότου, 33 (10)
μή ποτε καταράσηταί σε καὶ ἀφανισθῇς.
[34]ἔκγονον κακὸν πατέρα καταρᾶται, 34 (11)
τὴν δὲ μητέρα οὐκ εὐλογεῖ.
[35]ἔκγονον κακὸν δίκαιον ἑαυτὸν κρίνει, 35 (12)
τὴν δὲ ἔξοδον αὐτοῦ οὐκ ἀπένιψεν.
[36]ἔκγονον κακὸν ὑψηλοὺς ὀφθαλμοὺς ἔχει, 36 (13)
τοῖς δὲ βλεφάροις αὐτοῦ ἐπαίρεται.
[37]ἔκγονον κακὸν μαχαίρας τοὺς ὀδόντας ἔχει 37 (14)
καὶ τὰς μύλας τομίδας, ὥστε ἀναλίσκειν
καὶ κατεσθίειν τοὺς ταπεινοὺς ἀπὸ τῆς γῆς
καὶ τοὺς πένητας αὐτῶν ἐξ ἀνθρώπων.

[38]Ταῦτα δὲ λέγω ὑμῖν τοῖς σοφοῖς ἐπιγινώσκειν· 38 (23) (XXIV)
αἰδεῖσθαι πρόσωπον ἐν κρίσει οὐ καλόν.
[39]ὁ εἰπὼν τὸν ἀσεβῆ Δίκαιός ἐστιν, 39 (24)

ℵAC **27** ανεμουν A*vid (-μους A²) | των ακρων] pr παντων AC | om τι ονομα (2°) A | τοις τεκνοις] τωι υιωι (sic) A$^{b?c?}$ | αυτου] + ινα γνως AC **28** om γαρ AC | υπερασπισει A υπερασπιει C **29** ελεγξη] εξελεγξη ℵ **31** πενιαν] παι διαν A | τα δεοντα] pr παντα A | om και 3° ℵ$^{c.a}$A | τα αυταρκη] om τα ℵ* (hab ℵ$^{c.a}$ sed postea del) A **32** ομασω C **33** καταρησηται ℵ* (καταρασηται ℵ$^{1(vid)\ c.a}$) καταρασεται C **35** εαυτον] αυτον C | αυτου] εαυτου ℵ **37** μαχαιρας] pr της C*^{vid} (ras 3 litt C²) | στομιδας ℵA | om και κατεσθιειν A | ταπεινους] ασθενεις C **38** om αιδεισθαι...ου καλον ℵ | αιδεσθαι A | ου καλον εν κρισι A

ἐπικατάρατος λαοῖς ἔσται καὶ μισητὸς εἰς ἔθνη· B

(25) 40 [40]οἱ δὲ ἐλέγχοντες βελτίους φανοῦνται,
ἐπ᾽ αὐτοὺς δὲ ἥξει εὐλογία.

(26) 41 [41]χείλη δὲ φιλήσουσιν ἀποκρινόμενα λόγους ἀγαθούς.

(27) 42 [42]ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου,
καὶ παρασκευάζου εἰς τὸν ἀγρόν,
καὶ πορεύου κατόπισθέν μου
καὶ ἀνοικοδομήσεις τὸν οἶκόν σου.

(28) 43 [43]μὴ ἴσθι ψευδὴς μάρτυς ἐπὶ σὸν πολίτην,
μηδὲ πλατύνου σοῖς χείλεσιν.

(29) 44 [44]μὴ εἴπῃς Ὃν τρόπον ἐχρήσατό μοι χρήσομαι αὐτῷ,
τίσομαι δὲ αὐτὸν ἃ με ἠδίκησεν.

(30) 45 [45]ὥσπερ γεώργιον ἀνὴρ ἄφρων,
καὶ ὥσπερ ἀμπελὼν ἄνθρωπος ἐνδεὴς φρενῶν·

(31) 46 [46]ἐὰν ἀφῇς αὐτόν, χερσωθήσεται
καὶ χορτομανήσει ὅλος, καὶ γίνεται ἐκλελιμμένος,
οἱ δὲ φραγμοὶ τῶν λίθων αὐτοῦ κατασκάπτονται.

(32) 47 [47]ὕστερον ἐγὼ μετενόησα,
ἀπέβλεψα τοῦ ἐκλέξασθαι παιδείαν.

(33) 48 [48]ὀλίγον νυστάζω, ὀλίγον δὲ καθυπνῶ,
ὀλίγον δὲ ἐναγκαλίζομαι χερσὶν στήθη·

(34) 49 [49]ἐὰν δὲ τοῦτο ποιῇς, ἥξει προπορευομένη ἡ πενία σου,
καὶ ἡ ἔνδειά σου ὥσπερ ἀγαθὸς δρομεύς.

(XXX) (15) 50 [50]Τῇ βδέλλῃ τρεῖς θυγατέρες ἦσαν ἀγαπήσει ἀγαπώμεναι,
καὶ αἱ τρεῖς αὗται οὐκ ἐνεπίμπλασαν αὐτήν.
καὶ ἡ τετάρτη οὐκ ἠρκέσθη εἰπεῖν Ἱκανόν·

(16) 51 [51]ᾅδης καὶ ἔρως γυναικὸς
καὶ τάρταρος καὶ γῆ οὐκ ἐμπιπλαμένη ὕδατος
καὶ ὕδωρ καὶ πῦρ οὐ μὴ εἴπωσιν Ἀρκεῖ.

(17) 52 [52]ὀφθαλμὸν καταγελῶντα πατρὸς καὶ ἀτιμάζοντα γῆρας μητρός,
ἐκκόψαισαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων,
καὶ καταφάγοισαν αὐτὸν νεοσσοὶ ἀετῶν.

40 ευλογια] + αγαθη ℵ$^{c.a}$AC **41** αγαθους] σοφους ℵ$^{c.a}$AC **42** αγρον] ℵAC + σου ℵ$^{c.a}$ **44** με] μα A* (μαι A^{1}) **45** αμπελος C **46** εκλελειμμενος B^{ab}C **47** επεβλεψα ℵ$^{c.a}$C | παιδιαν ℵ **48** om δε 1° ℵ **49** ποιης] o sup ras B$^{?}$ ποιησις ℵ | om σου 2° AC **50** βδελλι C | ενεμπιπλασαν A **51** αδης] αρης A* (αδ. A$^{a?}$) | εμπιμλαμενη C | πυρ και υδωρ C | επωσιν C* (ειπ. C$^{?}$) **52** εκκοψαισαν B^{ab} (οκκ. B$^{ed.t}$)ℵC (-ψεσαν B*)] εκκολαψαισαν A | αυτον 1°] αυτην A | αυτον 2°] αυτην A* (-τον A$^{?}$)

B [53]τρία δέ ἐστιν ἀδύνατά μοι νοῆσαι, καὶ τὸ τέταρτον οὐκ ἐπι- 53 (18)
γινώσκω·
[54]ἴχνη ἀετοῦ πετομένου, 54 (19)
καὶ ὁδοὺς ὄφεως ἐπὶ πέτρας,
καὶ τρίβους νηὸς ποντοπορούσης,
καὶ ὁδοὺς ἀνδρὸς ἐν νεότητι.
[55]τοιαύτη ὁδὸς γυναικὸς μοιχαλίδος, 55 (20)
ἡ ὅταν πράξῃ, ἀπονιψαμένη οὐδέν φησιν πεπραχέναι
ἄτοπον.
¶ C [56]διὰ τριῶν σείεται ἡ γῆ,¶ 56 (21)
τὸ δὲ τέταρτον οὐ δύναται φέρειν·
[57]ἐὰν οἰκέτης βασιλεύσῃ, 57 (22)
καὶ ἄφρων πλησθῇ σιτίων,
[58]καὶ οἰκέτις ἐὰν ἐκβάλῃ τὴν ἑαυτῆς κυρίαν, 58 (23)
καὶ μισητὴ γυνὴ ἐὰν τύχῃ ἀνδρὸς ἀγαθοῦ.
[59]τέσσαρα δὲ ἐλάχιστα ἐπὶ τῆς γῆς, 59 (24)
ταῦτα δέ ἐστιν σοφώτερα τῶν σοφῶν·
[60]οἱ μύρμηκες οἷς μὴ ἔστιν ἰσχύς, 60 (25)
καὶ ἑτοιμάζονται θέρους τὴν τροφήν·
[61]καὶ οἱ χοιρογρύλλιοι, ἔθνος οὐκ ἰσχυρόν, 61 (26)
οἳ ἐποιήσαντο ἐν πέτραις τοὺς ἑαυτῶν οἴκους·
[62]ἀβασίλευτόν ἐστιν ἡ ἀκρίς, 62 (27)
καὶ στρατεύει ἀφ' ἑνὸς κελεύσματος εὐτάκτως·
[63]καὶ καλαβώτης χερσὶν ἐρειδόμενος καὶ εὐάλωτος ὤν, 63 (28)
κατοικεῖ ἐν ὀχυρώμασιν βασιλέων.
[64]τρία δέ ἐστιν ἃ εὐόδως πορεύεται, 64 (29)
καὶ τέταρτον ὃ καλῶς διαβαίνει·
[65]σκύμνος λέοντος ἰσχυρότερος κτηνῶν, 65 (30)
ὃς οὐκ ἀποστρέφεται οὐδὲ καταπτήσσει κτῆνος,
[66]καὶ ἀλέκτωρ ἐνπεριπατῶν θηλείαις εὔψυχος, 66 (31)
καὶ τράγος ἡγούμενος αἰπολίου,
καὶ βασιλεὺς δημηγορῶν ἐν ἔθνει.
[67]ἐὰν πρόῃ σεαυτὸν ἐν εὐφροσύνῃ, 67 (32)
καὶ ἐκτείνῃς τὴν χεῖρά σου μετὰ μάχης, ἀτιμασθήσῃ.

ℵAC **54** *νηος*] *νηως* ℵ$^{c.a}$ *νεως* C **55** *φησι* C **58** *οικετης* ℵ$^{c.a}$ **59** *τεσσαρα* B^{2} | *δε* 1°]+*εστιν* ℵ$^{c.a}$A **61** *χοιρογρυλλιοι* ℵ*A] *χοιρογυλιοι* B *χυρογρυλλιοι* ℵ$^{c.a}$ **62** *εκστρατευει* A **63** *βασιλεως* ℵA **64** om *δε* ℵ* (hab ℵ$^{c.a}$) | *πορευονται* A | *τεταρτον*] pr *το* ℵA **65** *καταπτησει* A **66** *εμπεριπατων* B^{b} **67** *εν ευφροσυνη*] *εις ευφροσυνην* ℵA

(33) 68 [68]ἄμελγε γάλα, καὶ ἔσται βούτυρον· B
ἐὰν δὲ ἐκπιέζῃς μυκτῆρας, ἐξελεύσεται αἷμα·
ἐὰν δὲ ἐξέλκῃς λόγους, ἐξελεύσονται κρίσεις καὶ μάχαι.

XXI (1) 69 [69]Οἱ ἐμοὶ λόγοι εἴρηνται ὑπὸ θεοῦ·
βασιλέως χρηματισμὸς ὃν ἐπαίδευσεν ἡ μήτηρ αὐτοῦ.
(2) 70 [70]τί, τέκνον, τηρήσεις; τί; ῥήσεις θεοῦ·
πρωτογενές, σοὶ λέγω, υἱέ·
τί, τέκνον ἐμῆς κοιλίας;
τί, τέκνον ἐμῶν εὐχῶν;
(3) 71 [71]μὴ δῷς γυναιξὶ σὸν πλοῦτον,
καὶ τὸν σὸν νοῦν καὶ βίον εἰς ὑστεροβουλίαν.
(4) 72 [72]μετὰ βουλῆς πάντα ποίει,
μετὰ βουλῆς οἰνοπότει.
οἱ δυνάσται θυμώδεις εἰσίν,
οἶνον δὲ μὴ πινέτωσαν·
(5) 73 [73]ἵνα μὴ πιόντες ἐπιλάθωνται τῆς σοφίας,
καὶ ὀρθὰ κρῖναι οὐ μὴ δύνωνται τοὺς ἀσθενεῖς.
(6) 74 [74]δίδοτε μέθην τοῖς ἐν λύπαις,
καὶ οἶνον πίνειν τοῖς ἐν ὀδύναις,
(7) 75 [75]ἵνα ἐπιλάθωνται τῆς πενίας, καὶ τῶν πόνων μὴ μνησθῶσιν ἔτι.
(8) 76 [76]ἄνοιγε σὸν στόμα λόγῳ θεοῦ,
καὶ κρῖνε πάντας ὑγιῶς·
(9) 77 [77]ἄνοιγε σὸν στόμα καὶ κρῖνε δικαίως,
διάκρινε δὲ πένητα καὶ ἀσθενῆ.

XXV 1 [1]Αὗται αἱ παιδεῖαι Σαλωμῶντος αἱ ἀδιάκριτοι, ἃς ἐξεγράψαντο
οἱ φίλοι Ἐζεκίου τοῦ βασιλέως τῆς Ἰουδαίας.

2 [2]Δόξα θεοῦ κρύπτει λόγον,
δόξα δὲ βασιλέως τιμᾷ πράγματα.

68 εσται] εσθε ℵ* (εστε ℵ$^{c.a}$) | μυκτηρα ℵ | εξελκης] εξελκυσης ℵ | κρισις ℵ ℵA **70** om τι 1° ℵ* (hab ℵ$^{c.a}$) | om τηρησεις ℵ$^{c.a}$ **71** γυναιξιν ℵA | σον 1°] σου A **72** θυμωδει B* (-δεις B^{ab}) | om δε A **73** επιλαθωνται] επιλαθων ℵ* (-νται ℵ$^{c.a}$) επιλανθωνται (sic) A | κρινει] κρινειν A **75** πονων] ποδων ℵ* (πον. ℵ^{1}) | μνησθωσιν B* (μνησθ. B^{ab}) **77** κρινε] διακρινε ℵ κρινει A | om δε ℵ XXV **1** παιδειαι] παροιμιαι ℵ$^{c.a}$A | Σαλομωντος ℵ Σολομωντος A **2** πραγματα] προσταγματα B^{c}A

B [3]οὐρανὸς ὑψηλός, γῆ δὲ βαθεῖα, 3
καρδία δὲ βασιλέως ἀνεξέλεγκτος.
[4]τύπτε ἀδόκιμον ἀργύριον, 4
καὶ καθαρισθήσεται καθαρὸν ἅπαν·
[5]κτεῖνε ἀσεβεῖς ἐκ προσώπου βασιλέως, 5
καὶ κατορθώσει ἐν δικαιοσύνῃ ὁ θρόνος αὐτοῦ.
[6]μὴ ἀλαζονεύου ἐνώπιον βασιλέως, 6
μηδὲ ἐν τόποις δυναστῶν ὑφίστασο·
[7]κρεῖσσον γάρ σοι τὸ ῥηθῆναι Ἀνάβαινε πρὸς μέ, 7
ἢ ταπεινῶσαί σε ἐν προσώπῳ δυνάστου.
ἃ εἶδον οἱ ὀφθαλμοί σου λέγε.
[8]μὴ πρόσπιπτε εἰς μάχην ταχέως, 8
ἵνα μὴ μεταμεληθῇς ἐπ' ἐσχάτῳ,
ἡνίκα ἂν σε ὀνειδίσῃ ὁ σὸς φίλος.
[9]ἀναχώρει εἰς τὰ ὀπίσω, μὴ καταφρόνει, 9
[10]μή σε ὀνειδίσῃ μὲν ὁ φίλος· 10
ἡ δὲ μάχη σου καὶ ἡ ἔχθρα οὐκ ἀπέσται,
ἀλλ' ἔσται σοι ἴση θανάτῳ.
[10a]χάρις καὶ φιλία ἐλευθεροῖ, 10a
ἃς τήρησον σεαυτῷ, ἵνα μὴ ἐπονείδιστος γένῃ,
ἀλλὰ φύλαξον τὰς ὁδούς σου εὐσυναλλάκτως.
[11]μῆλον χρυσοῦν ἐν ὁρμίσκῳ σαρδίου, 11
οὕτως εἰπεῖν λόγον.
[12]εἰς ἐνώτιον χρυσοῦν καὶ σάρδιον πολυτελὲς δέδεται, 12
λόγος σοφὸς εἰς εὐήκοον οὖς.
[13]ὥσπερ ἔξοδος ἐν ἀμήτῳ κατὰ καῦμα ὠφελεῖ, 13
οὕτως ἄγγελος πιστὸς τοὺς ἀποστείλαντας αὐτόν·
ψυχὰς γὰρ τῶν αὐτῷ χρωμένων ὠφελεῖ.
[14]ὥσπερ ἄνεμοι καὶ νέφη καὶ ὑετοὶ ἐπιφανέστατα, 14
οὕτως ὁ καυχώμενος ἐπὶ δόσει ψευδεῖ.
[15]ἐν μακροθυμίᾳ εὐοδία βασιλεῦσιν, 15
γλῶσσα δὲ μαλακὴ συντρίβει ὀστᾶ.
[16]μέλι εὑρὼν φάγε τὸ ἱκανόν, 16

ℵA **4** *τυπτε*] *κρυπτε* A **6** *δυνατων* ℵ* (*-στων* ℵ$^{c.a}$) **7** *το ρηθηναι σοι* ℵA | *ταπεινωσαι*] *ταπινωθηναι* ℵ | *ιδον* A **8** *εσχατῳ*| ℵA | *αν*] pr δ A | om *σος* A **10** om *σου* ℵ | *εχθρα*]+ *σου* ℵ **11** *χρυσεον* A | *λογον*]+ *επι αρμοζουσιν* ℵ$^{c.a}$ **12** om *και* ℵ$^{c.a}$A **13** *εξοδος*]+ *χιονος* ℵA **14** *επιφανεστατοι* ℵ$^{c.a}$A | *οι καυχωμενοι* B^{ab}ℵA

μή ποτε πλησθεὶς ἐξεμέσῃς. B

17 [17]σπάνιον εἴσαγε σὸν πόδα πρὸς σεαυτοῦ φίλον,
μή ποτε πλησθείς σου μισήσῃ σε.

18 [18]ῥόπαλον καὶ μάχαιρα καὶ τόξευμα ἀκιδωτόν,
οὕτως καὶ ἀνὴρ ὁ καταμαρτυρῶν τοῦ φίλου αὐτοῦ μαρτυρίαν
ψευδῆ.

19 [19]ὁδὸς κακοῦ καὶ ποὺς παρανόμου ὀλεῖται ἐν ἡμέρᾳ κακῇ.

20 [20]ὥσπερ ὄξος ἕλκει ἀσύμφορον,
οὕτως προσπεσὸν πάθος ἐν σώματι καρδίαν λυπεῖ.

20 a [20 a]ὥσπερ σὴς ἐν ἱματίῳ καὶ σκώληξ ξύλῳ,
οὕτως λύπη ἀνδρὸς βλάπτει καρδίαν.

21 [21]ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν,
ἐὰν διψᾷ, πότιζε αὐτόν·

22 [22]τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν
αὐτοῦ,
ὁ δὲ Κύριος ἀνταποδώσει σοι ἀγαθά.

23 [23]ἄνεμος βορέας ἐξεγείρει νέφη,
πρόσωπον δὲ ἀναιδὲς γλῶσσαν ἐρεθίζει.

24 [24]κρεῖττον οἰκεῖν ἐπὶ γωνίας δώματος
ἢ μετὰ γυναικὸς λοιδόρου ἐν οἰκίᾳ κοινῇ.

25 [25]ὥσπερ ὕδωρ ψυχρὸν ψυχῇ διψώσῃ προσηνές,
οὕτως ἀγγελία ἀγαθὴ ἐκ γῆς μακρόθεν.

26 [26]ὥσπερ εἴ τις πηγὴν φράσσοι καὶ ὕδατος ἔξοδον λυμαίνοιτο,
οὕτως ἄκοσμον δίκαιον πεπτωκέναι ἐνώπιον ἀσεβοῦς.

27 [27]ἐσθίειν μέλι πολὺ οὐ καλόν,
τιμᾶν δὲ χρὴ λόγους ἐνδόξους.

28 [28]ὥσπερ πόλις τὰ τείχη καταβεβλημένη καὶ ἀτείχιστος,
οὕτως ἀνὴρ ὃς οὐ μετὰ βουλῆς τι πράσσει.

XXVI 1 [1]ὥσπερ δρόσος ἐν ἀμήτῳ καὶ ὥσπερ ὑετὸς ἐν θέρει,
οὕτως οὐκ ἔστιν ἄφρονι τιμή.

16 πλησθεις] εμπλησθεις ℵ **17** εισαγαγε ℵ | σεαυτου] pr τον ℵA | ℵA μισησει A **18** ροπανον ℵ* (ροπαλον ℵ^c.a) | ακιδωτον] ακηλιδωτον ℵ^c.aA | om και 3° ℵ^c.a | ανηρ] pr ο A | καταμαρτυρων] + κατα A | αυτου] εαυτου A **19** οδους A **20** om εν ℵA **20 a** om εν ℵ | βλαπτει] βαπτει ℵ* (βλ. ℵ^c.a) **21** ψωμιζε] τρεφε ℵA **22** ποιων] ποιησας ℵ* (ποιων ℵ^c.a) | om πυρος A | της κεφαλης ℵ* (την κεφαλην ℵ^c.a) | ανταποδωσει] ανταποδειδωσει A **23** βορρεας B^b?c? **24** κρισσον A **25** διψωσῃ] ζωσῃ ℵ* (διψ. ℵ^c.a) **25** λοιμαινοιτο B* (λυμ. B^b) **28** πολι ℵ* (πολις ℵ^c.a)

B [2]ὥσπερ ὄρνεα πέταται καὶ στρουθοί, 2
οὕτως ἀρὰ ματαία οὐκ ἐπελεύσεται οὐδενί.
[3]ὥσπερ μάστιξ ἵππῳ καὶ κέντρον ὄνῳ, 3
οὕτως ῥάβδος ἔθνει παρανόμῳ.
[4]μὴ ἀποκρίνου ἄφρονι πρὸς τὴν ἐκείνου ἀφροσύνην, 4
ἵνα μὴ ὅμοιος γένῃ αὐτῷ·
[5]ἀλλὰ ἀποκρίνου ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ, 5
ἵνα μὴ φαίνηται σοφὸς παρ' ἑαυτῷ.
[6]ἐκ τῶν ἑαυτοῦ ὁδῶν ὄνειδος ποιεῖται 6
ὁ ἀποστείλας δι' ἀγγέλου ἄφρονος λόγον.
[7]ἀφελοῦ πορείαν σκελῶν 7
καὶ παρανομίαν ἐκ στόματος ἀφρόνων.
[8]ὃς ἀποδεσμεύει λίθον ἐν σφενδόνῃ, 8
ὅμοιός ἐστιν τῷ διδόντι ἄφρονι δόξαν.
[9]ἄκανθαι φύονται ἐν χειρὶ μεθύσου, 9
δουλεία δὲ ἐν χειρὶ τῶν ἀφρόνων.
[10]πολλὰ χειμάζεται πᾶσα σὰρξ ἀφρόνων, 10
συντρίβεται γὰρ ἡ ἔκστασις αὐτῶν.
[11]ὥσπερ κύων ὅταν ἐπέλθῃ ἐπὶ τὸν ἑαυτοῦ ἔμετον καὶ μισητὸς 11
γένηται,
οὕτως ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπὶ τὴν ἑαυτοῦ
ἁμαρτίαν.
[11a]ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν, 11 a
καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις.
[12]εἶδον ἄνδρα δόξαντα παρ' ἑαυτῷ σοφὸν εἶναι, 12
ἐλπίδα μέντοι ἔσχεν μᾶλλον ἄφρων αὐτοῦ.
[13]λέγει ὀκνηρὸς ἀποστελλόμενος εἰς ὁδόν 13
Λέων ἐν ταῖς ὁδοῖς.
[14]ὥσπερ θύρα στρέφεται ἐπὶ τοῦ στρόφιγγος, 14
οὕτως ὀκνηρὸς ἐπὶ τῆς κλίνης αὐτοῦ.
[15]κρύψας ὀκνηρὸς τὴν χεῖρα ἐν τῷ κόλπῳ αὐτοῦ 15
οὐ δυνήσεται ἐπενεγκεῖν ἐπὶ στόμα.

ℵA XXVI **2** πεταναι A **4** προς] κατα A **5** κατα] προς A **6** εαυτου] αυτου ℵ | ο αποστειλας] om ο ℵ* (pr ο ℵ[1 mg sinistr]) **7** πορειαν] πορνιαν ℵ* (πορναν ℵ[c.a]) **8** διδουντι ℵ **9** μεθυσου] pr του ℵA | δουλια ℵ **11** εαυτου εμετον] εμ. αυτου A | αναστρεψας κακια ℵ **12** ιδον A | εσχε ℵ* (εσχεν ℵ[c.a]) | αφρων μαλλον A **13** οδοις]+εν δε ταις πλατειαις (-τιαις ℵ) φονευται B[b (mg)]ℵA **14** του στροφιγγος] τω στροφιγγι A **15** δυνησεται] δυναται ℵA | επι στομα] επι το στομα ℵ[c.a] εις το στ. A

16 [16]σοφώτερος ἑαυτῷ ὀκνηρὸς φαίνεται B
τοῦ ἐν πλησμονῇ ἀποκομίζοντος ἀγγελίαν.
17 [17]ὥσπερ ὁ κρατῶν κέρκου κυνός,
οὕτως ὁ προεστὼς ἀλλοτρίας κρίσεως.
18 [18]ὥσπερ οἱ ἰώμενοι προβάλλουσιν λόγους εἰς ἀνθρώπους,
ὁ δὲ ἀπαντήσας τῷ λόγῳ πρῶτος ὑποσκελισθήσεται·
19 [19]οὕτως πάντες οἱ ἐνεδρεύοντες τοὺς ἑαυτῶν φίλους,
ὅταν δὲ ὁραθῶσιν, λέγουσιν ὅτι Παίζων ἔπραξα.
20 [20]ἐν πολλοῖς ξύλοις θάλλει πῦρ,
ὅπου δὲ οὐκ ἔστιν δίθυμος, ἡσυχάζει μάχη.
21 [21]ἐσχάρα ἄνθραξιν καὶ ξύλα πυρί,
ἀνὴρ δὲ λοίδορος εἰς ταραχὴν μάχης.
22 [22]λόγοι κερκώπων μαλακοί,
οὗτοι δὲ τύπτουσιν εἰς ταμεῖα σπλάγχνων.
23 [23]ἀργύριον διδόμενον μετὰ δόλου ὥσπερ ὄστρακον ἡγητέον·
[§]χείλη λεῖα καρδίαν καλύπτει λυπηράν. § C
24 [24]χείλεσιν πάντα ἐπινεύει ἀποκλαιόμενος ἐχθρούς,
ἐν δὲ τῇ καρδίᾳ τεκταίνεται λόγους.
25 [25]ἐάν σου δέηται ὁ ἐχθρὸς μεγάλῃ τῇ φωνῇ, μὴ πεισθῇς·
ἑπτὰ γὰρ πονηρίαι ἐν τῇ ψυχῇ αὐτοῦ.
26 [26]ὁ κρύπτων ἔχθραν συνίστησιν δόλον,
ἐνκαλύπτει δὲ τὰς ἑαυτοῦ ἁμαρτίας εὔγνωστος ἐν συνεδρίοις.
27 [27]ὁ ὀρύσσων βόθρον τῷ πλησίον ἐμπεσεῖται εἰς αὐτόν·
ὁ δὲ κυλίων λίθον ἐφ' ἑαυτὸν κυλίει.
28 [28]γλῶσσα ψευδὴς μισεῖ ἀλήθειαν,
στόμα δὲ ἄστεγον ποιεῖ ἀκαταστασίας.

XXVII 1 [1]μὴ καυχῶ τὰ εἰς αὔριον,
οὐ γὰρ γινώσκεις τί τέξεται ἡ ἐπιοῦσα.

16 *οκνηρος εαυτω* A **18** *ιωμενοι*] *πιρωμενοι* ℵ$^{c.a}$ | *προβαλλουσι* ℵ ℵAC **19** *ουτω* ℵ | *οραθωσιν*] *φοραθωσιν* ℵ$^{c.a}$ *φωραθωσιν* A **20** *διθυμος*] *οξυθυμος* ℵ$^{c.a}$A **21** *ανθραξι* ℵ **22** *κερκωπων*] *κεκωρπων* B | *ταμεια* B^{ab} (*ταμια* B*ℵ)] *ταμιεια* A | *σπλαγχνων*] *κοιλιας* ℵ$^{c.a}$ **23** *λεια*] *δολια* ℵ **24** *χειλεσι* C | *αποκλαιομενος*] pr ο A | *εχθρους*] *εχθρος* B^{ab}AC | *τη καρδια*] om *τη* ℵ | *λογους*] *δολους* B$^{ab\,mg}$A$^{a?}$C *δολος* A* **25** *πεισθης*]+*αυτω* AC | *γαρ*]+*εισιν* B$^{ab\,mg}$ℵA+*εισι* C | *ψυχη*] *καρδια* AC **26** *συνιστησι* C | *ενκαλυπτει* (*εγκ.* B^{ab}) B*ℵ$^{c.a}$] *συνκαλυπτει* ℵ* *εκκαλυπτει* AC | *συνεδριοις* B^{b} (*-δρειοις* B*ℵ*)] *συνεδριω* ℵ$^{c.a}$AC **27** *ορυσσον* ℵ* (*-σων* ℵ$^{1\,fort\,c.a}$) | *βοθρον*] *βοθυνον* ℵ | *εαυτον*] *εαυτου* C **28** *ποιει*] *μιοιει* (sic) A* *vid*

B [2]ἐγκωμιαζέτω σε ὁ πέλας καὶ μὴ τὸ σὸν στόμα, 2
ἀλλότριος καὶ μὴ τὰ σὰ χείλη.
[3]βαρὺ λίθος καὶ δυσβάστακτον ἄμμος, 3
ὀργὴ δὲ ἄφρονος βαρυτέρα ἀμφοτέρων.
[4]ἀνελεήμων θυμὸς καὶ ὀξεῖα ὀργή, 4
ἀλλ' οὐδένα ὑφίσταται ζῆλος.
[5]κρείσσους ἔλεγχοι ἀποκεκαλυμμένοι κρυπτομένης φιλίας. 5
[6]ἀξιοπιστότερά ἐστιν τραύματα φίλου 6
ἢ ἑκούσια φιλήματα ἐχθροῦ.
[7]ψυχὴ ἐν πλησμονῇ οὖσα κηρίοις ἐμπαίζει, 7
ψυχῇ δὲ ἐν ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκέα φαίνεται.
[8]ὥσπερ ὅταν ὄρνεον καταπετασθῇ ἐκ τῆς ἰδίας νοσσιᾶς, 8
οὕτως ἄνθρωπος δουλοῦται ὅταν ἀποξενωθῇ ἐκ τῶν ἰδίων
τόπων.
[9]μύροις καὶ οἴνοις καὶ θυμιάμασιν τέρπεται καρδία, 9
καταρήγνυται δὲ ὑπὸ συμπτωμάτων ψυχή.
[10]φίλον σὸν ἢ φίλον πατρῷον μὴ ἐγκαταλίπῃς, 10
εἰς δὲ τὸν οἶκον τοῦ ἀδελφοῦ σου μὴ εἰσέλθῃς ἀτυχῶν·
κρείσσων φίλος ἐγγὺς ἢ ἀδελφὸς μακρὰν οἰκῶν.

[11]Σοφὸς γίνου, υἱέ, ἵνα σου εὐφραίνηται ἡ καρδία, 11
καὶ ἀπόστρεψον ἀπὸ σοῦ ἐπονειδίστους λόγους.
[12]πανοῦργος κακῶν ἐπερχομένων ἀπεκρύβη, 12
ἄφρονες δὲ ἐπελθόντες ζημίαν τίσουσιν.
[13]ἀφελοῦ τὸ ἱμάτιον αὐτοῦ, παρῆλθεν γάρ· 13
ὑβριστὴς ὅστις τὰ ἀλλότρια λυμαίνεται.
[14]ὃς ἂν εὐλογῇ φίλον τὸ πρωὶ μεγάλῃ τῇ φωνῇ, 14
καταρωμένου οὐδὲν διαφέρειν δόξει.
[15]σταγόνες ἐκβάλλουσιν ἄνθρωπον ἐν ἡμέρᾳ χειμερινῇ ἐκ τοῦ 15
οἴκου·

ℵAC XXVII **2** το πελας A **4** ουδενα] ουδεν AC | υφιστατο C **5** αποκεκαλυμμενοι] αποκαλυπτομενοι AC **6** om εστιν AC **7** om εν 2° ℵ$^{c.a}$AC | γλυκια ℵAC (-κεια) | φαινεται] φερει ℵ* (φενεται ℵ$^{c.a}$) **8** ορνεον οταν AC | δουλουται] καταδουλουται C **9** και 2°] θαι A* (και A$^{a?}$) | θυμιασιν ℵ θυμιαμασι C | καταρρηγνυται A | συνπτωματων ℵC **10** η 1°] και A | εγκαταλειπης AC | κρεισσων] κρισσον ℵA | om η 2° ℵ* (hab ℵ$^{c.a}$) **11** σου ευφραινηται] ευφραινηται (-τε ℵ) σου ℵA ευφρ. μου C **12** επελθοντες] ελθοντες A παρελθοντες C **13** post γαρ distinx AC | λυμαινεται B^{b}] λοιμαινεται B*ℵA (λοιμενετε) C **14** διαφερει A | δοξη C **15** ημερα] ημερ sup ras 3 fort litt B$^{?}$ | οικου 1°]+ αυτου AC

ὡσαύτως καὶ γυνὴ λοίδορος ἐκ τοῦ ἰδίου οἴκου. B

16 [16]βορέας σκληρὸς ἄνεμος,
ὀνόματι δὲ ἐπιδέξιος καλεῖται.

17 [17]σίδηρος σίδηρον ὀξύνει,
ἀνὴρ δὲ παροξύνει πρόσωπον ἑταίρου.

18 [18]ὃς φυτεύει συκῆν φάγεται τοὺς καρποὺς αὐτῆς,
ὃς δὲ φυλάσσει τὸν ἑαυτοῦ κύριον τιμηθήσεται.

19 [19]ὥσπερ οὐχ ὅμοια πρόσωπα προσώποις,
οὕτως οὐδὲ αἱ διάνοιαι τῶν ἀνθρώπων.

20 [20]ᾅδης καὶ ἀπώλεια οὐκ ἐμπίμπλανται,
ὡσαύτως καὶ οἱ ὀφθαλμοὶ τῶν ἀνθρώπων ἄπληστοι.

20 a [20a]βδέλυγμα Κυρίῳ στηρίζων ὀφθαλμόν,
καὶ οἱ ἀπαίδευτοι ἀκρατεῖς γλώσσῃ.

21 [21]δοκίμιον ἀργύρῳ καὶ χρυσῷ πύρωσις,
ἀνὴρ δὲ δοκιμάζεται διὰ στόματος ἐγκωμιαζόντων αὐτόν.

21 a [21a]καρδία ἀνόμου ἐκζητεῖ κακά,
καρδία δὲ εὐθὴς ζητεῖ γνῶσιν.

22 [22]ἐὰν μαστιγοῖς ἄφρονα ἐν μέσῳ συνεδρίου ἀτιμάζων,
οὐ μὴ περιέλῃς τὴν ἀφροσύνην αὐτοῦ.

23 [23]Γνωστῶς ἐπιγνώσῃ ψυχὰς ποιμνίου σου,
καὶ ἐπιστήσεις καρδίαν σου σαῖς ἀγέλαις·

24 [24]ὅτι οὐ τὸν αἰῶνα ἀνδρὶ κράτος καὶ ἰσχύς,
οὐδὲ παραδίδωσιν ἐκ γενεᾶς εἰς γενεάν.

25 [25]ἐπιμελοῦ τῶν ἐν τῷ πεδίῳ χλωρῶν καὶ κερεῖς πόαν,
26 καὶ σύναγε χόρτον ὀρινόν, [26]ἵνα ἔχῃς πρόβατα εἰς ἱματισμόν·
τίμα πεδίον, ἵνα ὦσίν σοι ἄρνες.

27 [27]υἱέ, παρ᾽ ἐμοῦ ἔχεις ῥήσεις ἰσχυρὰς εἰς τὴν ζωήν σου
καὶ εἰς τὴν ζωὴν σῶν θεραπόντων.

XXVIII 1 [1]Φεύγει ἀσεβὴς μηδενὸς διώκοντος,
δίκαιος δὲ ὥσπερ λέων πέποιθεν.

15 εκ 2°] απο ℵ **16** *βορρεας* B^{ab} **17** *παροξυνει*] *παροξυνον* ℵ* (-νι ℵ$^{c.a}$) | ℵAC *εταιρου*] *ετερου* AC **18** *τιμηθηθησεται* C **19** *διανοιαι*] *καρδιαι* ℵ$^{c.a}$AC + *ομοιαι* ℵ* (om ℵ$^{c.a}$) | *ανθρωπων*] + *ομοιαι* C **20** *απωλια* ℵ | *ενπιπλανται* A **21** *αργυριω* AC | *χρυσιω* AC | om *αυτον* ℵ* (hab ℵ$^{c.a}$) **21 a** *ζητει*] *εκζητει* ℵAC **22** *αφρονα*] pr *τον* ℵ$^{c.a}$AC | *συνεδριω* AC **23** *ποιμνιων* C | *επιστησης* A **24** *αιωνανδρι* C | *εκ γενεας εις γενεαν*] *εις γενεας και γενεας* A *εις γενεας και γενεαν* C **25** *χλωρω* A$^{*\,vid}$ | *ποαν*] *ποιαν* A | *συναγε*] *συναγαγε* AC | *ορεινον* B^{b} **27** *σων*] pr *των* ℵ

B [2]δι᾽ ἁμαρτίας ἀσεβῶν κρίσεις ἐγείρονται, 2
¶C ἀνὴρ δὲ πανοῦργος κατασβέσει αὐτάς.¶
[3]ἀνδρεῖος ἐν ἀσεβείαις συκοφαντεῖ πτωχούς. 3
ὥσπερ ὑετὸς λάβρος καὶ ἀνωφελής,
[4]οὕτως οἱ ἐγκαταλιπόντες τὸν νόμον ἐγκωμιάζουσιν ἀσέβειαν· 4
οἱ δὲ ἀγαπῶντες τὸν νόμον περιβάλλουσιν ἑαυτοῖς τεῖχος.
[5]ἄνδρες κακοὶ οὐ συνήσουσιν κρίμα, 5
οἱ δὲ ζητοῦντες τὸν κύριον συνήσουσιν ἐν παντί.
[6]κρείσσων πτωχὸς πορευόμενος ἐν ἀληθείᾳ πλουσίου ψευδοῦς. 6
[7]φυλάσσει νόμον υἱὸς συνετός, 7
ὃς δὲ ποιμαίνει ἀσωτίαν ἀτιμάζει πατέρα.
[8]ὁ πληθύνων τὸν πλοῦτον αὐτοῦ μετὰ τόκων καὶ πλεονασ- 8
μῶν
τῷ ἐλεῶντι πτωχοὺς συνάγει αὐτόν.
[9]ὁ ἐκκλίνων τὸ οὖς αὐτοῦ μὴ εἰσακοῦσαι νόμου, 9
καὶ αὐτὸς τὴν προσευχὴν αὐτοῦ ἐβδέλυκται.
[10]ὃς πλανᾷ εὐθεῖς ἐν ὁδῷ κακῇ 10
εἰς διαφθορὰν αὐτὸς ἐμπεσεῖται,
οἱ δὲ ἄνομοι διελεύσονται ἀγαθὰ
καὶ οὐκ εἰσελεύσονται εἰς αὐτά.
[11]σοφὸς παρ᾽ ἑαυτῷ ἀνὴρ πλούσιος, 11
πένης δὲ νοήμων καταγνώσεται αὐτοῦ.
[12]διὰ βοήθειαν δικαίων πολλὴ γίνεται δόξα, 12
ἐν δὲ τόποις ἀσεβῶν ἁλίσκονται ἄνθρωποι.
[13]ὁ ἐπικαλύπτων ἀσέβειαν ἑαυτοῦ οὐκ εὐοδωθήσεται, 13
ὁ δὲ ἐξηγούμενος ἐλέγχους ἀγαπηθήσεται.
[14]μακάριος ἀνὴρ ὃς καταπτήσσει πάντα δι᾽ εὐλάβειαν, 14
ὁ δὲ σκληρὸς τὴν καρδίαν ἐμπεσεῖται κακοῖς.
[15]λέων πεινῶν καὶ λύκος διψῶν 15
ὃς τυραννεῖ πτωχὸς ὢν ἔθνους πενιχροῦ.
[16]βασιλεὺς ἐνδεὴς προσόδων μέγας συκοφάντης, 16

ℵAC XXVIII **2** δι] δια AC | κρισις ℵ **4** εγκαταλειποντες A | εγκωμιαζουσιν] pr και ℵ* (om ℵc.a) **5** συνησουσιν 1°] νοησουσιν B^{ab}ℵ **6** εν αληθεια πλουσιου] εν αλ. πλουσιο sup ras B^{1fort} om εν αληθεια ℵ* (hab ℵc.a): πλουσιους ℵ* (-σιου ℵ²) **7** νομους ℵ* (νομον ℵ¹) | πατερα]+αυτου ℵc.a A **8** πλεονασμων] pr με ℵ* (om ℵ¹) | ελεουντι B^{ab}ℵA **9** μη] pr του A **10** αγαθα] pr εις ℵ αγαθας A **12** βοηθιαν ℵ **13** εαυτου] αυτου ℵA **14** om δι ℵ* (hab ℵc.a) | ευλαβιαν B* (-βειαν B^{ab}) **15** εθνου A **16** προσοδων] χρηματων ℵc.a

ὁ δὲ μισῶν ἀδικίαν μακρὸν χρόνον ζήσεται. B

17 [17]ἄνδρα τὸν ἐν αἰτίᾳ φόνου ὁ ἐγγυώμενος
φυγὰς ἔσται καὶ οὐκ ἐν ἀσφαλείᾳ.

17 a [17a]παίδευε υἱὸν καὶ ἀγαπήσει σε,
καὶ δώσει κόσμον τῇ σῇ ψυχῇ·
οὐ μὴ ὑπακούσῃς ἔθνει παρανόμῳ.

18 [18]ὁ πορευόμενος δικαίως βεβοήθηται,
ὁ δὲ σκολιαῖς ὁδοῖς πορευόμενος ἐμπλακήσεται.

19 [19]ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν πλησθήσεται ἄρτων,
ὁ δὲ διώκων σχολὴν πλησθήσεται πενίας.

20 [20]ἀνὴρ ἀξιόπιστος πολλὰ εὐλογηθήσεται,
ὁ δὲ κακὸς οὐκ ἀτιμώρητος ἔσται.

21 [21]ὃς οὐκ αἰσχύνεται πρόσωπα δικαίων οὐκ ἀγαθός,
ὁ τοιοῦτος ψωμοῦ ἄρτου ἀποδώσεται ἄνδρα.

22 [22]σπεύδει πλουτεῖν ἀνὴρ βάσκανος,
καὶ οὐκ οἶδεν ὅτι ἐλεήμων κρατήσει αὐτοῦ.

23 [23]ὁ ἐλέγχων ἀνθρώπου ὁδὸς
χάριτας ἕξει μᾶλλον τοῦ γλωσσοχαριτοῦντος.

24 [24]ὃς ἀποβάλλεται πατέρα ἢ μητέρα καὶ δοκεῖ μὴ ἁμαρτάνειν,
οὗτος κοινωνός ἐστιν ἀνδρὸς ἀσεβοῦς.

25 [25]ἄπιστος ἀνὴρ κρίνει εἰκῇ,
ὃς δὲ πέποιθεν ἐπὶ Κύριον ἐν ἐπιμελείᾳ ἔσται.

26 [26]ὃς πέποιθεν θρασείᾳ καρδίᾳ, ὁ τοιοῦτος ἄφρων·
ὃς δὲ πορεύεται σοφίᾳ σωθήσεται.

27 [27]ὃς δίδωσιν πτωχοῖς οὐκ ἐνδεηθήσεται,
ὃς δὲ ἀποστρέφει τὸν ὀφθαλμὸν αὐτοῦ ἐν πολλῇ ἀπορίᾳ
ἔσται.

28 [28]ἐν τόποις ἀσεβῶν στένουσι δίκαιοι,
ἐν δὲ τῇ ἐκείνων ἀπωλείᾳ πληθυνθήσονται δίκαιοι.

XXIX 1 [1]κρείσσων ἀνὴρ ἐλέγχων ἀνδρὸς σκληροτραχήλου,
ἐξαπίνης γὰρ φλεγομένου αὐτοῦ οὐκ ἔστιν ἴασις.

2 [2]ἐγκωμιαζομένων δικαίων εὐφρανθήσονται λαοί,

17 ασφαλια ℵ **17 a** υπακουσεις ℵ* -σει ℵc.a -ση A **18** δικαιος ℵA ℵ* (-ως ℵc.a) | εμπλακησεται] εμπλακησετ sup ras B1 fort **20** αξιοπιστοτερος A **24** αποβαλλεται] αποβιαζεται A **25** απιστος] απληστος A | ος] ο ℵ* (ος ℵc.a) **27** πτωχοις] pro ο inst θ ℵ? | απορεια ℵ **28** στενουσιν ℵA | απωλια ℵ XXIX **1** εστιν] εσται ℵA **2** εγκωμιαζομενων δικαιων] εγκωμιαζομενου δε δικαιου A

B ἀρχόντων δὲ ἀσεβῶν στένουσιν ἄνδρες.
3 ἀνδρὸς φιλοῦντος σοφίαν εὐφραίνεται πατὴρ αὐτοῦ, 3
ὃς δὲ ποιμαίνει πόρνας ἀπολεῖ πλοῦτον.
4 βασιλεὺς δίκαιος ἀνίστησιν χώραν, 4
ἀνὴρ δὲ παράνομος κατασκάπτει.
5 ὃς παρασκευάζεται ἐπὶ πρόσωπον τοῦ ἑαυτοῦ φίλου δίκτυον, 5
περιβάλλει αὐτὸ τοῖς ἑαυτοῦ ποσίν.
6 ἁμαρτάνοντι ἀνδρὶ μεγάλη παγίς, 6
δίκαιος δὲ ἐν χαρᾷ καὶ ἐν εὐφροσύνῃ ἔσται.
7 ἐπίσταται δίκαιος κρίνειν πενιχροῖς, 7
ὁ δὲ ἀσεβὴς οὐ νοεῖ γνῶσιν,
καὶ πτωχῷ οὐχ ὑπάρχει νοῦς ἐπιγνώμων.
8 ἄνδρες ἄνομοι ἐξέκαυσαν πόλιν, 8
σοφοὶ δὲ ἀπέστρεψαν ὀργήν.
9 ἀνὴρ σοφὸς κρίνει ἔθνη, 9
ἀνὴρ δὲ φαῦλος ὀργιζόμενος καταγελᾶται καὶ οὐ καταπτήσσει.
10 ἄνδρες αἱμάτων μέτοχοι μισοῦσιν ὅσιον, 10
οἱ δὲ εὐθεῖς ἐκζητήσουσιν ψυχὴν αὐτοῦ.
11 ὅλον τὸν θυμὸν αὐτοῦ ἐκφέρει ἄφρων, 11
σοφὸς δὲ ταμιεύεται κατὰ μέρος.
12 βασιλέως ἐπακούοντος λόγον ἄδικον, 12
πάντες οἱ ὑπ' αὐτὸν παράνομοι.
13 δανιστοῦ καὶ χρεωφιλέτου ἀλλήλοις συνελθόντων, 13
ἐπισκοπὴν ἀμφοτέρων ποιεῖται ὁ κύριος.
14 βασιλέως ἐν ἀληθείᾳ κρίνοντος πτωχούς, 14
ὁ θρόνος αὐτοῦ εἰς μαρτύριον κατασταθήσεται.
15 πληγαὶ καὶ ἔλεγχοι διδόασιν σοφίαν, 15
παῖς δὲ πλανώμενος αἰσχύνει γονεῖς αὐτοῦ.
16 πολλῶν ὄντων ἀσεβῶν πολλαὶ γίνονται ἁμαρτίαι, 16
οἱ δὲ δίκαιοι ἐκείνων πιπτόντων κατάφοβοι γίνονται.
17 παίδευε υἱόν σου καὶ ἀναπαύσει σε, 17
καὶ δώσει κόσμον τῇ ψυχῇ σου.

ℵA **2** ασεβου ℵ* (ασεβων ℵ[1]) **3** πατηρ] pr ο ℵ[c.a]A **5** παρασκευεται ℵ* (-αζεται ℵ[c.a]) | περιβαλει ℵ **6** om εν 2° A **7** νοει] συνησει ℵ[c.a]A | νους] γνους ℵ* (νους ℵ[?]) **8** ανομοι] λοιμοι A | απεκρυψαν ℵ **10** μισουσιν] μεισησουσιν ℵ ζητησουσιν A **12** υπακουοντος A **13** δανειστου B[a?b] | χρεωφειλετου B[a?b] χρεοφειλ. ℵ χρεοφιλ. A | αλληλων A | ποιειται αμφοτερων B[?]ℵA **14** αληθια ℵ **15** πηγαι A* (πλ. A[a?])

18 [18]οὐ μὴ ὑπάρξῃ ἐξηγητὴς ἔθνει παρανόμῳ, B
ὁ δὲ φυλάσσων τὸν νόμον μακαριστός.
19 [19]λόγοις οὐ παιδευθήσεται οἰκέτης σκληρός·
ἐὰν γὰρ καὶ νοήσῃ, ἀλλ᾽ οὐχ ὑπακούσεται.
20 [20]ἐὰν ἴδῃς ἄνδρα ταχὺν ἐν λόγοις,
γίνωσκε ὅτι ἐλπίδα ἔχει μᾶλλον ἄφρων αὐτοῦ.
21 [21]ὃς κατασπαταλᾷ ἐκ παιδὸς οἰκέτης ἔσται,
ἔσχατον δὲ ὀδυνηθήσεται ἐφ᾽ ἑαυτῷ.
22 [22]ἀνὴρ θυμώδης ἐγείρει νεῖκος,
ἀνὴρ δὲ ὀργίλος ἐξώρυξεν ἁμαρτίας.
23 [23]ὕβρις ἄνδρα ταπεινοῖ,
τοὺς δὲ ταπεινόφρονας ἐρείδει δόξῃ Κύριος.
24 [24]ὃς μερίζεται κλέπτῃ, μισεῖ τὴν ἑαυτοῦ ψυχήν·
ἐὰν δὲ ὅρκου προτεθέντος ἀκούσαντες μὴ ἀναγγείλωσιν,
25 [25]φοβηθέντες καὶ αἰσχυνθέντες ἀνθρώπους ὑπεσκελίσθησαν·
ὁ δὲ πεποιθὼς ἐπὶ Κυρίῳ εὐφρανθήσεται.
ἀσέβεια ἀνδρὶ δίδωσιν σφάλμα,
ὃς δὲ πέποιθεν ἐπὶ τῷ δεσπότῃ σωθήσεται.
26 [26]πολλοὶ θεραπεύουσιν πρόσωπα ἡγουμένων,
παρὰ δὲ Κυρίου γίνεται τὸ δίκαιον ἀνδρί.
27 [27]βδέλυγμα δίκαιος ἀνὴρ ἀδίκῳ,
βδέλυγμα δὲ ἀνόμῳ κατευθύνουσα ὁδός.

XXXI) (10) 28 [28]Γυναῖκα ἀνδρείαν τίς εὑρήσει;
τιμιωτέρα δέ ἐστιν λίθων πολυτελῶν ἡ τοιαύτη.
(11) 29 [29]θαρσεῖ ἐπ᾽ αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς,
ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει·
(12) 30 [30]ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον.
(13) 31 [31]μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσὶν
αὐτῆς.

18 υπαρξει A **19** σκληροτραχηλος ℵ* (-ρος ℵ[1?c.a]) | om αλλ A ℵA **20** ταχυν] τραχυν B[ab] | αφρων] pr ο ℵA **22** εγειρει] ορυσσει ℵA **23** ερειδει ℵ*A] εριζει B εγιρι ℵ[c.a] **24** μεριζεται] εριζεται ℵ* συνμεριζεται ℵ[c.a] | αναγγειλωσι ℵ **25** υπεσκελισθησαν] υποσκελισθησονται A | Κυριω] κῦ A | ος δε πεποιθεν] ο δε πεποιθως A | δεσποτη] σωτηρι ℵ **27** αδικω] pr ανδρι B[ab]ℵA **28** ανδριαν ℵA | om η τοιαυτη ℵ **29** θαρρει ℵ | αυτη] αυτην ℵA **30** αγαθα] αγαθον και ου κακον A **31** ευχρηστα A

B
32 ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν· 32 (14)
συνάγει δὲ αὕτη τὸν βίον, 33 καὶ ἀνίσταται ἐκ νυκτῶν. 33 (15)
καὶ ἔδωκεν βρώματα τῷ οἴκῳ
καὶ ἔργα ταῖς θεραπαίναις.
34 θεωρήσασα γεώργιον ἐπρίατο, 34 (16)
ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσεν κτῆμα.
35 ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς 35 (17)
ἤρεισεν τοὺς βραχίονας αὐτῆς εἰς ἔργον.
36 καὶ ἐγεύσατο ὅτι καλόν ἐστιν τὸ ἐργάζεσθαι, 36 (18)
καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα.
37 τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, 37 (19)
τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον.
38 χεῖρας δὲ αὐτῆς διήνοιξεν πένητι, 38 (20)
καρπὸν δὲ ἐξέτεινεν πτωχῷ.
39 οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς ὅταν που χρονίζῃ, 39 (21)
πάντες γὰρ οἱ παρ' αὐτῆς ἐνδιδύσκονται.
40 δισσὰς χλαίνας ἐποίησεν τῷ ἀνδρὶ αὐτῆς, 40 (22)
ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα.
41 περίβλεπτος δὲ γίνεται ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς, 41 (23)
ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοι-
κων τῆς γῆς.
42 σινδόνας ἐποίησεν καὶ ἀπέδοτο, 42 (24)
περιζώματα τοῖς Χαναναίοις.
43 στόμα αὐτῆς διήνοιξεν προσεχόντως καὶ ἐννόμως, 43 (26)
καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς.
44 ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, 44 (25)
καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.
45 στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, 45 (27)
σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγεν.

ℵA **32** εγενετο]+δε A | ωσει] ως η ℵ* (ωσει ℵc.a) | ενπορευομενη A | μακραθεν ℵc.a (postea restit -κροθεν) | αυτη] εαυτης ℵ* εαυτης ℵc.a αυτης A | βιον] πλουτον ℵc.aA **33** εκ] εν ℵ* (εκ ℵ1) **36** και εγευσατο] εγ. δε A | ολην την νυκτα ο λυχνος αυτης ℵA **37** τους πηχεις] τας χειρας ℵc.a (mox ipse ut vid del) A | εκτεινει] εκτενεις ℵ* (εκτεινει ℵc.a) | τας δε χειρας] τους δε πηχεις A | ερειδει] εριζει ℵ ερδει Avid | αδρακτον ℵ **38** διηνυξεν ℵ **39** φροντιζη A **40** om δε ℵ **41** πυλαις] ρυμαις ℵ | γεροντων κατοικων] πρεσβυτερων Ba ℵc.a A **42** απεδοτο] απεδετο ℵ*+τοις Φοινιξιν ℵc.a | περιζωματα]+δε ℵA | Χαναναιοις]+(44) ισχυν και ευπρεπειαν ενεδυσατο| και ηυφρανθη εν ημεραις εσχαταις A **43** στοματα ℵ **44** om ισχυν... εσχαταις A | ευπρεπιαν ℵ

τὸ στόμα δὲ ἀνοίγει σοφοῖς νομοθέσμως, B
(28) 46 ἡ δὲ ἐλεημοσύνη αὐτῆς [46]ἀνέστησεν τὰ τέκνα αὐτῆς καὶ
ἐπλούτησαν,
καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν
(29) 47 [47]Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον,
πολλαὶ ἐποίησαν δυνατά·
σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας.
(30) 48 [48]ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός· § C
γυνὴ γὰρ συνετὴ εὐλογεῖται,
φόβον δὲ Κυρίου αὕτη αἰνείτω.
(31) 49 [49]δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς,
καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

45 το στομα δε] στομα δε ℵ στ. δε αυτης A | σοφοις] σοφως και ℵ$^{c.a}$A | ℵAC νομοθεσμους ℵ* (-σμως ℵ$^{c.a}$) **46** ανεστησε ℵ **47** δυνατα] δυναμιν B^{ab}ℵ$^{c.a}$ | υπερηρες ℵ **48** αρεσκιαι ℵ | om γυναικος C
Subscr παροιμιαι B π. Σαλομωντος ℵ π. Σολομωντος A π. Σολομωντος παρα εβδομηκοντα C
Stich 1930 B 1915 ℵ 1924 A

ΕΚΚΛΗΣΙΑΣΤΗΣ

B ΡΗΜΑΤΑ Ἐκκλησιαστοῦ υἱοῦ Δαυὶδ 1 I
βασιλέως Ἰσραὴλ ἐν Ἰερουσαλήμ.

[2]Ματαιότης ματαιοτήτων, εἶπεν ὁ ἐκκλησιαστής, 2
§ C [§]ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης.
[3]τίς περισσεία τῷ ἀνθρώπῳ 3
ἐν παντὶ μόχθῳ αὐτοῦ ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον;
[4]γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, 4
καὶ ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν.
[5]καὶ ἀνατέλλει ὁ ἥλιος καὶ δύνει ὁ ἥλιος 5
καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει·
αὐτὸς ἀνατέλλων [6]ἐκεῖ πορεύεται πρὸς νότον
καὶ κυκλοῖ πρὸς βορρᾶν· 6
κυκλοῖ κυκλῶν, πορεύεται τὸ πνεῦμα,
καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα.
[7]πάντες οἱ χείμαρροι πορεύονται εἰς τὴν θάλασσαν, 7
καὶ ἡ θάλασσα οὐκ ἔσται ἐμπιμπλαμένη·
εἰς τόπον οἱ χείμαρροι πορεύονται,
ἐκεῖ αὐτοὶ ἐπιστρέφουσιν τοῦ πορευθῆναι.
[8]πάντες οἱ λόγοι ἔγκοποι· 8
οὐ δυνήσεται ἀνὴρ τοῦ λαλεῖν,
καὶ οὐ πλησθήσεται ὀφθαλμὸς τοῦ ὁρᾶν,
καὶ οὐ πληρωθήσεται οὖς ἀπὸ ἀκροάσεως.

ℵAC I **2** *ματαιοτης* 2°] *μανταιοτης* ℵ **3** *περισσια* AC | *ω*] pr *εν* ℵ **5** om *και* 1° C | *ανατελλων αυτος* ℵAC **6** *βορρα* A **7** *εμπιπλαμενη* B^{b}ℵA *ενπιπλ.* C | *τοπον*] pr *τον* C | *οι χειμ.* 2°] pr *ου* ℵAC | *του πορευθηναι*] om *του* ℵ **8** *ενκοποι* ℵ | *ου πλησθησεται*] *ουκ εμπλησθησεται* ℵAC | *ου πληρωθησεται*] *ουκ εμπλησθησεται* ℵ *πληρω* rescr C^{2} | *αποκροασεως* C

9 [9]τί τὸ γεγονός; αὐτὸ τὸ γενησόμενον· B
καὶ τί τὸ πεποιημένον; αὐτὸ τὸ ποιηθησόμενον·
καὶ οὐκ ἔστιν πᾶν πρόσφατον ὑπὸ τὸν ἥλιον.
10 [10]ὃς λαλήσει καὶ ἐρεῖ Ἴδε τοῦτο καινόν ἐστιν,
ἤδη γέγονεν ἐν τοῖς αἰῶσιν
τοῖς γενομένοις ἀπὸ ἔμπροσθεν ἡμῶν.
11 [11]οὐκ ἔστιν μνήμη τοῖς πρώτοις,
καί γε τοῖς ἐσχάτοις γενομένοις·
οὐκ ἔσται αὐτῶν μνήμη
μετὰ τῶν γενησομένων εἰς τὴν ἐσχάτην.

12 [12]Ἐγὼ Ἐκκλησιαστὴς ἐγενόμην
βασιλεὺς ἐπὶ Ἰσραὴλ ἐν Ἰερουσαλήμ·
13 [13]καὶ ἔδωκα τὴν καρδίαν μου τοῦ ἐκζητῆσαι
καὶ τοῦ κατασκέψασθαι ἐν τῇ σοφίᾳ περὶ πάντων
τῶν γινομένων ὑπὸ τὸν οὐρανόν,
ὅτι περισπασμὸν πονηρὸν
ἔδωκεν ὁ θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων
τοῦ περισπᾶσθαι ἐν αὐτῷ.
14 [14]εἶδον σὺν πάντα τὰ ποιήματα
τὰ πεποιημένα ὑπὸ τὸν ἥλιον,
καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος.¶ ¶ C
15 [15]διεστραμμένον οὐ δυνήσεται ἐπικοσμηθῆναι,
καὶ ὑστέρημα οὐ δυνήσεται ἀριθμηθῆναι.
16 [16]ἐλάλησα ἐγὼ ἐν τῇ καρδίᾳ μου τῷ λέγειν
Ἐγὼ ἰδοὺ ἐμεγαλύνθην,
καὶ προσέθηκα σοφίαν ἐπὶ πᾶσιν
οἳ ἐγένοντο ἔμπροσθέν μου ἐν Ἰερουσαλήμ·
17 [17]καὶ καρδία μου εἶδεν πολλά, σοφίαν καὶ γνῶσιν,

9 *γεγονος*] *γενος* A | *πεποιημενον*] *ποιησομενον* ℵ* (*πεποιημ.* ℵ$^{c.a}$) ℵAC **10** *ηδη*] pr *αυτο* ℵ$^{c.a}$ | om *εν* A | *ενπροσθεν* C **11** *εσται*] *εστιν* AC | *αυτων*] *αυτοις* C | *γενησομενων*] *γενηθησομενων* A **12** om *επι* C **13** *περι*] *υπερ* ℵ* (*περι* ℵ$^{c.a}$) | *γενομενων* ℵAC | *ουρανον*] *ηλιον* ℵ$^{c.a}$ | *οτι...του* rescr C^{a} | *πονηρον*] seq ras in B | *των ανθρωπων*] *του ανοῡ* AC (*του...υ*) | *περισπασθαι*] *περισπασθηναι* ℵ **14** *ιδον* A | *συν παντα*] *συμπαντα* AC | *τα ποιηματα τα πεποιημενα*] *τα ποιημενα* ℵ* *τα πεπ.* ℵ^{1} (*τα ποιημ. τα πεπ.* ℵ$^{c.a}$) | *προαιρεσεις* A **15** *επικοσμηθηναι*] *του επικοσμ.* ℵ$^{c.a}$ *του κοσμηθηναι* A | *αριθμηθηναι*] pr *του* A **16** *τω λεγειν*] *του λεγειν* ℵ | *ιδου εγω* ℵ | *προεθηκα* ℵ | *οι*] *οις* ℵ **17** *καρδια*] *καρδιαν* ℵ* (*-δια* ℵ$^{c.a}$) | *ιδεν* A

B (17) καὶ ἔδωκα καρδίαν μου τοῦ γνῶναι σοφίαν καὶ γνῶσιν,
παραβολὰς καὶ ἐπιστήμην ἔγνων ἐγώ.
ὅτι καί γε τοῦτ᾽ ἔστιν προαίρεσις πνεύματος,
18 ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως, 18
καὶ ὁ προστιθεὶς γνῶσιν προσθήσει ἄλγημα.

1 Εἶπον ἐγὼ ἐν καρδίᾳ μου 1 II
Δεῦρο δὴ πειράσω σε ἐν εὐφροσύνῃ, καὶ ἴδε ἐν ἀγαθῷ·
καὶ ἰδοὺ καί γε τοῦτο ματαιότης.
2 τῷ γέλωτι εἶπα περιφοράν, 2
καὶ τῇ εὐφροσύνῃ Τί τοῦτο ποιεῖς;
3 καὶ κατεσκεψάμην εἰ ἡ καρδία μου 3
ἑλκύσει ὡς οἶνον τὴν σάρκα μου·
καὶ καρδία μου ὡδήγησεν ἐν σοφίᾳ
καὶ τοῦ κρατῆσαι ἐπ᾽ εὐφροσύνῃ,
ἕως οὗ ἴδω ποῖον τὸ ἀγαθὸν τοῖς υἱοῖς τῶν ἀνθρώπων
ὃ ποιήσουσιν ὑπὸ τὸν ἥλιον
ἀριθμὸν ἡμερῶν ζωῆς αὐτῶν.
4 ἐμεγάλυνα ποίημά μου, 4
ᾠκοδόμησά μοι οἴκους,
ἐφύτευσά μοι ἀμπελῶνας,
5 ἐποίησά μοι κήπους καὶ παραδείσους, 5
καὶ ἐφύτευσα ἐν αὐτοῖς ξύλον πᾶν καρποῦ·
6 ἐποίησά μοι κολυμβήθρας ὑδάτων 6
τοῦ ποτίσαι ἀπ᾽ αὐτῶν δρυμὸν βλαστῶντα·
7 ἐκτησάμην δούλους καὶ παιδίσκας, 7
καὶ οἰκογενεῖς ἐγένοντό μοι,
καί γε κτῆσις βουκολίου καὶ ποιμνίου πολλὴ ἐγένετό μοι
ὑπὲρ πάντας τοὺς γενομένους
ἔμπροσθέν μου ἐν Ἰερουσαλήμ·
8 συνήγαγόν μοι καί γε ἀργύριον καί γε χρυσίον, 8
καὶ περιουσιασμοὺς βασιλέων καὶ τῶν χωρῶν·
ἐποίησά μοι ᾄδοντας καὶ ᾠδούσας,

ℵA **17** *γνωναι*] *επιγνωναι* ℵ | om *εγω* A | *τουτ*] *τουτο* ℵA **18** *προστιθεις*] *προσθεις* ℵ *προτηθεις* A | *γνωσιν*] *γνωσει* A II **2** *περιφοραν*] adnot *κινησιν* B^{amg} **3** *ωδηγησεν*]+*με* $ℵ^{c.a}$ | *κρατησαι*] *κρατιν* $ℵ^{c.a}$ | *επ*] *επι* ℵ | *των ανθρωπων*] *του ανου* A | *αριθμον*] *εν αριθμω* $ℵ^{c.a}$ **6** *βλαστωντα*]+*ξυλα* ℵA **7** *κτησεις* A | om *πολλη* ℵ* (hab $ℵ^{c.a}$) | *υπερ*] pr *εις* ℵ* (om $ℵ^{1\,c.a}$) **8** om *γε* 2° ℵ

ἐντρυφήματα υἱῶν ἀνθρώπων, B
οἰνοχόον καὶ οἰνοχόας·
9 [9]καὶ ἐμεγαλύνθην καὶ προσέθηκα
παρὰ πάντας τοὺς γενομένους
ἀπὸ ἔμπροσθέν μου ἐν Ἰερουσαλήμ·
καί γε σοφία μου ἐστάθη μοι.
10 [10]καὶ πᾶν ὃ ᾔτησαν οἱ ὀφθαλμοί μου
οὐκ ἀφεῖλον ἀπ' αὐτῶν,
οὐκ ἀπεκώλυσα τὴν καρδίαν μου
ἀπὸ πάσης εὐφροσύνης μου,
ὅτι καρδία μου εὐφράνθη ἐν παντὶ μόχθῳ μου·
καὶ τοῦτο ἐγένετο μερίς μου
ἀπὸ παντὸς μόχθου μου.
11 [11]καὶ ἐπέβλεψα ἐγὼ ἐν πᾶσιν ποιήμασίν μου
οἷς ἐποίησαν αἱ χεῖρές μου,
καὶ ἐν μόχθῳ ᾧ ἐμόχθησα τοῦ ποιεῖν,
καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος,
καὶ οὐκ ἔστιν περισσεία ὑπὸ τὸν ἥλιον.

12 [12]Καὶ ἐπέβλεψα ἐγὼ τοῦ ἰδεῖν σοφίαν
καὶ παραφορὰν καὶ ἀφροσύνην·
ὅτι τίς ἄνθρωπος ὃς ἐπελεύσεται ὀπίσω τῆς βουλῆς;
τὰ ὅσα ἐποίησεν αὐτήν.
13 [13]καὶ εἶδον ἐγὼ ὅτι ἐστὶν περισσεία τῇ σοφίᾳ ὑπὲρ τὴν ἀφρο-
σύνην,
ὡς περισσεία τοῦ φωτὸς ὑπὲρ τὸ σκότος.
14 [14]τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐν κεφαλῇ αὐτοῦ,
καὶ ὁ ἄφρων ἐν σκότει πορεύεται.
καὶ ἔγνων καί γε ἐγὼ
ὅτι συνάντημα ἓν συναντήσεται τοῖς πᾶσιν αὐτοῖς.
15 [15]καὶ εἶπα ἐγὼ ἐν καρδίᾳ μου
Ὡς συνάντημα τοῦ ἄφρονος,

8 εντρυφηματα $B^{a?b}$ $\aleph^{c.a}A$ (εν τρυφη μετα B^{*vid})] pr και $\aleph A$ | ανθρω- $\aleph A$ πων] του ανου $\aleph A$ | οινοχοον] οινοχοους $\aleph^{c.a}A$ **9** om απο $\aleph A$ | ενπροσθεν A **10** ουκ αφειλον] ουχ υφειλον A | om μου 3° $\aleph A$ **11** ποιημασιν] pr τοις $\aleph^{c.a}A$ | μοχθω] + μου A | ματαιοτης] pr παντα $\aleph$ | προαιρεσις (-σεις A)] περισ-σεια $\aleph$ | περισσια A **12** παραφοραν] περιφοραν $\aleph A$ | om ος A | απελευσεται $\aleph^{c.a}$ | τα οσα] συν οσα $\aleph^{c.a(vid)}$ | εποιησαν A | αυτη $\aleph$ **13** ιδον A | εστιν περισσεια] περισσια εστιν $\aleph$ **15** ως] εως $\aleph^{*}$ (ε ras postea inst $\aleph^{?}$)

Β καί γε ἐμοί, συναντήσεταί μοι·
καὶ ἵνα τί ἐσοφισάμην;
ἐγὼ περισσὸν ἐλάλησα ἐν καρδίᾳ μου
ὅτι καί γε τοῦτο ματαιότης,
διότι ὁ ἄφρων ἐκ περισσεύματος λαλεῖ.
16 ὅτι οὐκ ἔστιν μνήμη τοῦ σοφοῦ 16
μετὰ τοῦ ἄφρονος εἰς τὸν αἰῶνα,
καθότι ἤδη αἱ ἡμέραι ἐρχόμεναι
τὰ πάντα ἐπελήσθη·
καὶ πῶς ἀποθανεῖται ὁ σοφὸς μετὰ τοῦ ἄφρονος;
17 καὶ ἐμίσησα σὺν τὴν ζωήν, 17
ὅτι πονηρὸν ἐπ᾽ ἐμὲ τὸ ποίημα
τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον,
ὅτι πάντα ματαιότης καὶ προαίρεσις πνεύματος.
18 καὶ ἐμίσησα ἐγὼ σύμπαντα μόχθον μου 18
§ C ὃν ἐγὼ κοπιῶ § ὑπὸ τὸν ἥλιον,
ὅτι ἀφίω αὐτὸν τῷ ἀνθρώπῳ τῷ γινομένῳ μετ᾽ ἐμέ.
19 καὶ τίς εἶδεν εἰ σοφὸς ἔσται ἢ ἄφρων; 19
καὶ εἰ ἐξουσιάζεται ἐν παντὶ μόχθῳ μου
ᾧ ἐμόχθησα καὶ ἐσοφισάμην ὑπὸ τὸν ἥλιον;
καί γε τοῦτο ματαιότης.
20 καὶ ἐπέστρεψα ἐγὼ τοῦ ἀποτάξασθαι τὴν καρδίαν μου 20
ἐν παντὶ μόχθῳ μου ᾧ ἐμόχθησα ὑπὸ τὸν ἥλιον,
21 ὅτι ἐστὶν ἄνθρωπος, ὅτι μόχθος αὐτοῦ 21
ἐν σοφίᾳ καὶ ἐν γνώσει καὶ ἐν ἀνδρείᾳ·
καὶ ἄνθρωπος ᾧ οὐκ ἐμόχθησεν ἐν αὐτῷ,
δώσει αὐτῷ μερίδα αὐτοῦ·
καί γε τοῦτο ματαιότης καὶ πονηρία μεγάλη.
22 ὅτι γίνεται ἐν τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ 22
καὶ ἐν προαιρέσει καρδίας αὐτοῦ

ℵAC **15** om *μοι* ℵ$^{c.a}$ | *εσοφισαμην*] +*εγω* ℵ$^{c.a}$ | *εγω* 2°] +*τοτε* ℵ$^{c.a}$A | *οτι και γε...λαλει*] *διοτι αφρων εκ περισσ. λαλει οτι και γε τουτο ματαιοτης* (*ματης* ℵ* *ματαιοτης* ℵ$^{c.a}$) ℵA **16** *μνημη*] pr *η* ℵ* (om *η* ℵ$^{c.a}$) | *τον αιωνα*] om *τον* B^{ab}ℵA | *αι ημεραι ερχομεναι*] *ταις ημεραις ταις επερχομεναις* ℵ$^{c.a}$A | *ο σοφος*] om *ο* ℵ **17** *παντα*] pr *τα* ℵA | *προαιρεσεις* A **18** *συμπαντα*] *συν παντα* ℵA | *μοχθον*] pr *τον* ℵ | *κοπιω*] *μοχθω* ℵA | *γινομενω*] *γενησομενω* AC | *εμε*] *εμου* C **19** *ειδεν*] *οιδεν* ℵAC | *ει* 1°] *η* ℵA | *εξουσιασεται* C | *και* 3°] +*ω* B^{ab}ℵ$^{c.a}$AC **20** *τη καρδια* ℵA | *εν*] *επι* AC | *μοχθω*] pr *τω* A | om *μου* 2° AC **21** *ανδρια* ℵC | *ω*] *ος* ℵ$^{c.a}$ om A | *εμοχθησα* C | *αυτω* 2°] *αυτον* AC **22** om *εν* 1° ℵAC | *προαιρεσει*] pr *τη* ℵ* (om ℵ$^{c.a}$)

ᾧ αὐτὸς μοχθεῖ ὑπὸ τὸν ἥλιον. B
23 [23]ὅτι πᾶσαι αἱ ἡμέραι αὐτοῦ
ἀλγημάτων καὶ θυμοῦ περισπασμὸς αὐτοῦ·
καί γε ἐν νυκτὶ οὐ κοιμᾶται ἡ καρδία αὐτοῦ.
καί γε τοῦτο ματαιότης ἐστίν.

24 [24]Οὐκ ἔστιν ἀγαθὸν ἀνθρώπῳ,
ὃ φάγεται καὶ ὃ πίεται καὶ ὃ δείξει τῇ ψυχῇ αὐτοῦ
ἀγαθὸν ἐν μόχθῳ αὐτοῦ·
καί γε τοῦτο εἶδον ἐγὼ ὅτι ἀπὸ χειρὸς τοῦ θεοῦ ἐστιν·
25 [25]ὅτι τίς φάγεται καὶ τίς πίεται παρὲξ αὐτοῦ;
26 [26]ὅτι τῷ ἀνθρώπῳ τῷ ἀγαθῷ
πρὸ προσώπου αὐτοῦ ἔδωκεν σοφίαν
καὶ γνῶσιν καὶ εὐφροσύνην·
καὶ τῷ ἁμαρτάνοντι ἔδωκεν περισπασμὸν
τοῦ προσθεῖναι καὶ τοῦ συναγαγεῖν·
τοῦ δοῦναι τῷ ἀγαθῷ πρὸ προσώπου τοῦ θεοῦ.
ὅτι καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.

III 1 [1]Τοῖς πᾶσιν ὁ χρόνος,
καὶ καιρὸς παντὶ πράγματι τῷ ὑπὸ τὸν οὐρανόν.
2 [2]καιρὸς τοῦ τεκεῖν καὶ καιρὸς τοῦ ἀποθανεῖν,
καιρὸς τοῦ φυτεῦσαι καὶ καιρὸς τοῦ ἐκτῖλαι πεφυτευμένον,
3 [3]καιρὸς τοῦ ἀποκτεῖναι καὶ καιρὸς τοῦ ἰάσασθαι,
καιρὸς τοῦ καθελεῖν καὶ καιρὸς τοῦ οἰκοδομεῖν,
4 [4]καιρὸς τοῦ κλαῦσαι καὶ καιρὸς τοῦ γελάσαι,
καιρὸς τοῦ κόψασθαι καὶ καιρὸς τοῦ ὀρχήσασθαι,
5 [5]καιρὸς τοῦ βαλεῖν λίθους καὶ καιρὸς τοῦ συναγαγεῖν λίθους,
καιρὸς τοῦ περιλαβεῖν καὶ καιρὸς τοῦ μακρυνθῆναι ἀπὸ περι-
λήμψεως,
6 [6]καιρὸς τοῦ ζητῆσαι καὶ καιρὸς τοῦ ἀπολέσαι,

22 om ω ℵ* (hab ℵ$^{c.a}$) **24** *ανθρωπω*] pr *εν* ℵ pr *τω* C | *ο* 1° (*ος* A*)] ℵAC pr *πλην* ℵ$^{c.a}$ pr *ει μη* C | om *ο* 2° A | *ιδον* A | om *εγω* C **26** *αυτου*] *του θῦ* C | *εδωκε* (2°) C | *του συναγαγειν*] om *του* ℵ III **1** *ο χρονος*] om *ο* ℵ* (hab ℵ$^{c.a}$) | om *και* C | *παντι πραγματι τω*] *τω παντι πραγματι* B^{ab} ℵAC | *ουρανον*] *ηλιον* ℵ$^{c.a}$ **2** *καιρος* 1°] pr *και* ℵ* (om ℵ$^{c.a}$) | *εκτειλαι* BAC | *πεφυτευμενον*] pr *το* ℵ$^{c.a}$ C **3** *οικοδομειν*] *οικοδομησαι* ℵAC **4** *γελασαι*] *γε λαλησαι* ℵ* (*γελασαι* ℵ^{1} (vid) c.a fort) **5** *περιλημψεως*] *περι-λημματος* AC

B καιρὸς τοῦ φυλάξαι καὶ καιρὸς τοῦ ἐκβαλεῖν,
7 καιρὸς τοῦ ῥῆξαι καὶ καιρὸς τοῦ ῥάψαι, 7
καιρὸς τοῦ σιγᾷν καὶ καιρὸς τοῦ λαλεῖν,
8 καιρὸς τοῦ φιλῆσαι καὶ καιρὸς τοῦ μισῆσαι, 8
καιρὸς πολέμου καὶ καιρὸς εἰρήνης.
9 τίς περισσεία τοῦ ποιοῦντος ἐν οἷς αὐτὸς μοχθεῖ; 9
10 εἶδον σὺν πάντα τὸν περισπασμὸν ὃν ἔδωκεν ὁ θεὸς 10
τοῖς υἱοῖς τῶν ἀνθρώπων τοῦ περισπᾶσθαι ἐν αὐτῷ.
11 τὰ σύμπαντα ἃ ἐποίησεν καλὰ ἐν καιρῷ αὐτοῦ· 11
καί γε σύμπαντα τὸν αἰῶνα ἔδωκεν ἐν καρδίᾳ αὐτῶν,
ὅπως μὴ εὕρῃ ὁ ἄνθρωπος
τὸ ποίημα ὃ ἐποίησεν ὁ θεὸς ἀπ᾽ ἀρχῆς καὶ μέχρι τέλους.
12 ἔγνων ὅτι οὐκ ἔστιν ἀγαθὸν ἐν αὐτοῖς, 12
εἰ μὴ τοῦ εὐφρανθῆναι καὶ τοῦ ποιεῖν ἀγαθὸν ἐν ζωῇ αὐτοῦ·
13 καί γε πᾶς ὁ ἄνθρωπος ὃς φάγεται καὶ πίεται 13
καὶ ἴδῃ ἀγαθὸν ἐν παντὶ μόχθῳ αὐτοῦ,
δόμα θεοῦ ἐστιν.
14 ἔγνων ὅτι πάντα ὅσα ἐποίησεν ὁ θεὸς 14
αὐτὰ ἔσται εἰς τὸν αἰῶνα·
ἐπ᾽ αὐτῷ οὐκ ἔστιν προσθεῖναι,
καὶ ἀπ᾽ αὐτοῦ οὐκ ἔστιν ἀφελεῖν
καὶ ὁ θεὸς ἐποίησεν ἵνα φοβηθῶσιν ἀπὸ προσώπου αὐτοῦ.
15 τὸ γενόμενον ἤδη ἐστίν, 15
καὶ ὅσα τοῦ γίνεσθαι ἤδη γέγονεν,
καὶ ὁ θεὸς ζητήσει τὸν διωκόμενον.

16 Καὶ ἔτι εἶδον ὑπὸ τὸν ἥλιον τόπον τῆς κρίσεως, 16
ἐκεῖ ὁ ἀσεβής·
καὶ τόπον τοῦ δικαίου,
ἐκεῖ ὁ εὐσεβής.

ℵAC **8** πολεμου] pr του ℵ* (om ℵc.a) **9** περισσια C **10** ιδον AC | om παντα ℵAC | περισπασμον] πειρασμον A | δωκεν ο θς τοις υιοις bis scr ℵ* (1° unc incl ℵ1c.a) | των ανθρωπων] του ανθρωπου ℵAC | του περισπασθαι Bℵc.a AC] περισπασθηναι ℵ* **11** τα συμπαντα] om τα ℵcA συν παντα C | om α ℵ* (hab ℵc.a) | εν καιρω] ενωπιον ℵ* (εν κρω ℵc.a) | αυτου] αυτων ℵc.a | συμπαντα 2°] συν ℵA συν παντα C | αυτων] αυτου A **12** εν αυτοις αγαθον ℵ | ποιειν] πιειν ℵ* (ποιειν ℵ1 fort) **13** ο ανθρωπος] om ο ℵAC | om ος ℵ* (hab ℵc.a) | δομα] pr τουτο A | θεου] του κῡ C **14** εγνων] pr και C | αυτω] αυτων ℵAC | εστι (1°) C | αυτου 1°] αυτων ℵAC **15** γενομενον] γεννωμενον A | γινεσθαι] γενεσθαι ℵc.a | γεγονεν] εγονεν A **16** ιδον AC | των δικαιων A

17 [17]καὶ εἶπα ἐγὼ ἐν καρδίᾳ μου B
Σὺν τὸν δίκαιον καὶ σὺν τὸν ἀσεβῆ κρινεῖ ὁ θεός·
ὅτι καιρὸς τῷ παντὶ πράγματι
καὶ ἐπὶ παντὶ τῷ ποιήματι.
18 [18]καὶ εἶπα ἐγὼ ἐν καρδίᾳ μου
περὶ λαλιᾶς υἱῶν τοῦ ἀνθρώπου,
ὅτι διακρινεῖ αὐτοὺς ὁ θεός,
καὶ τοῦ δεῖξαι ὅτι αὐτοὶ κτήνη εἰσίν.
19 [19]καί γε αὐτοῖς οὐ συνάντημα υἱῶν τοῦ ἀνθρώπου
καὶ συνάντημα τοῦ κτήνους;
συνάντημα ἓν αὐτοῖς·
ὡς ὁ θάνατος τούτου, οὕτως ὁ θάνατος τούτου,
καὶ πνεῦμα ἓν τοῖς πᾶσιν.
καὶ τί ἐπερίσσευσεν ὁ ἄνθρωπος παρὰ τὸ κτῆνος;
οὐδέν, ὅτι πάντα ματαιότης.
20 [20]τὰ πάντα εἰς τόπον ἕνα,
τὰ πάντα ἐγένετο ἀπὸ τοῦ χόος,
καὶ τὰ πάντα ἐπιστρέψει εἰς τὸν χοῦν.
21 [21]καὶ τίς οἶδεν πνεῦμα υἱῶν τοῦ ἀνθρώπου,
εἰ ἀναβαίνει αὐτὸ εἰς ἄνω;
καὶ πνεῦμα τοῦ κτήνους,
εἰ καταβαίνει αὐτὸ κάτω εἰς γῆν;
22 [22]καὶ εἶδον ὅτι οὐκ ἔστιν ἀγαθόν,
εἰ μὴ ὁ εὐφρανθήσεται ὁ ἄνθρωπος
ἐν ποιήμασιν αὐτοῦ, ὅτι αὐτὸ μερὶς αὐτοῦ·
ὅτι τίς ἄξει αὐτὸν τοῦ ἰδεῖν ἐν ᾧ ἐὰν γένηται μετ' αὐτόν;

IV 1 [1]Καὶ ἐπέστρεψα ἐγὼ καὶ εἶδον
συμπάσας τὰς συκοφαντίας

17 και 1°] om ℵ εκει AC | ειπα] ειπον ℵAC | ασεβην ℵ | τω ποιηματι] ℵAC om τω ℵA **18** και ειπα εγω] εκι επαγω ℵ* εκι ειπα εγω ℵ$^{c.a}$ εκει ειπα εγω AC | του δειξαι] δειξαι ℵ* τουτο δειξαι ℵ$^{c.a}$ τουτο δειξαι A **19** ου] ως ℵ om AC | αυτοις 2°] τοις πασιν ℵ$^{c.a}$ | ουτως] + και ℵ | τοις] αυτοις ℵ* (improb αυ ℵ$^{c.a}$) | τι επερισσευσεν ο ανθρωπος] τις περισσεια τω ανθρωπω ℵ$^{c.a}$; in C superest tantum σσευσεν ανος (sic) | ουδεν] οιδεν A^{*vid} (ουδ. A$^{?}$) | παντα] pr τα AC **20** εις] pr πορευεται ℵ$^{c.a}$AC | τα παντα (2°)] om τα AC | επιστρεψει] επιστρεφει ℵ (-φι) AC **21** και τις οιδεν evan in C | πνευμα 1°] pr το ℵ$^{c.a}$A | πνευμα 2°] pr το ℵ | γην] pr την A **22** ιδον A | ευφρανθησεται] ευφρ.....ται C | ο ανθρωπος] om ο ℵA | εαν] ā| A | αυτον] αυτων ℵ* (-τον ℵ$^{c.a}$) IV **1**—V **3** multa evanuer in C IV **1** ιδον AC | συμπασας] πασας ℵ συν πασας A hiat C | συκοφαντειας B* (-τιας B^{b}ℵA) de C non liq

B τὰς γινομένας ὑπὸ τὸν ἥλιον·
ἰδοὺ δάκρυον τῶν συκοφαντουμένων,
καὶ οὐκ ἔστιν αὐτοῖς παρακαλῶν,
καὶ ἀπὸ χειρὸς συκοφαντούντων αὐτοὺς ἰσχύς,
καὶ οὐκ ἔστιν αὐτοῖς παρακαλῶν.
2 καὶ ἐπῄνεσα ἐγὼ σύμπαντας τοὺς τεθνηκότας 2
τοὺς ἤδη ἀποθανόντας ὑπὲρ τοὺς ζῶντας,
ὅσοι αὐτοὶ ζῶσιν ἕως τοῦ νῦν·
3 καὶ ἀγαθὸς ὑπὲρ τοὺς δύο τούτους 3
ὅστις οὔπω ἐγένετο,
ὃς οὐκ εἶδεν σὺν πᾶν τὸ ποίημα τὸ πονηρὸν
τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον.

4 Καὶ ἴδον ἐγὼ σύμπαντα τὸν μόχθον 4
καὶ σύμπασαν ἀνδρείαν τοῦ ποιήματος,
ὅτι τὸ ζῆλος ἀνδρὶ ἀπὸ τοῦ ἑταίρου αὐτοῦ·
καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.
5 ὁ ἄφρων περιέβαλεν τὰς χεῖρας αὐτοῦ 5
καὶ ἔφαγεν τὰς σάρκας αὐτοῦ.
6 ἀγαθὸν πλήρωμα δρακὸς ἀναπαύσεως 6
ὑπὲρ πλήρωμα δύο δρακῶν μόχθου
καὶ προαιρέσεως πνεύματος.

7 Καὶ ἐπέστρεψα ἐγὼ καὶ ἴδον ματαιότητα ὑπὸ τὸν ἥλιον. 7
8 ἔστιν εἷς καὶ οὐκ ἔστιν δεύτερος, 8
καί γε υἱὸς καί γε ἀδελφὸς οὐκ ἔστιν αὐτῷ·
καὶ οὐκ ἔστιν περασμὸς τῷ παντὶ μόχθῳ αὐτοῦ,
καί γε ὀφθαλμὸς αὐτοῦ οὐκ ἐμπίπλαται πλούτου.
καὶ τίνι ἐγὼ μοχθῶ

ℵAC **1** γινομενας B ℵ$^{c.a}$ (γειν.)] γενομενας ℵ*A hiat C | ιδου] pr και ℵAC^{vid} | και απο...ισχυν (sic) sup ras B$^{1\,fort\,a}$? | om και απο...παρακαλων (2°) C | ισχυς] ισχυν B$^{1\,fort\,a}$ ℵ* ισχυ ουκ εστιν ℵ$^{c.a}$ | om και 5° ℵ | παρακαλων 2°] pr ο ℵA **2** συμπαντας BC^{vid}] συν ℵA **3** om και αγαθος...ηλιον ℵ* (hab και αγ. υπερ τους δ. τ. οστις ουπω εγενετο. ος ουκ ιδεν συν το ποιημα το πεποιημενον υπο τ. ηλιον ℵ$^{c.a}$) | συν παν BC^{vid}] om παν A **4** ειδον ℵ | συμπαντα] συν παντα ℵ hiat C | συνπασαν] συν πασαν ℵA hiat C | ανδριαν ℵA hiat C | το ζηλος] αυτο ζ. B^{ab}A | ανδρι] ανδρος ℵA hiat C | εταιρου] ετερου ℵA **5** ο αφρων] om ο ℵA | περιεβαλεν] περιελαβεν ℵA **6** πληρωματα ℵAC **7** γω ℵ* (εγω ℵ^{1}?) | ειδον ℵC^{vid} **8** om υιος και γε ℵ* (hab ℵ$^{c.a}$) | οφθαλμος] pr ο ℵ | om αυτου 2° ℵ* (hab ℵ$^{c.a}$) | ενπιπλαται A de C non liq

καὶ στερίσκω τὴν ψυχήν μου ἀπὸ ἀγαθωσύνης; B
καί γε τοῦτο ματαιότης
καὶ περισπασμὸς πονηρός ἐστιν.
9 [9]ἀγαθοὶ δύο ὑπὲρ τὸν ἕνα,
οἷς ἐστιν αὐτοῖς μισθὸς ἀγαθὸς ἐν μόχθῳ αὐτῶν·
10 [10]ὅτι ἐὰν πέσωσιν, ὁ εἷς ἐγερεῖ τὸν μέτοχον αὐτοῦ·
καὶ οὐαὶ αὐτῷ τῷ ἑνὶ ὅταν πέσῃ
καὶ μὴ ᾖ δεύτερος ἐγεῖραι αὐτόν.
11 [11]καί γε ἂν κοιμηθῶσιν δύο, καὶ θέρμη αὐτοῖς·
καὶ ὁ εἷς πῶς θερμανθῇ;
12 [12]καὶ ἐὰν ἐπικραταιωθῇ ὁ εἷς,
οἱ δύο στήσονται κατέναντι αὐτοῦ,
καὶ τὸ σπαρτίον τὸ ἔντριτον οὐ ταχὺ ἀπορραγήσεται.

13 [13]Ἀγαθὸς παῖς πένης καὶ σοφὸς
ὑπὲρ βασιλέα πρεσβύτερον καὶ ἄφρονα,
ὃς οὐκ ἔγνω τοῦ προσέχειν ἔτι·
14 [14]ὅτι ἐξ οἴκου τῶν δεσμίων ἐξελεύσεται τοῦ βασιλεῦσαι,
ὅτι καί γε ἐν βασιλείᾳ αὐτοῦ ἐγενήθη πένης.
15 [15]ἴδον σύμπαντας τοὺς ζῶντας
τοὺς περιπατοῦντας ὑπὸ τὸν ἥλιον
μετὰ τοῦ νεανίσκου τοῦ δευτέρου,
ὃς στήσεται ἀντ' αὐτοῦ·
16 [16]οὐκ ἔστιν περασμὸς τῷ παντὶ λαῷ,
τοῖς πᾶσιν οἳ ἐγένοντο ἔμπροσθεν αὐτῶν·
καί γε οἱ ἔσχατοι οὐκ εὐφρανθήσονται ἐπ' αὐτῷ.
ὅτι καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.

17 [17]Φύλαξον τὸν πόδα σου ἐν ᾧ ἐὰν πορεύῃ εἰς οἶκον τοῦ θεοῦ,
καὶ ἐγγὺς τοῦ ἀκούειν·

8 περισπασμος] πιρασμος A **9** δυο] pr οι ℵAC **10** εγερει] εγειρει ℵAC A hiat C | εγειραι] ras ι lit inter ρ et α B^{1} pr του ℵAC **11** αν] εαν AC | δυο] pr οι ℵA | θερμη] θερμανη C **12** om εαν ℵ* (hab $ℵ^{c.a}$) | οι δυο] pr και ℵ* (om $ℵ^{c.a}$) | ταχυ] ταχεως ℵAC **14** δεσμιων] δεσμων ℵA | του βασιλευσαι] om του ℵA **15** ειδον ℵC | στησεται] αναστησεται ℵAC **16** οι εγενοντο] οτι εγενετο ℵ οσοι εγενοντο Λ | επ] εν ℵA **17** τον ποδα] om τον ℵ* (hab $ℵ^{c.a}$) | εν ω εαν πορευη] εν ω αν πορευη ℵ*A εν τω πορευεσθαι $ℵ^{c.a}$ | οικον] pr τον A hiat C | του θεου] om του ℵ hiat C | εγγυς] εγγισον $ℵ^{c.a}$

B *ὑπὲρ δόμα τῶν ἀφρόνων θυσία σου,*
ὅτι οὐκ εἰσὶν εἰδότες τοῦ ποιεῖν κακόν.
[1]*μὴ σπεῦδε ἐπὶ στόματί σου,* 1 V
καὶ καρδία σου μὴ ταχυνάτω
τοῦ ἐξενέγκαι λόγον πρὸ προσώπου τοῦ θεοῦ·
ὅτι ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐπὶ τῆς γῆς·
διὰ τοῦτο ἔστωσαν οἱ λόγοι σου ὀλίγοι.
[2]*ὅτι παραγίνεται ἐνύπνιον ἐν πλήθει πειρασμοῦ,* 2
καὶ φωνὴ ἄφρονος ἐν πλήθει λόγων.
[3]*καθὼς εὔξῃ εὐχὴν τῷ θεῷ,* 3
μὴ χρονίσῃς τοῦ ἀποδοῦναι αὐτήν.
οὐκ ἔστιν θέλημα ἐν ἄφροσιν·
σὺ οὖν ὅσα ἐὰν εὔξῃ ἀπόδος.
[4]*ἀγαθὸν τὸ μὴ εὔξασθαί σε,* 4
ἢ τὸ εὔξασθαί σε καὶ μὴ ἀποδοῦναι.
[5]*μὴ δῷς τὸ στόμα σου τοῦ ἐξαμαρτῆσαι τὴν σάρκα σου,* 5
καὶ μὴ εἴπῃς πρὸ προσώπου τοῦ θεοῦ ὅτι Ἄγνοιά ἐστιν,
ἵνα μὴ ὀργισθῇ ὁ θεὸς ἐπὶ φωνῇ σου
καὶ διαφθείρῃ τὰ ποιήματα χειρῶν σῶν.
[6]*ὅτι ἐν πλήθει ἐνυπνίων καὶ ματαιοτήτων καὶ λόγων πολλῶν·* 6
ὅτι σὺ τὸν θεὸν φοβοῦ.

[7]*Ἐὰν συκοφαντίαν πένητος καὶ ἁρπαγὴν κρίματος καὶ δικαιο-* 7
σύνης ἴδῃς ἐν χώρᾳ,
μὴ θαυμάσῃς ἐπὶ τῷ πράγματι·
ὑψηλὸς ἐπάνω ὑψηλοῦ φυλάξει,
καὶ ὑψηλοὶ ἐπ' αὐτούς· [8]*καὶ περισσεία γῆς·* 8
ἐπὶ παντί ἐστι βασιλεὺς τοῦ ἀγροῦ εἰργασμένου.

ℵAC **17** *δομα των αφρονων*] *το δουναι αφροσυνης* ℵ$^{c.a}$ | *θυσια σου*] *θυσιας* ℵ | *ποιειν*] *ποιησαι* ℵAC | *κακον*] *το καλον* ℵ V **1** *σπευδε*] *σπευσης* ℵ | *ταχυνετω* ℵA hiat C | *εξενεγκαι*] ras aliq in *ν* superius B$^{?}$ | *ο θεος*] om ο ℵ | om *ανω* ℵA | *γης*] + *κατω* ℵ* (om *κατω* ℵ$^{c.a}$) | *δια τουτο* Bℵ$^{c.a}$] *επι τουτω* ℵ*AC **2** om *ενυπνιον* ℵ* (hab ℵ$^{c.a}$) **3** *καθως*] + *αν* ℵAC | *του αποδουναι*] om *του* C | *ουκ*] pr *οτι* ℵAC | *εαν*] *αν* AC^{vid} **4** om *μη* 2° ℵ* (superscr ℵ^{1}) **5** *στομα*] *αιμα* A* (*στομα* A$^{?}$) | *εξαμαρτησαι*] *εξαμαρτανειν* ℵ* *εξαμαρτειν* ℵ$^{c.a}$AC | *προ προσωπου*] *το προσωπον* ℵ | *τα ποιηματα*] om *τα* ℵ$^{c.a}$ | *σων*] *σου* ℵAC **6** *συ*] *συν* AC **7** *κριματος* ℵ* (improb π ℵ$^{1\,c.a}$) | *δικαιοσυνην* ℵ | *ιδης*] *ειδης* A | *υψηλος*] pr *οτι* ℵAC | *φυλαξει*] *φυλαξει* ℵ$^{c.a}$ *φυλασσει* AC | *αυτους*] *αυτης* ℵAC **8** *και περισσεια*] *κα, ισ* fort sup ras in B | *περισσια* ℵAC | *εστιν* ℵAC | *βασιλευς*] pr *και* C | *του αγρου*] om *του* ℵ* (hab ℵ$^{c.a}$)

[9]ἀγαπῶν ἀργύριον οὐ πλησθήσεται ἀργυρίου· B
καὶ τίς ἠγάπησεν ἐν πλήθει αὐτῶν γένημα;
καί γε τοῦτο ματαιότης.
10 [10]ἐν πλήθει ἀγαθωσύνης ἐπληθύνθησαν ἔσθοντες αὐτήν·
καὶ τί ἀνδρεία τῷ παρ' αὐτῆς;
ὅτι ἀρχὴ τοῦ ὁρᾶν ὀφθαλμὸν αὐτοῦ.
11 [11]γλυκὺς ὕπνος τοῦ δούλου
εἰ ὀλίγον καὶ εἰ πολὺ φάγεται,
καὶ τῷ ἐμπλησθέντι τοῦ πλουτῆσαι
οὐκ ἔστιν ἀφίων αὐτὸν τοῦ ὑπνῶσαι.
12 [12]ἔστιν ἀρρωστία ἣν ἶδον ὑπὸ τὸν ἥλιον,
πλοῦτον φυλασσόμενον τῷ παρ' αὐτοῦ εἰς κακίαν αὐτῷ,
13 [13]καὶ ἀπολεῖται ὁ πλοῦτος ἐκεῖνος ἐν περισπασμῷ πονηρῷ,
καὶ ἐγέννησεν υἱόν, καὶ οὐκ ἔστιν ἐν χειρὶ αὐτοῦ οὐδέν·
14 [14]καθὼς ἐξῆλθεν ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ γυμνός,
ἐπιστρέψει τοῦ πορευθῆναι ὡς ἥκει,
καὶ οὐδὲν οὐ λήμψεται ἐν μόχθῳ αὐτοῦ,
ἵνα πορευθῇ ἐν χειρὶ αὐτοῦ.
15 [15]καί γε τοῦτο πονηρὰ ἀρρωστία·
ὥσπερ γὰρ παρεγένετο, οὕτως καὶ ἀπελεύσεται·
καὶ ἡ περισσεία αὐτοῦ ᾗ μοχθεῖ εἰς ἄνεμον.
16 [16]καί γε πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἐν σκότει καὶ ἐν πένθει
καὶ θυμῷ πολλῷ καὶ ἀρρωστίᾳ καὶ χόλῳ.

17 [17]Ἰδοὺ εἶδον ἐγὼ ἀγαθὸν ὃ ἐστιν καλόν,
τοῦ φαγεῖν καὶ τοῦ πιεῖν
καὶ τοῦ ἰδεῖν ἀγαθωσύνην
ἐν παντὶ μόχθῳ αὐτοῦ
ᾧ ἐὰν μοχθῇ ὑπὸ τὸν ἥλιον
ἀριθμὸν ἡμερῶν ζωῆς αὐτοῦ

9 αυτων] αυτου $\aleph^{c.a}$AC | γενηματα $\aleph$ **10** εν πλ. αγαθ. c praec coniung $\aleph$AC B | εσθοντες] pr οι $\aleph$AC | τι] τις $\aleph^{c.a}$ | ανδρεια] ανδρι $\aleph^{*}$ ανδρια $\aleph^{c.a}$AC | αρχη] αλλ η $\aleph^{c.a}$ | οφθαλμοις $B^{ab}\aleph$AC **12** αρρωστεια B* (αρρωστια B^{b}) | ειδον $\aleph$ | αυτω] αυτου $\aleph$AC **13** περισπασμω] πιρασμω $\aleph$ + αυτου A | om πονηρω A **14** πορευθηναι] + εκει $\aleph$ | om ου AC | χειρι αυτου] ρι α, ου sup ras B^{2} vid **15** αρρωστεια B* (αρρωστια B^{b}) | η περ.] pr τις $\aleph$AC | αυτου] αυτω $\aleph$AC **16** om πασαι $\aleph^{*}$ (hab $\aleph^{c.a}$) | αρρωστεια B* (αρρωστια B^{b}) **17** ειδον εγω] εγω ο ειδον $\aleph^{*}$ (ειδον εγω $\aleph^{c.a}$) ο ιδον εγω A ο ειδον εγω C | om ο 1° A | εστι C | εαν] αν $\aleph$ | μοχθη] μοχθηση $\aleph$AC

B ὧν ἔδωκεν αὐτῷ ὁ θεός·
ὅτι αὐτὸ μερὶς αὐτοῦ.
18 καί γε πᾶς ἄνθρωπος ᾧ ἔδωκεν αὐτῷ ὁ θεὸς 18
πλοῦτον καὶ ὑπάρχοντα, καὶ ἐξουσίασεν αὐτῶν,
φαγεῖν ἀπ᾽ αὐτοῦ καὶ λαβεῖν τὸ μέρος αὐτοῦ
καὶ τοῦ εὐφρανθῆναι ἐν μόχθῳ αὐτοῦ,
τοῦτο δόμα θεοῦ ἐστίν.
19 ὅτι οὐκ ἄλλα μνησθήσεται τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ· 19
ὅτι ὁ θεὸς περισπᾷ αὐτὸν ἐν εὐφροσύνῃ καρδίας αὐτοῦ.

1″Εστιν πονηρία ἣν ἴδον ὑπὸ τὸν ἥλιον, 1 VI
καὶ πολλή ἐστιν ὑπὸ τὸν ἄνθρωπον·
2 ἀνὴρ ᾧ δώσει αὐτῷ ὁ θεὸς 2
πλοῦτον καὶ ὑπάρχοντα καὶ δόξαν,
καὶ οὐκ ἔστιν ὑστερῶν τῇ ψυχῇ αὐτοῦ
ἀπὸ πάντων ὧν ἐπιθυμήσει·
καὶ οὐκ ἐξουσιάσει αὐτῷ ὁ θεὸς τοῦ φαγεῖν ἀπ᾽ αὐτοῦ,
ὅτι ἀνὴρ ξένος φάγεται αὐτόν.
τοῦτο ματαιότης καὶ ἀρρωστία πονηρά ἐστιν.
3 ἐὰν γεννήσῃ ἀνὴρ ἑκατόν, καὶ ἔτη πολλὰ ζήσεται, 3
καὶ πλῆθος ὅ τι ἔσονται ἡμέραι ἐτῶν αὐτοῦ,
καὶ ψυχὴ αὐτοῦ οὐ πλησθήσεται ἀπὸ τῆς ἀγαθωσύνης,
καί γε ταφὴ οὐκ ἐγένετο αὐτῷ,
εἶπα ᾽Αγαθὸν ὑπὲρ αὐτὸν τὸ ἔκτρωμα·
4 ὅτι ἐν ματαιότητι ἦλθεν καὶ ἐν σκότει πορεύεται, 4
καὶ ἐν σκότει ὄνομα αὐτοῦ καλυφθήσεται,
5 καί γε ἥλιον οὐκ εἶδεν, καὶ οὐκ ἔγνω ἀναπαύσεις 5
τούτῳ ὑπὲρ τοῦτον.
6 καὶ εἰ ἔζησεν χιλίων ἐτῶν καθόδους, 6
καὶ ἀγαθωσύνην οὐκ εἶδεν,

ℵAC **17** ων] ην ℵ* (ων ℵc.a) **18** υπαρχοντα] χον sup ras B^{2} | αυτων] αυτον ℵA αυτω C | φαγειν] pr του ℵAC **19** ουκ αλλα] ου πολλα B^{ab} ου πολλας ℵAC VI **1** ειδον B^{ab}ℵC | υπο 2°] επι ℵc.aAC **2** παντων ων] παντος ου AC | επιθυμησει] επιθυμει A | του φαγειν] om του A | φαγεται] καταφαγεται ℵ* (φαγ. ℵc.a) | αυτον] αυτα A | τουτο] pr οτι και γε ℵ pr και γε AC | αρρωστεια B* (αρρωστια B^{b}) **3** ημεραι] pr αι AC | ετων] pr των C | ψυχη] pr η ℵAC | ου πλησθησεται] ουκ εμπλησθησεται ℵAC | απο της αγαθωσυνης] om της ℵA om απο της C | ταφη] |αφη ℵ **5** αναπαυσις (inc stich) C | τουτω] τουτο ℵ* (-τω ℵc.a) **6** ειδε C

μὴ οὐκ εἰς τόπον ἕνα πορεύεται; B
7 [7]πᾶς μόχθος ἀνθρώπου εἰς στόμα αὐτοῦ,
καί γε ἡ ψυχὴ οὐ πληρωθήσεται.
8 [8]ὅτι περισσεία τῷ σοφῷ ὑπὲρ τὸν ἄφρονα,
διότι ὁ πένης οἶδεν πορευθῆναι κατέναντι τῆς ζωῆς.
9 [9]ἀγαθὸν ὅραμα ὀφθαλμῶν ὑπὲρ πορευόμενον ψυχῇ·
καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.

10 [10]Εἴ τι ἐγένετο, ἤδη κέκληται ὄνομα αὐτοῦ,
καὶ ἐγνώσθη ὅ ἐστιν ἄνθρωπος,
καὶ οὐ δυνήσεται κριθῆναι μετὰ τοῦ ἰσχυροῦ ὑπὲρ αὐτόν·
11 [11]ὅτι εἰσὶν λόγοι πολλοὶ πληθύνοντες ματαιότητα.
VII 1 [1]τί περισσὸν τῷ ἀνθρώπῳ;
(VI) (12) [12]ὅτι τίς οἶδεν ἀγαθὸν τῷ ἀνθρώπῳ ἐν τῇ ζωῇ,
ἀριθμὸν ἡμερῶν ζωῆς ματαιότητος αὐτοῦ;
καὶ ἐποίησεν αὐτὰ ἐν σκιᾷ·
ὅτι τίς ἀπαγγελεῖ τῷ ἀνθρώπῳ
τί ἔσται ὀπίσω αὐτοῦ ὑπὸ τὸν ἥλιον;

(VII) (1) 2 [2]Ἀγαθὸν ὄνομα ὑπὲρ ἔλαιον ἀγαθόν,
καὶ ἡμέρα τοῦ θανάτου ὑπὲρ ἡμέραν γεννήσεως.
(2) 3 [3]ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους
ἢ ὅτι πορευθῆναι εἰς οἶκον πότου,
καθότι τοῦτο τέλος παντὸς ἀνθρώπου,
καὶ ὁ ζῶν δώσει ἀγαθὸν εἰς καρδίαν αὐτοῦ.
(3) 4 [4]ἀγαθὸν θυμὸς ὑπὲρ γέλωτα,
ὅτι ἐν κακίᾳ προσώπου ἀγαθυνθήσεται·
(4) 5 [5]καρδία σοφῶν ἐν οἴκῳ πένθους,

6 πορευεται] πορευσεται ℵ+τα παντα ℵAC **7** ανθρωπου] pr ℵAC του ℵAC | η ψυχη] om η AC **8** οτι] +τις ℵ$^{c.a}$AC | περισσια ℵC | πορευθηναι] pr που (sic) C **10** ει] η AC | κεκληται] κεκληκεν A | ονομα] pr το ℵ$^{c.a}$ | εγνωσθη] pr ο ℵ | ο] οτι C | κριθηναι] pr του ℵA | ισχυρου] ισχυροτερου ℵ **11** λογοι] ολιγοι ℵ VII **1** τι] οτι ℵ* (om ο ℵ$^{c.a}$) | αγαθον] pr τις ℵ* pr τι ℵ$^{c.a}$A | om εν τη ζωη...τω ανθρωπω (2°) C | ζωη] +αυτου ℵA | αυτα] αυτας A | εν σκια] εως σκιας ℵ$^{c.a}$ | ηλιον]+και καθως εστε τις απαγγελει αυτω A **2** του θανατου] om του C | γεννησεως] γενεσεως ℵAC+αυτου ℵ$^{c.a}$AC **3** η (pr ε ℵ* improb ℵ^{1}) οτι] παρα το ℵ$^{c.a}$ | τελος] pr το A | ανθρωπου] pr του ℵC | εις καρδιαν] εν καρδια A **4** αγαθον] αγαθος ℵ | αγαθυνθησεται]+καρδια ℵAC

Β καὶ καρδία ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης.
6 ἀγαθὸν τὸ ἀκοῦσαι ἐπιτίμησιν σοφοῦ 6 (5)
ὑπὲρ ἄνδρα ἀκούοντα ᾄσμα ἀφρόνων.
7 ὡς φωνὴ ἀκανθῶν ὑπὸ τὸν λέβητα, 7 (6)
οὕτως γέλως τῶν ἀφρόνων·
καί γε τοῦτο ματαιότης.
8 ὅτι ἡ συκοφαντία περιφέρει σοφὸν 8 (7)
καὶ ἀπόλλυσι τὴν καρδίαν εὐγενείας αὐτοῦ.
9 ἀγαθὴ ἐσχάτη λόγων ὑπὲρ ἀρχὴν αὐτοῦ, 9 (8)
ἀγαθὸν μακρόθυμος ὑπὲρ ὑψηλὸν πνεῦμα τιμῆς.
10 μὴ σπεύσῃς ἐν πνεύματί σου τοῦ θυμοῦσθαι, 10 (9)
ὅτι θυμὸς ἐν κόλπῳ ἀφρόνων ἀναπαύσεται.
11 μὴ εἴπῃς Τί ἐγένετο 11 (10)
ὅτι αἱ ἡμέραι αἱ πρότεραι ἦσαν ἀγαθαὶ ὑπὲρ ταύτας;
ὅτι οὐκ ἐν σοφίᾳ ἐπηρώτησας περὶ τούτου.
12 ἀγαθὴ σοφία μετὰ κληρονομίας 12 (11)
καὶ περισσεία τοῖς θεωροῦσιν τὸν ἥλιον·
13 ὅτι ἐν σκιᾷ αὐτῆς ἡ σοφία ὡς σκιὰ ἀργυρίου, 13 (12)
καὶ περισσεία γνώσεως τῆς σοφίας
ζωοποιήσει τὸν παρ᾽ αὐτῆς.
14 ἴδε τὰ ποιήματα τοῦ θεοῦ· 14 (13)
ὅτι τίς δυνήσεται κοσμῆσαι
ὃν ἂν ὁ θεὸς διαστρέψῃ αὐτόν;
15 ἐν ἡμέρᾳ ἀγαθωσύνης 15 (14)
ζῆθι ἐν ἀγαθῷ, καὶ ἴδε ἐν ἡμέρᾳ κακίας.
ἴδε καί γε σὺν τούτῳ συμφώνως
τοῦτο ἐποίησεν ὁ θεὸς περὶ λαλιᾶς,
ἵνα μὴ εὕρῃ ὁ ἄνθρωπος ὀπίσω αὐτοῦ οὐδέν.

ℵAC **5** *αφρονος* C **7** *ως*] pr *οτι* AC | *ακανθων*] pr *των* ℵAC | *γελως*] pr *ο* AC | *των αφρονων*] pr *ο* AC | *και γε τ. ματ.* c seqq coniung ℵ **8** *συκοφαντεια* A | *απολλυσι*] *απολλυει* ℵAC | *ευγενειας* (*-νιας* C)] *ευτονιαν* ℵ* *ευτονιας* ℵ$^{c.a}$A **9** *πνευμα τιμης* (*πνα τιμης* Bℵ*)] *πνατι* ℵ^{2} (ras *μης*) *πνι* AC **11** *προτεραι*] *προτερον* AC | *επερωτησας* C **12** *κληρονομιας*] *κληροδοσιας* ℵAC | *περισσια* ℵC **13** *η σοφια*] *της σοφιας* ℵ$^{c.a}$ | *αργυριου*] pr *του* ℵAC | *περισσια* ℵC | *τη σοφια* ℵ* (*της σοφιας* ℵ$^{c.a}$) | *ζωοποιησει*] pr *η σοφια* ℵ | *τον παρ αυτης*] *τον εχοντα αυτη*\| ℵ$^{c.a}$ **14** *κοσμησαι*] pr *του* ℵ$^{c.a}$AC | *ον*] *ο* C | *διαστρεψει* ℵ **15** *εν ημερα αγαθ.* c praec coniung ℵ | *αγαθωσυνης*]+*αυτου* ℵ | *αγαθω*] *αγαθωσυνη* ℵ* (*-θω* ℵ$^{c.a}$) | om *ιδε* 2° ℵ$^{c.a}$ | *συν τουτω*] *τουτο* ℵAC | *συμφωνως*] *συμφωνον* ℵA *συμφωνει* C | *τουτο*] *τουτω* ℵC (c praec coniung C) | *εποιησεν*] pr *ο* ℵ | *ο ανθρωπος*] om *ο* ℵAC | *ουδεν*] *μηδεν* ℵAC

(15) 16 [16]Τὰ πάντα εἶδον ἐν ἡμέραις ματαιότητός μου· B
ἔστιν δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ,
καὶ ἔστιν ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ.
(16) 17 [17]μὴ γίνου δίκαιος πολὺ
μηδὲ σοφίζου περισσά, μή ποτε ἐκπλαγῇς.
(17) 18 [18]μὴ ἀσεβήσῃς πολὺ καὶ μὴ γίνου σκληρός,
ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου.
(18) 19 [19]ἀγαθὸν τὸ ἀντέχεσθαί σε ἐν τούτῳ,
καί γε ἀπὸ τούτου μὴ μάνῃς τὴν χεῖρά σου,
ὅτι φοβουμένοις τὸν θεὸν ἐξελεύσεται τὰ πάντα.

(19) 20 [20]Ἡ σοφία βοηθήσει τῷ σοφῷ
ὑπὲρ δέκα ἐξουσιάζοντας τοὺς ὄντας ἐν τῇ πόλει·
(20) 21 [21]ὅτι ἄνθρωπος οὐκ ἔστιν δίκαιος ἐν τῇ γῇ,
ὃς ποιήσει ἀγαθὸν καὶ οὐχ ἁμαρτήσεται.
(21) 22 [22]καί γε εἰς πάντας λόγους οὓς λαλήσουσιν ἀσεβεῖς
μὴ θῇς καρδίαν σου,
ὅπως μὴ ἀκούσῃς τοῦ δούλου σου καταρωμένου σε·
(22) 23 [23]ὅτι πλειστάκις πονηρεύσεταί σε
καὶ καθόδους πολλὰς κακώσει καρδία σου,
ὅτι ὡς καί γε σὺ κατηράσω ἑτέρους.

(23) 24 [24]Πάντα ταῦτα ἐπείρασα ἐν σοφίᾳ.
εἶπα Σοφισθήσομαι·
(24) 25 [25]καὶ αὕτη ἐμακρύνθη ἀπ' ἐμοῦ· μακρὰν ὑπὲρ ὃ ἦν,
καὶ βαθὺ βάθος, τίς εὑρήσει αὐτό;
(25) 26 [26]ἐκύκλωσα ἐγώ, καὶ ἡ καρδία μου τοῦ γνῶναι
καὶ τοῦ κατασκέψασθαι καὶ ζητῆσαι σοφίαν καὶ ψῆφον,
καὶ τοῦ γνῶναι ἀσεβοῦς ἀφροσύνην
καὶ ὀχληρίαν καὶ περιφοράν·
(26) 27 [27]καὶ εὑρίσκω ἐγὼ αὐτήν,

16 *τα παντα*] *συν τα παντα* ℵ*C *συν παντα α* ℵ$^{c.a}$ *συν παντα* A | *ιδον* A | ℵAC *απολλυμενος* A **17** *πολυ*] pr *επι* ℵ | *μηδε*] *και μη* AC **18** *αποθανη* C* (*-νης* C^{a}) **19** *φοβουμενοις*] *ο φοβουμενος* A *φοβουμενος* C **20** om *οντας* ℵ **21** *ποιησει*] *ποιησεται* C **22** om *ους* ℵ | om *ασεβεις* ℵ$^{c.a}$AC | *θης*] *δως* ℵ **23** *πολλα* ℵ* (*πολλας* ℵ$^{c.a}$) | *καρδιαν* ℵAC | om *ως* ℵ$^{c.a}$ | *και γε*] + *ως* ℵ **24** *σοφια*] pr *τη* ℵAC **25** *μακραν απ εμου* C | *αυτο*] *αυτην* ℵ* (*-το* ℵ$^{c.a}$) **26** *ζητησαι*] pr *του* ℵAC | *περιφοραν*] *παραφοραν* A **27** *αυτην*] + *ψ ευφροσυνην πλανας* (sic) ℵ$^{c.a\ mg}$ (de cett non liq)

B καὶ ἐρῶ πικρότερον ὑπὲρ θάνατον·
σὺν τὴν γυναῖκα ἥτις ἐστὶν θήρευμα,
καὶ σαγῆναι καρδία αὐτῆς,
δεσμὸς εἰς χεῖρας αὐτῆς·
ἀγαθὸς πρὸ προσώπου τοῦ θεοῦ ἐξαιρεθήσεται ἀπ' αὐτῆς,
καὶ ἁμαρτάνων συλλημφθήσεται ἐν αὐτῇ.
28 ἴδε τοῦτο εὗρον, εἶπεν ὁ ἐκκλησιαστής, 28 (27)
μία τῇ μιᾷ, τοῦ εὑρεῖν λογισμὸν
29 ὃν ἐπεζήτησεν ἡ ψυχή μου, καὶ οὐχ εὗρον· 29 (28)
καὶ ἄνθρωπον ἕνα ἀπὸ χιλίων εὗρον,
καὶ γυναῖκα ἐν πᾶσι τούτοις οὐχ εὗρον.
30 πλὴν ἴδε τοῦτο εὗρον ὃ ἐποίησεν ὁ θεὸς 30 (29)
σὺν τὸν ἄνθρωπον εὐθῆ·
καὶ αὐτοὶ ἐζήτησαν λογισμοὺς πολλούς.

(1) Τίς οἶδεν σοφούς; καὶ τίς οἶδεν λύσιν ῥήματος; (1) (VIII)
1 σοφία ἀνθρώπου φωτιεῖ πρόσωπον αὐτοῦ, 1 VIII
καὶ ἀναιδὴς προσώπῳ αὐτοῦ μισηθήσεται.
2 στόμα βασιλέως φύλαξον, 2
καὶ περὶ λόγου ὅρκου θεοῦ μὴ σπουδάσῃς·
3 ἀπὸ προσώπου αὐτοῦ πορεύσῃ, 3
μὴ στῇς ἐν λόγῳ πονηρῷ·
ὅτι πᾶν ὃ ἐὰν θελήσει ποιήσει,
4 καθὼς βασιλεὺς ἐξουσιάζων, 4
καὶ τίς ἐρεῖ αὐτῷ Τί ποιεῖς;
5 ὁ φυλάσσων ἐντολὴν οὐ γνώσεται ῥῆμα πονηρόν, 5
καὶ καιρὸν κρίσεως γινώσκει καρδία σοφοῦ·
6 ὅτι παντὶ πράγματί ἐστιν καιρὸς καὶ κρίσις, 6
ὅτι γνῶσις τοῦ ἀνθρώπου πολλὴ ἐπ' αὐτόν·
7 ὅτι οὐκ ἔστιν γινώσκων τί τὸ ἐσόμενον, 7
ὅτι καθὼς ἔσται τίς ἀναγγελεῖ αὐτῷ;
8 οὐκ ἔστιν ἄνθρωπος ἐξουσιάζων ἐν πνεύματι 8

ℵAC **27** και ερω] και ειπα ℵ$^{c.a}$ om AC | πικροτεραν C | θηρευματα ℵA | αμαρτανων] pr ο ℵ | συνλημφθησεται A συλληφθ. C **28** ιδε] ειδε AC | ειπεν C **29** επεζητησεν] εζητησεν A | ευρεν C | πασι BℵAC **30** θεος] $\overline{\text{κς}}$ A | ευθη] ευρεθη A VIII **1** προσωπον] pr το ℵ | om αυτου 1° A **2** om θεου ℵA **3** εαν] αν A | θεληση B^{ab} **4** καθως] και ως ℵ* (καθ. ℵ$^{c.a}$) | εξουσιαζων] +λαλει ℵ$^{c.a}$ (-λι) AC | ποιεις] ποιησεις ℵ (-σις) AC **6** πραγμα ℵ* (-ματι ℵ$^{c.a}$) **7** αυτω] αυτοις A

τοῦ κωλῦσαι σὺν τὸ πνεῦμα· B
καὶ οὐκ ἔστιν ἐξουσία ἐν ἡμέρᾳ θανάτου,
καὶ οὐκ ἔστιν ἀποστολὴ ἐν ἡμέρᾳ πολέμου,
καὶ οὐ διασώσει ἀσέβεια τὸν παρ᾽ αὐτῆς.
9 [9]καὶ σύμπαν τοῦτο εἶδον,
καὶ ἔδωκα τὴν καρδίαν μου εἰς πᾶν τὸ ποίημα
ὃ πεποίηται ὑπὸ τὸν ἥλιον,
τὰ ὅσα ἐξουσιάσατο ὁ ἄνθρωπος
ἐν ἀνθρώπῳ τοῦ κακῶσαι αὐτόν·
10 [10]καὶ τότε ἴδον ἀσεβεῖς εἰς τάφους εἰσαχθέντας,
καὶ ἐκ τοῦ ἁγίου·
καὶ ἐπορεύθησαν καὶ ἐπῃνέθησαν ἐν τῇ πόλει,
ὅτι οὕτως ἐποίησαν.
καί γε τοῦτο ματαιότης.
11 [11]ὅτι οὐκ ἔστιν γινομένη ἀντίρρησις
ἀπὸ τῶν ποιούντων τὸ πονηρὸν ταχύ,
διὰ τοῦτο ἐπληροφορήθη καρδία υἱῶν τοῦ ἀνθρώπου
ἐν αὐτοῖς τοῦ ποιῆσαι τὸ πονηρόν.
12 [12]ὃς ἥμαρτεν, ἐποίησεν τὸ πονηρὸν
ἀπὸ τότε καὶ ἀπὸ μακρότητος αὐτῶν·
ὅτι καί γε γινώσκω ἐγὼ
ὅτι ἐστὶν ἀγαθὸν τοῖς φοβουμένοις τὸν θεόν,
ὅπως φοβῶνται ἀπὸ προσώπου αὐτοῦ·
13 [13]καὶ ἀγαθὸν οὐκ ἔσται τῷ ἀσεβεῖ,
καὶ οὐ μακρυνεῖ ἡμέρας ἐν σκιᾷ
ὃς οὐκ ἔστιν φοβούμενος ἀπὸ προσώπου τοῦ θεοῦ.
14 [14]ἔστιν ματαιότης ἣ πεποίηται ἐπὶ τῆς γῆς,
ὅτι εἰσὶν δίκαιοι ὅτι φθάνει ἐπ᾽ αὐτοὺς
ὡς ποίημα τῶν ἀσεβῶν·
καί εἰσιν ἀσεβεῖς ὅτι φθάνει πρὸς αὐτοὺς

8 εξουσια] εξουσιαζων ℵAC | εν ημερα 1°] ημερας A | πολεμου] θανατου ℵAC A | ασεβεια] ασεβει C* ασεβεις C^{a} **9** συμπαν] συν παν AC | ιδον A | το ποιημα] om το ℵAC | τα οσα] om τα ℵ$^{c.a}$ | εξουσιασατο] εξουσιαζεται A | ο ανθρωπος] om ο ℵ$^{c.a}$ **10** ειδον C | εισαχθεντας] αχθεντας C | αγιου] + επορευθησαν ℵ$^{c.a}$ | om και 3° ℵ$^{c.a}$ | επηνεσθησαν C **11** αντιρησεις ℵ | το πονηρον 1°] om το A **12** εποιησαι (sic) C | πονηρον] + απεθανεν και μακροθυμι επ (inst απ pro επ) αυτω ℵ$^{c.a}$ | οτι 2°] + και ℵ* (om και ℵ$^{c.a}$) | εστιν] εσται ℵ (-τε) AC | αυτου] αυτων ℵ* (-του ℵ^{1}) **13** εν σκια] pr ως ℵ* (om ως ℵ$^{c.a}$) **14** φθανει bis AC | επ] προς ℵAC | om οτι 2° ℵ

B ὡς ποίημα τῶν δικαίων·
εἶπα ὅτι καί γε τοῦτο ματαιότης.
15 καὶ ἐπῄνεσα ἐγὼ σὺν τὴν εὐφροσύνην, 15
ὡς δ' οὐκ ἔστιν ἀγαθὸν τῷ ἀνθρώπῳ ὑπὸ τὸν ἥλιον,
ὅτι εἰ μὴ τοῦ φαγεῖν καὶ τοῦ πιεῖν καὶ τοῦ εὐφρανθῆναι·
καὶ αὐτὸ συμπροσέσται αὐτῷ
ἐν μόχθῳ αὐτοῦ ἡμέρας ζωῆς αὐτοῦ
ὅσας ἔδωκεν αὐτῷ ὁ θεὸς ὑπὸ τὸν ἥλιον.

16 Ἐν οἷς ἔδωκα τὴν καρδίαν μου γνῶναι τὴν σοφίαν 16
καὶ τοῦ ἰδεῖν τὸν περισπασμὸν
τὸν πεποιημένον ἐπὶ τῆς γῆς·
ὅτι καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ
ὕπνον ὀφθαλμοῖς αὐτοῦ οὐκ ἔστιν βλέπων·
17 καὶ ἴδον σύμπαντα τὰ ποιήματα τοῦ θεοῦ, 17
ὅτι οὐ δυνήσεται ἄνθρωπος
τοῦ εὑρεῖν σὺν τὸ ποίημα
τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον·
ὅσα ἂν μοχθήσῃ ἄνθρωπος τοῦ ζητῆσαι,
καὶ οὐχ εὑρήσει·
καί γε ὅσα ἂν εἴπῃ σοφὸς τοῦ γνῶναι,
οὐ δυνήσεται τοῦ εὑρεῖν·
(1) ὅτι σύμπαν τοῦτο ἔδωκα εἰς καρδίαν μου, (1) (IX)
καὶ καρδίᾳ μου σύμπαν ἴδον τοῦτο·
1 ὡς οἱ δίκαιοι καὶ οἱ σοφοὶ 1 IX
καὶ ἐργασίαι αὐτῶν ἐν χειρὶ τοῦ θεοῦ,
καί γε ἀγάπην καί γε μῖσος οὐκ ἔστιν εἰδὼς ὁ ἄνθρωπος·
τὰ πάντα πρὸ προσώπου αὐτῶν,
ματαιότης ἐν τοῖς πᾶσιν.
2 συνάντημα ἓν τῷ δικαίῳ καὶ τῷ ἀσεβεῖ, 2
τῷ ἀγαθῷ καὶ τῷ κακῷ,

ℵAC **15** ως δ] οτι B^{ab}ℵAC | αυτο] αυτος B | συνπροσεσται ℵAC | ημερα ℵ | οσας] ας ℵA ων C **16** γνωναι] pr του ℵAC | περισπασμον] πιρασμον A | οφθαλμοις] pr εν ℵAC | βλεπων] βλεπιν A **17** ιδον 1°] ειδον B^{ab}ℵ | συμπαντα] συν παντα ℵA | δυνησεται 1°] δηνσεται ℵ* (δυνησ. ℵ¹) | ποιημα] πεποιημα ℵ* (ποιημα ℵ¹) | αν 1°] εαν AC | μοχθηση] ποιηση A | ανθρωπος] pr ο ℵ | σοφος] pr ο ℵAC | συμπαν] συν παν bis ℵA | καρδιαν] pr την A | ιδον 2°] ειδεν ℵC ιδεν A IX **1** ως] οτι $ℵ^{c.a}$AC | οι δι|καιοι σοφοι ℵ* (οι δι|οι| και οι σ. $ℵ^{c.a}$) | εργασιαι] pr αι AC | αγαπη ℵ | ειδως (ιδ. A) ο ανθρωπος] ανθρ. ειδως ℵ | προ] προς ℵ* (προ $ℵ^{c.a}$) | προσωπον ℵ (-που $ℵ^{c.a}$) | προσωπου αυτων rescr C^a

καὶ τῷ καθαρῷ καὶ τῷ ἀκαθάρτῳ, B
καὶ τῷ θυσιάζοντι καὶ τῷ μὴ θυσιάζοντι.
ὡς ὁ ἀγαθός, ὡς ὁ ἁμαρτάνων,
ὡς ὁ ὀμνύων καθὼς ὁ τὸν ὅρκον φοβούμενος.
3 3τοῦτο πονηρὸν ἐν παντὶ πεποιημένῳ ὑπὸ τὸν ἥλιον
ὅτι συνάντημα ἓν τοῖς πᾶσιν·
καί γε καρδία υἱῶν τοῦ ἀνθρώπου ἐπληρώθη πονηροῦ,
καὶ περιφέρεια ἐν καρδίᾳ αὐτῶν ἐν ζωῇ αὐτῶν,
καὶ ὀπίσω αὐτῶν πρὸς τοὺς νεκρούς.
4 4ὅτι τίς ὃς κοινωνεῖ πρὸς πάντας τοὺς ζῶντας;
ἔστιν ἐλπίς· ὅτι ὁ κύων ὁ ζῶν αὐτὸς ἀγαθὸς
ὑπὲρ τὸν λέοντα τὸν νεκρόν.
5 5ὅτι οἱ ζῶντες γνώσονται ὅτι ἀποθανοῦνται,
καὶ οἱ νεκροὶ οὐκ εἰσὶν γινώσκοντες οὐδέν·
καὶ οὐκ ἔστιν αὐτοῖς ἔτι μισθός,
ὅτι ἐπελήσθη ἡ μνήμη αὐτῶν·
6 6καί γε ἀγάπη αὐτῶν καί γε μῖσος αὐτῶν
καί γε ζῆλος αὐτῶν ἤδη ἀπώλετο,
καί γε μερὶς οὐκ ἔστιν αὐτοῖς ἔτι εἰς αἰῶνα
ἐν παντὶ τῷ πεποιημένῳ ὑπὸ τὸν ἥλιον.

7 7Δεῦρο φάγε ἐν εὐφροσύνῃ ἄρτον σου,
καὶ πίε ἐν καρδίᾳ ἀγαθῇ οἶνόν σου,
ὅτι ἤδη εὐδόκησεν ὁ θεὸς τὰ ποιήματά σου.
8 8ἐν παντὶ καιρῷ ἔστωσαν ἱμάτιά σου λευκά,
καὶ ἔλαιον ἐπὶ κεφαλήν σου μὴ ὑστερησάτω·
9 9καὶ ἴδε ζωὴν μετὰ γυναικὸς ἧς ἠγάπησας
πάσας ἡμέρας ζωῆς ματαιότητός σου
τὰς δοθείσας σοι ὑπὸ τὸν ἥλιον.
πᾶσαι ἡμέραι ἡμέραι ἀτμοῦ σου·
ὅτι αὐτὸ μερίς σου ἐν τῇ ζωῇ σου
καὶ ἐν τῷ μόχθῳ σου ᾧ σὺ μοχθεῖς ὑπὸ τὸν ἥλιον.

2 om *και* 3° AC | om *και* 5° C **3** *πονηρον*] pr *το* A | *πασιν*] *πασι* C ℵAC **4** om *οτι* 2° ℵ **5** *επελησθη*] *επλησθη* ℵA **6** *αγαπη*] *απατη* ℵ | *μισος*] *μισθος* A | om *γε* 4° ℵ$^{c.a}$AC **7** *αρτον*] pr *τον* ℵAC | om *ηδη* AC **8** *ιματια*] pr *τα* ℵC | *κεφαλης* ℵ **9** *πασαι...ατμου σου*] non inst B^{b} om A *πασας ημερας ματαιοτητος σου* (*σοι* ℵ* *σου* ℵ^{1}) ℵC | *αυτο*] *αυτος* ℵ | *τη ζωη*] om *τη* C | om *εν* 2° ℵ | om *συ* A

B [10]πάντα ὅσα ἂν εὕρῃ ἡ χείρ σου τοῦ ποιῆσαι, 10
ὡς ἡ δύναμίς σου ποίησον,
ὅτι οὐκ ἔστιν ποίημα καὶ λογισμὸς καὶ γνῶσις
καὶ σοφία ἐν ᾅδῃ, ὅπου σὺ πορεύῃ ἐκεῖ.

[11]Ἐπέστρεψα καὶ ἴδον ὑπὸ τὸν ἥλιον 11
ὅτι οὐ τοῖς κούφοις δρόμος
καὶ οὐ τοῖς δυνατοῖς πόλεμος,
καί γε οὐ τῷ σοφῷ ἄρτος
καὶ οὐ τοῖς συνετοῖς πλοῦτος,
καί γε οὐ τοῖς γινώσκουσιν χάρις·
ὅτι καιρὸς καὶ ἀπάντημα συναντήσεται σύμπασιν αὐτοῖς.
[12]ὅτι καί γε καὶ οὐκ ἔγνω ὁ ἄνθρωπος τὸν καιρὸν αὐτοῦ· 12
ὡς οἱ ἰχθύες οἱ θηρευόμενοι ἐν ἀμφιβλήστρῳ καλῷ,
καὶ ὡς ὄρνεα τὰ θηρευόμενα ἐν παγίδι,
ὡς αὐτὰ παγιδεύονται οἱ υἱοὶ τοῦ ἀνθρώπου
εἰς καιρὸν πονηρόν,
ὅταν ἐπιπέσῃ ἐπ' αὐτοὺς ἄφνω.

[13]Καί γε τοῦτο ἴδον σοφίαν ὑπὸ τὸν ἥλιον, 13
καὶ μεγάλη ἐστὶν πρὸς μέ.
[14]πόλις μικρὰ καὶ ἄνδρες ἐν αὐτῇ ὀλίγοι, 14
καὶ ἦλθῃ ἐπ' αὐτὴν βασιλεὺς μέγας καὶ κυκλώσῃ αὐτὴν
καὶ οἰκοδομήσῃ ἐπ' αὐτὴν χάρακας μεγάλους,
[15]καὶ εὕρῃ ἐν αὐτῇ ἄνδρα πένητα σοφόν, 15
καὶ διασώσῃ αὐτὸς τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτοῦ,
καὶ ἄνθρωπος οὐκ ἐμνήσθη σὺν τοῦ ἀνδρὸς τοῦ πένητος
ἐκείνου.
[16]καὶ εἶπα ἐγώ Ἀγαθὴ σοφία ὑπὲρ δύναμιν· 16

ℵAC **10** αν] εαν ℵ | ως η] pr ως αι ℵ* (om ως αι ℵ$^{c.a}$) | οπου] οτι ου B^{edit} **11** επεστρεψα] υπεστρεψα ℵ | ειδον ℵ | δρομος] pr ο ℵAC | πολεμος] pr ο ℵAC | τω σοφω] τοις σοφοις ℵAC | αρτος] pr ο ℵAC | και 4°] + γε ℵAC | πλουτος] pr ο ℵAC | συμπασιν] τοις πασιν ℵAC **12** om οτι AC | om και 2° ℵAC | ο ανθρωπος] om ο C | εν 1°] pr ω ℵ* (om ω ℵ$^{1\,(vid)\,c.a}$) | καλω] κακω ℵA om C | ταγιδει ℵ* (παγ. ℵ^{1}) | οι υιοι] pr vid ουτως κρατηθησονται ℵ$^{c.a}$ **13** ειδον B^{ab}ℵ | om προς με ℵ **14** πολις] pr εστιν προς με ℵ* | πολις μικρα c praec coniung BC πολις...ολιγοι c praec coniung A | οικοδομησει ℵ **15** ευρη] ευρησει ℵ* (-ρη ℵ^{1}) | σοφον] pr και A | διασωσει ℵAC **16** om εγω C

καὶ σοφία τοῦ πένητος ἐξουδενωμένη, B
καὶ οἱ λόγοι αὐτοῦ οὐκ εἰσακουόμενοι.

17 [17]Λόγοι σοφῶν ἐν ἀναπαύσει ἀκούονται
ὑπὲρ κραυγὴν ἐξουσιαζόντων ἐν ἀφροσύναις.
18 [18]ἀγαθὴ σοφία ὑπὲρ σκεύη πολέμου,
καὶ ἁμαρτάνων εἷς ἀπολέσει ἀγαθωσύνην πολλήν.
X 1 [1]μυῖαι θανατοῦσαι σαπριοῦσιν σκευασίαν, ἔλαιον ἡδύσματος·
τίμιον ὁ λόγος σοφίας ὑπὲρ δόξαν ἀφροσύνης μεγάλης.
2 [2]καρδία σοφοῦ εἰς δεξιὸν αὐτοῦ,
καὶ καρδία ἄφρονος εἰς ἀριστερὸν αὐτοῦ.
3 [3]καί γε ἐν ὁδῷ ὅταν ἄφρων πορεύηται,
καρδία αὐτοῦ ὑστερήσει,
καὶ ἃ λογιεῖται πάντα ἀφροσύνη ἐστίν.
4 [4]ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σέ,
τόπον σου μὴ ἀφῇς,
ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας.
5 [5]ἔστιν πονηρία ἣν ἴδον ὑπὸ τὸν ἥλιον,
ὡς ἀκούσιον ἐξῆλθεν ἀπὸ προσώπου ἐξουσιάζοντος.
6 [6]ἐδόθη ὁ ἄφρων ἐν ὕψεσι μεγάλοις,
καὶ πλούσιοι ἐν ταπεινῷ καθήσονται·
7 [7]ἴδον δούλους ἐφ' ἵππους
καὶ ἄρχοντας πορευομένους ὡς δούλους ἐπὶ τῆς γῆς.
8 [8]ὁ ὀρύσσων βόθρον εἰς αὐτὸν ἐμπεσεῖται,
καὶ καθαιροῦντα φραγμόν, δήξεται αὐτὸν ὄφις·
9 [9]ἐξαίρων λίθους διαπονηθήσεται ἐν αὐτοῖς,
σχίζων ξύλα κινδυνεύσει ἐν αὐτοῖς.
10 [10]ἐὰν ἐκπέσῃ τὸ σιδήριον,
καὶ αὐτὸς πρόσωπον ἐτάραξεν·
καὶ δυνάμεις δυναμώσει,
καὶ περισσεία τοῦ ἀνδρείου σοφία·

16 οι λογοι] om οι ℵAC | εισακουομενοι] εισιν ακουομενοι ℵAC X **1** σκευ- ℵAC ασι] ℵ* (-σιαν ℵ$^{c.a}$) | ελαιου ℵ$^{c.a}$AC | ο λογος] ολιγον B^{a}ℵAC | μεγαλην A **3** αφρων] αφνω ℵ | καρδια] pr και ℵ **5** ειδον B^{ab}ℵ | εξηλθεν] pr ο A | εξουσιαζοντος] pr του AC **6** ο αφρων] om ο ℵ | υψεσι BℵAC | πλουσιοι] + μεγαλοι ℵ **7** ειδον ℵC | ως δουλους πορευομενους A | om επι της γης ℵ* (hab επι γης ℵ$^{c.a}$) **8** εις αυτον] εν αυτω ℵAC | εμπεσειται] + και ο κυλιων λιθον εφ εαυτον κυλιει· A **9** κινδυνευει ℵ | εν αυτοις (2°) rescr C^{a} vid **10** δυναμις ℵA δυναμιν C | περισσια ℵC | του ανδρειου] τω ανδριου (? τω ανδρι ου) B του ανδριου ℵAC

B [11]ἐὰν δάκῃ ὄφις ἐν οὐ ψιθυρισμῷ, 11
καὶ οὐκ ἔστιν περισσεία τῷ ἐπᾴδοντι.
[12]λόγοι στόματος σοφοῦ χάρις, 12
καὶ χείλη ἄφρονος καταποντιοῦσιν αὐτόν·
[13]ἀρχὴ λόγων στόματος αὐτοῦ ἀφροσύνη, 13
καὶ ἐσχάτη αὐτοῦ περιφέρεια πονηρά·
[14]καὶ ὁ ἄφρων πληθύνει λόγους. 14
οὐκ ἔγνω ἄνθρωπος τί τὸ γενόμενον
καὶ τί τὸ ἐσόμενον·
τί ὀπίσω αὐτοῦ τίς ἀναγγελεῖ αὐτῷ;
[15]μόχθος τῶν ἀφρόνων κακώσει αὐτούς, 15
ὃς οὐκ ἔγνω τοῦ πορευθῆναι εἰς πόλιν.
[16]οὐαί σοι, πόλις, ἧς ὁ βασιλεύς σου νεώτερος, 16
καὶ οἱ ἄρχοντές σου πρωὶ ἐσθίουσιν.
[17]μακαρία, γῆ, ἧς ὁ βασιλεύς σου υἱὸς ἐλευθέρων, 17
καὶ οἱ ἄρχοντές σου πρὸς καιρὸν φάγονται ἐν δυνάμει
καὶ οὐκ αἰσχυνθήσονται.
[18]ἐν ὀκνηρίαις ταπεινωθήσεται ἡ δόκωσις, 18
καὶ ἐν ἀργείᾳ χειρῶν στάξει ἡ οἰκία.
[19]εἰς γέλωτα ποιοῦσιν ἄρτον, 19
καὶ οἶνον καὶ ἔλαιον τοῦ εὐφρανθῆναι ζῶντας,
καὶ τοῦ ἀργυρίου ταπεινώσει ἐπακούσεται τὰ πάντα.
[20]καί γε ἐν συνειδήσει σου βασιλέα μὴ καταράσῃ, 20
καὶ ἐν ταμείοις κοιτώνων σου μὴ καταράσῃ πλούσιον·
ὅτι πετεινὸν τοῦ οὐρανοῦ ἀποίσει σου τὴν φωνήν,
καὶ ὁ τὰς πτέρυγας ἀπαγγελεῖ λόγον σου.

[1]Ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος, 1 XI

ℵAC **11** *οφις*] pr ο C | *περισσια* C **12** *λογοι*] *λογοις* ℵ$^{c.a}$ | *καταποντισουσιν* ℵA **13** *εσχατη*]+*στοματος* ℵAC (*στοματοματος*) | *περιφερια* C **14** *ανθρωπος*] pr ο ℵAC | *εσομενον*] *γενησομενον* ℵ* (*εσομ.* ℵ$^{1c.a}$) | *τι* 3°] *οτι* ℵAC | *απαγγελλει* ℵ *απαγγελει* A **15** *των αφρονων*] *του αφρονος* ℵA | *κακωσει*] *κοπωσει* ℵC *σκοτωσει* A | *αυτους*] *αυτον* ℵA **16** *πρωι*] *πρωιας* ℵ *εν πρωια* AC | *εσθιουσι* C **17** *γη*] pr *συ* B^{ab}ℵAC | *ελευθερου* ℵAC **18** *αργια* B^{b} | *σταξει*] *στεναξει* A *σταζει* C | *οικεια* C **19** *οινος* ℵAC | om *και ελαιον* AC | *του ευφρανθηναι*] *ευφραινει* ℵAC | *ζωντας*] pr *τους* C | *αργυρου* C | om *και ταπεινωσει* ℵ$^{c.a}$AC | *τα παντα*] *τα συνπαντα* ℵ$^{c.a}$ *συν τα παντα* AC **20** *και γε*]+*συ* C | *συνηδησει* C | om *σου...καταραση* (1°) C^{vid} | *ταμειοις* B^{ab} (*-μιοις* B*ℵ)] *ταμιειοις* AC | *αποισει*] *α ποιησει* C | om *σου* 3° ℵ* (hab ℵ$^{c.a}$) | *την φωνην σου* AC | *ο*]+*εχων* ℵAC | *τας πτερυγας*] om *τας* ℵAC XI **1** om *αποστειλον...υδατος* B* (hab B$^{ab\,mg\,inf}$ℵAC)

ὅτι ἐν πλήθει ἡμερῶν εὑρήσεις αὐτόν. B
2 [2]δὸς μερίδα τοῖς ἑπτὰ καί γε τοῖς η',
ὅτι οὐ γινώσκεις τί ἔσται πονηρὸν ἐπὶ τὴν γῆν.
3 [3]ἐὰν πλησθῶσιν τὰ νέφη ὑετοῦ,
ἐπὶ τὴν γῆν ἐκχέουσιν·
καὶ ἐὰν πέσῃ ξύλον ἐν τῷ νότῳ
καὶ ἐὰν ἐν τῷ βορρᾶ, τόπῳ
οὗ πεσεῖται τὸ ξύλον ἐκεῖ ἔσται.
4 [4]τηρῶν ἄνεμον οὐ σπερεῖ,
καὶ βλέπων ἐν ταῖς νεφέλαις οὐ θερίσει.
5 [5]ἐν οἷς οὐκ ἔστιν γινώσκων τίς ἡ ὁδὸς τοῦ πνεύματος
ὡς ὀστᾶ ἐν γαστρὶ κυοφορούσης,
οὕτως οὐ γνώσῃ τὰ ποιήματα τοῦ θεοῦ
ὅσα ποιήσει τὰ σύμπαντα.
6 [6]ἐν τῷ πρωὶ σπεῖρον τὸ σπέρμα σου,
καὶ ἐν ἑσπέρᾳ μὴ ἀφέτω ἡ χείρ σου,
ὅτι οὐ γινώσκεις ποῖον στοιχήσει, ἢ τοῦτο ἢ τοῦτο,
καὶ ἐὰν τὰ δύο ἐπὶ τὸ αὐτὸ ἀγαθά.
7 [7]καὶ γλυκὺ τὸ φῶς, καὶ ἀγαθὸν τοῖς ὀφθαλμοῖς
τοῦ βλέπειν σὺν τὸν ἥλιον.
8 [8]ὅτι καὶ ἐὰν ἔτη πολλὰ ζήσεται ὁ ἄνθρωπος,
ἐν πᾶσιν αὐτοῖς εὐφρανθήσεται,
καὶ μνησθήσεται τὰς ἡμέρας τοῦ σκότους,
ὅτι πολλαὶ ἔσονται·
πᾶν τὸ ἐρχόμενον ματαιότης.

9 [9]Εὐφραίνου, νεανίσκε, ἐν νεότητί σου,
καὶ ἀγαθυνάτω σε ἡ καρδία σου ἐν ἡμέραις νεότητός σου,
καὶ περιπάτει ἐν ὁδοῖς ἄμωμος
καὶ μὴ ἐν ὁράσει ὀφθαλμῶν σου·
καὶ γνῶθι ὅτι ἐπὶ πᾶσι τούτοις ἄξει σε ὁ θεὸς ἐν κρίσει.

1 ημερων] pr των ℵAC **2** η] οκτω $B^{a\,vid\,(mg)}$ ℵAC | πονηρον] pr το ℵ ℵAC **3** πλησθωσιν] πληρωθωσιν ℵAC | om εαν 3° ℵ **4** σπειρει A **5** εν οις...πνευματος c praec coniung ℵ | κυοφορουσης] pr της ℵAC | συμπαντα] σιν παντα AC **6** τω πρωι] τω πρωια ℵ πρωια AC | εν εσπερα] εις εσπεραν ℵ | αφετω] αφιτω A | στοιχηση ℵ | αγαθον A **7** ηλιον]+ου ει B^{*} (non inst B^{b} om ℵAC) **8** εστη A^{*} (εστη $A^{?}$) | μνησθησεται] μνησθηση C **9** οδοις]+καρδιας σου ℵAC | om μη $ℵ^{c.a}$AC | ορασει] ο sup ras $B^{?\,vid}$ | γνωθι] γνωση ℵ* (γνωθι $ℵ^{c.a}$) | πασιν AC

B [10]καὶ ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, 10
καὶ πάραγε πονηρίαν ἀπὸ σαρκός σου,
ὅτι ἡ νεότης καὶ ἡ ἄνοια ματαιότης.
[1]καὶ μνήσθητι τοῦ κτίσαντός σε 1 XII
ἐν ἡμέραις νεότητός σου,
ἕως ὅτου μὴ ἔλθωσιν αἱ ἡμέραι τῆς κακίας,
καὶ φθάσουσιν ἔτη ἐν οἷς ἐρεῖς
Οὐκ ἔστιν μοι ἐν αὐτοῖς θέλημα·
[2]ἕως οὗ μὴ σκοτισθῇ ὁ ἥλιος καὶ τὸ φῶς 2
καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες,
καὶ ἐπιστρέψουσιν τὰ νέφη ὀπίσω τοῦ ὑετοῦ·
[3]ἐν ἡμέρᾳ ᾗ ἐὰν σαλευθῶσιν φύλακες τῆς οἰκίας, 3
καὶ διαστραφῶσιν ἄνδρες τῆς δυνάμεως,
καὶ ἤργησαν αἱ ἀλήθουσαι ὅτι ὠλιγώθησαν,
καὶ σκοτάσουσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς·
[4]καὶ κλείσουσιν θύρας ἐν ἀγορᾷ 4
ἐν ἀσθενείᾳ φωνῆς τῆς ἀληθούσης,
καὶ ἀναστήσεται εἰς φωνὴν τοῦ στρουθίου,
καὶ ταπεινωθήσονται πᾶσαι αἱ θυγατέρες τοῦ ᾄσματος,
[5]καὶ εἰς τὸ ὕψος ὄψονται, καὶ θάμβοι ἐν τῇ ὁδῷ· 5
καὶ ἀνθήσῃ τὸ ἀμύγδαλον,
καὶ παχυνθῇ ἡ ἀκρίς,
καὶ διασκεδασθῇ ἡ κάππαρις,
ὅτι ἐπορεύθη ὁ ἄνθρωπος εἰς οἶκον αἰῶνος αὐτοῦ,
καὶ ἐκύκλωσαν ἐν ἀγορᾷ οἱ κοπτόμενοι·
[6]ἕως ὅτου μὴ ἀνατραπῇ τὸ σχοινίον τοῦ ἀργυρίου, 6
καὶ συντριβῇ τὸ ἀνθέμιον τοῦ χρυσίου,
καὶ συντριβῇ ὑδρεία ἐπὶ τῇ πηγῇ,
καὶ συντροχάσῃ ὁ τροχὸς ἐπὶ τὸν λάκκον·

ℵAC **10** παραγε] in πα ras aliq B[1 vid] απαγαγε ℵ* παραγαγε ℵ[1]AC | η νεοτης] η (1° ut vid) saltem sup ras B[?] | ια ματαιοτης sup ras B[ab] XII **1** οτου] ου ℵAC | αι ημεραι] om αι ℵAC | κακιας] + σου ℵA | φθασωσιν ℵAC | ετη] om ℵ* (hab ℵ[c.a]) ras 1 lit inter ε et τ C[a] | om εν 3° ℵ* (hab ℵ[c.a]) **2** επιστρεψωσιν ℵAC | του υετου] om του A **3** η] ην C | εαν] αν AC **4** θυρας] θυραι ℵ* (-ρας ℵ[1 fort c.a]) θυραν A | φωνης] φωνη A | αναστησονται ℵ **5** και 1°] + γε ℵAC | εις το υψος] απο υψους ℵAC | θαμβος C | ανθησει AC | η καππαρις] om η C | ο ανθρωπος] om ο A | εκυκλωσαν] κυκλωσουσιν ℵ[c.a] **6** om μη ℵ | το σχοινιον] om το ℵAC | συντριβη 1°] συνθλιβη ℵA | υδρεια] υδρια B[b] η υδρια ℵAC | τη πηγη] την γην ℵ την πηγην AC | συντροχασει C

7 [7]καὶ ἐπιστρέψῃ ὁ χοῦς ἐπὶ τὴν γῆν ὡς ἦν, B
καὶ τὸ πνεῦμα ἐπιστρέψῃ πρὸς τὸν θεὸν ὃς ἔδωκεν αὐτό.
8 [8]ματαιότης ματαιοτήτων, εἶπεν ὁ ἐκκλησιαστής,
τὰ πάντα ματαιότης.

9 [9]Καὶ περισσὸν ὅτι ἐγένετο Ἐκκλησιαστὴς σοφός,
ὅτι ἐδίδαξεν γνῶσιν σὺν τὸν ἄνθρωπον,
καὶ οὗς ἐξιχνιάσεται κόσμιον παραβολῶν.
10 [10]πολλὰ ἐζήτησεν Ἐκκλησιαστὴς
τοῦ εὑρεῖν λόγους θελήματος
καὶ γεγραμμένον εὐθύτητος, λόγους ἀληθείας.

11 [11]Λόγοι σοφῶν ὡς τὰ βούκεντρα
καὶ ὡς ἥλοι πεφυτευμένοι,
οἱ παρὰ τῶν συνθεμάτων ἐδόθησαν
12 ἐκ ποιμένος ἑνός, [12]καὶ περισσὸν ἐξ αὐτῶν.
υἱέ μου, φύλαξαι τοῦ ποιῆσαι βιβλία πολλά·
οὐκ ἔστιν περασμός, καὶ μελέτη πολλὴ κόπωσις σαρκός.

13 [13]Τέλος λόγου τὸ πᾶν ἄκουε
Τὸν θεὸν φοβοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε,
ὅτι τοῦτο πᾶς ὁ ἄνθρωπος.
14 [14]ὅτι σύμπαν τὸ ποίημα ὁ θεὸς ἄξει ἐν κρίσει
ἐν παντὶ παρεωραμένῳ,
ἐὰν ἀγαθὸν καὶ ἐὰν πονηρόν.

7 επιστρεψει bis AC | επι την γην ο χους ℵ | ος] ως ℵ* (ος ℵ$^{c.a}$) **9** εκ- ℵAC
κλησιαστης] pr ο A | οτι 2°] pr και ℵAC | εδιδαξεν] εδιδασκεν ℵ$^{c.a}$C | ους]
+ αυτου ℵ$^{c.a}$ | εξιχνιασατο ℵ$^{c.a}$ | κοσμον C **10** εκκλησιαστης] pr ο ℵ$^{c.a}$
om και A | αληθιας ℵ **11** πεφυτευμενοι] πεπυρωμενοι ℵAC | συνθε-
ματων] συναγματων ℵ*A συνταγματων ℵ$^{c.a}$ **12** φυλαξαι] φυλασσου ℵAC |
του ποιησαι] om του ℵ* (hab του ℵ$^{c.a}$) **13** ο ανθρωπος] om ο C
14 συμπαν] συν παν ℵA | αξει ο θς ℵAC | εαν 1°] + τε ℵ | και εαν] εαν τε ℵ
Subscr εκκλησιαστης BℵAC
Stich 735 B 257 ℵ 667 A

Α Σ Μ Α

B ΑΣΜΑ ᾀσμάτων, ὅ ἐστιν τῷ Σαλωμών. 1 I

[2]Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ· 2
ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον,
§ C [§3]καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα· 3
μύρον ἐκκενωθὲν ὄνομά σου.
διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε, [4]εἵλκυσάν σε· 4
ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δραμοῦμεν.
εἰσήνεγκέν με ὁ βασιλεὺς εἰς τὸ ταμεῖον αὐτοῦ.
ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν σοί·
ἀγαπήσομεν μαστούς σου ὑπὲρ οἶνον·
εὐθύτης ἠγάπησέν σε.

[5]Μέλαινά εἰμι καὶ καλή, θυγατέρες Ἰσραήλ, 5
ὡς σκηνώματα Κηδάρ, ὡς δέρρις Σαλωμών.
[6]μὴ βλέψητέ με, ὅτι ἐγώ εἰμι μεμελανωμένη, 6
ὅτι παρέβλεψέν με ὁ ἥλιος·
υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί,
ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν·
ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα.

ℵAC Inscr ασμα ασματων ℵC ασματα ασματων A I **1** Σαλομων ℵ **2** φιλησατω] pr (minio omnia huiusmodi) η νυμφη ℵA **3** τα αρωματα] om τα C | εκκαινωθεν ℵ | σου 2°] σοι A | δια τουτο] pr ο νυμφιος A **4** ειλκυσαν σε c seqq coniung ℵ | εισηνεγκεν] pr ταις νεανισιν η νυμφη| διηγειται τα περι του νυμ|φιου α εχαρισατο αυτη ℵ | ταμειον B^{a}ℵ (-μιον B*C)] ταμιειον A | αγαλλιασωμεθα] pr της νυμφης διηγησαμε|νης ταις νεανισιν· αἱ δε· ειπαν ℵ | αγαπησωμεν B^{b}C | ευθυτης] pr αι νεανιδες τω νυμφιω| βοωσιν το ονομα της νυμ|φης ευθυτης ηγαπησεν σε ℵ **5** μελαινα] pr η νυμφη ℵA | Ισραηλ] Ιλημ C | δερρεις ℵ | Σολομων ℵ **6** παρεβλεψε C | με 2°] μοι ℵ | εφυλαξα| A

7 [7]ἀπάγγειλόν μοι, ὃν ἠγάπησεν ἡ ψυχή μου, Β
ποῦ ποιμαίνεις, ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ,
μή ποτε γένωμαι ὡς περιβαλλομένη ἐπ' ἀγέλας ἑταίρων σου.

8 [8]Ἐὰν μὴ γνῷς σεαυτήν, ἡ καλὴ ἐν γυναιξίν,
ἔξελθε σὺ ἐν πτέρναις τῶν ποιμνίων,
καὶ ποίμαινε τὰς ἐρίφους σου
ἐπὶ σκηνώμασιν τῶν ποιμένων.

9 [9]Τῇ ἵππῳ μου ἐν ἅρμασιν Φαραὼ
ὡμοίωσά σε, ἡ πλησίον μου.
10 [10]τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνες,
τράχηλός σου ὡς ὁρμίσκοι;
11 [11]ὁμοιώματα χρυσίου ποιήσομέν σοι
μετὰ στιγμάτων τοῦ ἀργυρίου.

12 [12]Ἕως οὗ ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ,
νάρδος μου ἔδωκεν ὀσμὴν αὐτοῦ.
13 [13]ἀπόδεσμος τῆς στακτῆς ἀδελφιδός μου ἐμοί,
14 [14]ἐν ἀμπελῶσιν Ἐνγαδδεί.

15 [15]Ἰδοὺ εἶ καλή, ἡ πλησίον μου,
ἰδοὺ εἶ καλή· ὀφθαλμοί σου περιστεραί.

16 [16]Ἰδοὺ εἶ καλός, ἀδελφιδός μου,
καί γε ὡραῖος· πρὸς κλίνῃ ἡμῶν σύσκιος,
17 [17]δοκοὶ οἴκων ἡμῶν κέδροι,
φατνώματα ἡμῶν κυπάρισσοι.

7 απαγγειλον] pr προς τον νυμφιον $\overline{\chi\nu}$ ℵ | ποιμανεις A | αγελαις ℵAC | ℵAC εταιρων] ετερων ℵC **8** εαν] pr ο νυμφιος προς την νυμφην ℵ | om και ℵ* (hab ℵ$^{a\,(mg)}$) | ποιμενων] + σου A **9** τη] γη A | εν] επ A | αρμασι C **10** τι ωραιωθ.] pr αι νεανιδες προς την νυμφην ℵ | ωσστρυγονες A ως τρυγονος C | ορμισκος A **11** ομοιωμα ℵ* (-ματα ℵ^{a}) **12** ανακλησει C | ναρδος] pr η νυμφη προς εαυτην| και προς τον νυμφιον ℵ pr ο νυμφιος A **13** τηστακτης C | εμοι] + ανα μεσον των μαστων μου αυλισθησεται| βοτρυς της κυπρου αδελφιδος μου εμοι ℵAC **14** Ενγαδδι AC **15** ιδου 1°] pr ο νυμφιος προς την νυμφην ℵ | ει bis] η C | οφθαλμοι σου πε|ριστεραι sup ras B^{a} οφθαλμος σου π. A **16** ιδου] pr η νυμφη· προς τον νυμφιο| ℵ pr η νυμφη A | αδελφιδος] pr ο ℵA | και γε ωραιος c praec coniung ℵA | om προς C **17** om οικων ℵ* (hab ℵ$^{a\,mg}$: hiat C sed vid habuisse) | φατνωματα] πατμωματα ℵ* (φατν. ℵ$^{c.a}$)

Β [1]ἐγὼ ἄνθος τοῦ πεδίου, 1 II
κρίνον τῶν κοιλάδων.

[2]Ὡς κρίνον ἐν μέσῳ ἀκανθῶν, 2
οὕτως ἡ πλησίον μου ἀνὰ μέσον τῶν θυγατέρων.

[3]Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, 3
οὕτως ἀδελφιδός μου ἀνὰ μέσον τῶν υἱῶν·
ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα,
καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν λάρυγγί μου.
[4]εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου, 4
τάξατε ἐπ' ἐμὲ ἀγάπην.
[5]στηρίσατέ με ἐν μύροις, 5
στοιβάσατέ με ἐν μήλοις, ὅτι τετρωμένη ἀγάπης ἐγώ.
[6]εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου, 6
καὶ ἡ δεξιὰ αὐτοῦ περιλήμψεταί με.

[7]Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλήμ, 7
ἐν δυνάμεσιν καὶ ἐν ἰσχύσεσιν τοῦ ἀγροῦ,
ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως οὗ θελήσῃ.

[8]Φωνὴ ἀδελφιδοῦ μου· 8
ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη,
διαλλόμενος ἐπὶ τοὺς βουνούς.
[9]ὅμοιός ἐστιν ἀδελφιδός μου τῇ δορκάδι 9
ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βαιθήλ.
ἰδοὺ οὗτος ὀπίσω τοῦ τοίχου ἡμῶν,
παρακύπτων διὰ τῶν θυρίδων
ἐκκύπτων διὰ τῶν δικτύων.
[10]ἀποκρίνεται ἀδελφιδός μου καὶ λέγει μοι 10
Ἀνάστα ἐλθέ, ἡ πλησίον μου, καλή μου, περιστερά μου.

ℵAC II **1** εγω] pr ο νυμφιος προς εαυτον ℵ **2** ως κρινον] pr και προς την νυμφην ℵ **3** ως μηλον] pr η νυμφη προς τον νυμφιον ℵ **4** εισαγαγετε] pr ταις νεανισιν η νυμφη φησιν ℵ **5** om με 2° A | μημηλοις (sic) C **6** ευωνυμος] pr προς τον νυμφιον η νυμφη ℵ | περιληψεται C **7** ωρκισα] pr ταις νεανισιν η νυμφη ℵ | δυναμεσιν] pr ταις ℵAC^{vid} | ισχυσεσιν] pr ταις ℵAC^{vid} | ου] αν ℵ **8** φωνη] pr ακηκοεν του νυμφιου· η νυμφη ℵ **9** ελαβων A | τα ορη] om τα ℵ | ιδου] pr η νυμφη προς τας νεανιδας| σημαινουσα αυταις· τον νυμφιον ℵ | οπισω] pr εστηκεν AC | ημων]+εστηκεν ℵ **10** om μοι ℵ | αναστα] pr ο νυμφιος A | η πλησιον] om η ℵ

11 [11]ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν, B
ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ·
12 [12]τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ,
καιρὸς τῆς τομῆς ἔφθακεν,
φωνὴ τοῦ τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν·
13 [13]ἡ συκῆ ἐξήνεγκεν ὀλύνθους αὐτῆς,
αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν ὀσμήν.
ἀνάστα ἐλθέ, ἡ πλησίον μου, καλή μου, περιστερά μου.
14 καὶ ἐλθέ, [14]σὺ περιστερά μου, ἐν σκέπῃ τῆς πέτρας,
ἐχόμενα τοῦ προτειχίσματος
δεῖξόν μοι τὴν ὄψιν σου,
καὶ ἀκούτισόν με τὴν φωνήν σου,
ὅτι ἡ φωνή σου ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία.
15 [15]πιάσατε ἡμῖν ἀλώπεκας
μικροὺς ἀφανίζοντας ἀμπελῶνας·
καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσαι.
16 [16]ἀδελφιδός μου ἐμοὶ κἀγὼ αὐτῷ·
ὁ ποιμαίνων ἐν τοῖς κρίνοις,
17 [17]ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί,
ἀπόστρεψον, ὁμοιώθητι σύ, ἀδελφιδέ,
τῷ δόρκωνι ἢ νεβρῷ ἐλάφων
ἐπὶ ὄρη κοιλωμάτων.
III 1 [1]ἐπὶ κοίτην μου ἐν νυξὶν
ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου·
ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν,
ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέν μου.
2 [2]ἀναστήσομαι δὴ καὶ κυκλώσω ἐν τῇ πόλει,
ἐν ταῖς ἀγοραῖς καὶ ἐν ταῖς πλατείαις,
καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου·
ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν.
3 [3]εὗροσάν με οἱ τηροῦντες, οἱ κυκλοῦντες ἐν τῇ πόλει

11 om ιδου ℵ* (hab ℵ$^{c.a}$) **12** εφθακεν (-κε C)] εφθασεν ℵ | της τρυγ. ℵAC ℵ$^{c.a}$C **14** την φωνην] ην φωνην sup ras ℵ$^{1\,fort}$ **15—17** multa evanuer in C **15** πιασατε] pr τοις νεανιαις| ο νυμφιος· ταδε ℵ | om και ℵ* (hab ℵ$^{c.a}$) | κυπριζουσιν ℵΛC **16** αδελφιδος] pr η νυμφη ταδε ℵ **17** η ημερα] om η Λ | αποστρεψον] pr η νυμφη Λ | αδελφιδε]+μου ℵAC | ολαφων ℵ* (ελ. ℵ^{1}) | ορη] pr τα C III **1—9** plurima evan in C **2** om δη (nisi potius και) C^{vid} om και 1° A | πλατιαις B*^{vid}ℵΛ (-τειαις B^{1}C) **3** ευροσαν] pr εκαλεσα αυτον και ουχ υπηκουσεν μου AC

B Μὴ ὸν ἠγάπησεν ἡ ψυχή μου εἴδετε;
[4]ὡς μικρὸν ὅτε παρῆλθον ἀπ᾽ αὐτῶν, 4
ἕως οὗ εὗρον ὸν ἠγάπησεν ἡ ψυχή μου·
ἐκράτησα αὐτὸν καὶ οὐκ ἀφῆκα αὐτόν,
ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου
καὶ εἰς ταμεῖον τῆς συλλαβούσης με.

[5]Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλήμ, 5
ἐν ταῖς δυνάμεσιν καὶ ἐν ταῖς ἰσχύσεσιν τοῦ ἀγροῦ,
ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως ἂν θελήσῃ.

[6]Τίς αὕτη ἡ ἀναβαίνουσα ἀπὸ τῆς ἐρήμου, 6
ὡς στελέχη καπνοῦ τεθυμιαμένη
σμύρναν καὶ λίβανον ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ;
[7]ἰδοὺ ἡ κλίνη τοῦ Σαλωμών, 7
ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς
ἀπὸ δυνατῶν Ἰσραήλ·
[8]πάντες κατέχοντες ῥομφαίαν, 8
δεδιδαγμένοι πόλεμον·
ἀνὴρ ῥομφαία αὐτοῦ ἐπὶ μηρὸν αὐτοῦ
ἀπὸ θάμβους ἐν νυξίν.
¶ C [9]φορεῖον ἐποίησεν ἑαυτῷ ὁ βασιλεὺς Σαλωμὼν¶ 9
ἀπὸ ξύλων τοῦ Λιβάνου·
[10]στύλους αὐτοῦ ἐποίησεν ἀργύριον, 10
καὶ ἀνάκλιτον αὐτοῦ χρύσεον·
ἐπίβασις αὐτοῦ πορφυρᾶ,
ἐντὸς αὐτοῦ λιθόστρωτον,
ἀγάπην ἀπὸ θυγατέρων Ἰερουσαλήμ.
[11]ἐξέλθατε καὶ ἴδετε 11
ἐν τῷ βασιλεῖ Σαλωμών,

ℵAC **3** *μη ον ηγαπ.*] pr *η νυμφη τοις φυλαξιν ειπεν* ℵ | *ιδετε* B^{b}AC **4** *εκρατησα*] pr *ευρουσα τον νυμφιον ειπεν* : mox in txt pr *ευρουσα αυτον* ℵ | *αφηκα*] *αφησω* A | *μητρος*] pr *της* C | *ταμειον* B^{a}C (*-μιον* B^{*b}ℵ)] *ταμιειον* A **5** *ωρκισα*] pr *τας νεανιδας ορκιζει η νυμφη| τουτο δευτερον* ℵ **6** *τις αυτη*] pr *ο νυμφιος προς την νυμφην* ℵ pr *ο νυμφιος* A | *ωστελεχη* A | *ζμυρναν* ℵ | *μυρεψικου* ℵ* (*-ψου* ℵ$^{c.a}$) **7** Σολομων ℵ **8** *ρομφαια*] *ρομφαιαν* ℵC^{vid} | *μηρον*] pr *τον* C **9** *φοριον* ℵA hiat C | Σαλωμων] Σολομων ℵ: cett perier in C | *ξυλου* ℵ **10** *χρυσιον* ℵ | *επιβασεις* A **11** *ιδετε*]+*θυγατερες Σιῶ*| A | Σαλωμων] Σολομων ℵ+*θυγατερες Σιων* ℵ$^{c.a}$

ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ B
ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ
καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ.

IV 1 [1]Ἰδοὺ εἶ καλὴ πλησίον μου, ἰδοὺ εἶ καλή.
ὀφθαλμοί σου περιστεραὶ
ἐκτὸς τῆς σιωπήσεώς σου.
τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν
αἱ ἀπεκαλύφθησαν ἀπὸ τοῦ Γαλαάδ.
2 [2]ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων
αἱ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ,
αἱ πᾶσαι διδυμεύουσαι,
καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς.
3 [3]ὡς σπαρτίον τὸ κόκκινον χείλη σου,
καὶ ἡ λαλιά σου ὡραία·
ὡς λέπυρον ῥόας μῆλόν σου
ἐκτὸς τῆς σιωπήσεώς σου.
4 [4]ὡς πύργος Δαυεὶδ τράχηλός σου,
ὁ ᾠκοδομημένος εἰς Θαλπιώθ.
χίλιοι θυρεοὶ κρέμανται ἐπ᾽ αὐτόν,
πᾶσαι βολίδες τῶν δυνατῶν.
5 [5]δύο μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος
οἱ νεμόμενοι ἐν κρίνοις.
6 [6]ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί,
πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης
καὶ πρὸς τὸν βουνὸν τοῦ Λιβάνου.
7 [7]ὅλη καλὴ εἶ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί.
8 [8]δεῦρο ἀπὸ Λιβάνου, νύμφη, δεῦρο ἀπὸ Λιβάνου·
ἐλεύσῃ καὶ διελεύσῃ ἀπὸ ἀρχῆς πίστεως,
ἀπὸ κεφαλῆς Σανεὶρ καὶ Ἑρμών,
ἀπὸ μανδρῶν λεόντων, ἀπὸ ὀρέων παρδάλεων.
9 [9]ἐκαρδίωσας ἡμᾶς, ἀδελφή μου νύμφη·
ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου,

IV **1** πλησιον] pr η ℵA | αι] οι ℵ* (αι ℵ$^{c.a}$) | απο] εκ ℵ **2** αυταις] ℵA αυτοις A **3** το κοκκινον] om το A | ροας] pr της A **4** οικοδομημενος ℵ | εις] εν ℵ* (εις ℵ$^{c.a}$) | Θαλφιωθ A | βολιδες] pr αι ℵ **5** νεβροι] νεβλοι ℵ$^{c.b(?)}$ | διδυμοι]+δι ℵ* (improb ℵ^{1}) **6** om ου A | η ημερα] om η ℵ* (hab η ℵ$^{c.a}$) | ζμυρνης ℵ | τον βουνον] om τον B^{ab} **7** ει καλη ℵ | πλησιον] pr η ℵA **8** απο 3^{o}] απ ℵA | Σανιειρ ℵ | Ερμων] Αερμων ℵA **9** ενι] εν A

B ἐν μιᾷ, ἐν θέματι τραχήλων σου.
10 τί ἐκαλλιώθησαν μαστοί σου ἀπὸ οἴνου, 10
καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα ἀρώματα;
11 κηρίον ἀποστάζουσιν χείλη σου, νύμφη· 11
μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου,
καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ Λιβάνου.
12 κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη, 12
κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη·
13 ἀποστολαί σου παράδεισος μετὰ καρποῦ ἀκροδρύων, 13
κύπροι μετὰ νάρδων·
14 νάρδος καὶ κρόκος, 14
κάλαμος καὶ κιννάμωμον
μετὰ πάντων ξύλων τοῦ Λιβάνου,
σμύρνα ἀλὼθ μετὰ πάντων πρώτων μύρων·
15 πηγὴ κήπου καὶ φρέαρ ὕδατος ζῶντος 15
καὶ ῥοιζοῦντος ἀπὸ τοῦ Λιβάνου.

16 Ἐξεγέρθητι, βορρᾶ· καὶ ἔρχου, νότε, 16
καὶ διάπνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματά μου.
V 1 καταβήτω ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ 1 V
καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ.

(1) Εἰσῆλθον εἰς κῆπον, ἀδελφή μου νύμφη· (1)
ἐτρύγησα σμύρναν μου μετὰ ἀρωμάτων μου,
ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου,
ἔπιον οἶνόν μου μετὰ γάλακτός μου.
φάγετε, πλησίοι, καὶ πίετε καὶ μεθύσθητε, ἀδελφοί.

2 Ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ. 2

ℵA 9 μια] ενι ℵc.a | τραχηλου ℵA 10 σου 1°] + αδελφη μου (νου ℵ* μου ℵ1) νυμφη| οτι εκαλλιωθησαν (-ωθη ℵ) μαστοι σου Bb(vid)ℵA | ιματιων] μυρων ℵ | αρωματα] pr τα ℵA 13 αποστολη ℵc.a (-λαι ℵ*c.b) | παραδεισος] + ροων ℵc.aA* (ras ρ. A?) 14 καλαμον ℵ* (-μος ℵc.a) | κιναμμωμον ℵ* (κινναμωμος ℵc.a) | Λιβανου] Λαβανου ℵ*vid | ζμυρνα ℵ | αλωθ] αλοη ℵ pr και ℵc.a | πρωτων] των A* (πρωτ. Aa) 15 κηπου] κηπων ℵA | om και 1° ℵA 16 εξεγερθητι] pr η νυμφη Aa?mg | om και 2° A V 1 καταβητω] pr η νυμφη αιτειται τον πρα ινα| καταβη ο νυμφιος αυτου ℵ | αυτου 1°] μου A | εισηλθον] pr ο νυμφιος προς την νυμφην ℵ pr ο νυμφιος A | κηπον 2°] + μου ℵc.aA | σμυρναν] σταφυλην ℵ | φαγετε] pr τοις πλησιον ο νυμφιος ℵ | πλησιοι] οι πλησιον μου ℵc.a οι πλησιον A

φωνὴ ἀδελφιδοῦ μου, κρούει ἐπὶ τὴν θύραν B
Ἄνοιξόν μοι, ἀδελφή μου, ἡ πλησίον μου,
περιστερά μου, τελεία μου,
ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρόσου
καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός.
3 ³ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσωμαι αὐτόν;
ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ αὐτούς;
4 ⁴ἀδελφιδός μου ἀπέστειλεν χεῖρα αὐτοῦ ἀπὸ τῆς ὀπῆς,
καὶ ἡ κοιλία μου ἐθροήθη ἐπ' αὐτόν.
5 ⁵ἀνέστην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου,
χεῖρές μου ἔσταξαν σμύρναν,
δάκτυλοί μου σμύρναν πλήρη
ἐπὶ χεῖρας τοῦ κλείθρου.
6 ⁶ἤνοιξα ἐγὼ τῷ ἀδελφιδῷ μου,
ἀδελφιδός μου παρῆλθεν·
ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ·
ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν,
ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέν μου.
7 ⁷εὗρόσάν με οἱ φύλακες οἱ κυκλοῦντες ἐν τῇ πόλει,
ἐπάταξάν με, ἐτραυμάτισάν με·
ἦραν τὸ θέριστρόν μου ἀπ' ἐμοῦ φύλακες τῶν τειχέων.

8 ⁸Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλήμ,
ἐν ταῖς δυνάμεσιν καὶ ἐν ταῖς ἰσχύσεσιν τοῦ ἀγροῦ,
ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου, τί ἀπαγγείλητε αὐτῷ;
ὅτι τετρωμένη ἀγάπης ἐγώ.

9 ⁹Τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ἡ καλὴ ἐν γυναιξίν,
τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ὅτι οὕτως ὥρκισας ἡμᾶς;

10 ¹⁰Ἀδελφιδός μου λευκὸς καὶ πυρρός,

2 φωνη] pr η νυμφη εσθετε τον νυμφιον| κρουοντα επι την θυραν ℵ | ανοιξον] ℵA pr η νυμφη ταδε ℵ* (unc incl et pr ο νυμφιος ℵ¹) | οι βοστρυχοι (βοστριχοι ℵ)] om οι ℵ* (hab οι ℵ$^{c.a}$) | ψεχαδων ℵ **3** εξεδυσαμην] pr η νυμφη ταδε ℵ pr η νυμφη A **5** ανοιξαι εγω ℵ | χειρες] pr αι A$^{?img}$ | επι χ. τ. κλ. c seqq coniung Bℵ **6** παρηλθεν] ε ex θ corr ℵ$^{?}$ | ψυχη] pr η A | εξηλθεν] απηλθεν ℵ | ουχ υπηκουσεν] ουκ επηκουσεν A **7** om μου ℵ **8** αδελφιδον] αδελφον ℵ* (-φιδον ℵ$^{c.a}$) | τι απαγγειλητε] απαγγειλατε ℵ | τετρωμενη αγαπης] αγαπης τετρωμενης ℵ*_(-νη ℵ$^{c.a}$) | εγω] ειμι B^{a} et (sup ras) b pr ειμι ℵA **9** τι 1°] pr αι θυγατερες Ιηλμ' και οι φυ|λακες πυϋ των τιχεων| πυνθανονται της νυμφης ℵ | σου 1°] μου ℵ* (σου ℵ$^{c.a}$) | αδελφιδου 1°]+μου ℵ* (om μου ℵ$^{c.a}$) **10** αδελφιδος] pr η νυμφη σημαινι τον α|δελφιδον οποιος εστιν ℵ

B ἐκλελοχισμένος ἀπὸ μυριάδων.
[11]κεφαλὴ αὐτοῦ χρυσίον καὶ φάζ, 11
βόστρυχοι αὐτοῦ ἐλάται, μέλανες ὡς κόραξ.
[12]ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πληρώματα ὑδάτων 12
λελουσμέναι ἐν γάλακτι,
καθήμεναι ἐπὶ πληρώματα.
[13]σιαγόνες αὐτοῦ ὡς φιάλαι τοῦ ἀρώματος φύουσαι μυρεψικά, 13
χείλη αὐτοῦ κρίνα στάζοντα σμύρναν πλήρη.
[14]χεῖρες αὐτοῦ τορευταὶ χρυσαῖ πεπληρωμέναι Θαρσείς. 14
κοιλία αὐτοῦ πυξίον ἐλεφάντινον ἐπὶ λίθου σαπφείρου.
[15]κνῆμαι αὐτοῦ στύλοι μαρμάρινοι 15
τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσᾶς·
εἶδος αὐτοῦ ὡς Λίβανος, ἐκλεκτὸς ὡς κέδροι.
[16]φάρυγξ αὐτοῦ γλυκασμοὶ καὶ ὅλος ἐπιθυμία. 16
οὗτος ἀδελφιδός μου
καὶ οὗτος πλησίον μου, θυγατέρες Ἰερουσαλήμ.

[17]Ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναιξίν; 17 (1) (VI)
ποῦ ἀπέβλεψεν ὁ ἀδελφιδός σου;
καὶ ζητήσομεν αὐτὸν μετὰ σοῦ.

[1]Ἀδελφός μου κατέβη εἰς κῆπον αὐτοῦ 1 (2) VI
εἰς φιάλας τοῦ ἀρώματος,
ποιμαίνειν ἐν κήποις καὶ συλλέγειν κρίνα.
[2]ἐγὼ τῷ ἀδελφιδῷ μου καὶ ἀδελφιδός μου ἐμοί, 2 (3)
ὁ ποιμαίνων ἐν τοῖς κρίνοις.

[3]Καλὴ εἶ πλησίον μου, ὡς εὐδοκία, 3 (4)
ὡραία ὡς Ἰερουσαλήμ,
θάμβος ὡς τεταγμέναι.
[4]ἀπόστρεψον ὀφθαλμούς σου ἀπεναντίον μου, 4 (5)
ὅτι αὐτοί ἀνεπτέρωσάν με.

ℵA **10** απο] εκ ℵ* (απο ℵ$^{c.a}$) **11** και φαζ] κεφαζ ℵ **12** οφθαλμοι] pr οι ℵA | λελουμεναι ℵA | πληρωματα 2°]+υδατων ℵA **13** φιαλες A | ζμυρναν ℵ **15** βασις ℵA | ιδος A **17** που 1°] pr πυνθανονται της νυμφης| αι θυγατερες Ιηλμ που| απηλθεν ο αδελφιδος| αυτης ℵ VI **1** αδελφος] αδελφιδος ℵA pr η δε νυμφη αποκρινεται ℵ | αυτου] μου A **2** αδελφιδος] pr ο ℵA **3** καλη] pr ο νυμφιος προς την νυμφην ℵ pr ο νυμφιος A | ει] η ℵ **4** απεναντιον μου οφθ. σου ℵ | μου] εμου A

τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν B
αἳ ἀνεφάνησαν ἀπὸ τοῦ Γαλαάδ,
(6) 5 [5]ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων
αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ,
αἵ πᾶσαι διδυμεύουσαι,
καὶ ἄτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς.
ὡς σπαρτίον τὸ κόκκινον χείλη σου,
καὶ ἡ λαλιά σου ὡραία.
(7) 6 [6]ὡς λέπυρον ῥόας μῆλόν σου
ἐκτὸς τῆς σιωπήσεώς σου.
(8) 7 [7]ἑξήκοντά εἰσιν βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαί,
καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός·
(9) 8 [8]μία ἐστὶν περιστερά μου, τελεία μου,
μία ἐστὶν τῇ μητρὶ αὐτῆς,
ἐκλεκτή ἐστιν τῇ τεκούσῃ αὐτῆς.
εἶδοσαν αὐτὴν θυγατέρες καὶ μακαριοῦσιν αὐτήν,
βασίλισσαι καί γε παλλακαί, καὶ αἰνέσουσιν αὐτήν.

(10) 9 [9]Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος,
καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ὁ ἥλιος,
θάμβος ὡς τεταγμέναι;

(11) 10 [10]Εἰς κῆπον καρύας κατέβην ἰδεῖν ἐν γενήμασιν τοῦ χειμάρρου,
ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος,
ἐξήνθησαν αἱ ῥόαι·
ἐκεῖ δώσω τοὺς μαστούς μου σοί.
(12) 11 [11]οὐκ ἔγνω ἡ ψυχή μου· ἔθετό με ἅρματα Ἀμειναδάβ.

(VII) (1) 12 [12]Ἐπίστρεφε, ἐπίστρεφε, ἡ Σουμανεῖτις·

4 ανεφανησαν] ανεβησαν ℵ | νεφανησαν απο του Γαλααδ sup ras $B^{1\,vid}$ ℵA **5** ατεκνουσαι ℵ*c.b (ras ι ℵc.a(vid)) | αυταις] αυτοις A | το κοκκινον] om το ℵA **6** ροας] pr της B^{ab}ℵA **8** om εστιν 3° ℵ* (hab ℵc.a) | αυτης 2°] αυτην ℵc.a | om γε A | om και 3° ℵ **9** τις] pr θυγατερες και βασιλισσαι ειδον την νυμφην| και εμακαρισαν αυτην ℵ pr η νυμφη A | εκκυπτουσα] εγκυπτουσα (εγκυπτ sup ras) A^a | εκλεκτη c praec coniung ℵ | ο ηλιος] om ο ℵ | τεταγμενη B^{ab} **10** εις κηπον] pr ο νυμφιος προς την νυμφην ℵ | καρυας] καροιας ℵ | γενηματι ℵA | εξηνθησαν] ει ηνθησαν A | εκει] pr η νυμφη ταδε προς τον νυμφιον ℵ | σοι] σου A **11** η ψυχη] om η ℵ | Αμειναδαβ BA*vid] Αμιναδαβ ℵA^a **12** επιστρεφε 1°] pr ο νυμφιος προς την νυμφην ℵ | Σουμανειτις] Σουλαμιτις ℵA

B ἐπίστρεφε, ἐπίστρεφε, καὶ ὀψόμεθα ἐν σοί.

[1]Τί ὄψεσθε ἐν τῇ Σουμανείτιδι; 1 VII
ἡ ἐρχομένη ὡς χοροὶ τῶν παρεμβολῶν.

[(2)]Ὡραιώθησαν διαβήματά σου ἐν ὑποδήμασιν, (2)
θύγατερ Ναδάβ.
ῥυθμοὶ μηρῶν σου ὅμοιοι ὁρμίσκοις,
ἔργον τεχνίτου.
[2]ὀμφαλός σου κρατὴρ τορευτός, 2 (3)
μὴ ὑστερούμενος κρᾶμα·
κοιλία σου θιμωνιὰ σίτου πεφραγμένη ἐν κρίνοις.
[3]δύο μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος· 3 (4)
[4]ὁ τράχηλός σου ὡς πύργος ἐλεφάντινος. 4 (5)
οἱ ὀφθαλμοί σου ὡς λίμναι ἐν Ἐσεβών,
ἐν πύλαις θυγατρὸς πολλῶν.
μυκτήρ σου ὡς πύργος τοῦ Λιβάνου
σκοπεύων πρόσωπον Δαμασκοῦ.
[5]κεφαλή σου ἐπὶ σὲ ὡς Κάρμηλος, 5 (6)
καὶ πλόκιον κεφαλῆς σου ὡς πορφύρα,
βασιλεὺς δεδεμένος ἐν παραδρομαῖς.
[6]τί ὡραιώθης, καὶ τί ἡδύνθης, 6 (7)
ἀγάπη, ἐν τρυφαῖς σου;
[7]τοῦτο μέγεθός σου· 7 (8)
ὡμοιώθης τῷ φοίνικι,
καὶ οἱ μαστοί σου τοῖς βότρυσιν.
[8]εἶπα Ἀναβήσομαι ἐπὶ τῷ φοίνικι, 8 (9)
κρατήσω τῶν ὕψεων αὐτοῦ·
καὶ ἔσονται δὴ μαστοί σου ὡς βότρυες τῆς ἀμπέλου,
καὶ ὀσμὴ ῥινός σου ὡς μῆλα,
[9]καὶ ὁ λάρυγξ σου ὡς οἶνος ὁ ἀγαθός, 9 (10)
πορευόμενος τῷ ἀδελφιδῷ μου εἰς εὐθύτητα,

𝔖A VII **1** τι] pr ταις βασιλισσσαις και ταις θυγατρασιν ο νυμφιος ταδε ℵ | Σουμανειτιδι] Σουλαμιτιδι ℵA | ωραιωθησαν] pr τι A | Ναδαβ] Αμιναδαβ A | εργον] εργω χειρων A **2** κραματος ℵA | θειμωνια ℵ **4** ο τραχηλος] om ο ℵA | οι οφθαλμοι] om οι ℵA **6** ηδυνθης] ηδυνηθης ℵ **7** ωμοιωθης] ομοιωθητι ℵ ωμοιωθη A (c praec coniung) | βοτρυσι A **8** επι] εν A | κρατησω] pr και ℵ* (om και ℵ$^{c.a}$) | om και 1° ℵ* (hab ℵ$^{c.a}$) **9** ο λαρυγξ] om ο ℵA* (superscr A$^{a?}$) | ο αγαθος] om ο A | πορευομενος] pr η νυμφη ℵ

ἱκανούμενος χείλεσίν μου καὶ ὀδοῦσιν. B

(11) 10 [10]Ἐγὼ τῷ ἀδελφιδῷ μου,
καὶ ἐπ᾽ ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ.
(12) 11 [11]ἐλθέ, ἀδελφιδέ μου, ἐξέλθωμεν εἰς ἀγρόν,
αὐλισθῶμεν ἐν κώμαις·
(13) 12 [12]ὀρθρίσωμεν εἰς ἀμπελῶνας,
ἴδωμεν εἰ ἤνθησεν ἡ ἄμπελος,
ἤνθησεν ὁ κυπρισμός, ἤνθησαν αἱ ῥόαι·
ἐκεῖ δώσω τοὺς μαστούς μου σοί.
(14) 13 [13]οἱ μανδραγόραι ἔδωκαν ὀσμήν,
καὶ ἐπὶ θύραις ἡμῶν πάντα ἀκρόδρυα,
νέα πρὸς παλαιά, ἀδελφιδέ μου, ἐτήρησά σοι.

VIII 1 [1]τίς δώῃ σε ἀδελφιδόν μου, θηλάζοντα μαστοὺς μητρός μου;
εὑροῦσά σε ἔξω φιλήσω σε, καί γε οὐκ ἐξουδενώσουσίν μοι.
2 [2]παραλήμψομαί σε, εἰσάξω σε εἰς οἶκον μητρός μου
καὶ εἰς ταμεῖον τῆς συλλαβούσης με·
ποτιῶ σε ἀπὸ οἴνου τοῦ μυρεψικοῦ,
ἀπὸ νάματος ῥοῶν σου.
3 [3]εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου,
καὶ ἡ δεξιὰ αὐτοῦ περιλήμψεταί με.

4 [4]Ὡρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλήμ,
ἐν ταῖς δυνάμεσιν καὶ ταῖς ἰσχύσεσιν τοῦ ἀγροῦ,
ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως ἂν θελήσῃ.

5 [5]Τίς αὕτη ἡ ἀναβαίνουσα λελευκαθισμένη,
ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς;

Ὑπὸ μῆλον ἐξήγειρά σε·
ἐκεῖ ὠδίνησέν σε ἡ μήτηρ σου,
ἐκεῖ ὠδίνησέν σε ἡ τεκοῦσά σου.

6 [6]Θές με ὡς σφραγῖδα ἐπὶ τὴν καρδίαν σου,

9 χειλεσιν] pr εν A 12 ειδωμεν ℵ 13 μανδραγορες A | οσμην] + ℵA αυτων ℵ | ημων] υμων A VIII 1 αδελφιδε A | εξουδενησουσιν A | μοι] με ℵa(vid) c.a A 2 εις 2°] pr εισαξω σε ℵa img | ταμειον (-μιον ℵ)] ταμειον A | σου] μου B^{ab}A 3 η δεξια] om η A 4 ταις ισχ.] pr εν ℵA | εαν] τι ℵA | εξεγειρητε] pr εαν B^{ab} pr τι ℵc.a A 5 τις] pr αι θυγατερες και αι βασιλισσαι και οι του νυμφιου ειπαν ℵ | λελευκανθισμενη ℵA | υπο] pr ο νυμφιος ταδε προς την νυμφην ℵ pr ο νυμφιος A | σου 2°] σε B^{b}ℵc.a

B ὡς σφραγῖδα ἐπὶ τὸν βραχίονά σου·
ὅτι κραταιὰ ὡς θάνατος ἀγάπη,
σκληρὸς ὡς ᾅδης ζῆλος·
περίπτερα αὐτῆς περίπτερα πυρός, φλόγες αὐτῆς·
7 ὕδωρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην, 7
καὶ ποταμοὶ οὐ συνκλύσουσιν αὐτήν.
ἐὰν δῷ ἀνὴρ τὸν πάντα βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ,
ἐξουδενώσει ἐξουδενώσουσιν αὐτόν.

8 Ἀδελφὴ ἡμῖν μικρὰ καὶ μαστοὺς οὐκ ἔχει. 8
τί ποιήσωμεν τῇ ἀδελφῇ ἡμῶν
ἐν ἡμέρᾳ ᾗ ἐὰν λαληθῇ ἐν αὐτῇ;
9 εἰ τεῖχός ἐστιν, οἰκοδομήσωμεν ἐπ' αὐτὴν ἐπάλξεις ἀργυρᾶς· 9
καὶ εἰ θύρα ἐστίν, διαγράψωμεν ἐπ' αὐτὴν σανίδα κεδρίνην.

10 Ἐγὼ τεῖχος, καὶ μαστοί μου πύργοι· 10
ἐγὼ ἤμην ἐν ὀφθαλμοῖς αὐτῶν ὡς εὑρίσκουσα εἰρήνην.
11 ἀμπελὼν ἐγενήθη τῷ Σαλωμὼν ἐν Βεεθλαμών· 11
ἔδωκεν τὸν ἀμπελῶνα αὐτοῦ τοῖς τηροῦσιν,
ἀνὴρ οἴσει ἐν καρπῷ αὐτοῦ χιλίους ἀργυρίου.
12 ἀμπελών μου ἐμὸς ἐνώπιόν μου· 12
οἱ χίλιοι Σαλωμών, καὶ οἱ διακόσιοι
τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ.

13 Ὁ καθήμενος ἐν κήποις, 13
ἑταῖροι προσέχοντες τῇ φωνῇ σου· ἀκούτισόν με.

14 Φύγε, ἀδελφιδέ μου, καὶ ὁμοιώθητι τῇ δορκάδι 14
ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ ὄρη ἀρωμάτων.

ℵA **6** σκληρον A | ζηλος] in ζ ras aliq B² (ξηλος B*fort) | πτεριπτερα (1°) A* | φλογες] φλογος ℵ* ανθρακες πυρος φλογες ℵc.a **7** συνκλυσουσιν (συγκλ. Bᵇ)] συνκλισουσιν A | εξουδενωσουσιν] εξουθενησουσιν ℵ εξουδενησουσιν A **8** ημιν B*ᵇℵ*] ημων Baᵇcℵc.aA | εαν] αν ℵA **9** ει 2°] η ℵ* (ει ℵc.a) **10** εγω 1°] pr η νυμφη παρρησιαζετε ℵ | μαστοι] pr οι ℵ | πυργοι] pr ως ℵA | αυτων] αυτου ℵA | om ως A | ειρηνην] χαριν ℵ **11** εγενηθην A | Σολομων ℵ | Βεεθλαμων] Βεελλαμων ℵ Βεελαμων A | om ανηρ...αργυριου A | αργυριου] αργυριους (αργυριου ℵc.a) αυτου ℵ* **12** Σαλωμων] τω Σολομων ℵ | διακοσιοι] δισχιλιοι ℵ* (διακ. ℵc.a) | τηρουσιν ℵ **13** ο καθημ.] pr η νυμφη ℵ | εταιροι] ετεροι ℵ | τη φωνη σου] την φωνην σ. ℵ c seqq coniung ℵA **14** φυγε] φευγε A | om μου ℵ* (hab ℵc.a) | τω νεβρω] om τω A | των ελαφων] om των ℵ* (hab ℵc.a) A | ορη] pr τα ℵA | αρωματων B℧c.a] κοιλωματων ℵ*A

Subscr ασμα B ασμα ασματων ℵA
Stich 351 B℧ 357 A

Ι Ω Β

I 1 ΑΝΘΡΩΠΟΣ τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι ᾧ ὄνομα Ἰώβ· B
καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἀληθινός, ἄμεμπτος, δίκαιος,
θεοσεβής,
ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος.
2 [2]ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς.
3 [3]καὶ ἦν τὰ κτήνη αὐτοῦ πρόβατα ἑπτακισχίλια,
κάμηλοι τρισχίλιαι,
ζεύγη βοῶν πεντακόσια,
ὄνοι θήλειαι νομάδες πεντακόσιαι.
καὶ ὑπηρεσία πολλὴ σφόδρα
καὶ ἔργα μεγάλα ἦν αὐτῷ ἐπὶ τῆς γῆς·
καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν.
4 [4]συμπορευόμενοι δὲ οἱ υἱοὶ αὐτοῦ πρὸς ἀλλήλους
ἐποιοῦσαν πότον καθ' ἑκάστην ἡμέραν,
συμπαραλαμβάνοντες ἅμα καὶ τὰς τρεῖς ἀδελφὰς αὐτῶν
ἐσθίειν καὶ πίνειν μετ' αὐτῶν.
5 [5]καὶ ὡς ἂν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου,
ἀπέστελλεν Ἰὼβ καὶ ἐκαθάριζεν αὐτοὺς ἀνιστάμενος τὸ
πρωί,
καὶ προσέφερεν περὶ αὐτῶν θυσίαν κατὰ τὸν ἀριθμὸν αὐτῶν
καὶ μόσχον ἕνα περὶ ἁμαρτίας περὶ τῶν ψυχῶν αὐτῶν·

I 1 om τις A | Ausειτιδι ℵ | αμεμπτος δικαιος αληθεινος A 3 τρισχι- ℵA
λιοι A | πεντακοσιαι] πεντακοσιοι A 4 συνπορευομενοι ℵ | αυτου οι υιοι ℵ* (οι υιοι αυτου ℵc.a) | αλληλους] εαυτους ℵ* (αλλ. ℵc.a) | εποιουσαν] εποιουν ℵc.a A | συνπαραλαμβανοντες ℵ 5 συνεελεσθησαν ℵ* (συνετ. ℵ1) | απεστειλεν A | και προσεφερεν] προσεφερεν τε A | περι αυτων θυσιαν] π. αυτ. θυσιας ℵc.a θυσιας π. αυτ. A | αριθμον] καθαρισμον ℵ* (αριθμ. ℵc.a) | περι 3ο] υπερ A

B ἔλεγεν γὰρ Ἰώβ Μή ποτε οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν
κακὰ ἐνενόησαν πρὸς θεόν.
οὕτως οὖν ἐποίει Ἰὼβ πάσας τὰς ἡμέρας.

6 Καὶ ὡς ἐγένετο ἡ ἡμέρα αὕτη, 6
καὶ ἰδοὺ ἦλθον οἱ ἄγγελοι τοῦ θεοῦ παραστῆναι ἐνώπιον
τοῦ κυρίου,
καὶ ὁ διάβολος ἦλθεν μετ' αὐτῶν.
7 καὶ εἶπεν ὁ κύριος τῷ διαβόλῳ Πόθεν παραγέγονας; 7
καὶ ἀποκριθεὶς ὁ διάβολος τῷ κυρίῳ εἶπεν
Περιελθὼν τὴν γῆν καὶ ἐμπεριπατήσας τὴν ὑπ' οὐρανὸν
πάρειμι.
8 καὶ εἶπεν αὐτῷ ὁ κύριος 8
Προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ παιδός μου Ἰώβ;
ὅτι οὐκ ἔστιν κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς,
ἄνθρωπος ἄμεμπτος, ἀληθινός, θεοσεβής,
ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος.
9 ἀπεκρίθη δὲ ὁ διάβολος καὶ εἶπεν ἐναντίον τοῦ κυρίου· 9
Μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν κύριον;
10 οὐ σὺ περιέφραξας τὰ ἔξω αὐτοῦ καὶ τὰ ἔσω τῆς οἰκίας αὐτοῦ 10
καὶ τὰ ἔξω πάντων τῶν ὄντων αὐτῷ κύκλῳ;
τὰ ἔργα τῶν χειρῶν αὐτοῦ εὐλόγησας,
καὶ τὰ κτήνη αὐτοῦ πολλὰ ἐποίησας ἐπὶ τῆς γῆς.
11 ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου καὶ ἅψαι πάντων ὧν ἔχει· 11
εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει.
12 τότε εἶπεν ὁ κύριος τῷ διαβόλῳ 12
Ἰδοὺ πάντα ὅσα ἐστὶν αὐτῷ δίδωμι ἐν τῇ χειρί σου,
ἀλλὰ αὐτοῦ μὴ ἅψῃ.
καὶ ἐξῆλθεν ὁ διάβολος παρὰ τοῦ κυρίου.

ℵA **5** διανοια] καρδια A | θεον] pr τον Aℵ | om ουν A | om Ιωβ 3° A | ημερας] + αυτων A **6** εγενετο ως A | om ιδου A | κυριου] θυ ℵ* (κυ ℵc.a) | αυτων] + περιελθων την γην| και εμπεριπατησας την υπ ουρανον| A **7** τω διαβολω] προς τον διαβολον A | ενπεριπατησας ℵ **8** κυριος] θς A | παιδος] θεραποντος A | κατ αυτον] αν̄ος ομοιος αυτω A | της γης] om της ℵ | αμεμπτος] + δικαιος ℵc.a (vid) A **9** om και ειπεν A | εναντιον] εναντι ℵ | του κυριου] om του A | Ιωβ σεβεται A | κυριον] θν̄ A **10** αυτου τα εξω A | εξω 2°] εξωθεν A | αυτω] αυτου ℵ | κυκλω] κυκλοθεν A | τα εργα] τα δε ε. A | αυτου 3°] ου rescr A1 (αυτων A* vid) **11** σε] σου ℵ* (σε ℵc.a) **12** τοτε] και A | αυτω] αυτου ℵ* (-τω ℵc.a) | om διδωμι A | σου] + δεδωκα A | αλλα] αλλ ℵ | παρα του κυριου] απο προσωπου κῡ A

13 [13]καὶ ἦν ὡς ἡ ἡμέρα αὕτη, B
οἱ υἱοὶ Ἰὼβ καὶ αἱ θυγατέρες αὐτοῦ
ἔπινον οἶνον ἐν τῇ οἰκίᾳ τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου.
14 [14]καὶ ἰδοὺ ἄγγελος ἦλθεν πρὸς Ἰὼβ καὶ εἶπεν αὐτῷ
Τὰ ζεύγη τῶν βοῶν ἠροτρία,
καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο ἐχόμεναι αὐτῶν·
15 [15]καὶ ἐλθόντες οἱ αἰχμαλωτεύοντες ἠχμαλώτευσαν αὐτάς,
καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις·
σωθεὶς δὲ ἐγὼ μόνος ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.
16 [16]ἔτι τούτου λαλοῦντος ἦλθεν ἕτερος ἄγγελος καὶ εἶπεν πρὸς Ἰώβ
Πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ καὶ κατέκαυσεν τὰ πρόβατα, καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοίως·
σωθεὶς δὲ ἐγὼ μόνος ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.
17 [17]ἔτι τούτου λαλοῦντος ἦλθεν ἕτερος ἄγγελος καὶ εἶπεν πρὸς Ἰώβ
Οἱ ἱππεῖς ἐποίησαν ἡμῖν κεφαλὰς γ',
καὶ ἐκύκλωσαν τὰς καμήλους καὶ ἠχμαλώτευσαν αὐτάς,
καὶ τοὺς παῖδας ἀπέκτειναν μαχαίραις·
ἐσώθην δὲ ἐγὼ μόνος καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.
18 [18]ἔτι τούτου λαλοῦντος ἄλλος ἄγγελος ἔρχεται λέγων τῷ Ἰώβ
Τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων παρὰ τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ,
19 [19]ἐξαίφνης πνεῦμα μέγα ἐπῆλθεν ἐκ τῆς ἐρήμου καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας·
καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου, καὶ ἐτελεύτησαν·

13 ην] εγενετο A | η ημερα] om η ℵ* (hab ℵc.a) | οι υιοι] pr και A | ℵA Ιωβ] pr του A | om αυτου ℵ* (hab ℵc.a) | επινον] pr ησθιον και ℵc.aA **15** αιχμαλωτευσαντες ℵ | αυτας] αυτους A | απεκτειναν] επαταξαν A | μαχαιραις] στοματι μαχαιρας A | σωθεις δε] και εσωθην A | ηλθον] pr και A **16** αγγελος]+προς Ιωβ A | προς Ιωβ] αυτω A | ουρανου]+επι την γην A | κατεκαυσεν] κατεφαγεν A | κατεφαγεν] κατεφλεξεν ℵ* (κατεφαγ. ℵc.a) κατεκαυσεν A | σωθεις δε] και σωθεις ℵ και εσωθην A | ηλθον] pr και A **17** ηλθεν...προς Ιωβ] ετερος (τ rescr A1) αγγελος ερχεται προς Ιωβ| και λεγει αυτω A | om προς Ιωβ ℵ* (hab ℵc.a) | κεφαλας] αρχας ℵc.aA | γ'] τρεις ℵA (τρις) | απεκτειναν] απωλεσαν ℵ* (απεκτιναν ℵc.a) | μαχαιραις] pr εν ℵA | εσωθην δε] και εσωθην A **18** αλλος αγγ. ερχεται] ερχ. ετερος αγγ. ℵ | λεγων τω Ιωβ] προς Ιωβ λεγων A | τω αδελφω] pr του (sic) υιω σου A **19** επηλθεν] om ℵ* (hab ℵc.a) ηλθεν A | εκ] απο A | ετελευτησεν ℵ* (-σαν ℵ1)

B ἐσώθην δὲ ἐγὼ μόνος καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.
20 οὕτως ἀναστὰς Ἰὼβ διέρρηξεν τὰ ἱμάτια ἑαυτοῦ 20
καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς,
καὶ πεσὼν χαμαὶ προσεκύνησεν 21 καὶ εἶπεν 21
Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου·
γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ.
ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλατο·
ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο·
εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον.
22 ἐν τούτοις πᾶσιν τοῖς συμβεβηκόσιν αὐτῷ 22
οὐδὲν ἥμαρτεν Ἰὼβ ἐναντίον τοῦ κυρίου,
καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ θεῷ.

1 Ἐγένετο δὲ ὡς ἡ ἡμέρα αὕτη 1 II
καὶ ἦλθον οἱ ἄγγελοι τοῦ θεοῦ παραστῆναι ἔναντι Κυρίου,
καὶ ὁ διάβολος ἦλθεν ἐν μέσῳ αὐτῶν
παραστῆναι ἐναντίον τοῦ κυρίου.
2 καὶ εἶπεν ὁ κύριος τῷ διαβόλῳ Πόθεν σὺ ἔρχῃ; 2
τότε εἶπεν ὁ διάβολος ἐνώπιον τοῦ κυρίου
Διαπορευθεὶς τὴν ὑπ᾽ οὐρανὸν καὶ ἐμπεριπατήσας τὴν
σύμπασαν πάρειμι.
3 εἶπεν δὲ ὁ κύριος πρὸς τὸν διάβολον 3
Προσέσχες οὖν τῷ θεράποντί μου Ἰώβ;
ὅτι οὐκ ἔστιν κατ᾽ αὐτὸν τῶν ἐπὶ τῆς γῆς,
ἄνθρωπος ἄκακος, ἀληθινός, ἄμεμπτος, θεοσεβής,
ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ.
ἔτι δὲ ἔχεται ἀκακίας·
σὺ δὲ εἶπας τὰ ὑπάρχοντα αὐτοῦ διὰ κενῆς ἀπολέσαι.

ℵA 19 εσωθην δε] και εσωθην A 20 ουτως] + ακουσας A | Ιωβ αναστας A | εαυτου] αυτου ℵA | κεφαλης] + αυτου ℵc.a + αυτου και κατεπασατο γη| επι της κεφαλης αυτου A | προσεκυνησεν] + τω κω ℵc.a A 21 om εκει ℵc.a (restit ℵ?) | αφειλατο (-λετο B$_{*}^{c}$)] pr ο ℵ* (om ο ℵ1) | ουτως] ουτως κ ℵc.a ουτω και A | ευλογημενον] + εις τους αιωνας A 22 συμβεβηκοσι] A* (-βηκοσι| A$^{a.?}$) ουδεν] ουχ A | Ιωβ] + ουδεν A | εναντιον] εναντι ℵA | του κυριου] κυ ουδε εν τοις χιλεσιν αυτου A II 1 εναντι] εναντιον ℵ ενωπιον A | Κυριου] pr του ℵ | εν μεσω αυτων ηλθεν A | om παραστηναι...κυριου (2°) ℵ* (hab ℵc.a) | εναντιον] εναντι A | του κυριου] om του A 2 ενωπιον] εναντι A | του κυριου] om του A | επεριπατησας A | συμπασαν] γην A 3 διαβολον] Σαταναν A | ανθρωπος] + ομοιος αυτω A | ακακος...αμεμπτος] αμεμπτος δικαιος αληθεινος A | απολεσαι δια κενης A

4 [4]ὑπολαβὼν δὲ ὁ διάβολος εἶπεν τῷ κυρίῳ B
Δέρμα ὑπὲρ δέρματος·
ὅσα ὑπάρχει ἀνθρώπῳ ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτίσει.
5 [5]οὐ μὴν δὲ ἀλλὰ ἀποστείλας τὴν χεῖρά σου ἅψαι τῶν ὀστῶν
αὐτοῦ καὶ τῶν σαρκῶν αὐτοῦ·
εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει.
6 [6]εἶπεν δὲ ὁ κύριος τῷ διαβόλῳ Ἰδοὺ παραδίδωμί σοι αὐ-
τόν·
μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον.
7 [7]ἐξῆλθεν δὲ ὁ διάβολος ἀπὸ τοῦ κυρίου,
καὶ ἔπαισεν τὸν Ἰὼβ ἕλκει πονηρῷ ἀπὸ ποδῶν ἕως
κεφαλῆς.
8 [8]καὶ ἔλαβεν ὄστρακον ἵνα τὸν ἰχῶρα ξύῃ,
καὶ ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως.
9 [9]χρόνου δὲ πολλοῦ προβεβηκότος εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ
Μέχρι τίνος καρτερήσεις λέγων
9a [9a]Ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν
προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου;
9b [9b]ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς,
υἱοὶ καὶ θυγατέρες, ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι,
οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων.
9c [9c]σύ τε αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κάθησαι διανυκτερεύων
ἄϑριος·
9d [9d]κἀγὼ πλανωμένη καὶ λάτρις,
τόπον ἐκ τόπου καὶ οἰκίαν ἐξ οἰκίας,
προσδεχομένη τὸν ἥλιον πότε δύσεται,
ἵνα ἀναπαύσωμαι τῶν μόχθων μου καὶ τῶν ὀδυνῶν αἵ με
νῦν συνέχουσιν.

4 υπερ 1°] υπο ℵ* (υπερ ℵ[1]) | οσα] pr παντα ℵ* pr και παντα ℵ[c.a]A | αν- ℵA θρωπω] pr τω A | υπερ 2°] pr δωσει A | om εκτισει A **5** μην 2°] μη A **6** μονον c praec coniung ℵ | την ψυχην] την δε ψ. ℵ* (om δε ℵ[c.a]) | διαφυλαξον] διατηρησον A **7** απο 1°] παρα A | εκει A* (ελκει A[2]) | εως] μεχρι ℵ[c.a] **8** ελαβεν] + Ιωβ A | τον ιχ. ξυη] αποξεη τον ιχωρα αυτου A | και 2°] + αυτος ℵ[c.a]A **9** χρονου] pr asterisc A[a? mg] | αυτω] τω Ιωβ A | μεχρις A **9a** om αναμενω ℵ* (hab ℵ[c.a]) | μου] αυτου ℵ* (μου ℵ[c.a]) **9b** το μνημοσινον σου A | υιοι] + σου A | εμης] pr της A **9c** τε] δε A | om καθησαι ℵ* (hab καθη. [sic] ℵ[c.a]) καθισαι A[vid] **9d** καγω] και εγω A | πλανωμενη] πλανητις ℵ[c.a]A (-τεις) | τοπου] + περιερχομενη A | οικιας] + περιερχομενη ℵ[c.a] | δυσεται] δυση A | αναπαυσομαι A | om μου ℵA | οδυνων] pr περιεχουσων με A

B [9]ἀλλὰ εἰπόν τι ῥῆμα εἰς Κύριον, καὶ τελεύτα. 9
[10]ὁ δὲ ἐμβλέψας εἶπεν αὐτῇ 10
Ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας·
εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;
ἐν πᾶσιν τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ
οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν ἐναντίον τοῦ θεοῦ.

[11]Ἀκούσαντες δὲ οἱ τρεῖς φίλοι αὐτοῦ τὰ κακὰ πάντα τὰ ἐπελ- 11
θόντα αὐτῷ,
παρεγένοντο ἕκαστος ἐκ τῆς ἰδίας χώρας πρὸς αὐτόν,
Ἐλειφὰζ ὁ Θαιμανῶν βασιλεύς,
Βαλδὰδ ὁ Σαυχαίων τύραννος,
Σωφὰρ ὁ Μειναίων βασιλεύς·
καὶ παρεγένοντο πρὸς αὐτὸν ὁμοθυμαδὸν
τοῦ παρακαλέσαι καὶ ἐπισκέψασθαι αὐτόν.
[12]ἰδόντες δὲ αὐτὸν πόρρωθεν οὐκ ἐπέγνωσαν, 12
καὶ βοήσαντες φωνῇ μεγάλῃ ἔκλαυσαν,
§ C §ῥήξαντες ἕκαστος τὴν ἑαυτοῦ στολήν,
καὶ καταπασάμενοι γῆν.
[13]παρεκάθισαν αὐτῷ ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας, 13
καὶ οὐδεὶς αὐτῶν ἐλάλησεν·
ἑώρων γὰρ τὴν πληγὴν δεινὴν οὖσαν καὶ μεγάλην σφόδρα.

[1]Μετὰ τοῦτο ἤνοιξεν Ἰὼβ τὸ στόμα αὐτοῦ 1 III
καὶ κατηράσατο τὴν ἡμέραν αὐτοῦ [2]λέγων 2
[3]Ἀπόλοιτο ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην, 3

ℵAC **9** αλλα] αλλ ℵA | εις] προς A **10** ωσπερ] pr ινα τι A | ελαλησας] pr ουτως A | ει] pr · sterisc $A^{a?mg}$ | τα αγαθα] τα μεν αγ. A | τα κακα] τα δε κακα A | τουτοις πασιν A | ουδεν ημαρτεν Ιωβ] ουχ ημ. I. ουδε εν A | χειλεσιν] + αυτου A **11** επελθοτα A* (-θοντα [ν minio superscr] A^{a}) | παρεγενοντο I°] παρεγενετο ℵ | χωρας] πολεως A | αυτον I°] + του παρακαλεσαι και επισκεψασθε αυτο| A | Ελιφαζ A | Θεμανων A | Βαλδας A | Σαυχαιων] Αυχ. A | Σωφαρ] pr και A | Μιναιων A | του παρακαλεσαι] om του ℵ* (hab του $ℵ^{c.a}$) **12** ρηξαντες]+δε A | γην]+επι τας κεφαλας αυτων A **13** παρεκαθισαν] παρεκαθητο A | om επτα 2° ℵ* (hab $ℵ^{c.a}$) | om και ουδεις αυτων ελαλησεν ℵ | αυτων] αυτω B^{ab} | ελαλησεν] + προς αυτον λογον AC ⌈ om γαρ ℵ* (hab $ℵ^{c.a}$) | ουσαν δεινην ℵ III **1** μετα] pr και A | τουτο] ταυτα A **2** λεγων] pr και απεκριθη Ιωβ A **3** εγεννηθην] εγενηθην (sic) εν αυτη A

καὶ ἡ νὺξ ἐκείνη ᾗ εἶπαν Ἰδοὺ ἄρσεν. B

4 [4]ἡ νὺξ ἐκείνη εἴη σκότος,
καὶ μὴ ἀναζητήσαι αὐτὴν ὁ κύριος ἄνωθεν,
μηδὲ ἔλθοι εἰς αὐτὴν φέγγος·
5 [5]ἐκλάβοι δὲ αὐτὴν σκότος καὶ σκιὰ θανάτου,
ἐπέλθοι ἐπ᾽ αὐτὴν γνόφος.
6 καταραθείη ἡ ἡμέρα [6]καὶ ἡ νὺξ ἐκείνη,
ἀπενέγκαιτο αὐτὴν σκότος·
μὴ εἴη εἰς ἡμέρας ἐνιαυτοῦ,
μηδὲ ἀριθμηθείη εἰς ἡμέρας μηνῶν.
7 [7]ἀλλὰ ἡ νὺξ ἐκείνη εἴη ὀδύνη,
καὶ μὴ ἔλθοι ἐπ᾽ αὐτὴν εὐφροσύνη μηδὲ χαρμονή·
8 [8]ἀλλὰ καταράσαιτο αὐτὴν ὁ καταρώμενος τὴν ἡμέραν ἐκείνην,
ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι.
9 [9]σκοτωθείη τὰ ἄστρα τῆς νυκτὸς ἐκείνης·
ὑπομείναι, καὶ εἰς φωτισμὸν μὴ ἔλθοι,
καὶ μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα.
10 [10]ὅτι οὐ συνέκλεισεν πύλας γαστρὸς μητρός μου·
ἀπήλλαξεν γὰρ ἂν πόνον ἀπὸ ὀφθαλμῶν μου.
11 [11]διὰ τί γὰρ ἐν κοιλίᾳ οὐκ ἐτελεύτησα;
ἐκ γαστρὸς δὲ ἐξῆλθον καὶ οὐκ εὐθὺς ἀπωλόμην;
12 [12]ἵνα τί δὲ συνήντησάν μοι τὰ γόνατα;
ἵνα τί δὲ μαστοὺς ἐθήλασα;
13 [13]νῦν ἂν κοιμηθεὶς ἡσύχασα,
ὑπνώσας δὲ ἀνεπαυσάμην
14 [14]μετὰ βασιλέων βουλευτῶν γῆς,
οἱ ἠγαυριῶντο ἐπὶ ξίφεσιν,
15 [15]ἢ μετὰ ἀρχόντων, ὧν πολὺς ὁ χρυσός,
οἱ ἔπλησαν τοὺς οἴκους αὐτῶν ἀργυρίου,
16 [16]ἢ ὥσπερ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρός,

3 η 3°] ση ℵ* (om σ ℵ[1]) | om εκεινη ℵAC | η 4°] pr εν ℵAC | ειπον A ℵAC **4** νυξ] ημερα ℵ[c.b]AC | φεγγος] φθεγγος C **5** επελθοι] pr και A **5—6** om καταραθειη...σκοτος ℵ* (hab ℵ[c.a]) **5** ημερα] +εκεινη ℵ[c.a] (εκιν.) A **6** απενεγκοιτο B[ab]ℵ[c.a]AC | ενιαυτων A **7** οδυνη] οδυνηρα AC **8** καταρασαιτο αυτην] κατ. εαυτην ℵ* (αυτ. ℵ[1 c.a]) καταρασε τοιαυτην A[vid] | χειρουσασθ, A **9** υπομειναι] pr και μη C* (ras κ. μ. C[a]) | εις φωτισμον μη ελθοι] εις φως (φωτισμον ℵ[c.a]) μ. ε. ℵ* μη ελθοι και μη φωτισαι A | και μη] μηδε A | ειδοι C **10** απηλλαξε ℵ απηλλαξ·εν A | πονον] κοπον A **12** ινα τι δε (1°)] και ινα τι A | συνηντησεν A | τα γονατα] om τα ℵA | εθηλασα]+μρς μου A **14** βουλευτων] pr και A **15** η] και A

B ἢ ὥσπερ νήπιοι οἳ οὐκ εἶδον φῶς.
17 ἐκεῖ ἀσεβεῖς ἐξέκαυσαν θυμὸν ὀργῆς, 17
ἐκεῖ ἀνεπαύσαντο κατάκοποι τῷ σώματι·
18 ὁμοθυμαδὸν δὲ οἱ αἰώνιοι 18
οὐκ ἤκουσαν φωνὴν φορολόγου.
19 μικρὸς καὶ μέγας ἐκεῖ ἐστιν, 19
καὶ θεράπων δεδοικὼς τὸν κύριον αὐτοῦ.
20 ἵνα τί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς, 20
ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς;
21 οἳ ὀμείρονται τοῦ θανάτου καὶ οὐ τυγχάνουσιν, 21
ἀνορύσσοντες ὥσπερ θησαυρούς·
22 περιχαρεῖς δὲ ἐγένοντο ἐὰν κατατύχωσιν. 22
23 θάνατος ἀνδρὶ ἀνάπαυμα, 23
συνέκλεισεν γὰρ ὁ θεὸς κατ᾽ αὐτοῦ.
24 πρὸ γὰρ τῶν σίτων μου στεναγμὸς ἥκει, 24
δακρύω δὲ ἐγὼ συνεχόμενος φόβῳ.
25 φόβος γὰρ ὃν ἐφρόντισα ἦλθέν μοι, 25
καὶ ὃν ἐδεδοίκειν, συνήντησέν μοι.
26 οὔτε εἰρήνευσα οὔτε ἡσύχασα οὔτε ἀνεπαυσάμην, 26
ἦλθεν δέ μοι ὀργή.

1 Ὑπολαβὼν δὲ Ἐλιφὰς ὁ Θαιμανείτης λέγει 1 IV
2 Μὴ πολλάκις σοι λελάληται ἐν κόπῳ; 2
ἰσχὺν δὲ ῥημάτων σου τίς ὑποίσει;
3 εἰ γὰρ σὺ ἐνουθέτησας πολλούς, 3
καὶ χεῖρας ἀσθενοῦς παρεκάλεσας,
4 ἀσθενοῦντάς τε ἐξανέστησας ῥήμασιν, 4
γόνασίν τε ἀδυνατοῦσιν θάρσος περιέθηκας·

ℵAC **17** εξεκαυσαν (εξεκαυσα C*: ν superscr C[a])] επαυσαν A | τω σωματι] om τω A **18** οι αιωνιοι Bℵ*] δι αιωνος ℵ[c.a] (restit οι αιων. ℵ[2]) A οι αιωνιοι οι C | ουκ]+ετι A | φορολογου ℵA **19** δεδοικως] pr ου ℵ[c.b]A **20** πικρια]+ψυχης A **21** ομειρονται] ιμειρονται B[b] | του θανατου] om του A | ανορυσσοντες]+αυτον ℵ[c.a] (postea ras) A ⌈ θησαυρον A **22** εγινοντο ℵ* (εγεν. ℵ[c.a]) | κατατυχωσιν (-σι C)]+θανατου A **23** θανατος]+γαρ A | αναπαυμα] αναπαυσις ℵ[c.a]A (-σεις) C + ου ηδος απεκρυβη A | θεος] κς A **24** ηκει] pr μοι AC **25** εφροντισα Bℵ*C] εφοβουμην ℵ[c.a] (postea restit εφρ.) ευλαβουμην A **26** ηρηνευσα A | om δε C IV **1** Ελιφας ℵC Ελιφαζ A | Θαιμανιτης ℵA Θεμανιτης C **2** υποισει] οισει C **3** ασθενους] ασθενουντων A **4** τε 1°] δε A | ρημασι C | τε 2°] δε A | αδυνατουσι C | περιεθηκας θαρσος A

5 [5]νῦν δὲ ἥκει ἐπὶ σὲ πόνος καὶ ἥψατό σου, σὺ ἐσπούδασας. B
6 [6]πότερον οὐχ ὁ φόβος σού ἐστιν ἐν ἀφροσύνῃ,
καὶ ἡ ἐλπίς σου καὶ ἡ κακία τῆς ὁδοῦ σου;
7 [7]μνήσθητι οὖν τίς καθαρὸς ὢν ἀπώλετο,
ἢ πότε ἀληθινοὶ ὁλόριζοι ἀπώλοντο;
8 [8]καθ' ὃν τρόπον ἴδον τοὺς ἀροτριῶντας τὰ ἄτοπα·
οἱ δὲ σπείροντες αὐτὰ ὀδύνας θεριοῦσιν ἑαυτοῖς.
9 [9]ἀπὸ προστάγματος Κυρίου ἀπολοῦνται,
ἀπὸ δὲ πνεύματος ὀργῆς αὐτοῦ ἀφανισθήσονται.
10 [10]σθένος λέοντος, φωνὴ δὲ λεαίνης,
γαυρίαμα δὲ δρακόντων ἐσβέσθη.
11 [11]μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν,
σκύμνοι δὲ λεόντων ἔλιπον ἀλλήλους.
12 [12]εἰ δέ τι ῥῆμα ἀληθινὸν ἐγεγόνει ἐν λόγοις σου, ¶ ¶ C
οὐθὲν ἂν σοι τούτων κακὸν ἀπήντησεν.
πότερον οὐ δέξεταί μου τὸ οὖς ἐξαίσια παρ' αὐτοῦ;
13 [13]φόβῳ δὲ καὶ ἤχῳ νυκτερινῇ
ἐπιπίπτων φόβος ἐπ' ἀνθρώπους,
14 [14]φρίκη μοι συνήντησεν καὶ τρόμος,
καὶ μεγάλως μου τὰ ὀστᾶ διέσεισεν,
15 [15]καὶ πνεῦμα ἐπὶ πρόσωπόν μου ἐπῆλθεν,
ἔφριξαν δέ μου τρίχες καὶ σάρκες.
16 [16]ἀνέστην, καὶ οὐκ ἐπέγνων·
ἴδον, καὶ οὐκ ἦν μορφὴ πρὸ ὀφθαλμῶν μου,
ἀλλ' ἢ αὔραν καὶ φωνὴν ἤκουον
17 [17]Τί γάρ; μὴ καθαρὸς ἔσται βροτὸς ἐναντίον τοῦ κυρίου;
ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ ἄμεμπτος ἀνήρ;
18 [18]εἰ κατὰ παίδων αὐτοῦ οὐ πιστεύει,
κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησεν·
19 [19]τοὺς δὲ κατοικοῦντας οἰκίας πηλίνας,

5 *νυν*] *νυνι* AC | *συ*]+*δε* ℵAC | *εσπουδακας* A **6** *ουχ*] *ουχι* A ℵAC **7** *τις*] *οτι ουδις* A | *ολορριζοι* $B^{b(vid)}$ **8** *ειδον* ℵC | *αροτριουντας* C | *θεριζουσιν* C | *εαυτοις*] *εν αυτοις* A **10** *σθενος*] *δυναμις· ισχυς* $B^{a\,mg}$ | *καυριαμα* C | *εσβεσθη*] *εσβηθη* C **11** *βοραν*] *βορραν* AC | *ελειπον* A | *αλληλος* C **12** *ουδεν* A | om *σοι* A | *κακων* A | *απηντησεν*] *συνηντησεν μοι* A | *ποτερον*] +*ουν* A | *μου*] *σου* A | *ους*]+*μου* A | *εξαισια*]+[*εξεσιοι γαρ* A **13** *φοβω*] *φοβος* ℵ$^{c.a}$ *φοβοι* A | om *δε* A **14** *φρικη*]+*δε* ℵA | *διεσεισεν*] *συνεσισεν* ℵ$A^{a?}$ *συνεπεσε*[A* **16** *ανεστην*] pr *και* A | *ειδον* ℵ **17** *εναντιον του κυριου*] *εναντι κυ* ℵA **19** *τους δε*] *εα δε τους* A

Β ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμεν,
ἔπαισεν αὐτοὺς σητὸς τρόπον.
[20]καὶ ἀπὸ πρωίθεν μέχρι ἑσπέρας οὐκέτι εἰσίν, 20
παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς ἑαυτοῖς βοηθῆσαι ἀπώλοντο.
[21]ἐνεφύσησεν γὰρ αὐτοῖς καὶ ἐξηράνθησαν, 21
ἀπώλοντο παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σοφίαν.
[1]ἐπικάλεσαι δέ, εἴ τίς σοι ὑπακούσεται, 1 V
ἢ εἴ τινα ἀγγέλων ἁγίων ὄψῃ.
[2]καὶ γὰρ ἄφρονα ἀναιρεῖ ὀργή, 2
πεπλανημένον δὲ θανατοῖ ζῆλος.
[3]ἐγὼ δὲ ἑώρακα ἄφρονας ῥίζαν βάλλοντας, 3
ἀλλ' εὐθέως ἐβρώθη αὐτῶν ἡ δίαιτα.
[4]πόρρω γένοιντο οἱ υἱοὶ αὐτῶν ἀπὸ σωτηρίας, 4
κολαβρισθείησαν δὲ ἐπὶ θύραις ἡσσόνων, καὶ οὐκ ἔσται ὁ
ἐξαιρούμενος.
[5]ἃ γὰρ ἐκεῖνοι συνήγαγον, δίκαιοι ἔδονται, 5
αὐτοὶ δὲ ἐκ κακῶν οὐκ ἐξαίρετοι ἔσονται·
ἐκσιφωνισθείη αὐτῶν ἡ ἰσχύς.
[6]οὐ γὰρ μὴ ἐξέλθῃ ἐκ τῆς γῆς κόπος, 6
οὐδὲ ἐξ ὀρέων ἀναβλαστήσει πόνος·
[7]ἀλλὰ ἄνθρωπος γεννᾶται κόπῳ, 7
νεοσσοὶ δὲ γυπὸς τὰ ὑψηλὰ πέτονται.
[8]οὐ μὴν δὲ ἀλλὰ ἐγὼ δεηθήσομαι Κυρίου, 8
Κύριον δὲ τὸν πάντων δεσπότην ἐπικαλέσομαι,
[9]τὸν ποιοῦντα μεγάλα καὶ ἀνεξιχνίαστα, 9
ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός·
[10]τὸν διδόντα ὑετὸν ἐπὶ τὴν γῆν, 10
ἀποστέλλοντα ὕδωρ ἐπὶ τὴν ὑπ' οὐρανόν·

ℵA **19** ων] ου A | εσμεν εκ του αυτου πηλου A **20** om και A | μεχρι (μεχρις B^{ab})] εως ℵA | ουκ ετι] pr και A | παρα] pr και A **21** αυτοις] αυτους ℵ* (-τοις $ℵ^{c.a}$) | εξηρανθησαν] ετελευτησαν A | απωλοντο...σοφιαν] και παρα το μη εχειν αυτους σοφιαν απωλοντο A | αυτους] αυτοις $ℵ^{c.a}$ V **1** σοι] σου A | υπακουσεται] εισακουσετε A | αγιων αγγελων ℵA **3** εωρακα ℵA | ευθεως] ευθυς A | η διαιτα αυτων εβρωθη A **4** γενοιντο] εγενοντο A | αυτων] αυτου ℵ | κολαβρισθειησαν B^bℵ (-θιησαν) κολαβρεισθειησαν B* σκολαβρισθιησαν A | εξαιρουμενος] pr ο ℵ **5** συνηγαγον] εθερισαν A | εξαιρετοι εσονται] εξερεθησονται A | εκσιφωνισθειη (εκσειφων. B*ℵ εκσιφον. $B^{b\,vid}$ εξιφων. A)] pr και A **6** της γης] om της A **7** γενναται κοπω] εν κοπω γενναται A | γυπων $ℵ^{c.a}$A **8** αλλα] αλλ ℵA | παντων δεσποτην] παντοκρατορα A **10** την γην] της γης A | αποστελλοντα] pr τον A

11 [11]τὸν ποιοῦντα ταπεινοὺς εἰς ὕψος, Β
καὶ ἀπολωλότας ἐξεγείροντα·
12 [12]διαλλάσσοντα βουλὰς πανούργων,
καὶ οὐ μὴ ποιήσουσιν αἱ χεῖρες αὐτῶν ἀληθές.
13 [13]ὁ καταλαμβάνων σοφοὺς ἐν τῇ φρονήσει,
βουλὴν δὲ πολυπλόκων ἐξέστησεν·
14 [14]ἡμέρας συναντήσεται αὐτοῖς σκότος,
τὸ δὲ μεσημβρινὸν ψηλαφήσαισαν ἴσα νυκτί.
15 [15]ἀπόλοιντο δὲ ἐν πολέμῳ,
ἀδύνατος δὲ ἐξέλθοι ἐκ χειρὸς δυνάστου·
16 [16]εἴη δὲ ἀδυνάτῳ ἐλπίς,
ἀδίκου δὲ στόμα ἐμφραχθείη.
17 [17]μακάριος δὲ ἄνθρωπος ὃν ἤλεγξεν ὁ κύριος·
νουθέτημα δὲ Παντοκράτορος μὴ ἀπαναίνου.
18 [18]αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ καὶ πάλιν ἀποκαθίστησιν·
ἔπαισεν, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο.
19 [19]ἑξάκις ἐξ ἀναγκῶν σε ἐξελεῖται,
ἐν δὲ τῷ ἑβδόμῳ οὐ μὴ ἅψηταί σου κακόν.
20 [20]ἐν λιμῷ ῥύσεταί σε ἐκ θανάτου,
ἐν πολέμῳ δὲ ἐκ χειρὸς σιδήρου λύσει σε.
21 [21]ἀπὸ μάστιγος γλώσσης σε κρύψει,
καὶ οὐ μὴ φοβηθῇς ἀπὸ κακῶν ἐρχομένων.
22 [22]ἀδίκων καὶ ἀνόμων καταγελάσῃ,
ἀπὸ δὲ θηρίων ἀγρίων οὐ μὴ φοβηθῇς·
23 [23]θῆρες γὰρ ἄγριοι εἰρηνεύσουσίν σοι.
24 [24]εἶτα γνώσῃ ὅτι εἰρηνεύσει σου ὁ οἶκος,
ἡ δὲ δίαιτα τῆς σκηνῆς σου οὐ μὴ ἁμάρτῃ.

12 διαλλασσοντα] pr τον A **13** φρονησει] + αυτων A | βουλην] ℵA βουλας A | πολυπλοκων] πολυτροπων ℵ* (-πλοκων ℵc.a) **14** ημερας] εν ημερα A | αυτοις συναντησεται A | σκοτος sup ras B1fort | ψηλαφησια] A **15** δυναστου] υ 2° sup ras ℵ1 **16** ειη δε] και ειη A | αδικου δε] και αδικου A | ενφραχθιη ℵ **17** ο κυριος] + επι της γης ℵc.a (postea ras) A **18** επαισεν] παταξει A | ιασαντο] ιασονται A **19** εξελειται σε A | ου μη σου αψηται ℵ ουχ αψεται σου A **20** εν πολεμω δε] και εν πολ. A | λυσει] ρυσεται A **21** κρυψει σε A | ου μη φοβηθης] ου φοβηθηση A | ερχομενων] επερχομενων ℵ + και ου φοβηθηση απο ταλαιπωριας| οτι ελευσεται ταλαιπωρια A **22** αγριων] + της γης A | ου μη φοβηθης] ου φοβηθηση A **23** ιρηνευσουσι ℵ | σοι] + οτι μετα των λιθων του αγρου η διαθηκη σου| και τα θηρια του αγρου ειρηνευσει σοι| και γνωση οτι εν ειρηνη το σπερμα σου| και επισκοπη της ευπρεπιας σου και ου μη αμαρτης (asteriscis adscriptis A$^{a^2 mg}$) A **24** ειτα] pr asterisc A$^{a^2 mg}$

B [25]γνώσῃ δὲ ὅτι πολὺ τὸ σπέρμα σου, 25
τὰ δὲ τέκνα σου ἔσται ὥσπερ τὸ παμβότανον τοῦ ἀγροῦ.
[26]ἐλεύσῃ δὲ ἐν τάφῳ ὥσπερ σῖτος ὥριμος κατὰ καιρὸν θεριζόμενος, 26
ἢ ὥσπερ θιμωνιὰ ἅλωνος καθ' ὥραν συνκομισθεῖσα.
[27]ἰδοὺ ταῦτα οὕτως ἐξιχνιάσαμεν, 27
ταῦτά ἐστιν ἃ ἀκηκόαμεν·
§ C [§]σὺ δὲ γνῶθι σεαυτῷ εἴ τι ἔπραξας.

[1]Ὑπολαβὼν δὲ Ἰὼβ λέγει 1 VI
[2]Εἰ γάρ τις ἱστῶν στήσαι μου τὴν ὀργήν, 2
τὰς δὲ ὀδύνας μου ἄραι ἐν ζυγῷ ὁμοθυμαδόν,
[3]καὶ δὴ ἄμμου παραλίας βαρυτέρα ἔσται· 3
ἀλλ' ὡς ἔοικεν τὰ ῥήματά μού ἐστιν φαῦλα.
[4]βέλη γὰρ Κυρίου ἐν τῷ σώματί μού ἐστιν, 4
ὧν ὁ θυμὸς αὐτῶν ἐκπίνει μου τὸ αἷμα,
ὅταν ἄρξωμαι λαλεῖν κεντοῦσί με.
[5]τί γάρ; μὴ διὰ κενῆς κεκράξεται ὄνος ἄγριος, ἀλλ' ἢ τὰ σῖτα 5
ζητῶν;
εἰ δὲ καὶ ῥήξει φωνὴν βοῦς ἐπὶ φάτνης ἔχων τὰ βρώματα;
[6]εἰ βρωθήσεται ἄρτος ἄνευ ἁλός; 6
εἰ δὲ καὶ ἔστιν γεῦμα ἐν ῥήμασιν κενοῖς;
[7]οὐ δύναται γὰρ παύσασθαί μου ἡ ὀργή· 7
βρόμον γὰρ ὁρῶ τὰ σῖτά μου ὥσπερ ὀσμὴν λέοντος.
[8]εἰ γὰρ δῴη, καὶ ἔλθοι μου ἡ αἴτησις, 8
καὶ τὴν ἐλπίδα μου δῴη ὁ κύριος.
[9]ἀρξάμενος ὁ κύριος τρωσάτω με, 9
εἰς τέλος δὲ μή με ἀνελέτω.
[10]εἴη δέ μου πόλις τάφος, ἐφ' ἧς ἐπὶ τειχέων ἡλλόμην ἐπ' αὐ- 10
τῆς. οὐ φείσομαι·

ℵAC **25** γνωση δε] και γνωση A | πανβοτανον ℵA **26** ελευση] απελευση A | καιρον] + αυτου A | θειμωνια ℵ | συγκομισθεισα B[b] **27** εξιχνιασα ℵ* (-μεν ℵ[c.a]) | om ει B[ab]ℵ*A (hab ℵ[c.a]C): in C pl extersa sunt vel abscissa usque XI 2 | επραξας] εποιησας A VI **2** ει] τι A **3** βαρυτεραι εισιν A **4** σωματι] στοματι ℵ | om αυτων A | κεντουσι BℵA (hiat C) **5** φατνης] παθμης ℵ* (φατν. ℵ[c.a]) **6** om ει βρωθησεται...αλος ℵ* (hab ℵ[c.a]) | κενοις] καινοις ℵA **7** γαρ 1°] δε A | μου παυσασθαι AC[vid] | οργη] ψυχη ℵ[c.a]A ευχη C | οσμη ℵ* (οσμην ℵ[c.a]) **8** δωη 1°] δοιη ℵ[c.a] (postea restit δωη) | ελθη A | κυριος] θς A **9** om με 1° ℵ* (hab ℵ[c.a]) A | om με 2° ℵ* (hab ℵ[c.a]) **10** μου] μοι A | πολις] η π. μου A | ηλλομην] ελλομην A | επ] απ ℵ* (επ ℵ[c.a]) inc stich ℵ | ου φεισομαι] ου μη φεισωμαι ℵA (φισ.) ουδεν φισομαι C inc stich AC

οὐ γὰρ ἐψευσάμην ῥήματα ἅγια θεοῦ μου. B
11 [11]τίς γάρ μου ἡ ἰσχύς, ὅτι ὑπομένω;
ἢ τίς μου ὁ χρόνος, ὅτι ἀνέχεταί μου ἡ ψυχή;
12 [12]μὴ ἰσχὺς λίθων ἡ ἰσχύς μου;
ἢ αἱ σάρκες μού εἰσιν χαλκεῖαι;
13 [13]ἢ οὐκ ἐπ' αὐτῷ ἐπεποίθειν;
βοήθεια δὲ ἀπ' ἐμοῦ ἄπεστιν.
14 [14]ἀπείπατό με ἔλεος,
ἐπισκοπὴ δὲ Κυρίου ὑπερεῖδέν με.
15 [15]οὐ προσεῖδόν με οἱ ἐγγύτατοί μου· ὥσπερ χειμάρρους ἐκλείπων,
ἢ ὥσπερ κῦμα παρῆλθόν με·
16 [16]οἵτινές με διευλαβοῦντο, νῦν ἐπιπεπτώκασίν μοι ὥσπερ χιὼν
ἢ κρύσταλλος πεπηγώς·
17 [17]καθὼς τακεῖσα θέρμης γενομένης οὐκ ἐπεγνώσθη ὅπερ ἦν·
18 [18]οὕτως κἀγὼ κατελείφθην ὑπὸ πάντων,
ἀπωλόμην δὲ καὶ ἔξοικος ἐγενόμην.
19 [19]ἴδετε ὁδοὺς Θαιμανῶν,
ἀτραποὺς Σαβῶν οἱ διορῶντες·
20 [20]καὶ αἰσχύνην ὀφειλήσουσιν
οἱ ἐπὶ πόλεσιν καὶ χρήμασιν πεποιθότες.
21 [21]ἀτὰρ δὲ καὶ ὑμεῖς ἐπέβητέ μοι ἀνελεημόνως,
ὥστε ἰδόντες τὸ ἐμὸν τραῦμα φοβήθητε.
22 [22]τί γάρ; μή τι ὑμᾶς ᾔτησα,
23 ἢ τῆς παρ' ὑμῶν ἰσχύος ἐπιδέομαι, [23]ὥστε σῶσαί με ἐξ
ἐχθρῶν,
ἢ ἐκ χειρὸς δυναστῶν ῥύσασθαί με;
24 [24]διδάξατέ με, ἐγὼ δὲ κωφεύσω·
εἴ τι πεπλάνημαι, φρίσατέ μοι.

10 ρηματα αγια] αγια ρηματα ℵ εν ρηματι αγιου A **11** η ισχυς] om η ℵAC ℵ* (hab η ℵ$^{c.a}$) | η τις] τις γαρ C **12** εισι C | χαλκαι A **14** απειπατο]+δε A | επισκοπη δε] και επισκοπη A | υπεριδεν A **15** προσιδον A | εκλιπων ℵ | κυματα A | παρηλθον (παρελθ. ℵ* παρηλθ. ℵ^{1}) με] παρηλθομεν C **16** διευλαβουντο (διηυλ. C)] ευλαβουντο A **17** τακεις A | γινομενης A | επεγνωσθη] ετι εγνωσθη A ανε[γνωσθη] C | οπερ ην] περ ην sup ras A^{a} **18** καγω] και εγω A | κατελιφθην B* ℵC (κατελειφθ. B^{1b} A) | δε]τε A **19** ατραπους] pr και A | Σαβων] Εσεβων ℵ$^{c.a}$ ασεβων A^{vid} | οι διορωντες]+αισχυνθηται A **20** om και 1° A | αισχυνην]+οι ορωντες A | οφιλησουσιν ℵA **21** δε] δη A **23** εξ εχθρων] εκ χειρος κακων A | εκ χειρος...ρυσασθαι με] ρυσασθαι με εκ χειρος δυναστου A | δυναστων] δυναστω sup ras B$^{1?a?}$

B [25]ἀλλ᾽ ὡς ἔοικεν φαῦλα ἀληθινοῦ ῥήματα, 25
οὐ γὰρ παρ᾽ ὑμῶν ἰσχὺν αἰτοῦμαι·
[26]οὐδὲ ὁ ἔλεγχος ὑμῶν ῥήμασίν με παύσει, 26
οὐδὲ γὰρ ὑμῶν φθέγμα ῥήματος ἀνέξομαι.
[27]πλὴν ὅτι ἐπ᾽ ὀρφανῷ ἐπιπίπτετε, 27
ἐνάλλεσθε δὲ ἐπὶ φίλῳ ὑμῶν.
[28]νυνὶ δὲ εἰσβλέψας εἰς πρόσωπα ὑμῶν οὐ ψεύσομαι. 28
[29]καθίσατε δὴ καὶ μὴ εἴη ἄδικον, 29
καὶ πάλιν τῷ δικαίῳ συνέρχεσθε.
[30]οὐ γάρ ἐστιν ἐν γλώσσῃ μου ἄδικον· 30
ἢ ὁ λάρυγξ μου οὐχὶ σύνεσιν μελετᾷ;
[1]πότερον οὐχὶ πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς, 1 VII
καὶ ὥσπερ μισθίου αὐθημερινοῦ ἡ ζωὴ αὐτοῦ;
[2]ἢ ὥσπερ θεράπων δεδοικὼς τὸν κύριον αὐτοῦ καὶ τετευχὼς 2
σκιᾶς,
ἢ ὥσπερ μισθωτὸς ἀναμένων τὸν μισθὸν αὐτοῦ;
[3]οὕτως κἀγὼ ὑπέμεινα μῆνας κενούς, 3
νύκτες δὲ ὀδυνῶν δεδομέναι μοί εἰσιν.
[4]ἐὰν κοιμηθῶ, λέγω Πότε ἡμέρα; 4
ὡς δ᾽ ἂν ἀναστῶ, πάλιν Πότε ἑσπέρα;
πλήρης δὲ γίνομαι ὀδυνῶν ἀπὸ ἑσπέρας ἕως πρωί.
[5]φύρεται δέ μου τὸ σῶμα ἐν σαπρίᾳ σκωλήκων, 5
τήκω δὲ βώλακας γῆς ἀπὸ ἰχῶρος ξύων.
[6]ὁ δὲ βίος μού ἐστιν ἐλαφρώτερος λαλιᾶς, 6
ἀπόλωλεν δὲ ἐν κενῇ ἐλπίδι.
[7]μνήσθητι οὖν ὅτι πνεῦμά μου ἡ ζωή, 7
¶ C καὶ οὐκ ἔτι ἐπανελεύσεται ὀφθαλμός μου ἰδεῖν ἀγαθόν.¶
[8]οὐ περιβλέψεταί με ὀφθαλμὸς ὁρῶντός με· 8

ℵAC **25** αληθινου] pr ανδρος A | ισχυν] pr ρημα ουδε A **26** ρημασιν με] τα ρηματα μου A | om γαρ A | υμων φθεγμα ρηματος] φθεγματος ρηματος ρηματος υμων A* (ras τος ρημα (2°) A$^{?}$) | φθεγματο (? φθεγμα το) ℵ* (improb το ℵ^{1}) **27** om επ A **28** εισβλεψας] εμβλεψας A **29** αδικον] + εν κρισι ℵ$^{c.a}$ (postea ras) A | συνερχεσθε] + νυν αρξασθαι ℵ$^{c.a\ vid}$ (postea ras) **30** ου γαρ... αδικον] ου γαρ εστιν αδικον εν γλωσση μου A (ου γαρ ε. α. sup ras pl litt A^{a}) | η ο λαρυγξ μου ουχι] inter η et ο superscr ουχι ℵ$^{c.a}$ sed ipse postea del: ουχι δε και ο λαρ. μου A VII **1** ουχι] seq β in ℵ* (improb β ℵ^{1}) | ανθρωπου] pr του ℵ | μισθου A **2** τετευχως] τετυχηκως A **3** καγω] και εγω A | κενους] καινους ℵAC **4** πληρεις B | απο] αφ AC **5** ξυων] ξεων AC **6** ελαφροτερος B^{ab}ℵ$^{c.a}$AC | λαλιας] δρομεως ℵ$^{c.a}$ (postea restit λαλ.) A | κενη] καινη ℵC **7** ουν] δε A | οφθαλμος] pr ο ℵAC **8** ου περιβλεψεται] ου κατενοι A | με 1°] μοι A | οφθαλμος] pr ο A

οἱ ὀφθαλμοί σου ἐν ἐμοί, καὶ οὐκ ἔτι εἰμί, B
9 [9]ὥσπερ νέφος ἀποκαθαρθὲν ἀπ᾽ οὐρανοῦ.
ἐὰν γὰρ ἄνθρωπος καταβῇ εἰς ᾅδην, οὐκ ἔτι μὴ ἀναβῇ,
10 [10]οὐδ᾽ οὐ μὴ ἐπιστρέψῃ εἰς τὸν ἴδιον οἶκον,
οὐδ᾽ οὐ μὴ ἐπιγνῷ αὐτὸν ἔτι ὁ τόπος αὐτοῦ.
11 [11]ἀτὰρ οὖν οὐδὲ ἐγὼ φείσομαι τῷ στόματί μου,
λαλήσω ἐν ἀνάγκῃ ὤν,
ἀνοίξω πικρίαν ψυχῆς μου συνεχόμενος.
12 [12]πότερον θάλασσά εἰμι ἢ δράκων,
ὅτι κατέταξας ἐπ᾽ ἐμὲ φυλακήν;
13 [13]εἶπα ὅτι Παρακαλέσει με ἡ κλίνη μου,
ἀνοίσω δὲ πρὸς ἐμαυτὸν ἰδίᾳ λόγον τῇ κοίτῃ μου·
14 [14]ἐκφοβεῖς με ἐνυπνίοις, καὶ ἐν �ράμασίν με καταπλήσσεις.
15 [15]ἀπαλλάξεις ἀπὸ πνεύματός μου τὴν ψυχήν μου,
ἀπὸ δὲ θανάτου τὰ ὀστᾶ μου.
16 [16]οὐ γὰρ εἰς τὸν αἰῶνα ζήσομαι, ἵνα μακροθυμήσω·
ἀπόστα ἀπ᾽ ἐμοῦ, κενὸς γάρ μου ὁ βίος.
17 [17]τί γάρ ἐστιν ἄνθρωπος ὅτι ἐμεγάλυνας αὐτόν;
ἢ ὅτι προσέχεις τὸν νοῦν εἰς αὐτόν;
18 [18]ἢ ἐπισκοπὴν αὐτοῦ ποιήσῃ ἕως τὸ πρωί,
καὶ εἰς ἀνάπαυσιν αὐτὸν κρινεῖς;
19 [19]ἕως τίνος οὐκ ἐᾷς με
οὐδὲ προΐῃ με, ἕως ἂν καταπίω τὸν πτύελόν μου ἐν ὀδύνῃ;
20 [20]εἰ ἐγὼ ἥμαρτον, τί δυνήσομαι πρᾶξαι,
ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων;
διὰ τί ἔθου με κατεντευκτήν σου,
εἰμὶ δὲ ἐπὶ σοὶ φορτίον;

8 om εστι A **9** ωσπερ] pr και ουκ ετι ειμι A | ουκ ετι μη αναβη] ου μη ℵA αν αναβη ετι A **10** ουδ ου (1°)] ουδε A | επιστρεψη (επιστραφη A)]+ετι ℵA | ουδ ου (2°)] ουδε ℵA | ο τοπος αυτου ετι A **11** ατ̣αρ] τοιγαρ A | om ουν ℵ* (hab ℵc.a) | λαλησω]+δε A | ων]+του πνς μου ℵc.a (postea ras) A | ανοιξω]+το στομα μου ℵc.a (postea ras) A | πικριαν] ras ν ℵc.a (vid) εν πικρια A | om μου 2° A | συνεχομενος]+φοβω ℵ* (improb ℵ1) **12** οτι] επι A | επ εμε] κατ εμου A **13** ειπα] ειπον A | om οτι A | ιδια λογον] διαλογον ιδια A **14** εκφοβεις] pr δια τι A **15** απαλλαξεις (απαλλασσεις A)]+δε ℵc.a (postea ras) A | om μου 1° A | ψυχην] ζωην A | απο δε θανατου ...μου 3°] την δε ψυχην μου απο του σωματος μου A **16** κενος] καινος ℵA **18** ποιησῃ] ποιη A | om εως το πρωι...κρινεις ℵ* (hab ℵc.a sed ex κρινις tantum superest s) om εως A **20** δυνησομαι] δυναμαι σοι ℵA | εθου] ειθου ℵ* (εθ. ℵ1 c.a (vid))

B [21]καὶ διὰ τί οὐκ ἐποιήσω τῆς ἀνομίας μου λήθην 21
καὶ καθαρισμὸν τῆς ἁμαρτίας μου;
νυνὶ δὲ εἰς γῆν ἀπελεύσομαι,
ὀρθρίζων δὲ οὐκ ἔτι εἰμί.

[1]Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχείτης λέγει 1 VIII
[2]Μέχρι τίνος λαλήσεις ταῦτα; 2
πνεῦμα πολυρῆμον τοῦ στόματός σου.
[3]μὴ ὁ κύριος ἀδικήσει κρίνων; 3
ἢ ὁ τὰ πάντα ποιήσας παράξει τὸ δίκαιον;
[4]εἰ οἱ υἱοί σου ἥμαρτον ἐναντίον αὐτοῦ, 4
ἀπέστειλεν ἐν χειρὶ ἀνομίας αὐτῶν.
[5]σὺ δὲ ὄρθριζε πρὸς Κύριον Παντοκράτορα δεόμενος. 5
[6]εἰ καθαρὸς εἶ καὶ ἀληθινός, δεήσεως ἐπακούσεταί σου, 6
ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης·
[7]ἔσται οὖν τὰ μὲν πρῶτά σου ὀλίγα, 7
τὰ δὲ ἔσχατά σου ἀμύθητα.
[8]ἐπερώτησον γὰρ γενεὰν πρώτην, 8
ἐξιχνίασον δὲ κατὰ γένος πατέρων·
[9]χθιζοὶ γάρ ἐσμεν καὶ οὐκ οἴδαμεν, 9
σκιὰ γάρ ἐστιν ἡμῶν ἐπὶ τῆς γῆς ὁ βίος.
[10]ἢ οὐχ οὗτοί σε διδάξουσιν καὶ ἀναγγελοῦσιν, 10
καὶ ἐκ καρδίας ἐξάξουσιν ῥήματα;
[11]μὴ θάλλει πάπυρος ἄνευ ὕδατος; 11
ἢ ὑψωθήσεται βούτομον ἄνευ πότου;
[12]ἔτι ὂν ἐπὶ ῥίζης, καὶ οὐ μὴ θερισθῇ· 12
πρὸ τοῦ πιεῖν πᾶσα βοτάνη οὐχὶ ξηραίνεται;
[13]οὕτως τοίνυν ἔσται τὰ ἔσχατα πάντων τῶν ἐπιλανθανομένων 13
τοῦ κυρίου·
ἐλπὶς γὰρ ἀσεβοῦς ἀπολεῖται.

ℵA **21** ουκ...ληθην] ου ληθην εποιησω της αμαρτιας μου A | αμαρτιας] ανομιας A | νυνι ℵ* (νυνι ℵ²) VIII **1** Σαυχιτης ℵA **2** om ταυτα ℵ* (hab ℵ² ante c.a) **4** οι υιοι] om οι ℵA | χειρι] χερσιν ℵ | ανομιας] την ανομιαν A **6** αληθινος]+ει A | σου επακουσεται A **8** γαρ] δε ℵ om A **9** γαρ 2°] δε A | ο βιος επι της γης A **10** διδαξουσιν]+ρηματα A | αναγγελουσιν]+σοι συνεσιν σοφιας A | εξαξουσιν] σε διδαξουσιν A **12** om επι ον...θερισθη ℵ* (hab ℵ^c.a) | πασαν βοτανην A | ουχι] εαν δε μη πιη A **13** κυριου] θυ A | ασεβων ℵ* (-βους ℵ^c.a) | απολειται] ολειται A

14 [14]ἀοίκητος γὰρ αὐτοῦ ἔσται ὁ οἶκος, B
ἀράχνη δὲ αὐτοῦ ἀποβήσεται ἡ σκηνή.
15 [15]ἐὰν ὑπερείσῃ τὴν οἰκίαν αὐτοῦ, οὐ μὴ στῇ·
ἐπιλαβομένου δὲ αὐτοῦ οὐ μὴ ὑπομείνῃ·
16 [16]ὑγρὸς γάρ ἐστιν ὑπὸ ἡλίου,
καὶ ἐκ σαπρίας αὐτοῦ ὁ ῥάδαμνος αὐτοῦ ἐξελεύσεται.
17 [17]ἐπὶ συναγωγὴν λίθων κοιμᾶται,
ἐν δὲ μέσῳ χαλίκων ζήσεται.
18 [18]ἐὰν καταπίῃ, ὁ τόπος ψεύσεται αὐτόν·
οὐχ ἑώρακας τοιαῦτα.
19 [19]ὅτι καταστροφὴ ἀσεβοῦς τοιαύτη,
ἐκ δὲ γῆς ἄλλον ἀναβλαστήσει.
20 [20]ὁ γὰρ κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον,
πᾶν δὲ δῶρον ἀσεβοῦς οὐ δέξεται.
21 [21]ἀληθινῶν δὲ στόμα ἐμπλήσει γέλωτος,
τὰ δὲ χείλη αὐτῶν ἐξομολογήσεως·
22 [22]οἱ δὲ ἐχθροὶ αὐτῶν ἐνδύσονται αἰσχύνην,
δίαιτα δὲ ἀσεβοῦς οὐκ ἔσται.

IX 1 [1]Ὑπολαβὼν δὲ Ἰὼβ λέγει
2 [2]Ἐπ᾽ ἀληθείας οἶδα ὅτι οὕτως ἐστίν.
πῶς γὰρ ἔσται δίκαιος βροτὸς παρὰ Κυρίῳ;
3 [3]ἐὰν γὰρ βούληται κριθῆναι αὐτῷ,
οὐ μὴ ὑπακούσῃ αὐτῷ,
ἵνα μὴ ἀντείπῃ πρὸς ἕνα λόγον αὐτοῦ ἐκ χιλίων.
4 [4]σοφὸς γάρ ἐστιν διανοίᾳ, κραταιός τε καὶ μέγας·
τίς σκληρὸς γενόμενος ἐναντίον αὐτοῦ ὑπέμεινεν;
5 [5]ὁ παλαιῶν ὄρη, οὐκ οἴδασιν,
ὁ καταστρέφων αὐτὰ ὀργῇ·
6 [6]ὁ σείων τὴν ὑπ᾽ οὐρανὸν ἐκ θεμελίων,
οἱ δὲ στύλοι αὐτῆς σαλεύονται·

14 γαρ] δε Λ | εσται αυτου ℵΑ | οικος]+και η οδος αυτου Λ | αραχνη... ℵΑ σκηνη] η δε σκηνη αυτου αραχνη αποβησετ, Λ **15** υπερισῃ $B^{*\,c\,(vid)}$ ℵ (υπερεισ. B^{ab}) υπερεισι Λ | αυτου 2°] αυτης Λ **16** om αυτου 1° ℵ **17** συναγωγη Λ **18** αυτον ο τ. ψευσεται Λ | εωρακας B^{ab} εορας ℵ **19** αλλο Λ **20** αποποιησεται Λ | δεξεται B^{edit} **21** τα δε χειλη] και τα χειλη Λ | εξομολογησεως] αγαλλιασεως Λ **22** ενδυσωνται Λ | αισχυνην sup ras 10 circ litt Λ | διαιτα δε] και διαιτα Λ | ασεβων ℵ* (-βους $ℵ^{c.a}$) IX **3** αυτω 1°] μετ αυτου Λ | χιλιων] χειλιων Β χειλεων Λ **4** εναντιον αυτου γενομενος ℵ **5** ουκ] pr και B^{ab}ℵΛ | οργη] pr εν Λ

B
7 ὁ λέγων τῷ ἡλίῳ καὶ οὐκ ἀνατέλλει, 7
κατὰ δὲ ἄστρων κατασφραγίζει,
κατὰ δὲ ἀγγέλων αὐτοῦ σκόλιόν τι ἐπενόησεν,
8 ὁ τανύσας τὸν οὐρανὸν μόνος, 8
περιπατῶν ὡς ἐπ' ἐδάφους ἐπὶ θαλάσσης·
9 ὁ ποιῶν Πλειάδα καὶ Ἕσπερον καὶ Ἀρκτοῦρον καὶ ταμεῖα 9
Νότου·
10 ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, 10
ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός.
11 ἐὰν ὑπερβῇ με, οὐ μὴ ἴδω· 11
καὶ ἐὰν παρέλθῃ με, οὐδ' ὡς ἔγνων.
12 ἐὰν ἁπαλλάξῃ, τίς ἀποστρέψει; 12
ἢ τίς ἐρεῖ αὐτῷ Τί ἐποίησας;
13 αὐτὸς γὰρ ἀπέστραπται ὀργήν, 13
ὑπ' αὐτοῦ ἐκάμφθησαν κήτη τὰ ὑπ' οὐρανόν.
14 ἐὰν δέ μου ὑπακούσεται, ἢ διακρινεῖ τὰ ῥήματά μου. 14
15 ἐὰν γὰρ ὦ δίκαιος, οὐκ εἰσακούσεταί μου, 15
τοῦ κρίματος αὐτοῦ δεηθήσομαι·
16 ἐάν τε καλέσω καὶ μὴ ὑπακούσῃ, 16
οὐ πιστεύω ὅτι εἰσακήκοέν μου.
17 μὴ γνόφῳ με ἐκτρίψῃ; 17
πολλὰ δέ μου τὰ συντρίμματα πεποίηκεν διὰ κενῆς.
18 οὐκ ἐᾷ γάρ με ἀναπνεῦσαι, 18
ἐνέπλησεν δέ με πικρίας.
19 ὅτι μὲν γὰρ ἰσχύει, κρατεῖ· 19
τίς οὖν κρίματι αὐτοῦ ἀντιστήσεται;
20 ἐὰν γὰρ ὦ δίκαιος, τὸ στόμα μου ἀσεβήσει· 20
ἐάν τε ὦ ἄμεμπτος, σκολιὸς ἀποβήσομαι.
21 εἴτε γὰρ ἠσέβησα, οὐκ οἶδα τῇ ψυχῇ, 21
πλὴν ἀφαιρεῖταί μου ἡ ζωή.

NA **7** ηλιω] + μη ανατελλει A | κατα δε αγγελων...επενοησεν] pr asterisc $\aleph^{c.a}$ om A **8** περιπατων] pr και B^{ab}A pr ο ℵ | επι θαλασσης ως επ εδαφους A | επ] επι ℵ* (επ [ras ι] $\aleph^{?}$) | om επι ℵ* (hab $\aleph^{c.a\,(vid)\,c.c}$) **9** Πλιαδα A | ταμεια B^{ab} (-μια B*ℵA) **11** υπερβη] αρ post υ et μ post ρ ℵ* (improb $\aleph^{1}$ et postea ras $\aleph^{?}$) | ου, δ ως (sic) A **12** εαν] pr και A **13** οργη A | αυτου] + δε $\aleph^{c.a}$ | εκαμφθη A **14** υπακουσεται (-σηται ℵ)] εισακουση A | διακρινη A **15** εαν] + τε $\aleph^{c.a}$A **16** τε] δε ℵ | om μη ℵA | υπακουση] εισακουση A **17** γνοφω] pr εν A | συντριμματα] + μου A **18** αναπλευσαι ℵ* (αναπν. $\aleph^{c.a}$) | δε] γαρ ℵ **19** ισχυι ℵA **21** ησεβηκα ℵ | πλην] διο ℵ* πλην $\aleph^{c.a}$ πλην οτι $\aleph^{c.c}$A | αφηρηται A

22 [22]διὸ εἶπον Μέγαν καὶ δυνάστην ἀπολλύει ὀργή, B
23 [23]ὅτι φαῦλοι ἐν θανάτῳ ἐξαισίῳ,
ἀλλὰ δίκαιοι καταγελῶνται·
24 [24]παραδέδονται γὰρ εἰς χεῖρας ἀσεβοῦς.
πρόσωπα κριτῶν αὐτῆς συνκαλύπτει·
εἰ δὲ μὴ αὐτός ἐστιν, τίς ἐστιν;
25 [25]ὁ δὲ βίος μού ἐστιν ἐλαφρώτερος δρομέως·
ἀπέδρασαν, καὶ οὐκ εἶδοσαν.
26 [26]ἢ καὶ ἔστιν ναυσὶν ἴχνος ὁδοῦ,
ἢ ἀετοῦ πετομένου ζητοῦντος βοράν;
27 [27]ἐάν τε γὰρ εἴπω, ἐπιλήσομαι λαλῶν,
συνκύψας τῷ προσώπῳ στενάξω.
28 [28]σείομαι πᾶσιν τοῖς μέλεσιν,
οἶδα γὰρ ὅτι οὐκ ἀθῷόν με ἐάσεις.
29 [29]ἐπειδὴ δέ εἰμι ἀσεβής, διὰ τί οὐκ ἀπέθανον;
30 [30]ἐὰν γὰρ ἀπολούσωμαι χιόνι,
καὶ ἀποκαθάρωμαι χερσὶν καθαραῖς,
31 [31]ἱκανῶς ἐν ῥύπῳ με ἔβαψας,
ἐβδελύξατο δέ με ἡ στολή.
32 [32]οὐ γὰρ εἶ ἄνθρωπος κατ' ἐμὲ ᾧ ἀντικρινοῦμαι,
ἵνα ἔλθωμεν ὁμοθυμαδὸν εἰς κρίσιν.
33 [33]εἴθε ἦν ὁ μεσίτης ἡμῶν καὶ ἐλέγχων
καὶ διακούων ἀνὰ μέσον ἀμφοτέρων·
34 [34]ἀπαλλαξάτω ἀπ' ἐμοῦ τὴν ῥάβδον,
ὁ δὲ φόβος αὐτοῦ μή με στροβείτω,
35 [35]καὶ οὐ μὴ φοβηθῶ ἀλλὰ λαλήσω·
X 1 οὐ γὰρ οὕτω συνεπίσταμαι, [1]κάμνων τῇ ψυχῇ μου.
στένων ἐπαφήσω ἐπ' αὐτὸν τὰ ῥήματά μου·

22 απολυει A **23** εξαισιω (εξωσ. A)]+απολουνται A **24** αυτης] αυτου A | συγκαλυπτει B^{ab} | om τις εστιν $\aleph^{c.a}$A **25** εστιν ελαφρωτερος (ελαφροτ. $B^{ab}\aleph$A)] ελαφρ. εστιν A | απεδρασαν] απεδρα A | ειδοσαν] ιδον A **26** βορρᾶ] A **27** συγκυψας B^{ab} **28** σειομαι]+γαρ A | μεεσιν $\aleph^{*}$ (μελ. $\aleph^{1}$) **29** om δε A **30** απολουσομαι A | χερσι A **31** με εν ρυπω A | στολη]+μου A **32** ω] ου A **33** ειθε] ει γαρ A | ελεγχων] ο διελεγχων A | διακουων] διακρινων A | αμφοτερων]+δυειν δε μοι χρια A **34** ραβδον]+αυτου A | ο δε φοβος] και ο φοβος A **35** om μη $\aleph^{*}$ (hab $\aleph^{c.a}$) | αλλα] αν $\aleph^{*}$ (αλλα $\aleph^{c.a}$) | ουτω] αυτω $\aleph^{*}$ ουτως $\aleph^{c.a}$ om A | συνεπισταμαι]+εμαυτω αδικον $\aleph^{c.a}$A X **1** om καμνων τη ψυχη μου $\aleph^{*}$ (hab $\aleph^{c.a}$) | καμνων] καμνω δε (inc stich) A | επαφησω επ αυτον] επ εμαυτον επαφ. A | τα ρηματα] τον θυμον A

B λαλήσω πικρίᾳ ψυχῆς μου συνεχόμενος,
[2]καὶ ἐρῶ πρὸς Κύριον Μή με ἀσεβεῖν δίδασκε· 2
καὶ διὰ τί με οὕτως ἔκρινας;
[3]ἢ καλόν σοι ἐὰν ἀδικήσω; 3
ὅτι ἀπείπω ἔργα χειρῶν σου,
βουλῇ δὲ ἀσεβῶν προσέσχες;
[4]ἢ ὥσπερ βροτὸς ὁρᾷ καθορᾷς; 4
ἢ καθὼς ὁρᾷ ἄνθρωπος βλέψῃ;
[5]ἢ ὁ βίος σου ἀνθρώπινός ἐστιν, 5
ἢ τὰ ἔτη σου ἀνδρός;
[6]ὅτι ἀνεζήτησας τὴν ἀνομίαν μου, 6
καὶ τὰς ἁμαρτίας μου ἐξιχνίασας;
[7]οἶδας γὰρ ὅτι οὐκ ἠσέβησα· 7
ἀλλὰ τίς ἐστιν ὁ ἐκ τῶν χειρῶν σου ἐξαιρούμενος;
[8]αἱ χεῖρές σου ἔπλασάν με καὶ ἐποίησάν με, 8
μετὰ ταῦτα μεταβαλών με ἔπαισας.
§ C [9]μνήσθητι ὅτι πηλόν με ἔπλασας, 9
εἰς δὲ γῆν με πάλιν ἀποστρέφεις.
[10]ἢ οὐχ ὥσπερ γάλα με ἤμελξας, 10
ἐτύρωσας δέ με ἴσα τυρῷ;
[11]δέρμα δὲ καὶ κρέας με ἐνέδυσας, 11
ὀστέοις δὲ καὶ νεύροις με ἔνειρας·
[12]ζωὴν δὲ καὶ ἔλεος ἔθου παρ' ἐμοί, 12
ἡ δὲ ἐπισκοπή σου ἐφύλαξέν μου τὸ πνεῦμα.
[13]ταῦτα ἔχων ἐν σεαυτῷ οἶδα ὅτι πάντα δύνασαι· 13
ἀδυνατεῖ δέ σοι οὐθέν.
[14]ἐάν τε γὰρ ἁμάρτω, φυλάσσεις με, 14
ἀπὸ δὲ ἀνομίας οὐκ ἀθῴόν με πεποίηκας.
[15]ἐάν τε γὰρ ἀσεβήσω, οἴμοι· 15
ἐὰν δὲ ὦ δίκαιος, οὐ δύναμαι ἀνακύψαι,
πλήρης γὰρ ἀτιμίας εἰμί.

ℵAC **1** λαλησω] pr τα δε ρηματα μου A | πικρια] πικριας ℵ* (πικρια ℵ$^{c.a}$) pr εν A | om μου 3° A **2** εκρινες A **3** σοι]+εστιν A | αδικησω] ασεβησω A | απειπω] απιπωμε A **4** η καθως...βλεψη] pr asterisc ℵ$^{c.a}$ | βλεψη] βλεψις A **5** om εστιν A **7** οιδα A **8** επλασαν] εποιησαν ℵA | εποιησαν] επλασαν ℵA | μετα]+δε A **9** παλιν με ℵ **10** ετυρωσας] επηξας A **11** om δε 1° ℵA | ενειρας με A **12** ελεον A **13** σεαυτω] εαυτω ℵ$^{c.a}$A^{*fort} (σε sup ras A^{a}) | ουθεν] ουδεν A **14** φυλαξεις ℵ* (-σσεις ℵ$^{c.a}$) A | πεποιηκας] εασις A **15** τε] δε C | οιμμοι B*ℵA (οιμοι B^{b}) | δε] τε γαρ ℵ τε A | δυναμαι] δυνησομαι A | ανακυμψαι A | ατιμιας ειμι] ειμι ανομιας A

16 [16]ἀγρεύομαι γὰρ ὥσπερ λέων εἰς σφαγήν· B
πάλιν γὰρ μεταβαλὼν δεινῶς με ὀλέκεις,
17 [17]ἐπανακαινίζων ἐπ' ἐμὲ τὴν ἔτασίν μου·
ὀργῇ δὲ μεγάλῃ μοι ἐχρήσω,
ἐπήγαγες δὲ ἐπ' ἐμὲ πειρατήρια.
18 [18]ἵνα τί οὖν ἐκ κοιλίας με ἐξήγαγες, καὶ οὐκ ἀπέθανον,
ὀφθαλμὸς δέ με οὐκ εἶδεν,
19 [19]καὶ ὥσπερ οὐκ ὢν ἐγενόμην;
διὰ τί γὰρ ἐκ γαστρὸς εἰς μνῆμα οὐκ ἀπηλλάγην;
20 [20]ἢ οὐκ ὀλίγος ἐστὶν ὁ βίος τοῦ χρόνου μου;
ἔασόν με ἀναπαύσασθαι μικρὸν
21 [21]πρὸ τοῦ με πορευθῆναι ὅθεν οὐκ ἀναστρέψω,
εἰς γῆν σκοτινὴν καὶ γνοφεράν,
[22]εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκ ἔστιν φέγγος
οὐδὲ ὁρᾷν ζωὴν βροτῶν.

XI 1 [1]Ὑπολαβὼν δὲ Σωφὰρ ὁ Μειναῖος λέγει
2 [2]Ὁ τὰ πολλὰ λέγων καὶ ἀντακούσεται·
ἢ καὶ ὁ εὔλαλος οἴεται εἶναι δίκαιος;
3 [3]εὐλογημένος γεννητὸς γυναικὸς ὀλιγόβιος.
μὴ πολὺς ἐν ῥήμασιν γίνου,
οὐ γάρ ἐστιν ὁ ἀντικρινόμενός σοι.
4 [4]μὴ γὰρ λέγε ὅτι Καθαρός εἰμι τοῖς ἔργοις
καὶ ἄμεμπτος ἐναντίον αὐτοῦ.
5 [5]ἀλλὰ πῶς ἂν ὁ κύριος λαλήσαι πρὸς σέ;
καὶ ἀνοίξει χείλη αὐτοῦ μετὰ σοῦ;
6 [6]εἶτα ἀναγγελεῖ σοι δύναμιν σοφίας,
ὅτι διπλοῦς ἔσται τῶν κατὰ σέ·
καὶ τότε γνώσῃ ὅτι ἀξιά σοι ἀπέβη ἀπὸ Κυρίου ὧν ἡμάρτηκας.
7 [7]ἢ ἴχνος Κυρίου εὑρήσεις;

16 γαρ 1°] δε A | παλιν γαρ] παλιν δε ℵ$^{c.a}$ και παλιν A | μεταβαλων] ℵAC +με A | ολεκεις] adnot απολεις φονευσεις B$^{a\,mg}$ **17** μου] σου A | επηγαγες δε] και επηγειρας A **19** εγενομην] εγεγονειν A | γαρ] δε A | απηλλαγην] απηλθον A **20** βιος του χρονου] χρονος του βιου A | μικρον] ολιγον ℵ **21** om με ℵ | οθεν ουκ bis scr A* (ras 1° A?) | αναστρεφω A | σκοτεινην B^{ab} C^{vid} | om ου ℵ* (superscr ℵ^{1}) XI **1** Μιναιος ℵ **2** δικαιος ειναι A **3** γυναικος γεννητος A | ου γαρ sup ras A^{a} **5** λαλησαι ο κς A | λαλησει ℵ | ανοιξει (-ξη A)] διανυξει C | μετα σου] μετ αυτου A* (μ. σ. A$^{a\,vid}$) **6** εσται] εστιν A | τω ℵ* (των ℵ$^{c.a}$) | απεβη] παρεβη A | απο] παρα C **7** η 1°] μη A

Ε ἢ εἰς τὰ ἔσχατα ἀφίκου ἃ ἐποίησεν ὁ παντοκράτωρ;
[8]ὑψηλὸς ὁ οὐρανός, καὶ τί ποιήσεις; 8
βαθύτερα δὲ τῶν ἐν ᾅδου· τί οἶδας;
[9]ἢ μακρότερα μέτρου γῆς 9
ἢ εὖρους θαλάσσης.
[10]ἐὰν δὲ καταστρέψῃ τὰ πάντα, τίς ἐρεῖ αὐτῷ Τί ἐποίησας; 10
[11]αὐτὸς γὰρ οἶδεν ἔργα ἀνόμων, 11
ἰδὼν δὲ ἄτοπα οὐ παρόψεται.
[12]ἄνθρωπος δὲ ἄλλως νήχεται λόγοις· 12
βροτὸς δὲ γεννητὸς γυναικὸς ἴσα ὄνῳ ἐρημίτῃ.
[13]εἰ γὰρ σὺ καθαρὰν ἔθου τὴν καρδίαν σου, 13
ὑπτιάζεις δὲ χεῖρας πρὸς αὐτόν·
[14]εἰ ἄνομόν τί ἐστιν ἐν χερσίν σου, 14
πόρρω ποίησον αὐτὸ ἀπὸ σοῦ,
ἀδικία δὲ ἐν διαίτῃ σου μὴ αὐλισθήτω.
[15]οὕτως γὰρ ἀναλάμψει σου τὸ πρόσωπον ὥσπερ ὕδωρ καθαρόν, 15
ἐκδύσῃ δὲ ῥύπον καὶ οὐ μὴ φοβηθῇς·
[16]καὶ τὸν κόπον ἐπιλήσῃ 16
ὥσπερ κῦμα παρελθόν, καὶ οὐ πτοηθήσῃ·
[17]ἡ δὲ εὐχή σου ὥσπερ ἑωσφόρος, 17
ἐκ δὲ μεσημβρίας ἀνατελεῖ σοι ζωή·
[18]πεποιθώς τε ἔσῃ ὅτι ἔστιν σοι ἐλπίς, 18
ἐκ δὲ μερίμνης καὶ φροντίδος ἀναφανεῖταί σοι εἰρήνη.
[19]ἡσυχάσεις γάρ, καὶ οὐκ ἔσται ὁ πολεμῶν σε· 19
μεταβαλόμενοι δὲ πολλοί σου δεηθήσονται.
[20]σωτηρία δὲ αὐτοὺς ἀπολείψει· 20
ἡ γὰρ ἐλπὶς αὐτῶν ἀπώλεια,
ὀφθαλμοὶ δὲ ἀσεβῶν τακήσονται.

[1]Ὑπολαβὼν δὲ Ἰὼβ λέγει 1 XII

NAC **7** α] ων A **8** ο ουρανος] om ο ℵ* (hab ο ℵc.a) C + γη δε βαθια A | βαθυτερα δε] η βαθυτερα A **9** μετρων A | γης] + επιστασε A | ευρος A **11** ανομων sup ras Aa | ιδων] ιδον A* vid (ο ras A2) | ατοπον A **12** λογοις] αλογοις A* (improb α Aa2) | om ισα A **13** εθου καθαραν ℵ | υπτιαζεις] υπτιασας A | χειρας] τας χ. σου A **14** ανομον...πορρω sup ras et in mg Aa | αυτο] αυτον A* vid (ο sup ras Aa) | απ εμου ℵ* (απο σου ℵc.a) **15** το προσωπον σου A | φοβηθης] φοβηθησῃ C **16** τον κοπον] των κοπων σου A | ου] + μη A* (improb μη A a2) **17** ανατελλει ℵ **18** τε] δε C | om εσῃ οτι C **19** ησυχασης C | μεταβαλλομενοι ℵ* (-βαλομενοι ℵc.a (nisi forte iam antea) μεταβαλομενου A **20** σωτηρια δε] και σωτηρια A | απωλεια] απολειται A | τακησονται] + παρ αυτω γαρ σοφια και δυναμις· A

2 [2]Εἶτα ὑμεῖς ἐστε ἄνθρωποι·¶ B
ἦ μεθ' ὑμῶν τελευτήσει σοφία. ¶ C
3 [3]καμοὶ μὲν καρδία καθ' ὑμᾶς ἐστιν.
4 [4]δίκαιος γὰρ ἀνὴρ καὶ ἄμεμπτος ἐγενήθη εἰς χλεύασμα·
5 [5]εἰς χρόνον γὰρ τακτὸν ἡτοίμαστο πεσεῖν ὑπὸ ἄλλων,
[6]οἴκους τε αὐτοῦ ἐκπορθεῖσθαι ὑπὸ ἀνόμων.
6 [6]οὐ μὴν δὲ ἀλλὰ μηδεὶς πεποιθέτω πονηρὸς ὢν ἀθῷος ἔσεσθαι,
ὅσοι παροργίζουσιν τὸν κύριον,
ὡς οὐχὶ καὶ ἔτασις αὐτῶν ἔσται.
7 [7]ἀλλὰ δὴ ἐρώτησον τετράποδα ἐάν σοι εἴπωσιν,
πετεινὰ δὲ οὐρανοῦ ἐάν σοι ἀπαγγείλωσιν·
8 [8]ἐκδιήγησαι γῇ ἐάν σοι φράσῃ,
καὶ ἐξηγήσονταί σοι οἱ ἰχθύες τῆς θαλάσσης.
9 [9]τίς οὖν οὐκ ἔγνω ἐν πᾶσι τούτοις
ὅτι χεὶρ Κυρίου ἐποίησεν ταῦτα;
10 [10]εἰ μὴ ἐν χειρὶ αὐτοῦ ψυχὴ πάντων ζώντων
καὶ πνεῦμα παντὸς ἀνθρώπου;
11 [11]νοῦς μὲν γὰρ ῥήματα διακρίνει,
λάρυγξ δὲ σῖτα γεύεται.
12 [12]ἐν πολλῷ χρόνῳ σοφία,
ἐν δὲ πολλῷ βίῳ ἐπιστήμη.
13 [13]παρ' αὐτῷ σοφία καὶ δύναμις,
αὐτῷ βουλὴ καὶ σύνεσις.
14 [14]ἐὰν καταβάλῃ, τίς οἰκοδομήσει;
ἐὰν κλείσῃ κατὰ ἀνθρώπων, τίς ἀνοίξει;
15 [15]ἐὰν κωλύσῃ τὸ ὕδωρ, ξηρανεῖ τὴν γῆν·
ἐὰν δὲ ἐπαφῇ, ἀπώλεσεν αὐτὴν καταστρέψας.
16 [16]παρ' αὐτῷ κράτος καὶ ἰσχύς,
αὐτῷ ἐπιστήμη καὶ σύνεσις.

XII **2** ειτα] μη A | ανθρωποι] + μονοι A **3** καμοι] και μοι ℵ και εμοι A ℵA **4** εγενηθη] εγενομην A | χλευασμον A **5** om γαρ ℵ | πεσειν] + με A | υπο] υπ A | αλλων] αλλους B^aℵ αλλοις A | αυτου] μου A **6** μηδεις] μηθεις ℵ | παροργιζουσιν] γαρ οργ. A **7** ερωτησον] επερωτησον A | ειπωσιν] ειπη A | δε] τε A | απαγγειλωσιν] αναγγειλη A **8** εκδιηγησαις ℵ* (-σαι ℵ$^{c.a}$) + δε A | και] + ει A | om σοι 2° ℵ* (hab ℵ$^{c.a}$) **9** τις ουν] οτι τις A | πασιν A **10** ει μη] οτι A | ζωντων] pr των ℵ$^{c.a}$A **12** σοφια] + ευρισκεται A | πολλω] μακρω A **13** αυτω 2°] pr παρ A **14** καταβαλη] καταστρεψη A | εαν 2°] + δε και A | κλειση] αποκλιση A | ανθρωπων] ανου A **15** δε] + και A **16** αυτω 2°] pr παρ A |

B [17]διάγων βουλευτὰς αἰχμαλώτους, 17
κριτὰς δὲ γῆς ἐξέστησεν.
[18]καθιζάνων βασιλεῖς ἐπὶ θρόνους, 18
καὶ περιέδησεν ζώνῃ ὀσφύας αὐτῶν.
[19]ἐξαποστέλλων ἱερεῖς αἰχμαλώτους, 19
δυνάστας δὲ γῆς κατέστρεψεν.
[20]διαλλάσσων χείλη πιστῶν, 20
σύνεσιν δὲ πρεσβυτέρων ἔγνω.
[21]ἐκχέων ἀτιμίαν ἐπ᾽ ἄρχοντας, 21
ταπεινοὺς δὲ ἰάσατο.
[22]ἀνακαλύπτων βαθέα ἐκ σκότους, 22
ἐξήγαγεν δὲ εἰς φῶς σκιὰν θανάτου.
[23]καταστρωννύων ἔθνη καὶ καθοδηγῶν αὐτά. 23
[24]διαλλάσσων καρδίας ἀρχόντων γῆς, 24
ἐπλάνησεν δὲ αὐτοὺς ἐν ὁδῷ ᾗ οὐκ ᾔδεισαν·
[25]ψηλαφήσαισαν σκότος καὶ μὴ φῶς, 25
πλανηθείησαν δὲ ὥσπερ ὁ μεθύων.
[1]ἰδοὺ ταῦτα ἑόρακέν μου ὁ ὀφθαλμὸς 1 XIII
καὶ ἀκήκοέν μου τὸ οὖς·
[2]καὶ οἶδα ὅσα καὶ ὑμεῖς ἐπίστασθε, 2
καὶ οὐκ ἀσυνετώτερός εἰμι ὑμῶν.
[3]οὐ μὴν δὲ ἀλλ᾽ ἐγὼ πρὸς Κύριον λαλήσω, 3
ἐλέγξω δὲ ἐναντίον αὐτοῦ ἐὰν βούληται.
[4]ὑμεῖς δέ ἐστε ἰατροὶ ἄδικοι 4
καὶ ἰατροὶ κακῶν πάντες.
[5]εἴθ᾽ δὲ ὑμῖν κωφεῦσαι, 5
καὶ ἀποβήσεται ὑμῖν σοφία.
[6]ἀκούσατε ἔλεγχον τοῦ στόματός μου, 6
κρίσιν δὲ χειλέων μου προσέχετε.
[7]πότερον οὐκ ἔναντι Κυρίου λαλεῖτε, 7

ℵA **17** βουλευτας]+γης A **18** καθιζανων] καθιζων A | θρονων ℵ | περιεδησεν] περιζωννυων αυτους A | ζωνη] ζωην A | οσφυας] οσφρυος A* (οσφυος A^{2}) **19** εξαποστελλων] pr ο A **20** διαλασσων B* (διαλλ. B$^{a\,1\,b}$) **22** ανακαλυπτων] ο αποκαλυπτων A | βαθεια A **23** καταστρωννυων] pr πλανων εθνη και απολλυων αυτα B^{ab}ℵA **24** διαλλασσον ℵ* (-σσων ℵ$^{c.a}$) | om γης A | om εν ℵA | η ουκ ηδισαν οδω ℵ **25** ψηλαφησειαν A | μη] ου A XIII **1** εωρακεν B^{ab}ℵ | το ους μου ακηκοεν A **2** και 2°]+γε νεωτερος υμων A | ουκ ειμι ασυνετωτερος A **3** αλλα προς κν̄ λαλησω εγω A **4** δε] γαρ A **5** σοφια] εις σοφιαν A **6** ελεγχους ℵ | του στοματος] om του ℵA | κρισει A

8 ἔναντι δὲ αὐτοῦ φθέγγεσθε δόλον; [8]ἢ ὑποστελεῖσθε; B
ὑμεῖς δὲ αὐτοὶ κριταὶ γένεσθε.
9 [9]καλὸν γὰρ ἐὰν ἐξιχνιάσῃ ὑμᾶς;
εἰ γὰρ τὰ πάντα ποιοῦντες προστεθήσεσθε αὐτῷ,
10 [10]οὐθὲν ἧττον ἐλέγξει ὑμᾶς·
εἰ δὲ καὶ κρυφῇ πρόσωπα θαυμάσεσθε,
11 [11]πότερον οὐχὶ δεινὰ αὐτοῦ στροβήσει ὑμᾶς;
ὁ φόβος δὲ παρ' αὐτοῦ ἐπιπεσεῖται ὑμῖν,
12 [12]ἀποβήσεται δὲ ὑμῶν τὸ ἀγαυρίαμα ἴσα σποδῷ,
τὸ δὲ σῶμα πήλινον.
13 [13]κωφεύσατε, ἵνα λαλήσω καὶ ἀναπαύσωμαι θυμοῦ,
14 [14]ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀδοῦσιν,
ψυχὴν δέ μου θήσω ἐν χειρί.
15 [15]ἐάν με χειρώσηται ὁ δυνάστης, ἐπεὶ καὶ ἦρκται,
ἢ μὴν λαλήσω καὶ ἐλέγξω ἐναντίον αὐτοῦ·
16 [16]καὶ τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν,
οὐ γὰρ ἐναντίον αὐτοῦ δόλος εἰσελεύσεται.
17 [17]ἀκούσατε, ἀκούσατε τὰ ῥήματά μου,
ἀναγγελῶ γὰρ ὑμῶν ἀκουόντων.
18 [18]ἰδοὺ ἐγὼ ἐγγύς εἰμι τοῦ κρίματός μου,
§οἶδα ἐγὼ ὅτι δίκαιος ἀναφανοῦμαι. § C
19 [19]τίς γάρ ἐστιν ὁ κριθησόμενός μοι,
ὅτι νῦν κωφεύσω καὶ ἐκλείψω;
20 [20]δυεῖν δέ μοι χρήσῃ,
τότε ἀπὸ τοῦ προσώπου σου οὐ κρυβήσομαι·
21 [21]τὴν χεῖρα ἀπ' ἐμοῦ ἀπέχου,
καὶ ὁ φόβος σου μή με καταπλησσέτω.
22 [22]εἶτ' ἂν καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι·

8 η] ει A (inc stich) | υμεις δε αυτοι] αυτοι υμεις A | κρινται ℵ* (improb ℵAC ν ℵ?) | γενεσθε]+καλως γε λαλουντες A **9** καλον γαρ εαν] om εαν B εαν γαρ A | γαρ 2°] και A | αυτω] οδω αυτου A **10** προσωπον A | θαυμασεσθε] θαυμασεται A **11** δεινα] δηλια A | ο φοβος] om ο ℵc.a A | παρ αυτου] κυ A **12** αποβησεται δε] και αποβ. A | υμων] υμιν ℵ | αγαυριαμα] γαυριαμα Bb ℵA | ισα] ισον ℵ **13** θυμου] θυμω μου A **14** οδουσιν]+μου A | χειρι] χερσιν ℵ χερσιν μου A **15** με] pr μη A | η μην] ου μην δε αλλα A | ελεγξω]+υμας A **16** τουτο]+το A | εισελευσεται εναντιον αυτου δολος A **17** ακουσατε 1°]+μου A | μου τα ρηματα A | υμων] pr υμιν ℵ **18** εγω 2°] pr ο ℵ* (om ο ℵ1) **19** οτι] ινα A **20** χρησῃ] χρια A χρησιν C | om ου ℵ **21** χειρα]+σου A | απ εμου απεχου] αποσχου απ εμου A **22** ειτ αν] ειτα Bc εστ αν ℵ* ειτα ℵc.a (vid) AC | καλεση ℵ* (-σις ℵc.a (vid)) | σοι 1°] σου Ba vel potius b ℵ* (σοι ℵc.a) | υπακουσομαι] υπακουω A

B ἢ λαλήσεις, ἐγὼ δέ σοι δώσω ἀνταπόκρισιν.
23 πόσαι εἰσὶν αἱ ἁμαρτίαι μου καὶ αἱ ἀνομίαι μου; 23
δίδαξόν με τίνες εἰσίν.
24 διὰ τί ἀπ᾽ ἐμοῦ κρύπτῃ, 24
ἥγησαι δέ με ὑπεναντίον σοι;
25 ἢ ὡς φύλλον κινούμενον ὑπὸ ἀνέμου εὐλαβηθήσῃ, 25
ἢ ὡς χόρτῳ φερομένῳ ὑπὸ πνεύματος ἀντίκεισαί μοι;
26 ὅτι κατέγραψας κατ᾽ ἐμοῦ κακά, 26
περιέθηκας δέ μοι νεότητος ἁμαρτίας·
27 ἔθου δέ μου τὸν πόδα ἐν κωλύματι, 27
ἐφύλαξας δέ μου πάντα τὰ ἔργα,
εἰς δὲ ῥίζας τῶν ποδῶν μου ἀφίκου·
28 ὃ παλαιοῦται ἴσα ἀσκῷ, 28
ἢ ὥσπερ ἱμάτιον σητόβρωτον.
1 βροτὸς γὰρ γεννητὸς γυναικὸς ὀλιγόβιος καὶ πλήρης ὀργῆς, 1 XIV
2 ἢ ὥσπερ ἄνθος ἀνθῆσαν ἐξέπεσεν, 2
ἀπέδρα δὲ ὥσπερ σκιὰ καὶ οὐ μὴ στῇ.
3 οὐχὶ καὶ τούτου λόγον ἐποιήσω, 3
καὶ τοῦτον ἐποίησας εἰσελθεῖν ἐν κρίματι ἐνώπιόν σου;
4 τίς γὰρ καθαρὸς ἔσται ἀπὸ ῥύπου; ἀλλ᾽ οὐθείς, 4
5 ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς· 5
ἀριθμητοὶ δὲ μῆνες αὐτοῦ παρ᾽ αὐτοῦ,
εἰς χρόνον ἔθου καὶ οὐ μὴ ὑπερβῇ.
6 ἀπόστα ἀπ᾽ αὐτοῦ ἵνα ἡσυχάσῃ 6
καὶ εὐδοκήσῃ τὸν βίον, ὥσπερ ὁ μισθωτός.
7 ἔστιν γὰρ δένδρῳ ἐλπίς· 7

ℵAC **22** om η A | ανταποκρισιν] αποκρισιν A **23** αι ανομιαι] διανομιαι ℵ* (αι αν. ℵc.a) om αι AC | τινες εισιν διδαξον με A | δαξον ℵ* (διδ. ℵ1) **24** απ εμου κρυπτη] με αποκρυπτη A | υπεναντιον] pr ωσπερ A | σοι] σου ℵ* (σοι ℵc.a postea restit σου) A **25** ως 1°] ωσπερ ℵA | ανεμου] pr του ℵ* (om ℵc.a) | χορτον φερομενον A | αντικεισαι (αντικειμαι C)]+δε et c seqq coniung A | μοι] σοι C **26** κατ εμου] επει με C | περιεθηκας δε] και περιεθ. A **27** τον ποδα μου ℵ | κωλυματι] κυκλωματι A | εφυλαξας δε] και εφυλαξες (sic) A | των ποδων] om των A **28** οι παλαιουνται A XIV **1** γεννητος γαρ γυναικος ℵ* (γαρ γενν. γυν. ℵc.a) | om γεννητος C **2** εξεπεσον ℵfort **3** ποιησω B* (εποιησω Ba et fort b) | εν κριματι εισελθειν A | ενωπιον] επι A **4** καθαρος εσται] εστε καθαρος A | ρυπου] ρειπου C | αλλ ουθεις] αλλ ουδεις ℵ (-δις) C ουδε εις A: inc stich ℵC **5** μιας ημερας A | ο βιος] pr γενηται A | αυτου 3°] αυτω A | χρονον]+γαρ A **6** απ αυτου] απ εμου A | ησυχασω A | ευδοκησω A | τον βιον] pr μου A | ο μισθωτος] om ο A

ἐὰν γὰρ ἐκκοπῇ, ἔτι ἐπανθήσει, B
καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ ἐκλείπῃ·
8 [8]ἐὰν γὰρ γηράσῃ ἐν γῇ ἡ ῥίζα αὐτοῦ,
ἐὰν δὲ πέτρᾳ τελευτήσῃ τὸ στέλεχος αὐτοῦ,
9 [9]ἀπὸ ὀσμῆς ὕδατος ἀνθήσει,
ποιήσει δὲ θερισμὸν ὥσπερ νεόφυτον.
10 [10]ἀνὴρ δὲ τελευτήσας ᾠχετο,
πεσὼν δὲ βροτὸς οὐκέτι ἐστίν.
11 [11]χρόνῳ γὰρ σπανίζεται θάλασσα,
ποταμὸς δὲ ἐρημωθεὶς ἐξηράνθη.
12 [12]ἄνθρωπος δὲ κοιμηθεὶς οὐ μὴ ἀναστῇ
ἕως ἂν ὁ οὐρανὸς οὐ μὴ συνραφῇ,
καὶ οὐκ ἐξυπνισθήσονται ἐξ ὕπνου αὐτῶν.
13 [13]εἰ γὰρ ὄφελον ἐν ᾅδῃ με ἐφύλαξας,
ἔκρυψας δέ με ἕως ἂν παύσηταί σου ἡ ὀργή,
καὶ τάξῃ μοι χρόνον ἐν ᾧ μνείαν μου ποιήσῃ.
14 [14]ἐὰν γὰρ ἀποθάνῃ ἄνθρωπος, ζήσεται,
συντελέσας ἡμέρας τοῦ βίου αὐτοῦ·
ὑπομενῶ ἕως πάλιν γένωμαι.
15 [15]εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι,
τὰ δὲ ἔργα τῶν χειρῶν σου μὴ ἀποποιοῦ.
16 [16]ἠρίθμησας δέ μου τὰ ἐπιτηδεύματα,
καὶ οὐ μὴ παρέλθῃ σε οὐδὲν τῶν ἁμαρτιῶν μου·
17 [17]ἐσφράγισας δέ μου τὰς ἀνομίας ἐν βαλαντίῳ,
ἐπεσημήνω δὲ εἴ τι ἄκων παρέβην.
18 [18]καὶ πλὴν ὄρος πίπτον διαπεσεῖται,
καὶ πέτρα παλαιωθήσεται ἐκ τοῦ τόπου αὐτῆς·

7 γαρ 2°] δε και A | ετι] pr παλιν $\aleph^{c.a\,vid}$ παλιν AC | επανθησει] ανθησει $\aleph$AC A | εκλιπη $\aleph$A **8** εαν 2° B^{*vid}AC] εν B^{ab} (sup ras) $\aleph$ | πετραις A | τελευτησει A **9** ποιησει δε] και ποιησει A **10** πεσων δε] και πεσων A | ουκ ετι εστιν] adnot [δ]εον ερωτηματικως [α]ναγνωσθηναι το ουκ' ἔτι εστῖ B^{amg} sign interrogat adpinx B$^{a?b?}$ **11** ποταμοι δε ερημωθεντες ξηρανθησονται A **12** μη 1°] μην C | αναστη]+και ου μη εξεγερθη A | εως] ως $\aleph^{*}$ (εως $\aleph^{c.a}$) | ου μη συνραφη (συρραφη B$^{b\,(vid)}$C)] παλαιωθη A **13** ει] adnot ἀντὶ τοῦ εἴθε B$^{b\,img}$ | φυλαξις A | εκρυψας] κρυψεις A εκρυψαν C | ως $\aleph^{*}$ (εως $\aleph^{c.a}$) | σου] μου C **14** ημερας] pr τας $\aleph^{c.a}$C | υπομενω εως] υπ. εως αν $\aleph$ υπ. σαι εως αν A υπομειν ..... ν C (fort υπομεινας εως αν) | αλιν B* (παλ. B^{ab}) **15** καλεσεις]+με A | υπακουσομαι] in ομ aliq attig $\aleph^{?vid}$ | τα εργα $\aleph^{*}$ (τα δε ε. $\aleph^{1\,(vid)}$) **16** τα επιτηδευματα] pr παντα C **17** τας ανομιας] τας αμαρτιας $\aleph$ τα αμαρτηματα A | βαλλαντιω $\aleph$AC | επεσημηνω δε] και επισημενω (sic) A | ει τι] ειπ C **18** πιπτων $\aleph^{*}$ (πιπτον $\aleph^{c.a}$) A | διαπεσειται] πεσειται A

B [19]λίθους ἐλέαναν ὕδατα, 19
καὶ κατέκλυσεν ὕδατα ὕπτια τοῦ χώματος τῆς γῆς·
καὶ ὑπομονὴν ἀνθρώπου ἀπώλεσας.
[20]ὥσας αὐτὸν εἰς τέλος, καὶ ᾤχετο· 20
ἐπέστησας αὐτῷ τὸ πρόσωπον, καὶ ἐξαπέστειλας·
[21]πολλῶν δὲ γενομένων τῶν υἱῶν αὐτοῦ οὐκ οἶδεν, 21
ἐὰν δὲ ὀλίγοι γένωνται, οὐκ ἐπίσταται·
[22]ἀλλ' ἢ αἱ σάρκες αὐτοῦ ἤλγησαν, ἡ δὲ ψυχὴ αὐτοῦ ἐπέν- 22
θησεν.

[1]Ὑπολαβὼν δὲ Ἐλειφὰς ὁ Θαιμανείτης λέγει 1 XV
[2]Πότερον σοφὸς ἀπόκρισιν δώσει συνέσεως πνεύματος, 2
καὶ ἐνέπλησεν πόνον γαστρός, [3]ἐλέγχων ἐν ῥήμασιν οἷς 3
οὐ δεῖ,
ἐν λόγοις οἷς οὐδὲν ὄφελος;
[4]οὐ καὶ σὺ ἀπεποιήσω φόβον, 4
συνετελέσω δὲ ῥήματα τοιαῦτα ἔναντι τοῦ κυρίου;
[5]ἔνοχος εἶ ῥήμασιν στόματός σου, 5
οὐδὲ διέκρινας ῥήματα δυναστῶν·
[6]ἐλέγξαι σε τὸ σὸν στόμα καὶ μὴ ἐγώ, 6
τὰ δὲ χείλη σου καταμαρτυρήσουσίν σου.
[7]τί γάρ; μὴ πρῶτος ἀνθρώπων ἐγενήθης; 7
ἢ πρὸ θινῶν ἐπάγης;
[8]ἢ σύνταγμα Κυρίου ἀκήκοας; 8
εἰς δὲ σὲ ἀφίκετο σοφία;
[9]τί γὰρ οἶδας ὃ οὐκ οἴδαμεν; 9
ἢ τί συνίεις ὃ οὐ καὶ ἡμεῖς;
[10]καί γε πρεσβύτης καί γε παλαιὸς ἐν ἡμῖν, 10

ℵAC **19** ελεανεν A | της γης sup ras B^a **20** εις] ει C | επεστησας] pr και A | προσωπον]+σου A | εξαπεστειλας] εξαπεσταλη A **21** δε 2°] τε A | επισταναι ℵ* (-σταται $ℵ^{c.a}$) απισταται C **22** αυτου 2°]+επ αυτω A XV **1** evan in C | Ελιφαζ ℵA | Θαιμανιτης ℵ Θεμανιτις A **2** ποτερον] τινα αρα A | συνεως C | πνευματος] $\overline{\text{πνς}}$ B* πνευματος A $\overline{\text{πνα}}$ $B^bℵ^*$C (πνατος $ℵ^{c.a}$) | και ενεπλησεν] εμπλησει δε A **3** ελεγχων]+με A | οις ου δει] κενοις A **4** ου] οτι A | om και $ℵ^{c.a}$ (postea restit) | συ] σοι BAC | του κυριου] om του AC **5** ουδε] ουδεν ℵ και ου A ου C | διακρινας ℵ* (διεκρ. $ℵ^{c.a}$) | ρηματα B*$ℵ^{c.a}$A] ρημα B^{ab} ℵ* **6** ελεγξη A | καταμαρτυρησουσιν] καταμαρτυρησε A -σει $A^{1\,fort}$ -σαισαν C **7** ανθρωπων] ανος A | εγεννηθης AC **8** εις δε] η εις A **9** συνιεις]+συ B^{ab} συ νοησεις A | ου] ουχι $B^{ab}ℵ^{c.a\,(vid)\,c.c}$AC (-χει)

βαρύτερος τοῦ πατρός σου ἡμέραις. B
11 [11]ὀλίγα ὧν ἡμάρτηκας μεμαστίγωσαι,
μεγάλως ὑπερβαλλόντως λελάληκας.
12 [12]τί ἐτόλμησεν ἡ καρδία σου;
ἢ τί ἐπήνεγκαν οἱ ὀφθαλμοί σου,
13 [13]ὅτι θυμὸν ἔρρηξας ἔναντι Κυρίου,
ἐξήγαγες δὲ ἐκ στόματος ῥήματα τοιαῦτα;
14 [14]τίς γὰρ ὢν βροτός, ὅτι ἔσται ἄμεμπτος,
ἢ ὡς ἐσόμενος δίκαιος γεννητὸς γυναικός;
15 [15]εἰ κατὰ ἁγίων οὐ πιστεύει,
οὐρανὸς δὲ οὐ καθαρὸς ἐναντίον αὐτοῦ.
16 [16]ἔα δὲ ἐβδελυγμένος καὶ ἀκάθαρτος,
ἀνὴρ πίνων ἀδικίας ἴσα ποτῷ.
17 [17]ἀναγγελῶ δέ σοι, ἄκουέ μου,
ἃ δὴ ἑώρακα ἀναγγελῶ σοι,
18 [18]ἃ σοφοὶ ἐροῦσιν, οὐκ ἔκρυψαν πατέρας αὐτῶν·
19 [19]αὐτοῖς μόνοις ἐδόθη ἡ γῆ,
καὶ οὐκ ἐπῆλθεν ἀλλογενὴς ἐπ' αὐτούς.
20 [20]πᾶς ὁ βίος ἀσεβοῦς ἐν φροντίδι,
ἔτη δὲ ἀριθμητὰ δεδομένα δυνάστῃ,
21 [21]ὁ δὲ φόβος αὐτοῦ ἐν ὠσὶν αὐτοῦ·
ὅταν δοκῇ ἤδη εἰρηνεύειν,
ἥξει αὐτοῦ ἡ καταστροφή.
22 [22]μὴ πιστευέτω ἀποστραφῆναι ἀπὸ σκότους·
ἐντέταλται γὰρ ἤδη εἰς χεῖρας σιδήρου,
23 [23]κατατέτακται δὲ εἰς σῖτα γυψίν·
οἶδεν δὲ ἐν ἑαυτῷ ὅτι μένει εἰς πτῶμα.

10 βαρυτερος] πρεσβυτερος A* (βαρ. A^{a}) **11** ημαρτησας C | υπερβαλ- ℵAC λοντως] υπερβαλλον ουτως C **12** τι ετολμησεν] τι οτι ετολμ. A τετολμησεν C | τι 2°]+σοι A **13** δε εκ σ sup ras B^{ab} **14** om οτι A **15** αγιων] +αυτου ℵ$^{c.a}$ | ου 1°] ο C | πιστευει]+μεμψις A | ουρανος] pr ο A | αυτου] +αστρα δε ουκ αμεμπτα A **16** ανηρ c praec coniung C | αδικιαν A **17** αναγγελω 1°] αναγγελλω ℵA | δε] ουν A | ακουε μου] συ δε μου ακουε A | εορακα AC | αναγγελω 2°] αναγγελλω A **18** ερουσιν] ανηγγειλαν A | ουκ] pr και ℵAC | πατερας] πρες AC **19** αυτοις] αυτοις δε ℵ$^{c.a}$ (postea ras δε) αυτος δε C^{edit} **20** ασεβων A **21** ειρηνευεσθαι A | ηξει] pr τοτε A | η καταστρ. αυτου A **22** αποστροφηναι ℵ* (-στραφ. ℵ$^{c.a}$) | εντεταλται] εντετακται A | σιδηρου]+καταπιπτι δε εις εξαληψιν A (sign adpinx A^{2mg}) **23** κατατετακται δε] και κατατετ. A κατατετ. γαρ C | δε 2°] γαρ ℵ | πτωμα] πτωσιν ℵ

B ἡμέρα δὲ αὐτὸν σκοτινὴ στροβήσει,
24 ἀνάγκη δὲ καὶ θλίψις αὐτὸν καθέξει 24
ὥσπερ στρατηγὸς πρωτοστάτης πίπτων·
25 ὅτι ἦρκεν χεῖρας ἐναντίον τοῦ κυρίου, 25
ἔναντι δὲ Κυρίου Παντοκράτορος ἐτραχηλίασεν,
26 ἔδραμεν δὲ ἐναντίον αὐτοῦ ὕβρει, 26
ἐν πάχει νώτου ἀσπίδος αὐτοῦ·
27 ὅτι ἐκάλυψεν τὸ πρόσωπον αὐτοῦ ἐν στέατι αὐτοῦ, 27
καὶ ἐποίησεν περιστόμιον ἐπὶ τῶν μηρίων.
28 αὐλισθείη δὲ πόλεις ἐρήμους, 28
εἰσέλθοι δὲ εἰς οἴκους ἀοικήτους·
ἃ δὲ ἐκεῖνοι ἡτοίμασαν, ἄλλοι ἀποίσονται.
29 οὔτε μὴ πλουτισθῇ, οὔτε μὴ μείνῃ αὐτοῦ τὰ ὑπάρχοντα· 29
οὐ μὴ βάλῃ ἐπὶ τὴν γῆν σκιάν,
30 οὐδὲ μὴ ἐκφύγῃ τὸ σκότος· 30
τὸν βλαστὸν αὐτοῦ μαράναι ἄνεμος,
ἐκπέσοι δὲ αὐτοῦ τὸ ἄνθος.
31 μὴ πιστευέτω ὅτι ὑπομενεῖ, 31
κενὰ γὰρ ἀποβήσεται αὐτῷ·
32 ἡ τομὴ αὐτοῦ πρὸ ὥρας φθαρήσεται, 32
καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ πυκάσῃ·
33 τρυγηθείη δὲ ὡς ὄμφαξ πρὸ ὥρας, 33
ἐκπέσοι δὲ ὡς ἄνθος ἐλαίας.
34 μαρτύριον γὰρ ἀσεβοῦς θάνατος, 34
πῦρ δὲ καύσει οἴκους δωροδεκτῶν.
35 ἐν γαστρὶ δὲ λήμψεται ὀδύνας, 35

ℵAC **23** om δε 3° A | σκοτινη στροβησει αυτον A σκοτ. αυτον στροβ. C | σκοτεινη B^{ab} **24** om και ℵ* (superscr ℵ$^{c.a}$) | πρωτοστρατης ℵ | πιπτων] πεπτωκως A **25** εναντιον] εναντι A | του κυριου] om του A αυτου C **26** om δε ℵ* (hab ℵ$^{c.a}$) | εναντιον] εαυτιον C$^{edit\ (txt)}$ | om αυτου 1° C | παχει νωτου] πανεχινω της A in νωτου scr θ pro τ C* postea revoc τ C? **27** μηριων] μηρων ℵA + αυτου| αινος δε αυτου υβρις| A **28** πολις B* ℵA (-λεις B^{ab}C) | εισελθοι δε] και εισελθοι A | εκεινος ητοιμασεν ℵ$^{c.a,\ c.c}$A | απονσονται (sic) C **29** τα υπαρχοντα αυτου A | ου] ουδε A | την γην] om την B^{ab}ℵ* γης ℵ$^{c.a}$C **30** το σκοτος] om το A | μαραινει A | εκπεσοι δε] και εκπεσοι A **31** κενα] καινα C | αυτω αποβησεται A **32** φθαρησεται] θαρησεται sup ras C^{a} | πυκασει ℵA (-σι) **33** ως 1°] ωσπερ AC | εκπεσοι δε] και εκπεσοι A | ως 2°] ωσπερ A **34** καυσει] κατακαυσει A **35** εν γαστρι δε] και εκ γαστρι (sic) A | λημψονται A

ἀποβήσεται δὲ αὐτῷ κενά, B
ἡ δὲ κοιλία αὐτοῦ ὑποίσει δόλον.

XVI 1 [1]Ὑπολαβὼν δὲ Ἰὼβ λέγει
2 [2]Ἀκήκοα τοιαῦτα πολλά·
παρακλήτορες κακῶν πάντες.
3 [3]τί γάρ; μὴ τάξις ἐστὶν ῥήμασιν πνεύματος;
ἢ τί παρενοχλήσει σοι ὅτι ἀποκρίνῃ;
4 [4]κἀγὼ καθ' ὑμᾶς λαλήσω.
εἰ ὑπέκειτό γε ἡ ψυχὴ ὑμῶν ἀντὶ τῆς ἐμῆς,
5 [5]εἶτ' ἐναλοῦμαι ὑμῖν ῥήμασιν,
κινήσω δὲ καθ' ὑμῶν κεφαλήν.
(5) 6 [6]εἴη δὲ ἰσχὺς ἐν τῷ στόματί μου,
κίνησιν δὲ χειλέων οὐ φείσομαι.
(6) 7 [7]ἐὰν γὰρ λαλήσω, οὐκ ἀλγήσω τὸ τραῦμα·
ἐὰν δὲ καὶ σιωπήσω, τί ἔλαττον τρωθήσομαι;
(7) 8 [8]νῦν δὲ κατάκοπόν με πεποίηκεν, μωρόν, σεσηπότα,
(8) 9 καὶ ἐπελάβου μου· [9]εἰς μαρτύριον ἐγενήθη·
καὶ ἀνέστη ἐν ἐμοὶ τὸ ψεῦδός μου,
κατὰ πρόσωπόν μου ἀνταπεκρίθη.
(9) 10 [10]ὀργῇ χρησάμενος κατέβαλέν με,
ἔβρυξεν ἐπ' ἐμὲ τοὺς ὀδόντας,
βέλη πειρατῶν αὐτοῦ ἐπ' ἐμοὶ ἔπεσεν.
(10) 11 [11]ἀκίσιν ὀφθαλμῶν ἐνήλατο,
ὀξεῖ ἔπαισέν με εἰς τὰ γύνατα,
ὁμοθυμαδὸν δὲ κατέδραμον ἐπ' ἐμοί.
(11) 12 [12]παρέδωκεν γάρ με ὁ κύριος εἰς χεῖρας ἀδίκου,
ἐπὶ δὲ ἀσεβέσιν ἔρριψέν με.
(12) 13 [13]εἰρηνεύοντα διεσκέδασέν με·

35 αποβησατε C | κενα] καινα C | υποισει] ουκ οισει ℵ* (υπ. ℵ$^{c.a}$) | δολον] ℵAC πονον A XVI **1** evan in C **3** εστι C **4** καγω] και εγω δε A | ει] η C | γε υπεκειτο AC | υμων] ημων C | εμης]+ψυχης A **5** ειτ]+ει C | εναλλουμαι C | ρημασιν] λογοις A **6** κινησιν δε] και κεινησιν A | χειλεων]+μου ℵ* (om μου ℵ$^{c.a}$ postea restit) **7** τραυμα]+μου ℵ$^{c.a}$ (postea ras) A | ελασσον ℵ **8** κατακοπον] κατα τοπον C^{2} (ν pro τ C*^{vid}) | σεσηποτα] . . νσεσηποτα (sic) B^{ab} **9** εις] pr και ℵ* (om ℵ$^{c.a}$) | εγενηθην ℵA XVI **9**—XVIII **4** multa evanuer in C XVI **10** εβρυξεν]+δε A | εμε] εμοι ℵ | οδοντας]+αυτου A | πειρατων] πειρατηριων A | εμοι] εμε ℵ | [επε]σαν C **11** ακισιν...ενηλατο| οξ sup ras pl litt A^{a} | εις] επι A | γονατας A* (ras s A$^{?}$) | δε] δη ℵ | εμοι] εμε A **12** αδικων ℵ$^{c.a}$ (postea restit αδικου) | ασεβεσιν] ασεβεις A | εριψεν ℵ

B λαβών με τῆς κόμης διέτιλεν,
κατέστησέν με ὥσπερ σκοπόν.
14 ἐκύκλωσάν με λόγχαις 14 (13)
βάλλοντες εἰς νεφρούς μου, οὐ φειδόμενοι
ἐξέχεαν εἰς τὴν γῆν τὴν χολήν μου·
15 κατέβαλόν με πτῶμα ἐπὶ πτώματι, 15 (14)
ἔδραμον πρὸς μὲ δυνάμενοι·
16 σάκκον ἔραψαν ἐπὶ βύρσης μου, 16 (15)
τὸ δὲ σθένος μου ἐν γῇ ἐσβέσθη.
17 ἡ γαστήρ μου συνκέκαυται ἀπὸ κλαυθμοῦ, 17 (16)
ἐπὶ δὲ βλεφάροις μου σκιά·
18 ἄδικον δὲ οὐδὲν ἦν ἐν χερσίν μου, 18 (17)
εὐχὴ δέ μου καθαρά.
19 γῆ, μὴ ἐπικαλύψῃς ἐφ' αἵματι τῆς σαρκός μου, 19 (18)
μηδὲ εἴη τόπος τῇ κραυγῇ μου.
20 καὶ νῦν ἰδοὺ ἐν οὐρανοῖς ὁ μάρτυς μου, 20 (19)
ὁ δὲ συνίστωρ μου ἐν ὑψίστοις.
21 ἀφίκοιτό μου ἡ δέησις πρὸς Κύριον, 21 (20)
ἔναντι δὲ αὐτοῦ στάζοι μου ὁ ὀφθαλμός.
22 εἴη δὲ ἔλεγχος ἀνδρὶ ἔναντι Κυρίου, 22 (21)
καὶ υἱῷ ἀνθρώπου τῷ πλησίον αὐτοῦ.
23 ἔτη δὲ ἀριθμητὰ ἥκασιν, 23 (22)
ὁδῷ δὲ ᾗ οὐκ ἐπαναστραφήσομαι πορεύσομαι.
1 ὀλέκομαι πνεύματι φερόμενος, 1 XVII
δέομαι δὲ ταφῆς καὶ οὐ τυγχάνω.
2 λίσσομαι κάμνων, καὶ τί ποιήσας; 2
3 ἔκλεψαν δέ μου τὰ ὑπάρχοντα ἀλλότριοι· 3
τίς ἐστιν οὗτος; τῇ χειρί μου συνδεθήτω.
4 ὅτι καρδίαν αὐτῶν ἔκρυψας ἀπὸ φρονήσεως, 4

ℵAC **13** διετειλεν AC **14** *την γην*] om *την* ℵA | *χολην*] *ζωην* ℵ$^{c.a}$ (postea revoc *χλοην*) A **15** om *πτωμα* ℵ* (hab ℵ$^{c.c\,fort}$) | *προς με*] *προς εμε* ℵ *επ εμε* A | *δυναμενοι*] *δυνατοι* A **16** *ερραψαν* B$^{a\,fort\,b}$ℵ*C *εριψαν* ℵ$^{c.a}$ (postea restit *ερραψ.*) *ερριψαν* A | *βυρσσης* (sic) ℵ* *βυρσης* ℵ^{1} *βυρση* ℵ$^{c.a\,(vid)}$A | *εν γη*] *εις γην* A | *εσβεσθη*] *εσβεσαν* A **17** *συγκεκαυται* B^{b} | *κλαυθμου*] +*μου* ℵ* (om ℵ$^{?}$) | *βλεφαρων* A | *σκια*]+*θανατου* ℵ$^{c.a}$A **18** *δε* 1°] *γαρ* A **19** *της σαρκος*] om *της* A | *της κραυγης* A | *μου* 2°] cett om ℵ* usque XVII **12** (hab ℵ$^{c.a\,mg\,inf}$) **20** *ουρανοις* (*ουνοις* sic A)] *οὐνῳ* ℵ$^{c.a}$ | om *μου* 1° A **21** *η δεησις μου* A | *σταζοι*] *σταξαι* A | *ο οφθαλμος μου* A **22** *ελεγχος*] *ο ελ. μου* A | *εναντι*] *εναντιον* C | om *και υιω . . . αυτου* ℵ$^{c.a}$ | *υιω*] *υιος* A **23** *ηκασιν*] *ηκουσιν μοι* A XVII **2** *ποιησας* Bℵ$^{c.a}$C] *ποιησω* ℵ$^{c.c}$A **3** *αλλοτριοι τα υπαρχοντα* A **4** *εκρυψαν* AC (. . . *ψαν*)

διὰ τοῦτο οὐ μὴ ὑψώσῃς αὐτούς. B
5 [5]τῇ μερίδι ἀναγγελεῖ κακίας,
ὀφθαλμοὶ δὲ ἐφ' υἱοῖς ἐτάκησαν.
6 [6]ἔθου δέ με θρύλημα ἐν ἔθνεσιν,
γέλως δὲ αὐτοῖς ἀπέβην·
7 [7]πεπώρωνται γὰρ ἀπὸ ὀργῆς οἱ ὀφθαλμοί μου,
πεπολιόρκημαι μεγάλως ὑπὸ πάντων.
8 [8]θαῦμα ἔσχεν ἀληθινοὺς ἐπὶ τούτῳ·
δίκαιος δὲ ἐπὶ παρανόμῳ ἐπαναστήσεται·
9 [9]σχοίη δὲ πιστὸς τὴν ἑαυτοῦ ὁδόν,
καθαρὸς δὲ χεῖρας ἀναλάβοι θάρσος.
10 [10]οὐ μὴν δὲ ἀλλὰ πάντες ἐρεῖδετε, καὶ δεῦτε δή,
οὐ γὰρ εὑρίσκω ἐν ὑμῖν ἀληθές.
11 [11]αἱ ἡμέραι μου παρῆλθον ἐν βρόμῳ,
ἐρράγη δὲ τὰ ἄρθρα τῆς καρδίας μου·
12 [12]νύκτα εἰς ἡμέραν ἔθηκα,
φῶς ἐγγὺς ἀπὸ προσώπου σκότους.
13 [13]ἐὰν γὰρ ὑπομείνω, ᾅδης μου ὁ οἶκος,
ἐν δὲ γνόφῳ ἔστρωταί μου ἡ στρωμνή.
14 [14]θάνατον ἐπεκαλεσάμην πατέρα μου εἶναι,
μητέρα δέ μου καὶ ἀδελφὴν σαπρίαν.
15 [15]ποῦ οὖν μου ἔτι ἐστὶν ἡ ἐλπίς;
ἢ τὰ ἀγαθά μου ὄψομαι;
16 [16]ἢ μετ' ἐμοῦ εἰς ᾅδην καταβήσονται,
ἢ ὁμοθυμαδὸν ἐπὶ χώματος καταβησόμεθα;

XVIII 1 [1]Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης λέγει

4 ου] ουν A **5** δε]+μου ℵ$^{c.a}$AC **6** θρυλλημα C^{vid} | γελως δε ℵAC αυτοις απεβην ℵ$^{c.c}$ (επεβ. B!)] γλωσσα δε αυτοις απεβην ℵ$^{c.a}$ και απεβην αυτοις γελος (sic) A **7** πεπηρωνται ℵ$^{c.a}$A | γαρ] δε A | οργης]+σου A | πεπολιορκημαι] pr και A | υπο παντων μεγαλως A **8** θαυμα]+δε ℵ$^{c.a}$ | τουτω] τουτοις A | δικαιος...επαναστηι] δικαιω γαρ παρανομος επανεστη A **9** καθαρος δε χειρας] και ο καθαρος χερσιν A **10** ερειδετε] κρινεται ℵ$^{c.a}$ | om δη A | ευρισκω] εστιν ℵ$^{c.a}$ **11** αι] και A (c praec coniung) | βρομω B ℵ$^{c.a}$] δρομω A .ρομω C (θρομω ut vid) **12** εθηκαν A **13** υπομινη ℵ* (υπομινω ℵ^{1}) | αδης μου ο οικος] οικος (pr ο ℵ^{1}) μου αδης ℵ* αδης μου ο οικ. μου ℵ$^{c.a}$ | στρομνη A **14** επεκαλεσαμην] προσεκαλεσαμην B^{ab}ℵ$^{c.a}$A (sed ε pro π coep A*) C (πρσκ.) προσεκαλεσα ℵ* **15** μου 1^{o}] μοι C | ετι εστιν η ελπις] ετι η ελπις εστιν ℵ ετι η ελπις A εστιν η ελπις C | οψομαι]+ετι A **16** αδην] pr τον A | καταβησετ, A XVIII **1** evan in C | Βαλδας A | Σαυχιτης] Αυχιτης A

Β [2]Μέχρι τίνος οὐ παύσῃ; 2
ἐπίσχες, ἵνα καὶ αὐτοὶ λαλήσωμεν.
[3]διὰ τί ὥσπερ τετράποδα σεσιωπήκαμεν ἐναντίον σου; 3
[4]κέχρηταί σοι ὀργή. 4
τί γάρ; ἐὰν σὺ ἀποθάνῃς, ἀοίκητος ἡ ὑπ᾽ οὐρανόν;
ἢ καταστραφήσεται ὄρη ἐκ θεμελίων;
[5]καὶ φῶς ἀσεβῶν σβεσθήσεται, 5
καὶ οὐκ ἀποβήσεται αὐτῶν ἡ φλόξ.
[6]τὸ φῶς αὐτοῦ σκότος ἐν διαίτῃ, 6
ὁ δὲ λύχνος αὐτῷ σβεσθήσεται.
[7]θηρεύσαισαν ἐλάχιστοι τὰ ὑπάρχοντα αὐτοῦ, 7
σφάλαι δὲ αὐτοῦ ἡ βουλή.
[8]ἐμβέβληται δὲ ὁ πούς αὐτοῦ ἐν παγίδι· 8
ἐν δικτύῳ ἑλιχθείη.
¶C [9]ἔλθοισαν δὲ ἐπ᾽ αὐτὸν παγίδες·¶ 9
κατισχύσει ἐπ᾽ αὐτὸν διψῶντας.
[10]κέκρυπται ἐν τῇ γῇ σχοινίον αὐτοῦ, 10
καὶ ἡ σύλλημψις αὐτοῦ ἐπὶ τρίβων.
[11]κύκλῳ ὀλέσαισαν αὐτὸν ὀδύναι· 11
πολλοὶ δὲ περὶ πόδα αὐτοῦ ἔλθοισαν ἐν λιμῷ στενῷ,
[12]πτῶμα δὲ αὐτῷ ἡτοίμασται ἐξαίσιον. 12
[13]βρωθείησαν αὐτοῦ κλῶνες ποδῶν, 13
κατέδεται δὲ τὰ ὡραῖα αὐτοῦ θάνατος.
[14]ἐκραγείη δὲ ἐκ διαίτης αὐτοῦ ἴασις, 14
σχοίη δὲ αὐτὸν ἀνάγκη αἰτίᾳ βασιλικῇ.

ℵAC **3** *δια τι*] *ινα τι δε* A *δια τι δε* C **4** *κεχρηται σοι*] *κεχρηται σε δε* ℵ$^{c.a}$ (postea restit *κεχρ. σοι*) *κεχρησε δε* A | *τι γαρ εαν συ*] *τι συ γαρ εαν* ℵ* (*τι γαρ εαν συ* ℵ$^{c.c}$) | *συ*] *σοι* AC (*σο.*) | *αποθανης* in C vel periit vel ut vid deest | *ανοικητος* C | *η υπ ουρανον*]+*εσται* B^{ab} pr *εσται* AC | *ορη*] *η γη* A **5** *αποβησεται*] *αναβησεται* A | *αυτων*] *αυτου* A **6** *διαιτη*]+*αυτου* A | *λυχνος*]+*αυτου* A | *αυτω*] pr *επ* B^{ab}ℵAC **7** *θηρευσεαν* A | *τα υπαρχοντα αυτου ελαχιστοι* A | *σφαλαι δε*] *και σφαλιη* A **8** *εμβεβληται*] *ενβεβλ.* ℵ *ενβληθειη* A | *εν* 2°] pr *και* ℵ$^{c.c}$AC | *ειλιχθειη* A **9** *ελθοισαν δε*] om *δε* ℵ *ελθοι δε εν δε* (sic) A | *παγιδες*]+*κυκλοθεν* A | *κατισχυσει*] *και κατισχυσουσιν* A | *διψωντες* A **10** *κεκρυπται*]+*δε* A | *σχοινιον*] pr *ο* ℵ* pr *το* ℵ^{1} | *συνλημψις* ℵ | *τριβων*] *εριβων κυκλοθεν* A **11** *κυκλω*] *και* A | *ολεσαιαν* B* *ολεσαιεν* B^{ab} (nisi fort *ολεσαισαν*) *ολεσιαν* A | *πολλοι*] *πολλων* A | *ποδας* A | om *αυτου* A | *ελθοι* A | om *εν* A **12** *πτωμα δε*] *και πτωμα* A | *ητοιμασται αυτω* ℵ *αυτω ητοιμαστο* A **13** om *δε* ℵ | *τα ωραια αυτου*] *αυτου τα ωμια* A **14** *αιτια*] pr *και* A

15 [15]κατασκηνώσει ἐν τῇ σκηνῇ αὐτοῦ ἐν νυκτὶ αὐτοῦ, B
κατασπαρήσονται τὰ εὐπρεπῆ αὐτοῦ θείῳ.
16 [16]ὑποκάτωθεν αἱ ῥίζαι αὐτοῦ ξηρανθήσονται,
καὶ ἐπάνωθεν ἐπιπεσεῖται θερισμὸς αὐτοῦ.
17 [17]τὸ μνημόσυνον αὐτοῦ ἀπόλοιτο ἐκ γῆς,
καὶ ὑπάρχει ὄνομα αὐτῷ ἐπὶ πρόσωπον ἐξωτέρω·
18 [18]ἀπώσειεν αὐτὸν ἐκ φωτὸς εἰς σκότος.
19 [19]οὐκ ἔσται ἐπίγνωστος ἐν λαῷ αὐτοῦ,
οὐδὲ σεσωσμένος ἐν τῇ ὑπ᾽ οὐρανὸν ὁ οἶκος αὐτοῦ,
ἀλλ᾽ ἐν τοῖς αὐτοῦ ζήσονται ἕτεροι.
20 [20]ἐπ᾽ αὐτῷ ἐστέναξαν ἔσχατοι,
πρώτους δὲ ἔσχεν θαῦμα.
21 [21]οὗτοί εἰσιν οἱ οἶκοι ἀδίκων,
οὗτος δὲ ὁ τόπος τῶν μὴ εἰδότων τὸν κύριον.

XIX 1 [1]Ὑπολαβὼν δὲ Ἰὼβ λέγει
2 [2]Ἕως τίνος ἔγκοπον ποιήσετε ψυχήν μου,
καὶ καθαιρεῖτε με λόγοις;
3 [3]γνῶτε μόνον ὅτι ὁ κύριος ἐποίησέν με οὕτως·
καταλαλεῖτέ μου, οὐκ αἰσχυνόμενοί με ἐπίκεισθέ μοι.
4 [4]ναὶ δὴ ἐπ᾽ ἀληθείας ἐγὼ ἐπλανήθην,
παρ᾽ ἐμοὶ δὲ αὐλίζεται πλάνος,
4a [4a]λαλῆσαι ῥήματα ἃ οὐκ ἔδει,
τὰ δὲ ῥήματά μου πλανᾶται καὶ οὐκ ἐπὶ καιροῦ.
5 [5]ἔα δὲ ὅτι ἐπ᾽ ἐμοὶ μεγαλύνεσθε·
ἐνάλλεσθε δέ μοι ὀνείδει.
6 [6]γνῶτε οὖν ὅτι ὁ κύριός ἐστιν ὁ ταράξας,
ὀχύρωμα δὲ αὐτοῦ ἐπ᾽ ἐμὲ ὕψωσεν.
7 [7]ἰδοὺ γελῶ ὀνείδει καὶ οὐ λαλήσω·

15 εν νυκτι] και εν σωματι A | κατασπαρησεται A **17** απολοιτο] ℵAC απωλοιτο B απολιται ℵ* (απολοιτο ℵc.a) **18** απωσειεν] και απωσιαν A **19** λαω] pr τω A | σεσωσμενον ℵ* (-νος ℵc.a) | εν τοις] εντος A **21** οι οικοι] om οι A | ο τοπος] om ο A | ιδοτων A XIX **2** τινος] ποτε A | ενκοπον ℵA | ποιησετε] εποιησατε ℵ | ψυχην] pr την A | καθαιρειτε] καθελειται A **3** ο κυριος] om ο ℵ | με 1°] μοι A | om ουτως ℵ* (hab ℵc.a) | καταλαλειτε] pr και A | μου] με A | επικεισθε] και επικεσθαι (sic) A **4** εγω επ αληθειας A | παρ εμοι δε] και εν εμοι A | αυλιζεται] αυλισθησεται ℵ* (-ζεται ℵc.a) **4 a** ρηματα α] ρημα ο ℵA **6** om ουν A | ο κυριος] om ο Bab ℵ | ταραξας] + με ℵc.a (postea ras) A **7** γελω] λαλω ℵc.a (postea restit γελω) A | ονειδη Ba fort b A

B κεκρύξομαι, καὶ οὐδαμοῦ κρίμα.
[8]κύκλῳ περιῳκοδόμημαι, καὶ οὐ μὴ διαβῶ, 8
ἐπὶ πρόσωπόν μου σκότος ἔθετο.
[9]τὴν δὲ δόξαν ἀπ' ἐμοῦ ἐξέδυσεν, 9
ἀφεῖλεν δὲ στέφανον ἀπὸ κεφαλῆς μου.
[10]διέσπασέν με κύκλῳ καὶ ᾠχόμην, 10
ἐξέκοψεν δὲ ὥσπερ δένδρον τὴν ἐλπίδα μου.
[11]δεινῶς δέ μοι ὀργῇ ἐχρήσατο, 11
ἡγήσατο δέ με ὥσπερ ἐχθρόν.
[12]ὁμοθυμαδὸν δὲ ἦλθον τὰ πειρατήρια αὐτοῦ ἐπ' ἐμοί, 12
ταῖς ὁδοῖς μου ἐκύκλωσαν ἐνκάθετοι.
[13]ἀπ' ἐμοῦ ἀδελφοί μου ἀπέστησαν, 13
ἔγνωσαν ἀλλοτρίους ἢ ἐμέ·
φίλοι δέ μου ἀνελεήμονες γεγόνασιν.
[14]οὐ προσεποιήσαντό με οἱ ἐγγύτατοί μου, 14
καὶ οἱ εἰδότες μου τὸ ὄνομα ἐπελάθοντό μου.
[15]γείτονες οἰκίας θεράπαιναί τε μου, 15
ἀλλογενὴς ἤμην ἐναντίον αὐτῶν.
[16]θεράποντά μου ἐκάλεσα, καὶ οὐχ ὑπήκουσεν· 16
στόμα δέ μου ἐδέετο, [17]καὶ ἱκέτευον τὴν γυναῖκά μου, 17
προσεκαλούμην δὲ κολακεύων υἱοὺς παλλακίδων μου·
[18]οἱ δὲ εἰς τὸν αἰῶνα ἀπεποιήσαντό με· 18
ὅταν ἀναστῶ, κατ' ἐμοῦ λαλοῦσιν.
[19]ἐβδελύξαντό με οἱ ἰδόντες με· 19
οὓς δὴ ἠγαπήκειν, ἐπανέστησάν μοι.
[20]ἐν δέρματί μου ἐσάπησαν αἱ σάρκες μου, 20

ℵAC **8** επι]+δε A | προσωπον] προσωπου ℵ ατραπους A **9** om δε A | δοξαν]+μου A | αφειλεν δε] και αφειλεν A **10** διεσπασεν]+δε ℵ$^{c.a}$ (postea del) A **11** om δε 1° A | om ηγησατο...εχθρον ℵ* (hab ℵ$^{c.a}$) **12** om δε A | ηλθον τα πειρ. αυτου] αυτου ηλθεν τα πειρ. A | εμοι] εμε A | ταις οδοις μου c praec coniung ℵ | εκυκλωσαν]+με ℵA | εγκαθετοι B^{ab} **13** απ εμου c praec coniung ℵ | εμου]+δε A | αδελφοι μου απεστησαν] απεστ. αδελφοι A | εγνωσαν] in γ ras aliq B^{2} | φιλοι] pr οι A **14** ου] pr και A | προσεποιησαντο] προσειδον ℵ | om και A | ειδοτες B^{b}ℵ*] ειδοντες B*ℵ$^{c.a}$ ιδοντες A **15** οικιας] οικιοι A | θεραπαιναι τε μου] θεραποντες θεραπενοι (sic) A | ημην] εγενομην A **16** θεραποντα] θεραποντας δε A | υπηκουσεν] υπηκουσαν μου A | εδεετο (δεετο ℵ* εδ. ℵ^{1})] εδεειτο αυτῶ| A **17** προσεκαλ. δε] και προσεκαλ. A **18** απεποιησαντο με] με απεποιησ. B^{ab}ℵ^{1} (om με ℵ*) με απιπαντο A **19** εβδελυξαντο]+δε ℵA | ιδοντες] ιδοτες A | ους δη] ους δε ℵ^{1} και ους A | ηγαπηκειν (-κεν ℵ)] ηγαπων A **20** εσαπησαν] pr α ℵ* (improb α ℵ^{1}) | αι σαρκες] om αι A

τὰ δὲ ὀστᾶ μου ἐν ὀδοῦσιν ἔχεται. B
21 [21]ἐλεήσατέ με, ἐλεήσατέ με, ὦ φίλοι·
χεὶρ γὰρ Κυρίου ἡ ἁψαμένη μού ἐστιν.
22 [22]διὰ τί με διώκετε ὥσπερ καὶ ὁ κύριος,
ἀπὸ δὲ σαρκῶν μου οὐκ ἐμπίπλασθε;
23 [23]τίς γὰρ ἂν δῴη γραφῆναι τὰ ῥήματά μου,
τεθῆναι δὲ αὐτὰ ἐν βιβλίῳ εἰς τὸν αἰῶνα,
24 [24]ἐν γραφίῳ σιδηρῷ καὶ μολίβῳ;
25 [25]οἶδα γὰρ ὅτι ἀέναός ἐστιν ὁ ἐκλύειν με μέλλων·
26 ἐπὶ γῆς [26]ἀναστήσαι τὸ δέρμα μου τὸ ἀναντλοῦν ταῦτα.
παρὰ γὰρ Κυρίου ταῦτά μοι συνετελέσθη,
27 [27]ἃ ἐγὼ ἐμαυτῷ συνεπίσταμαι,
§ἃ ὁ ὀφθαλμός μου ἑόρακεν καὶ οὐκ ἄλλος· § C
πάντα δέ μοι συντετέλεσται ἐν κόλπῳ.
28 [28]εἰ δὲ καὶ ἐρεῖτε Τί ἐροῦμεν ἔναντι αὐτοῦ;
καὶ ῥίζαν λόγου εὑρήσομεν ἐν αὐτῷ·
29 [29]εὐλαβήθητε δὴ καὶ ὑμεῖς ἀπὸ ἐπικαλύμματος·
θυμὸς γὰρ ἐπ᾽ ἀνόμους ἐπελεύσεται,
καὶ τότε γνώσονται ποῦ ἔστιν αὐτῶν ἡ ὕλη.

XX 1 [1]Ὑπολαβὼν δὲ Σωφὰρ ὁ Μειναῖος λέγει
2 [2]Οὐχ οὕτως ὑπελάμβανον ἀντερεῖν σε ταῦτα·
καὶ οὐχὶ συνίετε μᾶλλον ἢ καὶ ἐγώ.

20 οδουσιν] οδυναις Λ **21** ελεησατε με (1°)] εγγισατε μοι Α | φιλοι] ℵAC + ελεησατε με Α | εστιν η αψαμενη μου Α | αψενη ℵ* (αψαμενη ℵ¹) **22** δια τι]+δε Α | om και ο ℵ* (hab ℵ$^{c.a}$) **23** om αν ℵ* (hab ℵ$^{c.a}$) | βιβλω ℵ **24** σιδηριω ℵ | και] η Λ | μολιβω]+η εν πετραις ενγλυφηναι B^{ab} (εγγλ. B^{b}) ℵA **25—26** επι γης αναστησαι c praec coniung ℵ: item επι γης Α **26** αναστησαι] αναστησι δε ℵ$^{c.a}$ (postea restit αναστησαι) Λ (-σει) | το δερμα μου] μου το σωμα ℵ$^{c.a}$ (postea restit το δ. μου) Α | αναντλουν] αντλουν ℵ* (αναντλ. ℵ$^{c.a}$) | om γαρ ℵ | μοι ταυτα Λ **27** α εγω... συνεπισταμαι c praec coniung ℵ | ο οφθαλμος] om ο ℵ*^{vid} (hab ο ℵ$^{c.a}$) οι οφθαλμοι Α | εορακεν (εωρ. B^{b}C)] εορακασιν Α | παντα] παν ℵ* (παντα ℵ$^{c.a}$) | συντετελεσται (συνετελεσται ℵ* συντετ. ℵ$^{c.a}$)] συντετελεσθαι C | κολπω] κοπω ℵ* (κολπ. ℵ$^{c.a}$) **28** εναντι] εναντιον ℵ$^{c.a}$AC | ευρησομεν] ευρησον Λ **29** δη] δε ℵ* (δη ℵ$^{c.a}$) Α | επικαλυμματος] pr vid κριματος ℵ$^{c.a}$ (postea ras) κριματος Α | ανομοις Λ | τοτε] ο sup ras ℵ¹ | που εστιν αυτων η υλη] που αυτων η υλη εστιν ℵ οτι ουδαμου αυτων η ισχυς εστιν Λ XX **1** evan in C | Μιναιος ℵΛ **2** υπελαμβανον]+σε ειναι και Α | αντερειν] αντερι ℵ* (-ριν ℵ$^{c.a}$) | συνιετε] συνιεναι ℵ$^{c.a}$ (postea συνιεται) Λ | om και Α

B [3]παιδείαν ἐντροπῆς μου ἀκούσομαι, 3
καὶ πνεῦμα ἐκ τῆς συνέσεως ἀποκριθήσεταί μοι.
[4]μὴ ταῦτα ἔγνως ἀπὸ τοῦ ἔτι, 4
ἀφ' οὗ ἐτέθη ἄνθρωπος ἐπὶ τῆς γῆς;
[5]εὐφροσύνη δὲ ἀσεβῶν πτῶμα ἐξαίσιον, 5
χαρμονὴ δὲ παρανόμων ἀπώλεια·
[6]ἐὰν ἀναβῇ εἰς οὐρανὸν αὐτοῦ τὰ δῶρα, 6
ἡ δὲ θυσία αὐτοῦ νεφῶν ἅψηται.
[7]ὅταν γὰρ δοκῇ ἤδη κατεστηρίχθαι, 7
τότε εἰς τέλος ἀπολεῖται·
οἱ δὲ εἰδότες αὐτὸν ἐροῦσιν Ποῦ ἐστιν;
[8]ὥσπερ ἐνύπνιον ἐκπετασθὲν οὐ μὴ εὑρεθῇ, 8
ἔπτη δὲ ὥσπερ φάσμα νυκτερινόν·
[9]ὀφθαλμὸς παρέβλεψεν, καὶ οὐ προσθήσει, 9
καὶ οὐκ ἔτι προσνοήσει αὐτὸν ὁ τύπος αὐτοῦ.
[10]τοὺς υἱοὺς αὐτοῦ ὀλέσαισαν ἥττονες, 10
αἱ δὲ χεῖρες αὐτοῦ πυρσεύσαισαν ὀδύναις.
[11]ὀστᾶ αὐτοῦ ἐνεπλήσθησαν νεότητος αὐτοῦ, 11
καὶ μετ' αὐτοῦ ἐπὶ χώματος κοιμηθήσεται.
[12]ἐὰν γλυκανθῇ ἐν στόματι αὐτοῦ κακία, 12
κρύψει αὐτὴν ὑπὸ τὴν γλῶσσαν αὐτοῦ,
[13]οὐ φείσεται αὐτῆς καὶ οὐκ ἐγκαταλείψει αὐτήν· 13
καὶ συνάξει αὐτὴν ἐν μέσῳ τοῦ λάρυγγος αὐτοῦ,
[14]καὶ οὐ μὴ δυνηθῇ βοηθῆσαι ἑαυτῷ· 14
χολὴ ἀσπίδος ἐν γαστρὶ αὐτοῦ.
[15]πλοῦτος ἀδίκως συναγόμενος ἐξεμεσθήσεται, 15
ἐξ οἰκίας αὐτοῦ ἐξελκύσει αὐτὸν ἄγγελος.

ℵAC **3** παιδιαν ℵAC | μου] σου ℵ$^{c.a}$ (postea restit μου) A | συνεσεως (συνεως C)] + σου A | αποκριθησεται] αποκριθηται B$^{ab\,vid}$ αποκρινετε ℵ αποκρινεται AC **4** απο του] απ αυτου B^{b} om ℵ | om ετι ℵ | αφ] απ ℵ* (αφ ℵ^{1}) **5** δε 1°] γαρ AC | παρανομων] ασεβων A | απωλια ℵ **6** τα δωρα αυτου A **7** οταν] ταν ℵ* (pr ο ℵ$^{1\,c.c\,mg}$) | om γαρ A | κατεστηριχθαι] εστηριχθαι A (-θε) C | οι δε ειδοτες (ιδοτες A)] οι δε ιδοντες ℵ και οι ειδοτες ιδοντες C **8** φασμα] θαυμα ℵ* (φασμα ℵ$^{c.a}$) φαντασμα A **9** προσθησεται ℵ* (προσθησει ℵ$^{c.a}$) | ουκ ετι] ου A | προσνοησει] προνοησει C | αυτου] + ουκ ετι A **10** ολεσαισαν] θλασιαν A | πυρσευσαισαν] πυρσαισαν ℵ* πυρσαισευσαν (sic) ℵ$^{c.a}$ ψηλαφησουσιν A | οδυνας B^{ab}ℵ$^{c.a}$AC **11** ενεπλησαν ℵ* (-πλησθησαν ℵ$^{c.a}$) ενεπλησθη A **12** om εαν A | εγλυκανθη A **13** εγκαταλειψει B^{ab} (εγκαταλιψει B* εγκαλιψει C)] ενκαταλιψει ℵA (-ψι) | εν μεσω] εκ μεσου C **14** αυτου] + και πονος· | A **15** εξεμεσθησεται (εξεμεθ. B^{b}ℵ$^{c\,a}$C)] + εκ κοιλιας αυτου A | οικιας] + δε A | om αυτου C | εξελκυσαι C | αγγελος] + θανατου A

16 [16]θυμὸν δὲ δρακόντων θηλάσειεν, B
ἀνέλοι δὲ αὐτὸν γλῶσσα ὄφεως.
17 [17]μὴ ἴδοι ἄμελξιν νομάδων
μηδὲ νομὰς μέλιτος καὶ βουτύρου.
18 [18]εἰς κενὰ καὶ μάταια ἐκοπίασεν,
πλοῦτον ἐξ οὗ οὐ γεύσεται·
ὥσπερ στρίφνος ἀμάσητος, ἀκατάποτος.
19 [19]πολλῶν γὰρ δυνατῶν οἴκους ἔθλασεν·
δίαιταν δὲ ἥρπασεν, καὶ οὐκ ἔστησεν.
20 [20]οὐκ ἔστιν αὐτοῦ σωτηρία τοῖς ὑπάρχουσιν,
ἐν ἐπιθυμίᾳ αὐτοῦ οὐ σωθήσεται.
21 [21]οὐκ ἔστιν ὑπόλιμμα τοῖς βρώμασιν αὐτοῦ,
διὰ τοῦτο οὐκ ἀνθήσει αὐτοῦ τὰ ἀγαθά.
22 [22]ὅταν δὲ δοκῇ ἤδη πεπληρῶσθαι, θλιβήσεται,
πᾶσα δὲ ἀνάγκη ἐπ' αὐτὸν ἐπελεύσεται.
23 [23]εἴ πως πληρώσαι γαστέρα αὐτοῦ,
ἐπαποστείλαι ἐπ' αὐτὸν θυμὸν ὀργῆς,
νίψαι ἐπ' αὐτὸν ὀδύνας·
24 [24]καὶ οὐ μὴ σωθῇ ἐκ χειρὸς σιδήρου,
τρώσαι αὐτὸν τόξον χάλκειον·
25 [25]διεξέλθοι δὲ διὰ σώματος αὐτοῦ βέλος,
ἄστρα δὲ ἐν διαίταις αὐτοῦ περιπατήσαισαν·
ἐπ' αὐτῷ φόβοι,
26 [26]πᾶν δὲ σκότος αὐτῷ ὑπομείναι·

16 *θυμος* A | *θηλασει* A | *ανελοι δε*] *και ανελοι* A **17** *ειδοι* C **18** *κε-* ℵAC
να] *καινα* ℵ | *πλουτον*] pr *σχοιη δε* A | *στριφνος* B^{b} (*στρειφν.* B* adnot *το νευρώδες κρεας των βοων·*| *εστιν δε και βοτανη ἄβρωτος*| *δια τουτο δε ακαταποτος·*| *επειδη κ αμασητος εστιν·*| *ἔστιν δε κ το του χαλινου*| *μάσημα· και ομφάκινος*| *οπώρα* :— B^{amg}) ℵ*C] *στρυχνος* $ℵ^{c.a}$ (mox restit *στριφν.*) *στρυχνον* A | *αμασητον* A | *ακαταποτος*] *ακαταπατητον* A **19** *δυνατων*] *αδυνατων* $ℵ^{c.a}$ AC | *εθλασεν*] *εθρασεν* A | *διαιταν*] *δι αιτιαν* C | *δε*] *γαρ* C+*αυτων* $ℵ^{c.a}$ (mox del) A | *ηρπασεν*] *.πασεν* C ras 1 lit ante *π* et superscr *ε* vel *σ* C[?]) **20** *ουκ*] pr *δια τουτο* $ℵ^{c.a}$ (rurs del) A | *εστιν*] *εστη* A | *σωτηρια αυτου* ℵ *αυτω σωτ.* A | *τοις υπαρχουσιν*] *εν τ. υ. αυτου ουδε ανθησει αυτου τα αγαθα* A | om *ου* ℵ* (hab *ου* $ℵ^{c.a}$) **21** *υπολειμμα* B^{ab} | om *δια τουτο...τα αγαθα* A **22** om *δε* 1° AC | *πεπληρωσθαι*] *ειρηνευειν* C **23** *ει πως ει πληρωσαι* Bℵ* (*ει πως πληρωσαι* $ℵ^{c.a}$ *ει* 2° postea revoc) *και πληρωσει* (c praec coniung) A *ει πως κληρωσαι* C | *νιψαι* (*νειψ.* ℵ*)] *ρειψαι* ℵ* (*νειψ.* postea revoc) *ριψαι δε* A **24** *τρωσαι*]+*δε* A | *χαλκαιον* A *χαλκιον* C **25** *διεξ-* *ελθοι*] pr *και* A | *αστρα*] *ανδρα* A | *διαιτη* ℵC | *περιπατησαισαν*] *μη περιπατησαι* A **26** *παν δε*] *και παν* A | *αυτω*] *αυτον* A

B κατέδεται αὐτὸν πῦρ ἄκαυστον,
κακώσαι δὲ αὐτοῦ ἐπήλυτος τὸν οἶκον.
27 ἀνακαλύψαι δὲ αὐτοῦ ὁ οὐρανὸς τὰς ἀνομίας, 27
γῆ δὲ ἐπανασταίη αὐτῷ.
28 ἑλκύσαι τὸν οἶκον αὐτοῦ ἀπωλία εἰς τέλος, 28
ἡμέρα ὀργῆς ἐπέλθοι αὐτῷ.
29 αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ Κυρίου, 29
καὶ κτῆμα ὑπαρχόντων αὐτῷ παρὰ τοῦ ἐπισκόπου.

1 Ὑπολαβὼν δὲ Ἰὼβ λέγει 1 XXI
2 Ἀκούσατε, ἀκούσατέ μου τῶν λόγων, 2
ἵνα μὴ ᾖ μοι παρ᾽ ὑμῶν αὕτη ἡ παράκλησις.
3 ἄρατέ με, ἐγὼ δὲ λαλήσω, 3
εἶτ᾽ οὐ καταγελάσετέ μου.
4 τί γάρ; μὴ ἀνθρώπου μου ἡ ἔλεγξις; 4
ἢ διὰ τί οὐ θυμωθήσομαι;
5 εἰσβλέψαντες εἰς ἐμὲ θαυμάσετε, 5
χεῖρα θέντες ἐπὶ σιαγόνι.
6 ἐάν τε γὰρ μνησθῶ, ἐσπούδακα, 6
ἔχουσιν δέ μου τὰς σάρκας ὀδύναι.
7 διὰ τί ἀσεβεῖς ζῶσιν, 7
πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ;
8 ὁ σπόρος αὐτῶν κατὰ ψυχήν, 8
τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλμοῖς.
9 οἱ οἶκοι αὐτῶν εἰθηνοῦσιν, φόβος δὲ οὐδαμοῦ, 9
μάστιξ δὲ παρὰ Κυρίου οὐκ ἔστιν αὐτοῖς.
10 ἡ βοῦς αὐτῶν οὐκ ὠμοτόκησεν, 10
διεσώθη δὲ αὐτῶν ἐν γαστρὶ ἔχουσα καὶ οὐκ ἔσφαλεν.

ℵAC **26** κατεδεται] + δε AC | ακαυστον BℵC.a C] ακουστον ℵ* ασβεστον ℵC.a mg (postea improb) A | κακωσαι δε] και κακωσαι A **27** om δε 1° A | ανομιας] νομας ℵ* (αν. ℵC.a) | om δε 2° ℵ* (hab ℵC.a) **28** ελκυσαι] εκλυσαι ℵ | απωλεια BAb C | ημερα] και ημεραι A **29** αυτω] αυτου AC XXI **1** evan in C **2** ακουσατε 1°] + μου A | η 1°] ειη A | αυτη παρ υμων A | η παρακλησις (-σεις A)] om η AC **3** αρατε] βαστασατε A | ειτ ου καταγελασετε (-γελασατε ℵ) μου] ειτα μη μου καταγελαται A **4** μη] μοι C | ανθρωπου] pr εξ A | μου η ελεγξις] η ελ. μου A om μου C | η 2°] και A **5** εισβλεψαντες] εμβλεψ. A | θαυμασετε] θαυμασατε ℵ*A θαυμα σχητε ℵC.c | σιαγονι] στομα A **7** δια τι] + δε A | om εν A **8** om δε ℵ* (hab ℵC.c) | οφθαλμοις] + αυτων A **9** οι οικοι αυτων ευθηνουσι sup ras C2 | μαστιγξ ℵ | αυτοις] επ αυτοις BAb A επ αυτους ℵ **10** εν] pr η A | om εχουσα ℵ* (hab ℵC.a)

11 [11]μένουσιν δὲ ὡς πρόβατα αἰώνια, B
τὰ δὲ παιδία αὐτῶν προσπαίζουσιν·
12 [12]ἀναλαβόντες ψαλτήριον καὶ κιθάραν
καὶ εὐφραίνονται φωνῇ ψαλμοῦ.
13 [13]συνετέλεσαν δὲ ἐν ἀγαθοῖς τὸν βίον αὐτῶν,
ἐν δὲ ἀναπαύσει ᾅδου ἐκοιμήθησαν.
14 [14]λέγει δὲ Κυρίῳ Ἀπόστα ἀπ᾽ ἐμοῦ, ὁδούς σου εἰδέναι οὐ
βούλομαι·
15 [15]τί ἱκανὸς ὅτι δουλεύσομεν αὐτῷ;
καὶ τίς ὠφελία ὅτι ἀπαντήσομεν αὐτῷ;
16 [16]ἐν χερσὶν γὰρ ἦν αὐτῶν τὰ ἀγαθά,
ἔργα δὲ ἀσεβῶν οὐκ ἐφορᾷ.
17 [17]οὐ μὴν δὲ ἀλλὰ καὶ ἀσεβῶν λύχνος σβεσθήσεται,
ἐπελεύσεται δὲ αὐτοῖς ἡ καταστροφή,
ὠδῖνες δὲ ἕξουσιν αὐτοὺς ἀπὸ ὀργῆς.
18 [18]ἔσονται δὲ ὥσπερ ἄχυρα ὑπὸ ἀνέμου,
ἢ ὥσπερ κονιορτὸς ὃν ὑφείλατο λαῖλαψ.
19 [19]ἐκλίποι υἱοὺς τὰ ὑπάρχοντα αὐτοῦ·
ἀνταποδώσει πρὸς αὐτὸν καὶ γνώσεται.
20 [20]ἴδοισαν οἱ ὀφθαλμοὶ αὐτοῦ τὴν ἑαυτοῦ σφαγήν,
ἀπὸ δὲ Κυρίου μὴ διασωθείη·
21 [21]ὅτι τὸ θέλημα αὐτοῦ ἐν οἴκῳ αὐτοῦ μετ᾽ αὐτοῦ,
καὶ ἀριθμοὶ μηνῶν αὐτοῦ διῃρέθησαν.
22 [22]πότερον οὐχὶ ὁ κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπι-
στήμην;
αὐτὸς δὲ φόνους διακρινεῖ.
23 [23]οὗτος ἀποθανεῖται ἐν κράτει ἁπλοσύνης αὐτοῦ,
ὅλος δὲ εὐπαθῶν καὶ εὐθηνῶν,

11 ως] ωσπερ AC | προσπαιζουσιν] προσπεζει αυτοις A **12** αναλα- ℵAC
βοντες]+αυ ℵ* (improb αυ ℵ[1]) αναλαμβανοντα A | ευφραινονται] ευφρανθη-
σονται ℵ* (ευφραιν. ℵ[c.a]) **13** om δε 1° A **14** δε]+ο ασεβης A |
Κυριω] pr τω ℵA | οδους σου ειδεναι] ειδεναι οδ. σου ℵ τας οδ. σου ειδ. A
15 δουλευσωμεν C | om και τις...αυτω (2°) C | ωφελεια B[ab]A | απαντησωμεν
A **16** αυτων ην A | ουκ εφορα] ου καθαρα A **17** λυχνος ασεβων ℵ |
σβεσθησεται] pr ου ℵ* (improb et postea ras ℵ?) | ωδινες...αυτους] και ωδ.
αυτοις εξ. A ωδ. δε αυτους εξ. C **18** υπο] απο B[ab] προ AC | om η ℵ*
(hab ℵ[c.a]) | υφιλατο ℵAC **19** εκλειποι AC | υιοις A **20** ιδοι-
σαν] ιδοιεν δε A | εαυτου] αυτου C | απο δε] και υπο A **21** αυτου 3°]
αυτον A **22** ο κυριος] om ο ℵ | φονους] σοφους AC **23** αποθα-
νειται] απεθανεν ℵ | απλοσυνης] αφροσυνης ℵ[c.c]AC

B [24]τὰ δὲ ἔγκατα αὐτοῦ πλήρη στέατος, 24
μυελὸς δὲ αὐτοῦ διαχεῖται·
[25]ὁ δὲ τελευτᾷ ὑπὸ πικρίας ψυχῆς, οὐ φαγὼν οὐδὲν ἀγαθόν· 25
[26]ὁμοθυμαδὸν δὲ ἐπὶ γῆς κοιμῶνται, 26
σαπρία δὲ αὐτοὺς ἐκάλυψεν.
[27]ὥστε οἶδα ὑμᾶς ὅτι τόλμῃ ἐπίκεισθέ μοι, 27
[28]ὥστε ἐρεῖτε Ποῦ ἐστιν οἶκος ἄρχοντος; 28
καὶ ποῦ ἐστιν ἡ σκέπη τῶν σκηνωμάτων τῶν ἀσεβῶν;
[29]ἐρωτήσατε παραπορευομένους ὁδόν, 29
καὶ τὰ σημεῖα αὐτῶν οὐκ ἀπαλλοτριώσετε·
[30]ὅτι εἰς ἡμέραν ἀπωλείας κουφίζεται ὁ πονηρός, 30
εἰς ἡμέραν ὀργῆς αὐτοῦ ἀπαχθήσονται.
[31]τίς ἀπαγγελεῖ ἐπὶ προσώπου αὐτοῦ τὴν ὁδὸν αὐτοῦ; 31
καὶ ἃ αὐτὸς ἐποίησεν, τίς ἀνταποδώσει αὐτῷ;
[32]καὶ αὐτὸς εἰς τάφους ἀπηνέχθη, 32
καὶ αὐτὸς ἐπὶ σωρῶν ἠγρύπνησεν.
[33]ἐγλυκάνθησαν αὐτῷ χάλικες χειμάρρου, 33
καὶ ὀπίσω αὐτοῦ πᾶς ἄνθρωπος ἀπελεύσεται,
καὶ ἔμπροσθεν αὐτοῦ ἀναρίθμητοι.
[34]πῶς δὲ παρακαλεῖτέ με κενά; 34
τὸ δὲ ἐμὲ καταπαύσασθαι ἀφ' ὑμῶν οὐδέν.

[1]Ὑπολαβὼν δὲ Ἐλιφὰς ὁ Θαιμανείτης λέγει 1 XXII
[2]Πότερον οὐχὶ ὁ κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπι- 2
στήμην;
[3]τί γὰρ μέλει τῷ κυρίῳ ἐὰν σὺ ἦσθα τοῖς ἔργοις ἄμεμπτος; 3

ℵAC **24** ενκατα ℵ | πληρης BℵAC | μυελος δε] ο δε μ. A | αυτου 2°] αυτων ℵC **25** δε]+γε A | πικρια ℵ* (πικριας ℵ$^{c.a}$) | om ουδεν ℵ* (hab ουθεν ℵ$^{c.a}$) **26** δε 1°]+οι υιοι αυτου A | κοιμωνται]+οι υιοι αυτου ℵ$^{c.a\ mg}$ κοιμηθησονται A | εκαλυψεν]+επι γης A **28** ωστε] οτι C | ερειται AC | αρχοντος] αρχαιος A | η σκεπη] om η A **29** παραπορευομενους] πορευομενους C ⌈ απαλλοτριωσετε] απαλλοτριωσεται ℵC απολλοτριωθησεται (sic) A **30** εις 1°] η.s C* | απωλιας ℵ | εις 2°] pr και A | απαχθησεται ℵ$^{c.a\ (vid)}$A **31** απαγγελει] απαγγελλει ℵ αναγγελει C | προσωπον ℵ$^{c.a\ (vid)}$A | om α ℵC **32** om αυτος 2° ℵ$^{c.a}$AC | σωρων] σωρω ℵ σορω A **33** αναριθμητοι] αριθμητοι A **34** με παρακαλειτε C | εμε καταπαυσασθαι αφ υμων] εμε καταπαυσεσθε αφ υ. ℵ αφ υ. καταπαυσαι με A εμε καταπαυσασθαι αφ ημων C | ουδεν]+εστιν A XXII **1** evan in C | Ελιφας ℵ Ελιφαζ A | Θαιμανιτης ℵ Θεμανιτης A **2** συνεσιν] pr σ initio lin quasi inc stich ℵ* **3** ησθα] ης A | αμεμπτος τοις εργοις A

ἢ ὠφελία ὅτι ἀπώσῃς τὴν ὁδόν σου; B
4 [4]ἢ λόγον σου ποιούμενος ἐλέγξει σε, καὶ συνεισελεύσεταί
σοι εἰς κρίσιν;
5 [5]πότερον οὐχ ἡ κακία σού ἐστιν πολλή,
ἀναρίθμητοι δέ σού εἰσιν αἱ ἁμαρτίαι;
6 [6]ἠνεχύραζες δὲ τοὺς ἀδελφούς σου διὰ κενῆς,
ἀμφίασιν δὲ γυμνῶν ἀφείλου·
7 [7]οὐδὲ ὕδωρ διψῶντας ἐπότισας,
ἀλλὰ πεινώντων ἐστέρησας ψωμόν·
8 [8]ἐθαύμασας δέ τινων πρόσωπον,
ᾤκισας δὲ τοὺς ἐπὶ τῆς γῆς·
9 [9]χήρας δὲ ἐξαπέστειλας κενάς,
ὀρφανοὺς δὲ ἐκάκωσας.
10 [10]τοιγαροῦν ἐκύκλωσάν σε παγίδες,
καὶ ἐσπούδασέν σε πόλεμος ἐξαίσιος.
11 [11]τὸ φῶς σοι σκότος ἀπέβη,
κοιμηθέντα δὲ ὕδωρ σε ἐκάλυψεν.
12 [12]μὴ οὐχὶ ὁ τὰ ὑψηλὰ ναίων ἐφορᾷ,
τοὺς δὲ ὕβρει φερομένους ἐταπείνωσεν;
13 [13]καὶ εἶπας Τί ἔγνω ὁ ἰσχυρός,
ἢ κατὰ τοῦ γνόφου κρίνει;
14 [14]νεφέλη¶ ἀποκρυφῆς αὐτοῦ, καὶ οὐχ ὁραθήσεται, ¶ C
καὶ γῦρον οὐρανοῦ διαπορεύεται.
15 [15]μὴ τρίβον αἰώνιον φυλάξεις ἣν ἐπάτησαν ἄνδρες δίκαιοι,
16 [16]οἱ συνελήμφθησαν ἄωροι;
ποταμὸς ἐπιρρέων οἱ θεμέλιοι αὐτῶν·
17 [17]οἱ λέγοντες Κύριος τί ποιήσει ἡμῖν;
ἢ τί ἐπάξεται ἡμῖν ὁ παντοκράτωρ;
18 [18]ὃς δὲ ἐνέπλησεν τοὺς οἴκους αὐτῶν ἀγαθῶν,
βουλὴ δὲ ἀσεβῶν πόρρω ἀπ᾽ αὐτοῦ,

3 ωφελεια B^{ab}A (evan in C) + αυτω A | απωσης] απλωσης $\aleph^{c.a}$A απλωσεις C ℵAC **5** ουχ] ουχι A | om εισιν A **6** δε 1°] om ℵ γαρ A | αφιλου ℵA **8** προσωπον] προσωπα $\aleph^{c.a}$AC | ωκισας] εκομισας A | τους επι της γης] πτωχους επι της γης $\aleph^{c.a}$C τους επι της γης πτωχους $\aleph^{c.c}$ πτωχους επι γης A **9** ορφανους δε] και ορφανους A **11** σκοτος] pr εις ℵA | υδωρ σε] σε υδωρ A om σε ℵ **12** om ουχι A | ναιων B^{ab} (νεων B^{*}ℵA)] αιων C pr και ℵ* (om και $\aleph^{c.a}$) | εφορα] pr ουκ A **13** ειπα C **14** νεφελη] νεφη ℵ post νεφ cett absciss sunt in C | αποκρυφη ℵA | διαπορευσεται ℵA **15** επατησαν] επανεστησαν A* (επατ. A^{b}) **17** Κυριος...ημιν 1°] τι ποιησει ημιν ο κς̄ A | επαξει A **18** ος δε] οτε γε A

B [19]ἰδόντες δίκαιοι ἐγέλασαν, 19
ἄμεμπτος δὲ ἐμυκτήρισεν·
[20]εἰ μὴ ἠφανίσθη ἡ ὑπόστασις αὐτῶν, 20
καὶ τὸ κατάλιμμα αὐτῶν καταφάγεται πῦρ.
[21]γενοῦ δὴ σκληρός, ἐὰν ὑπομείνῃς· 21
εἶτ' ὁ καρπός σου ἔσται ἐν ἀγαθοῖς.
[22]ἔκβαλε δὲ ἐκ στόματος αὐτοῦ ἐξηγορίαν, 22
καὶ ἀνάλαβε τὰ ῥήματα αὐτοῦ ἐν καρδίᾳ σου.
[23]ἐὰν δὲ ἐπιστραφῇς καὶ ταπεινώσῃς σεαυτὸν ἔναντι Κυρίου, 23
πόρρω ἐποίησας ἀπὸ διαίτης σου ἄδικον·
[24]θήσῃ ἐπὶ χώματι ἐν πέτρᾳ, 24
καὶ ὡς πέτρα χειμάρρου Σωφείρ.
[25]ἔσται οὖν σου ὁ παντοκράτωρ βοηθὸς ἀπὸ ἐχθρῶν, 25
καθαρὸν δὲ ἀποδώσει σε ὥσπερ ἀργύριον πεπυρωμένον.
[26]εἶτα παρρησιασθήσῃ ἐναντίον Κυρίου, ἀναβλέψας εἰς τὸν οὐ- 26
ρανὸν ἱλαρῶς·
[27]εὐξαμένου δέ σου πρὸς αὐτὸν εἰσακούσεταί σου, 27
δώσει δέ σοι ἀποδοῦναι τὰς εὐχάς·
[28]ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης, 28
ἐπὶ δὲ ὁδοῖς σου ἔσται φέγγος.
[29]ὅτι ἐταπείνωσας σεαυτόν, καὶ ἐρεῖς Ὑπερηφανεύσατο, 29
καὶ κύφοντα ὀφθαλμοῖς σώσει·
[30]ῥύσεται ἀθῷον, 30
καὶ διασώθητι ἐν καθαραῖς χερσίν σου.

[1]Ὑπολαβὼν δὲ Ἰὼβ λέγει 1 XXIII
[2]Καὶ δὴ οἶδα ὅτι ἐκ χειρός μου ἡ ἔλεγξίς ἐστιν, 2

ℵA **19** εμυκτηρισεν]+αυτους ℵ$^{c.a}$A **20** η υποστασις (-σεις A)] om η A | καταλειμμα B^{ab}ℵ **21** δη] δε ℵA | ειτ] η A **22** εκβαλε] εκλαβοι ℵ* εκλαβαι ℵ$^{c.a}$ εκλαβε A | εξηγοριαν] pr συν A **23** πορρω εποιησας] και πορρω ποιησης A^{*vid} (-σον sup ras A^{a}) | αδικον] κακον ℵ* το κακον A^{*fort} το αδικον ℵ$^{c.c}$A^{a} **24** θησῃ] θησεις A | χωματος A | ως] ωσπερ ℵ$^{c.a}$ (ως ℵ$^{c.c}$) A | om πετρα 2° ℵ* (hab ℵ$^{c.c}$) A | χειμαρρουσωφειρ BA χειμαρρουσσωφειρ ℵ **25** ουν σου] δε σοι A **26** παρρησιασθησῃ] ενπαρρησιαση A | εναντιον] εναντι ℵA **27** σοι αποδουναι τας ευχας] σοι αποδ. τ. ε. σου ℵ$^{c.a}$ τας ευχας σου αποδ. A **28** οδους ℵ* (οδοις ℵ$^{c.c}$) | σου] σοι A **29** ερειτε ℵ$^{c.a}$ (mox restit ερεις) | υπερηφανευσατο] υπερηφανευσαμην ℵ$^{c.a\ vid}$ (sup τ scr μ quasi -μην) ει υπερηφανευσαμην A **30** ρυσεται]+δε A | διασωθητι] διασωθηση ℵ$^{c.a}$ (mox restit -θητι) A XXIII **1** λεγει] λ sup ras B$^{?}$ **2** χειρων A

καὶ ἡ χεὶρ αὐτοῦ βαρεῖα γέγονεν ἐπ' ἐμῷ στεναγμῷ. B

3 [3]τίς δ' ἄρα γνοίη ὅτι εὕροιμι αὐτὸν καὶ ἔλθοιμι εἰς τέλος;

4 [4]εἴποιμι δὲ ἐμαυτοῦ κρίμα,
τὸ δὲ στόμα μου ἐμπλήσαι ἐλέγχων·

5 [5]γνῴην δὲ ἰάματα ἅ μοι ἐρεῖ,
αἰσθοίμην δὲ τίνα μοι ἀπαγγελεῖ.

6 [6]καὶ ἐν πολλῇ ἰσχύι ἐπελεύσεταί μοι·
εἶτα ἐν ἀπειλῇ μοι οὐ χρήσεται.

7 [7]ἀλήθεια γὰρ καὶ ἔλεγχος παρ' αὐτοῦ,
ἐξαγάγοι δὲ εἰς τέλος τὸ κρίμα μου.

8 [8]εἰς γὰρ πρῶτα πορεύσομαι, καὶ οὐκ ἔτι εἰμί,
τὰ δὲ ἐπ' ἐσχάτοις, τί οἶδα;

9 [9]ἀριστερὰ ποιήσαντος αὐτοῦ καὶ οὐ κατέσχον,
περιβαλεῖ δεξιὰ καὶ οὐκ ὄψομαι.

10 [10]οἶδεν γὰρ ἤδη ὁδόν μου,
διέκρινεν δέ με ὥσπερ τὸ χρυσίον.

11 [11]ἐξελεύσομαι δὲ ἐν ἐντάλμασιν αὐτοῦ,
ὁδοὺς γὰρ αὐτοῦ ἐφύλαξα, καὶ οὐ μὴ ἐκκλίνω·

12 [12]ἀπὸ ἐνταλμάτων αὐτοῦ καὶ οὐ μὴ παρέλθω,
ἐν δὲ κόλπῳ μου ἔκρυψα ῥήματα αὐτοῦ.

13 [13]εἰ δὲ καὶ αὐτὸς ἔκρινεν οὕτως, τίς ἐστιν ὁ ἀντειπὼν αὐτῷ;
ὃ γὰρ αὐτὸς ἠθέλησεν, καὶ ἐποίησεν.

(15) 14 [14]διὰ τοῦτο ἐπ' αὐτῷ ἐσπούδακα·
νουθετούμενος δὲ ἐφρόντισα αὐτοῦ.

15 [15]ἐπὶ τούτῳ ἀπὸ προσώπου αὐτοῦ κατασπουδασθῶ·
κατανοήσω, καὶ πτοηθήσομαι ἐξ αὐτοῦ.

16 [16]Κύριος δὲ ἐμαλάκυνεν τὴν καρδίαν μου,

2 om *και* 2° Λ | *εμων στεναγμων* ℵ* (*εμω στεναγμω* ℵ$^{c.a}$) *εμοι| στεναζω δε* ℵA *επ εμαυτον* Λ **3** *δ αρα*] om *δ* ℵ *γαρ αν* Λ | *γνοιη*] *γνωη* Λ | *ελθοιμι*] pr *οτι* Λ **4** *ειποιμι*] *ιδοιμι* ℵ* *ιποιμι* ℵ$^{c.a}$ (*ειπ.* ℵ$^{c.c}$) | *εμαυτου* Bℵ*$^{c.c}$ *επ αυτου* ℵ$^{c.a}$Λ | *εμπλησαι*] *εμπλησω* ℵ$^{c.a}$ *εμπλησει με* Λ | *ελεγχου* Λ **5** *γνωην*] *γνοιην* B^{ab} ℵ$^{c.a}$ | *ιαματα*] *ρηματα* ℵ$^{c.a}$Λ | *τινα*] *ατινα* ℵ* (*τινα* ℵ$^{c.a}$) | *απαγγελλει* ℵΛ **6** *εν* 1°] *ει* Λ | *ειτα*] *και ει* Λ | *ου χρησεται μοι* Λ **7** *αληθια* ℵ | *παρ αυτου*] *παρ αυτω* sup ras A$^{a?}$ **8** *εις γαρ πρωτα παρευσομαι*] *εαν γαρ πορευθω εις τα πρωτα* Λ | om *και* Λ **10** *μοι*]+*αυτος* Λ | *διεκρινεν* (*εδιεκρινεν* ℵ* improb *ε* 1° ℵ$^{1\ c.a}$) *δε*] *και διεκρινεν* Λ | *το χρυσιον*] om *το* Λ **12** *ενταλματων*] *εντολων* Λ | om *και* Λ | *παρελθω*]+*ινα μη αποθανω* Λ **13** *αυτος* 1° sup ras B^{a} | *αντειπων*] *αντειπιπτων* ℵ$^{c.a}$ (restit *αντειπων*) *αντερων* Λ **14** *εσπουδακειν* Λ **15** *κατασπουδασω* ℵ* (*-δασθω* ℵ$^{c.a}$ postea restit *-δασω*) **16** *Κυριος*]+*μου* Λ | om *δε* 1° Λ

B ὁ δὲ παντοκράτωρ ἐσπούδασέν με.
17 οὐ γὰρ ᾔδειν ὅτι ἐπελεύσεταί μοι σκότος, 17
πρὸ προσώπου δέ μου ἐκάλυψεν γνόφος.
1 διὰ τί δὲ Κύριον ἔλαθον ὧραι, 1 XXIV
2 ἀσεβεῖς δὲ ὅριον ὑπερέβησαν, ποίμνιον σὺν ποιμένι ἁρπά- 2
σαντες;
3 ὑποζύγιον ὀρφανῶν ἀπήγαγον, 3
καὶ βοῦν χήρας ἠνεχύρασαν.
4 ἐξέκλιναν ἀδυνάτους ἐξ ὁδοῦ δικαίας, 4
ὁμοθυμαδὸν δὲ ἐκρύβησαν πραεῖς γῆς.
5 ἀπέβησαν δὲ ὥσπερ ὄνοι ἐν ἀγρῷ, 5
ὑπὲρ ἐμοῦ ἐξελθόντες τὴν ἑαυτῶν τάξιν·
ἠδύνθη αὐτῷ ἄρτος εἰς νεωτέρους.
6 ἀγρὸν πρὸ ὥρας οὐκ αὐτῶν ὄντα ἐθέρισαν· 6
ἀδύνατοι ἀμπελῶνας ἀσεβῶν ἀμισθὶ καὶ ἀσιτὶ ἠργάσαντο.
§ C 7 γυμνοὺς πολλοὺς ἐκοίμισαν ἄνευ ἱματίων, 7
ἀμφίασιν δὲ ψυχῆς αὐτῶν ἀφείλαντο·
8 ἀπὸ ψεκάδων ὀρέων ὑγραίνονται, 8
παρὰ τὸ μὴ ἔχειν ἑαυτοὺς σκέπην πέτραν περιεβάλοντο.
9 ἥρπασαν ὀρφανὸν ἀπὸ μαστοῦ, 9
ἐκπεπτωκότα δὲ ἐταπείνωσαν.
10 γυμνοὺς δὲ ἐκοίμισαν ἀδίκως, 10
πεινῶντων δὲ τὸν ψωμὸν ἀφείλαντο.
11 ἐν στενοῖς ἀδίκως ἐνήδρευσαν, 11

ℵAC **16** εσπουδασεν με BℵC.a] εσπουδασεν σε ℵ* εσπουδακεν επ εμε A **17** σκοτος] γνοφος A | προ προσωπου] προσωπον A | εκαλυψεν] καλυψει A | γνοφος] σκοτος A XXIV **1** Κυριον] κε A | ωραι] ωρας ασεβεις ανδρες A **2** om ασεβεις A | οριον δε A | ποιμνιον] pr και A | αρπασαντες] ηρπασαν A **3** υποζυγιον] + δε ℵC.aA | ηνεχυρασαν] ενεχυρασον ℵ (-σαν ℵ1) **4** εξεκλιναν] εξεκλινον δε A | δικαιας] δικαιων ℵ* (-ας ℵC.a) | om δε ℵ **5** απεβησαν] pr ι ℵC.a (mg) (postea ras) A | om δε ℵA | την εαυτων] τη εαυτω (sic) ℵC.a τη εαυτων A | ταξιν] πραξιν ℵ πραξει A **5—6** ηδυνθη...εθερισαν] αγρον προ ωρας ουκ αυτων οντα εθερισαν ηδυνηθη δε αυτω αρτος εις νεωτερους A **5** εις νεωτερους αρτος ℵ **6** αδυνατοι] + δε ℵC.aA | αμπελωνας ασεβων] αμπελωνα ℵ* (αμπελωνας ασ. ℵC.a) ασεβων αμπελωνας A | αμισθι (-θει Babℵ) και ασιτι (-τει Bab)] ασιτι και αμισθι A | ηργασαντο] ειργασαντο BabA **7** γυμνους] + δε A | αυτων] εαυτων A | αφιλαντο B*AC **8** παρα] pr και A | εαυτους] αυτους ℵC | om πετραν ℵ* (hab ℵC.a) **9** ηρπασαν] + δε A | ορφανους A | εκπεπτωκοτα δε] και εκπεπτ. A **10** om δε 1° A **10—12** πεινωντων...εξεβαλλοντο] pauca supersunt in C **10** τον ψωμον] om τον A | αφιλαντο ℵA (de C non liq) **11** στενοις] σκοτινοις ℵC.a (mox restit στεν.) A evan in C + δε C | ενηδρευσαν αδικως A

ὁδὸν δὲ δικαίων οὐκ ἤδεισαν. B
12 [12]οἱ ἐκ πόλεως καὶ οἴκων ἰδίων ἐξεβάλλοντο,
ψυχὴ δὲ νηπίων ἐστέναξεν μέγα.
13 [13]αὐτὸς δὲ διὰ τί τούτων ἐπισκοπὴν οὐ πεποίηται;
[13]ἐπὶ γῆς ὄντων αὐτῶν καὶ οὐκ ἐπέγνωσαν,
ὁδὸν δὲ δικαιοσύνης οὐκ ἤδεισαν,
οὐδὲ ἀτραποὺς αὐτῶν ἐπορεύθησαν.
14 [14]γνοὺς δὲ αὐτῶν τὰ ἔργα παρέδωκεν αὐτοὺς εἰς σκότος,
καὶ νυκτὸς ἔσται ὡς κλέπτης.
15 [15]καὶ ὀφθαλμὸς μοιχοῦ ἐφύλαξεν σκότος,
λέγων Οὐ προσνοήσει με ὀφθαλμός,
καὶ ἀποκρυβὴν προσώπου ἔθετο.
16 [16]διώρυξεν ἐν σκότει οἰκίας·
ἡμέρας ἐσφράγισαν ἑαυτούς,
οὐκ ἐπέγνωσαν φῶς·
17 [17]ὅτι ὁμοθυμαδὸν αὐτοῖς τὸ πρωὶ σκιὰ θανάτου,
ὅτι ἐπιγνώσεται τάραχος σκιᾶς θανάτου.
18 [18]ἐλαφρός ἐστιν ἐπὶ πρόσωπον ὕδατος·
καταραθείη ἡ μερὶς αὐτῶν ἐπὶ γῆς,
19 ἀναφανείη δὲ τὰ φυτὰ αὐτῶν [19]ἐπὶ γῆς ξηρά·
ἀγκαλίδα γὰρ ὀρφανῶν ἥρπασαν.
20 [20]εἶτ' ἀνεμνήσθη αὐτοῦ ἡ ἁμαρτία·
ὥσπερ δὲ ὁμίχλη δρόσου ἀφανὴς ἐγένετο·
ἀποδοθείη δὲ αὐτῷ ἃ ἔπραξεν,
συντριβείη δὲ πᾶς ἄδικος ἴσα ξύλῳ ἀνιάτῳ.
21 [21]στεῖραν δὲ οὐκ εὖ ἐποίησεν, καὶ ἀγύναιον οὐκ ἠλέησεν,

11 om δε ℵ* (hab ℵ$^{c.a}$) | δικαιων] δικαιαν B^{a} (α 2° sup ras) ℵ evan in C ℵAC **12** om οι ℵ$^{c.a}$ (postea restit) A | πολεων ℵ* (πολεως ℵ$^{c.a}$) | οικων] εξ οικιων A | εξεβαλλοντο] εξεβαλλον αυτους ℵ$^{c.a}$ (mox revoc εξεβαλλοντο) εξεβαλον αυτους A εξ....C | μεγα] μεγαλως A **13** επι γης οντων αυτων] ετι οντ. αυτ. επι γης A | γης] γη sup ras B^{ab} | επεγνωσαν] επεγνωσομαι (sic) A | ουκ 2°] ου C | ατραπους αυτων επορ.] επορ. ατραπους αυτης A ατρ. αυτης επορ. ℵ$^{c.a}$C **15** προσνοησει] προσθησει ℵ* (προσν. ℵ$^{c.a}$) προνοησει C | οφθαλμος 2°] pr ο A | προσωπου] προς με που A **16** διωρυξαν ℵ* (-ξεν ℵ$^{1\,(vid)\,c.a}$) | ημερας]+ δε A | εαυτοις C **17** το πρωι αυτοις C | σκια θανατου] διεσκεδασεν A | ταραχας ℵ$^{c.a}$A | σκιας] σκια ℵ* (-ας ℵ$^{c.a}$) A **18** προσωπου A **19** αγκαλιδα] adnot δραγμα B$^{a\,mg}$ αγκ. γαρ evan in C | ορφανου A **20** ειτ ανεμνησθη] ειτα εμνησθη A | αυτου] αυτων A | η αμαρτια] ημαρτια C | ωσπερ δε] και ωσπερ A | om δε 2° ℵA | α] pr καθ ℵ$^{c.a}$ (mox del) A | inter πας et αδικος ras 1 lit (ο ut vid) C: item inter ξυλω et ανιατω (ν ut vid) **21** δε 1°] γαρ ℵAC | ευ εποιησεν] εποικτειραν A | και] ουδε A | αγυναιον] γυναιον ℵ$^{c.a}$C | ηλεησεν] ηλεασαν A

B [22]θυμῷ δὲ κατέστρεψεν ἀδυνάτους. 22
ἀναστὰς τοιγαροῦν οὐ μὴ πιστεύσῃ κατὰ τῆς ἑαυτοῦ ζωῆς·
[23]μαλακισθεὶς μὴ ἐλπιζέτω ὑγιασθῆναι, ἀλλὰ πεσεῖται νόσῳ. 23
[24]πολλοὺς γὰρ ἐκάκωσεν τὸ ὕψωμα αὐτοῦ· 24
ἐμαράνθη δὲ ὥσπερ μολόχη ἐν καύματι,
ἢ ὥσπερ στάχυς ἀπὸ καλάμης αὐτόματος ἀποπεσών.
[25]εἰ δὲ μή, τίς ἐστιν ὁ φάμενος ψευδῆ με λέγειν, καὶ θήσει εἰς 25
οὐδὲν τὰ ῥήματά μου;

[1]Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης λέγει 1 XXV
[2]Τί γὰρ προοίμιον ἢ φόβος ὁ παρ' αὐτοῦ, 2
ὁ ποιῶν τὴν σύμπασαν ἐν ὑψίστῳ;
[3]μὴ γάρ τις ὑπολάβοι ὅτι ἐστὶν παρέλκυσις πειραταῖς; 3
ἐπὶ τίνας δὲ οὐκ ἐπελεύσεται ἔνεδρα παρ' αὐτοῦ;
[4]πῶς γὰρ ἔσται δίκαιος βροτὸς ἔναντι Κυρίου; 4
ἢ τίς ἂν ἀποκαθαρίσαι αὐτὸν γεννητὸς γυναικός;
[5]ἢ σελήνῃ συντάσσει, καὶ οὐκ ἐπιφαύσκει· 5
ἄστρα δὲ οὐ καθαρὰ ἐναντίον αὐτοῦ.
[6]ἔα δέ, ἄνθρωπος σαπρία καὶ υἱὸς ἀνθρώπου σκώληξ. 6

[1]Ὑπολαβὼν δὲ Ἰὼβ λέγει 1 XXVI
[2]Τίνι πρόσκεισαι ἢ τίνι μέλλεις βοηθεῖν; 2
πότερον οὐχ ᾧ πολλὴ ἰσχὺς καὶ ᾧ βραχίων κραταιός ἐστιν;
[3]τίνι συμβεβούλευσαι; οὐχ ᾧ πᾶσα σοφία; 3
τίνι ἐπακολουθήσεις; οὐχ ᾧ μεγίστη δύναμις;
[4]τίνι ἀνήγγειλας ῥήματα; 4
πνοὴ δὲ τίνος ἐστὶν ἡ ἐξελθοῦσα ἐκ σοῦ;

ℵAC **22** κατεστρεψαν A | αδυνατους] δυνατους sup ras A^a | πιστευσης C | κατα] υπερ A | εαυτου] αυτου A σεαυτου C **23** μαλακισθεις]+δε AC | om μη C | υγιασθηναι] υγιαναι A **24** om δε ℵ* (hab $ℵ^{c.a}$) C | μολοχη] χλοη A | om η ℵ* (hab $ℵ^{1(mg)}$) | αυτοματος αποπεσων απο καλαμης A **25** φαμενος] λεγων $B^{a\,mg}$ | με ψευδη A | θησει] θησις ℵ* (θησι $ℵ^{c.a}$) | ουδεν] ουθεν AC XXV **1** evan in C **2** γαρ]+εστιν A | η φοβος ο παρ αυτου] η φ. παρ αυτου B^{ab}ℵC ο φοβος παρ αυτω A | συνπασαν A | υψιστω]+εστιν A **3** δε]+αυτων A **4** βροτος δικαιος A | βροτος] adnot ανος $B^{a\,mg}$ | om αν C | αυτον] εαυτον $ℵ^{c.a}$AC | γεννητης A* (-τος $A^{a?}$) | γυναικος]+ουδ ανος ου καθαρος| ο λεγων τω ηλιω μη ανατελλειν και ουκ ανατελλει A **5** η σεληνη] σεληνην δε A ει σεληνη ℵC | επιφαυσει A | ου καθαρα] ουκ αμεμπτα A **6** ανθρωπος] ανος (ανος $ℵ^{c.a}$) pr πας A XXVI **1** evan in C **2** ισχυς] pr η A | ω 2°] ο A **3** συμβεβουλευσαι] βεβουλευσαι ℵ* συνβεβ. $ℵ^{c.a}$ nisi fort iam antea A | πασα] pr η A | τινι 2°] pr η $ℵ^{c.c}$AC | επακολουθεις A | μεγιστη] pr η A

5 [5]μὴ γίγαντες μαιωθήσονται ὑποκάτωθεν ὕδατος καὶ τῶν γειτό- B
νων αὐτοῦ;
6 [6]γυμνὸς ὁ ᾅδης ἐνώπιον αὐτοῦ,
καὶ οὐκ ἔστιν περιβόλαιον τῇ ἀπωλείᾳ.
7 [7]ἐκτείνων βορέαν ἐπ' οὐδέν,
κρεμάζων γῆν ἐπὶ οὐδενός.
8 [8]δεσμεύων ὕδωρ ἐν νεφέλαις αὐτοῦ,
καὶ οὐκ ἐρράγη νέφος ὑποκάτω αὐτοῦ·
9 [9]ὁ κρατῶν πρόσωπον θρόνου,
ἐκπετάζων ἐπ' αὐτὸν νέφος αὐτοῦ·
10 [10]πρόσταγμα ἐγύρωσεν ἐπὶ πρόσωπον ὕδατος
μέχρι συντελείας φωτὸς μετὰ σκότους.
11 [11]στύλοι οὐρανοῦ ἐπετάσθησαν, καὶ ἐξέστησαν ἀπὸ τῆς ἐπιτιμή-
σεως αὐτοῦ.
12 [12]ἰσχύι κατέπαυσεν τὴν θάλασσαν,
ἐπιστήμῃ δὲ ἔστρωται τὸ κῆτος.
13 [13]κλεῖθρα δὲ οὐρανοῦ δεδοίκασιν αὐτόν·
προστάγματι δὲ ἐθανάτωσεν δράκοντα ἀποστάτην.
14 [14]ἰδοὺ ταῦτα μέρη ὁδοῦ αὐτοῦ,
καὶ ἐπὶ ἰκμάδα λόγου ἀκουσόμεθα ἐν αὐτῷ·
σθένος δὲ βροντῆς αὐτοῦ, τίς οἶδεν ὁπότε ποιήσει;

XXVII 1 [1]Ετι δὲ προσθεὶς Ἰὼβ εἶπεν τῷ προοιμίῳ
2 [2]Ζῇ ὁ θεὸς ὃς οὕτω με κέκρικεν,
καὶ ὁ παντοκράτωρ ὁ πικράνας μου τὴν ψυχήν,
3 [3]εἰ μὴν ἔτι τῆς πνοῆς μου ἐνούσης,
πνεῦμα δὲ θεῖον τὸ περιόν μοι ἐν ῥινί,

5 γιγαντες] γειτονες ℵ* (γιγ. ℵc.c) | μαιωθησονται (μεωθ. ℵc.cAC)] μαται- ℵAC
ωθησονται ℵ* | των γειτονων] om των A τ. γ. evan in C **6** τη απωλεια
(-λια ℵc.a A απολ... C)] της πτωχιας ℵ* τη πτωχια ℵ1 **7** βορεα BA |
κρεμαζων] κρεμνων A | ουδενος] μηδενος C **8** υποκατωθεν A **9** om
ο κρατων προσ. θρονου ℵ* (hab ℵc.c nisi iam antea) | εκπεταζων] σκεπων A
10 συντελιας ℵC **11** επετασθησαν] επεσταθησαν A **12** ισχυι]+μεν
A | εστρωται] εστρωσαι ℵc.a (postea restit -ται) εστρωσεν AC (-σε) **13** δε
1ο] τε A | εθανατωσε ℵ **14** οδου] λογου ℵ* (οδ. ℵc.a) | σθενος] adnot
δυναμις· ισχυς Ba mg | οποτε] ποτε ℵ* (οπ. ℵc.c) XXVII **1** τω προοιμιω
ειπεν A **2** ο θς] ο κς ℵ* κ̄ς̄ ℵc.cAC | ουτως A | κεκρινεν C | πικρα-
νας] πικρωσας A **3** ει] η ℵC | ετι] ειτι C* | ενουσης]+εν εμοι A | το
περιον μοι] ετι περιον A | εν ρινι] εν ρισιν ℵc.a C εν ρημασιν μου (sup ras et
in mg) Aa

Β [4]μὴ λαλήσειν τὰ χείλη μου ἄνομα, 4
οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα.
[5]μή μοι εἴη δικαίους ὑμᾶς ἀποφῆναι ἕως ἂν ἀποθάνω, 5
οὐ γὰρ ἀπαλλάξω μου τὴν ἀκακίαν·
[6]δικαιοσύνῃ δὲ προσέχων οὐ μὴ προῶμαι, 6
οὐ γὰρ σύνοιδα ἐμαυτῷ ἄτοπα πράξας.
[7]οὐ μὴν δὲ ἀλλὰ εἴησαν οἱ ἐχθροί μου ὥσπερ ἡ καταστροφὴ 7
τῶν ἀσεβῶν,
καὶ οἱ ἐπ' ἐμὲ ἐπανιστανόμενοι ὥσπερ ἡ ἀπώλεια τῶν
παρανόμων.
[8]καὶ τίς γάρ ἐστιν ἐλπὶς ἀσεβεῖ ὅτι ἐπέχει; 8
πεποιθὼς ἐπὶ κύριον ἆρα σωθήσεται;
[9]ἢ τὴν δέησιν αὐτοῦ εἰσακούσεται ὁ θεός; 9
ἢ ἐπελθούσης αὐτῷ ἀνάγκης
[10]μὴ ἔχει τινὰ παρρησίαν ἔναντι αὐτοῦ; 10
ἢ ὡς ἐπικαλεσαμένου αὐτοῦ εἰσακούσεται αὐτοῦ;
[11]ἀλλὰ δὴ ἀναγγελῶ ὑμῖν τί ἐστιν ἐν χειρὶ Κυρίου, 11
ἃ ἐστιν παρὰ Παντοκράτορι οὐ ψεύσομαι.
[12]ἰδοὺ πάντες οἴδατε ὅτι κενὰ κενοῖς ἐπιβάλλετε. 12
[13]αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ Κυρίου, 13
κτῆμα δὲ δυναστῶν ἐλεύσεται παρὰ Παντοκράτορος ἐπ' αὐ-
τούς.
[14]ἐὰν δὲ πολλοὶ γένωνται οἱ υἱοὶ αὐτῶν, εἰς σφαγὴν ἔσονται· 14
ἐὰν δὲ καὶ ἀνδρωθῶσιν, προσαιτήσουσιν·

ℵAC **4** μη λαλησειν] ου μη ληλησει A | τα χειλη μου] το στομα μου A μου τα χειλη C | ανομα] αδικα A | αδικα] ανομα A **5** μου την κακιαν ℵ την ακακιαν μου AC (ακικ. C* ακακ. C[1(vid)]) **6** προεχων A | μη] μην C | ατοπον A **7** αλλα] αλλ ℵA | επ εμε επανιστανομενοι (επανισταμενοι B[b])] επανισταν. μοι A | απωλια A | παρανομων] ανομων ℵ **8** και] ναι μην A | εστιν] +ετι A | ασεβει ελπις ℵ | πεποιθως]+δε ℵ[c.a] pr μη A | αρα] pr ει A **9** εισακουσεται] ακουση A | ο θεος] ο κς A κς C | η επελθουσης] επελθ. δε A **10** εχειν ℵ (εχῖ) C | τινα] τι ℵ[*] (τινα ℵ[c.a]) om A | εναντι] εναντιον AC | ως] πως ℵ[c.a] (mox restit ως) A | αυτου 2°] αυτον ℵ[c.a] **11** αλλα] α ℵ* (αλλα ℵ[c.c]) | αναγγελλω ℵ | Παντοκρατορι] pr τω A | ψευδομαι C **12** ιδου] +δη ℵAC | παντες (παν C)]+υμεις A | οιδατε] εορακατε A | οτι] δια τι δε A | επιβαλλετε] επιβαλλεται ℵC επιβαλλεσθε A **13** κτημα] οργη ℵ[c.a] (mox restit κτ.) A | ελευσεται] εξελευσετε A επελευσεται C | αυτους] αυτου C[vid] **14** om δε 1° A | αυτων] αυτου ℵAC | εισφαγην C | om και C | ανδροθωσιν C | προσαιτησουσιν (-τησωσιν A -τουσιν C)] + οι δε περιοντες αυτου εν θανατω τελευτησουσιν B[ab mg] ℵ + οι δε π. αυτων κακω θανατω τελευτησωσιν A + οι δε π. αυτου θανατω τελευτησουσιν C

15 [15]χήρας δὲ αὐτῶν οὐθεὶς ἐλεήσει. B
16 [16]ἐὰν συναγάγῃ ὥσπερ γῆν ἀργύριον,
ἴσα δὲ πηλῷ ἑτοιμάσῃ χρυσίον,
17 [17]ταῦτα πάντα δίκαιοι περιποιήσονται,
τὰ δὲ χρήματα αὐτοῦ ἀληθινοὶ καθέξουσιν.
18 [18]ἀπέβη δὲ ὁ οἶκος αὐτοῦ ὥσπερ σῆτες καὶ ὥσπερ ἀράχνη.
19 [19]πλούσιος κοιμηθεὶς καὶ οὐ προσθήσει,
ὀφθαλμοὺς αὐτοῦ διήνοιξεν καὶ οὐκ ἔστιν.
20 [20]συνήντησαν αὐτῷ ὥσπερ ὕδωρ αἱ ὀδύναι,
νυκτὶ δὲ ὑφείλατο αὐτὸν γνόφος·
21 [21]ἀναλήμψεται δὲ αὐτὸν καύσων καὶ ἀπελεύσεται,
καὶ λικμήσει αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ.
22 [22]καὶ ἐπιρίψει αὐτὸν καὶ οὐ φείσεται·
ἐκ χειρὸς αὐτοῦ φυγῇ φεύξεται.
23 [23]κροτήσει ἐπ᾽ αὐτοῦ χεῖρας αὐτῶν,
καὶ συριεῖ αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ.

XXVIII 1 [1]Ἔστιν γὰρ ἀργυρίῳ τόπος ὅθεν γίνεται,
τόπος δὲ χρυσίου ὅθεν διηθεῖται·
2 [2]σίδηρος μὲν γὰρ ἐκ γῆς γίνεται,
χαλκὸς δὲ ἴσα λίθῳ λατομεῖται.
3 [3]τάξιν ἔθετο σκότει,
καὶ πᾶν πέρας αὐτὸς ἐξακριβάζεται·
λίθος σκοτίας καὶ σκιὰ θανάτου,
4 [4]διακοπὴ χειμάρρου ἀπὸ κονίας·
οἱ δὲ ἐπιλανθανόμενοι ὁδὸν δικαίαν ἠσθένησαν ἐκ βροτῶν.
5 [5]γῆ, ἐξ αὐτῆς ἐξελεύσεται ἄρτος,
ὑποκάτω αὐτῆς ἐστράφη ὡσεὶ πῦρ.
6 [6]τόπος σαπφείρου οἱ λίθοι αὐτῆς,

15 χηρας δε] και χ. A χ. τε C | ουθεις] ουδεις A ου.... C **16** χρυσιον ℵAC ετοιμασῃ A **17** ταυτα] + δε ℵ **18** σητος A | αραχνη (-ναι ℵ)] + ο πλουτος αυτου A **19** κοιμηθεις] κοιμηθησεται ℵ$^{c.a}$C | om και 1° A | ου] + μη ℵ | υφθαλμους (-μος A)] + δε ℵ **20** συνηντησαν] κοιμηθεντι συναντησονται A | υδωρ] σητες ℵ* (υδ. ℵ$^{c.c}$) | αι οδυναι] om αι A | υφιλατο ℵA | γνοφος] λαιλαψ ℵ **21** αναλημψεται (αναλαμψ. C) δε] και αναλημψ. ℵ om δε AC **22** επιριψει] απορειψει A | αυτον] pr επ ℵ$^{c.a}$C | φεισεται] γνωσεται C **23** αυτου 1°] αυτους ℵ* αυτον ℵ$^{c.a}$ (mox revoc -τους) A | αυτων] αυτου AC XXVIII **1** αργυριου ℵ* (-ριω ℵ$^{c.c}$) | χρυσιω ℵ$^{c.c}$AC **3** παν] καιρων A | αυτος] αυτους A | σκοτιας] σκοτια ℵAC **4** επιλαθανομενοι C | οδον δικαιαν] οδους δικαιοσυνης A **5** ωσει] ως A **6** οι λιθοι] pr και A

B καὶ χῶμα χρυσίον αὐτῷ.
7 τρίβος, οὐκ ἔγνω αὐτὴν πετεινόν, 7
καὶ οὐ παρέβλεψεν αὐτὴν ὀφθαλμὸς γυπός·
8 καὶ οὐκ ἐπάτησαν αὐτὸν υἱοὶ ἀλαζόνων, 8
οὐ παρῆλθεν ἐπ᾽ αὐτῆς λέων.
9 ἐν ἀκροτόμῳ ἐξέτεινεν χεῖρα αὐτοῦ, 9
κατέστρεψεν δὲ ἐκ ῥιζῶν ὄρη·
10 δίνας δὲ ποταμῶν ἔρρηξεν, 10
πᾶν δὲ ἔντιμον ἴδεν μου ὁ ὀφθαλμός·
11 βάθη δὲ ποταμῶν ἀνεκάλυψεν, 11
ἔδειξεν δὲ ἑαυτοῦ δύναμιν εἰς φῶς.
12 ἡ δὲ σοφία πόθεν εὑρέθη; 12
ποῖος δὲ τόπος ἐστὶν τῆς ἐπιστήμης;
13 οὐκ οἶδεν βροτὸς ὁδὸν αὐτῆς, 13
οὐδὲ μὴν εὑρέθη ἐν ἀνθρώποις.
14 ἄβυσσος εἶπεν Οὐκ ἔνεστιν ἐν ἐμοί· 14
καὶ ἡ θάλασσα εἶπεν Οὐκ ἔνεστιν μετ᾽ ἐμοῦ.
15 οὐ δώσει συνκλεισμὸν ἀντ᾽ αὐτῆς, 15
καὶ οὐ σταθήσεται αὐτῇ ἀργύριον ἀντάλλαγμα αὐτῆς·
16 καὶ οὐ συνβασταχθήσεται χρυσίῳ Σωφείρ, 16
ἐν ὄνυχι τιμίῳ καὶ σαπφείρῳ·
17 οὐκ ἰσωθήσεται αὐτῇ χρυσίον καὶ ὕαλος, 17
καὶ τὸ ἄλλαγμα αὐτῆς σκεύη χρυσᾶ.
18 μετέωρα καὶ γαβεὶς οὐ μνησθήσεται, 18
καὶ ἕλκυσον σοφίαν ὑπὲρ τὰ ἐσώτατα·
19 οὐκ ἰσωθήσεται αὐτῇ τοπάζιον Αἰθιοπίας, 19
χρυσίῳ καθαρῷ οὐ συνβασταχθήσεται.

ℵAC **6** χρυσιον] χρυσιουν ℵ* (-σιον ℵ¹) χρυσαιον ℵ$^{c.a}$ (mox revoc -σιον) | αυτω] αυτη ℵ$^{c.a}$ (restit αυτω) **7** τριβος c praec coniung vid ℵ | πετεινῶ] A **8** om και ℵ$^{c.a}$AC | ουκ επατησαν] ου κατεπατησαν ℵ | αυτον] αυτην ℵAC | παρηλθεν] γαρ ηλθεν A **10** δινας (δεινας ℵA θινας C)] adnot τα κοιλωματα των υδατων· τας ιλιγγας B$^{a\ mg\ inf}$ | εντιμον] τιμιον AC | ιδεν (ειδ. B^{ab} ℵ)] ιδειν C | μου] αυτου ℵ$^{c.a}$A **11** βαθη δε] και βαθη A | εαυτου] αυτου A αυτων C **12** της επιστημης] om της A **13** οδον] pr την C | μην] μη ℵ$^{c.a}$AC **14** ενεστιν bis] εστιν ℵAC | η θαλασσα] om η ℵAC **15** συγκλεισμον B^{b}C | om αυτη B^{ab}ℵAC | αυτης 2°] pr αντ ℵ* (improb ℵ$^{c.a}$) **16** συμβασταχθ. B$^{?}$ | Σωφειρ (-φιρ ℵ)] Ωφειρ AC **17** ουκ] pr και A | ισοθησεται B | αλλαγμα] ανταλλαγμα C | χρυσα] ρ sup ras A^{a} **18** γαβειs ου] γαβεις sup ras A^{a} εις ου sup ras C^{a} | ου]+μη ℵ* (improb ℵ$^{c.a}$) | om και 2° ℵ* (hab ℵ$^{c.a}$) | εσωτατα] εσωτα A **19** συμβασταχθ. B$^{?}$A

20 [20]ἡ δὲ σοφία πόθεν εὑρέθη; ℣
ποῖος δὲ τόπος ἐστὶν τῆς συνέσεως;
21 [21]λέληθεν πάντα ἄνθρωπον,
καὶ ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ ἐκρύβη.
22 [22]ἡ ἀπώλεια καὶ ὁ θάνατος εἶπαν
Ἀκηκόαμεν δὲ αὐτῆς τὸ κλέος.
23 [23]ὁ θεὸς εὖ συνέστησεν αὐτῆς τὴν ὁδόν,
αὐτὸς δὲ οἶδεν τὸν τόπον αὐτῆς.
24 [24]αὐτὸς γὰρ τὴν ὑπ᾽ οὐρανὸν πᾶσαν ἐφορᾷ,
25 εἰδὼς τὰ ἐν τῇ γῇ πάντα [25]ἐποίησεν,
26 ἀνέμων σταθμόν, ὕδατος μέτρα, [26]ὅτε ἐποίησεν·
οὕτως ἰδὼν ἠρίθμησεν,
καὶ ὁδὸν ἐν τινάγματι φωνάς.
27 [27]τότε εἶδεν αὐτὴν καὶ ἐξηγήσατο αὐτῇ,
ἑτοιμάσας ἐξιχνίασεν·
28 [28]εἶπεν δὲ ἀνθρώπῳ Ἰδοὺ ἡ θεοσέβειά ἐστιν σοφία,
τὸ δὲ ἀπέχεσθαι ἀπὸ κακῶν ἐστὶν ἐπιστήμη.

XXIX 1 [1]Ἔτι δὲ προσθεὶς Ἰὼβ εἶπεν τῷ προοιμίῳ
2 [2]Τίς ἄν με θείη κατὰ μῆνα ἔμπροσθεν ἡμερῶν ὧν με ὁ θεὸς
ἐφύλαξεν;
3 [3]ὡς ὅτε ηὔγει ὁ λύχνος αὐτοῦ ὑπὲρ κεφαλῆς μου,
ὅτε τῷ φωτὶ αὐτοῦ ἐπορευόμην ἐν σκότει·
4 [4]ὅτε ἤμην ἐπιβρίθων ὁδούς,
ὅτε ὁ θεὸς ἐπισκοπὴν ἐποιεῖτο τοῦ οἴκου μου·
5 [5]ὅτε ἤμην ὑλώδης λίαν, κύκλῳ δέ μου οἱ παῖδες·
6 [6]ὅτε ἐχέοντο αἱ ὁδοί μου βουτύρῳ,

20 δε 1°] δη A | εστιν τοπος A | της συν.] om της A **21** λεληθε C | ℵAC εκρυβη] pr ουκ A **22** απωλια ℵA | ειπαν] ειπεν AC | om δε ℵ$^{c.a}$ (postea restit) A **23** θεος] κ̄ς ℵ$^{c.a, c.c}$AC | δε] γαρ A **24** υπ] επ C | ιδως A | παντα] + α ℵA **25** εποιησεν] + εποιησεν δε| C* (ras επ. δε C$^{a\ vid}$) | ανεμων] pr |εποιησεν δε AC | υδατος] + τε ℵ$^{c.a}$C και υδατων A **26** οτε εποιησεν c seqq coniung A | οτε] α C* om C^{a} | φωνας] φωνης C$^{a\ vid}$ **27** ειδεν] ιδων AC^{a} (ιδεν C$^{*\ fort}$) | om και C | αυτη] αυτην ℵAC **28** θεοσεβια ℵAC | επεχεσθαι C XXIX **1** ετι δε...προοιμιω] προσθεις δε ετι τω προοιμ. I. λεγει A evan in C **2** κατα μηνα] pr μηνα A |εμπροσθεν] pr ημερων των A | με ο θεος εφυλαξεν] ο θς εφυλαττεν με A **3** ο λυχνος] om ο A | τω φωτι] pr εν A **4** επιβριθων] επιτριβων ℵ* (επιβριθ. ℵ$^{c.a}$) | οδους] οδοις ℵ$^{c.a}$AC | θεος] κ̄ς ℵ$^{c.a}$AC **6** μου αι οδοι ℵAC | βουτυρων C

B τὰ δὲ ὄρη μου ἐχέοντο γάλακτι·
7 ὅτε ἐξεπορευόμην ὄρθριος ἐν πόλει, 7
ἐν δὲ πλατείαις ἐτίθετό μου ὁ δίφρος.
8 ἰδόντες με νεανίσκοι ἐκρύβησαν, 8
πρεσβῦται δὲ πάντες ἔστησαν·
9 ἄδροὶ δὲ ἐπαύσαντο λαλοῦντες, δάκτυλον ἐπιθέντες ἐπὶ στό- 9
ματι.
10 οἱ δὲ ἀκούσαντες ἐμακάρισάν με, 10
καὶ γλῶσσα αὐτῶν τῷ λάρυγγι αὐτῶν ἐκολλήθη·
11 ὅτι οὖς ἤκουσεν καὶ ἐμακάρισέν με, 11
ὀφθαλμὸς δὲ ἰδών με ἐξέκλινεν.
12 διέσωσα γὰρ πτωχὸν ἐκ χειρὸς δυνάστου, 12
καὶ ὀρφανῷ ᾧ οὐκ ἦν βοηθὸς ἐβοήθησα·
13 εὐλογία ἀπολλυμένου ἐπ' ἐμὲ ἔλθοι, 13
στόμα δὲ χήρας με εὐλόγησεν.
14 δικαιοσύνην δὲ ἐνδεδύκειν, 14
ἠμφιασάμην δὲ κρίμα ἴσα διπλοΐδι.
15 ὀφθαλμὸς ἤμην τυφλῶν, 15
ποὺς δὲ χωλῶν.
16 ἐγὼ ἤμην πατὴρ ἀδυνάτων, 16
δίκην δὲ ἣν οὐκ ᾔδειν ἐξιχνίασα·
17 συνέτριψα δὲ μύλας ἀδίκων· 17
ἐκ μέσου τῶν ὀδόντων αὐτῶν ἅρπαγμα ἐξήρπασα.
18 εἶπα δέ Ἡ ἡλικία μου γηράσει· 18
ὥσπερ στέλεχος φοίνικος, πολὺν χρόνον βιώσω·
19 ἡ ῥίζα διήνοικται ἐπὶ ὕδατος, 19
καὶ δρόσος αὐλισθήσεται ἐν τῷ θερισμῷ μου·
20 ἡ δόξα μου καινὴ μετ' ἐμοῦ, 20
καὶ τὸ τόξον μου ἐν χειρὶ αὐτοῦ πορεύεται.

ℵAC **6** εχεοντο 2°] εχειτο A **8** εκρυβησαν] + εαυτοις A | εστησαν] επανεστησαν A **9** αδοι A* (αδρ. A¹) | επιθεντες] επιτιθεντες A | στοματι] + αυτων A **10** ακουσαντες] + περι εμου A **11** ους] ωτιον C | με ιδων A **12** διεσωσας ℵ* (-σα ℵ 1 c.a) | πτωχον] ο sup ras A$^{a?}$ | ουκ ην] ουχ υπηρχεν A **13** με ευλογησεν] με ευλογησαι ℵ*txt [-σαν ℵ*comm] (-σεν ℵ$^{c.a}$) ηυλογησεν με A με ηυλ. C **14** δικαιοσυνη C | δε 1°] γαρ C | ενδεδυκειν] εδεδοικιν ℵ*A (-κειν) ενδεδοικιν ℵ$^{c.a}$ **17** εκ] + δε ℵAC | μεσων ℵC | των οδοντων] om των A | εξηρπασα] εξεσπασα ℵ$^{c.c}$AC **18** ειπα] ειπον A | δε] om A evan in C | η ηλικια] om η ℵAC^{vid} | ωσπερ στελ. φοιν. c praec coniung A | πολυν] πολλυν δε A **19** ριζα] + μου A | εν] επι A **20** καινη] κενη BℵA | μου 2°] αυτου A | πορευσεται AC

21 [21]ἐμοῦ ἀκούσαντες προσέσχον, B
ἐσιώπησαν δὲ ἐπὶ τῇ ἐμῇ βουλῇ·
22 [22]ἐπὶ τῷ ἐμῷ ῥήματι οὐ προσέθεντο,
περιχαρεῖς δὲ ἐγίνοντο ὁπόταν αὐτοῖς ἐλάλουν·
23 [23]ὥσπερ γῆ διψῶσα προσδεχομένη τὸν ὑετόν, οὕτως οὗτοι τὴν
ἐμὴν λαλιάν.
24 [24]ἐὰν γελάσω πρὸς αὐτούς, οὐ μὴ πιστεύσωσιν·
καὶ φῶς τοῦ προσώπου μου οὐκ ἀπέπιπτεν.
25 [25]ἐξελεξάμην ὁδὸν αὐτῶν καὶ ἐκάθισα ἄρχων,
καὶ κατεσκήνουν ὡσεὶ βασιλεὺς ἐν μονοζώνοις, ὃν τρόπον
παθεινοὺς παρακαλῶν.
XXX 1 [1]νυνὶ δὲ κατεγέλασάν μου·
ἐλάχιστοι νῦν νουθετοῦσίν με ἐν μέρει,¶ ¶ C
ὧν ἐξουδένουν τοὺς πατέρας αὐτῶν,
οὓς οὐχ ἡγησάμην ἀξίους κυνῶν τῶν ἐμῶν νομάδων.
2 [2]καί γε ἰσχὺς χειρῶν αὐτῶν ἵνα τί μοι;
ἐπ᾽ αὐτοὺς ἀπώλετο συντέλεια.
3 [3]ἐν ἐνδείᾳ καὶ λιμῷ ἄγονος,
οἱ φεύγοντες ἄνυδρον ἐχθὲς συνοχὴν καὶ ταλαιπωρίαν·
4 [4]οἱ περικυκλοῦντες ἅλιμα ἐπὶ ἠχοῦντι,
οἵτινες ἅλιμα ἦν αὐτῶν τὰ σῖτα·
ἄτιμοι δὲ καὶ πεφαυλισμένοι, ἐνδεεῖς παντὸς ἀγαθοῦ.
5 6 [5]ἐπανέστησάν μοι κλέπται, [6]ὧν οἱ οἶκοι αὐτῶν ἦσαν τρῶγλαι
πετρῶν·
7 [7]ἀνὰ μέσον εὐήχων βοήσονται
οἱ ὑπὸ φρύγανα ἄγρια διῃτῶντο·
8 [8]ἀφρόνων υἱοὶ καὶ ἀτίμων ὄνομα,

21 εμου ακουσαντες] πρεσβυτεροι ακ. μου A εμου ακ. πρ.σ..τ.... C (πρεσβ. ℵAC sup ras C[a]) | εμη] εμου C **22** επι]+δε AC | περιχαρεις δε] και περιχ. A | οποταν] οποτε A **23** τον υετον] om τον A | ουτοι ουτως C | λαλιαν] +προσδεχοντο A **24** εαν γελασω] ει εγελων A | ου μη πιστευσωσιν] ουκ επιστευε| A[vid] **25** βαλευς ℵ* (βασιλευς ℵ[c.c]) | παθεινους (παθιν. ℵ* ποθιν. ℵ[c.a] παθην. C)] συνπαθεις A | παρακαλων B*[b]ℵ* (pr κ ℵ* improb ℵ[1]) A] παρεκαλουν B[ab]ℵ[c.a] επαρεκαλουν C XXX **1** νυνι δε] νυν ϋδε ℵ[vid] (item 9) νυν δε C[vid] | ελαχιστοι c praec coniung AC | νυν νουθετουσ rescr A[1] | εξουδενων ℵA | αξιους]+ειναι A | κυνων] κοινων A **2** συντελια ℵ **3** λιμων A | χθες B[b] **4** αλιμα 1°] αλιμμα ℵA | οιτινες] ων A | αλιμα 2°] αλειμα ℵ* αλειμμα ℵ[c.a] αλιμμα A | δε] τε A | om παντος A | αγαθου]+οι και ριζας ξυλων εμασωντο υπο λιμου (λειμ. ℵ) μεγαλου B[ab mg inf]ℵA **6** ησαν τρωγλαι] om ησαν ℵ* (hab ℵ[c.c]) ως τρ. ℵ[c.a] | πετρων] pr των A

B καὶ κλέος ἐσβεσμένον ἀπὸ γῆς.
[9]νυνὶ δὲ κιθάρα ἐγώ εἰμι αὐτῶν, καὶ ἐμὲ θρύλημα ἔχουσιν· 9
[10]ἐβδελύξαντο δέ με ἀποστάντες μακράν, 10
ἀπὸ δὲ προσώπου μου οὐκ ἐφείσαντο πτύελον.
[11]ἀνοίξας γὰρ φαρέτραν αὐτοῦ ἐκάκωσέν με, 11
καὶ χαλινὸν τοῦ προσώπου μου ἐξαπέστειλεν.
[12]ἐπὶ δεξιῶν βλαστοῦ ἐπανέστησαν, 12
πόδα αὐτῶν ἐξέτειναν καὶ ὠδοποίησαν ἐπ' ἐμὲ τρίβους ἀπωλείας αὐτῶν.
[13]ἐξετρίβησαν τρίβοι μου, 13
ἐξέδυσαν γάρ μου τὴν στολήν·
[14]βέλεσιν αὐτοῦ κατηκόντισέν με, 14
κέχρηταί μοι ὡς βούλεται· ἐν ὀδύναις πέφυρμαι.
[15]ἐπιστρέφονταί μου αἱ ὀδύναι, 15
ᾤχετό μου ἡ ἐλπὶς ὥσπερ πνεῦμα,
καὶ ὥσπερ νέφος ἡ σωτηρία μου.
[16]καὶ νῦν ἐπ' ἐμὲ ἐκχυθήσεται ἡ ψυχή μου, 16
ἔχουσιν δέ με ἡμέραι ὀδυνῶν·
[17]νυκτὶ δέ μου τὰ ὀστᾶ συγκέχυται, 17
τὰ δὲ νεῦρά μου διαλέλυται.
[18]ἐν πολλῇ ἰσχύι ἐπελάβετό μου τῆς στολῆς, 18
ὥσπερ τὸ περιστόμιον τοῦ χιτῶνός μου περιέσχεν με.
[19]ἤγησαι δέ με ἴσα πηλῷ, 19
ἐν γῇ καὶ σποδῷ μου ἡ μερίς·
[20]κέκραγα δὲ πρὸς σὲ καὶ οὐκ ἀκούεις μου, 20
ἔστησαν δὲ καὶ κατενόησάν με·
[21]ἐπέβησαν δέ μοι ἀνελεημόνως, 21
χειρὶ κραταιᾷ με ἐμαστίγωσας·

ℵA **8** εσβεσμενον ℵ* (-νον ℵc.a) | απο] επι A **9** αυτων εγω ειμι A **10** om δε 1° A | om απο δε προσωπου...πτυελον ℵ* (hab απο δε προσ. μου ουκ εφισαντο πτυελο ℵc.a [sic: πτυελον ℵc.c]) | πτυελου A **11** γαρ]+οδε A | τω προσωπω ℵ | εξαπεστειλαν Bab ℵ* (-λεν ℵc.a) **12** βλαστου] pr του A | αυτων 1°] αυτου ℵ | ωδοποιησεν ℵ1 | απωλιας A **13** εξεδυσεν ℵ | μου την στολην] με την στ. μου A **14** βελεσιν] βελος γαρ ℵ* (βελεσιν ℵc.a) | κεχρηται]+δε A | βουλεται] εβουλετο A **15** επιστρεφονται]+δε ℵc.a A | μου 3°]+παρηλθεν A **16** εκχυθησεται] εκλυθησεται ℵc.a (postea restit εκχυθ.) **17** νυκτες A | συγκεχυται (συνκεχ. ℵ)] συνεθλασαν A | τα δε νευρα] και τα νευρα A **18** om εν A **19** ηγηται A | om δε ℵ* (hab ℵc.a) | η μερις μου A **20** ακουεις] εισακουση ℵ εισακουεις A | om δε 2° A | με] μοι A **21** επεβησαν] επεβης ℵ απεβησαν A | ανελεημονες A | χειρι] pr ως A

22 [22]ἔταξας δέ με ἐν ὀδύναις, B
καὶ ἀπέρριψάς με ἀπὸ σωτηρίας.
23 [23]οἶδα γὰρ ὅτι θάνατός με ἐκτρίψει·
οἰκία γὰρ παντὶ θνητῷ γῆ.
24 [24]εἰ γὰρ ὄφελον δυναίμην ἐμαυτὸν χειρώσασθαι,
ἢ δεηθείς γε ἑτέρου, καὶ ποιήσει μοι τοῦτο.
25 [25]ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα,
ἐστέναξα δὲ ἰδὼν ἄνδρα ἐν ἀνάγκαις.
26 [26]ἐγὼ δὲ ἐπέχων ἀγαθοῖς, ἰδοὺ συνήντησάν μοι μᾶλλον ἡμέραι
κακῶν.
27 [27]ἡ κοιλία μου ἐξέζεσεν καὶ οὐ σιωπήσεται,
προέφθασάν με ἡμέραι πτωχίας.
28 [28]στένων πεπόρευμαι ἄνευ φιμοῦ,
ἔστηκα δὲ ἐν ἐκκλησίᾳ κεκραγώς.
29 [29]ἀδελφὸς γέγονα σειρήνων,
ἑταῖρος δὲ στρουθῶν.
30 [30]τὸ δὲ δέρμα μου ἐσκότωται μεγάλως,
τὰ δὲ ὀστᾶ μου ἀπὸ καύματος.
31 [31]ἀπέβη δὲ εἰς πάθος μου ἡ κιθάρα,
ὁ δὲ ψαλμός μου εἰς κλαυθμὸν ἐμοί.
XXXI 1 [1]διαθήκην ἐθέμην τοῖς ὀφθαλμοῖς μου,
καὶ οὐ συνήσω ἐπὶ παρθένον.
2 [2]καὶ ἔτι ἐμέρισεν ὁ θεὸς ἄνωθεν,
καὶ κληρονομία ἱκανοῦ ἐξ ὑψίστων.
3 [3]οὐαί, ἀπώλεια τῷ ἀδίκῳ, καὶ ἀπαλλοτρίωσις τοῖς ποιοῦσιν
ἀνομίαν.
4 [4]οὐχὶ αὐτὸς ὄψεται ὁδόν μου,
καὶ πάντα τὰ διαβήματά μου ἐξαριθμηθήσεται;

22 απεριψας A **23** γη παντι θνητω A | παντι] πανθ incep ℵ* (παντι ℵA θν. ℵ[1]) **24** δεηθεις] δεηθηναι A | om γε ℵ* (hab ℵ[c.a]) A **25** εστεναξα δε] και εστεν. A | αναγκη A **26** εγω δε επεχων] εγω δε επεσχον ℵ[c.a] (mox restit επεχ.) και επιχον εγω A | αγαθοις] pr εν A | ιδου] pr και A | συνηντησεν A **27** προεφθασεν]+δε A | πτωχειας B[ab] **29** εταιρος] ετερος ℵ **30** om δε 1° ℵ | εσκοτωται] μεμελανωται A | καυματος]+συνεφρυγησαν ℵ[c.c]+συνεφρυγη A **31** om δε 1° A | παθος] πενθος A | η κιθαρα μου A XXXI **1** οφθαλμοις] αδελφοις ℵ* (οφθ. ℵ[c.c]) | παρθενων A **2** om ετι ℵA | εμερισεν] διεμερισεν ℵ* τι εμερ. ℵ[c.a] ετι εμερ. ℵ[c.c] επεμερισεν A | ανωθεν] απανωθεν ℵ[c.a] | εξ υψιστων B ℵ[c.a]] εν υψιστω ℵ* εξ υψιστου A **3** ουαι]+και A | απωλια ℵA | απαλλοτριωσεις A **4** εξαριθμησεται B[b]

B [5]εἰ δὲ ἤμην πεπορευμένος μετὰ γελοιαστῶν, 5
εἰ δὲ καὶ ἐσπούδασεν ὁ πούς μου εἰς δόλον·
§ C [6]ἔσταμαι γὰρ ἐν ζυγῷ δικαίῳ, 6
οἶδεν δὲ ὁ κύριος τὴν ἀκακίαν μου·
[7]εἰ ἐξέκλινεν ὁ πούς μου ἐκ τῆς ὁδοῦ, 7
εἰ δὲ καὶ τῷ ὀφθαλμῷ ἐπηκολούθησεν ἡ καρδία μου,
εἰ δὲ καὶ ταῖς χερσίν μου ἥψάμην δώρων·
[8]σπείραιμι ἄρα καὶ ἄλλοι φάγοισαν, 8
ἄριζος δὲ γενοίμην ἐπὶ γῆς.
[9]εἰ ἐξηκολούθησεν ἡ καρδία μου γυναικὶ ἀνδρὸς ἑτέρου, 9
εἰ καὶ ἐνκάθετος ἐγενόμην ἐπὶ θύραις αὐτῆς·
[10]ἀρέσαι ἄρα καὶ ἡ γυνή μου ἑτέρῳ, 10
τὰ δὲ νήπιά μου ταπεινωθείη.
[11]θυμὸς γὰρ ὀργῆς ἀκατάσχετος, τὸ μιᾶναι ἀνδρὸς γυναῖκα· 11
[12]πῦρ γάρ ἐστιν καιόμενον ἐπὶ πάντων τῶν μερῶν· 12
οὗ δ' ἂν ἐπέλθῃ, ἐκ ῥιζῶν ἀπώλεσεν.
[13]εἰ δὲ καὶ ἐφαύλισα κρίμα θεράποντός μου ἢ θεραπαίνης, κρινο- 13
μένων αὐτῶν πρὸς μέ·
[14]τί γὰρ ποιήσω ἐὰν ἔτασίν μου ποιῆται ὁ κύριος; 14
ἐὰν δὲ καὶ ἐπισκοπήν, τίνα ἀπόκρισιν ποιήσομαι;
[15]πότερον οὐχ ὡς καὶ ἐγὼ ἐγενόμην ἐν γαστρί, καὶ ἐκεῖνοι 15
γεγόνασιν;
γεγόναμεν δὲ ἐν τῇ αὐτῇ κοιλίᾳ.
[16]ἀδύνατοι δὲ χρείαν ἦν ποτ' εἶχον οὐκ ἀπέτυχον, 16
χήρας δὲ τὸν ὀφθαλμὸν οὐκ ἐξέτηξα·
[17]εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος, καὶ οὐχὶ ὀρφανῷ 17
μετέδωκα·
[18]ὅτι ἐκ νεότητός μου ἐξέτρεφον ὡς πατήρ, 18
καὶ ἐκ γαστρὸς μητρός μου ὡδήγησα·
[19]εἰ δὲ καὶ ὑπερεῖδον γυμνὸν ἀπολλύμενον καὶ οὐκ ἠμφίασα αὐτόν· 19

ℵAC **5** δε 1°] γε A | εις δολω̃ ο πους μου A **6** εσταμαι] ισταμαι ℵ εισταμε (?εισται με) A | δε] om A γαρ C **7** εκ] απο A | οδου] + αυτου ℵ$^{c.a}$ (mox del) A | οφθαλμω] + μου ℵ$^{c.c}$A | ει δε και (2°)] και ει A **8** σπειροιμι A | om αρα ℵ* (hab ℵ$^{c.c}$) | φαγοισαν] φαγονται A **9** ει 1°] + δε AC | εγκαθετος B^{ab} εγκαθητος C **10** ετερω] εταιρω ℵ αλλω A **11** ακατασχετος] ακαθετος A **12** επι] εκ A | μερων] λερων (fort pro μελων) ℵ$^{c.c}$ **13** με] εμε ℵA **14** ποιηται] ποιησηται ℵ ποιηση AC **15** om και 1° A | om εγω ℵ* (hab ℵ^{1}) **16** ποτ] ποτε B^{ab}ℵ$^{c.a}$AC | χηρας δε] και χηρας A | εξετηξα] ετηξα A **17** μετεδωκα ορφανω A | μετεδωκα] + εξ αυτου ℵ$^{c.a}$C **18** οτι] και A | om μου C bis **19** υπεριδον AC | om αυτον A

20 [20]ἀδύνατοι δὲ εἰ μὴ εὐλόγησάν με, B
ἀπὸ δὲ κουρᾶς ἀμνῶν μου ἐθερμάνθησαν οἱ ὦμοι αὐτῶν·
21 [21]εἰ ἐπῆρα ὀρφανῷ χεῖρα, πεποιθὼς ὅτι πολλή μοι βοήθεια
περίεστιν,
22 [22]ἀποσταίη ἄρα ὁ ὦμός μου ἀπὸ τῆς κλειδός,
ὁ δὲ βραχίων μου ἀπὸ τοῦ ἀγκῶνος συντριβείη.
23 [23]φόβος γὰρ συνέσχεν με,
καὶ ἀπὸ τοῦ λήμματος αὐτοῦ οὐχ ὑποίσω.
24 [24]εἰ ἔταξα χρυσίον εἰς χοῦν μου,
εἰ δὲ καὶ λίθῳ πολυτελεῖ ἐπεποίθησα,
25 [25]εἰ δὲ καὶ εὐφράνθην πολλοῦ πλούτου μου γενομένου,
εἰ δὲ καὶ ἐπ' ἀναριθμήτοις ἐθέμην χεῖρά μου·
26 [26]ἢ οὐχ ὁρῶμεν ἥλιον τὸν ἐπιφαύσκοντα ἐκλείποντα,
σελήνην δὲ φθίνουσαν; οὐ γὰρ ἐπ' αὐτοῖς ἐστιν·
27 [27]καὶ εἰ ἠπατήθη λάθρα ἡ καρδία μου,
εἰ δὲ χεῖρά μου ἐπιθεὶς ἐπὶ στόματί μου ἐφίλησα·
28 [28]καὶ τοῦτό μοι ἄρα ἀνομία ἡ μεγίστη λογισθείη,
ὅτι ἐψευσάμην ἐναντίον Κυρίου τοῦ ὑψίστου.
29 [29]εἰ δὲ καὶ ἐπιχαρὴς ἐγενόμην πτώματι ἐχθρῶν μου,
καὶ εἶπεν ἡ καρδία μου Εὖγε·
30 [30]ἀκούσαι ἄρα τὸ οὖς μου τὴν κατάραν μου,
θρυληθείην δὲ ἄρα ὑπὸ λαοῦ μου κακούμενος.
31 [31]εἰ δὲ καὶ πολλάκις εἶπον αἱ θεράπαιναί μου Τίς ἂν δῴη ἡμῖν
τῶν σαρκῶν αὐτοῦ πλησθῆναι;
λίαν μου χρηστοῦ ὄντος·
32 [32]ἔξω δὲ οὐκ ηὐλίζετο ξένος,
ἡ δὲ θύρα μου παντὶ ἐλθόντι ἀνέῳκτο·

20 δε] ε ℵ* (δ superscr ℵ$^{c.a}$) | ευλογησαν (.υλογη...C)] ευλογουν A | αμνων] ℵAC αρνων A **21** ει]+δε και A | μοι πολλη ℵC | περιεστιν] παρεστιν ℵA **22** μου 1°] σου ℵ* (μου ℵ$^{c.a, c.c}$) | απο της κλ. ο ωμ. μου A | αγκωνος]+μου AC **23** γαρ]+κυ ℵAC | συνεσχεν] συνειχεν A | απο] pr και AC | υποισω] οιποισω ℵA (in C σω tantum superest)+δολον ℵ* (improb δ. ℵ$^{c.a}$) **25** ευφρανθη ℵ* (-θην ℵ$^{c.a}$) ηυφρανθην C | γενομενου μου A | μου 1°] μοι ℵ om μου C | ει δε και (2°)] και ει A **26** εκλειποντα] εκλιποντα ℵ pr και ℵ* (om και ℵ$^{iam\ ante\ c.a}$) A | φθινυθουσαν ℵ* (φθινουσαν ℵ$^{?}$) **27** ει δε]+και ℵAC **28** om αρα ℵ | ανομια] pr η ℵ* (om ℵ$^{c.a}$) | η μεγιστη λογισθειη] λογισθειη μεγαλη A | εναντιον] εναντι ℵAC **29** ει δε και] και ει δε C | επιχαρις ℵ* (-ρης ℵ$^{c.a}$) | πτωματι] pr επι ℵA | εχθρων] εχθρου A | ειπεν η καρδια] ει ειπον τη κ. A | ευγε]+ευγε AC **30** θρυλληθειην C | om αρα 2° A | om μου 3° A **31** εμπλησθηναι A **32** ευλιζετο A | η δε θυρα] και η θ. A | ανεωκτο] ηνεωκτο ℵA διηνεωκτο C

B [33]εἰ δὲ καὶ ἁμαρτὼν ἀκουσίως ἔκρυψα τὴν ἁμαρτίαν μου, 33
[34]οὐ γὰρ διετράπην πολυοχλίαν πλήθους τοῦ μὴ ἐξαγορεῦσαι 34
ἐνώπιον αὐτῶν·
εἰ δὲ καὶ εἴασα ἀδύνατον ἐξελθεῖν θύραν μου κόλπῳ κενῷ·
[35]τίς δῴη ἀκούοντά μου; 35
χεῖρα δὲ Κυρίου εἰ μὴ ἐδεδοίκειν,
συγγραφὴν δὲ ἣν εἶχον κατά τινος [36]ἐπ' ὤμοις ἂν περιθέ- 36
μενος στέφανον ἀνεγίνωσκον,
[37]καὶ εἰ μὴ ῥήξας αὐτὴν ἀπέδωκα, 37
οὐθὲν λαβὼν παρὰ χρεωφιλέτου·
[38]εἰ ἐπ' ἐμοί ποτε ἡ γῆ ἐστέναξεν, 38
εἰ δὲ καὶ οἱ αὔλακες αὐτῆς ἔκλαυσαν ὁμοθυμαδόν·
[39]εἰ δὲ καὶ τὴν ἰσχὺν αὐτῆς ἔφαγον μόνος ἄνευ τιμῆς, 39
εἰ δὲ καὶ ψυχὴν κυρίου τῆς γῆς ἐκλαβὼν ἐλύπησα·
[40]ἀντὶ πυροῦ ἄρα ἐξέλθοι μοι κνίδη, 40
ἀντὶ δὲ κριθῆς βάτος.

[1]Καὶ ἐπαύσατο Ἰὼβ ῥήμασιν· 1 XXXII
[(1)]ἡσύχασαν δὲ καὶ οἱ τρεῖς φίλοι αὐτοῦ ἔτι ἀντειπεῖν Ἰὼβ,
ἦν γὰρ Ἰὼβ δίκαιος ἐναντίον αὐτῶν.
[2]ὠργίσθη δὲ Ἐλιοὺς ὁ τοῦ Βαραχιὴλ ὁ Βουζείτης ἐκ τῆς συγγενείας 2
Ῥάμ, τῆς Αὐσείτιδος χώρας·
ὠργίσθη δὲ τῷ Ἰὼβ σφόδρα, διότι ἀπέφηνεν ἑαυτὸν δίκαιον
ἐναντίον Κυρίου.
[3]καὶ κατὰ τῶν τριῶν δὲ φίλων ὠργίσθη σφόδρα, διότι οὐκ ἠδυνή- 3
θησαν ἀποκριθῆναι ἀντίθετα Ἰώβ,

ℵAC **33** εκουσιως ℵ*vid (ακ. ℵ1 c.a) **34** πληθους] λαου A | om μη C | ενωπιον] εναντιον A | αυτων] αυτου ℵ* (-των ℵc.a) | εισα] ιασα A ασα C | θυραν] pr την ℵc.a Cvid την θυρα (sic) A | om κολπω κενω Cvid **35** ηδεδοικειν A | συνγραφην ℵA **36** επ] pr ει A | om αν A | στεφανον] pr ως A | ανεγινωσκον] ανεειγνωσκον A **37** ουθεν] ουδεν A | χρεωφειλετου Bab χρεοφιλ. ℵA [χρε]ιοφιλ. Cvid + μου A **39** om δε και (1°) A | μονος ανευ τιμης] om μονος ℵ ανευ τιμης μονος A | κυριου] κυ B* κυριου Ba | εκλαβων] εκβαλων A **40** om αρα A | εξελθοι μοι] εξελθη μοι A εξελθοιμι C XXXII **1** ετι] + δε A | αντειπεν A | δικαιος εν. αυτ. Ιωβ A | om αυτων C **2** ο Βουζειτης] ο του Βουζι A ο Βουζιτης C | συγγενιας A | Ραμ] Ραμα A Αραμ C | Αυσιτιδος BbAC | ωργισθη δε 2°] και ωργισθη A | διοτι] οτι C | εαυτον] αυτον ℵ* (εαυτον ℵc.a) | εναντιον] εναντι ℵA **3** τριων δε] om δε ℵ* (hab ℵc.a) δε τριων A | φιλων] + αυτου ℵc.a A | σφοδρα ωργισθη ℵ | ηδυνηθησαν] ηδυνασθησαν C | Ιωβ] pr τω ℵA

καὶ ἔθεντο αὐτὸν εἶναι ἀσεβῆ. B

4 4Ἐλιοῦς δὲ ὑπέμεινεν δοῦναι ἀπόκρισιν Ἰώβ, ὅτι πρεσβύτεροι
αὐτοῦ εἰσιν ἡμέραις.
5 5καὶ εἶδεν Ἐλιοῦς ὅτι οὐκ ἔστιν ἀπόκρισις ἐν στόματι τῶν τριῶν
ἀνδρῶν,
καὶ ἐθυμώθη ὀργῇ αὐτοῦ.
6 6ὑπολαβὼν δὲ Ἐλιοῦς ὁ τοῦ Βαραχιὴλ ὁ Βουζείτης εἶπεν
Νεώτερος μέν εἰμι τῷ χρόνῳ, ὑμεῖς δέ ἐστε πρεσβύτεροι·
διὸ ἡσύχασα, φοβηθεὶς τοῦ ὑμῖν ἀναγγεῖλαι τὴν ἐμαυτοῦ
ἐπιστήμην.
7 7εἶπα δὲ ὅτι Οὐχ ὁ χρόνος ἐστὶν ὁ λαλῶν,
ἐν πολλοῖς δὲ ἔτεσιν οὐκ οἴδασιν σοφίαν·
8 8ἀλλὰ πνεῦμά ἐστιν ἐν βροτοῖς,
πνοὴ δὲ Παντοκράτορός ἐστιν ἡ διδάσκουσα·
9 9οὐχ οἱ πολυχρόνιοί εἰσιν σοφοί, οὐδ᾽ οἱ γέροντες οἴδασιν κρίμα.
10 10διὸ εἶπα Ἀκούσατέ μου, καὶ ἀναγγελῶ ὑμῖν ἃ οἶδα·
11 11ἐνωτίζεσθέ μου τὰ ῥήματα ὑμῶν ἀκουόντων,
ἄχρις οὗ ἐτάσητε λόγους.
12 12καὶ μέχρι ὑμῶν συνήσω·
καὶ ἰδοὺ οὐκ ἦν τῷ Ἰὼβ ἐλέγχων,
ἀνταποκρινόμενος ῥήματα αὐτοῦ ἐξ ὑμῶν.
13 13ἵνα μὴ εἴπητε Εὕρομεν σοφίαν Κυρίῳ προσθέμενοι·
14 14ἀνθρώπῳ δὲ ἐπετρέψατε λαλῆσαι τοιαῦτα ῥήματα.
15 15ἐπτοήθησαν, οὐκ ἀπεκρίθησαν ἔτι,
ἐπαλαίωσαν ἐξ αὐτῶν λόγους.
16 16ὑπέμεινα, οὐ γὰρ ἐλάλησα·
ὅτι ἔστησαν, οὐκ ἀπεκρίθησαν.

3 ασεβη BℵA^{a} (-βῆ|) C] ευσεβη ℵ$^{c.c}$A* (-βῆ|) **4** Ιωβ] pr τω A | εισιν ℵAC αυτου A | ημεραις] ημερων A ημερας C **5** ιδεν A **6** υπολαβων... ειπεν evan in C | ο Βουζειτης] ο του Βουζι A | ειπεν] λεγει A | om μεν ℵ* (hab ℵ$^{c.a}$) | διο] διοτι A | εμαυτου] εμην A εαυτου C **7** ειπα] ειπον A | om οτι C | ουχ ο χρονος] om ουχ ο A ου χρ. C | om ουκ AC$^{?}$ **8** αλλα] pr και ουχ ουτως A | εστιν 1°] εσται A | Παντοκρατορος] pr παρα κῡ C | διδασκουσα] + σε ℵ* (σε improb postea ras ℵ$^{?}$) + με A **9** ουχ] ου γαρ A | ουδ] ουδε ℵA | οιδασιν] εισιν ℵ* εισασιν ℵ$^{c.a}$ **10** ειπα] ειπον A **11** ενωτιζεσθε] ενωτισθαι C | τα ρηματα μου A | υμων] pr ερω γαρ ℵ$^{c.a}$AC | αχρις (αχρι ℵC)] pr ιδου ηκουσα τους λογους υμων| ενωτισαμην μεχρι συνεσε|ως υμων| A | λογους] τους λ. υμων A **12** μεχρι] εως A | ελεγχων] pr ο A | om ανταποκρινομενος . . . υμων ℵ* (hab ℵ$^{c.a}$) | ρηματα αυτου] ρηματασιν αυτου A αυτου ρηματα C **13** ινα] + δε A | Κυριω] κῡ C | προσθεμενοι κω̄ A **15** ουκ] pr και ℵ* (om και ℵ$^{a.c}$) **16** ου] ουδε ℵ* (ου ℵ$^{c.a}$)

B [17]Ὑπολαβὼν δὲ Ἐλιοῦς λέγει 17
[18]Πάλιν λαλήσω· πλήρης γάρ εἰμι ῥημάτων, 18
ὀλέκει γάρ με τὸ πνεῦμα τῆς γαστρός·
[19]ἡ δὲ γαστήρ μου ὥσπερ ἀσκὸς γλεύκους ζέων δεδεμένος, 19
ἢ ὥσπερ φυσητὴρ χαλκέως ἐρρηγώς.
[20]λαλήσω, ἵνα ἀναπαύσωμαι, ἀνοίξας τὰ χείλη· 20
[21]ἄνθρωπον γὰρ οὐ μὴ αἰσχυνθῶ, 21
ἀλλὰ μὴν οὐδὲ βροτὸν οὐ μὴ ἐντραπῶ·
[22]οὐ γὰρ ἐπίσταμαι θαυμάσαι πρόσωπα· 22
εἰ δὲ μή, καὶ ἐμὲ σῆτες ἔδονται.
[1]οὐ μὴν δὲ ἀλλὰ ἄκουσον, Ἰώβ, τὰ ῥήματά μου, 1 XXXIII
καὶ λαλιὰν ἐνωτίζου μου·
[2]ἰδοὺ γὰρ ἤνοιξα τὸ στόμα μου, 2
καὶ ἐλάλησεν ἡ γλῶσσά μου.
[3]καθαρά μου ἡ καρδία ῥήμασιν, 3
σύνεσιν δὲ χειλέων μου καθαρὰ νοήσει.
[4]πνεῦμα θεῖον τὸ ποιῆσάν με, 4
πνοὴ δὲ Παντοκράτορος ἡ διδάσκουσά με.
[5]ἐὰν δύνῃ, δός μοι ἀπόκρισιν πρὸς ταῦτα· 5
ὑπόμεινον, στῆθι κατ᾽ ἐμὲ καὶ ἐγὼ κατὰ σέ.
[6]ἐκ πηλοῦ διήρτισαι σὺ ὡς καὶ ἐγώ· 6
ἐκ τοῦ αὐτοῦ διηρτίσμεθα.
[7]οὐχ ὁ φόβος μού σε στροβήσει, 7
οὐδὲ ἡ χείρ μου βαρεῖα ἔσται ἐπὶ σοί.
[8]πλὴν εἶπας ἐν ὠσίν μου, 8
φωνὴν ῥημάτων ἀκήκοα·
[9]διότι λέγεις Καθαρός εἰμι, οὐχ ἁμαρτών· 9

ℵAC **17** evan in C **18** γαρ 2°] δε A **19** η δε γαστηρ] και η γ. A | ζεων] γεμων A | δεδεμενος] δεμενος ℵ* (δεδ. ℵc.a) | φυσητης ℵ* (-τηρ ℵc.a) | ερρηγως] om ℵ* δεδεμενος και κατερρηγως A **20** τα χειλη] τα σα χ. ℵ* (σα improb postea ras ℵ?) + αποκριθω ℵc.c + μου A **22** επίστασαι ℵ* (-μαι ℵc.c) | προσωπον ℵA XXXIII **1** λαλιαν] pr την ℵc.a A | om μου 2° A **2** ηνοιξα] pr ο ℵ* (om ℵ1(vid) c.a) | μου 1° σου ℵ* (μου ℵ1) post μου 1 lit (s ut vid) ras ℵ? **3** ρημασιν] pr εν A | συνεσεις ℵC συνεσεις A | om μου 2° ℵ* (hab ℵc.a) | καθαρα νοησει] καθαραν θησι A **5** δυνη] δυνηθης A | προς ταυτα c seqq coniung C | στηθι] και στηθει συ A | και εγω] καγω ℵC **6** πηλου] + αρ ℵ* + γαρ ℵ1 (om γαρ ℵ?) | om συ ℵ | και εγω] καγω C | διηρτισμεθα] + πηλου ℵc.a (postea ras) A pr πηλου (π. διηρτισμεθα rescr) Ca **7** ουχ] ουχι A | μου 1° σου A* (μ. Aa?) | στροβησει σε A **8** φωνην] + δε ℵc.aA | ρηματων] + σου ℵA **9** ουχ] in ο attig aliq ut vid ℵ? (postea restit ο) | αμαρτων] ημαρτον τοις εργοις A

ἄμεμπτός εἰμι, οὐ γὰρ ἠνόμησα. B
10 [10]μέμψιν δὲ κατ᾽ ἐμοῦ εὗρεν,
ἥγηται δέ με ὥσπερ ὑπεναντίον·
11 [11]ἔθετο δὲ ἐν ξύλῳ τὸν πόδα μου,
ἐφύλαξεν δέ μου πάσας τὰς ὁδούς.
12 [12]πῶς γὰρ λέγεις Δίκαιός εἰμι, καὶ οὐκ ἐπακήκοέν μου;
αἰώνιος γάρ ἐστιν ὁ ἐπάνω βροτῶν.
13 [13]λέγεις δέ Διὰ τί τῆς δίκης μου οὐκ ἐπακήκοέν μου πᾶν ῥῆμα;
14 [14]ἐν γὰρ τῷ ἅπαξ λαλήσαι ὁ κύριος,
15 ἐν δὲ τῷ δευτέρῳ· [15]ἐνύπνιον, ἢ ἐν μελέτῃ νυκτερινῇ,
ὡς ὅταν ἐπιπίπτῃ δεινὸς φόβος ἐπ᾽ ἀνθρώπους, ἐπὶ νυσταγ-
μάτων ἐπὶ κοίτης·
16 [16]τότε ἀνακαλύπτει νοῦν ἀνθρώπων,
ἐν εἴδεσιν φόβου τοιούτοις αὐτοὺς ἐξεφόβησεν,
17 [17]ἀποστρέψαι ἄνθρωπον ἀπὸ ἀδικίας·
τὸ δὲ σῶμα αὐτοῦ ἀπὸ πτώματος ἐρρύσατο.
18 [18]ἐφείσατο δὲ τῆς ψυχῆς αὐτοῦ ἀπὸ θανάτου,
καὶ μὴ πεσεῖν αὐτὸν ἐν πολέμῳ.
19 [19]πάλιν δὲ ἤλεγξεν αὐτὸν ἐπὶ μαλακίᾳ ἐπὶ κοίτης,
καὶ πλῆθος ὀστῶν αὐτοῦ ἐνάρκησεν·
20 [20]πᾶν δὲ βρωτὸν σίτου οὐ μὴ δύνηται προσδέξασθαι,
καὶ ἡ ψυχὴ αὐτοῦ βρῶσιν ἐπιθυμήσει·
21 [21]ἕως ἂν σαπῶσιν αὐτοῦ αἱ σάρκες, καὶ ἀποδείξῃ τὰ ὀστᾶ αὐτοῦ
κενά.
22 [22]ἤγγισεν δὲ εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ,
ἥδε ἡ ζωὴ αὐτοῦ ἐν ᾅδῃ·

9 αμεμπτος] + γαρ ℵ*C + δε ℵc.a(vid)A **10** ευρον ℵ* (-ρεν ℵc.a) | ηγηται ℵAC δε] και ηγ. A | υπεναντιον] επεναντιον C **11** εν ξυλω τον ποδα μου] τον ποδα μου εν κυκλωματι A μου τον ποδα εν ξ. C | εφυλαξεν δε] και εφυλαξεν A | μου πασας τας οδους] τας οδ. μ. πασας C **12** αιωνος C* (αιωνιος Ca) | εστιν] pr ο ℵ* (improb ο ℵ1(vid) postea ras) **13** δε] γαρ A | om δια τι C | δικης] δικαιοσυνης ℵc.aAC | om μου 2° ℵAC | παν ρημα] εν παντι ρηματι A **15** η] ως φασμα A* (ras A1) | ως] pr η C | φοβος δεινος A | νυσταγματων] σταγματων C **16** ειδεσι C | αυτους εξεφοβησεν Bℵc.a] αυτους εξεφοβησαν Bab αυτου εξεφοβησαν ℵ* εξεφοβησεν αυτους A **17** απο αδικιας] εξ αδ. αυτου A εξ αδ. C | απο 2°] απ A2 | πτωματος] pr αδικιας A | ερυσατο ℵC **18** εφεισατο δε] και εφ. A | και] του ℵc.aA **19** επι 1°] εν ℵC om A | οστεων AC **20** βρωτον] βροτον C | επιθυμει C **21** κενα] καινα ℵ **22** ηγγισεν] εγγιση A | η ψυχη αυτου εις θανατον A αυτου η ψ. εις θ. C | ηδε η] ηδ η Bb vid η δε ℵAC | αδη] pr τω A

B [23]ἐὰν ὦσιν χίλιοι ἄγγελοι θανατηφόροι, εἷς αὐτῶν οὐ μὴ τρώσῃ 23
αὐτόν.
ἐὰν νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι πρὸς Κύριον,
ἀναγγείλῃ δὲ ἀνθρώπῳ τὴν ἑαυτοῦ μέμψιν,
τὴν δὲ ἄνοιαν αὐτοῦ δείξῃ,
[24]ἀνθέξεται τοῦ μὴ πεσεῖν εἰς θάνατον· 24
ἀνανεώσει δὲ αὐτοῦ τὸ σῶμα ὥσπερ ἀλοιφὴν ἐπὶ τοίχου,
τὰ δὲ ὀστᾶ αὐτοῦ ἐμπλήσει μυελοῦ·
[25]ἁπαλυνεῖ δὲ αὐτοῦ τὰς σάρκας ὥσπερ νηπίου, 25
ἀποκαταστήσει δὲ αὐτὸν ἀνδρωθέντα ἐν ἀνθρώποις.
[26]εὐξάμενος δὲ πρὸς Κύριον, καὶ δεκτὰ αὐτῷ ἔσται, 26
εἰσελεύσεται δὲ προσώπῳ ἱλαρῷ σὺν ἐξηγορίᾳ·
ἀποδώσει δὲ ἀνθρώποις δικαιοσύνην.
[27]εἶτα τότε ἀπομέμψεται ἄνθρωπος αὐτὸς ἑαυτῷ λέγων Οἷα συνε- 27
τέλουν;
καὶ οὐκ ἄξια ἤτασέν με ὢν ἥμαρτον.
[28]σῶσον ψυχήν μου τοῦ μὴ ἐλθεῖν εἰς διαφθοράν, 28
καὶ ἡ ζωή μου φῶς ὄψεται.
[29]ἰδοὺ ταῦτα πάντα ἐργᾶται ὁ ἰσχυρὸς 29
ὁδοὺς τρεῖς μετὰ ἀνδρός·
[30]ἀλλ᾽ ἐρύσατο τὴν ψυχήν μου ἐκ θανάτου, 30
ἵνα ἡ ζωή μου ἐν φωτὶ αἰνῇ αὐτόν.
[31]ἐνωτίζου, Ἰώβ, καὶ ἄκουέ μου· 31
κώφευσον, καὶ ἐγώ εἰμι λαλήσω.

ℵAC **23** αυτων] pr εξ A | τρωσει C*vid (-ση Ca) | την καρδια B* (τη κ. Bab) | προς] επι Bab ℵAC | Κυριον] pr τον A | την δε] και την A | ανοιαν] ανομιαν ℵc.a (postea revoc ανοιαν) C | δειξει ℵ **24** ανθεξεται] + αυτου A | πεσειν] + αυτον ℵc.a (postea ras) AC | τα δε οστα] και τα οστα A **25** αποκαταστησει δε] και αποκαταστ. A | ανθρωποις] in ανθρ. ras aliq B1fort **26** ευξαμενος δε] ευξαμενος ℵ* ευξαμενου δε αυτου ℵc.a (postea restit -νος) ευξετε A | και δεκτα αυτω εσται] εισακουσεται αυτου ℵ δεκτα αυτω εσται ℵc.a | ιλαρω] καθαρω ℵc.a (postea restit ιλ.) AC | αποδωσει] απο ℵ* (αποδωσι ℵc.a) | ανθρωποις] $\overline{\text{ανω}}$ A | δικαιοσυνην] την δ. αυτου A **27** απομεμψεται] αποπεμψεται A | συνετελουμην A | ητασεν] ητοιμασεν ℵ* (ητασεν ℵc.a) **28** ψυχην] pr την A | om μου 1° ℵ* (hab ℵ1(vid) c.c) | ελθειν] εξελθειν A | η ζωη] η δ ζωη (sic) ℵ* (om δ ℵ1) η ψυχη ℵc.a (postea revoc η ζ.) ζωη A **29** om παντα C **30** αλλ] και A | ερρυσατο AC | ζωη] ψυχη ℵc.a (postea restit ζ.) A **31** ενωτιζου] pr υπολαβων δε Ελιους λεγει| ακουσατε μου σοφοι επισταμενοι ενωτιζεσθαι το καλον| οτι ειρηκεν Ιωβ· ιδου ταυτα πᾱ|τα εργαται ο ισχυρος·| οδους τρις μετα ανδρος| του επιστρεψαι ψυχην αυτου εκ διαφθορας| του φωτισαι αυτω εν φωτι ζωντω̄| A | ενωτιζου] προσεχε A | ακουε] ακουσον A | και εγω ειμι] ινα A

32 [32]εἰ ἔστιν λόγος, ἀποκρίθητί μοι· B
λάλησον, θέλω γὰρ δικαιωθῆναί σε.
33 [33]εἰ μή, σὺ ἄκουσόν μου·
κώφευσον, καὶ διδάξω σε.

XXXIV 1 [1]Ὑπολαβὼν δὲ Ἐλιοὺς λέγει
2 [2]Ἀκούσατέ μου, σοφοί·
ἐπιστάμενοι, ἐνωτίζεσθε·
3 [3]ὅτι οὖς λόγους δοκιμάζει, καὶ λάρυγξ γεύεται βρώσιν.
4 [4]κρίσιν ἑλώμεθα ἑαυτοῖς,
γνῶμεν ἀνὰ μέσον ἑαυτῶν ὅ τι καλόν.
5 [5]ὅτι εἴρηκεν Ἰώβ Δίκαιός εἰμι,
ὁ κύριος ἀπήλλαξέν μου τὸ κρίμα.
6 [6]ἐψεύσατο δὲ τῷ κρίματί μου·
βίαιον τὸ βέλος μου ἄνευ ἀδικίας.
7 [7]τίς ἀνὴρ ὥσπερ Ἰώβ, πίνων μυκτηρισμὸν ὥσπερ ὕδωρ;
8 [8]οὐχ ἁμαρτὼν οὐδὲ ἀσεβήσας, ἢ ὁδοῦ κοινωνήσας μετὰ
ποιούντων τὰ ἄνομα,
τοῦ πορευθῆναι μετὰ ἀσεβῶν.
9 [9]μὴ γὰρ εἶπῃς ὅτι Οὐκ ἔσται ἐπισκοπὴ ἀνδρός·
καὶ ἐπισκοπὴ αὐτῷ παρὰ Κυρίου.
10 [10]διό, συνετοὶ καρδίας, ἀκούσατέ μου
Μή μοι εἴη ἔναντι Κυρίου ἀσεβῆσαι,
καὶ ἔναντι Παντοκράτορος ταράξαι τὸ δίκαιον·
11 [11]ἀλλὰ ἀποδιδοῖ ἀνθρώπῳ καθὰ ποιεῖ ἕκαστος αὐτῶν,
καὶ ἐν τρίβῳ ἀνδρὸς εὑρήσει αὐτόν.
12 [12]οἴῃ δὲ τὸν κύριον ἄτοπα ποιήσειν;

32 εστιν λογος] εισι σοι λογοι B^b εστιν λογοις (sic) ℵ* εστιν σοι λογοι ℵAC ℵc.a (vid) (postea ras σοι) εισιν σοι λογοι AC | αποκριθητι] pr ο C | σε δικαιωθηναι A **33** ει μη] ει δε μη A | σε] + σοφιαν ℵAC XXXIV **1** evan in C **2** ενωτιζεσθε] + το καλον ℵc.a (rurs del) AC **3** ους] νους A | δοκιμαζει λογους A | και λαρυγξ (-ρυξ C)] λαρυγξ δε A **4** εαυτων] αυτων ℵ* (εαυτ. ℵc.a) A | ο τι] τι A **6** εψευσατο δε] και εψ. A | βιαιον] βιβλιον ℵ* (βιαιον ℵc.a) | μου 2°] αυτου C **8** αμαρτων] αμαρτανων ℵ* (-των ℵc.a postea restit -τανων) | η οδου] η ουδ ου B ουδε A ουδ ολως ℵc.a C | κοινωνησας] + οδου A | ποιουντων] pr τω| A **9** οτι] εσται ℵ* (οτι ℵ1) | εσται] εστιν A | αυτω] αυτου A **10** καρδια A | εναντι κυ ειη ℵ | και εναντι] εναντι δε A **11** αλλα] + γαρ A | αποδιδοι] αποδοι B^{ab} αποδιδωσιν A | ποιει] εποιει ℵ | om αυτων C | τριβη C **12** ατοπα ποιησειν τον κν̄ ℵ | ατοπα] pr τα A | ποιησειν] ποιειν C^a

B ἢ ὁ παντοκράτωρ ταράξει κρίσιν, [13]ὃς ἐποίησεν τὴν γῆν; 13
τίς δὲ ἐστιν ὁ ποιῶν τὴν ὑπ᾽ οὐρανὸν καὶ τὰ ἐνόντα
πάντα;
[14]εἰ γὰρ βούλοιτο συνέχειν, καὶ τὸ πνεῦμα παρ᾽ αὐτῷ κατασχεῖν, 14
[15]τελευτήσει πᾶσα σὰρξ ὁμοθυμαδόν, 15
πᾶς δὲ βροτὸς εἰς γῆν ἀπελεύσεται ὅθεν καὶ ἐπλάσθη.
[16]εἰ δὲ μὴ νουθετῇ, ἄκουε ταῦτα, 16
ἐνωτίζου φωνὴν ῥημάτων.
[17]ἴδε σὺ τὸν μισοῦντα ἄνομα καὶ τὸν ὀλλύντα τοὺς πονηρούς, 17
ὄντα αἰώνιον δίκαιον.
[18]ἀσεβὴς ὁ λέγων βασιλεῖ Παρανομεῖς, 18
Ἀσεβέστατε, τοῖς ἄρχουσιν·
[19]ὃς οὐκ ἐπαισχυνθῇ πρόσωπον ἐντίμου, 19
οὐδὲ οἶδεν τιμὴν θέσθαι ἀδροῖς, θαυμασθῆναι πρόσωπα
αὐτῶν.
[20]κενὰ δὲ αὐτοῖς ἀποβήσεται τὸ κεκραγέναι καὶ δεῖσθαι ἀνδρός· 20
ἐχρήσαντο γὰρ παρανόμως, ἐκκλινομένων ἀδυνάτων.
[21]αὐτὸς γὰρ ὁρατής ἐστιν ἔργων ἀνθρώπων, 21
λέληθεν δὲ αὐτὸν οὐδὲν ὧν πράσσουσιν·
[22]οὐδὲ ἔσται τόπος τοῦ κρυβῆναι τοὺς ποιοῦντας τὰ ἄνομα· 22
[23]ὅτι οὐκ ἐπ᾽ ἄνδρα θήσει ἔτι. 23
ὁ γὰρ κύριος πάντας ἐφορᾷ, [24]ὁ καταλαμβάνων ἀνεξιχνίαστα, 24
ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός·
[25]ὁ γνωρίζων αὐτῶν τὰ ἔργα, 25
καὶ στρέψει νύκτα, καὶ ταπεινωθήσεται.
[26]ἔσβεσεν δὲ ἀσεβεῖς, 26
ὁρατοὶ δὲ ἐναντίον αὐτοῦ·

ℵAC **12** κρισιν] το δικαιον A **13** ος] ο ℵ* (ος ℵ$^{c.a}$) | ποιων] ποιησας A | ουρανον] ουνουν C | ενοντα] ονται ℵ εν αυτη C **14** συνεχειν] συσχειν ℵ$^{c.a}$C^{a} | κατασχειν] κατεσχεν ℵ* (κατασχ. ℵ$^{c.a}$) **15** πας δε βροτος] βρ. δε A πας γαρ βρ. C | om και ℵ* (hab ℵ$^{c.a}$) **16** ταυτα] + Ιωβ A **17** ιδε] ειδε BA | συ] σοι A | τον μισουντα] pr ουκ οιει A | ανομα] pr τα A | αιωνιον] + ειναι A **18** ασεβεστατε τοις αρχ.] ασεβεστατοις αρχ. ℵ* ασεβεστατος τοις αρχ. ℵ$^{c.a}$ ασεβεστατοι τοις αρχ. A **19** επαισχυνθη] αισχυνθη A | ουδε οιδεν] ουκ εδωκεν δε A | αδροις] ανδρω| A | θαυμασθηναι] pr του A | προσωπα] προσωπον ℵ τα προσωπα A **20** ανδρος] αυτοις C | παρανομως] ανομοις A | εκκλινομενων] εκκλιομενων ℵ εκκλιο|μενοις A | αδυνατων] και αδυνατοις A **21** δε] γαρ ℵ **22** εσται] εστιν ℵ$^{c.a}$C **23** παντας] παντα ℵ$^{c.c}$C τα παντα A **25** ο γνωριζων] om ο A | ταπεινωθησονται AC **26** om δε 1° C | ορατοι δε] και ορατοι A | εναντιον] pr εγενοντο A | αυτου] των εκθρω| A

27 [27]ὅτι ἐξέκλιναν ἐκ νόμου θεοῦ, B
δικαιώματα δὲ αὐτοῦ οὐκ ἐπέγνωσαν,
28 [28]τοῦ ἐπαγαγεῖν ἐπ' αὐτὸν κραυγὴν πενήτων,
καὶ κραυγὴν πτωχῶν εἰσακούσεται.
29 [29]καὶ αὐτὸς ἡσυχίαν παρέξει, καὶ τίς καταδικάσεται;
καὶ κρύψει πρόσωπον, καὶ τίς ὄψεται αὐτόν;
καὶ κατὰ ἔθνους καὶ κατὰ ἀνθρώπου ὁμοῦ·
30 [30]βασιλεύων ἄνθρωπον ὑποκριτὴν ἀπὸ δυσκολίας λαοῦ.
31 [31]ὅτι πρὸς τὸν ἰσχυρὸν ὁ λέγων Εἴληφα, οὐκ ἐνεχυράσω·
32 [32]ἄνευ ἐμαυτοῦ ὄψομαι, σὺ δείξόν μοι·
εἰ ἀδικίαν ἠργασάμην, οὐ μὴ προσθήσω.
33 [33]μὴ ἀπὸ σοῦ ἀποτίσει αὐτήν,
ὅτι ἀπώσῃ; ὅτι σὺ ἐκλέξῃ καὶ οὐκ ἐγώ·
καὶ τί ἔγνως λάλησον.
34 [34]διὸ συνετοὶ καρδίας ἐροῦσιν ταῦτα,
ἀνὴρ δὲ σοφὸς ἀκήκοέν μου τὸ ῥῆμα.
35 [35]Ἰὼβ δὲ οὐκ ἐν συνέσει ἐλάλησεν, τὰ ῥήματα αὐτοῦ οὐκ ἐν
ἐπιστήμῃ.
36 [36]οὐ μὴν δὲ ἀλλὰ μάθε, Ἰώβ,
μὴ δῷς ἔτι ἀνταπόκρισιν ὥσπερ οἱ ἄφρονες
37 [37]ἵνα μὴ προσθῶμεν ἐφ' ἁμαρτίας ἡμῶν,
ἀνομία δὲ ἐφ' ἡμῖν λογισθήσεται, πολλὰ λαλούντων ῥήματα
ἐναντίον τοῦ κυρίου.

XXXV 1 [1]Ὑπολαβὼν δὲ Ἐλιοὺς λέγει
2 [2]Τί τοῦτο ἡγήσω ἐν κρίσει;
σὺ τίς εἶ ὅτι εἶπας Δίκαιός εἰμι ἔναντι Κυρίου;

28 πενητος ℵ$^{c.a}$AC (ενητος) **29** παρεξεται C | ομου] ομοιου ℵ* (ομου ℵAC ℵ$^{c.a}$) **31** om ο λεγων ℵ* (hab ℵ$^{c.a}$) | ενεχυρασα A **32** ανευ εμαυτου c praec coniung A | om οψομαι ℵ* (hab ℵ$^{c.a}$) | δειξον] διδαξον A | μοι] με A | ηργασαμην] ειργασαμην ℵ$^{c.a}$C | προσθησω] προσθω A **33** απο] παρα ℵAC | αποτισει] αποτιεις C | οτι 1°]+συ C | απωσω A | εκλεξη] εκδεξη ℵ εκλεξω A | om ουκ A **34** καρδιας] καρδια ℵ$^{c.a}$A om C | σοφος] φρονιμος A **35** om δε A | ελαλησας A ελαλησε| C | τα ρηματα αυτου] τα δε ρηματα αυτ. ℵ$^{c.a}$C τα δε ρηματα σου A **36** om δε ℵ* (hab ℵ$^{c.a}$) | αντα-ποκρισιν] αποκρισιν A **37** αμαρτιαις ℵAC | ημιν] ημων C | λογισθησεται] εστε A | λαλουντων] λαλουσιν A | εναντιον] ras aliq B$^{1\,vid}$ εναντι A | του κυριου] om του A XXXV **1** evan in C **2** συ] σοι ℵ | οτι] ο ℵ* (οτι ℵ$^{c.a}$) | Κυριου] + (**3**) η ερεις (-ρις ℵ$^{c.a}$) τι ποιησω αμαρτων ℵ$^{c.a}$AC

B [4]ἐγὼ σοὶ δώσω ἀπόκρισιν καὶ τοῖς τρισὶν φίλοις σου. 4
[5]ἀνάβλεψον εἰς τὸν οὐρανὸν καὶ ἴδε, 5
κατάμαθε δὲ νέφη ὡς ὑψηλὰ ἀπὸ σοῦ.
[6]εἰ ἥμαρτες, τί πράξεις; 6
εἰ δὲ καὶ πολλὰ ἠνόμησας, τί δύνασαι ποιῆσαι;
[7]ἐπεὶ δὲ οὖν δίκαιος εἶ, τί δώσεις αὐτῷ, 7
ἢ τί ἐκ χειρός σου λήμψεται;
[8]ἀνδρὶ τῷ ὁμοίῳ σου ἡ ἀσέβειά σου, 8
καὶ υἱῷ ἀνθρώπου ἡ δικαιοσύνη σου.
[9]ἀπὸ πλήθους συκοφαντούμενοι κεκράξονται, 9
βοήσονται ἀπὸ βραχίονος πολλῶν.
[10]καὶ οὐκ εἶπεν Ποῦ ἐστιν ὁ θεὸς ὁ ποιήσας με, 10
ὁ κατατάσσων φυλακὰς νυκτερινάς,
[11]ὁ διορίζων με ἀπὸ τετραπόδων γῆς, ἀπὸ δὲ πετεινῶν 11
οὐρανοῦ;
[12]ἐκεῖ κεκράξονται, καὶ οὐ μὴ εἰσακούσῃ, 12
καὶ ἀπὸ ὕβρεως πονηρῶν.
[13]ἄτοπα γὰρ οὐ βούλεται ὁ κύριος ἰδεῖν· 13
αὐτὸς γὰρ ὁ παντοκράτωρ ὁρατής ἐστιν [14]τῶν συντελούν- 14
των τὰ ἄνομα, καὶ σώσει με.
κρίθητι δὲ ἐναντίον αὐτοῦ, εἰ δύνασαι αἰνέσαι αὐτὸν ὡς ἔστιν.
¶ C [15]καὶ νῦν ὅτι οὐκ ἔστιν ἐπισκεπτόμενος ὀργὴν αὐτοῦ,¶ 15
καὶ οὐκ ἔγνω παράπτωμά τι σφόδρα,
[16]καὶ Ἰὼβ ματαίως ἀνοίγει τὸ στόμα αὐτοῦ, 16
ἐν ἀγνωσίᾳ ῥήματα βαρύνει.

[1]Προσθεὶς δὲ Ἐλιοῦς ἔτι λέγει 1 XXXVI
[2]Μεῖνόν με μικρὸν ἔτι ἵνα διδάξω σε· 2
ἔτι γὰρ ἐν ἐμοί ἐστιν λέξις.
[3]ἀναλαβὼν τὴν ἐπιστήμην μου μακράν, 3

ℵAC **4** εγω σοι] om σοι ℵ* εγω δε σοι ℵc.aC | τρισι C | om σου C **5** om δε A | νεφη] νεφελη ℵ* (-φη ℵ1 c.a) pr τα A | ως] pr και ιδε A **6** ηνομησας πολλα A | δυναμαι ℵ* (-νασαι ℵc.a) | ποιησαι] pr σοι ℵ* (om σοι ℵc.a) **7** επει δε ουν] επειδη ουν ℵc.a και ει A | διωσεις ℵ* (δωσ. ℵ1) | ληψεται C **8** ασεβια A **9** βραχειομος ℵ* (βραχειονος ℵ1) **11** ο διοριζων] om ο ℵ* (hab ℵc.a) | απο δε] και απο A **12** κεκραζονται Bedit κεκραξον A | om και 2° A **13** ιδειν ου βουλεται ο κ̄ς AC **14** και] ος A | αυτον αινεσαι A αινεσει αυτον C XXXVI **2** μεικρον με μεινον A | εν εμοι εστιν] μοι ενεστιν A | λεξεις A

4 ἔργοις δέ μου δίκαια ἐρῶ ἐπ᾽ ἀληθείας [4]καὶ οὐκ ἄδικα Β
ῥήματα·
ἀδίκως συνίεις.
5 [5]γίγνωσκε δὲ ὅτι ὁ κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον,
6 δυνατὸς ἰσχύι καρδίας [6]ἀσεβῆ οὐ μὴ ζωοποιήσει,
καὶ κρίμα πτωχῶν δώσει.
7 [7]οὐκ ἀφελεῖ ἀπὸ δικαίου ὀφθαλμοὺς αὐτοῦ,
καὶ μετὰ βασιλέων εἰς θρόνον
καὶ καθιεῖ αὐτοὺς εἰς νῖκος, καὶ ὑψωθήσονται.
8 [8]καὶ οἱ πεπεδημένοι ἐν χειροπέδαις συσχεθήσονται ἐν σχοινίοις
πενίας·
9 [9]καὶ ἀναγγελεῖ αὐτοῖς τὰ ἔργα αὐτῶν
καὶ τὰ παραπτώματα αὐτῶν, ὅτι ἰσχύσουσιν.
10 [10]ἀλλὰ τοῦ δικαίου εἰσακούσεται·
καὶ εἶπεν ὅτι ἐπιστραφήσονται ἐξ ἀδικίας.
11 [11]ἐὰν ἀκούσωσιν καὶ δουλεύσωσιν,
συντελέσουσιν τὰς ἡμέρας αὐτῶν ἐν ἀγαθοῖς,
καὶ τὰ ἔτη αὐτῶν ἐν εὐπρεπείαις.
12 [12]ἀσεβεῖς δὲ οὐ διασώζει, παρὰ τὸ μὴ βούλεσθαι εἰδέναι αὐτοὺς
τὸν κύριον,
καὶ διότι νουθετούμενοι ἀνήκοοι ἦσαν.
13 [13]καὶ ὑποκριταὶ καρδίᾳ τάξουσιν θυμόν·
οὐ βοήσονται, ὅτι ἔδησεν αὐτούς.
14 [14]ἀποθάνοι τοίνυν ἐν νεότητι ἡ ψυχὴ αὐτῶν,
ἡ δὲ ζωὴ αὐτῶν τιτρωσκομένη ὑπὸ ἀγγέλων,
15 [15]ἀνθ᾽ ὧν ἔθλιψαν ἀσθενῆ καὶ ἀδύνατον·
κρίμα δὲ πραέων ἐκθήσει.
16 [16]καὶ προσεπιηπάτησέν σε ἐκ στόματος ἐχθροῦ
ἄβυσσος, κατάχυσις ὑποκάτω αὐτῆς,
καὶ κατέβη τράπεζά σου πλήρης πιότητος.

3 αληθιας ℵA **5** γιγνωσκε δε] γινωσκω δε εγω A **6** ασεβων ℵ$^{c.a}$A ℵA **7** οφθαλμον A | βασιλεως ℵ* (-λεων ℵ$^{c.a\,(vid)}$) | om και 2° ℵA | εις νικος και] και εις ν. A | υψωθησεται A **8** συνσχεθησονται A | σχοινιοις] συχοινιοις ℵ* (improb υ ℵ^{1} postea ras) σχοινιω ℵ$^{c.a}$ **9** αυτων 1°] αυτοις ℵ^{1} | om και τα παραπτ. αυτων ℵ* (hab ℵ$^{c.a}$) | οτι] οταν A | ισχυσωσιν A **10** om εξ ℵ* (hab ℵ$^{c.a}$) | αδικιας] ακακιας ℵ* (αδικ. ℵ$^{c.a}$) **11** ευπρεπιαις ℵ **12** αυτους ιδεναι A **13** εδεησεν ℵ* (εδησεν ℵ$^{c.a}$) **14** αποθανη A | υπο] pr ειη A **16** προσεπιηπατησεν BℵA] προσετι ηπατησεν ℵ$^{c.a}$ | κατα-χυσεις A

B [17]οὐχ ὑστερήσει δὲ ἀπὸ δικαίων κρίμα, 17
[18]θυμὸς δὲ ἐπ᾽ ἀσεβεῖς ἔσται, 18
δι᾽ ἀσέβειαν δώρων ὧν ἐδέχοντο ἐπ᾽ ἀδικίαις.
[19]μή σε ἐκκλινάτω ἐκὼν ὁ νοῦς 19
δεήσεως ἐν ἀνάγκῃ ὄντων ἀδυνάτων,
καὶ πάντας τοὺς κραταιοῦντας ἰσχύν.
[20]μὴ ἐξελκύσῃς τὴν νύκτα, 20
τοῦ ἀναβῆναι λαοὺς ἀντ᾽ αὐτῶν·
[21]ἀλλὰ φύλαξαι μὴ πράξῃς ἄδικα· 21
ἐπὶ τοῦτον γὰρ ἐξείλω ἀπὸ πτωχείας.
[22]ἰδοὺ ὁ ἰσχυρὸς κραταιώσει ἐν ἰσχύι αὐτοῦ· 22
τίς γάρ ἐστιν κατ᾽ αὐτὸν δυνάστης;
[23]τίς δέ ἐστιν ὁ ἐτάζων αὐτοῦ τὰ ἔργα; 23
ἢ τίς ὁ εἶπας Ἔπραξεν ἄδικα;
[24]μνήσθητι ὅτι μεγάλα ἐστὶν αὐτοῦ τὰ ἔργα 24
ὧν ἦρξαν ἄνδρες·
[25]πᾶς ἄνθρωπος εἶδεν ἐν ἑαυτῷ, 25
ὅσοι τιτρωσκόμενοί εἰσιν βροτοί.
[26]ἰδοὺ ὁ ἰσχυρὸς πολύς, καὶ οὐ γνωσόμεθα· 26
ἀριθμὸς ἐτῶν αὐτοῦ καὶ ἀπέραντος.
[27]ἀριθμηταὶ δὲ αὐτῷ σταγόνες ὑετοῦ, 27
καὶ ἐπιχυθήσονται ὑετῷ εἰς νεφέλην·
[28]ῥυήσονται παλαιώματα, 28
ἐσκίασεν δὲ νέφη ἐπὶ ἀμυθήτῳ βροτῷ.
[28a]ὥραν ἔθετο κτήνεσιν, 28 a
οἴδασιν δὲ κοίτης τάξιν.
[28b]ἐπὶ τούτοις πᾶσιν οὐκ ἐξίσταταί σου ἡ διάνοια, 28 b
οὐδὲ διαλλάσσεταί σου ἡ καρδία ἀπὸ σώματος;

ℵA **17** ουχ] pr και A **18** εσται] ηξει A | δι] δια A | ασεβειας ℵ | αδικειας A **19** εκκλινη A | ο νους εκων A | εναγκη B* (εν αναγκη B[ab]) | οντων] ων των ℵ* (ουτ. ℵ[c.a]) | αδυνατων εν αναγκη οντων A | κρατουντας ℵ* (κραταιουντας ℵ[c.a]) **20** λαους] αδους A[vid] **21** om αλλα φυλαξαι μη πρ. αδικα A | αδικα] ατοπα ℵ[c.c] | επι] απο ℵ[c.a] | τουτων ℵ | πτωχιας A **22** κραταιωσει εν] κραταιως εν ℵ κραταιωσει σε εν A **23** om η ℵ | ειπας] ειπων A **24** μνησθητι]+ουν Ιωβ A | αυτου εστιν A | ων] ης ℵ* (ων ℵ[c.a]) **25** ιδεν A | εαυτω] αυτω ℵ | τιτρωσκομενοι] τιτ rescr ℵ[c.a] **26** om ου ℵ* (hab ℵ[c.a]) | αριθμος] αριθμητος ℵ **27** αριθμηται] αναριθμητοι ℵ* αριθμητοι ℵ[c.a] αριθμηται ℵ[c.c] | υετου σταγονες A | επιχθησονται ℵ* (επιχυθ. ℵ[c.a]) **28** επι αμυθητω] επιθυμητα ω ℵ* (om ω ℵ[1]) αμυθητων ℵ[c.a]A | βροτω̄ ℵ[1 (vid) c.a fort] βροτων A **28 a** οιδασιν δε] και οιδασιν A **28 b** εξιστατο A | διαλλασεται B* (διαλλασσ. B[ab]) | σωματος] pr του A

29 [29]καὶ ἐὰν συνῇ ἀπεκτάσεις νεφέλης, ἰσότητα σκηνῆς αὐτοῦ, B
30 [30]ἰδοὺ ἐκτενεῖ ἐπ᾽ αὐτὸν ἡ ᾠδή,
καὶ ῥιζώματα τῆς θαλάσσης ἐκάλυψεν.
31 [31]ἐν γὰρ αὐτοῖς κρινεῖ λαούς,
δώσει τροφὴν τῷ ἀκούοντι.
32 [32]ἐπὶ χειρῶν ἐκάλυψεν φῶς,
καὶ ἐνετείλατο περὶ αὐτῆς ἐν ἀπαντῶντι·
33 [33]ἀναγγελεῖ περὶ αὐτοῦ φίλον αὐτοῦ·
Κύριος κτῆσις καὶ περὶ ἀδικίας.
XXXVII 1 [1]καὶ ταύτης ἐταράχθη ἡ καρδία μου
καὶ ἀπερρύη ἐκ τοῦ τόπου αὐτῆς.
2 [2]ἄκουε ἀκοὴν ἐν ὀργῇ θυμοῦ Κυρίου,
καὶ μελέτη ἐκ στόματος αὐτοῦ ἐξελεύσεται.
3 [3]ὑποκάτω παντὸς τοῦ οὐρανοῦ ἀρχὴ αὐτοῦ,
καὶ τὸ φῶς αὐτοῦ ἐπὶ πτερύγων τῆς γῆς.
4 [4]ὀπίσω αὐτοῦ βοήσεται φωνῇ,
βροντήσει ἐν φωνῇ ὕβρεως αὐτοῦ·
καὶ οὐκ ἀνταλλάξει αὐτούς, ὅτι ἀκούσῃ φωνὴν αὐτοῦ.
5 [5§]βροντήσει ὁ ἰσχυρὸς ἐν φωνῇ αὐτοῦ θαυμάσια, § C
ἐποίησεν γὰρ μεγάλα ἃ οὐκ ᾔδειμεν·
6 [6]συντάσσων χιόνι Γίνου ἐπὶ τῆς γῆς,
καὶ χειμὼν ὑετός, καὶ χειμὼν ὑετῶν δυναστείας αὐτοῦ.
7 [7]ἐν χειρὶ παντὸς ἀνθρώπου κατασφραγίζει,
ἵνα γνῷ πᾶς ἄνθρωπος τὴν ἑαυτοῦ ἀσθένειαν.
8 [8]εἰσῆλθεν δὲ θηρία ὑπὸ σκέπην,
ἠσύχασαν δὲ ἐπὶ κοίτης.

29 *συνῃς* ℵ$^{c.a}$ (postea restit *-νῃ*) A | *απεκτασεις* (*-σις* Bℵ*)] *επεκτασιν* ℵ$^{c.a}$ ℵAC (mox revoc *απ.*) A **30** *αυτον*] *αυτην* ℵA | *η ωδη*] *ηδω* ℵ$^{c.a}$ adnot *τοξον* ℵ$^{c.a\ mg}$ *ωρηδον* (postea *ορ.*) ℵ$^{c.c\ vid}$ *το τοξον* A | *ριζωμα* A **31** *ακουοντι*] *ισχυοντι* ℵA **32** *αυτης*] *αυτου* ℵ$^{c.a}$ (restit *-της*) A$^{*\,vid}$ (*ης* sup ras A^{a}) **33** *φιλον*] *φιλος* ℵ$^{c.a}$A$^{*\,vid}$ (*ν* sup ras A^{a}) | *Κυριος*] ras $\overline{κς}$ A$^{?}$ | *κτησεις* A XXXVII **1** *ταυτης*] pr *υπερ* A **2** *ακουε*] + *Ιωβ* ℵ$^{c.a}$A | om *εν* ℵ* (superscr ℵ^{1}) **3** om *υποκατω...αυτου* A | *της γης*] om *της* A **4** *ανταλλαξη* ℵ* (*-ξει* ℵ^{1}) | *φωνης* ℵ* (*-νην* ℵ$^{c.a}$) **5** *αυτου εν φωνη* ℵ* (*εν φ. αυτου* ℵ$^{c.a}$) | *θαυμασια*] + *ωραν εθετο κτηνεσιν οιδασιν δε κοιτης ταξιν| επι τουτοις πασιν ουκ εξισταται σου η διανοια| ουδε διαλλασσεται σου η καρδια απο σωματος* C | *γαρ*] *δε* C | *ηδειμεν*] *ηδειν μεν* C^{vid} (post *ηδει* ras 1 lit C$^{?}$) **6** *γινου επι της γης*] *επι γης γεινου* A | om *και χειμων υετος* ℵ$^{c.a}$C | *χειμων* 1^{o}] *χειμωνι ινα η* A | *υετων*] *υετου* C | *δυναστιας* ℵ *δυναστειαις* A **7** *κατασφαγιζει* C* (*κατασφραγ.* C^{a}) | *ασθενιαν* ℵAC **8** *εισηλθον* A | *σκεπης* A | *ησυχασαν δε*] *και ησυχασεν* A

B
9 ἐκ ταμείων ἐπέρχονται ὀδύναι, 9
ἀπὸ δὲ ἀκρωτηρίων ψῦχος.
10 καὶ ἀπὸ πνοῆς Ἰσχυροῦ δώσει πάγος, 10
οἰακίζει δὲ τὸ ὕδωρ ὡς ἐὰν βούληται·
11 καὶ ἐκλεκτὸν καταπλάσσει νεφέλη. 11
διασκορπιεῖ νέφος φῶς αὐτοῦ.
12 καὶ αὐτὸς κυκλώματα διαστρέψει, 12
ἐν θεεβουλαθὼθ εἰς ἔργα αὐτῶν·
πάντα ὅσα ἂν ἐντείληται αὐτοῖς,
ταῦτα συντέτακται παρ᾽ αὐτοῦ ἐπὶ τῆς γῆς,
13 ἐάν εἰς παιδείαν, ἐὰν εἰς τὴν γῆν αὐτοῦ, 13
ἐὰν εἰς ἔλεος εὑρήσει αὐτόν.
14 ἐνωτίζου ταῦτα, Ἰώβ· 14
στῆθι, νουθετούμενος δύναμιν Κυρίου.
15 οἶδαμεν ὅτι ὁ θεὸς ἔθετο ἔργα αὐτοῦ, 15
φῶς ποιήσας ἐκ σκότους.
16 ἐπίσταται δὲ διάκρισιν νεφῶν, 16
ἐξαίσια δὲ πτώματα πονηρῶν.
17 σοῦ δὲ ἡ στολὴ θερμή· ἡσυχάζεται δὲ ἐπὶ τῆς γῆς. 17
18 στερεώσεις μετ᾽ αὐτοῦ εἰς παλαιώματα, 18
ἰσχυραὶ ὡς ὅρασις ἐπιχύσεως.
19 διὰ τί δίδαξόν με, τί ἐροῦμεν αὐτῷ· καὶ παυσώμεθα πολλὰ 19
λέγοντες.
20 μὴ βίβλος ἢ γραμματεύς μοι παρέστηκεν, 20
ἵνα ἄνθρωπον ἑστηκὼς κατασιωπήσω;
21 πᾶσιν δ᾽ οὐχ ὁρατὸν τὸ φῶς, 21
τηλαυγές ἐστιν ἐν τοῖς παλαιώμασιν,

ℵAC **9** ταμιων B*ℵC (-μειων B^{ab}A) | επερχονται] εξερχονται A | ακροτηριων A **10** οιακιζει] adnot διασχιζει| χωριζει· ἄ|π αλληλων $B^{a\,mg\,inf}$ οικιαζει ℵ* (οιακιζ. $ℵ^{c.a}$) οικεια A | το υδωρ] om το A **11** καταπλησσει $ℵ^{c.a}$A | om νεφελη C | διασκορπισει A om C **12** διαστρεφει ℵ | εν θεεβουλαθωθ εις] εθετο βουλαθεις (? εθετοβουλαθ εις) ℵ* ενθα εβουλετο θεις $ℵ^{c.a}$ (postea εν θεεβουλαθ εις) εν τοις κατωτατω θεις A εν θεεβουλαθωθ· εις C | αν] εαν ℵ | εντειλη A **13** εαν 1°]+τε ℵAC | παιδιαν ℵAC | εαν 2°]+τε ℵAC | εαν 3°]+τε A | ελεος]+αυτου A | om ευρησει αυτον A **14** Ιωβ ταυτα A | νουθετου ℵAC **15** οιδαμεν] οιδας A | οτι] ως A | ο θεος εθετο] εθετο ο θς A κς εθετο C | ποιησας φως A **16** επιστασαι A | διακρισιν] διαθεσιν ℵ **17** γης]+απο νοτου (postea νοτ.) $ℵ^{c.a}$ **18** στερεωσεις (σις Bℵ)] στερεωθεις A στερωσις C pr απο νοτου (inc stich) C | ισχυρα A | ορασεις A | επισχυσεως A **19** παυσομεθα ℵC **20** εστηκως] εστως A **21** δ] γαρ A δε C | το φως] om το A | παλαιωμασιν] pr .....ω̄ $ℵ^{c.a}$ (postea ras)

ὥσπερ τὸ παρ᾽ αὐτοῦ ἐπὶ νεφῶν. B
22 [22]ἀπὸ βορρᾶ νέφη χρυσαυγοῦντα·
ἐπὶ τούτοις μεγάλη ἡ δόξα καὶ τιμὴ Παντοκράτορος.
23 [23]καὶ οὐχ εὑρίσκομεν ἄλλον ὅμοιον τῇ ἰσχύι αὐτοῦ·
ὁ τὰ δίκαια κρίνων, οὐκ οἴει ἐπακούειν αὐτόν;
24 [24]διὸ φοβηθήσονται αὐτὸν οἱ ἄνθρωποι,
φοβηθήσονται δὲ αὐτὸν καὶ οἱ σοφοὶ καρδίᾳ.

XXXVIII 1 [1]Μετὰ δὲ τὸ παύσασθαι Ἐλιοὺν τῆς λέξεως εἶπεν ὁ κύριος τῷ
Ἰὼβ διὰ λαίλαπος καὶ νεφῶν
2 [2]Τίς οὗτος ὁ κρύπτων με βουλήν,
συνέχων δὲ ῥήματα ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν;
3 [3]ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου,
ἐρωτήσω δέ, σὺ δέ μοι ἀποκρίθητι.
4 [4]ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν;
ἀπάγγειλον δέ μοι, εἰ ἐπίστῃ σύνεσιν.
5 [5]τίς ἔθετο τὰ μέτρα αὐτῆς, εἰ οἶδας;
ἢ τίς ὁ ἐπαγαγὼν σπαρτίον ἐπ᾽ αὐτῆς;
6 [6]ἐπὶ τίνος οἱ κρίκοι αὐτῆς πεπήγασιν;
τίς δέ ἐστιν ὁ βαλὼν λίθον γωνιαῖον ἐπ᾽ αὐτῆς;
7 [7]ὅτε ἐγενήθησαν ἄστρα, ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγε-
λοί μου.
8 [8]ἔφραξα δὲ θάλασσαν πύλαις, ὅτε ἐμαίμασσεν ἐκ κοιλίας
μητρὸς αὐτὴ ἐκπορευομένη·
9 [9]ἐθέμην δὲ αὐτῇ νέφος ἀμφίασιν,
ὁμίχλῃ δὲ αὐτὴν ἐσπαργάνωσα·

21 νεφων] + εξελθεν (sic) A **22** χρυσαυνουντα C | Παντοκρατορος (-κρα- ℵAC
τος C)] pr παρα ℵ$^{c.c}$C pr του A **23** τη ισχυι] pr αυτω και A | ουκ οιει]
οιει οτι ουκ A ουκ οιη C | επακουειν] επακουσειν ℵ εισακουει A εισακουειν C |
24 οι ανθρωποι] om οι A | καρδια] pr τη A XXXVIII **1** evan in
C | Ιωβ] διωβ|αβολω ℵ* (improb δ ℵ^{1} αβολω improb et unc incl ℵ$^{?}$ |
νεφους A **2** κρυπτειν] + αλλα νυν C^{a} | om με ℵ* (hab ℵ$^{c.a}$) **3** δε
1°] + σε ℵAC **4** ης] ησθα A | εν τω θεμελιουν με] οτε εθεμελιωσα
A | απαγγειλον] αναγγειλον A | δε] om A δη C | επιστη] επιστασαι A
5 τα μετρα] om τα C | επαγαγων] επαγων C **6** επι] pr η ℵ | τινος] + δε
A | κρικοι] στυλοι A | βαλλων ℵ | αυτης 2°] αυτην C **7** εγενηθη A |
φωνη] pr εν A | μου] αυτου ℵ* (μου ℵ$^{c.a}$) + και υμνησαν A **8** εμαιμασ-
σεν] εμαιμαξεν ℵ* (-σσεν ℵ$^{c.a}$) εμεουτο A εμεμασεν C | εκ] pr και A | αυτης]
αυτης ℵAC | εκπορευομενη] εξεπορευετο A **9** αμφιεσιν C

B [10]ἐθέμην δὲ αὐτῇ ὅρια, περιθεὶς κλεῖθρα καὶ πύλας· 10
[11]εἶπα δὲ αὐτῇ Μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, 11
ἀλλ᾽ ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα.
[12]ἦ ἐπὶ σοῦ συντέταχα φέγγος πρωινόν, 12
ἑωσφόρος δὲ ἴδεν τὴν ἑαυτοῦ τάξιν,
[13]ἐπιλαβέσθαι πτερύγων γῆς, 13
ἐκτινάξαι ἀσεβεῖς ἐξ αὐτῆς;
[14]ἢ σὺ λαβὼν γῆν πηλὸν ἔπλασας ζῶον, 14
καὶ λαλητὸν αὐτὸν ἔθου ἐπὶ γῆς;
[15]ἀφεῖλας δὲ ἀπὸ ἀσεβῶν τὸ φῶς, 15
βραχίονα δὲ ὑπερηφάνων συνέτριψας;
[16]ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, 16
ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας;
¶ C [17]ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου,¶ 17
πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν;
[18]νενουθέτησαι δὲ τὸ εὖρος τῆς ὑπ᾽ οὐρανόν; ἀνάγγειλον δή μοι 18
πόση τίς ἐστιν.
[19]ποίᾳ δὲ γῇ αὐλίζεται τὸ φῶς, 19
σκότους δὲ ποῖος ὁ τόπος;
[20]εἰ ἀγάγοις με εἰς ὅρια αὐτῶν; 20
εἰ δὲ καὶ ἐπίστασαι τρίβους αὐτῶν;
[21]οἶδα ἄρα ὅτι τότε γεγέννησαι, 21
ἀριθμὸς δὲ ἐτῶν σου πολύς.
[22]ἦλθες δὲ ἐπὶ θησαυροὺς χιόνος, 22
θησαυροὺς δὲ χαλάζης ἑόρακας;
[23]ἀπόκειται δέ σοι εἰς ὥραν ἐχθρῶν, 23
εἰς ἡμέραν πολέμων καὶ μάχης;
[24]πόθεν δὲ ἐκπορεύεται πάχνη, 24
ἢ διασκεδάννυται νότος εἰς τὴν ὑπ᾽ οὐρανόν;
[25]τίς δὲ ἡτοίμασεν ὑετῷ λάβρῳ ῥύσιν, 25
ὁδὸν δὲ κυδοιμῶν,

ℵAC **10** πυλας sup ras B^{ab} **11** ειπα] ειπον A **12** φεγγος] φθεγγος C | ιδεν] ειδεν B^{ab}ℵ επιδεν A **13** εκτιναξαι] pr και A **14** γην] γης C | αυτον] αυτο (ras ν) $ℵ^{?}$A **15** αφειλας] αφιλω A αφειλες C | βραχιονα δε] και βραχ. A **16** ηλθας ℵ* (ηλθες $ℵ^{c.a}$) | πηγην] γην AC **17** αδου ℵ* (αδου $ℵ^{1}$) **18** δη] δε A | τις] ητις A **19** ποια] pr εν A | το φως] om το A | ποιος]+εστιν A | ο τοπος] om ο A **20** ει 1°]+αρα A **21** οιδας $ℵ^{c.c}$ | τοτε] εις τουτο A **22** χαλαζης] θαλασσης ℵ* (χαλ. $ℵ^{c.c}$) | εωρακας B^{ab}ℵ **23** αποκειται] απόκινται A | πολεμου ℵA **25** κυδοιμων] sign adnotat prae se fert B?

26 [26]τοῦ ὑετίσαι ἐπὶ γῆν οὗ οὐκ ἀνήρ, Β
ἔρημον οὗ οὐχ ὑπάρχει ἄνθρωπος ἐν αὐτῇ,
27 [27]τοῦ χορτάσαι ἄβατον καὶ ἀοίκητον,
καὶ τοῦ ἐκβλαστῆσαι ἔξοδον χλόης;
28 [28]τίς ἐστιν ὑετοῦ πατήρ;
τίς δέ ἐστιν ὁ τετοκὼς βώλους δρόσου;
29 [29]ἐκ γαστρὸς δὲ τίνος ἐκπορεύεται ὁ κρύσταλλος;
πάχνην δὲ ἐν οὐρανῷ τίς τέτοκεν
30 [30]ἢ καταβαίνει ὥσπερ ὕδωρ ῥέον;
πρόσωπον δὲ ἀσεβοῦς τίς ἔπτηξεν;
31 [31]συνῆκας δὲ δεσμὸν Πλειάδος,
καὶ φραγμὸν Ὡρίωνος ἤνοιξας;
32 [32]ἢ διανοίξεις Μαζουρὼθ ἐν καιρῷ αὐτοῦ,
καὶ Ἔσπερον ἐπὶ κόμης αὐτοῦ, ἄξεις αὐτά;
33 [33]ἐπίστασαι δὲ τροπὰς οὐρανοῦ
ἢ τὰ ὑπ' οὐρανὸν ὁμοθυμαδὸν γινόμενα;
34 [34]καλέσεις δὲ νέφος φωνῇ, καὶ τρόμῳ ὕδατος λάβρῳ ὑπακούσεταί σου;
35 [35]ἀποστελεῖς δὲ κεραυνοὺς καὶ πορεύσονται;
ἐροῦσιν δέ σοι Τί ἐστιν;
36 [36]τίς δὲ ἔδωκεν γυναιξὶν ὑφάσματος σοφίαν ἢ ποικιλτικὴν ἐπιστήμην;
37 [37]τίς δὲ ὁ ἀριθμῶν νέφη σοφίᾳ,
οὐρανὸν δὲ εἰς γῆν ἔκλινεν;
38 [38]κέχυται δὲ ὥσπερ γῆ κονία,
κεκόλληκα δὲ αὐτὸν ὥσπερ λίθῳ κύβον.
39 [39]θηρεύσεις δὲ λέουσιν βοράν,
ψυχὰς δὲ δρακόντων ἐμπλήσεις;
40 [40]δεδοίκασιν γὰρ ἐν κοίταις αὐτῶν,
κάθηνται δὲ ἐν ὕλαις ἐνεδρεύοντες.

26 γην] την γην ℵ γης A **28** βωλους] pr συνοχας και A **29** ο ℵA κρυσταλλος] om ο ℵA | παχνη A **30** ωσπερ] ως A | επτηξεν] ετηξεν ℵA **31** συνηκας c praec coniung A | δεσμον δε A | Πλειαδος (Πλιαδ. ℵA)] + εγνως A | και] η A | φραγμον] βραγμον B^a (φρ. B^{*b}) **32** αξεις] pr και A **34** τρομω] δρομω A | υδατος λαβρω] λαβρω υδατος ℵ υδ. λαβρου A | υπακουσεται] επακουσεται ℵ **36** om δε A | γυναικι A | η] και A | ποικιλτικην (ποικιατ. A)] + σοφιας A **37** ο αριθμων (-θμω $ℵ^{edit}$)] om ο ℵ* (superscr ο $ℵ^1$) | ουρανον] οὖνος ℵ **38** δε 1°] γαρ A | γη] γης A | κεκολληκεν A | λιθω κυβον] κυβον λιθοις A

B [41]τίς δὲ ἡτοίμασεν κόρακι βοράν; 41
νεοσσοὶ γὰρ αὐτοῦ πρὸς Κύριον κεκράγασιν, πλανώμενοι τὰ σῖτα ζητοῦντες.
[1]εἰ ἔγνως καιρὸν τοκετοῦ τραγελάφων πέτρας, 1 XXXIX
ἐφύλαξας δὲ ὠδῖνας ἐλάφων;
[2]ἠρίθμησας δὲ μῆνας αὐτῶν πλήρεις τοκετοῦ, 2
ὠδῖνας δὲ αὐτῶν ἔλυσας;
[3]ἐξέθρεψας δὲ αὐτῶν τὰ παιδία ἔξω φόβου; 3
ὠδῖνας αὐτῶν ἐξαποστελεῖς;
[4]ἀπορρήξουσιν τὰ τέκνα αὐτῶν, πληθυνθήσονται ἐν γενήματι· 4
ἐξελεύσονται, καὶ οὐ μὴ ἀνακάμψουσιν αὐτοῖς.
[5]τίς δέ ἐστιν ὁ ἀφεὶς ὄνον ἄγριον ἐλεύθερον, 5
δεσμοὺς δὲ αὐτοῦ τίς ἔλυσεν;
[6]ἐθέμην δὲ τὴν δίαιταν αὐτοῦ ἔρημον, 6
καὶ τὰ σκηνώματα αὐτοῦ ἁλμυρίδα.
[7]καταγελῶν πολυοχλίας πόλεως, 7
μέμψιν δὲ φορολόγου οὐκ ἀκούων,
[8]κατασκέψεται ὄρη, νομὴν αὐτοῦ, 8
καὶ ὀπίσω παντὸς χλωροῦ ζητεῖ.
[9]βουλήσεταί δέ σοι μονόκερως δουλεῦσαι, 9
ἢ κοιμηθῆναι ἐπὶ φάτνης σου;
[10]δήσεις δὲ ἐν ἰμᾶσι ζυγὸν αὐτοῦ, 10
ἢ ἑλκύσει σου ἄὐλακας ἐν πεδίῳ;
[11]πέποιθας δὲ ἐπ᾽ αὐτῷ, ὅτι πολλὴ ἰσχὺς αὐτοῦ, 11
ἐπαφήσεις δὲ αὐτῷ τὰ ἔργα σου;
[12]πιστεύσεις δὲ ὅτι ἀποδώσει σοι τὸν σπόρον, 12
εἰσοίσει δέ σου τὸν ἅλωνα;

ℵA **41** γαρ] δε A | αυτου προς Κυριον] προς κν̄ αυτου A | σιτα] adnot τας τροφας| τα βρωμα|τα B[a mg] XXXIX **1—3** ει εγνως...εξω φοβου] εφυλαξας δε ωδινας ελαφω̄| ηριθμησας δε αυτων μηνας πληρεις τοκετου| ωδινας δε αυτων ελυσας| εξεθρεψας δε αυτων τα παιδια| ανευ φοβου· η εγνως καιρον τοκειτου τραγελαφων πετρας· A **2** αυτων μηνας ℵ | πληρεις] πληρης B **3** ωδινας] + δε ℵ[c.a] (postea improb) A | εξαποστελλεις ℵ* (-στελεις ℵ[c.a]) **4** γεννηματι A | εξελευσονται] + δε ℵ[c.a] (postea improb) | αυτοις] εαυτοις ℵ[c.a]A **6** αυτου την διαιταν A **7** πολυοχλιας B[b] (-χλειας B*) ℵ πολυοχιας A **8** ζητει] ζητησει A **9** μονοκερως] pr ατραπελος A | δουλευσαι] δουλευειν ℵ* (-σαι ℵ[c.a]) | φατνης] παθμη ℵ* φατνη ℵ[c.a] **10** δησεις] δεησεις ℵ* (ε improb et postea ras ℵ[?]) | εν ιμασι ζυγον αυτου] εν ιμασιν ζ. αυτ. ℵ αυτ. εν ειμασιν ζ. A | σου] σοι A **11** δε 1° τ ℵ* δ ℵ[c.a] | ισχυς] pr η ℵA | επαφησεις δε] και επαφ. A **12** δε 1°] + αυτω ℵ* (improb ℵ[c.a]) A | εισοισει δε] και εισοισει A | τον αλωνα] την αλ. A

13 [13]πτέρυξ τερπομένων, ἐὰν συλλάβῃ ἁσιδὰ καὶ νεσσά· B
14 [14]ὅτι ἀφήσει εἰς γῆν τὰ ᾠὰ αὐτῆς, καὶ ἐπὶ χοῦν θάλψει·
15 [15]καὶ ἐπελάθοντο ὅτι ποὺς σκορπιεῖ
καὶ θηρία ἀγροῦ καταπατήσει.
16 [16]ἀπεσκλήρυνεν τὰ τέκνα ἑαυτῆς, ὥστε μὴ ἑαυτήν·
εἰς κενὸν ἐκοπίασεν ἄνευ φόβου.
17 [17]ὅτι κατεσιώπησεν αὐτῇ ὁ θεὸς σοφίαν,
καὶ οὐκ ἐμέρισεν αὐτῇ ἐν τῇ συνέσει.
18 [18]κατὰ καιρὸν ἐν ὕψει ὑψώσει,
καταγελάσεται ἵππου καὶ τοῦ ἐπιβάτου αὐτοῦ.
19 [19]ἦ σὺ περιέθηκας ἵππῳ δύναμιν,
ἐνέδυσας δὲ τραχήλῳ αὐτοῦ φόβον;
20 [20]περιέθηκας δὲ αὐτῷ πανοπλίαν,
δόξαν δὲ στηθέων αὐτοῦ τόλμῃ;
21 [21]ἀνορύσσων ἐν πεδίῳ γαυριᾷ,
ἐκπορεύεται δὲ εἰς πεδίον ἐν ἰσχύι·
22 [22]συναντῶν βασιλεῖ καταγελᾷ,
καὶ οὐ μὴ ἀποστραφῇ ἀπὸ σιδήρου.
23 [23]ἐπ᾽ αὐτῷ γαυριᾷ τόξον καὶ μάχαιρα,
24 [24]καὶ ὀργῇ ἀφανιεῖ τὴν γῆν·
καὶ οὐ μὴ πιστεύσῃ ἕως ἂν σημάνῃ σάλπιγξ.
25 [25]σάλπιγγος δὲ σημαινούσης λέγει Εὖγε·
πόρρωθεν δὲ ὀσφραίνεται πολέμου σὺν ἅλματι καὶ κραυγῇ.
26 [26]ἐκ δὲ τῆς σῆς ἐπιστήμης ἔστηκεν ἱέραξ,
ἀναπετάσας τὰς πτέρυγας ἀκίνητος, καθορῶν τὰ πρὸς νότον;
27 [27]ἐπὶ δὲ σῷ προστάγματι ὑψοῦται ἀετός,
28 γὺψ δὲ ἐπὶ νοσσιᾶς αὐτοῦ [28]καθεσθεὶς αὐλίζεται, [28]ἐπ᾽ ἐξοχῇ
πέτρας καὶ ἀποκρύφῳ;

13 τερπομενων] + νεελασα ℵ$^{c.c}$A | συνλαβη ℵ | ασιδα] ασειδα ℵ ασσιδα A* ℵA (ασιδα A^{a}) pr η ℵ | νεσσα (νεεσσ. A)] + ελαλησαν A **14** ωα] ωτα ℵA | θαλψει] θαιψει ℵ* ^{vid} (θαλψ. ℵ^{1}) **15** επελαθοντο] επελθοντος ℵ* (επελαθ. ℵ$^{c.a}$) επελαθετο A | πους] που ℵ$^{c.a}$ **16** εαυτης] αυτης ℵA **17** κατεσιωπησεν] κατεπηξεν ℵ* (κατεσιωπ. ℵ$^{c.a}$) | om ουκ ℵ* (hab ℵ$^{c.a}$) | αυτη 2°] αυτης ℵ* (-τη ℵ$^{c.a}$) + ο θς A **18** καιρων A | om εν ℵ* (hab ℵ$^{c.a}$) | υψωσει υψει ℵ* υψωσει εν υψει ℵ$^{c.a}$ | ιππου] αυτου ℵ* (ιππ. ℵ$^{c.a}$) **19** ενεδυσας δε] και ενεδυσας A **20** δοξαν δε] και δοξη A | τολμῃ] A **21** ανορυσσων] α ορυσσων B^{b} | πεδιω] ποδι ℵ$^{c.a}$ (postea revoc πεδ.) **22** βασιλει] βελει ℵ$^{c.c}$ A (-λι) | απο σιδηρου] σιδηρον A **23** επ αυτω] + γαρ ℵ | μαχαιρα] pr οξυσθενης A **24** σημανη] σημανιει (sic) A **25** λεγει] ερει A | συν] pr και A | και] om και ℵ* (hab ℵ$^{1\,(vid)\,c.a}$) | κραυγης ℵ* (-γη ℵ^{1})] + εκπορευετ, A **27** επι δε] η επι A | σω] pr τω A

B [29]ἐκεῖσε ὧν ζητεῖ τὰ σῖτα, 29
πόρρωθεν οἱ ὀφθαλμοὶ αὐτοῦ σκοπεύουσιν·
[30]νεοσσοὶ δὲ αὐτοῦ φύρονται ἐν αἵματι, 30
οὗ δ' ἂν ὦσι τεθνεῶτες παραχρῆμα εὑρίσκονται.

[31]Καὶ ἀπεκρίθη Κύριος ὁ θεὸς τῷ Ἰὼβ καὶ εἶπεν 31 (1) (XL)
[32]Μὴ κρίσιν μετὰ Ἱκανοῦ ἐκκλινεῖ; 32 (2)
ἐλέγχων δὲ θεὸν ἀποκριθήσεται αὐτήν;

[33]Ὑπολαβὼν δὲ Ἰὼβ λέγει τῷ κυρίῳ 33 (3)
[34]Τί ἔτι ἐγὼ κρίνομαι, νουθετούμενος καὶ ἐλέγχων Κύριον, 34 (4)
ἀκούων τοιαῦτα οὐθὲν ὤν;
ἐγὼ δὲ τίνα ἀπόκρισιν δώσω πρὸς ταῦτα;
χεῖρα θήσω ἐπὶ στόματί μου.
[35]ἅπαξ λελάληκα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω. 35 (5)

[1]Ἔτι δὲ ὑπολαβὼν ὁ κύριος εἶπεν τῷ Ἰὼβ ἐκ τοῦ νέφους 1 (6) XL
[2]Μή, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου, 2 (7)
ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀπόκριναι·
[3]μὴ ἀποποιοῦ μου τὸ κρίμα. 3 (8)
οἴει δέ με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος;
[4]ἢ βραχίων σοί ἐστιν κατὰ τοῦ κυρίου, 4 (9)
ἢ φωνῇ κατ' αὐτοῦ βροντᾷς;
[5]ἀνάλαβε δὴ ὕψος καὶ δύναμιν, 5 (10)
δόξαν δὲ καὶ τιμὴν ἀμφίεσαι.
[6]ἀπόστειλον δὲ ἀγγέλους ὀργῆ, 6 (11)
πᾶν δὲ ὑβριστὴν ταπείνωσον,
[7]ὑπερήφανον δὲ σβέσον· 7 (12)

ℵA **29** ζητει] ζησει ℵ* (-τει ℵc.a) | πορρωθεν] + δε A **30** ου δ αν] ουδε εαν A | ωσιν ℵA **32** εκκλινει] εκκλινιν ℵ* κρινις ℵc.a (postea restit εκκλινιν) | om δε ℵA | αποκριθησεται] υποκριθ. ℵ* (αποκρ. ℵc.a mox restit υποκρ.) | αυτην] αυτω ℵc.a (mox revoc -την) **33** λεγει] ειπεν A **34** om ετι ℵ* (hab ℵc.a) | ελεγχων Κυριον] ελεγχομενος υπο κῡ A | ουθεν ων] μηδεν ων εγω A | εγω δε τινα αποκρισιν] αποκρ. δε τινα A | δωσω] δω ℵA **35** λελαληκα] ελαλησα A XL **1** om δε ℵ | ο κυριος] θ pro ο 1° ℵ* vid (ο ℵ1) | εκ] δια A **2** αποκρινai] αποκριθητι ℵA **3** μη αποποιου] η αποποιη ℵc.a (mox restit μη αποποιου) | οιει δε] οιη δε ℵ μηδε οιου A | η] αλλ A | δικαιος αναφανης A **4** η 1°] ει A | του κυριου] κῡ ℵc.a (postea revoc του κυ) A | φωνη] + βροντης A | αυτου] αυτον ℵA | βροντας] φροντις ℵ* (βροντας ℵc.a) βροντα ϊσα A **5** δη] δε A | υψος] pr εις A | om και 1° A | om δε A | αμφιασαι ℵA **6** οργη] εν ο. σου A | παν] παντα A

σῆψον δὲ ἀσεβεῖς παραχρῆμα, B
(13) 8 [8]κρύψον δὲ εἰς γῆν ὁμοθυμαδόν,
τὰ δὲ πρόσωπα αὐτῶν ἀτιμίας ἔμπλησον·
(14) 9 [9]ὁμολογήσω ὅτι δύναταί σου ἡ δεξιά σου σῶσαι.
(15) 10 [10]ἀλλὰ δὴ ἰδοὺ δὴ θηρία παρὰ σοί, χόρτον ἴσα βουσὶν ἐσθίουσιν.
(16) 11 [11]ἰδοὺ δὴ ἰσχὺς αὐτοῦ ἐπ' ὀσφύι,
ἡ δὲ δύναμις ἐπ' ὀμφαλοῦ γαστρός·
(17) 12 [12]ἔστησεν οὐρὰν ὡς κυπάρισσον,
τὰ δὲ νεῦρα αὐτοῦ συμπέπλεκται·
(18) 13 [13]αἱ πλευραὶ αὐτοῦ πλευραὶ χάλκειαι,
ἡ δὲ ῥάχις αὐτοῦ σίδηρος χυτός.
(19) 14 [14]τοῦτ' ἔστιν ἀρχὴ πλάσματος Κυρίου, πεποιημένον ἐνκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ.
(20) 15 [15]ἐπελθὼν δὲ ἐπ' ὄρος ἀκρότομον ἐποίησεν χαρμονὴν τετράποσιν ἐν τῷ ταρτάρῳ·
(21) 16 [16]ὑπὸ παντοδαπὰ δένδρα κοιμᾶται,
παρὰ πάπυρον καὶ κάλαμον καὶ βούτομον·
(22) 17 [17]σκιάζονται δὲ ἐν αὐτῷ δένδρα μεγάλα σὺν ῥαδάμνοις, καὶ κλῶνες ἀγροῦ.
(23) 18 [18]ἐὰν γένηται πλήμμυρα, οὐ μὴ αἰσθηθῇ,
πέποιθεν ὅτι προσκρούσει ὁ Ἰορδάνης εἰς τὸ στόμα αὐτοῦ·
(24) 19 [19]ἐν τῷ ὀφθαλμῷ αὐτοῦ δέξεται αὐτόν;
ἐνσκολιευόμενος τρήσει ῥῖνα;
(25) 20 [20]ἄξεις δὲ δράκοντα ἐν ἀγκίστρῳ,
[§]περιθήσεις δὲ φορβεὰν περὶ ῥῖνα αὐτοῦ; § C
(26) 21 [21]εἰ δήσεις κρίκον ἐν τῷ μυκτῆρι αὐτοῦ,
ψελίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτοῦ;

8 δε 1°] + αυτους ℵ$^{c.a}$ (postea del) A | γην] + εξω ℵA **9** ομολογησω] + αρα ℵAC A | σου η δεξια A **10** αλλα δη ιδου δη] αλλα δη ιδου ℵ αλλ ιδου A | παρα σοι θηρια A | ισα βουσιν] χορτον A | εσθιει ℵA **11** ισχυς] pr η ℵA | επ οσφυι] επι οσφυος αυτου A | δυναμις] + αυτου ℵA | γαστρος] + αυτου A **12** ουραν] + αυτου A [ως] ω ℵ* (ως ℵ^{1}) ωσπερ A | συμπεπλεκται (συνπεπλ. ℵ)] pr ωσπερ σχοινια A **13** πλευραι χαλκειαι] ως πετραι χαλκαι A | σιδηρος] pr ως A **14** τουτ] τουτο ℵ$^{c.a}$ (postea ras ο) A | ενκαταπαιζεσθαι (εγκ. B^{b})] pr εις το A **16** καλαμον κ. παπυρον A **17** om εν A | ραδαμνοις] ραμνοις ℵ* (ραδ. ℵ$^{c.a}$) δαραμνοις A | αγρου] αγνου ℵ$^{c.a}$A **18** αισθηθη] εσθηι A **19** ρινα] + αυτου A **20** αγγιστρω B ℵ* (αγκ. ℵ$^{c.a}$ A) | περιθησεις].....σεις C | φορβεαν BℵAC | περι] επι C | ρινον C **21** ει (η C) δησεις] και ειλησεις A | κρικον] κλοιον A | [ψελ]λιω C^{vid}

B [22]λαλήσει δέ σοι δεήσει, ἱκετηρία μαλακῶς; 22 (27)
[23]θήσεται διαθήκην μετὰ σοῦ; 23 (28)
λήμψῃ δὲ αὐτὸν δοῦλον αἰώνιον;
[24]παίξῃ δὲ ἐν αὐτῷ ὥσπερ ὀρνέῳ, ἢ δήσεις αὐτὸν ὥσπερ 24 (29)
στρουθίον παιδίῳ;
[25]ἐνσιτοῦνται δὲ ἐν αὐτῷ ἔθνη, 25 (30)
μεριτεύονται δὲ αὐτὸν Φοινίκων ἔθνη;
[26]πᾶν δὲ πλωτὸν συνελθὸν οὐ μὴ ἐνέγκωσιν βύρσαν μίαν 26 (31)
οὐρᾶς αὐτοῦ,
καὶ ἐν πλοίοις ἁλιέων κεφαλὴν αὐτοῦ.
[27]ἐπιθήσει δὲ αὐτῷ χεῖρα, μνησθεὶς πόλεμον τὸν γινόμενον ἐν 27 (32)
σώματι αὐτοῦ.
[1]οὐδὲ ἐπὶ τοῖς λεγομένοις τεθαύμακας; 1 XLI
[(2)]οὐδὲ δέδοικας ὅτι ἡτοίμασταί μοι; (2)
[2]τίς γάρ ἐστιν ὁ ἐμοὶ ἀντιστάς; 2 (3)
ἢ τίς ἀντιστήσεταί μοι καὶ ὑπομενεῖ;
εἰ πᾶσα ἡ ὑπ' οὐρανὸν ἐμή ἐστιν,
[3]οὐ σιωπήσομαι δι' αὐτόν, 3 (4)
καὶ λόγον δυνάμεως ἐλεήσει τὸν ἴσον αὐτοῦ.
[4]τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ; 4 (5)
εἰς δὲ πτύξιν θώρακος αὐτοῦ τίς ἂν εἰσέλθοι;
[5]πύλας προσώπου αὐτοῦ τίς ἀνοίξει; 5 (6)
κύκλῳ ὀδόντων αὐτοῦ φόβος.
[6]τὰ ἔγκατα αὐτοῦ ἀσπίδες χάλκειαι, 6 (7)
σύνδεσμος αὐτοῦ ὥσπερ σμιρίτης λίθος·
[7]εἷς τοῦ ἑνὸς κολλῶνται, 7 (8)

ℵAC **22** δεησεις A | ικετηρια] pr η ℵ και ικετηριας A | μαλακη ℵ* (-κως ℵ$^{c.a}$) **23** θησεται]+ δε ℵAC | μετα σου διαθηκην AC | ληψη C^{vid} **24** παιξη. δε εν] και εμπεξις A | η δησεις] δησεις δε A **25** εν αυτω] αυτον A | μεριτευονται δε] μεριου incep ℵ* (μεριτ. δε ℵ^{1}) μεριουνται δε ℵ$^{c.a}$ (sed postea revoc μεριτ. δε) και μεριτευονται A | Φενικων C | εθνη 2°] γενη AC **26** ενεγκη A | βυρσαν μιαν] β. μιας ℵ* (β. μιαν ℵ$^{c.a}$) μιαν βυρσαν A **27** επιθησει] επιθησεις ℵA^{a} (πιθησεις sup ras) [επι]θησεις C | αυτω] pr επ ℵA | πολεμου του γιγνομενου A | σωματι] pr τω A | αυτου]+ και μηκετι γινεσθω ℵ$^{c.a}$ (postea ras) AC XLI **1** ουδε 1°] pr ουκ εορακας αυτον ℵ$^{c.a}$ (rurs ras) pr ουχ εορακας αυτον AC^{vid} | δεδοικας]+ αυτον ℵ$^{c.a}$ (postea improb) A | μοι] σοι A **2** γαρ] δε ℵ* (γαρ ℵ$^{c.a}$) | αντιστας] ανθισταμενος A | τις 2°]+ εστιν ος A | ει] η ουχι A **3** λογος A | αυτω C **4** τις 1°]+ δε A | ανακαλυψει A **5** πυλας]+ δε ℵ$^{c.a}$ (postea ras δε) A **6** εγκατα (ενκ. ℵA)] + δε A | χαλκειαι] χαλκαι ℵA χαλκεαι C | συνδεσμος] συνδεσμοι A+δε ℵC pr και A | σμιριτος A **7** του ενος] pr εκ A

πνεῦμα δὲ οὐ μὴ διέλθῃ αὐτόν· B

(9) 8 [8]ἀνὴρ τῷ ἀδελφῷ αὐτοῦ προσκολληθήσεται·
συνέχονται, καὶ οὐ μὴ ἀποσπασθῶσιν.

(10) 9 [9]ἐν πταρμῷ αὐτοῦ ἐπιφαύσκεται φέγγος,
οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἶδος ἑωσφόρου.

(11) 10 [10]ἐκ στόματος αὐτοῦ ἐκπορεύονται λαμπάδες καιόμεναι,
καὶ διαρριπτοῦνται ἐσχάραι πυρός.

(12) 11 [11]ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς καμίνου καιομένης
πυρὶ ἀνθράκων·

(13) 12 [12]ἡ ψυχὴ αὐτοῦ ἄνθρακες,
φλὸξ δὲ ἐκ στόματος αὐτοῦ ἐκπορεύεται.

(14) 13 [13]ἐν δὲ τραχήλῳ αὐτοῦ αὐλίζεται δύναμις,
ἔμπροσθεν αὐτοῦ τρέχει ἀπωλία.

(15) 14 [14]σάρκες δὲ σώματος αὐτοῦ κεκόλληνται·
καταχέει ἐπ᾽ αὐτόν, οὐ σαλευθήσεται.

(16) 15 [15]ἡ καρδία αὐτοῦ πέπηγεν ὡς λίθος,
ἔστηκεν δὲ ὥσπερ ἄκμων ἀνήλατος.

(17) 16 [16]στραφέντος δὲ αὐτοῦ φόβος θηρίοις τετράποσιν ἐπὶ γῆς
ἀλλομένοις.

(18) 17 [17]ἐὰν συναντήσωσιν αὐτῷ λόγχαι, οὐδὲν μὴ ποιήσωσιν
δόρυ καὶ θώρακα·

(19) 18 [18]ἥγηται μὲν γὰρ σίδηρον ἄχυρα,
χαλκὸν δὲ ὥσπερ ξύλον σαθρόν.

(20) 19 [19]οὐ μὴ τρώσῃ αὐτὸν τόξον χάλκειον·
ἥγηται μὲν πετροβόλον χόρτον,

(21) 20 [20]ὡς καλάμη ἐλογίσθησαν σφυρά,
καταγελᾷ δὲ σεισμοῦ πυρφόρου.

(22) 21 [21]ἡ στρωμνὴ αὐτοῦ ὀβελίσκοι ὀξεῖς,

7 αυτον] pr δι ℵ* (om δι ℵ$^{c.a}$) **8** αυτου] εαυτου ℵ | συνεχωνται ℵAC A | αποσπασθωσιν] παθωσιν ℵ* αποσπαθωσιν ℵ$^{c.a}$ **9** επιφωσκεται A | om δε C **10** διαριπτουνται ℵ$^{c.a}$A (hiat C) **11** πυρι] φλογι A **13** αυλιζεται] αυλιζ sup ras B^{ab} | εμπροσθεν A | τρεχει] προτρεχει A | απωλεια B^{ab} **14** om σωματος ℵ | κεκολληνται] ante κεκ. 2 vel 3 litt (?κε vel και) perier in C **15** ως] ωσπερ AC **16** om δε A | αλλομενοις επι γης A **17** ουδεν] ουδε C | μη] pr ου ℵ$^{c.a}$A | ποιησωσιν] + αυτω ℵ$^{c.a}$ (postea ras) A ποιησουσιν C | δορυ] + επηρμενον ℵ$^{c.a}$C | θωρακ A **18** αχυρα] pr ωσπερ ℵ$^{c.a}$ (postea ras) A **19** om τοξον χαλκειον A | χαλκεον C | μεν] γαρ A om C | πετροβολον μεν ℵ$^{c.a}$ | χορτον] pr ως AC **20** καλαμην ℵC | ελογισθησαν] ελογισατο ℵ ελογισθη αυτω A | σφυρα] σφυραν ℵ$^{c.a}$C σφυραι ℵ$^{c.c}$ **21** στρωμη ℵ* (-μνη ℵ$^{c.a}$)

B πᾶς δὲ χρυσὸς θαλάσσης ὑπ' αὐτὸν ὥσπερ πηλὸς ἀμύθητος.
22 ἀναζεῖ τὴν ἄβυσσον ὥσπερ χαλκεῖον· 22 (23)
ἤγηται δὲ τὴν θάλασσαν ὥσπερ ἐξάλιπτρον,
23 τὸν δὲ τάρταρον τῆς ἀβύσσου ὥσπερ αἰχμάλωτον· 23 (24)
ἐλογίσατο ἄβυσσον εἰς περίπατον.
24 οὐκ ἔστιν οὐδὲν ἐπὶ τῆς γῆς ὅμοιον αὐτῷ, πεποιημένον 24 (25)
ἐνκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων μου·
25 πᾶν ὑψηλὸν ὁρᾷ, 25 (26)
αὐτὸς δὲ βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασιν.

1 Ὑπολαβὼν δὲ Ἰὼβ λέγει τῷ κυρίῳ 1 XLII
2 Οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐθέν. 2
3 τίς γάρ ἐστιν ὁ κρύπτων σε βουλήν; 3
φειδόμενος δὲ ῥημάτων, καὶ σὲ οἴεται κρύπτειν;
τίς δὲ ἀναγγελεῖ μοι ἃ οὐκ ᾔδειν,
μεγάλα καὶ θαυμαστὰ ἃ οὐκ ἠπιστάμην;
4 ἄκουσον δέ μου, Κύριε, ἵνα κἀγὼ λαλήσω· 4
ἐρωτήσω δέ, σὺ δέ με δίδαξον.
5 ἀκοὴν μὲν ὠτὸς ἤκουόν σου τὸ πρότερον, 5
νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑόρακέν σε.
6 διὸ ἐφαύλισα ἐμαυτὸν καὶ ἐτάκην· 6
ἤγημαι δὲ ἐγὼ ἐμαυτὸν γῆν καὶ σποδόν.

7 Ἐγένετο δὲ μετὰ τὸ λαλῆσαι τὸν κύριον πάντα τὰ ῥήματα 7
ταῦτα τῷ Ἰώβ, εἶπεν ὁ κύριος Ἐλιφὰς τῷ Θαιμανείτῃ
Ἥμαρτες σὺ καὶ οἱ φίλοι σου·
οὐ γὰρ ἐλαλήσατε ἐνώπιόν μου ἀληθὲς οὐδέν, ὥσπερ ὁ θεράπων μου Ἰώβ.

ℵAC **21** πηλος] πυλος ℵ* (πηλ. ℵ1) **22** εξαλειπτρον B^{ab} **23** ωσπερ] ω sup ras B^{ab} | εις] ως C **24** της γης] om της A την γην C (ante την litt nonnull (? ολην) evanuer in C) | πεποιημ. c praec coniung ℵ | εγκαταπαιζεσθαι B^{ab}C | om μου ℵ* (hab ℵ$^{c.a}$) XLII **1** evan in C **2** δυνασαι παντα AC | σοι δε ℵ | ουθεν] ουδεν AC **3** om τις γαρ...βουλην ℵ* (hab ℵ$^{c.a}$) | τις δε αναγγελει] τις δε αναγγελλει ℵ αν|ηγγελη δε A | επισταμην C **4** δε 1°] δη A | δε 2°] + σε ℵA (hiat C) **5** ακοην μεν ωτος] εως μεν ωτος ακοης A | εωρακεν B^{ab}ℵC **6** ηγημαι] ηγη A | om εγω ℵ$^{c.a}$AC | εμαυτον εγω ℵ* **7** om ταυτα A | Ελιφαζ ℵA Ελιφας C | Θαιμανιτη ℵC Θεμανιτη A | φιλοι] pr δυο ℵAC

8 [8]νῦν δὲ λάβετε ἑπτὰ μόσχους καὶ ἑπτὰ κριούς, B
καὶ πορεύθητε πρὸς τὸν θεράποντά μου Ἰώβ, καὶ ποιήσει
καρπώσεις περὶ ὑμῶν.
Ἰὼβ δὲ ὁ θεράπων μου εὔξεται περὶ ὑμῶν,
ὅτι εἰ μὴ πρόσωπον αὐτοῦ λήμψομαι·
εἰ μὴ γὰρ δι᾽ αὐτόν, ἀπώλεσα ἂν ὑμᾶς·
οὐ γὰρ ἐλαλήσατε κατὰ τοῦ θεράποντός μου Ἰὼβ ἀληθές.
9 [9]ἐπορεύθη δὲ Ἐλιφὰς ὁ Θαιμανείτης καὶ Βαλδὰδ ὁ Σαυχίτης
καὶ Σωφὰρ ὁ Μιναῖος,
καὶ ἐποίησαν καθὼς συνέταξεν αὐτοῖς ὁ κύριος·
καὶ ἔλυσεν τὴν ἁμαρτίαν αὐτοῖς διὰ Ἰώβ.
10 [10]ὁ δὲ κύριος ηὔξησεν τὸν Ἰώβ·
εὐξαμένου δὲ αὐτοῦ καὶ περὶ τῶν φίλων ἀφῆκεν αὐτοῖς τὴν
ἁμαρτίαν·
ἔδωκεν δὲ ὁ κύριος διπλᾶ ὅσα ἦν ἔμπροσθεν Ἰὼβ εἰς
διπλασιασμόν.
11 [11]ἦκουσαν δὲ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ αὐτοῦ
πάντα τὰ συμβεβηκότα αὐτῷ,
καὶ ἦλθον πρὸς αὐτόν,
καὶ πάντες ὅσοι ἤδεισαν αὐτὸν ἐκ πρώτου·
φαγόντες δὲ καὶ πιόντες παρ᾽ αὐτῷ παρεκάλεσαν αὐτόν,
καὶ ἐθαύμασαν ἐπὶ πᾶσιν οἷς ἐπήγαγεν αὐτῷ ὁ κύριος·
ἔδωκεν δὲ αὐτῷ ἕκαστος ἀμνάδα μίαν καὶ τετράδραχμον
χρυσοῦ καὶ ἀσήμου.
12 [12]ὁ δὲ κύριος εὐλόγησεν τὰ ἔσχατα Ἰὼβ ἢ τὰ ἔμπροσθεν·

8 *νυν δε*] *και νυν* A | *θεραποντα*] *παιδα* A | *ποιησεις* A* (*-σει* A?) | *καρπω-σεις*] *καρπωμα* A *καρπωσιν* C | om *μου* 2° ℵ* (hab ℵ$^{c.a}$) | improb *ει μη* (1°) ℵ$^{c.a}$ (postea restit) | *λη̣ψομαι* C | *ει μη γαρ*] *και ει μη* A | *απωλεσα αν*] *απωλεσαν* C* | bis scr *ελαλησατε* ℵ* (om 2° ℵ$^{c.a}$) | *αληθες κατα του θερ. μου* Iωβ ℵC | bis scr *μου* Iωβ 2° ℵ* (improb 2° ℵ$^{c.a}$ postea restit 2° improb vero 1°) | *αληθες*] *ουδεν αγαθον* A **9** *επορευθησαν* A | Ελειφαζ ℵ Ελιφαζ A Ελιφας C | *Θαιμανιτης* ℵC *Θεμανιτης* A | *Σαυχειτης* ℵ | *Μιναιος* ℵAC | *εποιησαν*]+*εαυτοις* A | *αυτοις* 1°] *αυτω* ℵ* (*-τοις* ℵ$^{c.a}$) | *αυτοις* 2°] *αυτων* ℵ* (*-τοις* ℵ$^{c.a}$ postea restit *-των*) AC **10** om *δε* 2° ℵ* (hab ℵ$^{c.a}$) | om *και* A | *φιλων*]+*αυτου* AC | *εδωκεν*] *προσεθηκεν* A | *ο κυριος* rescr *κ* C^{a} (*ο θ̄ς* C*^{fort})+*τω* Iωβ A | *διπλα οσα ην*] *τα διπλα ων ειχεν* A | om Iωβ 2° A **11** *παντες* 2°]+*δε* A | *εκ πρωτου*] *προ τουτου* A *ωτου* rescr C^{a} (? *εκ προσωπου* C*) | om *παρ* A | *παρεκαλεσαν*] *εκαλεσαν* ℵ* (*παρεκ.* ℵ^{1}) | *ο κυριος*] *ο θ̄ς* ℵ* (*ο κ̄ς* ℵ$^{c.a}$) | *εδωκεν δε*] *και εδωκαν* A | *τετραδαχμον* ℵ* (*τετραδρ.* ℵ$^{c.a\ (vid)}$) | *χρυσου και ασημου*] *χρυσουν ασημον* ℵAC* *χρ. ασ. εν* C^{a} **12** *ηυλογησεν* ℵAC | *τα εσχατα* Iωβ] *τον* Iωβ· *τα εσχατα* A | *η*] pr *μαλλον* A

B ἦν δὲ τὰ κτήνη αὐτοῦ πρόβατα μύρια τετρακισχίλια,
κάμηλοι ἑξακισχίλιαι,
ζεύγη βοῶν χίλια,
ὄνοι θήλειαι νομάδες χίλιαι.
13 γεννῶνται δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς· 13
14 καὶ ἐκάλεσεν τὴν μὲν πρώτην Ἡμέραν, 14
τὴν δὲ δευτέραν Κασίαν,
τὴν δὲ τρίτην Ἀμαλθείας κέρας·
15 καὶ οὐχ εὑρέθησαν κατὰ τὰς θυγατέρας Ἰὼβ βελτίους αὐτῶν 15
ἐν τῇ ὑπ᾽ οὐρανόν·
ἔδωκεν δὲ αὐταῖς ὁ πατὴρ κληρονομίαν ἐν τοῖς ἀδελφοῖς.
16 ἔζησεν δὲ Ἰὼβ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα, 16
τὰ δὲ πάντα ἔτη ἔζησεν διακόσια τεσσεράκοντα·
καὶ ἴδεν Ἰὼβ τοὺς υἱοὺς αὐτοῦ καὶ τοὺς υἱοὺς τῶν υἱῶν αὐτοῦ,
τετάρτην γενεάν·
17 καὶ ἐτελεύτησεν Ἰὼβ πρεσβύτερος καὶ πλήρης ἡμερῶν. 17
17 a γέγραπται δὲ αὐτὸν πάλιν ἀναστήσεσθαι μεθ᾽ ὧν ὁ κύριος 17 a
ἀνίστησιν.

17 b Οὗτος ἑρμηνεύεται ἐκ τῆς Συριακῆς βίβλου, 17 b
ἐν μὲν γῇ κατοικῶν τῇ Αὐσίτιδι ἐπὶ τοῖς ὁρίοις τῆς Ἰδουμαίας καὶ Ἀραβίας·
προυπῆρχεν δὲ αὐτῷ ὄνομα Ἰωβάβ.
17 c λαβὼν δὲ γυναῖκα Ἀράβισσαν γεννᾷ υἱὸν ᾧ ὄνομα Ἐννών· 17 c
ἦν δὲ αὐτὸς πατρὸς μὲν Ζάρε, ἐκ τῶν Ἡσαὺ υἱῶν υἱός, μητρὸς δὲ Βοσόρρας,
ὥστε εἶναι αὐτὸν πέμπτον ἀπὸ Ἀβραάμ.
17 d καὶ οὗτοι οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν Ἐδώμ, ἧς καὶ αὐτὸς 17 d
ἦρξεν χώρας·

ℵAC **12** μυρια] pr ε ℵ* (improb ε ℵ? et postea ras) | τετρακισχιλια] πτα pro τετρα ℵ*vid (τετρακ. ℵ1?c.a?) | ονομαδες ℵ* (ras ο 1° ℵ?) **14** Κασσιαν A | Αμαλθειας κερας] adnot ἐνθυμων υγία Ba(vid)mg Αμαθιας κ. ℵ* (Αμαλθ. κ. ℵ1(vid)) | Μαλθεας A Αμαλθιας C **15** τας θυγατερας Ιωβ] τας Ιωβ θυγ. και τους υιους αυτου A | εν τη] υπο την A | υπ ουρανον] υπο τον ουρ. ℵ | αυταις ο πατηρ] Ιωβ ταις θυγατρασιν αυτου A | αδελφοις]+αυτου (sic) A **16** ετη εζησεν] ζη ετη A εζησεν ετη C | τεσσερακοντα (τεσσαρ. B?)]+οκτω ℵc.aAC | ειδεν Babℵ **17** πρεσβυτερος] πρεσβυτης ℵ | πληρες A **17 a** om δε A | παλιν αυτον αναστησεσθαι ℵ παλιν αναστ. αυτον A | ανιστησιν ο κς A **17 b** τη Αυσειτιδι κατοικων ℵ **17 c** πατρος] in πρ̄ς rescr ρς C? | Ζαρεθ A | om εκ ℵAC | των υιων Ησαυ AC | Βοσσορας A Βο[σ]σορρας C*vid (ras σ 1° C?)

πρῶτος Βαλὰκ ὁ τοῦ Βεώρ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Β
Δεννάβα·
μετὰ δὲ Βαλὰκ Ἰωβὰβ ὁ καλούμενος Ἰώβ·
μετὰ δὲ τοῦτον Ἀσὸμ ὁ ὑπάρχων ἡγεμὼν ἐκ τῆς Θαιμανείτιδος χώρας·
μετὰ δὲ τοῦτον Ἀδὰδ υἱὸς Βαρὰδ ὁ ἐκκόψας Μαδιὰμ ἐν τῷ πεδίῳ Μωάβ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Γεθθάιμ.
17 e 17 e οἱ δὲ ἐλθόντες πρὸς αὐτὸν φίλοι
Ἐλειφὰς τῶν Ἡσαὺ υἱῶν, Θαιμανῶν βασιλεύς,
Βαλδὰδ ὁ Σαυχαίων τύραννος,
Σωφὰρ ὁ Μειναίων βασιλεύς.

17 d Βεωρ] Βαιωρ ℵ Σεμφωρ A^{vid} | Ασσομ A Ασωμ C | Θαιμανιτιδος ℵC ℵAC Θεμανιτιδος A | Βαρα ℵ*C* (Βαραδ ℵ^{1}C$^{?}$) **17 e** Ελειφαζ ℵ Ελιφας A Ελιφαζ C+ υιος Σωφαν A | Βαλδας A+υιος Αμνων του Χοβαρ A | ο Σαυχαιων τυραννος] του Αυχειτου τυραννου A ο Σαυχιων (-χαιων C^{a}) τυρ. C* | Σωιφαρ ℵ* (improb ι ℵ^{2}) | Μιναιων A | βασιλευς 2°]+Θαιμαν υιος Ελιφαζ ηγεμων της Ιδουμαιας· ουτος ερμηνευ|εται εκ της Συριακης βιβλου | εν μεν γη κατοικων τη Αυσιτιδι | επι των οριων του Ευφρατου | προυπηρχεν δε το ονομα αυτου | Ιωβαβ· ην δε ο πατηρ αυτου Ζαρεθ' | εξ ανατολων ηλιου A
Subscr Ιωβ BℵAC
Stich 2153 B 2126 ℵ 2021 A

ΣΟΦΙΑ ΣΑΛΩΜΩΝΟΣ

B ΑΓΑΠΗΣΑΤΕ δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν· 1 I
φρονήσατε περὶ τοῦ κυρίου ἐν ἀγαθότητι,
καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν.
2ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, 2
ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ·
3σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ θεοῦ, 3
δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας.
4ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, 4
οὐδὲ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας.
5ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον, 5
καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων,
καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας.
6φιλάνθρωπον γὰρ πνεῦμα σοφία, 6
καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ·
ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ θεός,
καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς
καὶ τῆς γλώσσης ἀκουστής·
7ὅτι πνεῦμα Κυρίου πεπλήρωκεν τὴν οἰκουμένην, 7
καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς.
8διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ, 8
οὐδὲ μὴν παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη.

ℵA Inscr σοφια Σαλωμωνος B* σ. Σαλωμων B^{c} σ. Σαλομωντος ℵ σ. Σολομωντος A I 2 απιστουσιν] πιστευουσιν A 3 τε] δε ℵ 5 παιδειας (-διας ℵ)] σοφιας A | απαναστησεται] αποστησεται ℵ$^{c.a}$ 6 σοφιας A | αθωωσει B* (αθωωσ. B^{b}) ℵA | επισκοπος] σκοπος sup ras A^{a} | γλωσσης] +αυτου A 7 πεπληρωκεν] επληρωσεν A 8 μην] μη ℵA | παροδευσι ℵ$^{?}$

B

9 [9]ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται,
λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει
εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ·
10 [10]ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα,
καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.
11 [11]φυλάξασθε τοίνυν γογγυσμὸν ἀνωφελῆ,
καὶ ἀπὸ καταλαλιᾶς φείσασθε γλώσσης·
ὅτι φθέγμα λαθραῖον κενὸν οὐ πορεύσεται,
στόμα δὲ καταψευδόμενον ἀναιρεῖ ψυχήν.
12 [12]μὴ ζηλοῦτε θάνατον ἐν πλάνῃ ζωῆς ὑμῶν,
μηδὲ ἐπισπᾶσθε ὄλεθρον ἔργοις χειρῶν ὑμῶν·
13 [13]ὅτι ὁ θεὸς θάνατον οὐκ ἐποίησεν,
οὐδὲ τέρπεται ἐπ᾽ ἀπωλείᾳ ζώντων·
14 [14]ἔκτισεν γὰρ εἰς τὸ εἶναι τὰ πάντα,
καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου,
καὶ οὐκ ἔστιν ἐν αὐταῖς φάρμακον ὀλέθρου,
οὔτε ᾅδου βασίλειον ἐπὶ γῆς·
15 [15]δικαιοσύνη γὰρ ἀθάνατός ἐστιν·
16 [16]ἀσεβεῖς δὲ ταῖς χερσὶν καὶ τοῖς λόγοις προσεκαλέσαντο αὐτόν,
φίλον ἡγησάμενοι αὐτὸν ἐτάκησαν,
καὶ συνθήκην ἔθεντο πρὸς αὐτόν,
ὅτι ἄξιοί εἰσιν τῆς ἐκείνου μερίδος εἶναι.

II 1 [1]Εἶπον γὰρ ἐν ἑαυτοῖς λογισάμενοι οὐκ ὀρθῶς
Ὀλίγος ἐστὶν καὶ λυπηρὸς ὁ βίος ἡμῶν,
καὶ οὐκ ἔστιν ἴασις ἐν τελευτῇ ἀνθρώπου,
καὶ οὐκ ἐγνώσθη ὁ ἀναλύσας ἐξ ᾅδου.
2 [2]ὅτι αὐτοσχεδίως ἐγενήθημεν,
καὶ μετὰ τοῦτο ἐσόμεθα ὡς οὐχ ὑπάρξαντες·
ὅτι καπνὸς ἡ πνοὴ ἐν ῥισὶν ἡμῶν,
καὶ ὁ λόγος σπινθὴρ ἐν κινήσει καρδίας ἡμῶν,
3 [3]οὗ σβεσθέντος τέφρα ἀποβήσεται τὸ σῶμα,

9 ακοη αυτου ℵ **10** ους] ου ℵ* (ς ins ℵ¹) **11** λαθραιον (-θρεον B*A)] ℵA λαθριον B$^{a?b}$ | κενον] καινον ℵA | om ου πορ. ℵ* (hab ℵ$^{c.a}$) **12** εργοις] pr εν A **13** απωλεια (-λια ℵ)] αγγελεια A **14** εκτισεν γαρ εις] ου γαρ εκτισεν εις ℵ* (improb ου γαρ, εις ℵ¹) | ειναι] ειν sup ras B¹ fort | γενεσις A | ουτε] ουδε A | γης] pr της A **16** προσεκαλεσατο ℵ* vid (-σαντο ℵ¹$^{a?}$) **II 2** εγεννηθημεν B^{ab}ℵA | υπαρξαντες] υπαρχοντες ℵ¹$^{a(vid)}$ | εν ρισιν η πνοη ℵ* (η πν. εν ρ. ℵ$^{c.a}$) **3** σβενθεντος ℵ σβενσθ. A

B καὶ τὸ πνεῦμα διαχυθήσεται ὡς χαῦνος ἀήρ.
4 καὶ τὸ ὄνομα ἡμῶν ἐπιλησθήσεται ἐν χρόνῳ, 4
καὶ οὐθεὶς μνημονεύσει τῶν ἔργων ἡμῶν·
καὶ παρελεύσεται ὁ βίος ἡμῶν ὡς ἴχνη νεφέλης,
καὶ ὡς ὁμίχλη διασκεδασθήσεται
διωχθεῖσα ὑπὸ ἀκτίνων ἡλίου
καὶ ὑπὸ θερμότητος αὐτοῦ βαρυνθεῖσα.
5 σκιᾶς γὰρ πάροδος ὁ βίος ἡμῶν, 5
καὶ οὐκ ἔστιν ἀναποδισμὸς τῆς τελευτῆς ἡμῶν,
ὅτι κατεσφραγίσθη, καὶ οὐδεὶς ἀναστρέφει.
6 δεῦτε οὖν καὶ ἀπολαύσωμεν τῶν ὄντων ἀγαθῶν, 6
καὶ χρησώμεθα τῇ κτίσει ὡς νεότητι σπουδαίως·
7 οἴνου πολυτελοῦς καὶ μύρων πλησθῶμεν, 7
καὶ μὴ παροδευσάτω ἡμᾶς ἄνθος ἀέρος·
8 στεψώμεθα ῥόδων κάλυξιν πρὶν ἢ μαρανθῆναι· 8
9 μηδεὶς ἡμῶν ἄμοιρος ἔστω τῆς ἡμετέρας ἀγερωχίας, 9
πανταχῇ καταλίπωμεν σύμβολα τῆς εὐφροσύνης,
ὅτι αὕτη ἡ μερὶς ἡμῶν καὶ ὁ κλῆρος οὗτος.
10 καταδυναστεύσωμεν πένητα δίκαιον, 10
μὴ φεισώμεθα χήρας,
μηδὲ πρεσβύτου ἐντραπῶμεν πολιὰς πολυχρονίους·
11 ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος τῆς δικαιοσύνης, 11
τὸ γὰρ ἀσθενὲς ἄχρηστον ἐλέγχεται.
12 ἐνεδρεύσωμεν δὲ τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν, 12
καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν,
καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα νόμου,
καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν·
13 ἐπαγγέλλεται γνῶσιν ἔχειν θεοῦ, 13
καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει·
14 ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν· 14
βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος,

ℵA **4** μνημονευει ℵ (-σει ℵ$^{c.a}$) **5** βιος B*A^{a}] καιρος B^{ab}ℵA* | ανταποδισμος ℵ | κατεσφραγισθη και ουδεις] φραγισθη και ου sup ras A^{a} **6** om και 1° A | κτησει A | νεοτητος ℵ (-τει ℵ$^{c.a}$) A **7** ημας] με ℵ* (ημ. ℵ$^{c.a}$) | αερος] εαρος A **8** καλυξι ℵA **9** εστω] εστε ℵ | αγερωχιας] adnot υψηλοφρονιας B$^{a mg}$ | καταλειπωμεν A | ουτος] ημων A **10** πρεσβυτου] πρεσβυτερου A **12** om δε ℵ* (hab ℵ$^{c.a}$) A | αμαρτηματα] pr τα ℵ | επιφημιζει (-μηζει B*^{comm})] επιφηζετ^{αι} B^{ab} | παιδιας ℵA

15 [15]ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, B
καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ·
16 [16]εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ,
καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν·
μακαρίζει ἔσχατα δικαίων,
καὶ ἀλαζονεύεται πατέρα θεόν.
17 [17]ἴδωμεν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς,
καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ.
18 [18]εἰ γάρ ἐστιν ὁ δίκαιος υἱὸς θεοῦ, ἀντιλήμψεται αὐτοῦ,
καὶ ῥύσεται αὐτὸν ἐκ χειρὸς ἀνθεστηκότων.
19 [19]ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν,
ἵνα γνῶμεν τὴν ἐπιεικίαν αὐτοῦ
καὶ δικάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ·
20 [20]θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν,
ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ.
21 [21]ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν·
ἀπετύφλωσεν γὰρ αὐτοὺς ἡ κακία αὐτῶν,
22 [22]καὶ οὐκ ἔγνωσαν μυστήρια αὐτοῦ,
οὐδὲ μισθὸν ἤλπισαν ὁσιότητος,
οὐδὲ ἔκριναν γέρας ψυχῶν ἀμώμων.
23 [23]ὅτι ὁ θεὸς ἔκτισεν τὸν ἄνθρωπον ἐπ' ἀφθαρσίᾳ,
καὶ εἰκόνα τῆς ἰδίας ἰδιότητος ἐποίησεν αὐτόν·
24 [24]φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον,
[25]πειράζουσιν δὲ αὐτὸν οἱ τῆς ἐκείνου μερίδος ὄντες.

III 1 [1]Δικαίων δὲ ψυχαὶ ἐν χειρὶ θεοῦ,
καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος.
2 [2]ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι,
καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν,
3 [3]καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα·
οἱ δὲ εἰσιν ἐν εἰρήνῃ.
4 [4]καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν,

15 οτι...αυτου (1°) rescr A^1 **16** ελογισθημεν] εγενηθημεν ℵ* (ελογ. ℵA ℵ$^{c.a}$) **17** ιδωμεν] και ειδωμεν ℵ* (improb και ℵ$^{c.a}$) **19** επιεικειαν B^{ab} | δικασωμεν] δοκιμασωμεν ℵA **21** ελογισαντο] ελογισθησαν ℵ* (-σαντο ℵ$^{c.a}$) | απετυφλωσεν] ετυφλωσεν ℵ **22** αυτου] θυ B$^{ab\,mg}$ ℵA | ψυχων] ψυχαν ℵ* (sic) (-χων ℵ$^{c.a}$) **23** επ] επι ℵ **25** μεριδος] μ superscr et δ sup ras $A^{a?}$ III **2** εδοξαν]+γαρ ℵ$^{c.a}$ | αφρονων] φρον sup ras B^{ab} **3** ημων] η bis scr B | πορια ℵA

B ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης·
5 καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, 5
ὅτι ὁ θεὸς ἐπείρασεν αὐτοὺς
καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ·
6 ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, 6
καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς.
7 καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν, 7
καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται·
8 κρινοῦσιν ἔθνη καὶ κρατήσουσιν λαῶν, 8
καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας.
9 οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, 9
καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ,
ὅτι χάρις καὶ ἔλεος τοῖς ἐκλεκτοῖς αὐτοῦ.
10 οἱ δὲ ἀσεβεῖς καθ' ἃ ἐλογίσαντο ἔξουσιν ἐπιτιμίαν, 10
οἱ ἀμελήσαντες τοῦ δικαίου καὶ τοῦ κυρίου ἀποστάντες.
11 σοφίαν γὰρ καὶ παιδείαν ὁ ἐξουθενῶν ταλαίπωρος, 11
καὶ κενὴ ἡ ἐλπὶς αὐτῶν καὶ οἱ κόποι ἀνόνητοι,
καὶ ἄχρηστα τὰ ἔργα αὐτῶν.
12 αἱ γυναῖκες αὐτῶν ἄφρονες, 12
καὶ πονηρὰ τὰ τέκνα αὐτῶν,
ἐπικατάρατος ἡ γένεσις αὐτῶν.
13 ὅτι μακαρία στεῖρα ἡ ἀμίαντος, 13
ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι,
ἕξει καρπὸν ἐν ἐπισκοπῇ ψυχῶν·
14 καὶ εὐνοῦχος ὁ μὴ ἐργασάμενος ἐν χειρὶ ἀνόμημα, 14
μηδὲ ἐνθυμηθεὶς κατὰ τοῦ κυρίου πονηρά,
δοθήσεται γὰρ αὐτῷ τῆς πίστεως χάρις ἐκλεκτὴ
καὶ κλῆρος ἐν ναῷ Κυρίου θυμηρέστερος.
15 ἀγαθῶν γὰρ πόνων ὁ καρπὸς εὐκλεής, 15
καὶ ἀδιάπτωτος ἡ ῥίζα τῆς φρονήσεως.
16 τέκνα δὲ μοιχῶν ἀτέλεστα ἔσται, 16
καὶ ἐκ παρανόμου κοίτης σπέρμα ἀφανισθήσεται.
17 ἐάν τε γὰρ μακρόβιοι γένωνται, εἰς οὐθὲν λογισθήσονται, 17

ℵA **4** πληρης] η 2° sup ras $B^{ab\,vid}$ **9** αληθιαν ℵ | τοις εκλεκτοις] *τοις οσιοις* ℵ pr *εν* A | *αυτου*]+*και επισκοπη εν τοις εκλεκτοις* (*οσιοις* A) *αυτου* ℵA **11** γαρ] δε ℵ* (γαρ $ℵ^{c.a}$) | παιδιαν ℵA | κοποι]+αυτων ℵ | ανωνητοι B*ℵ (*ανον.* B^{ab}A) **12** αι γυναικες] pr και ℵ | γεννησεις ℵ* (γενεσις $ℵ^{c.a}$) **13** η αμιαντος] om η ℵ* (hab $ℵ^{c.a}$) | ψυχων]+αυτων A **14** om ο ℵ* (hab $ℵ^{c.a}$) | *θυμηρεστερος*] adnot *ηδύτερος· ενυο|στότερος* $B^{a\,mg}$ **15** ο καρπος] om ο B^{ab}ℵA

καὶ ἄτιμον ἐπ᾽ ἐσχάτων τὸ γῆρας αὐτῶν· B
18 [18]ἐάν τε ὀξέως τελευτήσωσιν, οὐκ ἔχουσιν ἐλπίδα
οὐδὲ ἐν ἡμέρᾳ διαγνώσεως παραμύθιον·
19 [19]γενεᾶς γὰρ ἀδίκου χαλεπὰ τὰ τέλη.
IV 1 [1]κρείσσων ἀτεκνία μετὰ ἀρετῆς·
ἀθανασία γάρ ἐστιν ἐν μνήμῃ αὐτῆς,
ὅτι καὶ παρὰ θεῷ γινώσκεται καὶ παρὰ ἀνθρώποις.
2 [2]παροῦσάν τε μιμοῦνται αὐτήν,
καὶ ποθοῦσιν ἀπελθοῦσαν·
καὶ ἐν τῷ αἰῶνι στεφανηφοροῦσα πομπεύει,
τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασα.
3 [3]πολύγονον δὲ ἀσεβῶν πλῆθος οὐ χρησιμεύσει,
καὶ ἐκ νόθων μοσχευμάτων οὐ δώσει ῥίζαν εἰς βάθος,
οὐδὲ ἀσφαλῆ βάσιν ἑδράσει·
4 [4]κἂν γὰρ ἐν κλάδοις πρὸς καιρὸν ἀναθάλῃ,
ἐπισφαλῶς βεβηκότα ὑπὸ ἀνέμου σαλευθήσεται,
καὶ ὑπὸ βίας ἀνέμων ἐκριζωθήσεται·
5 [5]περικλασθήσονται κλῶνες ἀτέλεστοι,
καὶ ὁ καρπὸς αὐτῶν ἄχρηστος, ἄωρος εἰς βρῶσιν
καὶ εἰς οὐθὲν ἐπιτήδειος·
6 [6]ἐκ γὰρ ἀνόμων ὕπνων τέκνα γεννώμενα
μάρτυρές εἰσιν πονηρίας κατὰ γονέων ἐν ἐξετασμῷ αὐτῶν.
7 [7]δίκαιος δὲ ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται.
8 [8]γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον,
οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται·
9 [9]πολιὰ δέ ἐστιν φρόνησις ἀνθρώποις,
καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος.
10 [10]εὐάρεστος τῷ θεῷ γενόμενος ἠγαπήθη,
καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη·

18 εαν τε οξ. τελευτησωσιν] εαν τε γαρ οξ. τελευτησουσιν εις ουδεν λογισθησονται| και ατιμον επ εσχατων το γηρας αυτω| εαν τε γαρ οξεως τελευτησουσιν ℵ* (improb γαρ bis, et unc incl εαν τε γαρ οξ. τελευτησουσιν, και ατιμον... αυτω ℵ$^{c.a}$) | εαν τε]+γαρ A | ουκ εχουσιν] ουχ εξουσιν ℵA IV **1** κρεισσων]+γαρ ℵ* (improb γαρ ℵ$^{c.a}$) | ατεκνεια B* (-νια B^{b}) **2** μιμουνται] τιμωσιν Λ | στεφανηφορουσα πομπευει] στεφανηφορους| αποπεμπει A* (-ρου|σαποτ. A$^{?}$) **3** μοχευματων ℵ* (μοσχ. ℵ$^{c.a}$) | εδρασσει A **4** καν] και ℵ* (καν ℵ$^{c.a}$) | αδοις A* (κλαδ. A$^{a?}$) | βεβηκοτα] βεβιωκοτα ℵ* (βεβηκ. ℵ$^{c.a}$) **5** περικλασθησονται]+αυτων ℵ* (improb αυτ. ℵ$^{c.a}$) | ατελεστατοι A **7** τελευτησαι] incep ε ℵ* (improb ε ℵ$^{1\,c.a}$) **9** ανθρωποις] pr εν ℵ$^{c.a}$ **10** τω θεω] om τω B^{ab}A

B [11]ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, 11
ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ·
[12]βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, 12
καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον.
[13]τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσεν χρόνους μακρούς· 13
[14]ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, 14
διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας.
οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες,
μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτο,
[15]ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ 15
καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.
[16]κατακρινεῖ δὲ δίκαιος καμὼν τοὺς ζῶντας ἀσεβεῖς, 16
καὶ νεότης τελεσθεῖσα ταχέως πολυετὲς γῆρας ἀδίκου.
[17]ὄψονται γὰρ τελευτὴν σοφοῦ, 17
καὶ οὐ νοήσουσιν τί ἐβουλεύσατο περὶ αὐτοῦ,
καὶ εἰς τί ἠσφαλίσατο αὐτὸν ὁ κύριος·
[18]ὄψονται καὶ ἐξουθενήσουσιν, 18
αὐτοὺς δὲ ὁ κύριος ἐκγελάσεται·
[19]καὶ ἔσονται μετὰ τοῦτο εἰς πτῶμα ἄτιμον 19
καὶ εἰς ὕβριν ἐν νεκροῖς δι' αἰῶνος.
ὅτι ῥήξει αὐτοὺς ἀφώνους πρηνεῖς,
καὶ σαλεύσει αὐτοὺς ἐκ θεμελίων·
καὶ ἕως ἐσχάτου χερσωθήσονται,
καὶ ἔσονται ἐν ὀδύνῃ,
καὶ ἡ μνήμη αὐτῶν ἀπολεῖται.
[20]ἐλεύσονται ἐν συλλογισμῷ ἁμαρτημάτων αὐτῶν δειλοί, 20
καὶ ἐλέγξει αὐτοὺς ἐξ ἐναντίας τὰ ἀνομήματα αὐτῶν.

[1]Τότε στήσεται ἐν παρρησίᾳ πολλῇ ὁ δίκαιος 1 V
κατὰ πρόσωπον τῶν θλιψάντων αὐτὸν

ℵA **11** κακια] pr η ℵ | om αυτου 1° ℵ*(hab ℵ$^{c.a}$) | απατησει ℵ **12** βασκανεια B^{b} | μεταλλευει] adnot ἀνασκάπτει ἐξορύσσει B$^{amg\ inf}$ **14** ην] εν ℵ* (revoc ην ℵ$^{c.a}$) | πονηρειας B* (-ριας B^{b}) | λαοι] αλλοι A* (λα sup ras A^{a}) | ειδοντες ℵ **15** om εν 1° ℵ | εκλεκτοις] οσιοις A | οσιοις] εκλεκτοις A **16** καμων B*^{b}ℵ] θανων B$^{b\ ?c}$A | νεοτητος A | om ταχεως ℵ* (hab ℵ$^{c.a}$) **17** ησφαλισα ℵ **18** οψονται]+αυτον ℵ* (improb αυτ. ℵ^{1}) + γαρ ℵ$^{c.a}$ | εξουθενησουσιν] + αυτους ℵ* (om αυτους ℵ$^{c.a}$) **19** om δι A | πρηνεις (πρηνις ℵ* -νεις ℵ$^{c.c}$ πριννεις A^{*vid} ras ν 2° A^{a})]+(nisi potius adnot) επι προσωπον B^{amg} | εσχατων A **20** δειλοι] δηλοι ℵ$^{c.a}$

καὶ τῶν ἀθετούντων τοὺς πόνους αὐτοῦ. B
2 [2]ἰδόντες ταραχθήσονται φόβῳ δεινῷ,
καὶ ἐκστήσονται ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας·
3 [3]ἐροῦσιν ἐν ἑαυτοῖς μετανοοῦντες,
καὶ διὰ στενοχωρίαν πνεύματος στενάξονται
Οὗτος ἦν ὃν ἔσχομέν ποτε εἰς γέλωτα
4 καὶ εἰς παραβολὴν ὀνειδισμοῦ, [4]οἱ ἄφρονες·
τὸν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν
καὶ τὴν τελευτὴν αὐτοῦ ἄτιμον·
5 [5]πῶς κατελογίσθη ἐν υἱοῖς θεοῦ,
καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστιν;
6 [6]ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας,
καὶ τὸ τῆς δικαιοσύνης φῶς οὐκ ἔλαμψεν ἡμῖν,
καὶ ὁ ἥλιος οὐκ ἀνέτειλεν ἡμῖν·
7 [7]ἀνομίας ἐνεπλήσθημεν τρίβοις καὶ ἀπωλείας,
καὶ διωδεύσαμεν ἐρήμους ἀβάτους,
τὴν δὲ ὁδὸν Κυρίου οὐκ ἔγνωμεν.
8 [8]τί ὠφέλησεν ἡμᾶς ἡ ὑπερηφανία;
καὶ τί πλοῦτος μετὰ ἀλαζονίας συμβέβληται ἡμῖν;
9 [9]παρῆλθεν ἐκεῖνα πάντα ὡς σκιὰ
καὶ ὡς ἀγγελία παρατρέχουσα·
10 [10]ὡς ναῦς διερχομένη κυμαινόμενον ὕδωρ,
ἧς διαβάσης οὐκ ἔστιν ἴχνος εὑρεῖν,
οὐδὲ ἀτραπὸν τρόπιος αὐτῆς ἐν κύμασιν·
11 [11]ἢ ὡς ὀρνέου διπτάντος ἀέρα
οὐθὲν εὑρίσκεται τεκμήριον πορείας,
πληγῇ δὲ μαστιζόμενον ταρσῶν πνεῦμα κοῦφον
καὶ σχιζόμενον βίᾳ ῥοίζου,
κινουμένων πτερύγων διωδεύθη,
καὶ μετὰ τοῦτο οὐχ εὑρέθη σημεῖον ἐπιβάσεως ἐν αὐτῷ·
12 [12]ἢ ὡς βέλους βληθέντος ἐπὶ σκοπὸν

V **2** σωτηριας] + αυτου ℵ **3** ερουσιν] pr και A | om εν ℵ* (hab ℵ$^{c.a}$) | ℵA στεναξονται] στεναξουσι ℵ + οι και ερουσιν ℵ* + και ερουσιν ℵ$^{c.a}$A **4** ατιμιαν ℵ* (-μον ℵ$^{c.a}$) **6** αληθιας ℵA | ελαμψεν] επελαμψεν ℵ | ημιν 1°] pr εν A **7** απωλιας ℵ | διωδευσαμεν] ωδευσαμεν A | εγνωμεν] επεγνωμεν ℵ **8** και] η A | αλαζονειας B^{ab} | συνβεβληται ℵ **9** αγγελεια B* (-λια B^{b}) **10** ως] pr η ℵ$^{c.a}$ | τροπιος (-πιας ℵ* -πεως ℵ$^{c.a}$A)] τριβων B^{b} **11** διαπταντος B^{ab}ℵA | πορειας] πονηριας ℵ* (πορίας ℵ$^{c.a}$) | ταρσων μαστιζομενον B^{a}ℵA | εν αυτω] αυτου ℵ* (εν αυτ. ℵ$^{c.a}$)

B τμηθεὶς ὁ ἀὴρ εὐθέως εἰς ἑαυτὸν ἀνελύθη,
ὡς ἀγνοῆσαι τὴν δίοδον αὐτοῦ·
13 οὕτως καὶ ἡμεῖς γενηθέντες ἐξελίπομεν, 13
καὶ ἀρετῆς μὲν σημεῖον οὐδὲν ἔσχομεν δεῖξαι,
ἐν δὲ τῇ κακίᾳ ἡμῶν κατεδαπανήθημεν.
14 ὅτι ἐλπὶς ἀσεβοῦς ὡς φερόμενος χνοῦς ὑπὸ ἀνέμου, 14 (15)
καὶ ὡς πάχνη ὑπὸ λαίλαπος διωχθεῖσα λεπτή,
καὶ ὡς καπνὸς ὑπὸ ἀνέμου διεχύθη,
καὶ ὡς μνεία καταλύτου μονοημέρου παρώδευσεν.
15 δίκαιοι δὲ εἰς τὸν αἰῶνα ζῶσιν, 15 (16)
καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν,
καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ.
16 διὰ τοῦτο λήμψονται τὸ βασίλειον τῆς εὐπρεπείας 16 (17)
καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου,
ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς,
καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν.
17 λήμψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, 17 (18)
καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν·
18 ἐνδύσεται θώρακα δικαιοσύνην, 18 (19)
καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον·
19 λήμψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, 19 (20)
20 ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, 20 (21)
συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας.
21 πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, 21 (22)
καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν
ἁλοῦνται,
22 καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· 22 (23)
ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης,
ποταμοὶ δὲ συνκλύσουσιν ἀποτόμως·
23 ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, 23 (24)
καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς·

ℵA **12** διοδον] οδον ℵ* (διοδ. ℵc.a) **13** γεννηθεντες ℵA | εξελειπομεν A **14** και ως μνεια] ως μνιαν ℵ* η ως μνια ℵc.a | μονημερου ℵ | παρωδευσεν] διωδευσεν ℵ* (παρωδ. ℵc.a) **16** ευπρεπιας ℵ | τη δεξια] δεξια κυ ℵ | υπερασπιει] υπερασπισει ℵ* (-πιει ℵc.a) | αυτων] αυτου ℵ* (-των ℵc.a) **17** το ζηλος ℵ* (τον ζηλον ℵc.a) | οπλοποιησει] οδοποιησει ℵ* (οπλ. ℵc.a) **18** δικαιοσυνης ℵ **20** συνπολεμησει ℵ | om δε 2° A **21** νεφων] νεφελων ℵ **22** om και ℵ* (hab ℵc.a) | πληρης ℵ | δε] τε ℵ* (δε ℵc.a) | συγκλυσουσιν Bab συνκλυουσιν A **23** εκλιμμησει A

καὶ ἐρημώσει πᾶσα τὴν γῆν ἀνομία, B
καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν.

VI (2) 1 [1]Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε·
μάθετε, δικασταὶ περάτων γῆς·
(3) 2 [2]ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους
καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν.
(4) 3 [3]ὅτι ἐδόθη παρὰ τοῦ κυρίου ἡ κράτησις ὑμῖν,
καὶ ἡ δυναστεία παρὰ Ὑψίστου,
ὃς ἐξετάσει ὑμῶν τὰ ἔργα καὶ τὰς βουλὰς διεραυνήσει·
(5) 4 [4]ὅτι ὑπηρέται ὄντες τῆς αὐτοῦ βασιλείας οὐκ ἐκρίνατε ὀρθῶς,
οὐδὲ ἐφυλάξατε νόμον,
οὐδὲ κατὰ τὴν βουλὴν τοῦ θεοῦ ἐπορεύθητε.
(6) 5 [5]φρικτῶς καὶ ταχέως ἐπιστήσεται ὑμῖν,
ὅτι κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσιν γίνεται.
(7) 6 [6]ὁ γὰρ ἐλάχιστος συγγνωστός ἐστιν ἐλέους,
δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται·
(8) 7 [7]οὐ γὰρ ὑποστελεῖται πρόσωπον ὁ πάντων δεσπότης,
οὐδὲ ἐντραπήσεται μέγεθος·
ὅτι μικρὸν καὶ μέγαν αὐτὸς ἐποίησεν,
ὁμοίως τε προνοεῖ περὶ πάντων·
(9) 8 [8]τοῖς δὲ κραταιοῖς ἰσχυρὰ ἐφίσταται ἔραννα.
(10) 9 [9]πρὸς ὑμᾶς οὖν, ὦ τύραννοι, οἱ λόγοι μου,
ἵνα μάθητε σοφίαν καὶ μὴ παραπέσητε.
(11) 10 [10]οἱ γὰρ φυλάξαντες ὁσίως τὰ ὅσια ὁσιωθήσονται,
καὶ οἱ διδαχθέντες αὐτὰ εὑρήσουσιν ἀπολογίαν.
(12) 11 [11]ἐπιθυμήσατε οὖν τῶν λόγων μου,
ποθήσατε καὶ παιδευθήσεσθε.

(13) 12 [12]Λαμπρὰ καὶ ἀμάραντός ἐστιν ἡ σοφία,
καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν·

23 πασαν B^{ab}ℵA | κακοπραγεια B*A (-για B^{b}ℵ) VI 1 βασιλευς ℵ* ℵA (-λεις $ℵ^{c.a(vid)}$ $c.c$) 2 οχλους ℵ* (-λοις $ℵ^{c.a}$) 3 του κυριου] om του A | δυναστια ℵA | εξετασει] εξεται ℵ | διερανυησει (διερευν. B^{ab}A)] εξερανυησει ℵ* (εξερευν. $ℵ^{c.c}$) 5 υπερεχουσι ℵ 6 συγγνωστος] ευγνωστος ℵ* συγν. (sic) $ℵ^{c.a}$A | ελεου A 7 προνοειται ℵ 8 επισταται B | ερευνα B^{ab}ℵA 10 τα οσια οσιως ℵ* (οσιως τα οσια $ℵ^{c.a}$) 12 αυτην] + και ευρισκεται υπο των ζητουντων αυτην $B^{ab.mg}$ℵA

B [13]φθάνει τοὺς ἐπιθυμοῦντας προγνωσθῆναι. 13 (14)
[14]ὁ ὀρθρίσας ἐπ᾽ αὐτὴν οὐ κοπιάσει, 14 (15)
πάρεδρον γὰρ εὑρήσει τῶν πυλῶν αὐτοῦ.
[15]τὸ γὰρ ἐνθυμηθῆναι περὶ αὐτῆς φρονήσεως τελειότης, 15 (16)
καὶ ὁ ἀγρυπνήσας δι᾽ αὐτὴν ταχέως ἀμέριμνος ἔσται·
[16]ὅτι τοὺς ἀξίους αὐτῆς αὕτη περιέρχεται ζητοῦσα, 16 (17)
καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς,
καὶ ἐν πάσῃ ἐπινοίᾳ ὑπαντᾷ αὐτοῖς.
[17]ἀρχὴ γὰρ αὐτῆς ἡ ἀληθεστάτη παιδείας ἐπιθυμία, 17 (18)
[18]φροντὶς δὲ παιδείας ἀγάπη, 18 (19)
ἀγάπη δὲ τήρησις νόμων αὐτῆς,
προσοχὴ δὲ νόμων βεβαίωσις ἀφθαρσίας,
[19]ἀφθαρσία δὲ ἐγγὺς εἶναι ποιεῖ θεοῦ· 19 (20)
[20]ἐπιθυμία ἄρα σοφίας ἀνάγει ἐπὶ βασιλείαν. 20 (21)
[21]εἰ οὖν ἥδεσθε ἐπὶ θρόνοις καὶ σκήπτροις, τύραννοι λαῶν, 21 (22)
τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε.
[22]τί δέ ἐστιν σοφία καὶ πῶς ἐγένετο ἀπαγγελῶ, 22 (24)
καὶ οὐκ ἀποκρύψω ὑμῖν μυστήρια,
ἀλλὰ ἀπ᾽ ἀρχῆς γενέσεως ἐξιχνιάσω
καὶ θήσω εἰς τὸ ἐμφανὲς τὴν γνῶσιν αὐτῆς,
καὶ οὐ μὴ παροδεύσω τὴν ἀλήθειαν·
[23]οὔτε μὴν φθόνῳ τετηκότι συνοδεύσω, 23 (25)
ὅτι οὗτος οὐ κοινωνήσει σοφίᾳ.
[24]πλῆθος δὲ σοφῶν σωτηρία κόσμου, 24 (26)
καὶ βασιλεὺς φρόνιμος εὐσταθία δήμου.
[25]ὥστε παιδεύεσθε τοῖς ῥήμασίν μου, καὶ ὠφεληθήσεσθε. 25 (27)

[1]Εἰμὶ μὲν κἀγὼ θνητὸς ἴσος ἅπασιν, 1 VII
καὶ γηγενοῦς ἀπόγονος πρωτοπλάστου·
καὶ ἐν κοιλίᾳ μητρὸς ἐγλύφην σὰρξ

ℵA **13** επιθυμουντας]+αυτην ℵ **14** επ] προς A | πυλων] πλουτων ℵ* (πυλ. ℵc.a) **15** περι αυτης ενθυμηθηναι ℵ **16** om αυτη ℵ | υπαντα] απαντα ℵA **17** η αληθ.] η ras et iam antea improb ℵ² | παιδιας ℵ (item 18, ℵA) **18** αγαπη 1°] επιθυμια ℵ* (αγ. ℵ¹) | τηρησεις ℵ | αφθαρσια ℵ* (-σιας ℵc.a) **20** επιθυμιας ℵ* (-μια ℵc.a) | αρα] γαρ ℵ pr γ A¹ | om σοφιας ℵ* (hab ℵc.a) | αναγει] αναιρει ℵ* (αναγ. ℵc.a) **22** τις ℵ* (τι ℵc.a) | αποκρυψω] απογρ. (nisi αποπρ.) ℵ* (αποκρ. ℵc.a) **23** κοινωνει A **24** ευσταθεια A VII **1** θνητος]+ανος (superscr) BabA | απογονον ℵ* (-νος ℵc.a)

2 [2]δεκαμηνιαίῳ χρόνῳ, παγεὶς ἐν αἵματι B
ἐκ σπέρματος ἀνδρὸς καὶ ἡδονῆς ὕπνῳ συνελθούσης·
3 [3]καὶ ἐγὼ δὲ γενόμενος ἔσπασα τὸν κοινὸν ἀέρα,
καὶ ἐπὶ τὴν ὁμοιοπαθῆ κατέπεσον γῆν,
πρώτην φωνὴν τὴν ὁμοίαν πᾶσιν ἴσα κλαίων·
4 [4]ἐν σπαργάνοις ἀνετράφην καὶ ἐν φροντίσιν.
5 [5]οὐδεὶς γὰρ βασιλεὺς ἑτέραν ἔσχεν γενέσεως ἀρχήν·
6 [6]μία δὲ πάντων εἴσοδος εἰς τὸν βίον ἔξοδός τε ἴση.
7 [7]διὰ τοῦτο εὐξάμην, καὶ φρόνησις ἐδόθη μοι·
ἐπεκαλεσάμην, καὶ ἦλθέν μοι πνεῦμα σοφίας.
8 [8]προέκρινα αὐτὴν σκήπτρων καὶ θρόνων,
καὶ πλοῦτον οὐδὲν ἡγησάμην ἐν συγκρίσει αὐτῆς·
9 [9]οὐδὲ ὡμοίωσα αὐτῇ λίθον ἀτίμητον,
ὅτι ὁ πᾶς χρυσὸς ἐν ὄψει αὐτῆς ψάμμος ὀλίγη,
καὶ ὡς πηλὸς λογισθήσεται ἄργυρος ἐναντίον αὐτῆς·
10 [10]ὑπὲρ ὑγείαν καὶ εὐμορφίαν ἠγάπησα αὐτήν,
καὶ προειλόμην αὐτὴν ἀντὶ φωτὸς ἔχειν,
ὅτι ἀκοίμητον τὸ ἐκ ταύτης φέγγος.
11 [11]ἦλθεν δέ μοι τὰ ἀγαθὰ ὁμοῦ πάντα μετ' αὐτῆς,
καὶ ἀναρίθμητος πλοῦτος ἐν ταῖς χερσὶν αὐτῆς·
12 [12]εὐφράνθην δὲ ἐπὶ πάντων, ὅτι αὐτῶν ἡγεῖται σοφία,
ἠγνόουν δὲ αὐτὴν γένεσιν εἶναι τούτων.
13 [13]ἀδόλως τε ἔμαθον, ἀφθόνως τε μεταδίδωμι,
τὸν πλοῦτον αὐτῆς οὐκ ἀποκρύπτομαι·
14 [14]ἀνεκλιπὴς γὰρ θησαυρός ἐστιν ἀνθρώποις,
ὃν οἱ χρησάμενοι πρὸς θεὸν ἐστείλαντο φιλίαν,
διὰ τὰς ἐκ παιδείας δωρεὰς συσταθέντες.
15 [15]ἐμοὶ δὲ δῴη ὁ θεὸς εἰπεῖν κατὰ γνώμην
καὶ ἐνθυμηθῆναι ἀξίως τῶν δεδομένων,
ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστιν
καὶ τῶν σοφῶν διορθωτής.

2 υπνου ℵ **3** κατεπεσα ℵ | πασιν] απασι ℵ | om ισα ℵ **4** ανε- ℵA στραφην A | om εν 2° ℵA **5** βασιλεων A **6** βιον] κοσμον ℵ **7** ηυξαμην ℵA **9** αυτη] αυτην A | ψαμμος] pr ως $\aleph^{c.a}$ **10** υγειαν (γιον ℵ*)] υγιειαν $B^{a?b}A$ | προειλαμην A **11** αγαθα] αγα ℵ* + θα $\aleph^{1}$ c.a img | ταις χερσιν] om ταις $B^{ab}A$ χειρι ℵ **12** ηυφρανθην A | παντων | πασιν ℵA | ηγνοουν] ηγνοων $\aleph^{c.a\,vid}$ (postea ras ω) | γενεσιν] γενετιν A **13** τε 1°] δε ℵ | αφθονως τε] φθονως τε sup ras A^{a} **14** εστιν θησαυρος ℵ | χρησαμενοι] κτησαμενοι $\aleph^{c.a\,vid}$ (superscr κ) A | παιδιας ℵA **15** δεδομενων] λεγομενων ℵA

B [16]ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς καὶ οἱ λόγοι ἡμῶν, 16
πᾶσά τε φρόνησις καὶ ἐργατειῶν ἐπιστήμη.
[17]αὐτὸς γάρ μοι ἔδωκεν τῶν ὄντων γνῶσιν ἀψευδῆ, 17
εἰδέναι σύστασιν κόσμου καὶ ἐνέργειαν στοιχείων,
[18]ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων, 18
τροπῶν ἀλλαγὰς καὶ μεταβολὰς καιρῶν,
[19]ἐνιαυτῶν κύκλους καὶ ἀστέρων θέσεις, 19
[20]φύσεις ζώων καὶ θυμοὺς θηρίων, 20
πνευμάτων βίας καὶ διαλογισμοὺς ἀνθρώπων,
διαφορὰς φυτῶν καὶ δυνάμεις ῥιζῶν.
[21]ὅσα τέ ἐστιν κρυπτὰ καὶ ἐμφανῆ ἔγνων· 21
[22]ἡ γὰρ πάντων τεχνῖτις ἐδίδαξέν με σοφία. 22

[(22)]*Εστιν γὰρ ἐν αὐτῇ πνεῦμα νοερόν, ἅγιον,
μονογενές, πολυμερές, λεπτόν,
εὐκίνητον, τρανόν; ἀμόλυντον,
σαφές, ἀπήμαντον, φιλάγαθον, ὀξύ,
ἀκώλυτον, εὐεργετικόν, [23]φιλάνθρωπον, 23
βέβαιον, ἀσφαλές, ἀμέριμνον,
παντοδύναμον, πανεπίσκοπον,
καὶ διὰ πάντων χωροῦν πνευμάτων
νοερῶν καθαρῶν λεπτοτάτων.
[24]πάσης γὰρ κινήσεως κινητικώτερον σοφία, 24
διήκει δὲ καὶ χωρεῖ διὰ πάντων διὰ τὴν καθαρότητα.
[25]ἀτμὶς γάρ ἐστιν τῆς τοῦ θεοῦ δυνάμεως, 25
καὶ ἀπόρροια τῆς τοῦ παντοκράτορος δόξης εἰλικρινής·
διὰ τοῦτο οὐδὲν μεμιαμμένον εἰς αὐτὴν παρεμπίπτει.
[26]ἀπαύγασμα γάρ ἐστιν φωτὸς ἀιδίου, 26
καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ θεοῦ ἐνεργείας,
καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ.
[27]μία δὲ οὖσα πάντα δύναται, 27
καὶ μένουσα ἐν αὐτῇ τὰ πάντα καινίζει,

ℵA **16** εργατιων ℵA **17** ενεργιαν ℵ **19** ενιαυτου ℵ* (-των ℵ^c.a) A | κυκλου ℵ* (-κλους ℵ^c.a) | αστρων ℵ* (-τερων ℵ^c.a) | θεσις ℵA **20** φυσις BℵA | θυμους] νομους ℵ* (revoc θυμ. ℵ^c.a) | θηριων] pr και ℵ (improb και ℵ?) **22** η rescr A[1] | om εν A | ενεργετον ℵ* (-τικον ℵ^c.a) **23** παντεπισκοπον ℵ^c.a, c.c A **24** καθαριοτητα ℵ* (ras ι ℵ?) **25** εστι ℵ | απορροια ℵ* (απορρ. ℵ^c.a) | ειλικρινης] ιλικρινειας A **26** ενεργιας ℵ **27** αυτη] εαυτη A | τα παντα] om τα A

καὶ κατὰ γενεὰς εἰς ψυχὰς ὁσίας μεταβαίνουσα B
φίλους θεοῦ καὶ προφήτας κατασκευάζει·
28 [28]οὐθὲν γὰρ ἀγαπᾷ ὁ θεὸς εἰ μὴ τὸν σοφίᾳ συνοικοῦντα.
29 [29]ἔστιν γὰρ αὕτη εὐπρεπεστέρα ἡλίου,
καὶ ὑπὲρ πᾶσαν ἄστρων θέσιν.
φωτὶ συνκρινομένη εὑρίσκεται προτέρα·
30 [30]τοῦτο μὲν γὰρ διαδέχεται νύξ,
σοφίας δὲ οὐκ ἀντισχύει κακία.
VIII 1 [1]διατείνει δὲ ἀπὸ πέρατος εἰς πέρας εὐρώστως,
καὶ διοικεῖ τὰ πάντα χρηστῶς.

2 [2]Ταύτην ἐφίλησα καὶ ἐξεζήτησα ἐκ νεότητός μου,
καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ,
καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς.
3 [3]εὐγένειαν δοξάζει συμβίωσιν θεοῦ ἔχουσα,
καὶ ὁ πάντων δεσπότης ἠγάπησεν αὐτήν·
4 [4]μύστις γάρ ἐστιν τῆς τοῦ θεοῦ ἐπιστήμης,
καὶ αἱρετὶς τῶν ἔργων αὐτοῦ.
5 [5]εἰ δὲ πλοῦτός ἐστιν ἐπιθυμητὸν κτῆμα ἐν βίῳ,
τί σοφίας πλουσιώτερον τῆς τὰ πάντα [§]ἐργαζομένης; § C
6 [6]εἰ δὲ φρόνησις ἐργάζεται,
τίς αὐτῆς τῶν ὄντων μᾶλλόν ἐστιν τεχνῖτις;
7 [7]καὶ εἰ δικαιοσύνην ἀγαπᾷ τις,
οἱ πόνοι ταύτης εἰσὶν ἀρεταί·
σωφροσύνην γὰρ καὶ φρόνησιν ἐκδιδάσκει,
δικαιοσύνην καὶ ἀνδρείαν,
ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις.
8 [8]εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις,
οἶδεν τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν,
ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων,
σημεῖα καὶ τέρατα προγινώσκει

27 προσφητας ℵ* (προφ. ℵ[1]) **28** ουθεν] ουδεν ℵA | ο θς αγαπα A | ο ℵAC θεος] θος ℵ[c.c] (postea revoc ut vid ο θς) **29** ευπρεπρεστερα ℵ* (ρ 2° improb mox ras ℵ[?]) | αστρων] αστερων A | συγκρινομενη B[ab]A **30** σοφιας] σοφια ℵ* (-φιας ℵ[c.a]) σοφιαν A | ουκ αντισχυει] ου κατισχυει ℵA (-σχυι) VIII **1** εις BA*] επι ℵA[a] | διοικειται A **3** ευγενιαν ℵ **5** πλουσιωτερον] τιμιωτερον ℵ | εργαζομενης] περιεργαζ. ℵ* (περι improb ℵ[1 ?c.a(vid)]) incip |ζομενης C **6** τεχνιτης AC **7** σωφροσυνης A | ανδριαν ℵAC **8** πολυπειριαν B[b]ℵC (-ρειαν B*)] πολυπειραν A | οιδε ℵ* (-δεν ℵ[c.a]) | εικαζει ℵ[?] (ras ν) A | λυσις B*ℵAC (-σεις B[ab])

B καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων.
9 ἔκρινα τοίνυν ταύτην ἀγαγέσθαι πρὸς συμβίωσιν, 9
εἰδὼς ὅτι ἔσται μοι σύμβουλος ἀγαθῶν,
καὶ παραίνεσις φροντίδων καὶ λύπης.
10 ἕξω δι' αὐτὴν δόξαν ἐν ὄχλοις, 10
καὶ τιμὴν παρὰ πρεσβυτέροις ὁ νέος·
11 ὀξὺς εὑρεθήσομαι ἐν κρίσει, 11
καὶ ἐν ὄψει δυναστῶν θαυμασθήσομαι·
12 σιγῶντά με περιμενοῦσιν, καὶ φθεγγομένῳ προσέξουσιν, 12
καὶ λαλοῦντος ἐπὶ πλεῖον
χεῖρα ἐπιθήσουσιν ἐπὶ στόμα αὐτῶν.
13 ἕξω δι' αὐτὴν ἀθανασίαν, 13
καὶ μνήμην αἰώνιον τοῖς μετ' ἐμὲ ἀπολείψω.
14 διοικήσω λαούς, καὶ ἔθνη ὑποταγήσεταί μοι· 14
15 φοβηθήσονταί με ἀκούσαντες τύραννοι φρικτοί, 15
ἐν πλήθει φανοῦμαι ἀγαθὸς καὶ ἐν πολέμῳ ἀνδρεῖος.
16 εἰσελθὼν εἰς τὸν οἶκόν μου προσαναπαύσομαι αὐτῇ· 16
οὐ γὰρ ἔχει πικρίαν ἡ συναναστροφὴ αὐτῆς,
οὐδὲ ὀδύνην ἡ συμβίωσις αὐτῆς,
ἀλλὰ εὐφροσύνην καὶ χαράν.
17 ταῦτα λογισάμενος ἐν ἐμαυτῷ 17
καὶ φροντίσας ἐν καρδίᾳ μου
ὅτι ἔστιν ἀθανασία ἐν συγγενείᾳ σοφίας,
18 καὶ ἐν φιλίᾳ αὐτῆς τέρψις ἀγαθή, 18
καὶ ἐν πόνοις χειρῶν αὐτῆς πλοῦτος ἀνεκλιπής,
καὶ ἐν συνγυμνασίᾳ ὁμιλίας αὐτῆς φρόνησις,
καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς,
περιῄειν ζητῶν ὅπως λάβω αὐτὴν εἰς ἐμαυτόν.
19 παῖς δὲ ἤμην εὐφυής, 19
ψυχῆς τε ἔλαχον ἀγαθῆς,

ℵAC **9** αγαγεσθαι ταυτην A | om αγαγεσθαι C | συνβουλος C **10** οχλω C **12** χειρα] χειρας ℵ χειρα δε C | στομα] pr το ℵ* (om το ℵc.a) **13** αθανασιαν]+ |και τιμην παρα.. (evan 12 fere litt quae seq: leg fort [του παντοκρα]τορος) C | απολειψω] καταλιψω C **14** υποταγησονται ℵc.a **15** φανουμαι] φανησομαι C **16** συνβιωσις C **17** αθανασια εστιν BaℵAC | εν συγγενεια (συγγενια ℵA συνγενια C)] om εν ℵ* (hab ℵc.a) **18** φιλιαυτης A | τερψις] τρεψις C | αγαθη] γαθη sup ras Aa | πλουτος] τερψις ℵ* (πλ. ℵc.a) | ανεκλειπης A | συνγυμνασια (συγγ. Bab)] γυμνασια C | ομιλια A | φρονησεις A | ευκλεια] ευκλεης AC | λαβω] αγαγω ℵ

20 [20]μᾶλλον δὲ ἀγαθὸς ὢν ἦλθον εἰς σῶμα ἀμίαντον. B
21 [21]γνοὺς δὲ ὅτι οὐκ ἄλλως ἔσομαι ἐγκρατὴς ἐὰν μὴ ὁ θεὸς δῷ,
καὶ τοῦτο δ' ἦν φρονήσεως τὸ εἰδέναι τίνος ἡ χάρις,
ἐνέτυχον τῷ κυρίῳ καὶ ἐδεήθην αὐτοῦ,
καὶ εἶπον ἐξ ὅλης τῆς καρδίας μου

IX 1 [1]Θεὲ πατέρων καὶ Κύριε τοῦ ἐλέους σου,
ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου,
2 [2]καὶ τῇ σοφίᾳ σου κατεσκεύασας ἄνθρωπον
ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων,
3 [3]καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ,
καὶ ἐν εὐθύτητι ψυχῆς κρίσιν κρίνῃ·
4 [4]δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν,
καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου.
5 [5]ὅτι ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου,
ἄνθρωπος ἀσθενὴς καὶ ὀλιγοχρόνιος
καὶ ἐλάσσων ἐν συνέσει κρίσεως καὶ νόμων·
6 [6]κἂν γάρ τις ᾖ τέλειος ἐν υἱοῖς ἀνθρώπων,
τῆς ἀπὸ σοῦ σοφίας ἀπούσης εἰς οὐδὲν λογισθήσεται.
7 [7]σύ με προείλω βασιλέα λαοῦ σου
καὶ δικαστὴν υἱῶν σου καὶ θυγατέρων·
8 [8]εἶπας οἰκοδομῆσαι ναὸν ἐν ὄρει ἁγίῳ σου,
καὶ ἐν πόλει κατασκηνώσεώς σου θυσιαστήριον,
μίμημα σκηνῆς ἁγίας ἣν προητοίμασας ἀπ' ἀρχῆς.
9 [9]καὶ μετὰ σοῦ ἡ σοφία ἡ εἰδυῖα τὰ ἔργα σου,
καὶ παροῦσα ὅτε ἐποίεις τὸν κόσμον,
καὶ ἐπισταμένη τί ἀρεστὸν ἐν ὀφθαλμοῖς σου
καὶ τί εὐθὲς ἐν ἐντολαῖς σου.
10 [10]ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίων οὐρανῶν,
καὶ ἀπὸ θρόνου δόξης σου πέμψον αὐτήν·
ἵνα συνπαροῦσά μοι κοπιάσῃ,

21 ουκ αλλως] ου καλως AC | ενκρατης C | om εαν μη ο θεος δω C | ℵAC τουτο] το C | δ ην] δη ℵ*C δε ℵc.a | φρονησεως] + εστιν C | η χαρις] om η A pr εστιν C **IX 1** om σου 1° C **2** om σου 1° C | κατασκευασας ℵA | δεσποζει C **3** κρινη] κρινι A **6** τις η] η τις C | om εις ℵ* (hab ℵc.a) C | ουδεν] ουθεν AC | λογισθησονται ℵ* (-θησεται ℵc.a) **7** προειλω] προειλου ℵ προσειλου C **8** οικοδομησαι] οι bis scr ℵ* (improb 1° ℵc.a) οικοδομησω C | κατασκηνεσεως A | μιμημασσκηνης C **9** ιδυια ℵA ειδυεια C | εποιει C **10** συμπαρουσα Bab συνπαρουσαν C | κοπιασει C

B καὶ γνῶ τί εὐάρεστόν ἐστιν παρὰ σοί.
[11] οἶδε γὰρ ἐκείνη πάντα καὶ συνίει, 11
καὶ ὁδηγήσει με ἐν ταῖς πράξεσί μου σωφρόνως,
καὶ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς·
[12] καὶ ἔσται προσδεκτὰ τὰ ἔργα μου, 12
καὶ διακρινῶ τὸν λαόν σου δικαίως,
καὶ ἔσομαι ἄξιος θρόνων πατρός μου.
[13] τίς γὰρ ἄνθρωπος γνώσεται βουλὴν θεοῦ; 13
ἢ τίς ἐνθυμηθήσεται τί θέλει ὁ κύριος;
[14] λογισμοὶ γὰρ θνητῶν δειλοί, 14
καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι ἡμῶν·
[15] φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχήν, 15
καὶ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα.
[16] καὶ μόλις εἰκάζομεν τὰ ἐπὶ γῆς, 16
καὶ τὰ ἐν χερσὶν εὑρίσκομεν μετὰ πόνου·
τὰ δὲ ἐν οὐρανοῖς τίς ἐξιχνίασεν;
[17] βουλὴν δέ σου τίς ἔγνω, εἰ μὴ σὺ ἔδωκας σοφίαν 17
καὶ ἔπεμψας τὸ ἅγιόν σου πνεῦμα ἀπὸ ὑψίστων;
[18] καὶ οὕτως διωρθώθησαν αἱ τρίβοι τῶν ἐπὶ γῆς, 18
καὶ τὰ ἀρεστά σου ἐδιδάχθησαν ἄνθρωποι,
[(19)] καὶ τῇ σοφίᾳ ἐσώθησαν.

[1] Αὕτη πρωτόπλαστον πατέρα κόσμου 1 X
μόνον κτισθέντα διεφύλαξεν,
καὶ ἐξείλατο αὐτὸν ἐκ παραπτώματος ἰδίου,
[2] ἔδωκέν τε αὐτῷ ἰσχὺν κρατῆσαι ἁπάντων. 2
[3] ἀποστὰς δὲ ἀπ' αὐτῆς ἄδικος ἐν ὀργῇ αὐτοῦ 3
ἀδελφοκτόνοις συναπώλετο θυμοῖς·
[4] δι' ὃν κατακλυζομένην γῆν πάλιν διέσωσεν σοφία, 4
δι' εὐτελοῦς ξύλου τὸν δίκαιον κυβερνήσασα.

NAC **10** εστι A **11** οιδεν ℵ$^{c.a}$AC | om εν 1° C | πραξεσιν ℵA | αυτης] εαυτης ℵ* (αυτ. ℵ$^{c.a}$) **12** μου 1°] αυτου ℵ* (μ. ℵ^{1}) | δικαιως] σωφρονως C | θρονων] θρονου ℵ* (-νων ℵ$^{c.a}$) **14** επισφαλεις Bℵ$^{c.c}$A (-λις ℵ*C)] pr αι ℵ* (improb αι ℵ^{1}) **15** γαιωδες A **16** μολις] μογις ℵA | χερσιν] ποσιν ℵ | εξιχνιασε C **17** συ εδωκας] συνεδωκας C | απο υψιστων] απο υψηλῶ| ℵ* (απο υψιστ. ℵ$^{c.a}$) αφ υψους C **18** διορθωθησαν ℵC | των επι γης] τ. εθνων επι της γ. C | και 2°] κε A | αριστα C | σοφια] + σου ℵ X **1** διεφυλαξε C **2** τε] δε C | απαντων] παντων ℵAC pr απο ℵ$^{c.a}$ **4** δι ον] διο ℵ* (δι ον ℵ$^{c.a}$) C | διεσωσεν] εσωσεν ℵAC | om δι 2° C

5 [5]αὕτη καὶ ἐν ὁμονοίᾳ πονηρίας ἐθνῶν συγχυθέντων B
εὗρεν τὸν δίκαιον, καὶ ἐτήρησεν αὐτὸν ἄμεμπτον θεῷ,
καὶ ἐπὶ τέκνου σπλάγχνοις ἰσχυρὸν ἐφύλαξεν.
6 [6]αὕτη δίκαιον ἐξαπολλυμένων ἀσεβῶν ἐρρύσατο
φυγόντα πῦρ καταβάσιον Πενταπόλεως·
7 [7]ἧς ἔτι μαρτύριον τῆς πονηρίας
καπνιζομένη καθέστηκε χέρσος,
καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα φυτά,
ἀπιστούσης ψυχῆς μνημεῖον ἑστηκυῖα στήλη ἁλός.
8 [8]σοφίαν γὰρ παροδεύσαντες
οὐ μόνον ἐβλάβησαν τοῦ μὴ γνῶναι τὰ καλά,
ἀλλὰ καὶ τῆς ἀφροσύνης ἀπέλιπον τῷ βίῳ μνημόσυνον,
ἵνα ἐν οἷς ἐσφάλησαν μηδὲ λαθεῖν δυνηθῶσιν.
9 [9]σοφία δὲ τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐρρύσατο.
10 [10]αὕτη φυγάδα ὀργῆς ἀδελφοῦ δίκαιον
ὡδήγησεν ἐν τρίβοις εὐθείαις·
ἔδειξεν αὐτῷ βασιλείαν θεοῦ,
καὶ ἔδωκεν αὐτῷ γνῶσιν ἁγίων·
εὐπόρησεν αὐτὸν ἐν μόχθοις,
καὶ ἐπλήθυνεν τοὺς πόνους αὐτοῦ·
11: [11]ἐν πλεονεξίᾳ κατισχυόντων αὐτὸν παρέστη,
καὶ ἐπλούτισεν αὐτόν·
12 [12]διεφύλαξεν αὐτὸν ἀπὸ ἐχθρῶν,
καὶ ἀπὸ ἐνεδρευόντων ἠσφαλίσατο,
καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτῷ,
ἵνα γνῷ ὅτι παντὸς δυνατωτέρα ἐστὶν εὐσέβεια.
13 [13]αὕτη πραθέντα δίκαιον οὐκ ἐγκατέλιπεν,
ἀλλὰ ἐξ ἁμαρτίας ἐρρύσατο αὐτόν·
14 [14]συνκατέβη αὐτῷ εἰς λάκκον,
καὶ ἐν δεσμοῖς οὐκ ἀφῆκεν αὐτόν,

5 ευρεν] εγνω ℵAC | θεω] pr τω C | τεκνουσσπλ. ℵ* (ras σ 1° ℵ²) A ℵAC **6** ερυσατο C | φευγοντα ℵ* (φυγ. ℵ$^{c.a}$) | καταβασιον πυρ ℵAC **7** ης ετι] η εστι C | καθεστηκεν C | εστηκυιη ℵ* (-α ℵ$^{c.a}$) εστηκυιας A **8** απελειπ̄ A | μνημοσυνον] μνημην ℵ* (-μοσυνον ℵ$^{c.a}$) **9** θεραπευοντας ℵ* (-σαντας ℵ$^{c.a}$) AC | ερυσατο C **10** αυτη]+και C | αγιων] ανω̄ν C | πονους] κοπους ℵA **11** αυτον 2°]+εν μοχθοις C **12** διεφυλαξεν] και εφυλ. ℵ | παντος] παντως ℵ* παντων ℵ$^{c.a}$ | ευσεβεια] pr η A **13** εγκατελειπεν A ενκατελιπεν C | αλλα] αλλ ℵ | ερυσατο ℵC **14** συγκατεβη B^{ab}A

B ἕως ἤνεγκεν αὐτῷ σκῆπτρα βασιλείας
καὶ ἐξουσίαν τυραννούντων αὐτοῦ·
ψευδεῖς τε ἔδειξεν τοὺς μωμησαμένους αὐτόν,
καὶ ἔδωκεν αὐτῷ δόξαν αἰώνιον.
15 αὕτη λαὸν ὅσιον καὶ σπέρμα ἄμεμπτον ἐρρύσατο ἐξ ἔθνους 15
θλιβόντων.
16 εἰσῆλθεν εἰς ψυχὴν θεράποντος Κυρίου, 16
καὶ ἀντέστη βασιλεῦσιν φοβεροῖς ἐν τέρασι καὶ σημείοις.
17 ἀπέδωκεν ὁσίοις μισθὸν κόπων αὐτῶν, 17
ὡδήγησεν αὐτοὺς ἐν ὁδῷ θαυμαστῇ,
καὶ ἐγένετο αὐτοῖς εἰς σκέπην ἡμέρας
καὶ εἰς φλόγα ἄστρων τὴν νύκτα.
18 διεβίβασεν αὐτοὺς θάλασσαν ἐρυθράν, 18
καὶ διήγαγεν αὐτοὺς δι' ὕδατος πολλοῦ·
19 τοὺς δὲ ἐχθροὺς αὐτῶν κατέκλυσεν, 19
καὶ ἐκ βάθους ἀβύσσου ἀνέβρασεν αὐτούς.
20 διὰ τοῦτο δίκαιοι ἐσκύλευσαν ἀσεβεῖς, 20
καὶ ὕμνησαν, Κύριε, τὸ ὄνομα τὸ ἅγιόν σου,
τήν τε ὑπέρμαχόν σου χεῖρα ᾔνεσαν ὁμοθυμαδόν·
21 ὅτι ἡ σοφία ἤνοιξεν στόμα κωφῶν, 21
καὶ γλώσσας νηπίων ἔθηκεν τρανάς.

1 Εὐόδωσεν τὰ ἔργα αὐτῶν ἐν χειρὶ προφήτου ἁγίου. 1 XI
2 διώδευσαν ἔρημον ἀοίκητον, 2
καὶ ἐν ἀβάτοις ἔπηξαν σκηνάς·
3 ἀντέστησαν πολεμίοις, καὶ ἠμύναντο ἐχθρούς. 3
4 ἐδίψησαν καὶ ἐπεκαλέσαντό σε, 4
καὶ ἐδόθη αὐτοῖς ἐκ πέτρας ἀκροτόμου ὕδωρ,
καὶ ἴαμα δίψης ἐκ λίθου σκληροῦ.
5 δι' ὧν γὰρ ἐκολάσθησαν οἱ ἐχθροὶ αὐτῶν, 5

ℵAC **14** αυτου] αυτον ℵ$^{c.a}$C **15** ερυσατο AC **16** ανεστη ℵ* (αντεστη ℵ$^{c.a}$) | βασιλευς ℵ βασιλευσι AC **17** μισθον οσιοις A | αυτων] αυτου ℵ* (-των ℵ$^{c.a}$) C | φλογας ℵ | αστερων ℵ$^{c.a}$AC **18** θαλασσαν] pr εις ℵC | δι] δια ℵ **19** αυτων] αυτου C | κατεκλυσεν] κατεπαυσε| ℵ* (κατεκλ. ℵ$^{c.a}$) κατεκλυσᾶ| A | εκ βαθους] εκ θαμβους ℵ* (εκ β. ℵ$^{c.a}$) | om αβυσσου ℵ | ανεβρασεν] αβρασεν ℵ* (ανεβρ. ℵ^{1}) διεβιβασεν C | αυτους]+ εισηλθεν εις ψυχην θεραποντος κῡ| και αντεστη βασιλευσιν φοβε|ροις εν τερασιν και σημιοις| ℵ* (unc incl ℵ$^{1\,c.a}$) **20** τε] δε C | χειραν ℵC **21** εθηκε C XI **1** ευωδωσεν B^{ab} | αυτων] αυτου A | προφητων αγιων A **3** εχθρους ημυναντο B^{a}ℵAC

(6) [6]διὰ τούτων αὐτοὶ ἀπορούντες εὐεργετήθησαν. B
(7) 6 [6]ἀντὶ μὲν πηγῆς ἀενάου ποταμοῦ
αἵματι λυθρώδει ταραχθέντες
(8) 7 [7]εἰς ἔλεγχον νηπιοκτόνου διατάγματος,
(9) 8 ἔδωκας αὐτοῖς δαψιλὲς ὕδωρ ἀνελπίστως, [8]δείξας
διὰ τοῦ τότε δίψους πῶς τοὺς ὑπεναντίους ἐκόλασας.
(10) 9 [9]ὅτε γὰρ ἐπειράσθησαν, καίπερ ἐν ἐλέει παιδευόμενοι,
ἔγνωσαν πῶς ἐν ὀργῇ κρινόμενοι ἀσεβεῖς ἐβασανίζοντο·
(11) 10 [10]τούτους μὲν γὰρ ὡς πατὴρ νουθετῶν ἐδοκίμασας,
ἐκείνους δὲ ὡς ἀπότομος βασιλεὺς καταδικάζων ἐξήτασας.
(12) 11 [11]καὶ ἀπόντες δὲ καὶ παρόντες ὁμοίως ἐτρύχοντο·
(13) 12 [12]διπλῆ γὰρ αὐτοὺς ἔλαβεν λύπη
καὶ στεναγμὸς μνημῶν τῶν παρελθουσῶν.
(14) 13 [13]ὅτε γὰρ ἤκουσαν διὰ τῶν ἰδίων κολάσεων
εὐεργετουμένους αὐτούς, ἤσθοντο τοῦ κυρίου.
(15) 14 [14]τὸν γὰρ ἐν ἐκθέσει πάλαι ῥιφέντα ἀπεῖπον χλευάζοντες·
ἐπὶ τέλει τῶν ἐκβάσεων ἐθαύμασαν,
οὐχ ὅμοια δικαίοις διψήσαντες.
(16) 15 [15]ἀντὶ δὲ λογισμῶν ἀσυνέτων ἀδικίας αὐτῶν,
ἐν οἷς πλανηθέντες ἐθρήσκευον ἄλογα ἑρπετὰ καὶ κνώδαλα εὐτελῆ,
ἐπαπέστειλας αὐτοῖς πλῆθος ἀλόγων ζῴων εἰς ἐκδίκησιν,
(17) 16 [16]ἵνα γνῶσιν ὅτι δι' ὧν τις ἁμαρτάνει, διὰ τούτων κολάζεται.
(18) 17 [17]οὐ γὰρ ἠπόρει ἡ παντοδύναμός σου χεὶρ
καὶ κτίσασα τὸν κόσμον ἐξ ἀμόρφου ὕλης
ἐπιπέμψαι αὐτοῖς πλῆθος ἄρκων ἢ θρασεῖς λέοντας,
(19) 18 [18]ἢ νεοκτίστους θυμοῦ πλήρεις θῆρας ἀγνώστους,
ἤτοι πυρπνόον φυσῶντας ἆσθμα,

6 πηγας C | αεναου] εναου C | ταραχθεντος ℵA **8** δειξας c seqq ℵAC coniung A | του υπεν. B | εκολασας] κολασας ℵ* (εκολ. ℵ$^{c.a}$) εκαλεσας C **9** ελεει] ε||ει ℵ* (ελεει ℵ$^{c.a}$) | εν οργη] μετ οργης ℵC **10** εξητασας] εξητησας C **12** παρελθοντων ℵA **13** ενεργετημενους ℵAC | του κυ] σου κε ℵ$^{c.a}$ **14** τον] ον A | εκθεσει] εχθεσει ℵAC (-σι) | παλαι ριφεντα] om παλαι ℵ$^{c.a}$ ριφ. παλαι αν̄ον C | απειπον χλευαζοντες] απειπαν χλ. ℵ$^{c.a}$ απειποντες εχλευαζον C | εθαυμαζον A | δικαιοις] pr τοις ℵ **15** εθρησκευον] εθνησκευον ℵ* (εθρ. ℵ$^{c.a}$) | κνωδαλα] adnot θηρια μικρα λεπτα B^{2mg} κλωδαλα (δαλα sup ras) A^{a} **16** κολαζεται] pr και ℵ **17** και] pr η ℵ$^{c.a}$ | επιπεμψαι] επιμεψαι C **18** νεοκτιστου AC* (-τους C^{a}) | θυμους ℵ | πληρης ℵ | θηρας αγνωστους] θρασυγνωστους ℵ* (θηρας αγν. ℵ$^{c.a}$) | πυρπνεον ℵ | ασθμα] θμα non inst B$^{b\,vid}$

B ἢ βρόμους λικμωμένους καπνοῦ,
ἢ δεινοὺς ἀπ᾽ ὀμμάτων σπινθῆρας ἀστράπτοντας,
[19]ὧν οὐ μόνον ἡ βλάβη ἠδύνατο συνεκτρῖψαι αὐτούς, 19 (20)
ἀλλὰ καὶ ἡ ὄψις ἐκφοβήσασα διολέσαι.
[20]καὶ χωρὶς δὲ τούτων ἑνὶ πνεύματι πεσεῖν ἐδύναντο 20 (21)
ὑπὸ τῆς δίκης διωχθέντες,
καὶ λικμηθέντες ὑπὸ πνεύματος δυνάμεώς σου·
ἀλλὰ πάντα μέτρῳ καὶ ἀριθμῷ καὶ σταθμῷ διέταξας.
[21]τὸ γὰρ μεγάλως ἰσχύειν πάρεστίν σοι πάντοτε, 21 (22)
καὶ κράτει βραχίονός σου τίς ἀντιστήσεται;
[22]ὅτι ὡς ῥοπὴ ἐκ πλαστίγγων ὅλος ὁ κόσμος ἐναντίον σου, 22 (23)
καὶ ὡς ῥανὶς δρόσου ὀρθρινὴ κατελθοῦσα ἐπὶ γῆν.
[23]ἐλεεῖς δὲ πάντας, ὅτι πάντα δύνασαι, 23 (24)
καὶ παροράς ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν.
[24]ἀγαπᾷς γὰρ τὰ ὄντα πάντα, καὶ οὐδὲν βδελύσσῃ ὧν ἐποί- 24 (25)
ησας,
οὐδὲ γὰρ ἂν μισῶν τι κατεσκεύασας.
[25]πῶς δὲ ἔμεινεν ἄν τι εἰ μὴ σὺ ἠθέλησας, 25 (26)
ἢ τὸ μὴ κληθὲν ὑπὸ σοῦ διετηρήθη;
[26]φείδῃ δὲ πάντων, ὅτι σά ἐστιν, Δέσποτα φιλόψυχε. 26 (27)
[1]τὸ γὰρ ἄφθαρτόν σου πνεῦμά ἐστιν ἐν πᾶσιν. 1 XII
[2]διὸ τοὺς παραπίπτοντας κατ᾽ ὀλίγον ἐλέγχεις, 2
καὶ ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνήσκων νουθετεῖς,
ἵνα ἀπαλλαγέντες τῆς κακίας πιστεύσωσιν ἐπὶ σέ, Κύριε.

[3]Καὶ γὰρ τοὺς παλαιοὺς οἰκήτορας τῆς ἁγίας σου γῆς 3
[4]μισήσας ἐπὶ τῷ ἔχθιστα πράσσειν ἔργα φαρμακειῶν 4
καὶ τελετὰς ἀνοσίους, [5]τέκνων τε φονέας ἀνελεήμονας, 5
καὶ σπλαγχνοφάγων ἀνθρωπίνων σαρκῶν θοῖναν καὶ αἵματος,

ℵAC **18** *βρομον* ℵAC | *λιχμωμενους* A | *πινθηρας* ℵ* (*σπ.* ℵ$^{c.a}$) **19** *εδυνατο* A | *συνεκτριψαι*] *εκτριψαι* ℵ$^{c.a}$AC **20** *ενι*] pr *εν* C | om *δικης* ℵ* (hab ℵ$^{c.a}$) | om *σου* C | om *και σταθμω* C **21** *σοι παρεστιν* B^{a}ℵAC | *σου τις*] *ουθεις* C **22** *πλαστιγγων*] *παστ.* B* (*πλ.* B^{ab}) *πλαστιγων* ℵ | *εναντιον*] *κατενα*|*τιον* C | *ορθινη* C | *γην*] *γης* ℵ$^{c.a}$C **24** *ουδενα* A **25** *δε*] *γαρ* C | *εμεινεν*] *διεμεινεν* ℵC | *αν τι*] pr *εν* (? *εναντι*) ℵ* improb *εν* ℵ^{2} *αν τις* C | *κληθεν*] *κλη*[*θη*]*ναι* C^{vid} **26** *εστιν*]+*παντα* AC^{vid} XII **1** *πασιν*] *απασι* ℵ **2** *υπομνησκων* C | *κακιας*]+*αυτου* ℵ* (improb *αυτου* ℵ$^{c.a}$) | *πιστευσωσιν*] om ℵ* (hab ℵ$^{c.a}$) *πιστευσωμεν* A **3** *παλαιους*] *παλαι* ℵ **4** *φαρμακιων* ℵ *φαρμακιας* C | *ανοσιων* C **5** *φρονεας* C | *σαρκων*] *σαρκος* C | *και αιματος* c seqq coniung ℵ

ἐκ μέσου μύστας θιάσου, B
6 [6]καὶ αὐθέντας γονεῖς ψυχῶν ἀβοηθήτων,
ἐβουλήθης ἀπολέσαι διὰ χειρῶν πατέρων ἡμῶν,
7 [7]ἵνα ἀξίαν ἀποικίαν δέξηται θεοῦ παίδων
ἡ παρὰ σοὶ πασῶν τιμιωτάτη γῆ.
8 [8]ἀλλὰ καὶ τούτων ὡς ἀνθρώπων ἐφείσω,
ἀπέστειλάς τε προδρόμους τοῦ στρατοπέδου σου σφῆκας,
ἵνα αὐτοὺς κατὰ βραχὺ ἐξολεθρεύσωσιν·
9 [9]οὐκ ἀδυνατῶν ἐν παρατάξει ἀσεβεῖς δικαίοις ὑποχειρίους δοῦναι,
ἢ θηρίοις δεινοῖς, ἢ λόγῳ ἀποτόμῳ ὑφ' ἓν ἐκτρῖψαι·
10 [10]κρίνων δὲ κατὰ βραχὺ ἐδίδους τόπον μετανοίας,¶ ¶ C
οὐκ ἀγνοῶν ὅτι πονηρὰ ἡ γένεσις αὐτῶν
καὶ ἔμφυτος ἡ κακία αὐτῶν,
καὶ ὅτι οὐ μὴ ἀλλαγῇ ὁ λογισμὸς αὐτῶν εἰς τὸν αἰῶνα,
11 [11]σπέρμα γὰρ ἦν κατηραμένον ἀπ' ἀρχῆς·
οὐδὲ εὐλαβούμενός τινα ἐφ' οἷς ἡμάρτανον ἄδειαν ἐδίδους.
12 [12]τίς γὰρ ἐρεῖ Τί ἐποίησας; ἢ τίς ἀντιστήσεται τῷ κρίματί σου;
τίς δὲ ἐγκαλέσει σοι κατὰ ἐθνῶν ἀπολωλότων, ἃ σὺ ἐποίησας;
ἢ τίς εἰς κατάστασίν σοι ἐλεύσεται ἔκδικος κατὰ ἀδίκων ἀνθρώπων;
13 [13]οὔτε γὰρ θεός ἐστιν πλὴν σοῦ, ᾧ μέλει περὶ πάντων,
ἵνα δείξῃς ὅτι οὐκ ἀδίκως ἔκρινας·
14 [14]οὔτε βασιλεὺς ἢ τύραννος ἀντοφθαλμῆσαι δυνήσεταί σοι περὶ ὧν
ἐκόλασας.
15 [15]δίκαιος δὲ ὢν δικαίως τὰ πάντα διέπεις,
αὐτὸν τὸν μὴ ὀφείλοντα κολασθῆναι καταδικάσαι
ἀλλότριον ἡγούμενος τῆς σῆς δυνάμεως.
16 [16]ἡ γὰρ ἰσχύς σου δικαιοσύνης ἀρχή,
καὶ τὸ πάντων σε δεσπόζειν πάντων φείδεσθαι ποιεῖ·

5 εκ μεσου] εκ μυσου (? εκμ.) B^{a} εμμεσω C | μυστας θιασου ℵ$^{c.a}$A (θειασου)] ℵAC μυσταθειασου B* μυσταση|θειασσου B$^{a\,mg\,inf}$ μυσταθιασου ℵ* μυσταθιασσου C **6** αυθεντας] λυθεντας C | εβουληθης] εαν βουληθης ℵ* (εβουλ. ℵ$^{c.a}$) **7** ινα] κατα ℵ* (ινα ℵ$^{c.a}$) | αξια C | om η ℵ* (hab ℵ$^{c.a}$) | πασων] παντων ℵ$^{c.a}$ **8** τους στρατοπεδους Bℵ | εξολοθρευσωσιν ℵ **9** δουναι] διδοναι ℵ **10** κρινων] κεινων ℵ* (κριν. ℵ$^{c.a}$) | δε] γαρ ℵ* (δε ℵ$^{c.a}$) | om οτι 2° ℵ* (hab ℵ$^{c.a}$) **11** κεκατηραμενον ℵ **12** εγκαλεσει ℵ εγκαλεσαι A | ελευσεται σοι ℵ **13** δειξης] s ras ℵ$^{c.a}$ rursus inst ℵ$^{c.c}$ **15** τα παντα δικαιως ℵ* (δικ. τα παντα ℵ$^{c.a}$) | οφειλοντα (οφιλ. ℵA) κολασθηναι (pr λ ℵ* improb ℵ^{1} postea ras)] τα κολα sup ras A^{a} | ηγουμενον ℵ* (-νος ℵ$^{c.a}$) **16** φειδεσθαι]+σε ℵ$^{c.a}$A

B [17]ἰσχὺν γὰρ ἐνδείκνυσαι ἀπιστούμενος ἐπὶ δυνάμεως τελειότητι, 17
καὶ ἐν τοῖς εἰδόσι τὸ θράσος ἐξελέγχεις·
[18]σὺ δὲ δεσπόζων ἰσχύος ἐν ἐπιεικείᾳ κρίνεις, 18
καὶ μετὰ πολλῆς φειδοῦς διοικεῖς ἡμᾶς·
πάρεστιν γάρ σοι ὅταν θέλῃς τὸ δύνασθαι.
[19]ἐδίδαξας δέ σου τὸν λαὸν διὰ τῶν τοιούτων ἔργων, 19
ὅτι δεῖ τὸν δίκαιον εἶναι φιλάνθρωπον·
καὶ εὐέλπιδας ἐποίησας τοὺς υἱούς σου,
ὅτι διδοῖς ἐπὶ ἁμαρτήμασιν μετάνοιαν.
[20]εἰ γὰρ ἐχθροὺς παίδων σου καὶ ὀφειλομένους θανάτῳ 20
μετὰ τοσαύτης ἐτιμώρησας προσοχῆς καὶ δεήσεως,
δοὺς χρόνους καὶ τόπον δι' ὧν ἀπαλλαγῶσι τῆς κακίας,
[21]μετὰ πόσης ἀκριβείας ἔκρινας τοὺς υἱούς σου, 21
ὧν τοῖς πατράσιν ὅρκους καὶ συνθήκας ἔδωκας ἀγαθῶν
ὑποσχέσεων;
[22]ἡμᾶς οὖν παιδεύων τοὺς ἐχθροὺς ἡμῶν ἐν μυριότητι μαστι- 22
γοῖς,
ἵνα σου τὴν ἀγαθότητα μεριμνῶμεν κρίνοντες,
κρινόμενοι δὲ προσδοκῶμεν ἔλεος.
[23]ὅθεν καὶ τοὺς ἐν ἀφροσύνῃ ζωῆς βιώσαντας ἀδίκους 23
διὰ τῶν ἰδίων ἐβασάνισας βδελυγμάτων.
[24]καὶ γὰρ τῶν πλάνης ὁδῶν μακρότερον ἐπλανήθησαν, 24
θεοὺς ὑπολαμβάνοντες τὰ καὶ ἐν ζῴοις τῶν ἐχθρῶν ἄτιμα,
νηπίων δίκην ἀφρόνων ψευσθέντες.
[25]διὰ τοῦτο ὡς παισὶν ἀλογίστοις 25
τὴν κρίσιν εἰς ἐμπαιγμὸν ἔπεμψας·
[26]οἱ δὲ παιγνίοις ἐπιτιμήσεως μὴ νουθετηθέντες 26
ἀξίαν θεοῦ κρίσιν πειράσουσιν.
[27]ἐφ' οἷς γὰρ αὐτοὶ πάσχοντες ἠγανάκτουν, 27
ἐπὶ τούτοις οὓς ἐδόκουν θεούς, ἐν αὐτοῖς κολαζόμενοι,

ℵA **17** *ισχυς* ℵ* (*ισχυν* ℵc.a) | *ενδεικνυς* ℵ* (*-σαι* ℵc.a) | *απιστουμενος*] pr *ο* ℵ* (om *ο* ℵc.a) pr *οτι* A | *ειδοσι*] *σε ειδοσιν* ℵ* *ειδ. σου* ℵc.a *ουκ ειδοσι* A | *θρασος*] *κρατος* ℵc.a | *εξελεγχεται* ℵ* (*-γχεις* ℵc.a) **18** *επιεικια* ℵA **19** om *δει* ℵ* (hab ℵc.a) | *τον δικαιον*] om *τον* ℵ* (hab ℵc.a) | *διδως* ℵ | *αμαρτημασι* A **20** *οφιλομενους* A | *ετιμωρησω* A | *και δεησεως*] *κ. διεσεως* ℵ om A | *χρονον* A | *απαλλαγωσιν* ℵ **21** *μετα ποσης*] *μ μετα πασης* ℵc.a | *ακριβιας* ℵA | *υποσχεσεων*] *υποσχης* ℵ* (*-σχεων* ℵc.a) **23** *αφροσυναις* ℵ | *αδικως* ℵc.aA **25** *ενπεγμον* ℵ **26** *παιγνιος* A | *κρισιν θῦ* ℵ | *πειρασουσιν*] *υσιν* sup ras Bab **27** *πασχοντ* sup ras B1fortab | *ους*] *ουν* ℵ* (*ους* ℵc.a)

ἰδόντες ὃν πάλαι ἠρνοῦντο εἰδέναι θεὸν ἐπέγνωσαν ἀληθῆ· B
διὸ καὶ τὸ τέρμα τῆς καταδίκης ἐπ᾽ αὐτοὺς ἐπῆλθεν.

XIII 1 [1]Μάταιοι μὲν γὰρ πάντες ἄνθρωποι φύσει, οἷς παρῆν θεοῦ
ἀγνωσία,
καὶ ἐκ τῶν ὁρωμένων ἀγαθῶν οὐκ ἴσχυσαν εἰδέναι τὸν ὄντα,
οὔτε τοῖς ἔργοις προσχόντες ἐπέγνωσαν τὸν τεχνίτην·
2 [2]ἀλλ᾽ ἢ πῦρ ἢ πνεῦμα ἢ ταχινὸν ἀέρα
ἢ κύκλον ἄστρων ἢ βίαιον ὕδωρ
ἢ φωστῆρας οὐρανοῦ πρυτάνεις κόσμου θεοὺς ἐνόμισαν.
3 [3]ὧν εἰ μὲν τῇ καλλονῇ τερπόμενοι θεοὺς ὑπελάμβανον,
γνώτωσαν πόσῳ τούτων ὁ δεσπότης ἐστὶ βελτίων·
ὁ γὰρ τοῦ κάλλους γενεσιάρχης ἔκτισεν αὐτά.
4 [4]εἰ δὲ δυνάμει καὶ ἐνεργείᾳ ἐκπλαγέντες,
νοησάτωσαν ἀπ᾽ αὐτῶν πόσῳ ὁ κατασκευάσας αὐτὰ δυνα-
τώτερός ἐστιν·
5 [5]ἐκ γὰρ μεγέθους καλλονῆς καὶ κτισμάτων
ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται.
6 [6]ἀλλ᾽ ὅμως ἐπὶ τούτοις ἐστὶν μέμψις ὀλίγη,
καὶ γὰρ αὐτοὶ τάχα πλανῶνται
θεὸν ζητοῦντες καὶ θέλοντες εὑρεῖν·
7 [7]ἐν γὰρ τοῖς ἔργοις αὐτοῦ ἀναστρεφόμενοι διεραυνῶσιν,
καὶ πείθονται τῇ ὄψει ὅτι καλὰ τὰ βλεπόμενα.
8 [8]πάλιν δ᾽ οὐδ᾽ αὐτοὶ συγγνωστοί·
9 [9]εἰ γὰρ τοσοῦτον ἴσχυσαν εἰδέναι
ἵνα δύνωνται στοχάσασθαι τὸν αἰῶνα,
τὸν τούτων δεσπότην πῶς τάχιον οὐχ εὗρον;

10 [10]Ταλαίπωροι δὲ καὶ ἐν νεκροῖς αἱ ἐλπίδες αὐτῶν,
οἵτινες ἐκάλεσαν θεοὺς ἔργα χειρῶν ἀνθρώπων,

27 ιδοντες] + δε ℵ | ειδεναι (ιδ. A)] om ℵ | αυτους] αυτον ℵ* αυτων ℵc.a ℵA
XIII 1 om μεν ℵ* (hab ℵc.a) | φυσι ανθρωποι ℵ | ιδεναι A | ουτε] ουδε ℵ | προσχοντες] προσεχοντες ℵA | επεγνωσαν] εγνωσαν ℵ **2** αστερων ℵc.a | πρυτανις ℵ **3** θεους] ταυθ ℵ* τουθ᾽ ℵc.a pr ταυτα A | εστιν ℵ | βελτειω B* (-τιω Bb) βελτειον ℵ* (-τειων ℵc.a) | καλλους] κοσμου ℵc.a **4** ει δε] om δε ℵ* εις δε ℵc.a A | δυναμιν ℵA | ενεργειαν ℵ (-γιαν) A | εκπλαγεντες] pr και ℵ* (om και ℵc.a) **5** καλλονης και] και καλλ. ℵc.a om και A | ο γενεσιουργος bis scr ℵ* (improb 2° ℵc.a) **6** επι] ετι A | μεμψις εστιν A **7** διερευνωσιν BabℵC.aA **8** ουδ] ουδε A | συγγνωστοι Bb συγνωστοι A **9** ιδεναι A

B χρυσὸν καὶ ἄργυρον, τέχνης ἐμμελέτημα,
καὶ ἀπεικάσματα ζῴων,
ἢ λίθον ἄχρηστον, χειρὸς ἔργον ἀρχαίας.
[11]εἰ δὲ καί τις ὑλοτόμος τέκτων εὐκίνητον φυτὸν ἐκπρίσας 11
περιέξυσεν εὐμαθῶς πάντα τὸν φλοιὸν αὐτοῦ,
καὶ τεχνησάμενος εὐπρεπῶς
κατεσκεύασεν χρήσιμον σκεῦος εἰς ὑπηρεσίαν ζωῆς,
[12]τὰ δὲ ἀποβλήματα τῆς ἐργασίας εἰς ἑτοιμασίαν τροφῆς ἀναλώ- 12
σας ἐνεπλήσθη·
[13]τὸ δὲ ἐξ αὐτῶν ἀπόβλημα εἰς οὐθὲν εὔχρηστον, 13
ξύλον σκολιὸν καὶ ὄζοις συμπεφυκός,
λαβὼν ἔγλυψεν ἐν ἐπιμελείᾳ ἀργίας αὐτοῦ,
καὶ ἐμπειρίᾳ ἀνέσεως ἐτύπωσεν αὐτό,
ἀπείκασεν αὐτὸ εἰκόνι ἀνθρώπου,
[14]ἢ ζῴῳ τινὶ εὐτελεῖ ὡμοίωσεν αὐτό, 14
καταχρίσας μίλτῳ καὶ φύκει ἐρυθήνας χρόαν αὐτοῦ,
καὶ πᾶσαν κηλῖδα τὴν ἐν αὐτῷ καταχρίσας,
[15]καὶ ποιήσας αὐτῷ αὐτοῦ ἄξιον οἴκημα, 15
ἐν τοίχῳ ἔθηκεν αὐτὸ ἀσφαλισάμενος σιδήρῳ.
[16]ἵνα μὲν οὖν μὴ καταπέσῃ προενόησεν αὐτοῦ, 16
εἰδὼς ὅτι ἀδυνατεῖ ἑαυτῷ βοηθῆσαι,
καὶ γάρ ἐστιν εἰκὼν καὶ χρείαν ἔχει βοηθείας.
[17]περὶ δὲ κτημάτων καὶ γάμων αὐτοῦ καὶ τέκνων προσευχόμενος 17
οὐκ αἰσχύνεται τῷ ἀψύχῳ προσλαλῶν·
καὶ περὶ μὲν ὑγείας τὸ ἀσθενὲς ἐπικαλεῖται,
[18]περὶ δὲ ζωῆς τὸ νεκρὸν ἀξιοῖ, 18
περὶ δὲ ἐπικουρίας τὸν ἀπειρότατον ἱκετεύει,
περὶ δὲ ὁδοιπορίας τὸ μηδὲ βάσει χρῆσθαι δυνάμενον,
[19]περὶ δὲ πορισμοῦ καὶ ἐργασίας καὶ χειρῶν ἐπιτυχίας 19
τὸ ἀδρανέστατον ταῖς χερσὶν εὐδράνειαν αἰτεῖται.

ℵA **10** εμμελετηματα ℵ$^{c.a}$ **11** φλυον B* (φλοιον B$^{a?\,b}$) | ευτρεπως ℵ **12** αποβληματα] υπολιμματα A | ετοιμασιαν] υπηρεσιαν A | αναλωσεως ℵ **13** ουθεν] ουδε A | συμπεφυκως ℵ* (-κος ℵ$^{c.a}$) | λαβων] ιαβων ℵ* (λ. ℵ$^{c.a\,(vid)\,c.c}$) | om εν ℵA | αργιας] εργασιας ℵ$^{c.a}$A | ανεσεως] συνεσεως ℵ$^{c.a}$ | απεικασεν]+τε A **14** ωμοιωσεν] αφωμοιωσεν ℵ | ερυθηνας Bℵ$^{c.a}$] ερυθημα ℵ* ερυθηνος A | χροαν B*ℵ$^{c.a}$] χροας B^{ab}ℵ* | καταχρισας]+γη ℵ$^{c.a,\,c.c}$ **15** om αυτου ℵ **17** προσευχομενος] ευχομενος ℵ | υγειας (-γιας B* ℵ)] υγιειας B$^{a\,vid}$A **18** επικουριας] εμπειριας (εμπε sup ras) ℵ^{1} (επεικουριας ℵ$^{c.a}$) | τον] το ℵA | om ικετευει ℵ | οδοιποριας] ποριας ℵ* (οδ. ℵ$^{c.a}$) **19** περι] pr και ℵ | om δε ℵ$^{c.a}$ | om και 2° ℵ | αδρανεστατον (αδραδ. A)] αδρανες ℵ* (-νεστατον ℵ$^{c.a}$) | ευδρανειαν] αδρανιαν ℵ* (ευδρανιαν ℵ$^{c.a}$) | αιτειται] επικαλειται ℵ* (αιτ. ℵ$^{c.a}$)

XIV 1 [1]Πλοῦν τις πάλιν στελλόμενος καὶ ἄγρια μέλλων διοδεύειν Β
κύματα
τοῦ φέροντος αὐτὸν πλοίου σαθρότερον ξύλον ἐπιβοᾶται.
2 [2]ἐκεῖνο μὲν γὰρ ὄρεξις πορισμῶν ἐπενόησεν,
τεχνῖτις δὲ σοφία κατεσκεύασεν·
3 [3]ἡ δὲ σή, πάτερ, διακυβερνᾷ πρόνοια,
ὅτι ἔδωκας καὶ ἐν θαλάσσῃ ὁδὸν
καὶ ἐν κύμασι τρίβον ἀσφαλῆ,
4 [4]δεικνὺς ὅτι δύνασαι ἐκ παντὸς σώζειν,
ἵνα κἂν ἄνευ τέχνης τις ἐπιβῇ.
5 [5]θέλεις δὲ μὴ ἀργὰ εἶναι τὰ τῆς σοφίας σου ἔργα·
διὰ τοῦτο καὶ ἐλαχίστῳ ξύλῳ πιστεύουσιν ἄνθρωποι ψυχάς,
καὶ διελθόντες κλύδωνα σχεδίᾳ διεσώθησαν.
6 [6]καὶ ἀρχῆς γὰρ ἀπολλυμένων ὑπερηφάνων γιγάντων,
ἡ ἐλπὶς τοῦ κόσμου ἐπὶ σχεδίας καταφυγοῦσα
ἀπέλιπεν τῷ αἰῶνι σπέρμα γενέσεως, τῇ σῇ κυβερνηθεῖσα
χειρί.
7 [7]εὐλόγηται γὰρ ξύλον δι' οὗ γίνεται δικαιοσύνη·
8 [8]τὸ χειροποίητον δέ, ἐπικατάρατον αὐτὸ καὶ ὁ ποιήσας αὐτό,
ὅτι ὁ μὲν ἠργάζετο, τὸ δὲ φθαρτὸν θεὸς ὠνομάσθη.
9 [9]ἐν ἴσῳ γὰρ μισητὰ θεῷ καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτοῦ·
10 [10]καὶ γὰρ τὸ πραχθὲν σὺν τῷ δράσαντι κολασθήσεται.
11 [11]διὰ τοῦτο καὶ ἐν εἰδώλοις ἐθνῶν ἐπισκοπὴ ἔσται,
ὅτι ἐν κτίσματι θεοῦ εἰς βδέλυγμα ἐγενήθησαν
καὶ εἰς σκάνδαλα ψυχαῖς ἀνθρώπων
καὶ εἰς παγίδα ποσὶν ἀφρόνων.

12 [12]Ἀρχὴ γὰρ πορνείας ἐπίνοια εἰδώλων, εὕρεσις δὲ αὐτῶν φθορὰ
ζωῆς.
13 [13]οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς, οὔτε εἰς τὸν αἰῶνα ἔσται·
14 [14]κενοδοξίᾳ γὰρ ἀνθρώπων εἰσῆλθεν εἰς κόσμον,
καὶ διὰ τοῦτο σύντομον αὐτῶν τέλος ἐπενοήθη.

XIV **1** πλοιου] ξυλου A **3** κυμασιν ℵA **4** εκ παντος δυνασαι ℵ δ. ℵA εκ παντων A | om ινα ℵ$^{c.a}$ | καν] και A **5** om σου ℵ **6** απελιπεν] υπελιπεν ℵ* (απ. ℵ$^{c.a}$) απελειπεν A | τω αιωνι] om τω B^{ab}A **8** το χ. δε] το δε χ. ℵ | οτι] και ℵ* (οτι ℵ$^{c.a}$) | ηργαζετο] ειργαζετο B^{b} ηργαζενητο ℵ* (ηργαζετο ℵ?) **9** ασεβια ℵ **11** om και 1° ℵ | εις] incep εν ℵ* (εις ℵ$^{1c.c}$) **12** πορνιας ℵ | αυτων] αυτω ℵ **14** γαρ] δε ℵ$^{c.a}$ | εισηλθεν] pr θανατος ℵ* (improb θ. ℵ$^{c.a}$) A | κοσμον] pr τον ℵA | τελος] pr το A

B [15]ἀώρῳ γὰρ πένθει τρυχόμενος πατὴρ 15
τοῦ ταχέως ἀφαιρεθέντος τέκνου εἰκόνα ποιήσας
τὸν τότε νεκρὸν ἄνθρωπον νῦν ὡς θεὸν ἐτίμησεν,
καὶ παρέδωκεν τοῖς ὑποχειρίοις μυστήρια καὶ τελετάς·
[16]εἶτα ἐν χρόνῳ κρατυνθὲν τὸ ἀσεβὲς ἔθος ὡς νόμος ἐφυλάχθη, 16
καὶ τυράννων ἐπιταγαῖς ἐθρησκεύετο τὰ γλυπτά·
[17]οὓς ἐν ὄψει μὴ δυνάμενοι τιμᾶν ἄνθρωποι διὰ τὸ μακρὰν 17
οἰκεῖν,
τὴν πόρρωθεν ὄψιν ἀνατυπωσάμενοι,
ἐμφανῆ εἰκόνα τοῦ τιμωμένου βασιλέως ἐποίησαν,
ἵνα τὸν ἀπόντα ὡς παρόντα κολακεύωσιν διὰ τῆς σπουδῆς.
[18]εἰς ἐπίτασιν δὲ θρησκείας καὶ τοὺς ἀγνοοῦντας 18
ἡ τοῦ τεχνίτου προετρέψατο φιλοτιμία.
§C §[19]ὁ μὲν γὰρ τάχα κρατοῦντι βουλόμενος ἀρέσαι 19
ἐξεβιάσατο τῇ τέχνῃ τὴν ὁμοιότητα ἐπὶ τὸ κάλλιον·
[20]τὸ δὲ πλῆθος ἐφελκόμενον διὰ τὸ εὔχαρι τῆς ἐργασίας 20
τὸν πρὸ ὀλίγου τιμηθέντα ἄνθρωπον νῦν σέβασμα ἐλογί-
σαντο.
[21]καὶ τοῦτο ἐγένετο τῷ βίῳ εἰς ἔνεδρον, 21
ὅτι ἢ συμφορᾷ ἢ τυραννίδι δουλεύσαντες ἄνθρωποι
τὸ ἀκοινώνητον ὄνομα λίθοις καὶ ξύλοις περιέθεσαν.

[22]Εἶτ' οὐκ ἤρκεσεν τὸ πλανᾶσθαι περὶ τὴν τοῦ θεοῦ γνῶσιν, 22
ἀλλὰ καὶ μεγάλῳ ζῶντες ἀγνοίας πολέμῳ
τὰ τοσαῦτα κακὰ εἰρήνην προσαγορεύουσιν.
[23]ἢ γὰρ τεκνοφόνους τελετὰς ἢ κρύφια μυστήρια 23
ἢ ἐμμανεῖς ἐξάλλων θεσμῶν κώμους ἄγοντες,
[24]οὔτε βίους οὔτε γάμους καθαροὺς ἔτι φυλάσσουσιν, 24
ἕτερος δ' ἕτερον ἢ λοχῶν ἀναιρεῖ, ἢ νοθεύων ὀδυνᾷ.
[25]πάντα δ' ἐπιμιξ ἔχει αἷμα καὶ φόνος, κλοπὴ καὶ δόλος, 25
φθορά, ἀπιστία, τάραχος, ἐπιορκία,

ℵAC **15** τοτε] ποτε A | ετιμησαν B | τελευτας A* (ras ν A?) **16** ειτα] ειτ A | εθος] εθνος ℵ* (ras ν ℵ?) | νομος ℵ* (νομος ℵ1 c.a) **17** ως παροντα τον απονται ℵ | κολακευωσι ℵ κολακευσωσιν A | της σπουδης] om της A **18** θρησκιας ℵA **19** οι μεν ℵ* (ras ι ℵ?) | κρατουντι] pr τω B (Mai) **20** ευχαρες AC **21** ενεδρα ℵ* (-δρον ℵc.a) | περιεθεσαν] περιεθηκαν ℵc.aC **22** ειτα Bab | ηρκεσεν] + αυτοις Aa | το πλανασθαι] om το ℵ | το πλανασθ, πε sup ras et in mg Aa | μεγαλω] μεγαλως ℵ* εν μεγαλω ℵc.a AC | αγνοιας] incep ανν A*vid **24** δ] δε ℵAC | λοχων] λοχευων ℵc.a **25** δ] δε ℵA | επιμιξ εχει] επιμιξιν εχει ℵ* επιμιξιαν ℵc.a | εφιορκια C

26 θύρυβος ἀγαθῶν, [26]χάριτος ἀμνησία, B
ψυχῶν μιασμός, γενέσεως ἐναλλαγή,
γάμων ἀταξία, μοιχεία καὶ ἀσέλγεια.
27 [27]ἡ γὰρ τῶν ἀνωνύμων εἰδώλων θρησκεία
παντὸς ἀρχὴ κακοῦ καὶ αἰτία καὶ πέρας ἐστίν·
28 [28]ἢ γὰρ εὐφραινόμενοι μεμήνασιν, ἢ προφητεύουσιν ψευδῆ,
ἢ ζῶσιν ἀδίκως, ἢ ἐπιορκοῦσιν ταχέως·
29 [29]ἀψύχοις γὰρ πεποιθότες εἰδώλοις
κακῶς ὀμόσαντες ἀδικηθῆναι οὐ προσδέχονται.
30 [30]ἀμφότερα δὲ αὐτοὺς μετελεύσεται τὰ δίκαια,
ὅτι κακῶς ἐφρόνησαν περὶ θεοῦ προσχόντες εἰδώλοις,
καὶ ἀδίκως ὤμοσαν ἐν δόλῳ καταφρονήσαντες ὁσιότητος.
31 [31]οὐ γὰρ ἡ τῶν ὀμνυμένων δύναμις,
ἀλλ' ἡ τῶν ἁμαρτανόντων δίκη
ἐπεξέρχεται ἀεὶ τὴν τῶν ἀδίκων παράβασιν.

XV 1 [1]Σὺ δὲ ὁ θεὸς ἡμῶν χρηστὸς καὶ ἀληθής,
μακρόθυμος καὶ ἐλέει διοικῶν τὰ πάντα.
2 [2]καὶ γὰρ ἐὰν ἁμάρτωμεν, σοί ἐσμεν, εἰδότες σου τὸ κράτος·
οὐχ ἁμαρτησόμεθα, εἰδότες ὅτι σοὶ λελογίσμεθα.
3 [3]τὸ γὰρ ἐπίστασθαί σε ὁλόκληρος δικαιοσύνη,
καὶ εἰδέναι σου τὸ κράτος ῥίζα ἀθανασίας.
4 [4]οὔτε γὰρ ἐπλάνησεν ἡμᾶς ἀνθρώπων κακότεχνος ἐπίνοια,
οὐδὲ σκιαγράφων πόνος ἄκαρπος,
εἶδος σπιλωθὲν χρώμασιν διηλλαγμένοις·
5 [5]ὧν ὄψις ἄφροσιν εἰς ὄνειδος ἔρχεται,
ποθεῖ τε νεκρᾶς εἰκόνος εἶδος ἄπνουν.
6 [6]κακῶν ἐρασταὶ ἄξιοί τε τοιούτων ἐλπίδων
καὶ οἱ δρῶντες καὶ οἱ ποθοῦντες καὶ οἱ σεβόμενοι.

26 αμνηστια ℵ$^{c.a}$AC | μοιχια ℵ | ασελγια ℵA **27** ανυωνυμων ℵ* ℵAC (improb υ postea ras ℵ^{2}) | θρησκια ℵA **28** εφιορκουσιν Λ **29** ωμοσαντες C **30** αυτους] αυτου C | δικαια B ℵ$^{c.a}$ (δικια ℵ*) A^{a}C] αδικα A* | οτι]+και ℵ* (om και ℵ$^{c.a}$) | προσχοντες] προσεχοντες ℵAC **31** om η 1° ℵ* (hab ℵ$^{c.a}$) | ομνυομενων C XV **1** ελεει] ελεημων ℵ$^{c.a}$ **2** αμαρτανωμεν ℵ* (-τωμεν ℵ$^{c.a}$) | κρατος] κριμα ℵ* (κρατ. ℵ$^{c.a}$) | αμαρτησομεθα]+δε B^{ab}ℵAC **3** ειδεναι] pr το ℵ$^{c.a}$ **4** σκιογραφων ℵ$^{c.a}$ | σπινωθεν ℵ* (σπιλ. ℵ$^{c.a}$) | διηλλαγμενοι ℵ* (-νοις ℵ$^{c.a}$) **5** οψις] pr η ℵ$^{c.a}$ | αφροσιν] αφρονι ℵ*A* ^{vid} (-σιν ℵ$^{c.a}$A^{a}) | ονειδος] ορεξιν ℵAC | εικονας C | απνουν] αγνουν A

B [7]Καὶ γὰρ κεραμεὺς ἁπαλὴν γῆν θλίβων ἐπίμοχθον 7
πλάσσει πρὸς ὑπηρεσίαν ἡμῶν ἕκαστον·
ἀλλ' ἐκ τοῦ αὐτοῦ πηλοῦ ἀνεπλάσατο
τά τε τῶν καθαρῶν ἔργων δοῦλα σκεύη
τά τε ἐναντία, πάνθ' ὁμοίως·
τούτων δὲ ἑτέρου τίς ἑκάστου ἐστὶν ἡ χρῆσις,
κριτὴς ὁ πηλουργός·
[8]καὶ κακόμοχθος θεὸν μάταιον ἐκ τοῦ αὐτοῦ πλάσσει πηλοῦ, 8
ὃς πρὸ μικροῦ ἐκ γῆς γενηθεὶς
μετ' ὀλίγον πορεύεται ἐξ ἧς ἐλήμφθη,
τὸ τῆς ψυχῆς ἀπαιτηθεὶς χρέος.
[9]ἀλλ' ἔστιν αὐτῷ φροντὶς οὐχ ὅτι μέλλει κάμνειν, 9
οὐδ' ὅτι βραχυτελῆ βίον ἔχει,
ἀλλ' ἀντερείδεται μὲν χρυσουργοῖς καὶ ἀργυροχόοις,
χαλκοπλάστας τε μιμεῖται,
καὶ δόξαν ἡγεῖται ὅτι κίβδηλα πλάσσει.
[10]σποδὸς ἡ καρδία αὐτοῦ, καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτοῦ, 10
πηλοῦ τε ἀτιμότερος ὁ βίος αὐτοῦ,
[11]ὅτι ἠγνόησεν τὸν πλάσαντα αὐτὸν 11
καὶ τὸν ἐμπνεύσαντα αὐτῷ ψυχὴν ἐνεργοῦσαν
καὶ ἐμφυσήσαντα πνεῦμα ζωτικόν·
[12]ἀλλ' ἐλογίσατο παίγνιον εἶναι τὴν ζωὴν ἡμῶν 12
καὶ τὸν βίον πανηγυρισμὸν ἐπικερδῆ,
δεῖν γάρ φησιν ὅθεν δὴ κἂν ἐκ κακοῦ πορίζειν.
[13]οὗτος γὰρ παρὰ πάντας οἶδεν ὅτι ἁμαρτάνει, 13
ὕλης γεώδους εὔθραυστα σκεύη καὶ γλυπτὰ δημιουργῶν.
[14]πάντες δὲ ἀφρονέστατοι καὶ τάλανες ὑπὲρ ψυχὴν νηπίου, 14
οἱ ἐχθροὶ τοῦ λαοῦ σου οἱ καταδυναστεύσαντες αὐτόν.

ℵAC **7** om θλιβων C | επιμοχθον] θον sup ras B^{ab} εμιμουθον C | εκαστον] pr εν ℵAC | αλλ...ανεπλασατο] pr asterisc $ℵ^{c.a}$ | om τα τε εν. πανθ ομοιως C | πανθ] παντα ℵA | ετερου] ετερων ℵ* (-ρου $ℵ^{c.a}$) εκατερου AC (-τεροιν) | η χρησις] om η ℵ* (hab $ℵ^{c.a}$ postea ras) **8** πλασσει εκ του αυτου πηλου A | γεννηθεις ℵ (-θις) A | πορευσεται C **9** αντερειδεται (αντεριδ. ℵ)] εντεριδειται C | πλασσει] πρασσει C **10** ευτελεστερα] ευ|τερα ℵ* (ευτελ. $ℵ^{c.a}$) **11** πλασαντα] ποιησαντα AC | ψυχην] pr εις C | εμφυσησαντα (ενφ. ℵ)] +αυτω $ℵ^{c.a}$ C^{*vid} (ras C^{a}) **12** αλλ] αλλα A | ελογισαντο B^{ab}ℵ* (-σατο $ℵ^{c.a}$) AC | δειν] adnot δεῖν γάρ φησι πόθεν δει κἂν ἐκ κακοῦ πορίζῃ $B^{b\,mg\,sup}$ | φασιν AC | om οθεν δη ℵ | καν] και A om C **13** ευθραστα ℵAC **14** παντες] παντων AC | αφρονεστεροι ℵC | ψυχας νηπιων AC | οι καταδυν.] om οι B^{ab}ℵ* (hab $ℵ^{c.a}$) C | αυτον] αυτων $ℵ^{c.a}$

15 [15]ὅτι καὶ πάντα τὰ εἴδωλα τῶν ἐθνῶν ἐλογίσαντο θεούς, B
οἷς οὔτε ὀμμάτων χρῆσις εἰς ὅρασιν,
οὔτε ῥῖνες εἰς συνολκὴν ἀέρος,
οὔτε ὦτα ἀκούειν,
οὔτε δάκτυλοι χειρῶν εἰς ψηλάφησιν,
καὶ οἱ πόδες αὐτῶν ἀργοὶ πρὸς ἐπίβασιν.
16 [16]ἄνθρωπος γὰρ ἐποίησεν αὐτούς,
καὶ τὸ πνεῦμα δεδανισμένος ἔπλασεν αὐτούς·
οὐδεὶς γὰρ αὐτῷ ὅμοιον ἄνθρωπος ἰσχύει πλάσαι θεόν·
17 [17]θνητὸς δὲ ὢν νεκρὸν ἐργάζεται χερσὶν ἀνόμοις·
κρείττων γάρ ἐστιν τῶν σεβασμάτων αὐτοῦ,
ὢν αὐτὸς μὲν ἔζησεν, ἐκεῖνα δὲ οὐδέποτε.

18 [18]Καὶ τὰ ζῷα δὲ τὰ ἔχθιστα σέβονται·
ἀνοίᾳ γὰρ συγκρινόμενα τῶν ἄλλων ἐστὶ χείρονα.
19 [19]οὐδ' ὅσον ἐπιποθῆσαι ὡς ἐν ζῴων ὄψει καλὰ τυγχάνει,
ἐκπέφευγεν δὲ καὶ τὸν τοῦ θεοῦ ἔπαινον καὶ τὴν εὐλογίαν αὐτοῦ.
XVI 1 [1]διὰ τοῦτο δι' ὁμοίων ἐκολάσθησαν ἀξίως,
καὶ διὰ πλήθους κνωδάλων ἐβασανίσθησαν.
2 [2]ἀνθ' ἧς κολάσεως εὐεργετήσας τὸν λαόν σου,
εἰς ἐπιθυμίαν ὀρέξεως ξένην γεῦσιν,
τροφὴν ἡτοίμασας ὀρτυγομήτραν·
3 [3]ἵνα ἐκεῖνοι μὲν ἐπιθυμοῦντες τροφὴν
διὰ τὴν δειχθεῖσαν τῶν ἐπαπεσταλμένων
καὶ τὴν ἀναγκαίαν ὄρεξιν ἀποστρέφωνται,
αὐτοὶ δὲ ἐπ' ὀλίγον ἐνδεεῖς γενόμενοι
καὶ ξένης μετάσχωσι γεύσεως.
4 [4]ἔδει γὰρ ἐκείνοις ἀπαραίτητον ἔνδειαν ἐπελθεῖν τυραννοῦσιν,
τούτοις δὲ μόνον δειχθῆναι πῶς οἱ ἐχθροὶ αὐτῶν ἐβασανίζοντο.

15 om *και* 1° AC | *χρησεις* ℵA | om *εις* 1° C | *επιβασιν*] *α* sup ras A^a ℵAC **16** *και*] + *ο* $ℵ^{c.a}$ | *δεδανισμενος* (*-νεισμ.* B^{ab})] *δεδανισμενον* $ℵ^*$ (*νος* $ℵ^{c.a}$) | *αυτω*] om ℵA | *ομοιον...θεον*] *ανθρωπων πλασαι θν ομοιον ισχυει* $ℵ^*$ *αυτων ομ. ανθρωπος ισχ. πλ. θν* $ℵ^{c.a}$ *ανθρωπων ομοιον ισχ. πλ. θν* A (*ανων ομοιων* sup ras A^a) **17** *κρειττων*] *κρισσον* ℵ *κρισσων* AC | *σεβηματων* A | om *αυτου* $ℵ^*$ (hab $ℵ^{c.a}$) | *ων* 2°] pr *ανθ* ℵ | *εζησεν*] *ζ* sup ras A^a | *δε* 2°] pr *ο* $ℵ^*$ (improb *ο* $ℵ^1$ postea ras) **18** *συνκρινομενα* ℵAC | *εστιν* ℵC XVI **2** *ευεργετησας*] *ευηργετησεν* $ℵ^*$ (*-σαν* $ℵ^{c.a}$) | *εις*] pr *οις* AC | *γευσεως* $ℵ^*$ (*γευσειν* $ℵ^{c.a}$) **3** *τροφης* ℵ | *δειχθεισαν* (*διχθ.* B^* *δειχθ.* B^{ab})] *χθεισαν* $ℵ^*$ *διχθ.* $ℵ^1$ *ειδεχθειαν* C | *επαποστρεφονται* C | *αυτοι*] *ουτοι* ℵAC | *μεταστχωσιν* $ℵ^*$ (*-σι* $ℵ^{c.a}$) AC **4** *εκεινοις*] + *μεν* B^{ab}ℵAC

B [5]καὶ γὰρ ὅτε αὐτοῖς δεινὸς ἐπῆλθεν θηρίων θυμός, 5
δήγμασίν τε σκολιῶν διεφθείροντο ὄφεων,
οὐ μέχρι τέλους ἔμεινεν ἡ ὀργή σου·
[6]εἰς νουθεσίαν δὲ πρὸς ὀλίγον ἐταράχθησαν, 6
σύμβολον ἔχοντες σωτηρίας, εἰς ἀνάμνησιν ἐντολῆς νόμου
σου·
[7]ὁ γὰρ ἐπιστραφεὶς οὐ διὰ τὸ θεωρούμενον ἐσώζετο, 7
ἀλλὰ διὰ σέ, τὸν πάντων σωτῆρα.
[8]καὶ ἐν τούτῳ δὲ ἔπεισας τοὺς ἐχθροὺς ἡμῶν, 8
ὅτι σὺ εἶ ὁ ῥυόμενος ἐκ παντὸς κακοῦ·
[9]οὓς μὲν γὰρ ἀκρίδων καὶ μυιῶν ἀπέκτεινεν δήγματα, 9
καὶ οὐχ εὑρέθη ἴαμα τῇ ψυχῇ αὐτῶν,
ὅτι ἄξιοι ἦσαν ὑπὸ τοιούτων κολασθῆναι·
[10]τοὺς δὲ υἱούς σου οὐδὲ ἰοβόλων δρακόντων ἐνίκησαν ὀδόντες, 10
τὸ ἔλεος γάρ σου ἀντιπαρῆλθεν καὶ ἰάσατο αὐτούς.
[11]εἰς γὰρ ὑπόμνησιν τῶν λογίων σου ἐνεκεντρίζοντο, 11
καὶ ὀξέως διεσώζοντο,
ἵνα μὴ εἰς βαθεῖαν ἐμπεσόντες λήθην
ἀπερίσπαστοι γένωνται τῆς σῆς εὐεργεσίας.
[12]καὶ γὰρ οὔτε βοτάνη οὔτε μάλαγμα ἐθεράπευσεν αὐτούς, 12
ἀλλὰ ὁ σός, Κύριε, λόγος ὁ πάντα ἰώμενος.
[13]σὺ γὰρ ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχεις, 13
καὶ κατάγεις εἰς πύλας ᾅδου καὶ ἀνάγεις.
[14]ἄνθρωπος δὲ ἀποκτέννει μὲν τῇ κακίᾳ αὐτοῦ, 14
ἐξελθὸν δὲ πνεῦμα οὐκ ἀναστρέφει,
οὐδὲ ἀναλύει ψυχὴν παραλημφθεῖσαν.

[15]Τὴν δὲ σὴν χεῖρα φυγεῖν ἀδύνατόν ἐστιν. 15
[16]ἀρνούμενοi γάρ σε εἰδέναι ἀσεβεῖς 16
ἐν ἰσχύι βραχίονός σου ἐμαστιγώθησαν,

ℵAC **5** τε] δε C | διεφθειροντο] εφθειροντο ℵ* (διεφθ. ℵc.a) **6** εταραχθη ℵ* (-χθησαν ℵc.a) | συμβουλον ℵA | νομον A | om σου ℵ **7** τον π. σωτηρα aliter legi vid in C **8** ημων] σου ℵ* (ημ. ℵc.a) **9** om γαρ ℵ* (hab ℵc.a) | απεκτινε ℵc.a | δηγματα] δηματα ℵ* (δηγμ. ℵc.a (fort) c.c) | ευρεθη] ευρη incep ℵ* (ευρεθ. ℵ1) | τοιουτων] τουτων ℵ* (τοιουτ. ℵc.a) **10** γαρ σου] σου γαρ ℵ | αντιπαρηλθε C | ιασατο] ιατο ℵ **11** ενκεντριζοντο ACvid | om ινα μη εις βαθειαν ℵ* (hab ινα μη εις βαθιαν ℵc.a) **12** αλλα] αλλ C | λογος] pr ο ℵ | παντας AC | ιωμενος] δυναμενος ℵc.a **14** δε 1°] μεν ℵ* (δε ℵc.a) | αποκτενι ℵ | om μεν ℵ* (hab ℵc.a) | πνευμα] pr το ℵc.a | αναλυσει ℵ **16** ιδενε C | υσχυι A

ξένοις ὑετοῖς καὶ χαλάζαις καὶ ὄμβροις διωκόμενοι ἀπαραιτήτοις B
καὶ πυρὶ καταναλισκόμενοι.

17 [17]τὸ γὰρ παραδοξότατον, ἐν τῷ πάντα σβεννύντι ὕδατι
πλεῖον ἐνήργει τὸ πῦρ,
ὑπέρμαχος γὰρ ὁ κόσμος ἐστὶν δικαίων.

18 [18]ποτὲ μὲν γὰρ ἡμεροῦτο φλόξ,
ἵνα μὴ καταφλέξῃ τὰ ἐπ' ἀσεβεῖς ἀπεσταλμένα ζῷα,
ἀλλ' αὐτοὶ βλέποντες εἰδῶσιν ὅτι θεοῦ κρίσει ἐλαύνονται·

19 [19]ποτὲ δὲ καὶ μεταξὺ ὕδατος ὑπὲρ τὴν πυρὸς δύναμιν φλέγει,
ἵνα ἀδίκου γῆς γενήματα διαφθείρῃ.

20 [20]ἀνθ' ὧν ἀγγέλων τροφὴν ἐψώμισας τὸν λαόν σου,
καὶ ἕτοιμον ἄρτον αὐτοῖς ἀπ' οὐρανοῦ ἔπεμψας ἀκοπιάτως,
πᾶσαν ἡδονὴν ἰσχύοντα καὶ πρὸς πᾶσαν ἁρμόνιον γεῦσιν.

21 [21]ἡ μὲν γὰρ ὑπόστασίς σου τὴν σὴν γλυκύτητα πρὸς τέκνα
ἐνεφάνισεν,
τῇ δὲ τοῦ προσφερομένου ἐπιθυμίᾳ ὑπηρετῶν
πρὸς ὅ τις ἐβούλετο μετεκιρνᾶτο.

22 [22]χιὼν δὲ καὶ κρύσταλλος ὑπέμεινε πῦρ καὶ οὐκ ἐτήκετο,
ἵνα γνῶσιν ὅτι τοὺς τῶν ἐχθρῶν καρποὺς
κατέφθειρε πῦρ φλεγόμενον ἐν τῇ χαλάζῃ
καὶ ἐν τοῖς ὑετοῖς διαστράπτον·

23 [23]τοῦτο πάλιν δ', ἵνα τραφῶσιν δίκαιοι,
καὶ τῆς ἰδίας ἐπιλελῆσθαι δυνάμεως.

24 [24]ἡ γὰρ κτίσις σοι τῷ ποιήσαντι ὑπηρετοῦσα
ἐπιτείνεται εἰς κόλασιν κατὰ τῶν ἀδίκων,
καὶ ἀνίεται εἰς εὐεργεσίαν ὑπὲρ τῶν εἰς σὲ πεποιθότων.

25 [25]διὰ τοῦτο καὶ τότε εἰς πάντα μεταλλευομένη

16 απαραιτητοις] απαρετητως C **17** παραδοξοτατον] α 3° sup ras ℵAC A^{a2} | παντα] pr τα ℵ | πλειον] πλεον ℵC | εστιν ο κοσμος ℵ | δικαιοις A **18** ημεροuτο] ειμεροuτο B* (ιμ. B^{b}) ℵ* (ημ. $ℵ^{c.a}$) | om ζωα ℵ* (hab $ℵ^{c.a}$) | αλλ] αλλα ℵ*AC αλλ ινα $ℵ^{c.a}$ | om αυτοι ℵ* (hab $ℵ^{c.a}$) | ειδωσιν] ιδωσι ℵ | κρισει θῡ C | ελαυνωνται A **19** γεννηματα ℵA | διαφθειρη] καταφθειρη ℵA καταφθαρει C **20** αυτοις απ ουρανου επεμψας] απ ουρανου παρεσχες αυτοις ℵAC^{vid} | ακοπιαστως A | αρμονιαν ℵ **21** om σου C | προς τεκνα γλυκυτητα ενεφανιζεν ℵ προς τ. ενεφανιζεν γλ. A προς τ. ενεφανισεν γλ. C | τη] την ℵ* (ras ν $ℵ^{?}$) | μετεκιρνατο] μετεκρινατον $ℵ^{c.a(vid)\,c.c}$ **22** υπεμινεν ℵ υπεμενε Λ | γνωσιν] γνωμεν $ℵ^{c.a}$ | εχθρων] εθνων Λ | φλεγομενον] φλεγον ℵ | εν τοις υετοις] ξενοις υ. $ℵ^{c.a}$ | διαστραπτεν C **23** παλιν δ] om δ ℵ δε παλιν AC | επιλελησται ℵAC **24** κτισις] κτησεις A | ποιησαντι]+αυτον C | om υπηρετουσα C | εις σε] επι σοι ℵAC **25** om εις παντα ℵ | μεταλλευομενη A

B τῇ παντοτρόφῳ σου δωρεᾷ ὑπηρετεῖ,
πρὸς τὴν τῶν δεομένων θέλησιν·
[26]ἵνα μάθωσιν οἱ υἱοί σου, οὓς ἠγάπησας, Κύριε, 26
ὅτι οὐχ αἱ γενέσεις τῶν καρπῶν τρέφουσιν ἄνθρωπον,
ἀλλὰ τὸ ῥῆμά σου τοὺς σοὶ πιστεύοντας διατηρεῖ.
[27]τὸ γὰρ ὑπὸ πυρὸς μὴ φθειρόμενον 27
ἁπλῶς ὑπὸ βραχείας ἀκτῖνος ἡλίου θερμαινόμενον ἐτήκετο,
[28]ὅπως γνωστὸν ἦν ὅτι δεῖ φθάνειν τὸν ἥλιον ἐπ᾽ εὐχαριστίαν 28
σου
καὶ πρὸς ἀνατολὴν φωτὸς ἐντυγχάνειν σοι.
[29]ἀχαρίστου γὰρ ἐλπὶς ὡς χειμέριος πάχνη τακήσεται, 29
καὶ ῥυήσεται ὡς ὕδωρ ἄχρηστον.

[1]Μεγάλαι γάρ σου αἱ κρίσεις καὶ δυσδιήγητοι· 1 XVII
διὰ τοῦτο ἀπαίδευτοι ψυχαὶ ἐπλανήθησαν.
[2]ὑπειληφότες γὰρ καταδυναστεύειν ἔθνος ἅγιον ἄνομοι, 2
δέσμιοι σκότους καὶ μακρᾶς πεδῆται νυκτὸς
κατακλεισθέντες ὀρόφοις, φυγάδες τῆς αἰωνίου προνοίας
ἔκειντο.
[3]λανθάνειν γὰρ νομίζοντες ἐπὶ κρυφαίοις ἁμαρτήμασιν, 3
ἀφεγγεῖ λήθης παρακαλύμματι
ἐσκορπίσθησαν, θαμβούμενοι δεινῶς
καὶ ἰνδάλμασιν ἐκταρασσόμενοι·
[4]οὐδὲ γὰρ ὁ κατέχων αὐτοὺς μυχὸς ἀφόβως διεφύλασσεν, 4
ἦχοι δ᾽ ἐκτarάσσοντες αὐτοὺς περιεκόμπουν,
καὶ φάσματα ἀμειδήτοις κατηφῆ προσώποις ἐνεφανίζετο.
[5]καὶ πυρὸς μὲν οὐδεμία βία κατίσχυεν φωτίζειν, 5
οὔτε ἄστρων ἔκλαμπροι φλόγες

ℵAC **25** δεομενων] + σου ℵ$^{c.a}$ **26** μαθουσιν C | γενεσις ℵAC | καρπων] ανω̄ν A | ανθρωπον] pr τον ℵ$^{c.a}$ **27** μη φθειρομενων] διαφθειρομενων ℵ* μη διαφθ. ℵ$^{c.a}$ **28** ην] η ℵA | δει φθανειν] διαφθανιν ℵ* (improb α 1° ℵ$^{c.a}$) δει φθαννειν AC | επ] επι ℵ | om και C | προς ανατολην φωτος] προ ανατολης του φ. ℵ$^{c.a}$ **29** χειμεριος B^{ab} (χιμ. B*)] χειμερινη ℵA (χιμ.) XVII **1** κρισις ℵ* (-σεις ℵ$^{c.c}$) A **2** επειληφοτες C | ανομον ℵ* (-μοι ℵ$^{c.a, c.c}$) | δεσμιοις ℵ* (-μιοι ℵ$^{c.a}$) | πεδη̄ται B **3** ληθη C | εσκορπισθησαν] διεσκορπισθησαν ℵ εσκοτισθησαν AC | ινδαλμασιν] adnot φαντασμασιν B^{mg} **4** μυχος] adnot ενδότερον σκότος B^{mg} μοιχος ℵ* (μυχ. ℵ$^{c.a}$) μυθος A | μυχοσσαφ. C | αφοβους AC | διεφυλαττεν AC | δ εκταρασσοντες] δε καταρασσοντες B^{ab} AC δε ταρασσοντες ℵ | κατειφη ℵ* (κατηφ. ℵ$^{c.a}$) **5** κατισχυε ℵ | φωτιζειν] φωτειν C | ουτε] + πυρογενεις ℵ$^{c.a}$ (-νεις ℵ$^{c.c}$)

καταυγάζειν ὑπέμενον τὴν στυγνὴν ἐκείνην νύκτα. B

6 [6]διεφαίνετο δ' αὐτοῖς μόνον
αὐτομάτη πυρὰ φόβου πλήρης,
ἐκδειματούμενοι δὲ τῆς μὴ θεωρουμένης ἐκείνης ὄψεως
ἡγοῦντο χείρω τὰ βλεπόμενα.

7 [7]μαγικῆς δὲ ἐμπαίγματα κατέκειτο τέχνης,
καὶ τῆς ἐπὶ φρονήσει ἀλαζονίας ἔλεγχος ἐφύβριστος·

8 [8]οἱ γὰρ ὑπισχνούμενοι δείματα καὶ ταραχὰς ἀπελαύνειν ψυχῆς
νοσούσης,
οὗτοι καταγέλαστον εὐλάβειαν ἐνόσουν.

9 [9]καὶ γὰρ εἰ μηδὲν αὐτοὺς ταραχῶδες ἐφόβει,
κνωδάλων παρόδοις καὶ ἑρπετῶν συριγμοῖς ἐκσεσοβημένοι,

10 [10]διώλλυντο ἔντρομοι
καὶ τὸν μηδαμόθεν φευκτὸν ἀέρα προσιδεῖν ἀρνούμενοι.

(10) 11 [11]δειλὸν γὰρ ἰδίως πονηρία μαρτυρεῖ καταδικαζομένη,
ἀεὶ δὲ προσείληφεν τὰ χαλεπὰ συνεχομένη τῇ συνειδήσει.

(11) 12 [12]οὐθὲν γάρ ἐστιν φόβος εἰ μὴ προδοσία τῶν ἀπὸ λογισμοῦ
βοηθημάτων·

(12) 13 [13]ἔνδοθεν δὲ οὖσα ἥττων ἡ προσδοκία
πλείονα λογίζεται τὴν ἄγνοιαν τῆς παρεχούσης τὴν βάσανον αἰτίας.

(13) 14 [14]οἱ δὲ τὴν ἀδύνατον ὄντως νύκτα
καὶ ἐξ ἀδυνάτου ᾅδου μυχῶν ἐπελθοῦσαν
τὸν αὐτὸν ὕπνον κοιμώμενοι,

(14) 15 [15]τὰ μὲν τέρασιν ἠλαύνοντο φαντασμάτων,
τὰ δὲ τῆς ψυχῆς παρελύοντο προδοσίᾳ·
αἰφνίδιος γὰρ αὐτοῖς καὶ ἀπροσδόκητος φόβος ἐπῆλθεν.

5 *καταυγαζειν* B^{ab} ℵ$^{c.a}$AC] *καταγαζειν* B* *καταγαυζειν* ℵ* | *υπεμενον*] ℵAC *επεμενον* C **6** δ] *δε* ℵ^{1} | *πληρεις* ℵ | *εκδειματουμενοι*] superscr *εκφοβουμενοι* B^{a} *εκδειμαντουμενοι* C | *δε*] *τε* ℵ* (*δε* ℵ$^{c.a}$) A *μεν* C | *της*] *τε* incep ℵ* (*της* ℵ^{1}) | om *μη* A **7** *κατεκειτο*] *κατεκιντο* AC | *επι*] *επιφερομενης* ℵ* (*επι* ℵ$^{c.a}$) | *αλαζονιας* (*-νειας* B^{ab})] *αλαζονια* ℵ* (*-νιας* ℵ$^{c.a}$) **8** *δειματα*] *διγματα* C | *ταραχας*] *καταρχας* ℵ* (*ταρ.* ℵ$^{c.a}$) | *ευλοβιαν* ℵ* (*ευλαβ.* ℵ$^{c.a}$) **9** *ταραχωδες*] *τερατωδες* ℵ* | *συρισμοις* ℵ* (*συριγμ.* ℵ$^{c.a}$) AC | *εκσεσοβημενοι*] *εκπεφοβημενοι* A **10** *εντρομοι*] *εν τρομω* C | *τον*] *το* ℵ* (*τον* ℵ$^{c.a}$) | *αφευκτον* ℵ* (*φευκτ.* ℵ$^{1c.a}$) **11** om *γαρ* C | *πονηρια*]+ *ιδιω* ℵ$^{c.a}$ | *μαρτυρει* (*-ρι* ℵA)] *μαρτυρια* C | *προσειληφεν*] *προειληφεν* ℵ$^{c.a}$ **12** *ουδεν*] *ουδεν* ℵA* (*ουδε* A$^{?\,vid}$) C | *προδοσια*] *προσδοκια* ℵ **13** *ηττων*]...*των* C (non *ηττων*) | *η προσδοκια*] om *η* C | *λογιζεται*] *αναλογιζεται* ℵ | *την αγνοιαν*] om *την* ℵ **15** *ηλαυνετο* ℵ* (*-νοντο* ℵ$^{c.a}$) | *φοβος*] pr *ε* ℵ* (improb *ε* ℵ^{1}) | *επηλθεν*] *επεχυθη* ℵ

B [16]εἰθ' οὕτως, ὃς δή ποτ' οὖν ἦν ἐκεῖ καταπίπτων, 16 (15)
ἐφρουρεῖτο εἰς τὴν ἀσίδηρον εἱρκτὴν κατακλεισθείς·
[17]εἴ τε γὰρ γεωργὸς ἦν τις ἢ ποιμὴν 17 (16)
ἢ τῶν κατ' ἐρημίαν ἐργάτης μόχθων,
προλημφθεὶς τὴν δυσάλυκτον ἔμενεν ἀνάγκην.
[18]μιᾷ γὰρ ἁλύσει σκότους πάντες ἐδέθησαν. 18 (17)
εἴ τε πνεῦμα συρίζον,
¶ C ἢ περὶ ἀμφιλαφεῖς κλάδους ὀρνέων ἦχος εὐμελής,¶
ἢ ῥυθμὸς ὕδατος πορευομένου βίᾳ,
[19]ἢ κτύπος ἀπηνὴς καταριπτομένων πετρῶν, 19 (18)
ἢ σκιρτώντων ζῴων δρόμος ἀθεώρητος,
ἢ ὠρυομένων ἀπηνεστάτων θηρίων φωνή,
ἢ ἀνταν ακλωμένη ἐκ κοιλότητος ὀρέων ἠχώ,
παρέλυσεν αὐτοὺς ἐκφοβοῦντα.
[20]ὅλος γὰρ ὁ κόσμος λαμπρῷ κατελάμπετο φωτί, 20 (19)
καὶ ἀνεμποδίστοις συνείχετο ἔργοις·
[21]μόνοις δὲ ἐκείνοις ἐπέτατο βαρεῖα νύξ, 21 (20)
εἰκὼν τοῦ μέλλοντος αὐτοὺς διαδέχεσθαι σκότους,
ἑαυτοῖς δὲ ἦσαν βαρύτεροι σκότοι.
[1]τοῖς δὲ ὁσίοις σου μέγιστον ἦν φῶς. 1 XVIII
ὧν φωνὴν ἀκούοντες μορφὴν δὲ οὐχ ὁρῶντες,
ὅτι μὲν οὖν κἀκεῖνοι ἐπεπόνθεισαν, ἐμακάριζον·
[2]ὅτι δ' οὐ βλάπτουσιν προηδικημένοι, εὐχαριστοῦσιν, 2
καὶ τοῦ διενεχθῆναι χάριν ἐδέοντο.
[3]ἀνθ' ὧν πυριφλεγῆ στύλον, 3
ὁδηγὸν μὲν ἀγνώστου ὁδοιπορίας,
ἥλιον δὲ ἀβλαβῆ φιλοτίμου ξενιτείας παρέσχες.
[4]ἄξιοι μὲν γὰρ ἐκεῖνοι στερηθῆναι φωτὸς καὶ φυλακισθῆναι σκότει, 4

ℵAC **16** *ειρκτην*] *τῆ*| non inst B[b] **17** *ην τις η*] *τις ην* ℵ*C *τις ην η* ℵ[c.a] | *ερημιας* ℵ | *δυσαλυκτον*] adnot *δυσφευκτον* B[amg] *δυσαληκτον* ℵ* (-*λυκτον* ℵ[c.a] postea restit -*ληκτον*) A sup ras rescr aliq C[?] **18** *συριζον*] *διασυριζον* ℵ* (improb *δια* ℵ[?]) | *αμφιλαφεις*] *αμφις* ℵ* (-*φιλαφις* ℵ[c.a, c.c]) | *ορνεων*] pr *η* A **19** *ζωων*] incep *τ* ℵ* (improb *τ* ℵ[1]) | *απηνεστατων θηριων*] *θηριων απηνεστατων* ℵ *απηνεστατος θηριων* A | *παρελυεν* A | *εκφοβουντα*] *εκφοβουσα* ℵ[c.c] **21** *εκεινοις*] *επκεινοις* ℵ* (improb *π* ℵ[1] postea ras) | *επετατο*] *επεκειτο* ℵ | *αυτους*] *αυτου* ℵ* (-*τους* ℵ[c.a]) XVIII **1** *ων*] *ην* ℵ[c.a] | *φωνην*]+*μεν* B[ab]ℵA | *ουν*] *ου* A **2** *δ*] *δε* B[ab]ℵ[c.a]A | *βλαπτουσιν* (-*σι* A)] *βλαστουσιν* ℵ* *βλεπουσιν* ℵ[c.a] | *ηυχαριστουν* A | *εδεοντο*] *οδοντων* ℵ* (*εδ.* ℵ[c.a]) **3** *οδηγον*] *ολιγον* ℵ* (*οδ.* ℵ[c.a]) | *φιλοτιμου ξενιτειας* (-*τιας* B*A -*τειας* B[ab])] *φιλοτιμιας* ℵ* (*φ. ξεν.* ℵ[c.a]) | *παρεσχε*] ℵ* (-*σχες* ℵ[c.a]) **4** *εκεινου* A | *σκοτει*] pr *εν* B[ab] *σκοτους* ℵ* (-*τει* ℵ[c.a(vid) c.c])

οἱ κατακλείστους φυλάξαντες τοὺς υἱούς σου, B
δι' ὧν ἤμελλεν τὸ ἄφθαρτον νόμου φῶς τῷ αἰῶνι δίδοσθαι.
5 [5]βουλευσαμένους αὐτοὺς τὰ τῶν ὁσίων ἀποκτείναι νήπια,
καὶ ἑνὸς ἐκτεθέντος τέκνου καὶ σωθέντος,
εἰς ἔλεγχον τὸ αὐτῶν ἀφείλω πλῆθος τέκνων,
καὶ ὁμοθυμαδὸν ἀπώλεσας ἐν ὕδατι σφοδρῷ.
6 [6]ἐκείνη ἡ νὺξ προεγνώσθη πατράσιν ἡμῶν,
ἵνα ἀσφαλῶς εἰδότες οἷς ἐπίστευσαν ὅρκοις ἐπευθυμήσωσιν.
7 [7]προσεδέχθη ὑπὸ λαοῦ σου
σωτηρία μὲν δικαίων, ἐχθρῶν δὲ ἀπωλία·
8 [8]ὡς γὰρ ἐτιμωρήσω τοὺς ὑπεναντίους,
τούτῳ ἡμᾶς προσκαλεσάμενος ἐδόξασας.
9 [9]κρυφῇ γὰρ ἐθυσίαζον ὅσιοι παῖδες ἀγαθῶν,
καὶ τὸν τῆς θειότητος νόμον ἐν ὁμονοίᾳ διέθεντο,
τῶν αὐτῶν ὁμοίως καὶ ἀγαθῶν
καὶ κινδύνων μεταλήμψεσθαι τοὺς ἁγίους,
πατέρων ἤδη προαναμελπόντων αἴνους.
10 [10]ἀντήχει δ' ἀσύμφωνος ἐχθρῶν ἡ βοή,
καὶ οἰκτρὰ διεφέρετο θρηνουμένων παίδων.
11 [11]ὁμοίᾳ δὲ δίκῃ δοῦλος ἅμα δεσπότῃ κολασθείς,
καὶ δημότης βασιλεῖ τὰ αὐτὰ πάσχων·
12 [12]ὁμοθυμαδὸν δὲ πάντες ἐν ἑνὶ ὀνόματι θανάτου
νεκροὺς εἶχον ἀναριθμήτους·
οὐδὲ γὰρ πρὸς τὸ θάψαι οἱ ζῶντες ἦσαν ἱκανοί,
ἐπεὶ πρὸς μίαν ῥοπὴν ἡ ἐντιμοτέρα γένεσις αὐτῶν διεφθάρη.
13 [13]πάντα γὰρ ἀπιστοῦντες διὰ τὰς φαρμακείας,
ἐπὶ τῷ τῶν πρωτοτόκων ὀλέθρῳ ὡμολόγησαν θεοῦ υἱὸν λαὸν εἶναι.
14 [14]ἡσύχου γὰρ σιγῆς περιεχούσης τὰ πάντα

4 φυλαξαντες] φυλασσοντες ℵ | εμελλεν ℵ | φωτος ℵ* (φως ℵ$^{c.a}$) **5** αυτους] pr δ A | αποκτειναι] αποκτινειν ℵ* (-κτιναι ℵ$^{c.a}$) | το] om ℵ$^{1c.a}$ | τον A | αφειλω] αφιλου A | και 2°] τους δε εχθρους του λαου ℵ* (και ℵ$^{c.a}$) **6** επευθυμησωσιν] επιθυμησωσιν ℵ **7** προσεδεχθη] προσδεχθη δε A | απωλεια B^{ab} **9** om οσιοι A | θειοτητος] οσιοτητος ℵ | om και 2° ℵ$^{c.a}$ | πατερων] πατερ ℵ$^{c.a,c.c}$ | προαναμελποντες ℵ$^{c.a}$A **10** δ] δε A | η βοη] om η ℵ$^{c.a}$A | διεφερετο] διεφενετο A | θρηνουμενων] pr φωνη ℵA **11** βασιλεια ℵ* (-λει ℵ$^{c.a}$) | τα αυτα] ταυτα ℵ **12** ομοθυμαδον] ομοθυμο incep ℵ* (improb ο 3° ℵ^{1}) | om δε ℵ* (hab ℵ$^{c.a}$) | improb εν ℵ$^{c.a}$ | η εντιμοτερα] om η ℵ* (hab ℵ$^{c.a}$) | διεφθαρη] διεφθαρτο ℵA **13** φαρμακιας ℵA

B καὶ νυκτὸς ἐν ἰδίῳ τάχει μεσαζούσης τὰ πάντα,
15 ὁ παντοδύναμός σου λόγος ἀπ' οὐρανῶν ἐκ θρόνων βασιλείων 15
ἀπότομος πολεμιστὴς εἰς μέσον τῆς ὀλεθρίας ἥλατο γῆς·
16 ξίφος ὀξὺ τὴν ἀνυπόκριτον ἐπιταγήν σου φέρων, 16
καὶ στὰς ἐπλήρωσεν τὰ πάντα θανάτου·
καὶ οὐρανοῦ μὲν ἥπτετο, βεβήκει δ' ἐπὶ γῆς.
17 τότε παραχρῆμα φαντασίαι μὲν ὀνείρων 17
δεινῶς ἐξετάραξαν αὐτούς,
φόβοι δὲ ἐπέστησαν ἀδόκητοι,
18 καὶ ἄλλος ἀλλαχῇ ῥιφεὶς ἡμίθνητος 18
δι' ἣν ἔθνησκεν αἰτίαν ἐνεφάνιζεν·
19 οἱ γὰρ ὄνειροι θορυβήσαντες αὐτοὺς τοῦτο προεμήνυσαν, 19
ἵνα μὴ ἀγνοοῦντες δι' ὃ κακῶς πάσχουσιν ἀπόλωνται.

20 Ἥψατο δὲ καὶ δικαίων πεῖρα θανάτου, 20
καὶ θραῦσις ἐν ἐρήμῳ ἐγένετο πλήθους·
ἀλλ' οὐκ ἐπὶ πολὺ ἔμεινεν ἡ ὀργή.
21 σπεύσας γὰρ ἀνὴρ ἄμεμπτος προεμάχησεν, 21
τὸ τῆς ἰδίας λειτουργίας ὅπλον
προσευχὴν καὶ θυμιάματος ἐξιλασμὸν κομίσας·
ἀντέστη τῷ θυμῷ καὶ πέρας ἐπέθηκε τῇ συμφορᾷ,
δεικνὺς ὅτι σός ἐστιν θεράπων.
22 ἐνίκησεν τὸν ὄχλον οὐκ ἰσχύι τοῦ σώματος, οὐχ ὅπλων ἐνερ- 22
γείᾳ,
ἀλλὰ λόγῳ τὸν κολάζοντα ὑπέταξεν,
ὅρκους πατέρων καὶ διαθήκας ὑπομνήσας.
23 σωρηδὸν γὰρ ἤδη πεπτωκότων ἐπ' ἀλλήλων νεκρῶν, 23
μεταξὺ στὰς ἀνέκοψε τὴν ὀργὴν
καὶ διέσχισεν τὴν πρὸς τοὺς ζῶντας ὁδόν.
§ C 24 ἐπὶ γὰρ ποδήρους ἐνδύματος ἦν ὅλος ὁ κόσμος, 24
καὶ πατέρων δόξαι ἐπὶ τετραστίχου λίθου γλυφῆς,

ℵAC **14** om τα παντα (2°) B^{ab}ℵA **16** επιταγην] υποταγην A | δ επι] δε ℵ* (δ επι ℵ$^{c.a}$) δε επι A **17** δεινων ℵA **18** ριφεις] ριφθις A | εθνησκον ℵ* (-σκεν ℵ$^{c.a}$) A | ενεφανιζο] A **19** om τουτο ℵ | προσεμηνυσαν A **20** δικαιων]+τοτε ℵ*+ποτε ℵ$^{c.a}$ | πειρα] α sup ras A^{a} | η οργη]+σου ℵ* (improb ℵ$^{c.a}$) **21** προσευχης ℵ$^{c.a}$ | τω θυμω] om τω ℵ* (hab τω ℵ$^{c.a}$) | επεθηκεν ℵA | δειγνυς A **22** ενικησεν]+δε B^{ab}ℵA | ενεργια B^{*fort} (-γεια B^{a}) **23** σωρηδον] adnot ἀναριθμήτων ωσπερ σωρός $B^{a\,mg}$ | πεπτωκοτων] ε sup ras $A^{a?}$ | ανεκοψεν ℵ | διεσχισεν] διεκοψεν ℵ$^{c.a}$ **24** τετραστ....C | λιθων AC | γλυφη ℵ* (-φης ℵ$^{c.a}$)

καὶ μεγαλωσύνη σου ἐπὶ διαδήματος κεφαλῆς αὐτοῦ. B

25 [25]τούτοις εἶξεν ὁ ὀλοθρεύων, ταῦτα δὲ ἐφοβήθησαν·
ἦν γὰρ μόνη ἡ πεῖρα τῆς ὀργῆς ἱκανή.

XIX 1 [1]Τοῖς δὲ ἀσεβέσιν μέχρι τέλους ἀνελεήμων θυμὸς ἐπέστη·
προῄδει γὰρ αὐτῶν καὶ τὰ μέλλοντα,
2 [2]ὅτι αὐτοὶ ἐπιστρέψαντες τοῦ ἀπεῖναι
καὶ μετὰ σπουδῆς προπέμψαντες αὐτούς,
διώξουσιν μεταμεληθέντες.
3 [3]ἔτι γὰρ ἐν χερσὶν ἔχοντες τὰ πένθη
καὶ προσοδυρόμενοι τάφοις νεκρῶν,
ἕτερον ἐπεσπάσαντο λογισμὸν ἀνοίας,
καὶ οὓς ἱκετεύοντες ἐξέβαλον, τούτους ὡς φυγάδας ἐδίωκον.
4 [4]εἶλκεν γὰρ αὐτοὺς ἡ ἀξία ἐπὶ τοῦτο πέρας ἀνάγκη,
καὶ τῶν συμβεβηκότων ἀμνηστίαν ἐνέβαλεν,
ἵνα τὴν λείπουσαν ταῖς βασάνοις προαναπληρώσωσιν κόλασιν,
5 [5]καὶ ὁ μὲν λαός σου παράδοξον ὁδοιπορίαν πειράσῃ,
ἐκεῖνοι δὲ ξένον εὕρωσι θάνατον.
6 [6]ὅλη γὰρ ἡ κτίσις ἐν ἰδίῳ γένει πάλιν ἄνωθεν διετυποῦτο,
ὑπηρετοῦσα ταῖς ἰδίαις ἐπιταγαῖς,
ἵνα οἱ σοὶ παῖδες φυλαχθῶσιν ἀβλαβεῖς.
7 [7]ἡ τὴν παρεμβολὴν σκιάζουσα νεφέλη,
ἐκ δὲ προυφεστῶτος ὕδατος ξηρᾶς ἀνάδυσις γῆς ἐθεωρήθη,
ἐξ ἐρυθρᾶς θαλάσσης ὁδὸς ἀνεμπόδιστος,
καὶ χλοηφόρον πεδίον ἐκ κλύδωνος βιαίου·
8 [8]δι' οὗ πανεθνεὶ διῆλθον οἱ τῇ σῇ σκεπαζόμενοι χειρί,
θεωρήσαντες θαυμαστὰ τέρατα.
9 [9]ὡς γὰρ ἵπποι ἐνεμήθησαν
καὶ ὡς ἀμνοὶ διεσκίρτησαν,
αἰνοῦντές σε, Κύριε, τὸν ῥυόμενον αὐτούς·

24 μεγαλωσυνη] pr η $\aleph^{c.a}$ **25** ολεθρευων AC | om δε $\aleph^*$ (hab $\aleph^{c.a}$) | $\aleph$AC εφοβηθη $\aleph^{c.a}$A | οργης]+σου $\aleph$ XIX **1** ασεβεσι A **2** επεστρεψαντες $\aleph^*$ (επιστρ. $\aleph^{1\,(vid)}$) επιτρ. $\aleph^{c.a}$A **3** om ανοιας $\aleph^*$ (hab $\aleph^{c.a}$) **4** περας] pr το AC | αμνηστειαν B* (-τιαν B^b) | ενεβαλεν] εβαλεν C | λιπουσαν $\aleph$ ειπουσαν A* (λειπ. A^1) | προσαναπληρωσουσιν $\aleph$ προσαναπληρωσωσι AC (σῖ|) **5** οδοιπορειαν B* (-ριαν B^b) | περασῃ B^{ab}A | ευρωσιν $\aleph$ **6** γενει] adnot ταχι $\aleph^{c.a}$ | ιδιαις] σαις $\aleph$A | αβλαβις $\aleph^*$ (-βεις $\aleph^{c.c}$) **7** τη την π. σκιαζουση A | δε] γαρ $\aleph^{c.a}$ | εθεωρηθη B$\aleph^{c.a}$C] εθεωρειτο $\aleph^*$A (-ριτο) | εξ] pr και $\aleph^{c.a}$ **8** δι η $\aleph^*$ (δι ου $\aleph^1$) | πανεθνει] παν εθνος $B^{ab}\aleph^*$ (πανεθνι $\aleph^{c.a}$) AC | θεωρησαντας A **9** διε..... C | ρυσαμενον AC

B [10]ἐμέμνητο γὰρ ἔτι τῶν ἐν τῇ παροικίᾳ αὐτῶν, 10
πῶς ἀντὶ μὲν γενέσεως ζῴων ἐξήγαγεν ἡ γῆ σκνῖπα,
ἀντὶ δὲ ἐνύδρων ἐξηρεύξατο ὁ ποταμὸς πλῆθος βατράχων.
[11]ἐφ' ὑστέρῳ δὲ εἶδον καὶ νέαν γένεσιν ὀρνέων, 11
ὅτε ἐπιθυμίᾳ προαχθέντες ᾐτήσαντο ἐδέσματα τρυφῆς·
[12]εἰς γὰρ παραμυθίαν ἀνέβη αὐτοῖς ἀπὸ θαλάσσης ὀρτυγο- 12
μήτρα,
[13]καὶ αἱ τιμωρίαι τοῖς ἁμαρτωλοῖς ἐπῆλθον, 13
οὐκ ἄνευ τῶν γεγονότων τεκμηρίων τῇ βίᾳ τῶν κεραυνῶν·
δικαίως γὰρ ἔπασχον ταῖς ἰδίαις αὐτῶν πονηρίαις,
(13)καὶ γὰρ χαλεπωτέραν μισοξενίαν ἐπετήδευσαν.
[14]οἱ μὲν γὰρ τοὺς ἀγνοοῦντας οὐκ ἐδέχοντο παρόντας, 14
οὗτοι δὲ εὐεργέτας ξένους ἐδουλοῦντο.
[15]καὶ οὐ μόνον, ἀλλ' ἦ τις ἐπισκοπὴ ἔσται αὐτῶν, 15 (14)
ἐπεὶ ἀπεχθῶς προσεδέχοντο τοὺς ἀλλοτρίους·
[16]οἱ δὲ μετὰ ἑορτασμάτων 16 (15)
εἰσδεξάμενοι τοὺς ἤδη τῶν αὐτῶν μετεσχηκότας δικαίων
δεινοῖς ἐκάκωσαν πόνοις.
[17]ἐπλήγησαν δὲ καὶ ἀορασίᾳ, 17 (16)
ὥσπερ ἐκεῖνοι ἐπὶ ταῖς τοῦ δικαίου θύραις,
ὅτε ἀχανεῖ περιβληθέντες σκότει
ἕκαστος τῶν αὐτοῦ θυρῶν τὴν δίοδον ἐζήτει.
[18]δι' ἑαυτῶν γὰρ τὰ στοιχεῖα μεθαρμοζόμενα, 18 (17)
ὥσπερ ἐν ψαλτηρίῳ φθόγγοι τοῦ ῥυθμοῦ τὸ ὄνομα
διαλλάσσουσιν,
πάντοτε μένοντα ἦχῳ,
ὅπερ ἐστὶν εἰκάσαι ἐκ τῆς τῶν γεγονότων ὄψεως ἀκριβῶς.
[19]χερσαῖα γὰρ εἰς ἔνυδρα μετεβάλλετο, 19 (18)
καὶ νηκτὰ μετέβαινεν ἐπὶ γῆς·

ℵAC **10** om μεν C | η γη] om η C | σκνιπα B^b (σκνειπα B*)] σκνιφα ℵ* σκνιφας $ℵ^{c.a}$A (ras 1 vel 2 litt post φ $A^?$) σκν... C | ανυδρων A | εξηρευξατο] εξηρευσατο A εξηρευ... C | πληθος βατραχων] βατραχους ℵ* (-χων $ℵ^{c.a}$ pr πληθος $ℵ^{1?a?mg}$) **11** ιδον AC | γενεσιν νεαν A **12** ανεβη αυτοις απο θαλασσης] εκ θαλ. ανεβη αυτοις ℵ **13** γεγονοτων] προγεγονοτων ℵAC | των κεραυνων] om των $ℵ^{c.a}$ | πονηριαις αυτων ℵ | om γαρ 2° ℵ **14** γαρ τους] αρτους C^{vid} | ουτοι] αυτοι C **15** αλλ] αλλα C **16** om των αυτων ℵ | δικαιων] pr των ℵ **17** αυτου] εαυτου AC **18** γαρ] δε C | στοιχεια μεθαρμοζομενα] ιχεια μεθαρμο sup ras A^a | διαλασσουσιν ℵ | παντοτε] παντα $ℵ^{c.a}$ | ηχω] pr εν $ℵ^{c.a}$ | οψεως] s sup ras A^a **19** ενυδρα] ενεδρα ℵ* (ενυδρα $ℵ^{c.a}$) | μεταβαλλετο C | επι γης] εις γην ℵ* (επι γης $ℵ^{c.a}$)

(19) 20 [20]πῦρ ἴσχυσεν ἐν ὕδατι τῆς ἰδίας δυνάμεως, B
καὶ ὕδωρ τῆς σβεστικῆς δυνάμεως ἐπελανθάνετο·
(20) 21 [21]φλόγες ἀνάπαλιν εὐφθάρτων ζῴων
οὐκ ἐμάραναν σάρκας ἐμπεριπατούντων,
οὐδὲ τηκτὸν εὔτηκτον κρυσταλλοειδὲς γένος ἀμβροσίας
τροφῆς.

22 [22]Κατὰ πάντα γάρ, Κύριε, ἐμεγάλυνας τὸν λαόν σου καὶ
ἐδόξασας,
καὶ οὐχ ὑπερεῖδες ἐν παντὶ καιρῷ καὶ τόπῳ παριστά-
μενος.

20 ισχυεν ℵAC | δυναμεως 1°]+επιλελησμενον AC | τησβεστικης A | δυνα- ℵAC
μεως 2°] φυσεως ℵAC **21** ενπεριπατουντων A | κρυσταλλοειδες ευτηκτον
B^{a}ℵAC | αμβροσιας] adnot θειας B^{amg} | τρυφης ℵ* (τροφ. $ℵ^{c.a}$) **22** κατα-
[παντ]απαντα C^{*vid} (ras παντ 1° C^{a}) | om και 2° C | υπεριδες C | τοπω]
το πρωι ℵ* (τοπω $ℵ^{c.a\,fort}$ postea ras omnia $ℵ^{?}$) | παρισταμενος] περισταμε[νος] C

Subscr σοφια Σαλωμωνος B σ. Σαλωμωντος ℵ σ. Σολομωνος A σ. Σολομωντος C

Stich 1124 B 1121 ℵ 1092 A

ΣΟΦΙΑ ΣΕΙΡΑΧ

προλογος

B ΠΟΛΛΩΝ καὶ μεγάλων ἡμῖν διὰ τοῦ νόμου καὶ τῶν προφητῶν καὶ τῶν ἄλλων τῶν κατ' αὐτοὺς ἠκολουθηκότων δεδομένων, ὑπὲρ ὧν δέον ἐστὶν ἐπαινεῖν τὸν Ἰσραὴλ παιδείας καὶ σοφίας· καὶ ὡς οὐ μόνον αὐτοὺς τοὺς ἀναγινώσκοντας δέον ἐστὶν ἐπιστήμονας γίνεσθαι, ἀλλὰ καὶ τοῖς ἐκτὸς δύνασθαι τοὺς φιλομαθοῦντας χρησίμους εἶναι καὶ λέγοντας καὶ γράφοντας· ὁ πάππος μου Ἰησοῦς ἐπὶ πλεῖον ἑαυτὸν δοὺς εἴς τε τὴν τοῦ νόμου καὶ τῶν προφητῶν καὶ τῶν ἄλλων πατρίων βιβλίων ἀνάγνωσιν, καὶ ἐν τούτοις ἱκανὴν ἕξιν περιποιησάμενος, προήχθη καὶ αὐτὸς συγγράψαι τι τῶν εἰς παιδείαν καὶ σοφίαν ἀνηκόντων, ὅπως οἱ φιλομαθεῖς καὶ τούτων ἔνοχοι γενόμενοι πολλῷ μᾶλλον ἐπιπροσθῶσιν διὰ τῆς ἐννόμου βιώσεως. παρακέκλησθε οὖν μετ' εὐνοίας καὶ προσοχῆς τὴν ἀνάγνωσιν ποιεῖσθαι, καὶ συγγνώμην ἔχειν ἐφ' οἷς ἂν δοκῶμεν τῶν κατὰ τὴν ἑρμηνείαν πεφιλοπονημένων τισὶ τῶν λέξεων ἀδυναμεῖν· οὐ γὰρ ἰσοδυναμεῖ αὐτὰ ἐν ἑαυτοῖς Ἑβραιστὶ λεγόμενα καὶ ὅταν μεταχθῇ εἰς ἑτέραν γλῶσσαν· οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ αὐτὸς ὁ νόμος καὶ αἱ προφητεῖαι καὶ τὰ λοιπὰ τῶν βιβλίων οὐ μικρὰν ἔχει τὴν διαφορὰν ἐν ἑαυτοῖς λεγόμενα. ἐν γὰρ τῷ ὀγδόῳ καὶ τριακοστῷ ἔτει ἐπὶ τοῦ Εὐεργέτου βασιλέως παραγενηθεὶς εἰς Αἴγυπτον καὶ συνχρονίσας, εὗρον οὐ μικρᾶς παιδείας ἀφόμοιον. ἀναγκαιότατον ἐθέμην αὐτὸς προσενέγκασθαί τινα σπουδὴν καὶ φιλοπονίαν τοῦ μεθερμηνεῦσαι τήνδε τὴν βίβλον· πολλὴν γὰρ ἀγρυπνίαν καὶ ἐπιστήμην προσενεγκάμενος ἐν τῷ διαστήματι τοῦ χρόνου πρὸς τὸ ἐπὶ πέρας ἄγοντα τὸ βιβλίον ἐκδόσθαι καὶ τοῖς ἐν τῇ παροικίᾳ βουλομένοις φιλομαθεῖν, προκατασκευαζομένους τὰ ἤθη ἐν νόμῳ βιοτεύειν.

ℵAC Inscr προλογος BA πρ. Σιραχ C deest in ℵ 2 ακολουθηκοτων C | δεδομενων] δεομενων ℵ 3 παιδιας ℵAC 4 γενεσθαι ℵC 5 om και 1° ℵ 6 πλεον ℵ | του νομου] om του A 7 αλλων] +των δεοντων ℵ | ικανον εστιν ℵ* (ικανην εξιν ℵ$^{c.a}$) 8 περιποιησαμενον ℵ | περιοσηχθην ℵ* (προηχθη ℵ^{2}) | συνγραψαι ℵAC | om τι ℵ | των] pr περι ℵ | παιδιαν ℵAC 9 τουτων] pr οι ℵ* (om οι ℵ$^{c.a}$) | ενοχοι] ενηχοι ℵ$^{c.a}$A 10 επιπροσθωσιν] ετι προσθησουσιν ℵ | εκ νομου ℵ* (εννομου ℵ$^{c.a}$) 10—12 βιωσεως...των κατα τ[ην] perier in C 10 παρακεκλησθαι ℵA 11 ποιεισθε B | συνγνωμην ℵA 12 αν] εαν ℵ | ερμηνιαν B*A (ερμηνειαν B^{ab}ℵ) ηρμενειαν C | τισιν ℵ$^{c.a}$ | om αδυναμειν B* ℵ* (hab αδυναμεῖ B$^{ab\ mg}$ -μειν ℵ$^{c.a}$AC) 14 ταυτα αλλα] τα α sup ras A^{a} 15 αι προφητιαι ℵA οι προφηται C 16 om εν 1° ℵ | γαρ] δε ℵ* (γαρ ℵ$^{c.a}$) 17 παραγενηθεις] αναγεννηθεις ℵ* (παραγενηθ. ℵ$^{c.a}$) | εις] κατ ℵ* (εις ℵ$^{c.a}$) | συγχρονισας B^{b} (?C) συγγχρονησας A 18 παιδιας ℵAC (post π. distinx A) | αναγκαιοτατον]+ουν ℵC | εθεμην] προεθεμην ℵ* (εθ. ℵ$^{c.a}$) | αυτος] και αυτ. εγω ℵ* και αυτος ℵ$^{c.a}$AC | προσενεγκασθαι τινα] om τινα ℵ* (hab ℵ$^{c.a}$) τινα προσενεγκ. AC^{vid} 19 om τηνδε A 20 om γαρ A | om και C 21 προς] εις ℵ$^{c.a}$ | αγοντα] αγαγοντας ℵ* αγαγοντα ℵ$^{c.a}$AC | τον βιβλιον B* (το β. B^{ab}) 22 προκατασκευαζομενους B ℵ$^{c.a}$AC*] προκατασκευαζοντας ℵ* προκατασκευαζομενοις C$^{a\ vid}$ | εν νομω] εννομως AC* (εν νομω C$^{a(vid)}$) | βιωτευειν ℵC Subscr προλογος B deest in ℵAC

ΣΟΦΙΑ ΣΕΙΡΑΧ

I 1 ΠΑΣΑ *σοφία παρὰ Κυρίου, καὶ μετ' αὐτοῦ ἐστιν εἰς τὸν* B
αἰῶνα.
2 [2]*ἄμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ καὶ ἡμέρας αἰῶνος τίς*
ἐξαριθμήσει;
3 [3]*ὕψος οὐρανοῦ καὶ πλάτος γῆς καὶ ἄβυσσον καὶ σοφίαν*
τίς ἐξιχνιάσει;
4 [4]*προτέρα πάντων ἔκτισται σοφία,*
καὶ σύνεσις φρονήσεως ἐξ αἰῶνος.
6 [6]*ῥίζα σοφίας τίνι ἀπεκαλύφθη;*
καὶ τὰ πανουργεύματα αὐτῆς τίς ἔγνω;
8 [8]*εἷς ἐστὶν σοφός, φοβερὸς σφόδρα,*
καθήμενος ἐπὶ τοῦ θρόνου αὐτοῦ.
9 *Κύριος* [9]*αὐτὸς ἔκτισεν αὐτήν,*
καὶ ἶδεν καὶ ἐξηρίθμησεν αὐτήν,
(10) *καὶ ἐξέχεεν αὐτὴν ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ,*
10 [10]*μετὰ πάσης σαρκὸς κατὰ τὴν δόσιν αὐτοῦ,*
καὶ ἐχορήγησεν αὐτὴν τοῖς ἀγαπῶσιν αὐτόν.
11 [11]*φόβος Κυρίου δόξα καὶ καύχημα*
καὶ εὐφροσύνη καὶ στέφανος ἀγαλλιάματος.
12 [12]*φόβος Κυρίου τέρψει καρδίαν,*
καὶ δώσει εὐφροσύνην καὶ χαρὰν καὶ μακροημέρευσιν.
13 [13]*τῷ φοβουμένῳ τὸν κύριον εὖ ἔσται ἐπ' ἐσχάτων,*
καὶ ἐν ἡμέρᾳ τελευτῆς αὐτοῦ εὑρήσει χάριν.
(16) 14 [14]*ἀρχὴ σοφίας φοβεῖσθαι τὸν θεόν,*
καὶ μετὰ πιστῶν ἐν μήτρᾳ συνεκτίσθη αὐτοῖς·
15 [15]*καὶ μετὰ ἀνθρώπων θεμέλιον αἰῶνος ἐνύσσευσεν,*

Inscr *σοφια Σειραχ* B *σ. Ιησου υιου Σειραχ* ℵ *σ. Ι. υιου Σιραχ* AC ℵAC
I **1—2** omnia evan in C **2** *ημεραν* ℵ* (*-ρας* ℵ^c.a) **3** *ουρανου*] *υρανου* ℵ* (*ουρ.* ℵ^c.a, c.c A^a) | *τις εξ* sup ras B^?vid **6** *πανουργηματα* ℵAC **9** *ειδεν* ℵC **10** *εχορηγησεν*] *ε*[*χορηγει* C^vid **11** *ευφροσυνη...αγαλλιαματος*] *δωσει ευφροσυνην και χαραν και μακροημερευσιν* C **13** *εσχατω* ℵ* (*-των* ℵ^c.a) | *ευρησει χαριν*] *ευλογηθησεται* ℵAC^vid **14** *φοβεισθαι* (*-σθε* B* *-σθαι* B^ab: item 16, 20) *τον θεον*] *φοβεισθαι τον κν* ℵA *φοβος κ*[*υ*] C **15** om *και* 1° ℵA

B καὶ μετὰ τοῦ σπέρματος αὐτῶν ἐμπιστευθήσεται.
16 πλησμονὴ σοφίας φοβεῖσθαι τὸν κύριον, 16 (20)
καὶ μεθύσκει αὐτοὺς ἀπὸ τῶν καρπῶν αὐτῆς·
17 πάντα τὸν οἶκον αὐτῆς ἐμπλήσει ἐπιθυμημάτων, 17 (21)
καὶ τὰ ἀποδοχεῖα ἀπὸ τῶν γενημάτων αὐτῆς.
18 στέφανος σοφίας φόβος Κυρίου, 18 (22)
ἀναθάλλων εἰρήνην καὶ ὑγείαν ἰάσεως.
19 καὶ εἶδεν καὶ ἐξηρίθμησεν αὐτήν, 19 (23)
(24) ἐπιστήμην καὶ γνῶσιν συνέσεως ἐξώμβρησεν, (24)
καὶ δόξαν κρατούντων αὐτῆς ἀνύψωσεν.
20 ῥίζα σοφίας φοβεῖσθαι τὸν κύριον, 20 (25)
καὶ οἱ κλάδοι αὐτῆς μακροημέρευσις.

22 Οὐ δυνήσεται θυμὸς ἄδικος δικαιωθῆναι· 22 (28)
ἡ γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ.
23 ἕως καιροῦ ἀνθέξεται μακρόθυμος, 23 (29)
καὶ ὕστερον αὐτῷ ἀναδώσει εὐφροσύνη·
24 ἕως καιροῦ κρύψει τοὺς λόγους αὐτοῦ, 24 (30)
καὶ χείλη πιστῶν ἐκδιηγήσεται σύνεσιν αὐτοῦ.
25 ἐν θησαυροῖς σοφίας παραβολὴ ἐπιστήμης, 25 (26)
βδέλυγμα δὲ ἁμαρτωλῷ θεοσέβεια.
26 ἐπιθυμήσας σοφίαν διατήρησον ἐντολάς, 26 (33)
καὶ Κύριος χορηγήσει σοι αὐτήν.
27 σοφία γὰρ καὶ παιδεία φόβος Κυρίου, 27 (34)
καὶ ἡ εὐδοκία αὐτοῦ (35) πίστις καὶ πραότης. (35)
28 μὴ ἀπειθήσῃς φόβῳ Κυρίου, 28 (36)
καὶ μὴ προσέλθῃς αὐτῷ ἐν καρδίᾳ δισσῇ.
29 μὴ ὑποκριθῇς ἐν στόμασιν ἀνθρώπων, 29 (37)
καὶ ἐν τοῖς χείλεσίν σου πρόσεχε.

ℵAC **15** εμπιστευθησεται] εμπιστευει ℵ* (-τευθησεται ℵc.a) **16** αυτους] αυτην ℵ* (-τους ℵc.a) A*fort (ους sup ras Ab) **17** αποδοχια B*C (-χεια Babℵ) **18** υγειαν (-γιαν B*ℵC)] υγιειαν Bab vid A | ιασεως] αιωνος ℵc.a **19** ιδεν A | αυτης] αυτην ℵC **20** μακροημερευσουσι| ℵ* (-σις ℵc.a (vid), c.c) **22** ροπη] οργη ℵ* (ρ. ℵc.a) | om αυτου ℵ* (hab ℵc.a) **23** αυτω αναδωσει] αυτω αναδιδωσιν ℵc.a, c.c (αυτ. αναδωσ. ℵ*) αναδωσει αυτω C | ευφροσυνην ℵ* (ras ν ℵ²) AC **24** κρυψει] κα incep ℵ* (κρ. ℵ¹) | πιστων] πολλων ℵA **25** παραβολαι ℵ | αμαρτωλου A | θεοσεβια AC **26** Κυριος] pr ο ℵ **27** παιδια ℵAC | ευδοξια ℵ* (-κια ℵc.a) | πραυτης ℵAC **28** απειθησης] απιστησης ℵ **29** στοματι ℵ | τοις χειλεσιν] om τοις C

(38) 30 [30]μὴ ἐξύψου σεαυτόν, ἵνα μὴ πέσῃς B
καὶ ἐπαγάγῃς τῇ ψυχῇ σου ἀτιμίαν,
(39) [39]καὶ ἀποκαλύψει Κύριος τὰ κρυπτά σου,
καὶ ἐν μέσῳ συναγωγῆς καταβαλεῖ σε,
(40) [40]ὅτι οὐ προσῆλθες φόβῳ Κυρίου,
καὶ ἡ καρδία σου πλήρης δόλου.

II 1 [1]Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ θεῷ,
ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν·
2 [2]εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον,
καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς·
3 [3]κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς,
ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου.
4 [4]πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι δέξαι,
καὶ ἐν ἀλλάγμασιν ταπεινώσεώς σου μακροθύμησον·
5 [5]ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσός,
καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως.
6 [6]πίστευσον αὐτῷ καὶ ἀντιλήμψεταί σου·
εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ' αὐτόν.
7 [7]οἱ φοβούμενοι τὸν κύριον, ἀναμείνατε τὸ ἔλεος αὐτοῦ,
καὶ μὴ ἐκκλινητε, ἵνα μὴ πέσητε.
8 [8]οἱ φοβούμενοι Κύριον, πιστεύσατε αὐτῷ,
καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν.
9 [9]οἱ φοβούμενοι Κύριον, ἐλπίσατε εἰς ἀγαθὰ
καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους.
(11) 10 [10]ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε·
τίς ἐνεπίστευσεν Κυρίῳ καὶ κατῃσχύνθη;
(12) [12]ἢ τίς ἐνέμεινεν τῷ φόβῳ αὐτοῦ καὶ ἐγκατελείφθη;
ἢ τίς ἐπεκαλέσατο αὐτόν, καὶ ὑπερεῖδεν αὐτόν;

II **1** om *θεω* ℵAC **3** *ινα αυξηθῃς*] *και αυξηθησεται* ℵ* (*ινα αυξηθῃς* ℵAC ℵ$^{c.a}$) | om *σου* ℵ* (hab ℵ$^{c.a}$) **4** *αλαγμασιν* C **5** *οτι*] *τι* ℵ* (pr *ο* ℵ^{1}) | om *καμινω* C | *ταπεινωσεως*] + *εν νοσοις και πενια* (*πενια*· ℵ$^{c.c}$) *επ αυτω πεποιθως γεινου* (*γεινου*· ℵ$^{c.c}$) ℵ$^{c.a}$ **6** *ευθυνον*] pr *και* ℵ* (improb *και* ℵ$^{c.a}$) A | *ελπισον επ αυτον* sup ras B^{a} **7** *τον κυριον*] om *τον* C | om *ινα* ℵ* (hab ℵ$^{c.a}$) **8** *Κυριον*] pr *τον* ℵ **9** *Κυριον*] pr *τον* ℵC | *ελεους*] + *οτι δοσις αιωνια μετα χαρας το ανταποδομα αυτου* ℵ$^{c.a}$ **10** *ενεπιστευσεν*] *επιστευσεν* ℵ$^{c.a}$ | *Κυριω*] pr *τω* ℵ* (om *τω* ℵ?) | om *και* 2° ℵ$^{c.a}$ | *κατησχυνθη* B* (*ι* non inst B^{b}) | *εγκατελειφθη* B^{ab} (-*λιφθη* B*)] *ενκατελειφθη* A (-*λιφθη* ℵC) | *επεκαλεσατι* ℵ* (-*το* ℵ$^{1\,c.c}$) | *υπεριδεν* C

B [11]διότι οἰκτείρμων καὶ ἐλεήμων ὁ κύριος, 11 (13)
καὶ ἀφίησιν ἁμαρτίας καὶ σώζει ἐν καιρῷ θλίψεως.
[12]οὐαὶ καρδίαις δειλαῖς καὶ χερσὶν παρειμέναις, 12 (14)
καὶ ἁμαρτωλῷ ἐπιβαίνοντι ἐπὶ δύο τρίβους.
[13]οὐαὶ καρδίᾳ παρειμένῃ, ὅτι οὐ πιστεύει· 13 (15)
διὰ τοῦτο οὐ σκεπασθήσεται.
[14]οὐαὶ ὑμῖν τοῖς ἀπολωλεκόσιν τὴν ὑπομονήν· 14 (16)
[(17)]καὶ τί ποιήσετε ὅταν ἐπισκέπτηται ὁ κύριος; (17)
[15]οἱ φοβούμενοι Κύριον οὐκ ἀπειθήσουσιν ῥημάτων αὐτοῦ, 15 (18)
καὶ οἱ ἀγαπῶντες αὐτὸν συντηρήσουσιν τὰς ὁδοὺς αὐτοῦ.
[16]οἱ φοβούμενοι Κύριον ζητήσουσιν εὐδοκίαν αὐτοῦ, 16 (19)
καὶ οἱ ἀγαπῶντες αὐτὸν ἐμπλησθήσονται τοῦ νόμου.
[17]οἱ φοβούμενοι Κύριον ἑτοιμάσουσιν καρδίας αὐτῶν, 17 (20)
καὶ ἐνώπιον αὐτοῦ ταπεινώσουσιν τὰς ψυχὰς αὐτῶν.
[18]ἐμπεσούμεθα εἰς χεῖρας Κυρίου καὶ οὐκ εἰς χεῖρας ἀνθρώ- 18 (22)
πων·
[(23)]ὡς γὰρ ἡ μεγαλωσύνη αὐτοῦ, οὕτως καὶ τὸ ἔλεος αὐτοῦ. (23)

[1]Ἐμοῦ τοῦ πατρὸς ἀκούσατε, τέκνα, 1 (2) III
καὶ οὕτως ποιήσατε, ἵνα σωθῆτε.
[2]ὁ γὰρ Κύριος ἐδόξασεν πατέρα ἐπὶ τέκνοις, 2 (3)
καὶ κρίσιν μητρὸς ἐστερέωσεν ἐφ᾽ υἱοῖς.
[3]ὁ τιμῶν πατέρα ἐξιλάσεται ἁμαρτίας· 3 (4)
[4]καὶ ὡς ὁ ἀποθησαυρίζων ὁ δοξάζων μητέρα αὐτοῦ. 4 (5)
[5]ὁ τιμῶν πατέρα εὐφρανθήσεται ὑπὸ τέκνων, 5 (6)
καὶ ὡς ὁ ἀποθησαυρίζων ὁ δοξάζων μητέρα αὐτοῦ·
καὶ ἐν ἡμέρᾳ προσευχῆς αὐτοῦ εἰσακουσθήσεται.
[6]ὁ δοξάζων πατέρα μακροημερεύσει, 6 (7)
καὶ ὁ εἰσακούων Κυρίου ἀναπαύσει μητέρα αὐτοῦ,
[7]καὶ ὡς δεσπόταις δουλεύσει ἐν τοῖς γεννήσασιν αὐτόν. 7 (8)

ℵAC **11** οικτιρμων ℵ | ο κυριος] + μακροθυμος ℵ$^{c.a}$ | αφησιν C^{*vid} (superscr ι C$^{?}$) **12** χερσι C **13** ου πιστευει] ουκ εμπιστευει ℵ **14** απολωλεκοσι ℵ | την υπομονην] om την C | ο κυριος] om ο ℵ* (superscr ο ℵ^{1}) **15** Κυριον] pr τον ℵ$^{c.a}$C | ουκ απειθησουσιν (-σι C) ρηματων] ουκ απ. των ρ. ℵ* (improb των ℵ$^{c.a}$) ζητησουσιν ευδοκιαν A | οδους] εντολας ℵ$^{c.a}$ **16** Κυριον] pr τον ℵ$^{c.a}$C | του νομου] om του ℵC **17** Κυριον] pr τον ℵ$^{c.a}$ **18** μεγαλοσυνη C | το ελεος] pr πολυ ℵ$^{c.a}$ III **3** εξιλασκεται ℵ$^{c.a}$ (εξειλ.) AC **4** ο αποθησαυριζων] om ο AC **5** υπο τεκνων] επι τεκνοις C | και ως...αυτου (1ο) unc incl B$^{1?a?b}$ om ℵAC | ο δοξαζων] om ο B* (superscr B$^{1(vid)}$) **6** μακροημερευσαι C **7** om εν ℵ$^{c.a}$

(9) 8 [8]ἐν ἔργῳ καὶ λόγῳ τίμα τὸν πατέρα σου, Β
(10) [10]ἵνα ἐπέλθῃ σοι εὐλογία παρ' αὐτοῦ·
(11) 9 [9]εὐλογία γὰρ πατρὸς στηρίζει οἴκους τέκνων,
κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια.
(12) 10 [10]μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου,
οὐ γάρ ἐστίν σοι δόξα πρὸς ἀτιμίαν·
(13) 11 [11]ἡ γὰρ δόξα ἀνθρώπου ἐκ τιμῆς πατρὸς αὐτοῦ,
καὶ ὄνειδος τέκνοις μήτηρ ἐν ἀδοξίᾳ.
(14) 12 [12]τέκνον, ἀντιλαβοῦ ἐν γήρᾳ πατρός σου,
καὶ μὴ λυπήσῃς αὐτὸν ἐν τῇ ζωῇ αὐτοῦ·
(15) 13 [13]κἂν ἀπολείπῃ σύνεσιν, συγγνώμην ἔχε,
καὶ μὴ ἀτιμάσῃς αὐτὸν ἐν πάσῃ ἰσχύι σου.
14 [14]ἐλεημοσύνη γὰρ πατρὸς οὐκ ἐπιλησθήσεται,
(16,17) [16]καὶ ἀντὶ ἁμαρτιῶν [17]προσανοικοδομηθήσεταί σοι·
15 [15]ἐν ἡμέρᾳ θλίψεώς σου ἀναμνησθήσεταί σου·
ὡς εὐδία ἐπὶ παγετῷ, οὕτως ἀναλυθήσονταί σου αἱ
ἁμαρτίαι.
(18) 16 [16]ὡς βλάσφημος ὁ ἐγκαταλιπὼν πατέρα,
καὶ κεκατηραμένος ὑπὸ Κυρίου ὁ παροργίζων μητέρα
αὐτοῦ.

(19) 17 [17]Τέκνον, ἐν πραΰτητι τὰ ἔργα σου διέξαγε,
καὶ ὑπὸ ἀνθρώπου δεκτοῦ ἀγαπηθήσῃ.
(20) 18 [18]ὅσῳ μέγας εἶ, τοσούτῳ ταπεινοῦ σεαυτόν,
καὶ ἔναντι Κυρίου εὑρήσεις χάριν·
(21) 20 [20]ὅτι μεγάλη ἡ δυναστεία τοῦ κυρίου
καὶ ὑπὸ τῶν ταπεινῶν δοξάζεται.
(22) 21 [21]χαλεπώτερά σου μὴ ζήτει,

10 om σοι C | προς ατιμιαν (-μειαν ℵ) BℵAC **11** μητηρ] μητερ A*vid ℵAC (η 2° sup ras A[a]) **12** γηρι C[txt] (-ρει C[comm]) | τη ζωη] παση ισχυι ℵ* (τη ζ. ℵ[c.a]) | αυτου] σου ℵ* (αυτ. ℵ[c.a]) **13** καν] και εαν ℵAC | απολιπη ℵ απολειπης C | συγγνωμην] συ|γνωμην A συνγνωμην C | ατιμησης C **14** πατρος]+σου ℵ* (om σου ℵ[2]) | προσανοικοδομησεται ℵ **15** om σου 1° ℵ* (superscr ℵ[1]) | αναμνησθησεται] σθησε sup ras A[?] | επι] εν ℵ* (επι ℵ[c.a]) | αναλυθησονται] αναφθησονται ℵ* (αναλυθ. ℵ[c.a]) **16** εγκαταλιπων ℵC | πατερα] μρα C | και κεκατηραμενος] και κατηραμενος (? καικατ.) ℵC | υπο] παρα A **17** τα εργα σου εν πραυτητι A | διεξαγαγε ℵ* (διεξαγε ℵ[c.a]) **18** χαριν]+πολλοι εισιν υψηλοι και επιδοξοι· αλλα πραεσιν αποκαλυπτι (-τει ℵ[c.c]) τα μυστηρια αυτου ℵ[c.a] **20** δυναστια ℵAC | του κυριου] om του ℵAC **21** χαλεπωτερα] βαθυτερα ℵ[c.a]

B καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε.
[22]ἃ προσετάγη σοι, ταῦτα διανοοῦ· 22
[(23)]οὐ γάρ ἐστίν σοι χρεία τῶν κρυπτῶν. (23)
[23]ἐν τοῖς περισσοῖς τῶν ἔργων σου μὴ περιεργάζου· 23 (24)
[(25)]πλείονα γὰρ συνέσεως ἀνθρώπων ὑπεδείχθη σοι. (25)
[24]πολλοὺς γὰρ ἐπλάνησεν ἡ ὑπόληψις αὐτῶν, 24 (26)
καὶ ὑπόνοια πονηρὰ ὠλίσθησεν διανοίας αὐτῶν.
[26]καὶ ὁ ἀγαπῶν κίνδυνον ἐν αὐτῷ ἐμπεσεῖται· 26 (27)
καρδία σκληρὰ κακωθήσεται ἐπ' ἐσχάτων,
καρδία σκληρὰ βαρυνθήσεται ἐπ' ἐσχάτων.
[27]καρδία σκληρὰ βαρυνθήσεται πόνοις, 27 (28)
καὶ ὁ ἁμαρτωλὸς προσθήσει ἁμαρτίαν ἐφ' ἁμαρτίαις.
[28]ἐπαγωγῇ ὑπερηφάνου οὐκ ἔστιν ἴασις, 28 (30)
φυτὸν γὰρ πονηρίας ἐρρίζωκεν ἐν αὐτῷ.
[29]καρδία συνετοῦ διανοηθήσεται παραβολήν, 29 (31)
καὶ οὖς ἀκροατοῦ ἐπιθυμία σοφοῦ.
[30]πῦρ φλογιζόμενον ἀποσβέσει ὕδωρ, 30 (33)
καὶ ἐλεημοσύνη ἐξιλάσεται ἁμαρτίας.
[31]ὁ ἀνταποδιδοὺς χάριτας μέμνηται εἰς τὰ μετὰ ταῦτα, 31 (34)
καὶ ἐν καιρῷ πτώσεως εὑρήσει στήριγμα.

[1]Τέκνον, τὴν ζωὴν τοῦ πτωχοῦ μὴ ἀποστερήσῃς, 1 IV
καὶ μὴ παρελκύσῃς ὀφθαλμοὺς ἐπιδεεῖς.
[2]ψυχὴν πεινῶσαν μὴ λυπήσῃς, 2
καὶ μὴ παροργίσῃς ἄνδρα ἐν ἀπορίᾳ αὐτοῦ.
[3]καρδίαν παροργισμένην μὴ προσταράξῃς, 3
καὶ μὴ παρελκύσῃς δόσιν προσδεομένου.
[4]ἱκέτην θλιβόμενον μὴ ἀπαναίνου, 4

ℵAC **23** υπεδειχθη] υπεδοθη C **24** υπολημψις A | om και ℵ* (hab ℌ ℵ$^{c.a}$) | ωλισθησεν διανοιας] ωλισθη εν διανοια A*^{vid} ωλισθησεν διανοιαν ℵA^{a} **26** και ο αγαπων...επ εσχατων (1°)] καρδια σκληρα (1°)...εμπεσειται ℵ$^{c.a}$ | εν αυτω] εαυτω ℵ* (εν αυτ. ℵ$^{1\,c.a}$) | εμπεσειται] απολειται ℵAC (-λιτε) | καρδια...επ εσχατων (2°) unc incl B$^{1?ab}$ om ℵAC **27—28** inter βαρυνθησεται et φυτον ras plus quam 3 stichos C^{a} **27** αμαρτιαις] μαρ sup ras B$^{1\,fort}$ αμαρτιας ℵ* (-τιαις ℵ$^{c.a}$) **28** υπερηφανων C^{a} | ιασις (-σεις A)]+οδοιπορια αυτου εκριζωθησονται C* ^{vid} | ερριζωκεν] ερριζωσεν C | om εν C **29** παραβολην] εν παραβολη ℵ* (παραβολην ℵ$^{c.a}$) **30** εξιλασκεται C **31** πτωσεως]+αυτου ℵAC IV **1** τεκνον sup ras ℵ^{1} **2** λυπησης sup ras A^{b} | απορεια B* ras aliq B$^{?}$ (-ρια B^{b}) **3** παρωργισμενην ℵA | προσταραξης] s sup ras 3 ut vid litt in A

καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ πτωχοῦ. B
5 [5]ἀπὸ δεομένου μὴ ἀποστρέψῃς ὀφθαλμόν,
καὶ μὴ δῷς τόπον ἀνθρώπῳ καταράσασθαί σε·
6 [6]καταρωμένου γάρ σε ἐν πικρίᾳ ψυχῆς αὐτοῦ,
τῆς δεήσεως αὐτοῦ ἐπακούσεται ὁ ποιήσας αὐτόν.
7 [7]προσφιλῆ συναγωγῇ σεαυτὸν ποίει,
καὶ μεγιστᾶνι ταπείνου τὴν κεφαλήν σου.
8 [8]κλῖνον πτωχῷ τὸ οὖς σου,
καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικὰ ἐν πραΰτητι.
9 [9]ἐξελοῦ ἀδικούμενον ἐκ χειρὸς ἀδικοῦντος,
καὶ μὴ ὀλιγοψυχήσῃς ἐν τῷ κρίνειν σε.
10 [10]γίνου ὀρφανοῖς ὡς πατήρ,
καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν·
(11) [11]καὶ ἔσῃ ὡς υἱὸς Ὑψίστου,
καὶ ἀγαπήσει σε μᾶλλον ἡ μήτηρ σου.

(12) 11 [11]Ἡ σοφία υἱοὺς ἑαυτῇ ἀνύψωσεν,
καὶ ἐπιλαμβάνεται τῶν ζητούντων αὐτήν.
(13) 12 [12]ὁ ἀγαπῶν αὐτὴν ἀγαπᾷ ζωήν,
καὶ οἱ ὀρθρίζοντες πρὸς αὐτὴν ἐμπλησθήσονται εὐφροσύνης·
(14) 13 [13]ὁ κρατῶν αὐτῆς κληρονομήσει δόξαν,
καὶ οὗ εἰσπορεύεται, εὐλογήσει Κύριος·
(15) 14 [14]οἱ λατρεύοντες αὐτῇ λειτουργήσουσιν ἁγίῳ,
καὶ τοὺς ἀγαπῶντας αὐτὴν ἀγαπᾷ ὁ κύριος·
(16) 15 [15]ὁ ὑπακούων αὐτῆς κρινεῖ ἔθνη,
καὶ ὁ προσελθὼν αὐτῇ κατασκηνώσει πεποιθώς.
(17) 16 [16]ἐὰν ἐμπιστεύσῃς, κατακληρονομήσεις αὐτήν,
καὶ ἐν κατασχέσει ἔσονται αἱ γενεαὶ αὐτοῦ·
(18) 17 [17]ὅτι διεστραμμένως πορεύεται μετ' αὐτοῦ ἐν πρώτοις,

5 δεομενου] προσδεομενου ℵ* (improb προσ ℵ$^{c.a}$) | καταρασασθαι] σ 2° sup ℵAC ras B$^{1?vid}$ **6** επακουσεται] εισακουσεται ℵC **7** συναγωγη] pr εν C | μεγιστανι] πρεσβυτερω ℵ$^{c.a}$ **8** ante εν 2 litt ras C$^{?}$ **9** κρινειν] κρινεσθαι ℵ **11** εαυτη] αυτης ℵAC **12** ορθριζοντες C* (ορθρ. C^{a}) **13** ευλογησει] ευλογει ℵAC **14** λειτουργησουσιν] ειτουργησουσ sup ras ut vid C^{1} | ο κυριος] om ο ℵC **15** υπακουων] εισακουων ℵ | προσελθων] προσεχων ℵAC **16** εμπιστευση B^{b}ℵ -σει AC (ενπ.) | κατακληρονομησεις ℵAC | αυτου] αυτης ℵ* (-του ℵ$^{a.c}$) **17** διεστραμμενης C | πορευσεται ℵ$^{c.a}$AC^{vid} (πορευεσται)

B
(19)φόβον δὲ καὶ δειλίαν ἐπάξει ἐπ᾽ αὐτόν, (19)
καὶ βασανίσει αὐτὸν ἐν παιδίᾳ αὐτῆς,
ἕως οὗ ἐνπιστεύσῃ τῇ ψυχῇ αὐτοῦ·
καὶ πειράσει αὐτὸν ἐν τοῖς δικαιώμασιν αὐτῆς·
18καὶ πάλιν ἐπανήξει κατ᾽ εὐθεῖαν πρὸς αὐτὸν καὶ εὐφρανεῖ 18 (20)
αὐτόν,
(21)καὶ ἀποκαλύψει αὐτῷ τὰ κρυπτὰ αὐτῆς. (21)
19ἐὰν ἀποπλανηθῇ, ἐγκαταλείψει αὐτόν, 19 (22)
καὶ παραδώσει αὐτὸν εἰς χεῖρας πτώσεως αὐτοῦ.

20Συντήρησον καιρὸν καὶ φύλαξαι ἀπὸ πονηροῦ, 20 (23)
(24)καὶ περὶ τῆς ψυχῆς σου μὴ αἰσχυνθῇς· (24)
21ἔστιν γὰρ αἰσχύνη ἐπάγουσα ἁμαρτίαν, 21 (25)
καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις.
22μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σου, 22 (26)
(27)καὶ μὴ ἐντραπῇς εἰς πτῶσίν σου. (27)
23μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας· 23 (28)
24ἐν γὰρ λόγῳ γνωσθήσεται σοφία, 24 (29)
καὶ παιδεία ἐν ῥήματι γλώσσης.
25μὴ ἀντίλεγε τῇ ἀληθείᾳ, 25 (30)
καὶ περὶ τῆς ἀπαιδευσίας σου ἐντράπητι·
26μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ᾽ ἁμαρτίαις σου, 26 (31)
(32)καὶ μὴ βιάζου ῥοῦν ποταμοῦ. (32)
27καὶ μὴ ὑποστρώσῃς σεαυτὸν ἀνθρώπῳ μωρῷ, 27
καὶ μὴ λάβῃς πρόσωπον δυνάστου.
28ἕως τοῦ θανάτου ἀγώνισαι περὶ τῆς ἀληθείας, 28 (33)
καὶ Κύριος ὁ θεὸς πολεμήσει ὑπὲρ σοῦ.
29μὴ γίνου τραχὺς ἐν γλώσσῃ σου, 29 (34)
καὶ νωθρὸς καὶ παρειμένος ἐν τοῖς ἔργοις σου.
30μὴ ἴσθι ὡς λέων ἐν τῷ οἴκῳ σου, 30 (35)
καὶ φαντασιοκοπῶν ἐν τοῖς οἰκέταις σου.

ℵAC **17** om δε ℵAC | βασανιζει ℵ* (-σει ℵc.a) | εμπιστευση BbA ενπιστευσει C | πειρασει] περασεις ℵ* (-σει ℵc.a) **18** ευφραινει A **19** ενκαταλιψει ℵ **21** επαγουσα] εναγουσα A* vid **23** μη] pr ϗ ℵc.a **24** om και παιδ. εν ρ. γλωσσης C | παιδια ℵA | γλωσσης] γλωσσωδους ℵ* (-σσης ℵc.a) **25** αληθεια (-θια ℵ)]+κατα μηδεν ℵc.a | παιδευσιας ℵ* (απαιδ. ℵ1) | εντραπηθι Bbℵ **27** ανθρωπω μωρω σεαυτον ℵAC **28** του θανατου] om του ℵAC | αληθιας ℵC **29** τραχυς] ταχυς ℵ*A θρασυς ℵc.a | γλωσση] ακροασει ℵ* | om και 2° C | τοις λογοις ℵc.a **30** τω οικω] τη οικια ℵ

(36) 31 [31]μὴ ἔστω ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν, B
καὶ ἐν τῷ ἀποδιδόναι συνεσταλμένη.

V 1 [1]μὴ ἔπεχε ἐπὶ τοῖς χρήμασίν σου,
καὶ μὴ εἴπῃς Αὐτάρκη μοί ἐστιν.

2 [2]μὴ ἐξακολούθει τῇ ψυχῇ σου καὶ τῇ ἰσχύι σου, πορεύεσθαι
ἐν ἐπιθυμίαις καρδίας σου·

3 [3]καὶ μὴ εἴπῃς Τίς με δυναστεύσει;
ὁ γὰρ κύριος ἐκδικῶν ἐκδικήσει σε.

4 [4]μὴ εἴπῃς Ἥμαρτον, καὶ τί μοι ἐγένετο;
ὁ γὰρ κύριός ἐστιν μακρόθυμος.

5 [5]περὶ ἐξιλασμοῦ μὴ ἄφοβος γίνου,
προσθεῖναι ἁμαρτίαν ἐφ' ἁμαρτίαις·

6 [6]καὶ μὴ εἴπῃς Ὁ οἰκτειρμὸς αὐτοῦ πολύς,
τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐξιλάσεται·

(7) [(7)]ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτοῦ,
καὶ ἐπὶ ἁμαρτωλοὺς καταπαύσει ὁ θυμὸς αὐτοῦ·

(8) 7 [7]μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς Κύριον,
καὶ μὴ ὑπερβάλλου ἡμέραν ἐξ ἡμέρας·

(9) [(9)]ἐξάπινα γὰρ ἐξελεύσεται ὀργὴ Κυρίου,
καὶ ἐν καιρῷ ἐκδικήσεως ἐξολῇ.

(10) 8 [8]μὴ ἔπεχε ἐπὶ χρήμασιν ἀδίκοις·
οὐδὲν γὰρ ὠφελήσεις ἐν ἡμέρᾳ ἐπαγωγῆς.

(11) 9 [9]μὴ λίκμα ἐν παντὶ ἀνέμῳ,
καὶ μὴ πορεύου ἐν πάσῃ ἀτραπῷ·
οὕτως ὁ ἁμαρτωλὸς ὁ δίγλωσσος.

(12) 10 [10]ἴσθι ἐστηριγμένος ἐν συνέσει σου,
καὶ εἷς ἔστω σου ὁ λόγος.

(13) 11 [11]γίνου ταχὺς ἐν ἀκροάσει σου,
καὶ ἐν μακροθυμίᾳ φθέγγου ἀπόκρισιν.

31 *μη*] pr *και φ* ℵ* (improb *και φ* ℵ[1]) V **2—3** om *μη εξακολουθει...* ℵAC *δυναστευσει* ℵ* hab *μη εξακ. τη ψυχη σου* [ℏ] *τη ισχυι σου πορευεσθαι* (hucusque sup ras) *εν επιθυμια καρδια* (sic) *σου μη επης* (sic) *τις με δυναστευσει·* ℵ[c.c (vid)] | om *πορευεσθαι εν επιθ. καρδιας σου* AC | *καρδιαις* B **3** om *μη* C | om *σε* ℵA **4** om *και* C | om *ο γαρ κυριος εστιν μακροθυμος* C **6** *οικτιρμος* ℵA | *αυτου* 2°] *αυτω* ℵAC | *καταπαυσεται* ℵ* (*-σει* ℵ[c.a]) **7** *προς*] *επι* ℵ | *οργη*] pr *η* ℵ | *Κυριου*] *αυτου* ℵ* *κυ* ℏ *ως μελισσαι εκτριβησηι* ℵ[c.a] | *εν καιρω*] *εν τω κ.* ℵ* (om *τω* ℵ[c.a]) *εξελουσα* C **8** *ωφελησει* ℵ*A + *σε* ℵ[c.a]A **9** *λιγμα* C | om *και* C **10** om *σου* 1° C[fort] | *εις*] *εισθι* ℵ* (*εις* ℵ[c.a])

B [12]εἰ ἔστιν σοι σύνεσις, ἀποκρίθητι τῷ πλησίον· 12 (14)
εἰ δὲ μή, ἡ χείρ σου ἔστω ἐπὶ στόματί σου.
[13]δόξα καὶ ἀτιμία ἐν λαλιᾷ, 13 (15)
καὶ γλῶσσα ἀνθρώπου πτῶσις αὐτῷ.
[14]μὴ κληθῇς ψίθυρος, 14 (16)
καὶ τῇ γλώσσῃ σου μὴ ἐνεδρευθῇς·
[(17)]ἐπὶ γὰρ τῷ κλέπτῃ ἐστὶν αἰσχύνη, (17)
καὶ κατάγνωσις πονηρὰ ἐπὶ διγλώσσου.
[15]ἐν μεγάλῳ καὶ ἐν μικρῷ μὴ ἀγνόει, 15 (18)
[1]καὶ ἀντὶ φίλου μὴ γίνου ἐχθρός· 1 VI
ὄνομα γὰρ πονηρὸν αἰσχύνη, καὶ ὄνειδος κληρονομήσει·
οὕτως ὁ ἁμαρτωλὸς ὁ δίγλωσσος.
[2]μὴ ἐπάρῃς σεαυτὸν ἐν βουλῇ ψυχῆς σου, 2
ἵνα μὴ διαρπαγῇ ὡς ταῦρος ἡ ψυχή σου·
[3]τὰ φύλλα σου καταφάγεσαι 3
καὶ τοὺς καρπούς σου ἀπολέσεις,
καὶ ἀφήσεις σεαυτὸν ὡς ξύλον ξηρόν.

[4]Ψυχὴ πονηρὰ ἀπολεῖ τὸν κτησάμενον αὐτήν, 4
καὶ ἐπίχαρμα ἐχθρῶν ποιήσει αὐτόν.
[5]λάρυγξ γλυκὺς πληθυνεῖ φίλους αὐτοῦ, 5
καὶ γλῶσσα εὔλαλος πληθυνεῖ εὐπροσήγορα.
[6]οἱ εἰρηνεύοντές σοι ἔστωσαν πολλοί, 6
οἱ δὲ σύμβουλοί σου εἷς ἀπὸ χιλίων.
[7]εἰ κτᾶσαι φίλον, ἐν πειρασμῷ κτῆσαι αὐτόν, 7
καὶ μὴ ταχὺ ἐμπιστεύσῃς αὐτῷ.
[8]ἔστιν γὰρ φίλος ἐν καιρῷ αὐτοῦ, 8
καὶ οὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σου·
[9]καὶ ἔστιν φίλος μετατιθέμενος εἰς ἔχθραν, 9
καὶ μάχην ὀνειδισμοῦ σου ἀποκαλύψει·
[10]καὶ ἔστιν φίλος κοινωνὸς τραπεζῶν, 10

ℵAC **12** om σοι C | εστω] εσται C | επι] εν C | στοματι] pr τω ℵC **13** λαλλα ℵ* (λαλια ℵ$^{c.a\ et\ postea}$) | γλωσσα] pr η C | ανθρωπου] αυτου C | αυτω] αυτου ℵ **14** ενεδρευθης] ενεδρευε B^{ab}ℵAC | ονηρα ℵ* (πον. ℵ^{1}) VI **1** αισχυνην ℵAC **2** διαρπαγη] αρπαγη ℵ **3** αφησεις σεαυτον] αφησεις αυτον ℵ* αφησεις σε (nisi potius αφησει σε) ℵ$^{c.a}$ | ξυλον] φυλλον AC | ξηρον] +σεαυτον ℵ* (improb ℵ$^{c.}$) **4** εχθροις ℵ **5** λαρυξ C | ευπροσηγοριαν C **6** εστωσαν]+σοι ℵ* (improb σοι 2° ℵ$^{c.a}$) **7** ενπιστευσης ℵC **9—10** om και εστιν...θλιψεως σου ℵ* (hab ℵ$^{c.a}$) **9** εχθρον AC | μαχη C

καὶ οὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σου· B
11 [11]καὶ ἐν τοῖς ἀγαθοῖς σου ἔσται ὡς σύ,
καὶ ἐπὶ τοὺς οἰκέτας σου παρρησιάσεται·
12 [12]ἐὰν ταπεινωθῇς, ἔσται κατὰ σοῦ,
καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσεται.
13 [13]ἀπὸ τῶν ἐχθρῶν σου διαχωρίσθητι,
καὶ ἀπὸ τῶν φίλων σου πρόσεχε.
14 [14]φίλος πιστὸς σκέπη κραταιά·
ὁ δὲ εὑρὼν αὐτόν, εὗρεν θησαυρόν.
15 [15]φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα,
καὶ οὐκ ἔστιν σταθμὸς τῆς καλλονῆς αὐτοῦ.
16 [16]φίλος πιστὸς φάρμακον ζωῆς,
καὶ οἱ φοβούμενοι Κύριον εὑρήσουσιν αὐτόν.
17 [17]ὁ φοβούμενος Κύριον εὐθυνεῖ φιλίαν αὐτοῦ,
ὅτι κατ' αὐτὸν οὕτως καὶ ὁ πλησίον αὐτοῦ.

18 [18]Τέκνον, ἐκ νεότητός σου ἐπίλεξαι παιδίαν,
καὶ ἕως πολιῶν εὑρήσεις σοφίαν·
19 [19]ὡς ὁ ἀροτριῶν καὶ ὁ σπείρων πρόσελθε αὐτῇ,
καὶ ἀνάμενε τοὺς ἀγαθοὺς καρποὺς αὐτῆς·
(20) [20]ἐν γὰρ τῇ ἐργασίᾳ αὐτῆς ὀλίγον κοπιάσεις,
καὶ ταχὺ φάγεσαι τῶν γενημάτων αὐτῆς.
(21) 20 [20]ὡς ταχεῖά ἐστιν σφόδρα τοῖς ἀπαιδεύτοις,
καὶ οὐκ ἐμμενεῖ ἐν αὐτῇ ἀκάρδιος·
(22) 21 [21]ὡς λίθος δοκιμασίας ἰσχυρὸς ἔσται ἐπ' αὐτῷ,
καὶ οὐ χρονιεῖ ἀπορῖψαι αὐτήν.
(23) 22 [22]σοφία γὰρ κατὰ τὸ ὄνομα αὐτῆς ἐστιν,
καὶ οὐ πολλοῖς ἐστιν φανερά.
(24) 23 [23]ἄκουσον, τέκνον, καὶ δέξαι γνώμην μου,
καὶ μὴ ἀπαναίνου τὴν συμβουλίαν μου·
(25) 24 [24]καὶ εἰσένεγκον τοὺς πόδας σου εἰς τὰς πέδας αὐτῆς,
καὶ εἰς τὸν κλοιὸν αὐτῆς τὸν τράχηλόν σου·

11 οικεται ℵ* (-τας ℵc.a) **12** ταπεινωθης εσται] ταπινωθησεται C ℵAC **14** ευρε C **15** εστινταθμος A | om αυτου C **16** Κυριον] pr τον ℵC **17** οι πλησιον ℵ* (ras ι 1° ℵ?) **18** om σου ℵ | παιδειαν BabA | σοφιαν] χαριν ℵ **19** ο αροτριων] om ο ℵ | ο σπειρων] om ο ℵ* (hab ο ℵc.a) pr ως AC **20** ταχεια] τραχεια BcℵAC **21** ισχυρος] ισχυς ℵ* ισχυος (sic) ℵc.a | εσται] εστιν ℵc.a | απορψαι B² (-ρειψ. B*)] απορριψαι ℵ (-ρειψ.) AC **22** om εστιν 1° ℵ | εστι (2°) C **23** δεξαι] εκδεξαι ℵA | γνωμην] pr την ℵAC **24** om και 1° ℵ | εισενεγκαι A

B [25]ὑπόθες τὸν ὦμόν σου καὶ βάσταξον αὐτήν, 25 (26)
καὶ μὴ προσοχθίσῃς τοῖς δεσμοῖς αὐτῆς·
[26]ἐν πάσῃ ψυχῇ σου πρόσελθε αὐτῇ, 26 (27)
καὶ ἐν ὅλῃ δυνάμει σου συντήρησον τὰς ὁδοὺς αὐτῆς.
[27]ἐξίχνευσον καὶ ζήτησον, καὶ γνωσθήσεταί σοι, 27 (28)
καὶ ἐγκρατὴς γενόμενος μὴ ἀφῇς αὐτήν·
[28]ἐπ᾽ ἐσχάτων γὰρ εὑρήσεις τὴν ἀνάπαυσιν αὐτῆς, 28 (29)
καὶ στραφήσεταί σοι εἰς εὐφροσύνην·
[29]καὶ ἔσονταί σοι αἱ πέδαι εἰς σκέπην ἰσχύος, 29 (30)
καὶ οἱ κλάδοι αὐτῆς εἰς στολὴν δόξης.
[30]κόσμος γὰρ χρύσεός ἐστιν ἐπ᾽ αὐτῆς, 30 (31)
καὶ οἱ δεσμοὶ αὐτῆς κλῶσμα ὑακίνθινον·
[31]στολὴν δόξης ἐνδύσῃ αὐτήν, 31 (32)
καὶ στέφανον ἀγαλλιάματος περιθήσεις σεαυτῷ.
[32]ἐὰν θέλῃς, τέκνον, παιδευθήσῃ, 32 (33)
καὶ ἐὰν δῷς τὴν ψυχήν σου, πανοῦργος ἔσῃ·
[33]ἐὰν ἀγαπήσῃς ἀκούειν, ἐκδέξῃ, 33 (34)
καὶ ἐὰν κλίνῃς τὸ οὖς σου, σοφὸς ἔσῃ.
[34]ἐν πλήθει πρεσβυτέρων στῆθι· 34 (35)
καὶ τίς σοφός; αὐτῷ προσκολλήθητι.
[35]πᾶσαν διήγησιν θείαν θέλε ἀκούειν, 35
καὶ παροιμίαι συνέσεως μὴ ἐκφευγέτωσάν σε.
[36]ἐὰν ἴδῃς συνετόν, ὄρθριζε πρὸς αὐτόν, 36
καὶ βαθμοὺς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου.
[37]διανοοῦ ἐν τοῖς προστάγμασιν Κυρίου, 37
καὶ ἐν ταῖς ἐντολαῖς αὐτοῦ μελέτα διὰ παντός·
αὐτὸς στηριεῖ τὴν καρδίαν σου,
καὶ ἡ ἐπιθυμία τῆς σοφίας σου δοθήσεταί σοι.

[1]Μὴ ποίει κακά, καὶ οὐ μή σε καταλάβῃ κακόν· 1 VII

ℵAC **25** τοις δεσμοις] pr εν ℵ* (improb εν ℵc.a) **26** ολη] πασῃ C | συντηρησον] τηρησον ℵA | τας οδ sup ras Babvid **27** ζητησον] + αυτην ℵc.a | αυτην] η sup ras Aa **28** αυτης] σου C **29** πεδαι] παιδες A | κλαδοι] κλοιοι AC **30** ante κοσμος 3 fere litt (forte κοσ) ras C2 **31** ενδυσεις ℵ* -σει ℵc.a **32** εαν 1°]+γαρ ℵ* (om γαρ ℵc.a) | δως] επιδως ℵAC **33** εαν 1°] pr και A | κλινης] εκκλινης ℵ **34** αυτων ℵ* (-τω ℵc.a) **35** ακουειν] ακροασθαι ℵAC | εκφυγετωσαν ℵ* (εκφευγ. ℵc.a) A **36** ειδης C | θυρων B*fort ℵAC] τριβων (τριβ sup ras) Bab | εκτριβετω] εκτριβ sup ras Bab **37** om σου 2° ℵAC VII **1** μη] incep κα ℵ* (improb κα ℵ1) | om σε ℵ

2 [2]ἀπόστηθι ἀπὸ ἀδίκου, καὶ ἐκκλινεῖ ἀπὸ σοῦ. B
3 [3]υἱέ, μὴ σπεῖρε ἐπ' αὔλακας ἀδικίας,
καὶ οὐ μὴ θερίσῃς αὐτὰς ἑπταπλασίως.
4 [4]μὴ ζήτει παρὰ Κυρίου ἡγεμονίαν,
μηδὲ παρὰ βασιλέως καθέδραν δόξης.
5 [5]μὴ δικαιοῦ ἔναντι Κυρίου,
καὶ παρὰ βασιλεῖ μὴ σοφίζου.
6 [6]μὴ ζήτει γενέσθαι κριτής,
μὴ οὐκ ἐξισχύσεις ἐξᾶραι ἀδικίας·
μή ποτε εὐλαβηθῇς ἀπὸ προσώπου δυνάστου,
καὶ θήσεις σκάνδαλον ἐν εὐθύτητί σου.
7 [7]μὴ ἁμάρτανε εἰς πλῆθος πόλεως,
καὶ μὴ καταβάλῃς σεαυτὸν ἐν ὄχλῳ.
8 [8]μὴ καταδεσμεύσῃς δὶς ἁμαρτίαν,
ἐν γὰρ τῇ μιᾷ οὐκ ἀθῷος ἔσῃ.
(11) 9 [9]μὴ εἴπῃς Τῷ πλήθει τῶν δώρων μου ἐπόψεται,
καὶ ἐν τῷ προσενέγκαι με θεῷ ὑψίστῳ προσδέξεται.
– 10 [10]μὴ ὀλιγοψυχήσῃς ἐν τῇ προσευχῇ σου,
καὶ ἐλεημοσύνην ποιῆσαι μὴ παρίδῃς.
(12) 11 [11]μὴ καταγέλα ἄνθρωπον ὄντα ἐν πικρίᾳ ψυχῆς αὐτοῦ·
ἔστιν γὰρ ὁ ταπεινῶν καὶ ἀνυψῶν.
(13) 12 [12]μὴ ἀροτρία ψεῦδος ἐπ' ἀδελφῷ σου,
μηδὲ φίλῳ τὸ ὅμοιον ποίει.
(14) 13 [13]μὴ θέλε ψεύδεσθαι πᾶν ψεῦδος·
ὁ γὰρ ἐνδελεχισμὸς αὐτοῦ οὐκ εἰς ἀγαθόν.
(15) 14 [14]μὴ ἀδολέσχει ἐν πλήθει πρεσβυτέρων,¶ ¶ C
καὶ μὴ δευτερώσῃς λόγον ἐν προσευχῇ σου.
(16) 15 [15]μὴ μισήσῃς ἐπίπονον ἐργασίαν
καὶ γεωργίαν ὑπὸ Ὑψίστου ἐκτισμένην.
(17) 16 [16]μὴ προσλογίζου σεαυτὸν ἐν πλήθει ἁμαρτωλῶν·
(19) 17 [17]ταπείνωσον σφόδρα τὴν ψυχήν σου.
(18) 16 [16]μνήσθητι ὅτι ὀργὴ οὐ χρονιεῖ,
(19) 17 [17]ὅτι ἐκδίκησις ἀσεβοῦς πῦρ καὶ σκώληξ.

2 *αδικου*] *κακου* C **3** *σπειρης* C | *αυτας*] *αυτα* ℵAC | *επταπλασια* A ℵAC **4** *ηγεμονιαν παρα κυ* ℵ **6** *εξισχυσεις*] *ισχυσεις* ℵAC (*εισχ.*) | *εξαραι*] pr *ε* C **8** *καταδεσμευσεις* C | *τη μια*] om *τη* ℵA **9** *εποψομαι* A | *θεω*] *κω* ℵ* (*θῶ* ℵ$^{c.a}$) | *προσδεξεται*] *ετ* sup ras A^{a} **10** *παρειδης* AC **11** *ανθρωπον οντα*] *ανου* ℵ | *ανυψων*] pr *ο* ℵ$^{c.a}$ **12** *φιλω*] pr *επι* ℵ$^{c.a}$ **16—17** *μνησθητι...χρονιει* ante *ταπεινωσον...σου* ℵA **17** *εκδικησεις* ℵA

B [18]μὴ ἀλλάξῃς φίλον ἕνεκεν ἀδιαφόρου, 18 (20)
μηδὲ ἀδελφὸν γνήσιον ἐν χρυσίῳ Σουφείρ.
[19]μὴ ἀστόχει γυναικὸς σοφῆς καὶ ἀγαθῆς, 19 (21)
καὶ γὰρ χάρις αὐτῆς ὑπὲρ τὸ χρυσίον.
[20]μὴ κακώσῃς οἰκέτην ἐργαζόμενον ἐν ἀληθείᾳ, 20 (22)
μηδὲ μίσθιον διδόντα ψυχὴν αὐτοῦ·
[21]οἰκέτην ἀγαθὸν ἀγαπάτω σου ἡ ψυχή· 21 (23)
μὴ στερήσῃς αὐτὸν ἐλευθερίας.

[22]Κτήνη σοί ἐστιν; ἐπισκέπτου αὐτά, 22 (24)
καὶ εἰ ἔστιν σοι χρήσιμα, ἐμμενέτω σοι.
[23]τέκνα σοί ἐστιν; παίδευσον αὐτά, 23 (25)
καὶ κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτῶν.
[24]θυγατέρες σοί εἰσιν; πρόσεχε τῷ σώματι αὐτῶν, 24 (26)
καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου.
[25]ἔκδου θυγατέρα, καὶ ἔσῃ τετελεκὼς ἔργον μέγα, 25 (27)
καὶ ἀνδρὶ συνετῷ δώρησαι αὐτήν.
[26]γυνή σοί ἐστιν κατὰ ψυχήν; μὴ ἐκβάλῃς αὐτήν. 26 (28)
[27]ἐν ὅλῃ καρδίᾳ [(29)]δόξασον τὸν πατέρα σου, 27 (29)
καὶ μητρὸς ὠδῖνας μὴ ἐπιλάθῃ·
[28]μνήσθητι ὅτι δι' αὐτῶν ἐγενήθης, 28 (30)
καὶ τί ἀνταποδώσεις αὐτοῖς καθὼς αὐτοί σοί;
[29]ἐν ὅλῃ ψυχῇ σου εὐλαβοῦ τὸν κύριον, 29 (31)
καὶ τοὺς ἱερεῖς αὐτοῦ θαύμαζε·
[30]ἐν ὅλῃ δυνάμει ἀγάπησον τὸν ποιήσαντά σε, 30 (32)
καὶ τοὺς λειτουργούς αὐτοῦ μὴ ἐγκαταλίπῃς.
[31]φοβοῦ τὸν κύριον καὶ δόξασον ἱερέα, 31 (33)
[(34)]καὶ δὸς τὴν μερίδα αὐτῷ καθὼς ἐντέταλταί σοι ἀπ' ἀρχῆς, (34)
[(35)]καὶ περὶ πλημμελίας καὶ δόσιν βραχιόνων (35)
καὶ θυσίαν ἁγιασμοῦ καὶ ἀπαρχήν.

ℵA **18** om ενεκεν ℵA **19** και γαρ χαρις] η γαρ χ. ℵ[1] (incep η χ ℵ*) A **20** ψυχην] pr την ℵA **21** αγαθον] συνετον ℵA **23** τον τραχ.] om τον A*[vid] **24** ιλαρωσης] ιλαρυνης ℵ | προς] incep α ℵ* (improb α ℵ[1]) προς αυτα A **25** τετελιωκως ℵ* (τετελεκως ℵ[c.a]) | αυτην]+και μισουμενω (μισουση σε ℵ[c.a]) μη εμπιστευσης σεαυτον ℵ* (post 26 poni vult ℵ[c.a]) **26** ψυχην] pr την ℵ **27** καρδια] δυναμι A+σου ℵA | ον ℵ* (τον ℵ[1]) **28** εγενηθης ℵA **30** δυναμει]+σου ℵ | λειτουργους αυτου] λιτουργουντας (λειτ. ℵ[c.c]) αυτω ℵ* (-γους αυτου ℵ[c.a]) | ενκαταλιπης ℵ εγκαταλειπης A **31** απ αρχης] απαρχην B[ab]ℵA (c seqq coniung BℵA) | πλημμελειας B[ab] | βραχιονος ℵ* (-νων ℵ[c.a]) | απαρχην]+αγιων ℵA

(36) 32 [32]καὶ πτωχῷ ἔκτεινον τὴν χεῖρά σου, B
ἵνα τελειωθῇ ἡ εὐλογία σου.
(37) 33 [33]χάρις δόματος ἔναντι παντὸς ζῶντος,
καὶ ἐπὶ νεκρῷ μὴ ἀποκωλύσῃς χάριν.
(38) 34 [34]μὴ ὑστέρει ἀπὸ κλαιόντων,
καὶ μετὰ πενθούντων πένθησον.
(39) 35 [35]μὴ ὄκνει ἐπισκέπτεσθαι ἄρρωστον·
ἐκ γὰρ τῶν τοιούτων ἀγαπηθήσῃ.
(40) 36 [36]ἐν πᾶσι τοῖς λόγοις σου μιμνήσκου τὰ ἔσχατά σου,
καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις.

VIII 1 [1]Μὴ διαμάχου μετὰ ἀνθρώπου δυνάστου,
μή ποτε ἐμπέσῃς εἰς τὰς χεῖρας αὐτοῦ.
2 [2]μὴ ἔριζε μετὰ ἀνθρώπου πλουσίου,
μή ποτε ἀντιστήσῃ σου τὴν ὁλκήν·
(3) [3]πολλοὺς γὰρ ἀπώλεσεν τὸ χρυσίον,
καὶ καρδίας βασιλέων ἐξέκλινεν.
(4) 3 [3]μὴ διαμάχου μετὰ ἀνθρώπου γλωσσώδους,
καὶ μὴ ἐπιστοιβάσῃς ἐπὶ τὸ πῦρ αὐτοῦ ξύλα.
(5) 4 [4]μὴ πρόσπαιζε ἀπαιδεύτῳ,
ἵνα μὴ ἀτιμάζωνται οἱ πρόγονοί σου.
(6) 5 [5]μὴ ὀνείδιζε ἄνθρωπον ἀποστρέφοντα ἀπὸ ἁμαρτίας·
μνήσθητι ὅτι πάντες ἐσμὲν ἐν ἐπιτίμοις.
(7) 6 [6]μὴ ἀτιμάσῃς ἄνθρωπον ἐν γήρει αὐτοῦ,
καὶ γὰρ ἐξ ἡμῶν γηράσκουσιν.
(8) 7 [7]μὴ ἐπίχαιρε ἐπὶ νεκρῷ·
μνήσθητι ὅτι πάντες τελευτῶμεν.
(9) 8 [8]μὴ παρίδῃς διήγημα σοφῶν,
καὶ ἐν ταῖς παροιμίαις αὐτῶν ἀναστρέφου·
(10) [10]ὅτι παρ' αὐτῶν μαθήσῃ παιδείαν
καὶ λειτουργῆσαι μεγιστᾶσιν.
(11) 9 [9]μὴ ἀστόχει διηγήματος γερόντων,
καὶ γὰρ αὐτοὶ ἔμαθον παρὰ τῶν πατέρων αὐτῶν·
(12) [12]ὅτι παρ' αὐτῶν μαθήσῃ σύνεσιν καὶ ἐν καιρῷ χρείας
δοῦναι ἀπόκρισιν.

33 χαρις] χαρισμα ℵ **35** αρρωστον] + ανθρωπον (sic) ℵ **36** πασιν A ℵA
VIII **2** αντιστησηση B* (-στηση B[b]) αντιστη A | την ολκην σου ℵ* (σου την o. ℵ[c.a]) **5** επιτιμιοις B[ab]ℵ[c.c(vid)] **6** ανθρωπον] ανδρα A | γηρα ℵA
8 παρειδης B* (παριδ. B[b]) A | παιδειαν (-διαν A)] σοφιαν ℵ

B [10]μὴ ἔκκαιε ἄνθρακας ἁμαρτωλοῦ, 10 (13)
μὴ ἐμπυρισθῇς ἐν πυρὶ φλογὸς αὐτοῦ.
[11]μὴ ἐξαναστῇς ἀπὸ προσώπου ὑβριστοῦ, 11 (14)
ἵνα μὴ ἐνκαθίσῃ ὡς ἔνεδρον τῷ στόματί σου.
[12]μὴ δανίσῃς ἀνθρώπῳ ἰσχυροτέρῳ σου, 12 (15)
καὶ ἐὰν δανίσῃς, ὡς ἀπολωλεκὼς γίνου.
[13]μὴ ἐγγυήσῃ ὑπὲρ δύναμίν σου, 13 (16)
καὶ ἐὰν ἐγγυήσῃ, ὡς ἀποτίσων φρόντιζε.
[14]μὴ δικάζου μετὰ κριτοῦ· 14 (17)
κατὰ γὰρ τὴν δόξαν αὐτοῦ κρινοῦσιν αὐτῷ.
[15]μετὰ τολμηροῦ μὴ πορεύου ἐν ὁδῷ, 15 (18)
ἵνα μὴ καταβαρύνηται κατὰ σοῦ·
§ C [§]αὐτὸς γὰρ κατὰ τὸ θέλημα αὐτοῦ ποιήσει,
καὶ τῇ ἀφροσύνῃ αὐτοῦ συναπολῇ.
[16]μετὰ θυμώδους μὴ ποιήσῃς μάχην, 16 (19)
καὶ μὴ διαπορεύου μετ' αὐτοῦ τὴν ἔρημον·
ὅτι ὡς οὐδὲν ἐν ὀφθαλμοῖς αὐτοῦ αἷμα,
καὶ ὅπου οὐκ ἔστιν βοήθεια καταβαλεῖ σε.
[17]μετὰ μωροῦ μὴ συμβουλεύου, 17 (20)
οὐ γὰρ δυνήσεται λόγον στέξαι.
[18]ἐνώπιον ἀλλοτρίου μὴ ποιήσῃς κρυπτόν, 18 (21)
οὐ γὰρ γινώσκεις τί τέξεται.
[19]παντὶ ἀνθρώπῳ μὴ ἔκφαινε σὴν καρδίαν, 19 (22)
καὶ μὴ ἀναφερέτω σοι χάριν.

[1]Μὴ ζήλου γυναῖκα τοῦ κόλπου σου, 1 IX
μηδὲ διδάξῃς ἐπὶ σεαυτὸν παιδείαν πονηράν·
[2]μὴ δῷς γυναικὶ τὴν ψυχήν σου, 2
ἐπιβῆναι αὐτὴν ἐπὶ τὴν ἰσχύν σου.
[3]μὴ ὑπάντα γυναικὶ ἑταιριζομένῃ, 3
μή ποτε ἐμπέσῃς εἰς τὰς παγίδας αὐτῆς.

ℵAC **10** εκκεαι B εκκεε A | ανθρακα ℵ* (-κας ℵc.a) | ενπυρισθης ℵA **11** εγκαθισηι $B^{b}A$ (εγκαθεισ.) **12** δανεισης bis B^{ab} **13** αποτιζων B* (-σων B^{ab}) **15** καταβαρυνηται] βαρυνη τα ℵ* βαρυνηται ℵc.aA | φροσυνη ℵ* (αφρ. ℵ1) **16** ποιησης] ποιησις C | εστι C | καταβαλλει ℵ* (-βαλει ℵc.a) **17** συνβουλευου ℵ **19** σην (η vel non inst B^{b} vel instaurata evan) καρδιαν] καρδιαν σου ℵA IX **1** παιδειαν (-διαν AC)] καρδιαν ℵ (pr ε ℵ* improb ε et καρ ex πι (? παι) fec ℵ1 (vid))

4 [4]μετὰ ψαλλούσης μὴ ἐνδελέχιζε, B
μή ποτε ἁλῷς ἐν τοῖς ἐπιχειρήμασιν αὐτῆς.
5 [5]παρθένον μὴ καταμάνθανε,
μή ποτε σκανδαλισθῇς ἐν τοῖς ἐπιτιμίοις αὐτῆς.
6 [6]μὴ δῷς πόρναις τὴν ψυχήν σου,
ἵνα μὴ ἀπολέσῃς τὴν κληρονομίαν σου.
7 [7]μὴ περιβλέπου ἐν ῥύμαις πόλεως,
καὶ ἐν ταῖς ἐρήμοις αὐτῆς μὴ πλανῶ.
8 [8]ἀπόστρεψον ὀφθαλμὸν ἀπὸ γυναικὸς εὐμόρφου,
καὶ μὴ καταμάνθανε κάλλος ἀλλότριον·
(9) [9]ἐν κάλλει γυναικὸς πολλοὶ ἐπλανήθησαν,
καὶ ἐκ τούτου φιλία ὡς πῦρ ἀνακαίεται.
(12) 9 [9]μετὰ ὑπάνδρου γυναικὸς μὴ κάθου τὸ σύνολον,
(13) [13]καὶ μὴ συμβολοκοπήσῃς μετ' αὐτῆς ἐν οἴνῳ·
μή ποτε ἐκκλίνῃ ἡ ψυχή σου ἐπ' αὐτήν,
καὶ τῷ πνεύματί σου ὀλισθήσῃς εἰς ἀπώλειαν.

(14) 10 [10]Μὴ ἐγκαταλίπῃς φίλον ἀρχαῖον,
ὁ γὰρ πρόσφατος οὐκ ἔστιν ἔφισος αὐτῷ·
(15) [15]οἶνος νέος φίλος νέος·
ἐὰν παλαιωθῇ, μετ' εὐφροσύνης πίεσαι αὐτόν.
(16) 11 [11]μὴ ζηλώσῃς δόξαν ἁμαρτωλοῦ·
οὐ γὰρ οἶδας τί ἔσται ἡ καταστροφὴ αὐτοῦ.
(17) 12 [12]μὴ εὐδοκήσῃς ἐν εὐδοκίᾳ ἀσεβῶν,
μνήσθητι ὅτι ἕως ᾅδου οὐ μὴ δικαιωθῶσιν.
(18) 13 [13]μακρὰν ἄπεχε ἀπὸ ἀνθρώπου ὃς ἔχει ἐξουσίαν τοῦ φονεῦσαι,
καὶ οὐ μὴ ὑποπτεύσῃς φόβον θανάτου·

4 ψαλλουσης] superscr λυριζούσης B^a | ενδελεχιζε] superscr συνήθιζε B^a | ℵAC αλως] adnot πιασθεῖς B^{amg} **5** σκανδαλισθης] σκανδαλιση (σ 1° ex ε ut vid) σε ℵ **6** ινα μη απολ. την κλ. σου] ινα μη ατιμαζωνται οι προγονοι σου ℵ* (hab ινα μη απολ. τῆ κλ. σου $ℵ^{c.a}$) **7** ερημοις] ρυμαις ℵ* (ερ. $ℵ^{c.a}$) **8** οφθαλμον]+σου $ℵ^{c.a}$C | om και 1° C | καταμανθανε καλλος αλλοτριον] ανε καλλος αλλοτρι sup ras C^a | εκ τουτου] pr η C **9** μετα sup ras A^a | συνβολοκοπησης ℵ | εν οινω μετ αυτης $ℵ^{c.a}$ | επ] εις C | ολισθησης] ολισθης ℵC ολισθηση A **10** ενκαταλιπης ℵ εγκαταλειπης A | εφ' ισος B^* (apostr non inst B^b) επισος A | εαν]+δε C | μετ] ετ ℵ* (μ. $ℵ^{c.a}$) | ευφροσυνη A **11** τι] τις ℵ* (s ras $ℵ^2$) A **12** om εν ℵAC | ευδοκιαις ℵC (-κειαις) | δικαιωθωσι C **13** εξουσιας ℵ* (-σιαν $ℵ^{c.a}$) | φονευσαι] φονευειν B^{ab}ℵAC | υποπτευσης] υποπνευσης C | φοβω ℵ* (φοβον $ℵ^{c.a}$)

B [19]κἂν προσέλθῃς, μὴ πλημμελήσῃς, (19)
ἵνα μὴ ἀφέληται τὴν ζωήν σου·
[20]ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, (20)
καὶ ἐπὶ ἐπάλξεων πόλεων περιπατεῖς.
[14]κατὰ τὴν ἰσχύν σου στόχασαι τοὺς πλησίον, 14 (21)
καὶ μετὰ σοφῶν συμβουλεύου·
[15]καὶ μετὰ συνετῶν ἔστω ὁ διαλογισμός σου, 15 (22)
καὶ πᾶσα διήγησίς σου ἐν νόμῳ Ὑψίστου.
[16]ἄνδρες δίκαιοι ἔστωσαν σύνδειπνοί σου, 16 (23)
καὶ ἐν φόβῳ Κυρίου ἔστω τὸ καύχημά σου.
[17]ἐν χειρὶ τεχνιτῶν ἔργον ἐπαινεσθήσεται, 17 (24)
καὶ ὁ ἡγούμενος λαοῦ σοφὸς ἐν λόγῳ αὐτοῦ.
[18]φοβερὸς ἐν πόλει αὐτοῦ ἀνὴρ γλωσσώδης, 18 (25)
καὶ ὁ προπετὴς ἐν λόγῳ αὐτοῦ μισηθήσεται.

[1]Κριτὴς σοφὸς παιδεύσει τὸν λαὸν αὐτοῦ, 1 X
καὶ ἡγεμονία συνετοῦ τεταγμένη ἔσται.
[2]κατὰ τὸν κριτὴν τοῦ λαοῦ αὐτοῦ οὕτως καὶ οἱ λειτουργοὶ 2
αὐτοῦ,
καὶ κατὰ τὸν ἡγούμενον τῆς πόλεως πάντες οἱ κατοι-
κοῦντες αὐτήν.
[3]βασιλεὺς ἀπαίδευτος ἀπολεῖ τὸν λαὸν αὐτοῦ, 3
καὶ πόλις οἰκισθήσεται ἐν συνέσει δυναστῶν.
[4]ἐν χειρὶ Κυρίου ἐξουσία τῆς γῆς, 4
καὶ τὸν χρήσιμον ἐγερεῖ εἰς καιρὸν ἐπ' αὐτῆς.
[5]ἐν χειρὶ Κυρίου εὐοδία ἀνδρός, 5
καὶ προσώπῳ γραμματέως ἐπιθήσει δόξαν αὐτοῦ.

[6]Ἐπὶ παντὶ ἀδικήματι μὴ μηνιάσῃς τῷ πλησίον, 6
καὶ μὴ πρᾶσσε μηδὲν ἐν ἔργοις ὕβρεως.

ℵAC **13** *καν*] *και μην* ℵ* (*καν* ℵ$^{c.a}$) | *αφελη* A | *παγιδος* A | *διαβεννεις* C | *πολεως* ℵ* (-*λεων* ℵ$^{c.a}$) C **14** *τους πλησιον*] *τω πλ.* A *του πλ.* C | *συμβουλευου*] *βουλευου* ℵA **15** om *και* 1° ℵAC | *διηγησις*] pr *η* ℵ$^{c.a}$AC **16** om *σου* 2° C **17** *επαινεθησεται* B^{b}ℵ$^{?}$C (*επενεθ.*) | *λογοις* ℵ* (-*γω* ℵ$^{c.a}$) **18** *πολει*] *λογω* C | *πρεπετης* A | *λογω*] ...*ω* C (ras aliq C$^{a\,vid}$) X **1** om *και* C **2** om *αυτου* 1° ℵ$^{c.a}$ | om *και* 1° ℵ* (hab *ȝ* ℵ$^{c.a}$) AC | *αυτην*] *αυτης* C **4** *εξουσια*] pr *η* ℵA | *εγειρει* C **4—5** inter *καιρον* et *ανδρος* ras plus quam 3 stichos C$^{?}$ **5** *γραμματεως*] pr vid *δοξης* ℵ$^{c.a}$ | om *αυτου* ℵ$^{c.a}$ **6** *μηνισης* ℵC$^{a\,vid}$ *μινησης* A

7 [7]μισητὴ ἔναντι Κυρίου καὶ ἀνθρώπων ὑπερηφανία, B
καὶ ἐξ ἀμφοτέρων πλημμελήσει ἄδικα.
8 [8]βασιλεία ἀπὸ ἔθνους εἰς ἔθνος μετάγεται
διὰ ἀδικίας καὶ ὕβρεις καὶ χρήματα.
9 [9]τί ὑπερηφανεύεται γῆ καὶ σποδός;
ὅτι ἐν ζωῇ ἔρριψα τὰ ἐνδόσθια αὐτοῦ.
(12) 10 [10]μακρὸν ἀρρώστημα, σκώπτει ἰατρός·
καὶ βασιλεὺς σήμερον, καὶ αὔριον τελευτήσει.
(13) 11 [11]ἐν γὰρ τῷ ἀποθανεῖν ἄνθρωπον κληρονομήσει ἑρπετὰ καὶ
θηρία, σκώληκας.
(14) 12 [12]ἀρχὴ ὑπερηφανίας ἀνθρώπου ἀφισταμένου ἀπὸ Κυρίου,
(15) [(15)]καὶ ἀπὸ τοῦ ποιήσαντος αὐτὸν ἀπέστη ἡ καρδία αὐτοῦ.
13 [13]ὅτι ἀρχὴ ὑπερηφανίας ἁμαρτία,
καὶ ὁ κρατῶν αὐτῆς ἐξομβρήσει βδέλυγμα.
(16) [(16)]διὰ τοῦτο παρεδόξασεν Κύριος τὰς ἐπαγωγάς,
καὶ κατέστρεψεν εἰς τέλος αὐτούς·
(17) 14 [14]θρόνους ἀρχόντων καθεῖλεν ὁ κύριος,
καὶ ἐκάθισεν πραεῖς ἀντ' αὐτῶν·
(18) 15 [15]ῥίζας ἐθνῶν ἐξέτιλεν ὁ κύριος,
καὶ ἐφύτευσεν ταπεινοὺς ἀντ' αὐτῶν·
(19) 16 [16]χώρας ἐθνῶν κατέστρεψεν ὁ κύριος,
καὶ ἀπώλεσεν αὐτὰς ἕως θεμελίων γῆς·
(20) 17 [17]ἐξήρανεν ἐξ αὐτῶν καὶ ἀπώλεσεν αὐτούς,
καὶ κατέπαυσεν ἀπὸ γῆς τὸ μνημόσυνον αὐτῶν.
(22) 18 [18]οὐκ ἔκτισται ἀνθρώποις ὑπερηφανία,
οὐδὲ ὀργὴ θυμοῦ γεννήμασιν γυναικῶν.
(23) 19 [19]σπέρμα ἔντιμον ποῖον; σπέρμα ἀνθρώπου·
σπέρμα ἔντιμον ποῖον; οἱ φοβούμενοι τὸν κύριον.
σπέρμα ἄτιμον ποῖον; σπέρμα ἀνθρώπου·

7 υπερηφανια] pr η ℵ$^{c.a, c.c}$ | πλημμελησει ℵ*A πλημμελια ℵ$^{c.a}$ | αδικια ℵAC ℵΑ αδικιαν C **8** υβρις ℵA **9** τι]+η C | υπερηφανευται C | εν ζωη ερριψα] και εν γη αυτου εκριψι ℵ$^{c.a}$ **10** σκοπτει C | ιατρον ℵ$^{c.a}$ | σημερον και αυριον] σ. και αυτος αυριον ℵ* ος σ. αυριον δε ℵ$^{c.a}$ | τελευτησει] τελευτα C **11** αποθνειν ℵ* (αποθαν. ℵ^{1}) | ανθρωπον] αυτον C | om σκωληκας ℵ* ϗ σκωληκες ℵ$^{c.a}$ και σκωληκας AC **12** απεστη] αφεστη C **13** υπερηφανια A* (-νιας A$^{a?}$) | αμαρτιας A* (-τια A$^{a?(vid)}$) | τελος] τελου A **15** εξετιλεν ℵ$^{c.a\,(vid),\,c.c}$C (-τειλ. BA)] εξειλεν ℵ* | ο κυριος] om ο ℵ **16** εως] εκ ℵ$^{c.a}$C **17** εξηρανεν] εξηρεν ℵAC | εξ αυτων] αυτους ℵ$^{c.a}$A αυτας C | αυτους] αυτας C | απο] εκ ℵ **18** γεννημασιν (-σι ℵ)] pr εν ℵ$^{1\,(vid)\,c.c}$ **19** σπερμα...ανθρωπου (1°) ras C$^{?}$

B σπέρμα ἄτιμον ποῖον; οἱ παραβαίνοντες ἐντολάς.
[20]ἐν μέσῳ ἀδελφῶν ὁ ἡγούμενος αὐτῶν ἔντιμος, 20 (24)
καὶ οἱ φοβούμενοι Κύριον ἐν ὀφθαλμοῖς αὐτοῦ.
[22]πλούσιος καὶ ἔνδοξος καὶ πτωχός, 22 (25)
τὸ καύχημα αὐτῶν φόβος Κυρίου.
[23]οὐ δίκαιον ἀτιμάσαι πτωχὸν συνετόν, 23 (26)
καὶ οὐ καθῆκεν δοξάσαι ἄνδρα ἁμαρτωλόν.
[24]μεγιστὰν καὶ κριτὴς καὶ δυνάστης δοξασθήσεται, 24 (27)
καὶ οὐκ ἔστιν αὐτῶν τις μείζων τοῦ φοβουμένου τὸν κύριον.
[25]οἰκέτῃ σοφῷ ἐλεύθεροι λειτουργήσουσιν, 25 (28)
καὶ ἀνὴρ ἐπιστήμων οὐ γογγύσει.

[26]Μὴ σοφίζου ποιῆσαι τὸ ἔργον σου, 26 (29)
καὶ μὴ δοξάζου ἐν καιρῷ στενοχωρίας σου.
[27]κρείσσων ἐργαζόμενος ἐν πᾶσιν ἢ περιπατῶν, 27 (30)
ἢ δοξαζόμενος καὶ ἀπορῶν ἄρτων.
[28]τέκνον, ἐν πραΰτητι δόξασον τὴν ψυχήν σου, 28 (31)
καὶ δὸς αὐτῇ τιμὴν κατὰ τὴν ἀξίαν αὐτῆς.
[29]τὸν ἁμαρτάνοντα εἰς τὴν ψυχὴν αὐτοῦ τίς δικαιώσει; 29 (32)
καὶ τίς δοξάσει τὸν ἀτιμάζοντα τὴν ζωὴν αὐτοῦ;
[30]πτωχὸς δοξάζεται δι' ἐπιστήμην αὐτοῦ, 30 (33)
καὶ πλούσιος δοξάζεται διὰ τὸν πλοῦτον αὐτοῦ.
[31]ὁ δὲ δοξαζόμενος ἐν πτωχείᾳ, καὶ ἐν πλούτῳ ποσαχῶς; 31 (34)
καὶ ὁ ἄδοξος ἐν πλούτῳ, ἐν πτωχείᾳ ποσαχῶς;
[1]σοφία ταπεινοῦ ἀνύψωσεν κεφαλήν, 1 XI
καὶ ἐν μέσῳ μεγιστάνων καθίσει αὐτόν.
[2]μὴ αἰνέσῃς ἄνδρα ἐν κάλλει αὐτοῦ, 2

ℵAC **19** om ποιον 4° ℵ* (hab ℵ$^{c.a}$) **22** και πτωχος] πτωχος και πενης C **23** καθηκει ℵ **24** μεγιστας C | τις αυτων ℵ | των φοβουμενων AC **25** σοφω] συνετω ℵ* (σοφ. ℵ$^{c.a}$) ante σοφ. ras 1 lit C$^{?}$ **26** δοξασου ℵ **27** εν πασιν] pr η και περισσευων ℵ* pr και περισσευων ℵ^{1}A pr εν πασιν και περισσευων ℵ$^{c.a}$ | η περιπατων] om ℵ c seqq coniung A | om η 2° AC^{a} | απορων] υστερων A **28** τη ψυχη C | τιμη ℵ* (-μην ℵ^{1}) **29** την ψυχην] om την A | δοξαζει ℵ **30** επιστημην ℵ* (-μης ℵ$^{c.a}$) **31** δε δοξαζομενος] om δε ℵ δεδοξασμενος AC | πτωχεια 1°] πλουτω ℵ | πλουτω 1°] πτωχια ℵ | ποσαχως 1°] ποσαπλως ℵ | πλουτω 2°] πτωχια ℵC | εν 4°] pr και B^{ab}ℵ$^{c.a}$AC | πτωχεια 2° (-χια A)] πλουτω ℵC | ποσαχως 2° (προσαχως C)] ποσαπλως ℵ$^{c.a}$ XI **1** ανυψωσει ℵA ανυψωσαι C | κεφαλην]+αυτου ℵAC | καθιση ℵ* (-σι ℵ$^{c.a(vid)}$ -σει ℵ$^{c.c}$) C καθησει A **2** ανδρα] ανον ℵ

καὶ μὴ βδέλυξῃ ἄνθρωπον ἐν ὁράσει αὐτοῦ. B

3 [3]μικρὰ ἐν πετεινοῖς μέλισσα,
καὶ ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς.

4 [4]ἐν περιβολῇ ἱματίων μὴ καυχήσῃ,
καὶ ἐν ἡμέρᾳ δόξης μὴ ἐπαίρου·
ὅτι θαυμαστὰ τὰ ἔργα Κυρίου,
καὶ κρυπτὰ τὰ ἔργα αὐτοῦ ἐν ἀνθρώποις.

5 [5]πολλοὶ τύραννοι ἐκάθισαν ἐπὶ ἐδάφους,
ὁ δὲ ἀνυπονόητος ἐφόρεσεν διάδημα·

6 [6]πολλοὶ δυνάσται ἠτιμάσθησαν σφόδρα,
καὶ ἔνδοξοι παρεδόθησαν εἰς χεῖρας ἑταίρων.

7 [7]πρὶν ἐξετάσῃς μὴ μέμψῃ,
νόησον πρῶτον καὶ τότε ἐπιτίμα.

8 [8]πρὶν ἢ ἀκοῦσαι μὴ ἀποκρίνου,
καὶ ἐν μέσῳ λόγων μὴ παρεμβάλλου.

9 [9]περὶ πράγματος οὗ οὐκ ἔστιν σοι χρεία μὴ ἔριζε,
καὶ ἐν κρίσει ἁμαρτωλῶν μὴ συνέδρευε.

10 [10]τέκνον, μὴ περὶ πολλὰ ἔστωσαν αἱ πράξεις σου·
ἐὰν πληθύνῃς, οὐκ ἀθῳωθήσῃ·
καὶ ἐὰν διώκῃς, οὐ μὴ καταλάβῃς,
καὶ οὐ μὴ ἐκφύγῃς διαδράς.

11 [11]ἔστιν κοπιῶν καὶ πονῶν καὶ σπεύδων,
καὶ τόσῳ μᾶλλον ὑστερεῖται.

12 [12]ἔστιν νωθρὸς καὶ προσδεόμενος ἀντιλήμψεως,
ὑστερῶν ἰσχύι καὶ πτωχείᾳ περισσεύει·

(13) [13]καὶ οἱ ὀφθαλμοὶ Κυρίου ἐπέβλεψαν αὐτῷ εἰς ἀγαθά,
καὶ ἀνώρθωσεν αὐτὸν ἐκ ταπεινώσεως αὐτοῦ,

13 [13]καὶ ἀνύψωσεν κεφαλὴν αὐτοῦ,
καὶ ἀπεθαύμασαν ἐπ' αὐτῷ πολλοί.

14 [14]ἀγαθὰ καὶ κακά, ζωὴ καὶ θάνατος,

2 *ανθρωπον*] *ανδρα* ℵC | *ορασει*] *θρασει* ℵ (*καλλ incep* ℵ* *improb* ℵ[1]) ℵAC **3** *μελισσα*] pr *η* ℵC | *αυτης*]+ *εστι* ℵ[c.a] **4** om *εν* 3° ℵA **6** *δυναστοι* ℵ* (*-ται* ℵ[c.a]) | *εταιρων*] *ετερων* B[ab]AC **7** *πριν*]+ *η* ℵA **8** om *η* ℵAC **9** om *χρεια* ℵAC* *vid* (hab *χρια* C[a]) **10** *πραξις* A | *εαν* 1°]+ *γαρ* ℵ | *αθωωθησῃ* B[a fort b] (*αθωωθ.* B*AC *αθωοθ.* ℵ[c.a])] *αθωος εσῃ* ℵ* **11** *τοσω* B*ℵ[c.a]C] *τοσουτω* B[a fort b]ℵ* *ποσω* A **12** om *και* 1° ℵ* (hab *χ* ℵ[c.a])A | *προσδεομενος*] *δεομενος* C | *ισχυι*] pr *εν* ℵ[c.a, c.c] | *πτωχια* C | *περισσευων* ℵ | *ο οφθαλμος* ℵ* (*οι οφθαλμοι* ℵ[c.a]) | *επεβλεψεν* ℵ* (*-ψαν* ℵ[c.a]) | *ανωρθωσαν* C **13** *απεθαυμασαν*] *ανεθαυμασαν* A[?vid] *εθαυμασαν* C[a] **14** *κακα*] *κα* B* (*κακα* B[a fort b])

B πτωχεία καὶ πλοῦτος παρὰ Κυρίου ἐστίν.

¶ C [17]Δύσις Κυρίου παραμένει εὐσεβέσιν,¶ 17
καὶ ἡ εὐδοκία αὐτοῦ εἰς τὸν αἰῶνα εὐοδωθήσεται.
[18]ἔστιν πλουτῶν ἀπὸ προσοχῆς καὶ σφιγγίας αὐτοῦ, 18
καὶ αὕτη ἡ μερὶς τοῦ μισθοῦ αὐτοῦ·
[19]ἐν τῷ εἰπεῖν αὐτόν Εὗρον ἀνάπαυσιν, 19
καὶ νῦν φάγομαι ἐκ τῶν ἀγαθῶν μου,
[(20)]καὶ οὐκ οἶδεν τίς καιρὸς παρελεύσεται, (20)
καὶ καταλείψει αὐτὰ ἑτέροις καὶ ἀποθανεῖται.
[20]στῆθι ἐν διαθήκῃ σου καὶ ὁμίλει ἐν αὐτῇ, 20 (21)
καὶ ἐν τῷ ἔργῳ σου παλαιώθητι.
[21]μὴ θαύμαζε ἐν ἔργοις ἁμαρτωλοῦ· 21 (22)
πίστευε τῷ κυρίῳ καὶ ἔμμενε τῷ πόνῳ σου·
[(23)]ὅτι κοῦφον ἐν ὀφθαλμοῖς Κυρίου διὰ τάχους ἐξάπινα πλου- (23)
τίσαι πένητα.
[22]εὐλογία Κυρίου ἐν μισθῷ εὐσεβοῦς, 22 (24)
καὶ ἐν ὥρᾳ ταχινῇ ἀναθάλλει εὐλογίαν αὐτοῦ.
[23]μὴ εἴπῃς Τίς ἐστίν μου χρεία, 23 (25)
καὶ τίνα ἀπὸ τοῦ νῦν ἔσται μου τὰ ἀγαθά;
[24]μὴ εἴπῃς Αὐτάρκη μοί ἐστιν, 24 (26)
καὶ τί ἀπὸ τοῦ νῦν κακωθήσομαι;
[25]ἐν ἡμέρᾳ ἀγαθῶν ἀμνησία κακῶν, 25 (27)
καὶ ἐν ἡμέρᾳ κακῶν οὐ μνησθήσεται ἀγαθῶν·
[26]ὅτι κοῦφον ἔναντι Κυρίου ἐν ἡμέρᾳ τελευτῆς 26 (28)
ἀποδοῦναι ἀνθρώπῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ.
[27]κάκωσις ὥρας ἐπιλησμονὴν ποιεῖ τρυφῆς, 27 (29)
καὶ ἐν συντελείᾳ ἀνθρώπου ἀποκάλυψις ἔργων αὐτοῦ.
[28]πρὸ τελευτῆς μὴ μακάριζε μηδένα, 28 (30)
καὶ ἐν τέκνοις αὐτοῦ γνωσθήσεται ἀνήρ.

[29]Μὴ πάντα ἄνθρωπον εἴσαγε εἰς τὸν οἶκόν σου· 29 (31)
πολλὰ γὰρ τὰ ἔνεδρα τοῦ δολίου.

ℵAC **14** πτωχια C **17** δοσεις A | ευσεβεσιν] ευλαβεσιν ℵ$^{c.a}$ | ευοδωθησεται] ευ δοθησεται ℵ **18** πλουτων] ν sup ras A^{a} | του μισθου] pr απο ℵ* (om απο ℵ$^{c.a}$) **21** πιστευε] + δε ℵA | τω κυριω] om τω ℵA | πλουτησαι A **22** εν μισθω] εμμεσω A **23** μου 2°] μοι ℵ* (μου ℵ$^{c.a}$) | τα αγαθα] om τα ℵ* (hab τα ℵ$^{c.a}$) **25** αγαθων] αγαθη A **26** εναντι] εν οφθαλμοις A **27** αποκαλυψεις ℵA **28** om ανηρ A

(32) 30 [30]πέρδιξ θηρευτὴς ἐν καρτάλλῳ· B
οὕτως καρδία ὑπερηφάνου,
καὶ ὡς ὁ κατάσκοπος ἐπιβλέπει πτῶσιν.
(33) 31 [31]τὰ γὰρ ἀγαθὰ εἰς κακὰ μεταστρέφων ἐνεδρεύει,
καὶ ἐν τοῖς αἱρετοῖς ἐπιθήσει μῶμον.
(34) 32 [32]ἀπὸ σπινθῆρος πυρὸς πληθυνθήσεται ἀνθρακιά,
καὶ ἄνθρωπος ἁμαρτωλὸς εἰς αἷμα ἐνεδρεύει.
(35) 33 [33]πρόσεχε ἀπὸ κακούργου, πονηρὰ γὰρ τεκταίνει,
μή ποτε μῶμον εἰς τὸν αἰῶνα δῷ σοι.
(36) 34 [34]ἐνοίκισον ἀλλότριον, καὶ διαστρέψει σε ἐν ταραχαῖς
καὶ ἀπαλλοτριώσει σε τῶν ἰδίων σου.
XII 1 [1]ἐὰν εὖ ποιῇς, γνῶθι τίνι ποιεῖς,
καὶ ἔσται χάρις τοῖς ἀγαθοῖς σου.
2 [2]εὖ ποίησον εὐσεβεῖ, καὶ εὑρήσεις ἀνταπόδομα,
καὶ εἰ μὴ παρὰ αὐτοῦ, ἀλλὰ παρὰ Ὑψίστου.
3 [3]οὐκ ἔστιν ἀγαθὰ τῷ ἐνδελεχίζοντι εἰς κακὰ
καὶ τῷ ἐλεημοσύνην μὴ χαριζομένῳ.
(5) 4 [4]δὸς τῷ εὐσεβεῖ, καὶ μὴ ἀντιλάβῃ τοῦ ἁμαρτωλοῦ.
(6) 5 [5]εὖ ποίησον τῷ ταπεινῷ καὶ μὴ δῷς ἀσεβεῖ·
ἐμπόδισον τοὺς ἄρτους αὐτοῦ καὶ μὴ δῷς αὐτῷ,
ἵνα μὴ ἐν αὐτοῖς σε δυναστεύσῃ·
(7) [7]διπλάσια γὰρ κακὰ εὑρήσεις
ἐν πᾶσιν ἀγαθοῖς οἷς ἂν ποιήσῃς αὐτῷ.
6 [6]ὅτι καὶ ὁ ὕψιστος ἐμίσησεν ἁμαρτωλούς,
καὶ τοῖς ἀσεβέσιν ἀποδώσει ἐκδίκησιν.
(5) 7 [7]δὸς τῷ ἀγαθῷ, καὶ μὴ ἀντιλάβῃ τοῦ ἁμαρτωλοῦ.

8 [8]Οὐκ ἐκδικηθήσεται ἐν ἀγαθοῖς ὁ φίλος,
καὶ οὐ κρυβήσεται ἐν κακοῖς ὁ ἐχθρός.

30 καρταλλω]+αυτου ℵ* (improb αυτ. ℵ$^{c.a}$) | γαρ δια A* (καρδια A$^{a?}$) | ℵA επιβλεπτει B* (-πει B^{b}) **31** αιρετοις] ετεροις A **32** πληθυνθησεται] πληθυνεται B^{ab}ℵ* (-θησεται ℵ$^{c.a}$) A **33** τεκταινεται ℵ* (-νει ℵ$^{c.a}$) **34** ταραχη ℵ XII **2** ανταποδωμα A | παρα 1°] παρ ℵA | Ὑψιστου] pr του ℵA **3** εστιν] εσται ℵA | ελεημοσυνην] pr μη ℵ* (improb μη ℵ$^{c.a}$) **4** αντιλαβη] αντιλαμβανου A | του αμαρτωλου] om του ℵ **5** τω ταπεινω] om τω ℵA | ασεβει] pr τω ℵ$^{c.a}$ | om αυτου ℵ* (hab ℵ$^{c.a}$) | κακα ευρησεις] κακα· ευρησουσιν A | αν] εαν ℵA | ποιης ℵ* (ποιησης ℵ$^{c.a}$) **6** αποδωσει] αποδω εις A **7** αντιλαβου A | του αμαρτωλου] om του ℵA **8** ουκ εκδικηθησεται] ου γνωσθησεται ℵ$^{c.a}$ ουκ ενβληθησεται A

B [9]ἐν ἀγαθοῖς ἀνδρὸς οἱ ἐχθροὶ αὐτοῦ ἐν λύπῃ, 9
καὶ ἐν τοῖς κακοῖς αὐτοῦ καὶ ὁ φίλος διαχωρισθήσεται.
[10]μὴ πιστεύσῃς τῷ ἐχθρῷ σου εἰς τὸν αἰῶνα· 10
ὡς γὰρ ὁ χαλκὸς ἰοῦται, οὕτως ἡ πονηρία αὐτοῦ·
[11]καὶ ἐὰν ταπεινωθῇ καὶ πορεύηται συνκεκυφώς, 11
ἐπίστησον τὴν ψυχήν σου καὶ φύλαξαι ἀπ' αὐτοῦ,
καὶ ἔσῃ αὐτῷ ὡς ἐκμεμαχὼς ἔσοπτρον,
καὶ γνώσῃ ὅτι οὐκ εἰς τέλος κατίωσεν.
[12]μὴ στήσῃς αὐτὸν παρὰ σεαυτόν, 12
μὴ ἀνατρέψας σε στῇ ἐπὶ τὸν τόπον σου·
μὴ καθίσῃς αὐτὸν ἐκ δεξιῶν σου,
μή ποτε ζητήσῃ τὴν καθέδραν σου,
καὶ ἐπ' ἐσχάτῳ ἐπιγνώσῃ τοὺς λόγους μου,
καὶ ἐπὶ τῶν ῥημάτων μου κατανυγήσῃ.
[13]τίς ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκτον 13
καὶ πάντας τοὺς προσάγοντας θηρίοις;
[14]οὕτως τὸν προσπορευόμενον ἀνδρὶ ἁμαρτωλῷ 14
καὶ συνφυρόμενον ἐν ταῖς ἁμαρτίαις αὐτοῦ.
[15]ὥραν μετὰ σοῦ διαμενεῖ, 15 (14)
καὶ ἐὰν ἐκκλίνῃς, οὐ μὴ καρτερήσῃ.
[16]καὶ ἐν τοῖς χείλεσιν αὐτοῦ γλυκανεῖ ὁ ἐχθρός, 16 (15)
καὶ ἐν τῇ καρδίᾳ αὐτοῦ βουλεύσεται ἀνατρέψαι σε εἰς βόθρον·
(16)ἐν ὀφθαλμοῖς αὐτοῦ δακρύσει ὁ ἐχθρός, (16)
§ C [9]καὶ ἐὰν εὕρῃ καιρόν, οὐκ ἐμπλησθήσεται ἀφ' αἵματος·
[17]κακὰ ἂν ὑπαντήσῃ σοι, εὑρήσεις αὐτὸν πρότερον ἐκεῖ σου, 17
(18)καὶ ὡς βοηθῶν ὑποσχάσει πτέρναν σου· (18)
[18]κινήσει τὴν κεφαλὴν αὐτοῦ 18 (19)
καὶ ἐπικροτήσει ταῖς χερσὶν αὐτοῦ,

ℵAC **11** *συγκεκυφως* B^{b}ℵ | *τη ψυχη* A | *κατιωσεν* Bℵ$^{c.a}$ (*καθιωσεν* ℵ*)] *κατιωται* A **12** *σεαυτω* ℵA | *ανατρεψας*] *αναστρεψας* ℵA | *του τοπου* ℵ$^{c.a}$ | *εσχατων* ℵA | *κατανυγηση*]+*μη δεσμευσης δις αμαρτιαν*| *εν γαρ μια ουκ αθωωθηση* $B^{ab\,mg\,sup}$ **13** *ελεησει* ℵ | *παντες* B **14** *συνφυρομενον* (*συμφ.* B^{b}ℵ)] *συμφερομενον* A **15** *καρτερησῃ*] *ρτερηση* sup ras A^{a} **16** *γλυκαινει* ℵ* (-*κανει* ℵ^{c}) | *εχθρος* 1°]+*και πολλα ψιθυρισει και ερει σοι καλα λεγων* $B^{ab\,mg\,inf}$ | *τη καρδια*] om *τη* ℵ* (hab *τη* ℵ$^{c.a}$) | *βουλευσεται*] *τ* sup ras A^{a} | *ανατρεψαι*] *αναστρεψαι* ℵ | om *εν* 3° ℵ* (hab ℵ$^{c.a}$) | om *ουκ* C **17** *αν*] *εαν* ℵA | *υπαντησει* C | *προτερον*] *ρ* 1° sup ras A^{a} | *σου εκει* ℵ$^{c.a}$C **18** *την κεφαλην αυτου κινησει* ℵA (*κειν.*) C | om *αυτου* 2° ℵ* (hab ℵ$^{c.a}$)

καὶ πολλὰ διαψιθυρίσει καὶ ἀλλοιώσει τὸ πρόσωπον B
αὐτοῦ.

XIII 1 [1]Ὁ ἁπτόμενος πίσσης μολυνθήσεται,
καὶ ὁ κοινωνῶν ὑπερηφάνῳ ὁμοιωθήσεται αὐτῷ.
2 [2]βάρος ὑπὲρ σὲ μὴ ἄρῃς,
καὶ ἰσχυροτέρῳ σου καὶ πλουσιωτέρῳ μὴ κοινώνει.
(3) [3]τί κοινωνήσει χύτρα πρὸς λέβητα;
αὕτη προσκρούσει, καὶ αὕτη συντριβήσεται.
(4) 3 [3]πλούσιος ἠδίκησεν, καὶ αὐτὸς προσενεβρυμήσατο·
πτωχὸς ἠδίκηται, καὶ αὐτὸς προσδεηθήσεται.
(5) 4 [4]ἐὰν χρησιμεύσῃς, ἐργᾶται ἐν σοί·
καὶ ἐὰν ὑστερήσῃς, καταλείψει σε·
(6) 5 [5]ἐὰν ἔχῃς, συμβιώσεταί σοι
καὶ ἀποκενώσει σε, καὶ αὐτὸς οὐ πονέσει·
(7) 6 [6]χρείαν ἔσχηκέν σου, καὶ ἀποπλανήσει σε,
καὶ προσγελάσεταί σοι καὶ δώσει σοι ἐλπίδα·
λαλήσει σοι καλὰ καὶ ἐρεῖ Τίς ἡ χρεία σου;
(8) 7 [7]καὶ αἰσχυνεῖ σε ἐν τοῖς βρώμασιν αὐτοῦ,
ἕως οὗ ἀποκενώσῃ σε δὶς ἢ τρίς,
καὶ ἐπ᾽ ἐσχάτῳ καταμωκήσεταί σου·
μετὰ ταῦτα ὄψεταί σε καὶ καταλείψει σε,
καὶ τὴν κεφαλὴν αὐτοῦ κινήσει ἐπὶ σοί.
(10,11) 8 [8]πρόσεχε μὴ ἀποπλανηθῇς, καὶ μὴ ταπεινωθῇς ἐν εὐφρο-
σύνῃ σου.
(12) 9 [9]προσκαλεσαμένου σε δυνάστου ὑποχωρῶν γίνου,
καὶ τόσῳ μᾶλλον προσκαλέσεταί σε·
(13) 10 [10]μὴ ἔμπιπτε, ἵνα μὴ ἀπωσθῇς,
καὶ μὴ μακρὰν ἀφιστῶ, ἵνα μὴ ἐπιλησθῇς.

18 διαψιθυρισει] διαψιθυριζει A ψιθυρισει C XIII **1** μολινθησεται] pr ℵAC ου ℵ* (om ου ℵ$^{c.a}$) | ομοιωθησεται] η sup ras A^{a} **2** πλουσιωτερω (-οτερω A)]+σου ℵA | τι] incep αυ ℵ* (improb αυ ℵ^{1}) | χυτρα] κυθρα ℵ | αυτη 1° C^{a} (de C* non liq) | προσκουση (sic) C | αυτη 2°] ατη C* (αυτ. C^{a}) **3** προσδεηθησεται] προσαπιληθησεται ℵ **4—5** εαν 1°...πονεσει sup ras C^{a} (vid duo tantum stich fuisse sed evan omnia) **5** συμβιωσετα B^{edit} **6** ελπιδαν A | om σοι 3° ℵ | ερει] ερις A **7** αποκενωσει ℵA | εσχατων ℵ$^{c.a}$ (mox ipse revoc -τω) | καταμωκησεται] adnot καταγελάσει ἡ ψέξει B^{amg} | καταλειψει] καλυψει ℵ **8** om μη 2° ℵ **9** μαλλον] ον sup ras A^{a} | σε προσκαλεσεται ℵ σε προσκαλεσητ, A **10** om ινα 1° ℵAC

B [11]μὴ ἔπεχε ἰσηγορεῖσθαι μετ᾽ αὐτοῦ, 11 (14)
καὶ μὴ πίστευε τοῖς πλείοσιν λόγοις αὐτοῦ·
ἐκ πολλῆς γὰρ λαλιᾶς πειράσει σε,
καὶ ὡς προσγελῶν ἐξετάσει σε·
[12]ἀνελεήμων ὁ μὴ συντηρῶν λόγους, 12 (15)
καὶ οὐ μὴ φείσηται περὶ κακώσεως καὶ δεσμῶν.
[13]συντήρησον καὶ πρόσεχε σφοδρῶς, 13 (16)
ὅτι μετὰ τῆς πτώσεώς σου περιπατεῖς.
[15]πᾶν ζῷον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ, 15 (19)
καὶ πᾶς ἄνθρωπος τὸν πλησίον αὐτοῦ·
[16]πᾶσα σὰρξ κατὰ γένος συνάγεται, 16 (20)
καὶ τῷ ὁμοίῳ αὐτοῦ προσκολληθήσεται ἀνήρ.
[17]τί κοινωνήσει λύκος ἀμνῷ; 17 (21)
οὕτως ἁμαρτωλὸς πρὸς εὐσεβῆ.
[18]τίς εἰρήνη ὑαίνῃ πρὸς κύνα; 18 (22)
καὶ τίς εἰρήνη πλουσίῳ πρὸς πένητα;
[19]κυνήγια λεόντων ὄναγροι ἐν ἐρήμῳ· 19 (23)
οὕτως νομαὶ πλουσίων πτωχοί.
[20]βδέλυγμα ὑπερηφάνῳ ταπεινότης, 20 (24)
οὕτως βδέλυγμα πλουσίῳ πτωχός.
[21]πλούσιος σαλευόμενος στηρίζεται ὑπὸ φίλων, 21 (25)
ταπεινὸς δὲ πεσὼν προσαπωθεῖται ὑπὸ φίλων.
[22]πλουσίου σφαλέντος πολλοὶ ἀντιλήμπτορες, 22 (26)
ἐλάλησεν ἀπόρρητα καὶ ἐδικαίωσαν αὐτόν·
[(27)]ταπεινὸς ἔσφαλεν καὶ προσεπετίμησαν αὐτῷ, (27)
ἐφθέγξατο σύνεσιν καὶ οὐκ ἐδόθη αὐτῷ τόπος.
[23]πλούσιος ἐλάλησεν καὶ πάντες ἐσίγησαν, 23 (28)
καὶ τὸν λόγον αὐτοῦ ἀνύψωσαν ἕως τῶν νεφελῶν·
[(29)]πτωχὸς ἐλάλησεν καὶ εἶπαν Τίς οὗτος; (29)
κἂν προσκόψῃ, προσανατρέψουσιν αὐτόν.
[24]ἀγαθὸς ὁ πλοῦτος ᾧ μὴ ἔστιν ἁμαρτία, 24 (30)
καὶ πονηρὰ ἡ πτωχεία ἐν στόμασιν εὐσεβοῦς.

ℵAC **11** *ισηγορεισθαι*] *εισηγορ.* Bℵ* (improb postea ras ε 1° ℵ?) | *μετ*] *μετα* B$^{c\,(vid)}$ | *πλειοσι* ℵ **13** *περιπατεις*] sign prae se fert B$^{?\,(mg)}$ **17** *ευσεβην* Bℵ **20** *ταπεινοτης*] in *π* ras aliq B$^{?}$ *ταπινωσις* A **21** *ταπεινος*] *πτωχος* ℵ* (*ταπ.* ℵ$^{c.a}$) **21**—XIV **4** evan plurima in C **22** *εσφαλη* A **23** *προσανατρεπουσιν* A **24** *αγαθος*] + *εστιν* A | *εστιν*] *προσεστιν* ℵ$^{c.a}$ | *πτωχια* ℵ | *στοματι* ℵA | *ευσεβους*] *ασεβους* ℵA

(31) 25 [25]καρδία ἀνθρώπου ἀλλοιοῖ τὸ πρόσωπον αὐτοῦ, B
ἐὰν εἰς ἀγαθὰ ἐάν τε εἰς κακά.
(32) 26 [26]ἴχνος καρδίας ἐν ἀγαθοῖς πρόσωπον ἱλαρόν,
καὶ εὕρεσις παραβολῶν διαλογισμοὶ μετὰ κόπου.

XIV 1 [1]Μακάριος ἀνὴρ ὃς οὐκ ὠλίσθησεν ἐν στόματι αὐτοῦ,
καὶ οὐ κατενύγη ἐν λύπῃ ἁμαρτίας·
2 [2]μακάριος οὗ οὐ κατέγνω ἡ ψυχὴ αὐτοῦ,
καὶ ὃς οὐκ ἔπεσεν ἀπὸ τῆς ἐλπίδος αὐτοῦ.
3 [3]ἀνδρὶ μικρολόγῳ οὐ καλὸς ὁ πλοῦτος,
καὶ ἀνθρώπῳ βασκάνῳ ἵνα τί χρήματα;
4 [4]ὁ συνάγων ἀπὸ τῆς ψυχῆς αὐτοῦ συνάγει ἄλλοις,
καὶ ἐν τοῖς ἀγαθοῖς αὐτοῦ τρυφήσουσιν ἕτεροι.
5 [5]ὁ πονηρὸς ἑαυτῷ τίνι ἀγαθὸς ἔσται;
καὶ οὐ μὴ εὐφρανθήσεται ἐν τοῖς χρήμασιν αὐτοῦ.
6 [6]τοῦ βασκαίνοντος ἑαυτὸν οὐκ ἔστιν πονηρότερος,
καὶ τοῦτο ἀνταπόδομα τῆς κακίας αὐτοῦ·
7 [7]κἂν εὖ ποιῇ, ἐν λήθῃ ποιεῖ,
καὶ ἐπ᾽ ἐσχάτων ἐκφαίνει τὴν κακίαν αὐτοῦ.
8 [8]πονηρὸς ὁ βασκαίνων ὀφθαλμῷ,
ἀποστρέφων πρόσωπον καὶ ὑπερορῶν ψυχάς.
9 [9]πλεονέκτου ὀφθαλμὸς οὐκ ἐμπίπλαται μερίδι,
καὶ ἀδικία πονηρὰ ἀναξηρανεῖ ψυχήν.
10 [10]ὀφθαλμὸς πονηρὸς φθονερὸς ἐπ᾽ ἄρτῳ,
καὶ ἐνλιπὴς ἐπὶ τῆς τραπέζης αὐτοῦ.

11 [11]Τέκνον, καθὼς ἐὰν ἔχῃς εὖ ποίει σεαυτόν,
καὶ προσφορὰς Κυρίῳ ἀξίως πρόσαγε·
12 [12]μνήσθητι ὅτι θάνατος οὐ χρονιεῖ,
καὶ διαθήκη ᾅδου οὐχ ὑπεδείχθη σοι·
13 [13]πρίν σε τελευτῆσαι εὖ ποίει φίλῳ,

25 εαν 1°]+τε ℵA **26** ευρεσεις A | κοπων ℵA XIV **1** στο- ℵAC
ματι] pr τω A | αμαρτιων ℵA **2** μακαριος]+ανηρ A **4** αλλως A*
(-οις A^{1}) | τρυφησουσιν] εντρυφ. ℵ$^{c.a}$ **6** βασκανοντος A | εαυτον] αυτον ℵ*
(εαυτ. ℵ^{1}) **7** εκφανει ℵ$^{?}$ **8** οφθαλμω] οφθαλμον εαυτου A οφθαλμοις C
9 πλεονεκτου]+δε A | ουκ εμπιπλαται] ου πιπλαται A* (ουκ εμπιπλ. A$^{?}$) | με-
ριδα A | αναξηραινει ℵ (-νι) AC **10** φθονερος] pr ο ℵ$^{c.a}$ | αρτων C |
ελλιπης B^{ab}ℵA (? C) **11** σεαυτον] σαυτον A σεαυτω C **12** θανατος]
pr ο ℵ$^{c.a}$ | υποδιχθησεται ℵ$^{c.a}$

B καὶ κατὰ τὴν ἰσχύν σου ἔκτεινον καὶ δὸς αὐτῷ.
14 μὴ ἀφυστερήσῃς ἀπὸ ἀγαθῆς ἡμέρας, 14
καὶ μερὶς ἐπιθυμίας ἀγαθῆς μή σε παρελθάτω.
15 οὐχὶ ἑτέρῳ καταλείψεις τοὺς πόνους σου, 15
καὶ τοὺς κόπους σου εἰς διαίρεσιν κλήρου;
16 δὸς καὶ λάβε, καὶ ἀπάτησον τὴν ψυχήν σου, 16
(17) ὅτι οὐκ ἔστιν ἐν ᾅδου ζητῆσαι τρυφήν. (17)
17 πᾶσα σὰρξ ὡς ἱμάτιον παλαιοῦται· 17 (18)
(12) ἡ γὰρ διαθήκη ἀπ᾽ αἰῶνος Θανάτῳ ἀποθανῇ. (12)
18 ὡς φύλλον θάλλον ἐπὶ δένδρου δασέος, 18
(19) τὰ μὲν καταβάλλει, ἄλλα δὲ φύει· (19)
οὕτως γενεὰ σαρκὸς καὶ αἵματος,
ἡ μὲν τελευτᾷ, ἑτέρα δὲ γεννᾶται.
19 πᾶν ἔργον σηπόμενον ἐκλείπει, 19 (20)
καὶ ὁ ἐργαζόμενος αὐτὸ μετ᾽ αὐτοῦ ἀπελεύσεται.

20 Μακάριος ἀνὴρ ὃς ἐν σοφίᾳ τελευτήσει, 20 (22)
καὶ ὃς ἐν συνέσει αὐτοῦ διαλεχθήσεται·
21 ὁ διανοούμενος τὰς ὁδοὺς αὐτῆς ἐν καρδίᾳ αὐτοῦ, 21 (23)
καὶ ἐν τοῖς ἀποκρύφοις αὐτῆς νοηθήσεται.
22 ἔξελθε ὀπίσω αὐτῆς ὡς ἰχνευτής, 22
καὶ ἐν ταῖς εἰσόδοις αὐτῆς ἐνέδρευε.
23 ὁ παρακύπτων διὰ τῶν θυρίδων αὐτῆς, 23 (24)
καὶ ἐπὶ τῶν θυρωμάτων αὐτῆς ἀκροάσεται·
24 ὁ καταλύων σύνεγγυς τοῦ οἴκου αὐτῆς, 24 (25)
καὶ πήξει πάσσαλον ἐν τοῖς τοίχοις αὐτῆς·
25 στήσει τὴν σκηνὴν αὐτοῦ κατὰ χεῖρας αὐτῆς, 25
καὶ καταλύσει ἐν καταλύματι ἀγαθῶν·
26 θήσει τὰ τέκνα αὐτοῦ ἐν τῇ σκέπῃ αὐτῆς, 26
καὶ ὑπὸ τοὺς κλάδους αὐτῆς αὐλισθήσεται·

ℵAC **14** om απο αγαθης A | παρελθετω ℵA **15** ετεροις ℵA | διαιρεσις ℵ$^{c.a}$A | κληρων A **15—16** evan nonnulla in C **16** απατησον] απαιτησον ℵ* (απατ. ℵ$^{1(vid)}$) αγιασον ℵ$^{c.a}$ αποτησον A | αδη A | τρυφης A **17** αποθανη] αποθανιτα incep ℵ* (-νη ℵ^{1}) **18** δασεως ℵA | τα μεν... φυει] pr ουτως...αιματος ℵ* (invert ℵ^{1}) | ουτως] ουτω και ℵ ουτως και AC **20** τελευτησει] μελετησει ℵ$^{c.a}$ | διαδεχθησεται A **21** ο διανοουμενος] om ο A | νοηθησεται] εννοηθησεται ℵA **22** εισοδοις B^{ab} (ειοδ. B*)] οδοις ℵA **24** om και ℵ$^{c.a}$ | πηξει] πησσει A | τοιχοις (τυχ. A)] οικοις ℵ* (τοιχ. ℵ$^{c.a}$) **25** στηση A | χειρας] pr τας C **26** θησει] και στησει ℵ* (θησ. ℵ$^{c.a}$) AC | τη σκεπη] τη σκηνη ℵ* (τη σκεπ. ℵ$^{c.a}$) om τη A

27 [27]σκεπασθήσεται ὑπ᾽ αὐτῆς ἀπὸ καύματος, B
καὶ ἐν τῇ δόξῃ αὐτῆς καταλύσει.

XV 1 [1]ὁ φοβούμενος Κύριον ποιήσει αὐτό,
καὶ ὁ ἐγκρατὴς τοῦ νόμου καταλήμψεται αὐτήν·
2 [2]καὶ ὑπαντήσεται αὐτῷ ὡς μήτηρ,
καὶ ὡς γυνὴ παρθενείας προσδέξεται αὐτόν·
3 [3]ψωμιεῖ αὐτὸν ἄρτον συνέσεως,
καὶ ὕδωρ σοφίας ποτίσει αὐτόν·
4 [4]στηριχθήσεται ἐπ᾽ αὐτὴν καὶ οὐ μὴ κλιθῇ,
(4) [(4)]καὶ ἐπ᾽ αὐτῆς ἐφέξει καὶ οὐ μὴ καταισχυνθῇ·
5 [5]καὶ ὑψώσει αὐτὸν παρὰ τοὺς πλησίον αὐτοῦ,
(5) [(5)]καὶ ἐν μέσῳ ἐκκλησίας ἀνοίξει στόμα αὐτοῦ·
6 [6]εὐφροσύνην καὶ στέφανον ἀγαλλιάματος
καὶ ὄνομα αἰώνιον κατακληρονομήσει.
7 [7]οὐ μὴ καταλήμψονται αὐτὴν ἄνθρωποι ἀσύνετοι,
καὶ ἄνδρες ἁμαρτωλοὶ οὐ μὴ ἴδωσιν αὐτήν·
8 [8]μακράν ἐστιν ὑπερηφανίας,
(8) [(8)]καὶ ἄνδρες ψεῦσται οὐ μὴ μνησθήσονται αὐτῆς.

9 [9]Οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ,
(10) [(10)]ὅτι οὐ παρὰ Κυρίου ἀπεστάλη·
10 [10]ἐν γὰρ σοφίᾳ ῥηθήσεται αἶνος,
καὶ ὁ κύριος εὐοδώσει αὐτόν.
11 [11]μὴ εἴπῃς ὅτι Διὰ Κύριον ἀπέστην·
ἃ γὰρ ἐμίσησεν, οὐ ποιήσεις.
12 [12]μὴ εἴπῃς ὅτι Αὐτός με ἐπλάνησεν·
οὐ γὰρ χρείαν ἔχει ἀνδρὸς ἁμαρτωλοῦ.
13 [13]πᾶν βδέλυγμα ἐμίσησεν Κύριος,
καὶ οὐκ ἔστιν ἀγαπητὸν τοῖς φοβουμένοις αὐτόν.

27 σκεπασθησεται] pr και ℵ* (improb και ℵ$^{c.a}$) | υπ] απ ℵ* (υπ ℵ$^{c.a}$) A ℵAC XV **1** Κυριον] pr τον C | αυτην] αυτον A **2** υπαντησει ℵA | παρθενιας B^{b}ℵAC **3** ποτιει ℵAC **4** στηρισθησεται ℵAC | αυτην] αυτον ℵ* (-την ℵ$^{c.a}$) | κλιθη] κλισθη ℵ | αυτης] αυτη ℵ$^{c.a}$A **5** στομα] pr το ℵAC **6** αγαλλιαματος] + ευρησει ℵ* (improb ευρ. ℵ$^{c.a}$) A | αιωνιον] αιωνος ℵAC | κατακληρονομησει] + αυτον ℵ$^{c.a}$ **7** ανδρες] ανοι A **8** υπερηφανειας C | μνησθησονται] μνησωνται ℵ* (μνησθησ. ℵ$^{c.a}$) **9** αινος bis scr ℵ* (improb 2^{o} ℵ$^{c.a}$) | απεσταλη] τ sup ras A^{a} **11** απεστην B ℵ$^{c.a}$ (-στη ℵ*)] [απ]εσταλην C^{vid} **12** om οτι ℵ **13** Κυριος] pr ο ℵAC | αγαπητον τοις] de C non liq

B [14]αὐτὸς ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον, 14
καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ.
[15]ἐὰν θέλῃς, συντηρήσεις ἐντολάς, 15 (16)
καὶ πίστιν ποίησαι εὐδοκίας.
[16]παρέθηκέν σοι πῦρ καὶ ὕδωρ, 16 (17)
οὗ ἐὰν θέλῃς ἐκτενεῖς τὴν χεῖρά σου·
[17]ἔναντι ἀνθρώπων ἡ ζωὴ καὶ ὁ θάνατος, 17 (18)
καὶ ὃ ἐὰν εὐδοκήσῃ δοθήσεται αὐτῷ.
[18]ὅτι πολλὴ σοφία τοῦ κυρίου· 18 (19)
ἰσχυρὸς ἐν δυναστείᾳ καὶ βλέπων τὰ πάντα·
[19]καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν, 19 (20)
καὶ αὐτὸς ἐπιγνώσεται πᾶν ἔργον ἀνθρώπου·
[20]καὶ οὐκ ἐνετείλατο οὐδενὶ ἀσεβεῖν, 20 (21)
καὶ οὐκ ἔδωκεν ἄνεσιν οὐδενὶ ἁμαρτάνειν.

¶ C [1]Μὴ ἐπιθύμει τέκνων πλῆθος ἀχρήστων,¶ 1 (22) XVI (X
[(1)]μηδὲ εὐφραίνου ἐπὶ υἱοῖς ἀσεβέσιν· (1) (XVI)
[2]ἐὰν πληθύνωσιν, μὴ εὐφραίνου ἐπ᾽ αὐτοῖς· 2
εἰ μή ἐστιν φόβος Κυρίου μετ᾽ αὐτῶν, [3]μὴ ἐνπιστεύσῃς 3 (2)
τῇ ζωῇ αὐτῶν,
καὶ μὴ ἔπεχε ἐπὶ τὸν τόπον αὐτῶν·
[(3)]κρείσσων γὰρ εἷς ἢ χίλιοι, (3)
[(4)]καὶ ἀποθανεῖν ἄτεκνον ἢ ἔχειν τέκνα ἀσεβῆ· (4)
[4]ἀπὸ γὰρ ἑνὸς συνετοῦ συνοικισθήσεται πόλις, 4 (5)
φυλὴ δὲ ἀνόμων ἐρημωθήσεται.
[5]πολλὰ τοιαῦτα ἑόρακα ἐν ὀφθαλμοῖς μου, 5 (6)
καὶ ἰσχυρότερα τούτων ἀκήκοεν τὸ οὖς μου.
[6]ἐν συναγωγῇ ἁμαρτωλῶν ἐκκαυθήσεται πῦρ, 6 (7)
καὶ ἐν ἔθνει ἀπειθεῖ ἐξεκαύθη ὀργή.

ℵAC **14** χειρι] pr τη C **15** θελης] θελησης ℵ* (θελης ℵc.a) | συντηρησε ℵc.a **17** ευδοκησει A **18** σοφια] pr η ℵc.aA | δυναστια ℵA **19** ανθρωπου] ανθρωπων ℵ* (-που ℵc.a) αυτου A **20** om και 1° ℵAC | εδωκεν] εδωσεν A | ανεσιν] αινεσιν C | αμαρτειν C XVI **1** τεκνον ℵc.a | αχρηστον AC **2** πληθυνθωσιν (superscr θ) ℵc.a **3** εμπιστευσης BbℵA | τον τοπον] το πληθος ℵA | αυτων 2°]+στεναξις γαρ πενθι αωρω και εξεφνης αυτων συντελιαν γνωσεται· κρισσων γαρ εις δικαιος ποιων θελημα κυ η μυριοι παρανομοι ℵc.a | κρεισσων...χιλιοι] signa adpinx ℵc.a | και 2°] δικαιον ℵc.a **5** εορακα (εωρ. BabA) εν οφθαλμοις] εορακεν ο οφθαλμος ℵ | μου 2°] σου A **6** απειθη A

(8) 7 [7]οὐκ ἐξιλάσατο περὶ τῶν ἀρχαίων γιγάντων, B
οἱ ἀπέστησαν τῇ ἰσχύι αὐτῶν·
(9) 8 [8]οὐκ ἐφείσατο περὶ τῆς παροικίας Λώτ,
οὓς ἐβδελύξατο διὰ τὴν ὑπερηφανίαν αὐτῶν·
(10) 9 [9]οὐκ ἠλέησεν ἔθνος ἀπωλείας,
τοὺς ἐξηρμένους ἐν ἁμαρτίαις αὐτῶν·
(11) 10 [10]καὶ οὕτως ἑξακοσίας χιλιάδας πεζῶν
τοὺς ἐπισυναχθέντας ἐν σκληροκαρδίᾳ αὐτῶν.
11 [11]κἂν ᾖ εἷς σκληροτράχηλος, θαυμαστὸν τοῦτο εἰ ἀθῳωθήσεται·
(12) [12]ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτοῦ,
δυνάστης ἐξιλασμῶν καὶ ἐκχέων ὀργήν.
(13) 12 [12]κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτως καὶ πολὺς ὁ ἔλεγχος αὐτοῦ·
ἄνδρα κατὰ τὰ ἔργα αὐτοῦ κρινεῖ.
(14) 13 [13]οὐκ ἐκφεύξεται ἐν ἁρπάγμασιν ἁμαρτωλός,
καὶ οὐ μὴ καθυστερήσει ὑπομονὴν εὐσεβοῦς.
(15) 14 [14]πάσῃ ἐλεημοσύνῃ ποιήσει τόπον,
ἕκαστος κατὰ τὰ ἔργα αὐτοῦ εὑρήσει.
(16) 17 [17]μὴ εἴπῃς ὅτι Ἀπὸ Κυρίου κρυβήσομαι·
μὴ ἐξ ὕψους τις μου μνησθήσεται;
(17) [17]ἐν λαῷ πλείονι οὐ μὴ μνησθῶ,
τίς γὰρ ἡ ψυχή μου ἐν ἀμετρήτῳ κτίσει;
18 [18]ἰδοὺ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ τοῦ θεοῦ,
ἄβυσσος καὶ γῆ σαλευθήσονται ἐν τῇ ἐπισκοπῇ αὐτοῦ·
19 [19]ἅμα τὰ ὄρη καὶ τὰ θεμέλια τῆς γῆς
ἐν τῷ ἐπιβλέψαι εἰς αὐτὰ τρόμῳ συνσείονται,
20 [20]καὶ ἐπ' αὐτοῖς οὐ διανοηθήσεται καρδία·
(21) [21]καὶ τὰς ὁδοὺς αὐτοῦ τίς ἐνθυμηθήσεται;

7 εξιλασατο] εξιλατο A **9** απωλειας (-λιας ℵ*)] Χανααν ℵ$^{c.a}$ | αυτων] +ταυτα παντα εποιησεν εθνεσιν σκληροκαρδιοις και επι πληθει αγιων αυτου ου παρεκληθη ℵ$^{c.a}$ ℵA **10** και...πεζων, τους...αυτων] pr asteriscos ℵ$^{c.a}$ **11** εισκληροτρ. A | αθωωθησεται B*ℵA (αθωωθ. B$^{a?b}$) | αυτου] αυτω ℵ*A κυ ℵ$^{c.a}$ | δυναστων A **12** ελεος...αυτου 2°] εος αυτου ου, s o ελεγχος αυτου sup ras A^{a} | ουτω A | πολυς ο] ο πολυς ℵ* (π. ο ℵ$^{c.a}$) | κρινει] κτινι A **13** αρπαγματι ℵA | καθυστερηση ℵ | υπομονη ℵA **17** απο] παρα A | μη 2°] και ℵA | υψους τις μου] υψιστου ℵ* (υψους τ. μ. ℵ$^{c.a}$) | μνησθω] γνωσθω ℵA **18** om του θεου ℵA | γη] pr η ℵ | εν τη επισκοπη αυτου σαλευθησονται ℵ* (σαλευονται ℵ$^{c.a}$) A **19** συσσειονται B^{ab} **20** ενθυμηθησεται] +και καθο ποιει ανος οψεται ο οφθαλμος αυτου ℵ$^{c.a}$

B [21]καὶ καταιγίς, ἣν οὐκ ὄψεται ἄνθρωπος, 21
[(22)]τὰ δὲ πλείονα τῶν ἔργων αὐτοῦ ἐν ἀποκρύφοις. (22)
[22]ἔργα δικαιοσύνης τίς ἀναγγελεῖ; 22
ἢ τίς ὑπομενεῖ; μακρὰν γὰρ ἡ διαθήκη.
[23]ἐλαττούμενος καρδίᾳ διανοεῖται ταῦτα, 23
καὶ ἀνὴρ ἄφρων καὶ πλανώμενος διανοεῖται μωρά.

[24]Ἄκουσόν μου, τέκνον, καὶ μάθε ἐπιστήμην, 24
καὶ ἐπὶ τῶν λόγων μου πρόσεχε τῇ καρδίᾳ σου·
[25]ἐκφαίνω ἐν σταθμῷ παιδείαν, 25
καὶ ἐν ἀκριβείᾳ ἀπαγγέλλω ἐπιστήμην.
[26]ἐν κρίσει Κυρίου τὰ ἔργα αὐτοῦ ἀπ᾽ ἀρχῆς, 26
καὶ ἀπὸ ποιήσεως αὐτῶν διέστελλεν μερίδας αὐτῶν·
[27]ἐκόσμησεν εἰς αἰῶνα τὰ ἔργα αὐτοῦ, 27
καὶ τὰς ἀρχὰς αὐτῶν εἰς γενεὰς αὐτῶν·
οὔτε ἐπείνασαν οὔτε ἐκοπίασαν,
καὶ οὐκ ἐξέλιπον ἀπὸ τῶν ἔργων αὐτῶν·
[28]ἕκαστος τὸν πλησίον αὐτοῦ οὐκ ἔθλιψεν, 28
καὶ ἕως αἰῶνος [(29)]οὐκ ἀπειθήσουσιν τοῦ ῥήματος αὐτοῦ. (29)
[29]καὶ μετὰ ταῦτα Κύριος εἰς τὴν γῆν ἐπέβλεψεν 29 (30)
καὶ ἐνέπλησεν αὐτὴν τῶν ἀγαθῶν αὐτοῦ·
[30]ψυχὴν παντὸς ζῴου ἐκάλυψεν τὸ πρόσωπον αὐτῆς, 30 (31)
καὶ εἰς αὐτὴν ἡ ἀποστροφὴ αὐτῶν.

[1]Κύριος ἔκτισεν ἐκ γῆς ἄνθρωπον, 1 (1[a]) XVII
[(2[a])]καὶ πάλιν ἀπέστρεψεν αὐτὸν εἰς αὐτήν· (2[a])
[2]ἡμέρας ἀριθμοῦ καὶ καιρὸν ἔδωκεν αὐτοῖς, 2 (3)
καὶ ἔδωκεν αὐτοῖς ἐξουσίαν τῶν ἐπ᾽ αὐτῆς.
[3]καθ᾽ ἑαυτοὺς ἐνέδυσεν αὐτοὺς ἰσχύν, 3 (2[b])
[(1[b])]καὶ κατ᾽ εἰκόνα αὐτοῦ ἐποίησεν αὐτούς· (1[b])
[4]καὶ ἔθηκεν τὸν φόβον αὐτοῦ ἐπὶ πάσης σαρκός, 4

ℵA **21** ανθρωπος] pr πας ℵ* (improb πας ℵ[c.a]) + επελευσεται αυτω ℵ[c.a] | αυτου] αυτων A **22** αναγγελλει ℵ | υπομονει (ε sup ras) A[a] **23** ελαττονουμενος A **25** εκφανω ℵA | om εν 1° ℵ* (hab ℵ[c.a]) | παιδιαν ℵA | ακριβια B[b]ℵA | απαγγελω ℵA **26** διεστειλεν ℵ[c.a]A **27** αιωνα] pr τον ℵ[c.a]A | αυτου] αυτων ℵ | εκοπιασαν] + ουτε ησθενησαν ℵ | εξελειπον A **28** om αυτου 1° ℵ* (hab ℵ[c.a]) | εθλιψεν] εξεθλιψεν ℵA | του ρηματος] των ρηματων ℵ[c.a] **29** εις] επι A **30** ψυχη ℵ XVII **3** αυτου] εαυτου ℵA **4** om και 1° ℵA

καὶ κατακυριεύειν θηρίων καὶ πετεινῶν. B
(5) 6 [6]διαβούλιον καὶ γλῶσσαν καὶ ὀφθαλμούς,
ὦτα καὶ καρδίαν ἔδωκεν διανοεῖσθαι αὐτοῖς·
(6) 7 [7]ἐπιστήμην συνέσεως ἐνέπλησεν αὐτούς,
καὶ ἀγαθὰ καὶ κακὰ ὑπέδειξεν αὐτοῖς·
(7) 8 [8]ἔθηκεν τὸν ὀφθαλμὸν αὐτοῦ ἐπὶ τὰς καρδίας αὐτῶν,
δεῖξαι αὐτοῖς τὸ μεγαλεῖον τῶν ἔργων αὐτοῦ·
(8) 10 [10]καὶ ὄνομα ἁγιασμοῦ αἰνέσουσιν,
9 [9]ἵνα διηγῶνται τὰ μεγαλεῖα τῶν ἔργων αὐτοῦ.
(9) 11 [11]προσέθηκεν αὐτοῖς ἐπιστήμην,
καὶ νόμον ζωῆς ἐκληροδότησεν αὐτοῖς·
(10) 12 § [12]διαθήκην αἰῶνος ἔστησεν μετ' αὐτῶν, § C
καὶ τὰ κρίματα αὐτοῦ ὑπέδειξεν αὐτοῖς·
(11) 13 [13]μεγαλεῖον δόξης εἶδον οἱ ὀφθαλμοὶ αὐτῶν,
καὶ δόξαν φωνῆς αὐτῶν ἤκουσεν τὸ οὖς αὐτῶν·
14 [14]καὶ εἶπεν αὐτοῖς Προσέχετε ἀπὸ παντὸς ἀδίκου,
(12) [(12)]καὶ ἐνετείλατο αὐτοῖς ἑκάστῳ περὶ τοῦ πλησίον.
(13) 15 [15]αἱ ὁδοὶ αὐτῶν ἐναντίον αὐτοῦ διὰ παντός,
οὐ κρυβήσονται ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ.
(14) 17 [17]ἑκάστῳ ἔθνει κατέστησεν ἡγούμενον,
(15) [(15)]καὶ μερὶς Κυρίου Ἰσραὴλ ἐστιν.
(16) 19 [19]ἅπαντα τὰ ἔργα αὐτῶν ὡς ὁ ἥλιος ἐναντίον αὐτοῦ,
καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐνδελεχεῖς ἐπὶ τὰς ὁδοὺς αὐτῶν·
(17) 20 [20]οὐκ ἐκρύβησαν αἱ ἀδικίαι αὐτῶν ἀπ' αὐτοῦ,
καὶ πᾶσαι αἱ ἁμαρτίαι αὐτῶν ἔναντι Κυρίου.
(18) 22 [22]ἐλεημοσύνη ἀνδρὸς ὡς σφραγὶς μετ' αὐτοῦ,
καὶ χάριν ἀνθρώπου ὡς κόρην συντηρήσει.
(19) 23 [23]μετὰ ταῦτα ἐξαναστήσεται καὶ ἀνταποδώσει αὐτοῖς,
καὶ τὸ ἀνταπόδομα αὐτῶν εἰς κεφαλὴν αὐτῶν ἀποδώσει·

6 διαβουλιαν ℵ* (-λιον ℵ$^{c.a}$) | αυτοις] αυτους ℵ$^{c.a}$ **8** εθηκεν] pr και ℵAC A | αυτου 1°] αυτων ℵ | αυτου 2°] + ϗ καυχασθαι εν τοις θαυμασιοις αυτου ℵ$^{c.a}$ **9** διηγουνται A **11** προσεθηκεν] pr και ℵ | αυτοις 2°] αυτους ℵ$^{c.a}$ (statim revoc -τοις) A **12** αιωνος] αιωνιον A **13** ιδον AC | αυτων 2°] αυτου ℵC **15** αυτων] αυτου A | εναντιον] ενωπιον ℵC | αυτου 2°] αυτων A **17** ηγουμενον] seq sign in B **19** απαντα] παντα ℵAC | αυτων 1°] αυτου ℵ* (-των ℵ$^{c.a}$) | αυτων 2°] των ανων ℵ* (αυτ. ℵ$^{c.a}$) **20** απ] a sup ras Λ^{a} | αυτων 2°] + απ αυτου ℵ* (improb απ αυτ. ℵ$^{c.a}$) **22** κοραν ℵ **23** μετα] pr και ℵ* (improb ℵ$^{c.a}$) | αυτων εις κεφ.] ων εις κε rescr C^{a} nisi iam antea | αυτων 2°] αυτου AC*^{fort} | αποδωσει] ανταποδωσει ℵC

B [24]πλὴν μετανοοῦσιν ἔδωκεν ἐπάνοδον, 24 (20)
καὶ παρεκάλεσεν ἐκλείποντας ὑπομονήν.

[25]Ἐπίστρεφε ἐπὶ Κύριον καὶ ἀπόλειπε ἁμαρτίας, 25 (21)
[(22)]δεήθητι κατὰ πρόσωπον καὶ σμίκρυνον πρόσκομμα· (22)
[26]ἐπάναγε ἐπὶ Ὕψιστον καὶ ἀπόστρεφε ἀπὸ ἀδικίας, 26 (23)
καὶ σφόδρα μίσησον βδέλυγμα.
[27]Ὑψίστῳ τίς αἰνέσει ἐν ᾅδου 27
[(25)]ἀντὶ ζώντων καὶ διδόντων ἀνθομολόγησιν; (25)
[28]ἀπὸ νεκροῦ ὡς μηδὲ ὄντος ἀπόλλυται ἐξομολόγησις· 28 (26)
[(27)]ζῶν καὶ ὑγιὴς αἰνέσει τὸν κύριον. (27)
[29]ὡς μεγάλη ἡ ἐλεημοσύνη τοῦ κυρίου, 29 (28)
καὶ ἐξιλασμὸς τοῖς ἐπιστρέφουσιν ἐπ᾽ αὐτόν.
[30]οὐ γὰρ δύναται πάντα εἶναι ἐν ἀνθρώποις, 30 (29)
ὅτι οὐκ ἀθάνατος υἱὸς ἀνθρώπου.
[31]τί φωτεινότερον ἡλίου; καὶ τοῦτο ἐκλείπει, 31 (30)
καὶ πονηρὸς ἐνθυμήσεται σάρκα καὶ αἷμα.
[32]δύναμιν ὕψους οὐρανοῦ αὐτὸς ἐπισκέπτεται, 32 (31)
καὶ οἱ ἄνθρωποι πάντες γῆ καὶ σποδός.

[1]Ὁ ζῶν εἰς τὸν αἰῶνα ἔκτισεν τὰ πάντα κοινῇ· 1 XVIII
[2]Κύριος μόνος δικαιωθήσεται. 2
[4]οὐθενὶ ἐξεποίησεν ἐξαγγεῖλαι τὰ ἔργα αὐτοῦ· 4 (2)
[(3)]καὶ τίς ἐξιχνιάσει τὰ μεγαλεῖα αὐτοῦ; (3)
[5]κράτος μεγαλωσύνης αὐτοῦ τίς ἐξαριθμήσεται; 5 (4)
καὶ τίς προσθήσει ἐκδιηγήσασθαι τὰ ἐλέη αὐτοῦ;
[6]οὐκ ἔστιν ἐλαττῶσαι οὐδὲ προσθεῖναι, 6 (5)
καὶ οὐκ ἔστιν ἐξιχνιάσαι τὰ θαυμάσια τοῦ κυρίου·

ℵAC **24** *μετανοουσιν*] pr *τοις* C | *εκλιποντας* ℵC **25** *επιστρεφε*] *επιστρεψον* C | *και απολειπε*] *καταλιπε* ℵ* *και απολιπε* ℵ$^{c.a}$C | *προσσκομμα* A **26** *επαναγε*] *επαναγαγε* ℵC **27** *αδου* B^{b} (*-δους* B*) ℵ$^{c.a}$AC] *αδη* ℵ* | bis scr *ζωντων και* B **29** *εξιλασμος*] *εξειλασμον* ℵ* *ο εξειλασμος* ℵ$^{c.a}$ **30** *υιος*] pr *ο* A **31** *τι*] *το* ℵ* (*τι* ℵ$^{c.a}$) | *και πονηρος ευθυμησεται*] *και πονηρος ενθυμηθησεται* B$^{a\,fort}$ℵ* *ϗ τι πονηροτερο ενθυμιται* ℵ$^{c.a}$ *και πονηρον ενθυμηθησεται* A | *σαρκα* B*^{b}ℵ (in ℵ sunt signa corr)] *σαρξ* B^{ab}AC **32** *υψους*] *ους* sup ras 5 vel 6 litt A^{a} | *αυτος*] pr *και* ℵ (improb *και* ℵ$^{c.a}$) | *οι ανθρωποι*] om *οι* ℵA XVIII **4** *ουθενι*] *ουδενι* ℵ$^{c.a}$AC | *αξαγγειλαι* B^{edit} | *εξιχνευσει* ℵAC | *αυτου* 2°] *του κῡ* C **5** *αυτου* 1°] *εαυτου* ℵ* (ras et improb *ε* ℵ$^{?}$) | *εξαριθμηθησεται* ℵ* (improb *θη* ℵ$^{1\,c.a}$) | *ελεη*] *εργα* C **6** *ελαττωσαι*] *ω* sup ras 2 fere litt item ras 1 lit post *σ* C^{a} (*ελαττουσθαι* C*^{vid}) | *του κυριου*] om *του* ℵ

(6) 7 [7]ὅταν συντελέσῃ ἄνθρωπος τότε ἄρχεται, B
καὶ ὅταν παύσηται τότε ἀπορηθήσεται.
(7) 8 [8]τί ἄνθρωπος καὶ τί ἡ χρῆσις αὐτοῦ;
τί τὸ ἀγαθὸν αὐτοῦ, καὶ τί τὸ κακὸν αὐτοῦ;
(8) 9 [9]ἀριθμὸς ἡμερῶν ἀνθρώπου πολλὰ ἔτη ἑκατόν·
10 [10]ὡς σταγὼν ὕδατος ἀπὸ θαλάσσης καὶ ψῆφος ἄμμου,
οὕτως ὀλίγα ἔτη ἐν ἡμέρᾳ αἰῶνος.
(9) 11 [11]διὰ τοῦτο ἐμακροθύμησεν Κύριος ἐπ' αὐτοῖς,
καὶ ἐξέχεεν ἐπ' αὐτοὺς τὸ ἔλεος αὐτοῦ·
(10) 12 [12]ἴδεν καὶ ἐπέγνω τὴν καταστροφὴν αὐτῶν ὅτι πονηρά,
(11) [(11)]διὰ τοῦτο ἐπλήθυνεν τὸν ἐξιλασμὸν αὐτοῦ.
(12) 13 [13]ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ,
ἔλεος δὲ Κυρίου ἐπὶ πᾶσαν σάρκα·
(13) [(13)]ἐλέγχων καὶ παιδεύων καὶ διδάσκων
καὶ ἐπιστρέφων ὡς ποιμὴν τὸ ποίμνιον αὐτοῦ.
14 [14]τοὺς ἐκδεχομένους παιδείαν ἐλεᾷ,
καὶ τοὺς κατασπεύδοντας ἐπὶ τὰ κρίματα αὐτοῦ.

15 [15]Τέκνον, ἐν ἀγαθοῖς μὴ δῷς μῶμον,
καὶ ἐν πάσῃ δόσει λύπην λόγων.
16 [16]οὐχὶ καύσωνα ἀναπαύσει δρόσος;
οὕτως κρείσσων λόγος ἢ δόσις.
17 [17]οὐκ ἰδοὺ λόγος ὑπὲρ δόμα ἀγαθόν;
καὶ ἀμφότερα παρὰ ἀνδρὶ κεχαριτωμένῳ.
18 [18]μωρὸς ἀχαρίστως ὀνειδιεῖ,
καὶ δόσις βασκάνου ἐκτήκει ὀφθαλμούς.
19 [19]πρὶν ἢ λαλῆσαι μάνθανε,
καὶ πρὸ ἀρρωστείας θεραπεύου·
20 [20]πρὸ κρίσεως ἐξέταζε σεαυτόν,
καὶ ἐν ὥρᾳ ἐπισκοπῆς εὑρήσεις ἐξιλασμόν·
21 [21]πρὶν ἀρρωστῆσαί σε ταπεινώθητι,

7 συντελεσει A | αρχεται] ερχετ, A | απορρηθησεται AC **8** τι 1°] τις ℵAC ℵ* (ras s ℵ³) **9** ανθρωπου] αυτου C **10** om εν ℵ* (hab ℵ^c.a) | ημεραις C **11** Κυριος] pr ο ℵ **12** ιδεν...πονηρα, δια τουτο...αυτου] pr asteriscos ℵ^c.a | ειδεν ℵ | αυτων] ων sup ras A^a (-του A*^vid) **13** om και 3° ℵ^c.a C | αυτου 2°] αυτων C **14** παιδιαν ℵAC | ελεει B^ab **15** τεκνον] pr tit εγκρατεια ψυχης ℵ | λογω C **16** καυσωναναπ. AC **17** δομα αγαθον] μα α sup ras A^a | παρα bis scr C **19** αρρωστιας B^bℵA **20** εξιλασμον] ιλασμον A

B καὶ ἐν καιρῷ ἁμαρτημάτων δεῖξον ἐπιστροφήν.
22 μὴ ἐμποδισθῇς τοῦ ἀποδοῦναι εὐχὴν εὐκαίρως, 22
καὶ μὴ μείνῃς ἕως θανάτου δικαιωθῆναι·
23 πρὶν εὔξασθαι ἑτοίμασον σεαυτόν, 23
καὶ μὴ γίνου ὡς ἄνθρωπος πειράζων τὸν κύριον.
24 μνήσθητι θυμοῦ ἐν ἡμέραις τελευτῆς, 24
καὶ καιρὸν ἐκδικήσεως ἐν ἀποστροφῇ προσώπου.
25 μνήσθητι καιρὸν λιμοῦ ἐν καιρῷ πλησμονῆς, 25
πτωχείαν καὶ ἔνδειαν ἐν ἡμέραις πλούτου.
26 ἀπὸ πρωίθεν ἕως ἑσπέρας μεταβάλλει καιρός, 26
καὶ πάντα ἐστὶν ταχινὰ ἔναντι Κυρίου.
27 ἄνθρωπος σοφὸς ἐν παντὶ εὐλαβηθήσεται, 27
καὶ ἐν ἡμέραις ἁμαρτιῶν προσέξει ἀπὸ πλημμελίας.
28 πᾶς συνετὸς ἔγνω σοφίαν, 28
καὶ τῷ εὑρόντι αὐτὴν δώσει ἐξομολόγησιν.
29 συνετοὶ ἐν λόγοις καὶ αὐτοὶ ἐσοφίσαντο, 29
καὶ ἀνώμβρησαν παροιμίας ἀκριβεῖς.

Ἐγκράτεια ψυχῆς.

30 Ὀπίσω τῶν ἐπιθυμιῶν σου μὴ πορεύου, 30
καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου·
31 ἐὰν χορηγήσεις τῇ ψυχῇ σου εὐδοκίαν ἐπιθυμίας, 31
ποιήσει σε ἐπίχαρμα τῶν ἐχθρῶν σου.
32 μὴ εὐφραίνου ἐπὶ πολλῇ τρυφῇ, 32
μηδὲ προσδεθῇς συμβολῇ αὐτῆς·
33 μὴ γίνου πτωχὸς συμβολοκοπῶν ἐκ δανισμοῦ, 33
καὶ οὐδέν σοί ἐστιν ἐν μαρσιππίῳ.
1 ἐργάτης μέθυσος οὐ πλουτισθήσεται· 1 XIX
ὁ ἐξουθενῶν τὰ ὀλίγα κατὰ μικρὸν πεσεῖται.

ℵAC **22** *μεινης εως θανα* sup ras 16 fere litt A^a **23** *ευξασθαι* (-*ξεσθαι* C)] +*σε* $ℵ^{c.a}$C | *σεαυτον*] *την ευχην σου* $ℵ^{c.a}$ **24** *θυμου*] *θεου* ℵ* (*θυμ.* $ℵ^{c.a}$) *θυ* ras C? | *ημερα* $ℵC^a$ | *αποστροφη*] *επιστροφη* C **25** *καιρον*] pr *κατα* A | *καιρω*] *ημεραις* A | *πτωχιαν* C **27** om *και* A | *πλημμελειας* $B^{ab}A$ **29** *ανωμβρωσαν* C | *παροιμιας*] *s* sup ras A^a | *ακριβως* ℵ* (-*βεις* $ℵ^{c.a}$) **30** tit evan in C nisi potius raserit C^a | *εγκρατια* A | om *μη* C | *κωλυου*] pr *μη* A **31** *χορηγησεις* (-*σης* $B^{ab}ℵC$)] *ευδοκησεις* A | *ποιησει σε*] *ποιησεις* ℵ* (-*σει σε* $ℵ^{c.a}$) A **32** *πολλυ* A | *μηδε*] *μη* A | *προσδεθης*] *προσδεηθης* ℵ* (-*δεθης* $ℵ^{c.a}$) AC+*συ* C | *συμβολη*] pr *τη* $ℵ^{c.a}$ *συμβολης* A **33** *δανεισμου* B^{ab} | *μαρσιππιω* Bℵ* (-*πω* AC)] *βαλλαντιω* $ℵ^{c.a}$ XIX **1** *μεθυς* ℵ* (*μεθυσος* $ℵ^{1}$) | *ο εξουθενων*] pr *ᾧ* $ℵ^{c.a}$ *ο εξουδενων* C

2 [2]οἶνος καὶ γυναῖκες ἀποστήσουσιν συνετούς, B
καὶ ὁ κολλώμενος πόρναις τολμηρότερος ἔσται·
3 [3]σήπη καὶ σκώληκες κληρονομήσουσιν αὐτόν,
καὶ ψυχὴ τολμηρὰ ἐξαρθήσεται.
4 [4]ὁ ταχὺ ἐνπιστεύων κοῦφος καρδίᾳ,
καὶ ὁ ἁμαρτάνων εἰς ψυχὴν αὐτοῦ πλημμελήσει.
(5) 5 [5]ὁ εὐφραινόμενος καρδίᾳ καταγνωσθήσεται,
6 [6]καὶ ὁ μισῶν λαλιὰν ἐλαττονοῦται κακίᾳ.
7 [7]μηδέποτε δευτερώσῃς λόγον,
καὶ οὐθέν σοι οὐ μὴ ἐλαττονωθῇ.
8 [8]ἐν φίλῳ καὶ ἐν ἐχθρῷ μὴ διηγοῦ,
καὶ εἰ μή ἐστίν σοι ἁμαρτία, μὴ ἀποκάλυπτε·
9 [9]ἀκήκοεν γάρ σου καὶ ἐφυλάξατό σε,
καὶ ἐν καιρῷ μισήσει σε.
10 [10]ἀκήκοας λόγον; συναποθανέτω σοι·
θάρσει, οὐ μή σε ῥήξει.
11 [11]ἀπὸ προσώπου λόγου ὠδινήσει μωρός,
ὡς ἀπὸ προσώπου βρέφους ἡ τίκτουσα.
12 [12]βέλος πεπηγὸς ἐν μηρῷ σαρκός,
οὕτως λόγος ἐν κοιλίᾳ μωροῦ.

13 [13]Ἔλεγξον φίλον, μή ποτε οὐκ ἐποίησεν,
καὶ εἴ τι ἐποίησεν, μή ποτε προσθῇ.
14 [14]ἔλεγξον τὸν φίλον, μή ποτε οὐκ εἶπεν·
καὶ εἰ εἴρηκεν, ἵνα μὴ δευτερώσῃ.
15 [15]ἔλεγξον φίλον, πολλάκις γὰρ γίνεται διαβολή,
(16) [16]καὶ μὴ παντὶ λόγῳ πίστευε.
16 [15]ἔστιν ὀλισθάνων καὶ οὐκ ἀπὸ ψυχῆς,

2 τολμηροτερος] τολμηρος ℵC **3** σηπη] σητες B^b σηπες ℵ* (σηπη ℵAC $ℵ^{c.a}$) | αυτον] την γην ℵ* (αυτ. $ℵ^{c.a}$) | τολμηρας ℵ* (-ρα $ℵ^{c.a}$) **4** ο ταχυ] om ο ℵ* (hab ο $ℵ^{1\,vid\,mg}$) | εμπιστευων B^{ab}ℵ | πλημμελει ℵ* (-λησει $ℵ^{c.a}$) **5** καρδια] πονηρα ℵ* (καρδ. $ℵ^{c.a}$) **6** ελαττονουται] ελαττουται ℵ | κακια] καρδια A **7** μηδεποτε] μηποτε ℵ | λογον] + εν ευχη $ℵ^{c.a}$ | ουδεν C | ελαττονηθη A **8** om εν 2° ℵAC **9** ακηκοα ℵ* (-κοεν $ℵ^{1}$) | σου γαρ C | μισησει] μασησει A **10** λογον] λεγων ℵ* (λογον $ℵ^{c.a}$) | συναποθανειτω C | θαρση A **12** πεπηγως BℵC | μηρω] η sup ras 1 vel 2 litt A^a **13** ελεγχον C | εποιησε (1°) C **13—14** om και ει τι...ουκ ειπεν A **13** ει] η AC | om τι $ℵ^{c.a}$ | μη 2°] pr ινα ℵ | om ποτε 2° ℵ **14** ελεγχον $C^{*\,vid}$ (-ξον C^a): item 15 | φιλον] πλησιον ℵC | ει] η ℵAC | δευτερωσει A **15** διαβολη] αβολη (sic) A **16** εστι C | ολισθαινων $ℵ^{1?c.a}$C (-σθενων)

B [17]καὶ τίς οὐχ ἥμαρτεν ἐν τῇ γλώσσῃ αὐτοῦ; (17)
[17]ἔλεγξον τὸν πλησίον σου πρὶν ἢ ἀπειλῆσαι, 17
[18]καὶ δὸς τόπον νόμῳ Ὑψίστου. (18)

[20]Πᾶσα σοφία φόβος Κυρίου, 20
καὶ ἐν πάσῃ σοφίᾳ ποίησις νόμου.
[22]καὶ οὐκ ἔστιν σοφία πονηρίας ἐπιστήμη, 22 (19)
καὶ οὐκ ἔστιν ὅπου βουλὴ ἁμαρτωλῶν φρόνησις.
[23]ἔστιν πονηρία καὶ αὕτη βδέλυγμα, 23 (20)
καὶ ἔστιν ἄφρων ἐλαττούμενος σοφίᾳ.
[24]κρείττων ἡττώμενος ἐν συνέσει ἔμφοβος 24 (21)
ἢ περισσεύων ἐν φρονήσει καὶ παραβαίνων νόμον.
[25]ἔστιν πανουργία ἀκριβὴς καὶ αὕτη ἄδικος, 25 (22)
καὶ ἔστιν διαστρέφων χάριν τοῦ ἐκφᾶναι κρίμα.
[26]ἔστιν πονηρευόμενος συνκεκυφὼς μελανίᾳ, 26 (23)
καὶ τὰ ἐντὸς αὐτοῦ πλήρης δόλου·
[27]συνκύφων πρόσωπον καὶ ἑτεροκωφῶν, 27 (24)
ὅπου οὐκ ἐπεγνώσθη προφθάσει σε·
[28]καὶ ἐὰν ὑπὸ ἐλαττώματος ἰσχύος κωλυθῇ ἁμαρτεῖν, 28 (25)
ἐὰν εὕρῃ καιρὸν κακοποιήσει.
[29]ἀπὸ ὁράσεως ἐπιγνωσθήσεται ἀνήρ, 29 (26)
καὶ ἀπὸ ἀπαντήσεως προσώπου ἐπιγνωσθήσεται νοήμων·
[30]στολισμὸς ἀνδρὸς καὶ γέλως ὀδόντων καὶ βήματα ἀνθρώπου 30 (27)
ἀναγγέλλει τὰ περὶ αὐτοῦ.
[1]ἔστιν ἔλεγχος ὃς οὐκ ἔστιν ὡραῖος, 1 (28) XX
καὶ ἔστιν σιωπῶν καὶ αὐτὸς φρόνιμος.

[2]Ὡς καλὸν ἐλέγξαι ἢ θυμοῦσθαι, 2 (1)
καὶ ὁ ἀνθομολογούμενος ἀπὸ ἐλαττώσεως κωλυθήσεται.

ℵAC **16** ημαρτεν] ημαρτησεν B^{ab} ℵ **17** om σου ℵ | νομον C **20** φοβος] παρα C | ποιησεις AC^{a} **22** om οπου ℵ* (hab $ℵ^{c.a}$) AC **23** αυτη] λυτη $ℵ^{edit}$ **24** κρειττων] των sup ras A^{a} (και A^{*vid}) κρισσων C | ηττωμενος] ηλαττωμενος B^{ab} | φρονησει] συνεσει A **26** συγκεκυφως B^{ab} | πληρης] πληρη ℵ* (-ρης $ℵ^{c.a}$) πληρεις A **27** συνκυφων (συγκ. $B^{ab}AC$)] συνκρυφων $B^{*}ℵ^{1\,fort\,c.a}$ | επεγνωσθη] εγνωσθη C **28** om και ℵ* (hab ℵ $ℵ^{c.a}$) | κωλυθης ℵ | κακοποιησει] κακοπ. σε sup ras et in mg A^{a} **29** απο ι°] pr [κ]αι C* (om και C^{a}) | ανηρ] νοημῶ] ℵ* (ανηρ $ℵ^{c.a}$) **30** βηματα] βημα ποδος $ℵ^{c.a}$ βημα C | αναγγελει ℵAC (-λι) + σοι C | αυτου] εμου A | σιωπων sup ras C^{a} (τις σιγων C^{*fort}) XX **2** θυμουσθαι sup ras B^{ab} | ελλαττωσις C | κωλυσθησεται C

(2,3) 4 [4]ἐπιθυμία εὐνούχου ἀποπαρθενῶσαι νεάνιδα, B
οὕτως ὁ ποιῶν ἐν βίᾳ κρίματα.
5 [5]ἔστιν σιωπῶν εὑρισκόμενος σοφός, ¶ C
καὶ ἔστιν μισητὸς ἀπὸ πολλῆς λαλιᾶς.
6 [6]ἔστιν σιωπῶν, οὐ γὰρ ἔχει ἀπόκρισιν,
καὶ ἔστιν σιωπῶν, εἰδὼς καιρόν.
7 [7]ἄνθρωπος σοφὸς σιγήσει ἕως καιροῦ,
ὁ δὲ λαπιστὴς καὶ ἄφρων ὑπερβήσεται καιρόν.
8 [8]ὁ πλεονάζων λόγῳ βδελυχθήσεται,
καὶ ὁ ἐνεξουσιαζόμενος μισηθήσεται.

9 [9]Ἔστιν εὐοδία ἐν κακοῖς ἀνδρί,
καὶ ἔστιν εὕρεμα εἰς ἐλάττωσιν.
10 [10]ἔστιν δόσις ἣ οὐ λυσιτελήσει σοι,
καὶ ἔστιν δόσις ἧς τὸ ἀνταπόδομα διπλοῦν.
11 [11]ἔστιν ἐλάττωσις ἕνεκεν δόξης,
καὶ ἔστιν ὃς ἀπὸ ταπεινώσεως ἦρεν κεφαλήν.
12 [12]ἔστιν ἀγοράζων πολλὰ ὀλίγου
καὶ ἀποτινύων αὐτὰ ἑπταπλάσιον.
13 [13]ὁ σοφὸς ἐν λόγῳ ἑαυτὸν προσφιλῆ ποιήσει,
χάριτες δὲ μωρῶν ἐκχυθήσονται.
14 [14]δόσις ἄφρονος οὐ λυσιτελήσει σοι,
οἱ γὰρ ὀφθαλμοὶ αὐτοῦ ἀνθ' ἑνὸς πολλοί·
15 [15]ὀλίγα δώσει καὶ πολλὰ ὀνειδίσει,
καὶ ἀνοίξει τὸ στόμα αὐτοῦ ὡς κήρυξ·
(16) [16]σήμερον δανιεῖ καὶ αὔριον ἀπαιτήσει,
μισητὸς ἄνθρωπος ὁ τοιοῦτος.
(17) 16 [16]μωρὸς ἐρεῖ Οὐχ ὑπάρχει μοι φίλος,
καὶ οὐκ ἔστιν χάρις τοῖς ἀγαθοῖς μου·
(18) [18]οἱ ἔσθοντες τὸν ἄρτον μου φαῦλοι γλώσσῃ.

4 αποπαρθενωσεν C | om εν ℵ* (hab ℵc.a) **6** om και ℵ* (hab ℵc.a) | ℵAC ειδως καιρον] ιδως (sic) καιρ sup ras Aa (ουκ ιδ. A*fort) **7** σιγησει] σιωπησει ℵ | λαπιστης] adnot ψεύστης Ba mg | αφρων] αφιων A | καιρον] καιρω ℵ* (-ρον ℵc.a) **8** λογον A | εξουσιαζομενος A **9** ευοδια] ευωδια A **11** ελαττωσις] ελαττων A | ταπεινως (sic) A **12** αγοραζων] pr ο A | αποτηννυων A | επταπλασια ℵ **13** λογοις ℵA | ante ποιησει ras 1 lit A2 | μωρων εκχ.] ων ε sup ras B1 fort **15** απαιτησει] αποτισει A **16** om μοι A | μου 1°] αυτου ℵ* (μ. ℵc.a) | γλωσσης ℵ* (-σση ℵc.a)

B [17]ποσάκις καὶ ὅσοι καταγελάσονται αὐτοῦ; 17 –

[18]Ὀλίσθημα ἀπὸ ἐδάφους μᾶλλον ἢ ἀπὸ γλώσσης, 18 (20)
οὕτως πτῶσις κακῶν κατὰ σπουδὴν ἥξει.
[19]ἄνθρωπος ἄχαρις, μῦθος ἄκαιρος· 19 (21)
ἐν στόματι ἀπαιδεύτων ἐνδελεχισθήσεται.
[20]ἀπὸ στόματος μωροῦ ἀποδοκιμασθήσεται παραβολή, 20 (22)
οὐ γὰρ μὴ εἴπῃ αὐτὴν ἐν καιρῷ αὐτῆς.
[21]ἔστιν κωλυόμενος ἁμαρτάνειν ἀπὸ ἐνδείας, 21 (23)
καὶ ἐν τῇ ἀναπαύσει αὐτοῦ οὐ κατανυγήσεται.
[22]ἔστιν ἀπολλύων τὴν ψυχὴν αὐτοῦ δι' αἰσχύνην, 22 (24)
καὶ ἀπὸ ἄφρονος προσώπου ἀπολεῖ αὐτήν.
[23]ἔστιν χάριν αἰσχύνης ἐπαγγελλόμενος φίλῳ, 23 (25)
καὶ ἐκτήσατο αὐτὸν ἐχθρὸν δωρεάν.
[24]μῶμος πονηρὸς ἐν ἀνθρώπῳ ψεῦδος, 24 (26)
ἐν στόματι ἀπαιδεύτων ἐνδελεχισθήσεται.
[25]αἱρετὸν κλέπτης ἢ ἐνδελεχίζων ψεύδει, 25 (27)
ἀμφότεροι δὲ ἀπωλίαν κληρονομήσουσιν.
[26]ἦθος ἀνθρώπου ψευδοῦς ἀτιμία, 26 (28)
καὶ ἡ αἰσχύνη αὐτοῦ μετ' αὐτοῦ ἐνδελεχῶς.

Λόγοι παραβολῶν.

[27]Ὁ σοφὸς ἐν λόγοις προάξει ἑαυτόν, 27 (29)
καὶ ἄνθρωπος φρόνιμος ἀρέσει μεγιστᾶσιν·
[28]ὁ ἐργαζόμενος γῆν ἀνυψώσει θιμωνιὰν αὐτοῦ, 28 (30)
καὶ ὁ ἀρέσκων μεγιστᾶσιν ἐξιλάσεται ἀδίκιαν.
[29]ξένια καὶ δῶρα ἀποτυφλοῖ ὀφθαλμοὺς σοφῶν, 29 (31)
καὶ ὡς φιμὸς ἐν στόματι ἀποτρέπει ἐλεγμούς.
[30]σοφία κεκρυμμένη καὶ θησαυρὸς ἀφανής, 30 (32)
τίς ὠφέλεια ἐν ἀμφοτέροις;
[31]κρείσσων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ 31 (33)
ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ.

[1]Τέκνον, ἥμαρτες; μὴ προσθῇς μηκέτι, 1 XXI

ℵA **19** απαιδευτου ℵ **22** απολει] απολλυει A **24** ψευδος] pr το ℵ$^{c.a}$ **25** om η A | ενδελεχιζων] pr ο B^{ab}ℵ | απωλειαν B^{ab}A **26** ψευδος B^{ab}A **27** προαξει εαυτον] προσαξεις αυτον A^{vid} | αρεσκει ℵ* (αρεσει ℵ$^{c.a}$) **28** θειμωνιων A^{*vid} (θειμωνιαν A$^{?vid}$) | αδικιας A **29** αποτρεμει A **30** ωφελια ℵ **31** κριττων ℵA | αποκρυπτων 2°] αποκαλυπτων ℵ

καὶ περὶ τῶν προτέρων σου δεήθητι. B
2 [2]ὡς ἀπὸ προσώπου ὄφεως φεῦγε ἀπὸ ἁμαρτίας·
ἐὰν γὰρ προσέλθῃς, δήξεταί σε·
(3) [3]ὀδόντες λέοντος οἱ ὀδόντες αὐτῆς,
ἀναιροῦντες ψυχὰς ἀνθρώπων.
(4) 3 [3]ὡς ῥομφαία δίστομος πᾶσα ἀνομία,
τῇ πληγῇ αὐτῆς οὐκ ἔστιν ἴασις.
(5) 4 [4]καταπληγμὸς καὶ ὕβρις ἐρημώσουσιν πλοῦτον,
οὕτως οἶκος ὑπερηφάνου ἐρημωθήσεται.
(6) 5 [5]δέησις πτωχοῦ ἐκ στόματος ἕως ὠτίων αὐτοῦ,
καὶ τὸ κρίμα αὐτοῦ κατὰ σπουδὴν ἔρχεται.
(7) 6 [6]μισῶν ἐλεγμὸν ἐν ἴχνει ἁμαρτωλοῦ,
καὶ ὁ φοβούμενος Κύριον ἐπιστρέψει ἐν καρδίᾳ.
(8) 7 [7]γνωστὸς μακρόθεν ὁ δυνατὸς ἐν γλώσσῃ,
ὁ δὲ νοήμων οἶδεν ἐν τῷ ὀλισθάνειν αὐτόν.
(9) 8 [8]ὁ οἰκοδομῶν τὴν οἰκίαν αὐτοῦ ἐν χρήμασιν ἀλλοτρίοις
ὡς συνάγων αὐτοῦ τοὺς λίθους εἰς χειμῶνα.
(10) 9 [9]στιππύον συνηγμένον συναγωγὴ ἀνόμων,
καὶ ἡ συντέλεια αὐτῶν φλὸξ πυρός.
(11) 10 [10]ὁδὸς ἁμαρτωλῶν ὡμαλισμένη ἐκ λίθων,
καὶ ἐπ' ἐσχάτῳ αὐτῆς βόθρος ᾅδου.
(12) 11 [11]ὁ φυλάσσων νόμον κατακρατεῖ τοῦ ἐννοήματος αὐτοῦ,
(13) [13]καὶ συντέλεια τοῦ φόβου Κυρίου σοφία.
(14) 12 §[12]οὐ παιδευθήσεται ὃς οὐκ ἔστιν πανοῦργος· § C
(15) [15]ἔστιν πανουργία πληθύνουσα πικρίαν.
(16) 13 [13]γνῶσις σοφοῦ ὡς κατακλυσμὸς πληθυνθήσεται,
καὶ ἡ βουλὴ αὐτοῦ ὡς πηγὴ ζωῆς.
(17) 14 [14]ἔγκατα μωροῦ ὡς ἄγγιον συντετριμμένον,
καὶ πᾶσαν γνῶσιν οὐ κρατήσει.
(18) 15 [15]λόγον σοφὸν ἐὰν ἀκούσῃ ἐπιστήμων,

XXI **2** λεοντες ℵ* (-τος ℵc.a) **3** τη πληγη] pr και A **4** καταπληγμος ℵAC και] κακῶν πλῆθος 𝔎 B$^{a\,?\,c\,?\,mg}$ | υπερηφανων ℵc.aA **5** στοματος εως] τος εως sup litur B$^{?vid}$ **6** ελεγμον] ελεγχον A | ιχνη B$^{?}$ | αμαρτωλου] retract aliq B$^{?}$ | Κυριον] τον θν A **7** ολισθαινειν ℵc.a (vid) **8** συναγων] pr ο ℵ | τους λιθους αυτου ℵA **9** στυπτιον A | συναγωγη] υνα sup litur B^{a} εισαγωγη A **10** εσχατω] εσχατου ℵ εσχατω| A **11** κατακρατει] κατακρατησει ℵ | om του εννοηματος αυτου ℵ* (hab τ. νοηματος αυτ. ℵc.a) | συντελια ℵ **12** εστιν 2ο]+ δε ℵAC | πανουργεια A | πικριαν] παιδιαν (αιδι sup ras) A^{a} **13** αυτου] αυτων C **14** om ως C | αγγειον B^{ab}

B αἰνέσει αὐτὸν καὶ ἐπ' αὐτὸν προσθήσει·
ἤκουσεν ὁ σπαταλῶν καὶ ἀπήρεσεν αὐτῷ,
καὶ ἀπέστρεψεν αὐτὸν ὀπίσω τοῦ νώτου αὐτοῦ.
16 ἐξήγησις μωροῦ ὡς ἐν ὁδῷ φορτίον, 16 (19)
ἐπὶ δὲ χείλους συνετοῦ εὑρεθήσεται χάρις.
17 στόμα φρονίμου ζητηθήσεται ἐν ἐκκλησίᾳ, 17 (20)
καὶ τοὺς λόγους αὐτοῦ διανοηθήσεται ἐν καρδίᾳ.
18 ὡς οἶκος ἠφανισμένος οὕτως μωρῷ σοφία, 18 (21)
καὶ γνῶσις ἀσυνέτου ἀδιεξέταστοι λόγοι.
19 πέδαι ἐν ποσὶν ἀνοήτοις παιδεία, 19 (22)
καὶ ὡς χειροπέδαι ἐπὶ χειρὸς δεξιᾶς.
20 μωρὸς ἐν γέλωτι ἀνυψοῖ φωνὴν αὐτοῦ, 20 (23)
ἀνὴρ δὲ πανοῦργος μόλις ἡσυχῇ μειδιάσει.
21 ὡς κόσμος χρυσοῦς φρονίμῳ παιδεία, 21 (24)
καὶ ὡς χλιδὼν ἐπὶ βραχίονι δεξιῷ.
22 ποὺς μωροῦ ταχὺς εἰς οἰκίαν, 22 (25)
ἄνθρωπος δὲ πολύπειρος αἰσχυνθήσεται ἀπὸ προσώπου.
23 ἄφρων ἀπὸ θύρας παρακύπτει εἰς οἰκίαν, 23 (26)
ἀνὴρ δὲ πεπαιδευμένος ἔξω στήσεται.
24 ἀπαιδευσία ἀνθρώπου ἀκροᾶσθαι παρὰ θύραν, 24 (27)
ὁ δὲ φρόνιμος βαρυνθήσεται ἀτιμίᾳ.
25 χείλη ἀλλοτρίων ἐν τούτοις βαρυνθήσεται, 25 (28)
λόγοι δὲ φρονίμων ἐν ζυγῷ σταθήσονται.
26 ἐν στόματι μωρῶν ἡ καρδία αὐτῶν, 26 (29)
καρδία δὲ σοφῶν στόμα αὐτῶν.
27 ἐν τῷ καταρᾶσθαι ἀσεβῆ τὸν σατανὰ 27 (30)
αὐτὸς καταρᾶται τὴν ἑαυτοῦ ψυχήν.

ℵAC **15** *του νωτου*] *τωνωτων* A **16** om *ως* ℵ* (hab ℵ$^{c.a}$) | *φορτιον*] *φ..ρητιον* C | *χιλουσυνετου* A | *χαρις*] *παραβολη* ℵ$^{c.a}$ om A **17** *στομα*]+*δε* ℵ* (om ℵ$^{c.a}$) | *διανοηθησονται* ℵAC **18** *συνετου* ℵ* (*ασυν.* ℵ$^{c.a}$) **19** *ποσιν*] *πασιν* C | *ανοητοις παιδεια*] *ανομια του παιδιου* A *ανοητου παιδια* ℵC | om *ως* ℵ* (hab ℵ$^{c.a}$) | *χειροπαιδες* A **20** *φωνην*] pr *την* ℵAC | *μηδιασει* ℵ* (*μιδ.* ℵ$^{?}$) AC **21** *παιδια* ℵAC | *χλιδων*] *χελιδων* C* (*ε* ras C$^{?}$) **23** *θυρας*] *υ* sup ras 3 fere litt C^{a} **24** *ακροασασθαι* ℵ | *θυραν*] *θυρας* C | *ατιμιαν* ℵAC **25** *αλλοτρια* ℵ$^{c.a}$ | *ταυτοις* ℵ* (*τουτ.* ℵ$^{c.a}$) | *βαρυνθησεται*] *διηγησονται* ℵ *βαρυνθησονται* C **26** *η* B^{ab}ℵAC] *εν* B* | *σοφων*] *φρονιμων* A **27** *καταρασασθαι* A | *ασεβη* (*-βην* A)] pr *τον* ℵC | *σαταναν* B$^{b?\,c?}$ ℵAC | *την εαυτου ψυχην*] *την ψ. αυτου* A

(31) 28 [28]μολύνει τὴν ἑαυτοῦ ψυχὴν ὁ ψιθυρίζων, B
καὶ ἐν παροικήσει μισηθήσεται.

XXII 1 [1]Λίθῳ ἠρδαλωμένῳ συνεβλήθη ὀκνηρός,
καὶ πᾶς ἐκσυριεῖ ἐπὶ τῇ ἀτιμίᾳ αὐτοῦ.
2 [2]βολβίτῳ κοπρίων συνεβλήθη ὀκνηρός,
πᾶς ὁ ἀναιρούμενος αὐτὸν ἐκτινάξει χεῖρα.
3 [3]αἰσχύνη πατρὸς ἐν γεννήσει ἀπαιδεύτου,
θυγάτηρ δὲ ἐπ' ἐλαττώσει γίνεται.
4 [4]θυγάτηρ φρονίμη κληρονομήσει ἄνδρα αὐτῆς,
καὶ ἡ καταισχύνουσα εἰς λύπην γεννήσαντος·
5 [5]πατέρα καὶ ἄνδρα καταισχύνει ἡ θρασεῖα,
καὶ ὑπὸ ἀμφοτέρων ἀτιμασθήσεται.
6 [6]μουσικὰ ἐν πένθει ἄκαιρος διήγησις,
μάστιγες καὶ παιδεία ἐν παντὶ καιρῷ σοφίας.
7 [7]συνκολλῶν ὄστρακον ὁ διδάσκων μωρόν,
(8) [(8)]ἐξεγείρων καθεύδοντα ἐκ βαθέος ὕπνου·
(9) 8 [8]διηγούμενος νυστάζοντι ὁ διηγούμενος μωρῷ,
καὶ ἐπὶ συντελείᾳ ἐρεῖ Τί ἐστιν;
(10) 11 [11]ἐπὶ νεκρῷ κλαῦσον, ἐξέλιπεν γὰρ φῶς·
καὶ ἐπὶ μωρῷ κλαῦσον, ἐξέλιπεν γὰρ σύνεσιν·
(11) [(11)]ἥδιον κλαῦσον ἐπὶ νεκρῷ, ὅτι ἀνεπαύσατο,
(12) [(12)]τοῦ δὲ μωροῦ ὑπὲρ θάνατον ἡ ζωὴ πονηρά.
(13) 12 [12]πένθος νεκροῦ ἑπτὰ ἡμέραι,
μωροῦ δὲ καὶ ἀσεβοῦς πᾶσαι αἱ ἡμέραι τῆς ζωῆς αὐτοῦ.
(14) 13 [13]μετὰ ἄφρονος μὴ πληθύνῃς λόγον,
καὶ πρὸς ἀσύνετον μὴ πορεύου·
(15) [(15)]φύλαξαι ἀπ' αὐτοῦ, ἵνα μὴ κόπον ἔχῃς
καὶ οὐ μὴ μολυνθῇς ἐν τῷ ἐντιναγμῷ αὐτοῦ·

28 *μολυνει*] inter *υ* et *ν* om 1 lit (*ν* fort) $C^{?}$ | *ψιθυριζων*] *θυρ* sup ras 4 litt ℵAC A^{a} | *εν*] *ου εαν* C XXII **1** *ηρδαλωμενω* (αλ sup ras C^{a})] adnot *ηρδαλωμένω*| *μεμελισμένω*| *μεμιασμένω* $B^{b\ fort\ c\ mg\ sup}$ | *συνεβληθη*] *ελιθοβοληθη* ℵ$^{c.a}$ **2** *κοπριω* ℵA | *συνεβληθη*] improb *συν* ℵ$^{c.a}$ | *εκτιναξει* C **3** *δε επ ελαττωσει*] *δε επ ελατ* sup ras C^{a} **4** *αυτης*] *εαυτης* ℵ | *γεννησαντος*] *ενγενν.* ℵ* (improb *εν* ℵ$^{c.a}$) **5** *θρασεια*] *θρησκια* A **6** *μαστιγες*]+*δε* ℵAC | *παιδια* ℵAC | *σοφια* ℵ* (*-ας* ℵ$^{c.a}$) **7** *συγκολλων* B^{ab}AC | *οστρακων* ℵ | *βαθεου* A **8** *συντελια* ℵC **11** *εξελειπεν* (bis) AC | *συνεσις* B^{ab} | *ηδιον* (*ηδειον* ℵ)] *ιδιον* AC | *δε*] *γαρ* ℵ* (*δε* ℵ$^{c.a}$) A om C | *θανατον η ζωη*] om *η* AC$^{*\ vid}$ (*τον η ζ* sup ras C^{a}) **12** *πασαι αι ημεραι* sup ras C^{a} | *αυτου*] *αυτων* A **13** *νης λογον* sup ras pl litt A^{a} | *εντιναγματι* A

B [16]ἔκκλινον ἀπ᾽ αὐτοῦ καὶ εὑρήσεις ἀνάπαυσιν, (16)
καὶ οὐ μὴ ἀκηδιάσῃς ἐν τῇ ἀπονοίᾳ αὐτοῦ.
[14]ὑπὲρ μόλιβον τί βαρυνθήσεται; 14 (17)
καὶ τί αὐτῷ ὄνομα ἀλλ᾽ ἢ μωρός;
[15]ἄμμον καὶ ἅλα καὶ βῶλον σιδήρου 15 (18)
εὔκοπον ὑπενεγκεῖν ἢ ἄνθρωπον ἀσύνετον.
[16]ἱμάντωσις ξυλίνη ἐνδεδεμένη εἰς οἰκοδομὴν 16 (19)
ἐν συσσεισμῷ οὐ διαλυθήσεται,
οὕτως καρδία ἐστηριγμένη ἐπὶ διανοήματος βουλῆς
[20]ἐν καιρῷ οὐ δειλιάσει. (20)
[17]καρδία ἡδρασμένη ἐπὶ διανοίας συνέσεως 17
ὡς κόσμος ψαμμωτὸς τοίχου ξυστοῦ.
[18]χάρακες ἐπὶ μετεώρου κείμενοι 18 (21)
κατέναντι ἀνέμου οὐ μὴ ὑπομείνωσιν·
[22,23]οὕτως καρδία δειλὴ ἐπὶ διανοήματος μωροῦ (22,23)
κατέναντι παντὸς φόβου οὐ μὴ ὑπομείνῃ.
[19]ὁ νύσσων ὀφθαλμὸν κατάξει δάκρυα, 19 (24)
¶ C καὶ νύσσων καρδίαν ἐκφαίνει αἴσθησιν.¶
[20]βάλλων λίθον ἐπὶ πετεινὰ ἀποσοβεῖ αὐτά, 20 (25)
καὶ ὁ ὀνειδίζων φίλον διαλύσει φιλίαν.
[21]ἐπὶ φίλον ἐὰν σπάσῃς ῥομφαίαν, 21 (26)
μὴ ἀφελπίσῃς, ἔστιν γὰρ ἐπάνοδος·
[22]ἐπὶ φίλον [27]ἐὰν ἀνοίξῃς στόμα, 22 (27)
μὴ εὐλαβηθῇς, ἔστιν γὰρ διαλλαγή·
πλὴν ὀνειδισμοῦ καὶ ὑπερηφανίας καὶ μυστηρίου ἀποκα-
λύψεως καὶ πληγῆς δολίας·
ἐν τούτοις ἀποφεύξεται πᾶς φίλος.
[23]πίστιν κτῆσαι ἐν πτωχείᾳ μετὰ τοῦ πλησίον, 23 (28)
ἵνα ἐν τοῖς ἀγαθοῖς αὐτοῦ ὁμοῦ πλησθῇς·

ℵAC **13** ακηδιασης] ακηδιασεις ℵ κηδιασης A | απονοια] υπονοια C **14** μολιβον] βολιβον A | ονομα αυτω ℵ **15** αμμων A | σιδηρουν ℵ* (-ρου ℵ$^{c.a}$) A **16** ενδεδεμενη εις οικοδομην] εις οικοδομην A* + ενδεδεμενη A$^{a(mg)}$ ενδεδ. sup ras C$^{a\,vid}$ | συσεισμω BC (συσισμ.) συνσισμω ℵ συσσισμω A | εν καιρω ου δειλ. c seqq coniung ℵ **17** διανοια ℵ$^{?}$ (ras ς) A | ψαμμωτος] τ sup ras A^{a} | ξυστου] ξεστου ℵ$^{c.a}$ **18** χαρακες] χαλικες AC | ου μη (1°)] ουκ C | υπομεινωσιν] μινωσιν ℵ* (υπομιν. ℵ$^{c.a}$) υπομενουσιν A υπομινουσιν C | om ου 2° A* (superscr A^{a}) **19** οφθαλμους A | νυσσων 2°] pr ο ℵ$^{c.a}$A | αναφαινει A **20** βαλλων] pr ο ℵ* (om ο ℵ$^{c.a}$) **21** απελπισης A **22** ανοιξηστομα A | διαλλαγη] αλλαγη sup ras A^{a} | φιλος] pr ο A **23** πιστον ℵ* (-τιν ℵ$^{c.a}$) | εν 2°] επι A | ομου πλησθης] ευφρανθης ℵ ευφρ. συ A

(29) [29]ἐν καιρῷ θλίψεως διάμενε αὐτῷ, B
ἵνα ἐν τῇ κληρονομίᾳ αὐτοῦ συνκληρονομήσῃς.
(30) 24 [24]πρὸ πυρὸς ἀτμὶς καμίνου καὶ καπνός,
οὕτως πρὸ αἱμάτων λοιδορίαι.
(31) 25 [25]φίλον σκεπάσαι οὐκ αἰσχυνθήσομαι,
καὶ ἀπὸ προσώπου αὐτοῦ οὐ μὴ κρυβῶ,
26 [26]καὶ εἰ κακά μοι συμβήσεται δι' αὐτόν,
(32) [32]πᾶς ὁ ἀκούων φυλάξεται ἀπ' αὐτοῦ.

(33) 27 [27]Τίς δώσει μοι ἐπὶ στόμα μου φυλακὴν
καὶ ἐπὶ τῶν χειλέων μου σφραγῖδα πανοῦργον,
ἵνα μὴ πέσω ἀπ' αὐτῆς,
καὶ ἡ γλῶσσά μου ἀπολέσῃ με;
XXIII 1 [1]Κύριε, πάτερ καὶ δέσποτα ζωῆς μου,
μὴ ἐγκαταλίπῃς με ἐν βουλῇ αὐτῶν,
μὴ ἀφῇς με πεσεῖν ἐν αὐτοῖς.
2 [2]τίς ἐπιστήσει ἐπὶ τοῦ διανοήματός μου μάστιγας,
καὶ ἐπὶ τῆς καρδίας μου παιδείαν σοφίας,
ἵνα ἐπὶ τοῖς ἀγνοήμασίν μου μὴ φείσωνται,
καὶ οὐ μὴ παρῇ τὰ ἁμαρτήματα αὐτῶν·
3 [3]ὅπως μὴ πληθύνωσιν αἱ ἄγνοιαί μου,
καὶ αἱ ἁμαρτίαι μου πλεονάσωσιν,
καὶ πεσοῦμαι ἔναντι τῶν ὑπεναντίων,
καὶ ἐπιχαρεῖταί μοι ὁ ἐχθρός μου;
4 [4]Κύριε, πάτερ καὶ θεὲ ζωῆς μου,
(5) [5]μετεωρισμὸν ὀφθαλμῶν μὴ δῷς μοι,
5 [5]καὶ ἐπιθυμίαν ἀπόστρεψον ἀπ' ἐμοῦ·
6 [6]κοιλίας ὄρεξις καὶ συνουσιασμὸς μὴ καταλαβέτωσάν με,
καὶ ψυχῇ ἀναιδεῖ μὴ παραδῷς με.

Παιδεία στόματος.

7 [7]Παιδείαν στόματος ἀκούσατε, τέκνα,
καὶ ὁ φυλάσσων οὐ μὴ ἁλῷ·

23 συγκληρονομησης $B^{c}A$ **25** ουκ αισχυνθησομαι] ου κατεσχυνθ. $\aleph^{*}$ $\aleph A$ (ουκ εσχυνθ. $\aleph^{c.a}$) **26** συμβησεται] συμβη B^{ab} (improb et unc incl σεται) συνεβη $\aleph^{*}$ (συνβεη $\aleph^{c.a}$) συμβεβηκεν A | ο ακουων] om ο A **27** om μοι $\aleph A$ | στομα] τω στοματι $\aleph^{c.a}$ στοματι A | πανουργων $\aleph A$ XXIII **1** πατερ] $\overline{\pi\eta\rho}$ A | δεσποτα] θε A | εγκαταλειπης A | μη 2°] pr και $\aleph^{c.a}$A **2** επιστησει] επιστησε $\aleph^{1}$ (ras ι 2°) επιστηση A | παιδιας A | και ου μη...αυτων] pr asterisc $\aleph^{c.a}$ | αυτων] ω sup ras A^{a} **3** πληθυνθωσιν $\aleph A$ **4** μετεωρισμον] ρ sup ras A^{a} **6** καιλιας A | αναιδη A **7** om tit $\aleph A$ | παιδιαν $\aleph A$

B ἐν τοῖς χείλεσιν αὐτοῦ [8]καταλειφθήσεται 8
ἁμαρτωλὸς καὶ λοίδορος καὶ ὑπερήφανος·
σκανδαλισθήσονται ἐν αὐτοῖς.
[9]ὅρκῳ μὴ ἐθίσῃς τὸ στόμα σου, 9
[10]καὶ ὀνομασίᾳ τοῦ ἁγίου μὴ συνεθισθῇς. (10)
[10]ὥσπερ γὰρ οἰκέτης ἐξεταζόμενος ἐνδελεχῶς 10 (11)
ἀπὸ μώλωπος οὐκ ἐλαττωθήσεται,
οὕτως καὶ ὁ ὀμνύων καὶ ὀνομάζων διὰ παντὸς
ἀπὸ ἁμαρτίας οὐ μὴ καθαρισθῇ.
[11]ἀνὴρ πολύορκος πλησθήσεται ἀνομίας, 11 (12)
καὶ οὐκ ἀποστήσεται ἀπὸ τοῦ οἴκου αὐτοῦ μάστιξ·
[13]ἐὰν πλημμελήσῃ, ἁμαρτία αὐτοῦ ἐπ' αὐτῷ, (13)
κἂν ὑπερίδῃ, ἥμαρτεν δισσῶς·
[14]καὶ εἰ διὰ κενῆς ὤμοσεν, οὐ δικαιωθήσεται, (14)
πλησθήσεται γὰρ ἐπαγωγῶν ὁ οἶκος αὐτοῦ.
[12]ἔστιν λέξις ἀντιπεριβεβλημένη θανάτῳ, 12 (15)
μὴ εὑρεθήτω ἐν κληρονομίᾳ Ἰακώβ·
[16]ἀπὸ γὰρ εὐσεβῶν ταῦτα πάντα ἀποστήσεται, (16)
καὶ ἐν ἁμαρτίαις οὐκ ἐνκυλισθήσονται.
[13]ἀπαιδευσίαν ἀσυρῇ μὴ συνεθίσῃς τὸ στόμα σου· 13 (17)
ἔστιν γὰρ ἐν αὐτῇ λόγος ἁμαρτίας.
[14]μνήσθητι πατρὸς καὶ μητρός σου, 14 (18)
ἀνὰ μέσον γὰρ μεγιστάνων συνεδρεύει·
[15]μή ποτε ἐπιλάθῃ ἐνώπιον αὐτῶν, (19)
καὶ τῷ ἐθισμῷ σου μωρανθῇς,
καὶ θελήσεις εἰ μὴ ἐγεννήθης,
καὶ τὴν ἡμέραν τοῦ τοκετοῦ σου μὴ καταράσῃ.
[15]ἄνθρωπος συνεθιζόμενος λόγοις ὀνειδισμοῦ 15 (20)
ἐν πάσαις ταῖς ἡμέραις αὐτοῦ οὐ μὴ παιδευθῇ.

[16]Δύο εἴδη πληθύνουσιν ἁμαρτίας, 16 (21)
καὶ τὸ τρίτον ἐπάξει ὀργήν·

ℵA **7** εν] pr ουτε ℵ$^{c.a}$ **8** λοιδοριαι ℵ* (λοιδορος ℵ$^{c.a}$) **9** αγιου] υψιστου ℵ$^{c.a}$A | post μη 2° 2 fere litt ras A$^{?}$ **10** ονομαζων] pr ο ℵA | δια παντος] + το ονομα κυ ℵ$^{c.a}$A **11** μαστιγξ ℵ | καν] και εαν ℵ | υπερειδη A | κενης] καινης ℵ **12** εγκυλισθησονται B^{ab} εκυλισθησονται A* (ενκυλ. A^{a}) **13** απαιδευσια ℵ$^{c.a}$ | εθισης ℵ* (συνεθισης ℵ$^{c.a}$) **14** πατρος] + σου ℵA | συνεδρευεις B^{c}A συνεδρευσεις ℵ | om μη 3° B^{c}ℵA | om καταρασῃ A **16** πληθυνωσιν A

(22) [22]ψυχὴ θερμὴ ὡς πῦρ καιόμενον, B
οὐ μὴ σβεσθῇ ἕως ἂν καταποθῇ·
(23) [23]ἄνθρωπος πόρνος ἐν σώματι σαρκὸς αὐτοῦ,
οὐ μὴ παύσηται ἕως ἂν ἐκκαύσῃ πῦρ·
(24) 17 [17]ἀνθρώπῳ πόρνῳ πᾶς ἄρτος ἡδύς,
οὐ μὴ κοπάσῃ ἕως ἂν τελευτήσῃ·
(25) 18 [18]ἄνθρωπος παραβαίνων ἀπὸ τῆς κλίνης αὐτοῦ,
λέγων ἐν τῇ ψυχῇ αὐτοῦ Τίς με ὁρᾷ;
(26) [26]σκότος κύκλῳ μου, καὶ οἱ τοῖχοί με καλύπτουσιν,
καὶ οὐθείς με ὁρᾷ, τί εὐλαβοῦμαι;
τῶν ἁμαρτιῶν μου οὐ μὴ μνησθήσεται ὁ ὕψιστος.
(27) 19 [19]καὶ ὀφθαλμοὶ ἀνθρώπων ὁ φόβος αὐτοῦ,
(28) [28]καὶ οὐκ ἔγνω ὅτι ὀφθαλμοὶ Κυρίου μυριοπλασίως ἡλίου
φωτεινότεροι,
ἐπιβλέποντες πάσας ὁδοὺς ἀνθρώπων
καὶ κατανοοῦντες εἰς ἀπόκρυφα μέρη.
(29) 20 [20]πρὶν ἢ κτισθῆναι τὰ πάντα ἔγνωσται αὐτῷ,
οὕτως καὶ μετὰ τὸ συντελεσθῆναι.
(30) 21 [21]οὗτος ἐν πλατείαις πόλεως ἐκδικηθήσεται,
καὶ οὗ οὐχ ὑπενόησεν πιασθήσεται.
(32) 22 [22]οὕτως καὶ γυνὴ καταλιποῦσα τὸν ἄνδρα
καὶ παριστῶσα κληρονόμον ἐξ ἀλλοτρίου·
(33) 23 [23]πρῶτον μὲν γὰρ ἐν νόμῳ Ὑψίστου ἠπείθησεν,
καὶ δεύτερον εἰς ἄνδρα ἑαυτῆς ἐπλημμέλησεν·
καὶ τὸ τρίτον ἐν πορνείᾳ ἐμοιχεύθη,
ἐξ ἀλλοτρίου ἀνδρὸς τέκνα παρέστησεν.
(34) 24 [24]αὕτη εἰς ἐκκλησίαν ἐξαχθήσεται,
καὶ ἐπὶ τὰ τέκνα αὐτῆς ἐπισκοπὴ ἔσται·
(35) 25 [25]οὐ διαδώσουσιν τὰ τέκνα αὐτῆς εἰς ῥίζαν,
καὶ οἱ κλάδοι αὐτῆς οὐ δώσουσιν καρπόν·

16 καταποθη] καταπιη τι ℵ$^{c.a}$ **17** τελευτησει A **18** ανθρωπος] ℵA + πορνος A | κλινης] κοιτης A | om εν A | τη ψυχη] om τη ℵ* (hab τη ℵ$^{c.a}$) | οι τοιχοι] om οι ℵ* (hab οι ℵ$^{c.a}$) | και ουθεις...ευλαβουμαι] pr asterisc ℵ$^{c.a}$ | τι] τινα A | ο υψιστος] οψιστος ℵ* (ο υψ. ℵ$^{c.c}$) **19** πασας] pr επι ℵ$^{c.a}$ | om εις A **20** κτισθηναι (-θεναι A)] κτ sup ras B^{ab} | συντελεσθηναι] τελεσθηναι A **21** ου] ος A | πιασθησεται] κολασθησετ, A **22** καταλειπουσα A **23** Υψιστω A | εαυτης] αυτης ℵA | πορνια ℵ | εξ] pr και ℵA **24** αυτης] αυτη B* (-της B$^{a?b(vid)}$) **25** ου δωσουσιν] ουκ οισουσιν ℵA

B [26]καταλείψει εἰς κατάραν τὸ μνημόσυνον αὐτῆς, 26 (36)
καὶ τὸ ὄνειδος αὐτῆς οὐκ ἐξαλειφθήσεται·
[27]καὶ ἐπιγνώσονται οἱ καταλειφθέντες 27 (37)
ὅτι οὐθὲν κρεῖττον φόβου Κυρίου,
καὶ οὐθὲν γλυκύτερον τοῦ προσέχειν ἐντολαῖς Κυρίου.

Αἴνεσις σοφίας.

[1]Ἡ σοφία αἰνέσει ψυχὴν αὐτῆς, 1 XXIV
καὶ ἐν μέσῳ λαοῦ αὐτῆς καυχήσεται.
[2]ἐν ἐκκλησίᾳ Ὑψίστου στόμα αὐτῆς ἀνοίξει, 2
καὶ ἔναντι δυνάμεως αὐτοῦ καυχήσεται
[3]Ἐγὼ ἀπὸ στόματος Ὑψίστου ἐξῆλθον, 3 (5)
[(6)]καὶ ὡς ὁμίχλη κατεκάλυψα γῆν· (6)
[4]ἐγὼ ἐν ὑψηλοῖς κατεσκήνωσα, 4 (7)
καὶ ὁ θρόνος μου ἐν στύλῳ νεφέλης·
[5]γῦρον οὐρανοῦ ἐκύκλωσα μόνη, 5 (8)
καὶ ἐν βάθει ἀβύσσων περιεπάτησα·
[6]ἐν κύμασιν θαλάσσης [(9)]καὶ ἐν πάσῃ τῇ γῇ, 6 (9)
[(10)]καὶ ἐν παντὶ λαῷ καὶ ἔθνει ἐκτησάμην· (10)
[7]μετὰ τούτων πάντων ἀνάπαυσιν ἐζήτησα, 7 (11)
καὶ ἐν κληρονομίᾳ τίνος αὐλισθήσομαι;
[8]τότε ἐνετείλατό μοι ὁ κτίστης ἁπάντων, 8 (12)
καὶ ὁ κτίσας με κατέπαυσεν τὴν σκηνήν μου
[(13)]καὶ εἶπεν Ἐν Ἰακὼβ κατασκήνωσον, (13)
καὶ ἐν Ἰσραὴλ κατακληρονομήθητι.
[9]πρὸ τοῦ αἰῶνος ἀπ᾽ ἀρχῆς ἔκτισέν με, 9 (14)
καὶ ἕως αἰῶνος οὐ μὴ ἐκλίπω.
[10]ἐν σκηνῇ ἁγίᾳ ἐνώπιον αὐτοῦ ἐλειτούργησα, 10
[(15)]καὶ οὕτως ἐν Σειὼν ἐστηρίχθην· (15)
[11]ἐν πόλει ἠγαπημένῃ ὁμοίως με κατέπαυσεν, 11
καὶ ἐν Ἰερουσαλὴμ ἡ ἐξουσία μου·

ℵA **26** καταλειψις A XXIV **1** tit σοφιας αινεσις ℵA | η σοφια] om η ℵ* vid (hab ℵ? (mg sinistr)) | καυχησονται A **2** στομα] pr το ℵ **3** ομιχλην A **6** κυμασι ℵ | om και 3° ℵ* (hab ℵ$^{c.a}$) | εκτησαμην] ηγησαμην ℵ$^{c.a}$ **7** εζητησα αναπαυσιν A **8** κτισας] κτισης ℵ* (κτισας ℵ$^{1c.a}$) | om εν 1° A | Ιακωβ· A | κατακληρονομηθητι] κληρονομηθητι A **9** απαρχην A | post εως ras 1 lit A? | αιωνος 2°] αιωνων ℵA | εκλειπω A **10** ελειτουργουν A | Σιων B^b (ita saepius) **11** om με ℵ | η εξουσια] εξουσιαν A

(16) 12 [12]καὶ ἐρρίζωσα ἐν λαῷ δεδοξασμένῳ, B
ἐν μερίδι Κυρίου κληρονομίας αὐτοῦ.
(17) 13 [13]ὡς κέδρος ἀνυψώθην ἐν τῷ Λιβάνῳ,
καὶ ὡς κυπάρισσος ἐν ὄρεσιν Ἀερμών·
(18) 14 [14]ὡς φοίνιξ ἀνυψώθην ἐν αἰγιαλοῖς,
καὶ ὡς φυτὰ ῥόδου ἐν Ἰερειχώ·
(19) [(19)]ὡς ἐλαία εὐπρεπὴς ἐν πεδίῳ,
καὶ ἀνυψώθην ὡς πλάτανος.
(20) 15 [15]ὡς κιννάμωμον καὶ ἀσπάλαθος ἀρωμάτων δέδωκα ὀσμήν,
καὶ ὡς σμύρνα ἐκλεκτὴ διέδωκα εὐωδίαν,
(21) [(21)]ὡς χαλβάνη καὶ ὄνυξ καὶ στακτή,
καὶ ὡς λιβάνου ἀτμὶς ἐν σκηνῇ·
(22) 16 [16]ἐγὼ ὡς τερέμινθος ἐξέτεινα κλάδους μου,
καὶ οἱ κλάδοι μου κλάδοι δόξης καὶ χάριτος.
(23) 17 [17]ἐγὼ ὡς ἄμπελος βλαστήσασα χάριν,
καὶ τὰ ἄνθη μου καρπὸς δόξης καὶ πλούτου.
(26) 19 [19]προσέλθετε πρὸς μέ, οἱ ἐπιθυμοῦντές μου,
καὶ ἀπὸ τῶν γενημάτων μου ἐμπλήσθητε·
(28) 20 [20]τὸ γὰρ μνημόσυνόν μου ὑπὲρ μέλι γλυκύ,
καὶ ἡ κληρονομία μου ὑπὲρ μέλιτος κηροῦ.
(29) 21 [21]οἱ ἐσθίοντές με ἔτι πεινάσουσιν,
καὶ οἱ πίνοντές με ἔτι διψήσουσιν·
(30) 22 [22]ὁ ὑπακούων μου οὐκ αἰσχυνθήσεται,
καὶ οἱ ἐργαζόμενοι ἐν ἐμοὶ οὐχ ἁμαρτήσουσιν.
(32) 23 [23]ταῦτα πάντα βίβλος διαθήκης θεοῦ Ὑψίστου,
νόμον ὃν ἐνετείλατο Μωυσῆς
κληρονομίαν συναγωγαῖς Ἰακώβ·
(35) 25 [25]ὁ πιμπλῶν ὡς Φισὼν σοφίαν,
καὶ ὡς Τίγρις ἐν ἡμέραις νέων·

12 δεδοξασμενω] δεδοκιμασμενω ℵ$^{c.a}$ **13** ορεσιν] ορει A **14** αιγιαλοις] ℵA Ενγαδδοις ℵ$^{c.a}$ | Ιεριχω B^{b}A | ως 3°] pr και ℵA **15** ασπαλαθος] pr ως ℵ$^{c.a}$ | οσμη ℵ$^{c.a}$ | ζμυρναν εκλεκτην ℵ* (ζμυρνα εκλεκτη ℵ$^{c.a}$) | διεδωκα] δεδωκα ℵ* (διεδ. ℵ$^{c.a}$) A | ως 3°] pr και A | χαλβανη] χαρβανη A **16** εγω]+δε A | τερεμινθος] τερεβινθος ℵA **17** βλαστησασα] εβλαστησα ℵA **19** προσελθατε ℵA | με] εμε ℵ* (με ℵ$^{c.a}$) | οι επιθυμουντες] παντες οι επιθουντες ℵ* π. οι επιθυμ. ℵ$^{c.a}$ **20** μελι γλυκυ] το μ. το γλ. ℵ (το μ. γλ. ℵ$^{c.a}$) A | κηρου] και κηριου A **21** εσθοντες ℵA | με 2°] μ sup ras B^{2} **22** ουκ αισχυνθησεται] ου κατεσχυνθ. ℵ* (ουκ αισχ. ℵ$^{c.a}$) **23** ενετειλατο (ετ incep ℵ*)]+ημιν ℵA | Μωσης ℵ **25** ο πιμπλων] os (ο ℵ^{1}) πειπλων ℵ* (ο πειμπλων ℵ^{c}) ο πιπλων A | Φεισων B$^{b\,(vid)}$ ℵ

B [26]ὁ ἀναπληρῶν ὡς Εὐφράτης σύνεσιν, 26 (36)
καὶ ὡς Ἰορδάνης ἐν ἡμέραις θερισμοῦ·
[27]ὁ ἐκφαίνων ὡς φῶς παιδείαν, 27 (37)
ὡς Γηὼν ἐν ἡμέραις τρυγητοῦ.
[28]οὐ συνετέλεσεν ὁ πρῶτος γνῶναι αὐτήν, 28 (38)
καὶ οὕτως ὁ ἔσχατος οὐκ ἐξιχνίασεν αὐτήν·
[29]ἀπὸ γὰρ θαλάσσης ἐπληθύνθη διανόημα αὐτῆς, 29 (39)
καὶ ἡ βουλὴ αὐτῆς ἀπὸ ἀβύσσου μεγάλης.
[30]κἀγὼ ὡς διῶρυξ ἀπὸ ποταμοῦ, 30 (41)
καὶ ὡς ὑδραγωγὸς ἐξῆλθον εἰς παράδεισον·
[31]εἶπα Ποτιῶ μου τὸν κῆπον, 31 (42)
καὶ μεθύσω μου τὴν πρασιάν·
[(43)]καὶ ἰδοὺ ἐγένετό μοι ἡ διῶρυξ εἰς ποταμόν, (43)
καὶ ὁ ποταμός μου ἐγένετο εἰς θάλασσαν.
[32]ἔτι παιδείαν ὡς ὄρθρον φωτιῶ, 32 (44)
καὶ ἐκφανῶ αὐτὰ ἕως εἰς μακράν·
[33]ἔτι διδασκαλίαν ὡς προφητείαν ἐκχεῶ, 33 (46)
καὶ καταλείψω αὐτὴν εἰς γενεὰς αἰώνων.
[34]ἴδετε ὅτι οὐκ ἐμοὶ μόνῳ ἐκοπίασα, 34 (47)
ἀλλὰ πᾶσιν τοῖς ἐκζητοῦσιν αὐτήν.

[1]Ἐν τρισὶν ὡραίσθην καὶ ἀνέστην ὡραία ἔναντι Κυρίου 1 XXV
καὶ ἀνθρώπων·
[(2)]ὁμόνοια ἀδελφῶν, καὶ φιλία τῶν πλησίον, (2)
καὶ γυνὴ καὶ ἀνὴρ ἑαυτοῖς συνπεριφερόμενοι.
[2]τρία δὲ εἴδη ἐμίσησεν ἡ ψυχή μου 2 (3)
καὶ προσώχθισα σφόδρα τῇ ζωῇ αὐτῶν·
[(4)]πτωχὸν ὑπερήφανον, καὶ πλούσιον ψεύστην, (4)
γέροντα μοιχὸν ἐλαττούμενον συνέσει.
[3]ἐν νεότητι οὐ συναγίοχας, 3 (5)

ℵA **26** Ιορδανης] pr ο ℵ **27** παιδιαν ℵA (item 32) **29** διανοηματα A | αυτης 2°] αυτου A **30** απο] απρο A* (ras ρ A²) **31** ποτισω B^{ab}A | μοι] μου A **32** ορθον B | εκφαινω ℵ* (εκφανω ℵ² postea inst εκφαιν.) εμφαινω A | αυτα] αυτας ℵ **33** προφητιᾶ| A | γενεαν ℵA **34** εκοπιασα] ras aliq $B^{?}$ | αλλα] αλα B* (αλλα B^{b}) | πασιν] απασιν ℵ* (ras α ℵ²) | αυτην] ras aliq B XXV **1** ωραισθην] + εκοιμηθην ℵ* (improb εκοιμ. ℵ$^{c.a}$) | συμπεριφερομενοι $B^{b vid}$ **2** προσωχθισα] προσωφθισα A | μοιχον ελαττουμενον] μωρον ϛ μοιχον και ελασσουμενον ℵ$^{c.a}$ **3** εν 1°] pr α A | συναγηοχας B^{b} (ita alias) συναγειοχας ℵ (super χας superscr aliq mox extinx ℵ$^{c.a}$) A

καὶ πῶς ἂν εὕροις ἐν τῷ γήρᾳ σου; B

(6) 4 [4]ὡς ὡραῖον πολιαῖς κρίσις,
καὶ πρεσβυτέροις ἐπιγνῶναι βουλήν·

(7) 5 [5]ὡς ὡραία γερόντων σοφία,
καὶ δεδοξασμένοις διανόημα καὶ βουλή.

(8) 6 [6]στέφανος γερόντων πολυπειρία,
καὶ τὸ καύχημα αὐτῶν φόβος Κυρίου.

(9) 7 [7]Ἐννέα ὑπονοήματα ἐμακάρισα ἐν καρδίᾳ,
καὶ τὸ δέκατον ἐρῶ ἐπὶ γλώσσης·

(10) [10]ἄνθρωπος εὐφραινόμενος ἐπὶ τέκνοις,
ζῶν καὶ βλέπων ἐπὶ πτώσει ἐχθρῶν·

(11) 8 [8]μακάριος ὁ συνοικῶν γυναικὶ συνετῇ,
καὶ ὃς ἐν γλώσσῃ οὐκ ὠλίσθησεν,
καὶ ὃς οὐκ ἐδούλευσεν ἀναξίῳ αὐτοῦ·

(12) 9 [9]μακάριος ὃς εὗρεν φρόνησιν,
καὶ ὁ διηγούμενος εἰς ὦτα ἀκουόντων·

(13) 10 [10]ὡς μέγας ὁ εὑρὼν σοφίαν,
ἀλλ' οὐκ ἔστιν ὑπὲρ τὸν φοβούμενον τὸν κύριον·

(14) 11 [11]φόβος Κυρίου ὑπὲρ πᾶν ὑπερέβαλεν,
ὁ κρατῶν αὐτοῦ τίνι ὁμοιωθήσεται;

(17) 13 [13]Πᾶσαν πληγήν, καὶ μὴ πληγὴν καρδίας·
καὶ πᾶσαν πονηρίαν, καὶ μὴ πονηρίαν γυναικός·

(20) 14 [14]πᾶσαν ἐπαγωγήν, καὶ μὴ ἐπαγωγὴν μισούντων·

(21) [21]καὶ πᾶσαν ἐκδίκησιν, καὶ μὴ ἐκδίκησιν ἐχθρῶν.

(22) 15 [15]οὐκ ἔστιν κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως,

(23) [23]καὶ οὐκ ἔστιν θυμὸς ὑπὲρ θυμὸν ἐχθροῦ.

16 [16]συνοικῆσαι λέοντι καὶ δράκοντι εὐδοκήσω
ἢ ἐνοικῆσαι μετὰ γυναικὸς πονηρᾶς.

(24) 17 [17]πονηρία γυναικὸς ἀλλοιοῖ τὴν ὅρασιν αὐτῆς,
καὶ σκοτοῖ τὸ πρόσωπον αὐτῆς ὡς σάκκον·

5 δεδοξασμενοις διανοη sup ras $B^{1(vid)}$ **6** πουπειρια B^{*} (πολυπ. B^{ab}) ℵA **7** υπονοηματα] adscr ανϋπονοητα $ℵ^{c.a}$ | καρδια] κ. μου ℵ τη κ. μου A | επι 1°] απο A **8** αναξιω] αξιω ℵ* (αναξ. $ℵ^{c.a}$ postea restit αξ.) | αυτου] εαυτου A **9** μακαριος] + ανηρ ℵ* (improb αν. $ℵ^{c.a}$) **11** αυτου τινι ομοιωθησεται sup ras B^{ab} **14** πασαν 1°] pr και ℵA **16** ευδοκησω] ευδοκησαι $ℵ^{c.a}$A (-σε) | ενοικησαι] συνοικησαι $ℵ^{c.a}$A **17** ως σακκον] ως αρκος ℵA

B [18]ἀνὰ μέσον τοῦ πλησίον αὐτοῦ [(25)]ἀναπεσεῖται ὁ ἀνὴρ αὐτῆς, 18 (25)
καὶ ἀκούσας ἀνεστέναξεν πικρά.
[19]μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός, 19 (26)
κλῆρος ἁμαρτωλοῦ ἐπιπέσοι αὐτῇ.
[20]ἀνάβασις ἀμμώδης ἐν ποσὶν πρεσβυτέρου, 20 (27)
οὕτως γυνὴ γλωσσώδης ἀνδρὶ ἡσύχῳ.
[21]μὴ προσπέσῃς ἐπὶ κάλλος γυναικός, 21 (28)
καὶ γυναῖκα μὴ ἐπιποθήσῃς.
[22]ὀργὴ καὶ ἀναίδεια καὶ αἰσχύνη μεγάλη 22 (29)
[(30)]γυνὴ ἐὰν ἐπιχορηγῇ τῷ ἀνδρὶ αὐτῆς. (30)
[23]καρδία ταπεινὴ καὶ πρόσωπον σκυθρωπὸν 23 (31)
καὶ πληγὴ καρδίας γυνὴ πονηρά·
[(32)]χεῖρες παρειμέναι καὶ γόνατα παραλελυμένα, (32)
ἥτις οὐ μακαριεῖ τὸν ἄνδρα αὐτῆς.
[24]ἀπὸ γυναικὸς ἀρχὴ ἁμαρτίας, 24 (33)
καὶ δι' αὐτὴν ἀποθνήσκομεν πάντες.
[25]μὴ δῷς ὕδατι διέξοδον, 25 (34)
μηδὲ γυναικὶ πονηρᾷ ἐξουσίαν·
[26]εἰ μὴ πορεύεται κατὰ χεῖρά σου, 26 (35)
[(36)]ἀπὸ τῶν σαρκῶν σου ἀπότεμε αὐτήν. (36)

[1]Γυναικὸς ἀγαθῆς μακάριος ὁ ἀνήρ, 1 XXVI
καὶ ἀριθμὸς τῶν ἡμερῶν αὐτοῦ διπλάσιος.
[2]γυνὴ ἀνδρεία εὐφραίνει τὸν ἄνδρα αὐτῆς, 2
καὶ τὰ ἔτη αὐτοῦ πληρώσει ἐν εἰρήνῃ.
[3]γυνὴ ἀγαθὴ μερὶς ἀγαθή, 3
ἐν μερίδι φοβουμένων Κύριον δοθήσεται.
[4]πλουσίου δὲ καὶ πτωχοῦ καρδία ἀγαθή, 4
ἐν παντὶ καιρῷ πρόσωπον ἱλαρόν.
[5]ἀπὸ τριῶν εὐλαβήθη ἡ καρδία μου, 5
καὶ ἐπὶ τῷ τετάρτῳ προσώπῳ ἐδεήθην·
[(6)]διαβολὴν πόλεως, καὶ ἐκκλησίαν ὄχλου, (6)

ℵA **18** *ανεστεναξε* ℵ* (-ξεν ℵ$^{c.a}$) | *πικρα*] *μεικρα* ℵ* (*πεικρα* ℵ^{2}) **19** *κακιαν* sup ras B$^{1\,fort}$ **20** *ησυχω* sup ras A^{a} **21** *καλλος*] *καλλους* ℵ$^{c.a}$ | *γυναικα*]+*εν καλλει* ℵ (-λλι) A **25** *εξουσιαν*] *παρρησιαν* ℵA **26** *χειρας* ℵ XXVI **1** *αγαθης*] pr *ο* ℵ* (improb et ras ℵ$^{1\,(vid)}$) | *αριθμος*] pr *ο* A | *διπλασιον* A **3** *Κυριον*] pr *τον* A **4** om *δε* ℵ$^{c.a}$ **5** *ηυλαβηθη* ℵA | *η καρδια*] om *η* A | *εδεηθην*] *εδοθην* ℵ* *εφοβηθην* ℵ$^{c.a}$A | *διαβολην*] *η* sup ras A^{a} | om *οχλου* A* (hab A^{a})

(7) [7]καὶ καταψευσμόν, ὑπὲρ θάνατον πάντα μοχθηρά. B
(8) 6 [6]ἄλγος καρδίας καὶ πένθος γυνὴ ἀντίζηλος ἐπὶ γυναικί,
(9) [9]καὶ μάστιξ γλώσσης πᾶσιν ἐπικοινωνοῦσα.
(10) 7 [7]βοοζύγιον σαλευόμενον γυνὴ πονηρά,
ὁ κρατῶν αὐτῆς ὡς ὁ δρασσόμενος σκορπίου.
(11) 8 [8]ὀργὴ μεγάλη γυνὴ μέθυσος,
καὶ ἀσχημοσύνην αὐτῆς οὐ συνκαλύψει.
(12) 9 [9]πορνεία γυναικὸς ἐν μετεωρισμοῖς ὀφθαλμῶν,
καὶ ἐν τοῖς βλεφάροις αὐτῆς γνωσθήσεται.
(13) 10 [10]ἐπὶ θυγατρὶ ἀδιατρέπτως στερέωσον φυλακήν,
ἵνα μὴ εὑροῦσα ἄνεσιν ἑαυτῇ χρήσηται·
(14) 11 [11]ὀπίσω ἀναιδοῦς ὀφθαλμοῦ φύλαξαι,
καὶ μὴ θαυμάσῃς ἐὰν εἰς σὲ πλημμελήσῃ·
(15) 12 [12]ὡς διψῶν ὁδοιπόρος τὸ στόμα ἀνοίγει,
καὶ ἀπὸ παντὸς ὕδατος τοῦ σύνεγγυς πίεται,
κατέναντι παντὸς πασσάλου καθήσεται,
καὶ ἔναντι βέλους ἀνοίξει φαρέτραν.
(16) 13 [13]χάρις γυναικὸς τέρψει τὸν ἄνδρα αὐτῆς,
καὶ τὰ ὀστᾶ αὐτοῦ πιανεῖ ἡ ἐπιστήμη αὐτῆς.
(17) 14 [14]δόσις Κυρίου γυνὴ σιγηρά,
(18) [18]καὶ οὐκ ἔστιν ἀντάλλαγμα πεπαιδευμένης ψυχῆς·
(19) 15 [15]χάρις ἐπὶ χάριτι γυνὴ αἰσχυντηρά,
(20) [20]καὶ οὐκ ἔστιν σταθμὸς πᾶς ἄξιος ἐγκρατοῦς ψυχῆς.
(21) 16 [16]ἥλιος ἀνατέλλων ἐν ὑψίστοις Κυρίου,
καὶ κάλλος ἀγαθῆς γυναικὸς ἐν κόσμῳ οἰκίας αὐτοῦ·
(22) 17 [17]λύχνος ἐκλάμπων ἐπὶ λυχνίας ἁγίας,
καὶ κάλλος προσώπου ἐπὶ ἡλικίᾳ στασίμῃ·
(23) 18 [18]στύλοι χρύσεοι ἐπὶ βάσεως ἀργυρᾶς,
καὶ πόδες ὡραῖοι ἐπὶ στέρνοις εὐσταθοῦς.

(25) 28 [28]Ἐπὶ δυσὶ λελύπηται ἡ καρδία μου,

6 αλγος] γ sup ras A^a | επικοινωνουσα] α sup ras **2** litt A^a **7** ο δρασσομενος] om ο A **8** αυτης] ς sup ras $B^?$ | ου]+μη ℵA | συγκαλυψει B^{ab}A (αλυψει sup ras $A^{?\,vid}$) **9** πορνια ℵ **10** αδιατρεπτως] αδιαστρεπτω· ℵ αδιατρεπτω A | ευρη incep ℵ* (ευρουσα $ℵ^1$) **11** οφθαλμου] οφθαλμων ℵ* (-μου $ℵ^{c.a}$) seq ras **1** lit A | πλημμελησει A **12** το στομα] om το $ℵ^{c.a}$ | ανοιγει] ανοιξει $ℵ^{c.a}$A | και εναντι] κατεναντι ℵ* (και εν. $ℵ^?$) **13** τον ανδρα] om τον ℵA | πιαινει ℵ **15** ενκρατους A | ψυχης]+αυτης $ℵ^{c.a}$ **16** αυτου] αυτης ℵA **18** χρυσεοι] χρυσεως A | στερνοις] πτερνοις ℵ* (στ. $ℵ^{c.a}$) | ευσταθους] ευσταθμοις ℵ* (ευσταθους $ℵ^{c.a}$)

B καὶ ἐπὶ τῷ τρίτῳ θυμός μοι ἐπῆλθεν·
(26)ἀνὴρ πολεμιστὴς ὑστερῶν δι' ἔνδειαν, (26)
καὶ ἄνδρες συνετοὶ ἐὰν σκυβαλισθῶσιν,
(27)ἐπανάγων ἀπὸ δικαιοσύνης ἐπὶ ἁμαρτίαν· (27)
ὁ κύριος ἑτοιμάσει εἰς ῥομφαίαν αὐτόν.

29 Μόλις ἐξελεῖται ἔμπορος ἀπὸ πλημμελείας, 29 (28)
καὶ οὐ δικαιωθήσεται κάπηλος ἀπὸ ἁμαρτίας.
1 χάριν ἀδιαφόρου πολλοὶ ἥμαρτον, 1 XXVII
καὶ ὁ ζητῶν πληθῦναι ἀποστρέψει ὀφθαλμόν.
2 ἀνὰ μέσον ἁρμῶν λίθων παγήσεται πάσσαλος, 2 (2, 3)
καὶ ἀνὰ μέσον πράσεως καὶ ἀγορασμοῦ συντριβήσεται
ἁμαρτία.
3 ἐὰν μὴ ἐν φόβῳ Κυρίου κρατήσῃ κατὰ σπουδήν, 3 (4)
ἐν τάχει καταστραφήσεται αὐτοῦ ὁ οἶκος.
4 ἐν σείσματι κοσκίνου διαμένει κοπρία, 4 (5)
οὕτως σκύβαλα ἀνθρώπου ἐν λογισμῷ αὐτοῦ.
5 σκεύη κεραμέως δοκιμάζει κάμινος, 5 (6)
καὶ πειρασμὸς ἀνθρώπου ἐν διαλογισμῷ αὐτοῦ.
6 γεώργιον ξύλου ἐκφαίνει ὁ καρπὸς αὐτοῦ, 6 (7)
οὕτως λόγος ἐνθυμήματος καρδίας ἀνθρώπου.
7 πρὸ λογισμοῦ μὴ ἐπαινέσῃς ἄνδρα, 7 (8)
οὗτος γὰρ πειρασμὸς ἀνθρώπων.
8 ἐὰν διώκῃς τὸ δίκαιον, καταλήμψῃ, 8 (9)
καὶ ἐνδύσῃ αὐτὸ ὡς ποδήρη δόξης.
9 πετεινὰ πρὸς τὰ ὅμοια αὐτοῖς καταλύσει, 9 (10)
καὶ ἀλήθεια πρὸς τοὺς ἐργαζομένους αὐτὴν ἐπανήξει.
10 λέων θύραν ἐνεδρεύει, 10 (11)
οὕτως ἁμαρτίαι ἐργαζομένους ἄδικα.
11 διήγησις εὐσεβοῦς διὰ παντὸς σοφία, 11 (12)
ὁ δὲ ἄφρων ὡς σελήνη ἀλλοιοῦται.

ℵA **29** πλημμελιας ℵ | καπηλος B$^{c?}$ ℵA] καμηλος B* XXVII **1** αδιαφορου] διαφορου ℵ* (αδιαφ. ℵ$^{c.a}$) | ημαρτον] μ saltem sup ras B$^{?}$ **2** λιθων] λιθινων ℵ$^{c.a}$ | παγησεται] αγησ sup ras A^{a} **4** σησματι BℵA | κοσκινου] κοκκινου ℵ* (κοσκ. ℵ$^{c.a}$) **5** δοκιμαζει] δοκιμα ℵ* (-μαζι ℵ$^{c.a}$) δοκειμασει A | διαλογισμω] λογισμω ℵ$^{c.a}$A **6** καρδια A **7** λογισμου] λ sup ras A^{a} | επαινεσης] επαινει A **8** το δικαιον] in τ ras aliq B$^{?\,vid}$ **9** αυτοις] αυτων A | αληθεια] η αληθια ℵ **10** θυραν] θηραν ℵA | αμαρτια ℵA | αδικα] αδικια ℵ* αδικιαν ℵ$^{c.a}$ **11** ευσεβους] σοφου A

(13) 12 [12]εἰς μέσον ἀσυνέτων συντήρησον καιρόν, B
εἰς μέσον δὲ διανοουμένου ἐνδελέχιζε.
(14) 13 [13]διήγησις μωρῶν προσόχθισμα,
καὶ ὁ γέλως αὐτῶν ἐν σπατάλῃ ἁμαρτίας.
(15) 14 [14]λαλιὰ πολυόρκου ὀρθώσει τρίχας,
καὶ ἡ μάχη αὐτῶν ἐνφραγμὸς ὠτίων.
(16) 15 [15]ἔκχυσις αἵματος μάχη ὑπερηφάνων,
καὶ ἡ διαλοιδόρησις αὐτῶν ἀκοὴ μοχθηρά.

(17) 16 [16]Ὁ ἀποκαλύπτων μυστήρια ἀπώλεσεν πίστιν,
καὶ οὐ μὴ εὕρῃ φίλον πρὸς τὴν ψυχὴν αὐτοῦ.
(18) 17 [17]στέρξον φίλον καὶ πιστώθητι μετ' αὐτοῦ·
(19) [19]ἐὰν δὲ ἀποκαλύψῃς τὰ μυστήρια αὐτοῦ,
οὐ μὴ καταδιώξῃς ὀπίσω αὐτοῦ.
(20) 18 [18]καθὼς γὰρ ἀπώλεσεν ἄνθρωπος τὸν ἐχθρὸν αὐτοῦ,
οὕτως ἀπώλεσας τὴν φιλίαν τοῦ πλησίον·
(21) 19 §[19]καὶ ὡς πετεινὸν ἐκ χειρός σου ἀπέλυσας, § C
οὕτως ἀφῆκας τὸν πλησίον, καὶ οὐ θηρεύσεις αὐτόν.
(22) 20 [20]μὴ αὐτὸν διώξῃς, ὅτι μακρὰν ἀπέστη,
καὶ ἐξέφυγεν ὡς δορκὰς ἐκ παγίδος.
(23) 21 [21]ὅτι τραῦμα ἔστιν [23]καταδῆσαι,
καὶ λοιδορίας ἐστὶν διαλλαγή·
(24) [24]ὁ δὲ ἀποκαλύψας μυστήρια ἀφήλπισεν.
(25) 22 [22]διανεύων ὀφθαλμῷ τεκταίνει κακά,
καὶ οὐδεὶς αὐτὸν ἀποστήσει ἀπ' αὐτοῦ·
(26) 23 [23]ἀπέναντι τῶν ὀφθαλμῶν σου γλυκανεῖ στόμα σου
καὶ ἐπὶ τῶν λόγων σου ἐκθαυμάσει,
ὕστερον δὲ διαστρέψει τὸ στόμα αὐτοῦ
καὶ ἐν τοῖς λόγοις σου δώσει σκάνδαλον.

12 διανοουμενων ℵA **13** διηγησεις A | προσοχθισμα (προσωχθ. ℵA)] ℵAC pr και A | εν] ως ℵ **14** πολυορκου] o 2° sup ras $B^{?vid}$ πολορκου ℵ* (πολυορκ. $ℵ^{1(vid)}$) | ορθωσει] ανωρθωσει A | ενφραγμος] στεναγμος ℵ* (εμφρ. $ℵ^{c.a}$) **15** εκχυσεις A | μοχθηρα] πονηρα $ℵ^{c.a}$ **16** την ψυχην] om την ℵ* (hab τ. $ℵ^{c.a}$) **17** om ου $ℵ^{c.a}$A **18** απωλεσεν ℵ* (-σας $ℵ^{c.a}$) **19** αφηκας] απελυσας C | ου θηρευσεις] ουχ ευρησις C **20** παγιδος] βροχων $ℵ^{c.a}$ **21** μυστηριον ℵC | απηλπισεν B^{c}ℵ **22** διανευων] και εννευων A pr o C | τεκταινει] adnot κατασκευαζει $B^{a?\,b?mg}$ τεκταινεται $ℵ^{c.a}$ | αυτον] αυτα AC | αυτου] αυτων A **23** γλυκανει ℵ* (ras ι 1° $ℵ^{?}$) | στομα 1°] pr το ℵAC | σου 2°] αυτου ℵAC | δε bis scr C

B [24]πολλὰ ἐμίσησα καὶ οὐχ ὁμοίωσα αὐτῷ, 24 (27)
καὶ ὁ κύριος μισήσει αὐτόν.
[25]ὁ βάλλων λίθον εἰς ὕψος ἐπὶ κεφαλὴν αὐτοῦ βάλλει, 25 (28)
καὶ πληγὴ δολία διελεῖ τραύματα.
[26]ὁ ὀρύσσων βόθρον εἰς αὐτὸν ἐμπεσεῖται, 26 (29)
καὶ ὁ ἱστῶν παγίδα ἐν αὐτῇ ἁλώσεται·
[27]ὁ ποιῶν πονηρὰ εἰς αὐτὸν κυλισθήσεται, 27 (30)
καὶ οὐ μὴ ἐπιγνῷ πόθεν ἥκει αὐτῷ.
[28]ἐμπαιγμὸς καὶ ὀνειδισμὸς ὑπερηφάνων, 28 (31)
καὶ ἡ ἐκδίκησις ὡς λέων ἐνεδρεύσει αὐτόν.
[29]παγίδι ἁλώσονται οἱ εὐφραινόμενοι πτώσει εὐσεβῶν, 29 (32)
καὶ ὀδύνη καταναλώσει αὐτοὺς πρὸ τοῦ θανάτου αὐτῶν.

[30]Μῆνις καὶ ὀργή, καὶ ταῦτά ἐστιν βδελύγματα, 30 (33)
καὶ ἀνὴρ ἁμαρτωλὸς ἐγκρατὴς ἔσται αὐτῶν.
[1]ὁ ἐκδικῶν παρὰ Κυρίου εὑρήσει ἐκδίκησιν, 1 XXVIII
καὶ τὰς ἁμαρτίας αὐτοῦ διαστηριῶν διαστηρίσει.
[2]ἄφες ἀδίκημα τῷ πλησίον σου, 2
καὶ τότε δεηθέντος σου αἱ ἁμαρτίαι σου λυθήσονται.
[3]ἄνθρωπος ἀνθρώπῳ συντηρεῖ ὀργήν, 3
καὶ παρὰ Κυρίου ζητεῖ ἴασιν;
[4]ἐπ' ἄνθρωπον ὅμοιον αὐτῷ οὐκ ἔχει ἔλεος, 4
καὶ περὶ τῶν ἁμαρτιῶν αὐτοῦ δεῖται;
[5]αὐτὸς σὰρξ ὢν διατηρεῖ μῆνιν, 5
τίς ἐξιλάσεται τὰς ἁμαρτίας αὐτοῦ;
[6]μνήσθητι τὰ ἔσχατα καὶ παῦσαι ἐχθραίνων, 6
(7)καταφθορὰν καὶ θάνατον, καὶ ἔμμενε ἐντολαῖς. (7)
[7]μνήσθητι ἐντολῶν καὶ μὴ μηνίσῃς τῷ πλησίον, 7 (8)
(9)καὶ διαθήκην Ὑψίστου, καὶ πάριδε ἄγνοιαν. (9)

[8]Ἀπόσχου ἀπὸ μάχης, καὶ ἐλαττώσεις ἁμαρτίας· 8 (10)

ℵAC **24** ωμοιωσα $B^{b}AC$ | αυτω] αυτοις A | μισησει] μεισει ℵ* (μεισησει $ℵ^{c.a}$) C (μισ.) εμισει A **25** ο βαλλων] om ο A | διελει] ελει A* (superscr δι $A^{a^{1}}$) **26** αυτη] ταυτη ℵ* (αυτ. $ℵ^{c.a}$) **27** om ο ποιων...κυλισθησεται C | αυτον] αυτα $ℵ^{c.a}$A **28** ονειδισμος] ονιδος ℵ **29** παγιδα A* (-δι A^{1}) | του θανατου] om του ℵ* (hab τ. $ℵ^{c.a}$) | αυτων] αυτου C **30** om και 2° ℵ | εγκρατης εσται] εγκρατησεται $B^{*fort}C$ XXVIII **1** διαστηρισει (-ρησει C)] διαστηριει ℵ* (-ρισει $ℵ^{1}$) **2** αδικηματα ℵ | δεηθεντος] incep εδ ℵ* (improb ε $ℵ^{c.a}$) **4** ομοιον] pr τον ℵ* (om τον $ℵ^{c.a}$) **7** πλησιον] + σου ℵ **8** αποσχου] απολιπε $ℵ^{c.a}$ | μαχης] μεθης $ℵ^{c.a}$ | ελαττωσις ℵC

(11) [11]ἄνθρωπος γὰρ θυμώδης ἐκκαύσει μάχην, B
9 [9]καὶ ἀνὴρ ἁμαρτωλὸς ταράξει φίλους,
καὶ ἀνὰ μέσον εἰρηνευόντων ἐκβάλλει διαβολήν.
(12) 10 [10]κατὰ τὴν ὕλην πυρὸς οὕτως ἐκκαυθήσεται,
κατὰ τὴν ἰσχὺν τοῦ ἀνθρώπου ὁ θυμὸς αὐτοῦ ἔσται·
καὶ κατὰ τὸν πλοῦτον ἀνυψώσει ὀργὴν αὐτοῦ,
καὶ κατὰ τὴν στερέωσιν τῆς μάχης ἐκκαυθήσεται.
(13) 11 [11]ἔρις κατασπευδομένη ἐκκαίει πῦρ,
καὶ μάχη κατασπεύδουσα ἐκχέει αἷμα.
(14) 12 [12]ἐὰν φυσήσῃς σπινθῆρα ἐκκαήσεται,
καὶ ἐὰν πτύσῃς ἐπ᾽ αὐτὸν σβεσθήσεται·
καὶ ἀμφότερα ἐκ τοῦ στόματός σου ἐκπορεύεται.

(15) 13 [13]Ψίθυρον καὶ δίγλωσσον καταρᾶσθε,
πολλοὺς γὰρ εἰρηνεύοντας ἀπώλεσαν.
(16) 14 [14]γλῶσσα τρίτη πολλοὺς ἐσάλευσεν
καὶ διέστησεν αὐτοὺς ἀπὸ ἔθνους εἰς ἔθνος,
(17) [17]καὶ πόλεις ὀχυρὰς καθεῖλεν,
καὶ οἰκίας μεγιστάνων κατέστρεψεν·
(19) 15 [15]γλῶσσα τρίτη γυναῖκας ἀνδρείας ἐξέβαλεν,
καὶ ἐστέρεσεν αὐτὰς τῶν πόνων αὐτῶν·
(20) 16 [16]ὁ προσέχων αὐτῇ οὐ μὴ εὕρῃ ἀνάπαυσιν,
οὐδὲ κατασκηνώσει μεθ᾽ ἡσυχίας.
(21) 17 [17]πληγὴ μάστιγος ποιεῖ μώλωπας,
πληγὴ δὲ γλώσσης συνκλάσει ὀστᾶ.
(22) 18 [18]πολλοὶ ἔπεσαν ἐν στόματι μαχαίρας,
καὶ οὐχ ὡς οἱ πεπτωκότες διὰ γλῶσσαν.
(23) 19 [19]μακάριος ὁ σκεπασθεὶς ἀπ᾽ αὐτῆς,

9 om *και* 1°...*φιλους* C* (hab $C^{a(mg1)}$ | *ταραξει*] *κακοι* C^{a} | *εκβαλλει*] ℵAC *εμβαλει* ℵA **10** *πυρος*] pr *του* $ℵ^{c.a}$ | *κατα την ισχυν...εκκαυθησεται*] *και κατα την στερεωσιν...εκκαυθησεται* [+*και* ℵ] *κατα την ισχυν...οργην αυτου* ℵAC | om *εσται* C | *πλουτον*]+*αυτου* ℵ | *μαχης*]+*σου ουτως* ℵ **10—11** *κατα την ισχυν...εκκαιει πυρ* sup ras C^{a} **11** *εκχεαι* ℵ **12** *φυσησησπινθ.* ℵ* (*φυσησης σπινθ.* $ℵ^{c.a}$) | *σπινθηρα* (ante *ν* ras 1 lit [*ν* fort) $A^{?}$)] pr *εις* AC | *πτυσις* C | *επ*] *εις* AC | *εκπορευεται*] *εξελευσεται* ℵA *εξελευσονται* C **13** *καταρασθε* (*-σθαι* $B ℵ^{c.a}$)] *καταρασασθαι* ℵ*C *-σασθε* A | *απωλεσε*$\bar{ι}$ A **14** *γλωσσα τριτη*] adnot *τετρυπημενη*| *γλῶσσα τρητὴ* $B^{a\,?c\,?mg\,sup}$ | *εθνους*] *εθνος* ℵ* (*-θνους* $ℵ^{c.a}$) | *πολις* C **15** *ανδριας* C | *εστερησεν* B^{ab}C *εστερεσαν* A **17** *μωλωπα* ℵAC | *συγκλασει* B^{ab}AC **18** *μαχαιρας*] *ρομφαιας* C | *οι πεπτωκοτες*] *ο πεπτωκως* A

B ὃς οὐ διῆλθεν ἐν τῷ θυμῷ αὐτῆς,
ὃς οὐχ εἵλκυσεν τὸν ζυγὸν αὐτῆς,
καὶ ἐν τοῖς δεσμοῖς αὐτῆς οὐκ ἐδέθη·
[20] ὁ γὰρ ζυγὸς αὐτῆς ζυγὸς σιδηροῦς, 20 (24)
καὶ οἱ δεσμοὶ αὐτῆς δεσμοὶ χαλκεῖοι·
[21] θάνατος πονηρὸς ὁ θάνατος αὐτῆς, 21 (25)
καὶ λυσιτελὴς μᾶλλον ὁ ᾅδης αὐτῆς.
[22] οὐ μὴ κρατήσῃ εὐσεβῶν, 22 (26)
καὶ ἐν τῇ φλογὶ αὐτῆς οὐ καήσονται·
[23] οἱ καταλείποντες Κύριον ἐμπεσοῦνται εἰς αὐτήν, 23 (27)
καὶ ἐν αὐτοῖς ἐκκαήσεται καὶ οὐ μὴ σβεσθῇ·
ἐξαποσταλήσεται ἐπ᾽ αὐτοῖς ὡς λέων,
καὶ ὡς πάρδαλις λυμανεῖται αὐτούς.
[24] ἴδε, περίφραξον τὸ κτῆμά σου ἀκάνθαις, 24 (28)
[(29)] τὸ ἀργύριόν σου καὶ τὸ χρυσίον κατάδησον· (29)
¶ C [25] καὶ τοῖς λόγοις σου ποίησον ζυγὸν καὶ σταθμόν, ¶ 25
καὶ τῷ στόματί σου ποίησον θύραν καὶ μοχλόν.
[26] πρόσεχε μή πως ὀλισθήσῃς ἐν αὐτῇ, 26 (30)
μὴ πέσῃς κατέναντι ἐνεδρεύοντος.

[1] Ὁ ποιῶν ἔλεος δανιεῖ τῷ πλησίον, 1 XXIX
καὶ ὁ ἐπισχύων τῇ χειρὶ αὐτοῦ τηρεῖ ἐντολάς.
[2] δάνισον τῷ πλησίον ἐν καιρῷ χρείας αὐτοῦ, 2
καὶ πάλιν ἀπόδος τῷ πλησίον εἰς τὸν καιρόν·
[3] στερέωσον λόγον καὶ πιστώθητι μετ᾽ αὐτοῦ, 3
καὶ ἐν παντὶ καιρῷ εὑρήσεις τὴν χρείαν σου.
[4] πολλοὶ ὡς εὕρεμα ἐνόμισαν δάνος, 4
καὶ παρέσχον πόνον τοῖς βοηθήσασιν αὐτοῖς.
[5] ἕως οὗ λάβῃ, καταφιλήσει χεῖρα αὐτοῦ, 5
καὶ ἐπὶ τῶν χρημάτων τοῦ πλησίον ταπεινώσει φωνήν·
[(6)] καὶ ἐν καιρῷ ἀποδόσεως παρελκύσει χρόνον, (6)

ℵAC **19** *os* 1°] pr *ȣ* ℵ$^{c.a}$ | *ειλκυσι* C | om *εν* 2° AC **20** *χαλκειοι* B^{a} (*-κιοι* B*ℵ$^{c.a}$)] *χαλκεοι* ℵ*A *χαλκοι* C **22** *κρατησει* ℵ | *ου* 2°]+*μη* ℵAC **23** *καταλιποντες* ℵ | *Κυριον*] *θν* C | *εμπεσειται* C | *εκκαησονται* ℵ | *επαποσταλησεται* ℵAC | om *επ* ℵAC | *ωσσπαρδαλις* C | *λοιμανειται* B*ℵ (*λυμ.* B^{b}A) **24** *κτημα*] *στομα* ℵ | *χρυσιον*]+*σου* ℵC **26** *ολισθης* ℵ* (*-θησις* ℵ$^{c.a}$) A | *εν αυτη*] *εν αυ* sup ras A^{a} XXIX **1** *δανειει* B^{ab} | *τηρει*] *ποιει* A **2** *δανεισον* B^{ab} | *τον καιρον*] om *τον* ℵA **4** *πονον*] *κοπον* ℵA **5** *χειρας* ℵ (*χιρ.*) A | *αυτου*] *σου* ℵ$^{c.a}$

καὶ ἀποδώσει λόγους ἀκηδίας B
καὶ τὸν καιρὸν αἰτιάσεται.
(7) 6 [6]ἐὰν ἰσχύσῃ, μόλις κομίσεται τὸ ἥμισυ
καὶ λογιεῖται αὐτὸ ὡς εὕρεμα·
(8) [(8)]εἰ δὲ μή, ἀπεστέρησεν αὐτὸν τῶν χρημάτων αὐτοῦ,
καὶ ἐκτήσατο αὐτὸν ἐχθρὸν οὐ δωρεάν·
(9) [(9)]κατάρας καὶ λοιδορίας ἀποδώσει αὐτῷ,
καὶ ἀντὶ δόξης ἀποδώσει αὐτῷ ἀτιμίαν.
(10) 7 [7]πολλοὶ χάριν πονηρίας ἀπέστρεψαν,
ἀποστερηθῆναι δωρεὰν εὐλαβήθησαν.
(11) 8 [8]πλὴν ἐπὶ ταπεινῷ μακροθύμησον,
καὶ ἐπ' ἐλεημοσύνην παρελκύσεις αὐτόν·
(12) 9 [9]χάριν ἐντολῆς ἀντιλαβοῦ πένητος,
καὶ κατὰ τὴν ἔνδειαν αὐτοῦ μὴ ἀποστρέψῃς αὐτὸν κενόν.
(13) 10 [10]ἀπόλεσον ἀργύριον δι' ἀδελφὸν καὶ φίλον,
καὶ μὴ ἰωθήτω ὑπὸ τὸν λίθον εἰς ἀπωλίαν·
(14) 11 [11]θὲς τὸν θησαυρόν σου κατ' ἐντολὰς Ὑψίστου,
καὶ λυσιτελήσει σοι μᾶλλον ἢ τὸ χρυσίον.
(15) 12 [12]σύνκλεισον ἐλεημοσύνην ἐν τοῖς ταμείοις σου,
καὶ αὕτη ἐξελεῖταί σε ἐκ πάσης κακώσεως·
(16–18) 13 [13]ὑπὲρ ἀσπίδα κράτους καὶ ὑπὲρ δόρυ ἀλκῆς
κατέναντι ἐχθροῦ πολεμήσει ὑπὲρ σοῦ.
(19) 14 [14]ἀνὴρ ἀγαθὸς ἐγγυήσεται τὸν πλησίον,
καὶ ὁ ἀπολωλεκὼς αἰσχύνην καταλείψει αὐτόν.
(20) 15 [15]χάριτας ἐγγύου μὴ ἐπιλάθῃ,
ἔδωκεν γὰρ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ σοῦ.
(22) 16 [16]ἀγαθὰ ἐγγύου ἀνατρέψει ἁμαρτωλός,
17 [17]καὶ ἀχάριστος ἐν διανοίᾳ ἐγκαταλείψει ῥυσάμενον.
(24) 18 [18]ἐγγύη πολλοὺς ἀπώλεσεν κατευθύνοντας,
καὶ ἐσάλευσεν αὐτοὺς ὡς κῦμα θαλάσσης·
(25) [(25)]ἄνδρας δυνατοὺς ἀπῴκισεν,
καὶ ἐπλανήθησαν ἐν ἔθνεσιν ἀλλοτρίοις.

5 ακηδειας B* (-διας B^{b}) **6** εαν] pr και ℵ | κομιειται A | om ου ℵA ℵ$^{c.a}$A | λοιδορειας B* (-ριας B^{b}) **7** πολλοι]+ουν ℵ* (ου ℵ$^{?}$) A **8** επ] επι A | ελεημοσυνη ℵA | παρελκυσεις] μη παρελκυσης ℵA **9** πενητος] πενητ sup ras A^{a} (πτωχου A*^{vid}) | κενον] καινον ℵ **10** απωλειαν B^{ab}A **11** το χρυσιον] om το A* (superscr A$^{a?}$) **12** συγκλεισον B^{b} | ταμειοις B^{al} (-μιοις B*ℵ)] ταμιειοις A **13** αλκης BA*] ολκης ℵA$^{?}$ **14** καταλειψει] ενκαταλειψει ℵ (-λιψ.) A **17** ενκαταλειψει ℵA

B [19]ἁμαρτωλὸς ἐμπεσὼν εἰς ἐγγύην 19 (26)
καὶ διώκων ἐργολαβείας ἐμπεσεῖται εἰς κρίσεις.
[20]ἀντιλαβοῦ τοῦ πλησίον κατὰ δύναμίν σου, 20 (27)
καὶ πρόσεχε σεαυτῷ μὴ ἐμπέσῃς.

[21]Ἀρχὴ ζωῆς ὕδωρ καὶ ἄρτος καὶ ἱμάτιον, 21 (28)
καὶ οἶκος καλύπτων ἀσχημοσύνην.
[22]κρείσσων βίος πτωχοῦ ὑπὸ σκέπην δοκῶν 22 (29)
ἢ ἐδέσματα λαμπρὰ ἐν ἀλλοτρίοις.
[23]ἐπὶ μικρῷ καὶ μεγάλῳ εὐδοκίαν ἔχε. 23 (30)
[24]ζωὴ πονηρὰ ἐξ οἰκίας εἰς οἰκίαν, 24 (31)
καὶ οὗ παροικήσει οὐκ ἀνοίξει στόμα·
[25]ξενιεῖς καὶ ποτιεῖς εἰς ἀχάριστα, 25 (32)
καὶ πρὸς ἐπὶ τούτοις πικρὰ ἀκούσῃ
[26]Πάρελθε, πάροικε, κόσμησον τράπεζαν, 26 (33)
καὶ εἴ τι ἐν τῇ χειρί σου ψώμισόν με·
[27]ἔξελθε, πάροικε, ἀπὸ προσώπου δόξης, 27 (34)
ἐπεξένωταί μοι ὁ ἀδελφός, χρεία τῆς ξενίας.
[28]βαρέα ταῦτα ἀνθρώπῳ ἔχοντι φρόνησιν, 28 (35)
ἐπιτίμησις οἰκίας καὶ ὀνειδισμὸς δανιστοῦ.

Περὶ τέκνων.

[1]Ὁ ἀγαπῶν τὸν υἱὸν αὐτοῦ ἐνδελεχήσει μάστιγας αὐτῷ, 1 XXX
ἵνα εὐφρανθῇ ἐπ' ἐσχάτων αὐτοῦ·
[2]ὁ παιδεύων τὸν υἱὸν αὐτοῦ ὀνήσεται ἐπ' αὐτῷ, 2
καὶ ἀνὰ μέσον γνωρίμων ἐπ' αὐτῷ καυχήσεται·
[3]ὁ διδάσκων τὸν υἱὸν αὐτοῦ παραζηλώσει τὸν ἐχθρόν, 3
καὶ ἔναντι φίλων ἐπ' αὐτῷ ἀγαλλιάσεται.
[4]ἐτελεύτησεν αὐτοῦ ὁ πατήρ, καὶ ὡς οὐκ ἀπέθανεν, 4
ὅμοιον γὰρ αὐτῷ κατέλιπεν μετ' αὐτόν.

ℵA **19** εμπεσων] εμπεσειται ℵ$^{c.a}$ (-σιτ.) A | εργολαβιας ℵ | κρισεις Bℵ$^{c\,a}$ (-σις ℵ*)] εγγυη| A **21** υδωρ κ. αρτος κ. ιματιον] ανου αρτος κ. υδωρ κ. ιματιο| (sup ras) A^{a} | ασχημοσυνην] + ανδρος ℵ$^{c.a}$ **22** κρεισσων] κρισσον ℵ* (-σσων ℵ$^{c.a}$ mox revoc -σσον) | υπο] ο sup ras B^{a} (υπερ B* fort) **23** εχε] + ῃ ονιδισμον οικειας σου μη ακουσης ℵ$^{c.a}$ **24** παροικησεις ℵA | ανοιξεις ℵA **25** om εις ℵ* (hab ℵ$^{c.a}$) A | ακουση] ακουειν ℵ* (-ση ℵ$^{c.a}$) **27** αροικε ℵ* (παρ. ℵ^{1}) | ξενιας B*^{b}] οικιας B$^{b\,?\,c\,?}$ℵA **28** επιτιμησεις ℵA | ονιδισμον ℵ* (-σμος ℵ$^{c.a}$) | δανειστου B$^{a\,?\,b}$ XXX **1** ενδελεχησει] λε sup ras B$^{?\,vid}$ | εσχατω B^{ab}A **2** ονησεται] αινεθησεται ℵ$^{c.a}$ | επ αυτω (1°) sup ras A^{a} **3** εχθρον] + αυτου ℵ* (om αυτ. ℵ$^{c.a}$) **4** ως ουκ] ουχ (ουκ A) ως ℵA | κατελειπεν A | μετ] μεθ A

5 [5]ἐν τῇ ζωῇ αὐτοῦ εἶδεν καὶ εὐφράνθη, B
καὶ ἐν τῇ τελευτῇ αὐτοῦ οὐκ ἐλυπήθη·
6 [6]ἐναντίον ἐχθρῶν κατέλιπεν ἔκδικον,
καὶ τοῖς φίλοις ἀνταποδιδόντα χάριν.
7 [7]περὶ ψυχῶν υἱῶν καταδεσμεύσει τραύματα αὐτοῦ,
καὶ ἐπὶ πάσῃ βοῇ ταραχθήσεται σπλάγχνα αὐτοῦ.
8 [§8]ἵππος ἀδάμαστος ἀποβαίνει σκληρός, § C
καὶ υἱὸς ἀνειμένος ἐκβαίνει προαλής.
9 [9]τιθήνησον τέκνον καὶ ἐκθαμβήσει σε,
σύνπαιξον αὐτῷ καὶ λυπήσει σε.
10 [10]μὴ συνγελάσῃς αὐτῷ, ἵνα μὴ συνοδυνηθῇς,
καὶ ἐπ' ἐσχάτῳ γομφιάσεις τοὺς ὀδόντας σου.
11 [11]μὴ δῷς αὐτῷ ἐξουσίαν ἐν νεότητι·
12 [12]θλάσον τὰς πλευρὰς αὐτοῦ ὡς ἔστιν νήπιος,
μή ποτε σκληρυνθεὶς ἀπειθήσῃ σοι.
13 [13]παίδευσον τὸν υἱόν σου καὶ ἔργασαι ἐν αὐτῷ,
ἵνα μὴ ἐν τῇ ἀσχημοσύνῃ σου προσκόψῃ.
14 [14]κρείσσων πτωχὸς ὑγιὴς καὶ ἰσχύων τῇ ἕξει
ἢ πλούσιος μεμαστιγωμένος εἰς σῶμα αὐτοῦ.
15 [15]ὑγεία καὶ εὐεξία βελτίων παντὸς χρυσίου,
καὶ σῶμα εὔρωστον ἢ ὅλβος ἀμέτρητος.

Περὶ βρωμάτων.

16 [16]Οὐκ ἔστιν πλοῦτος βελτίων ὑγείας σώματος,
καὶ οὐκ ἔστιν εὐφροσύνη ὑπὲρ χαρὰν καρδίας.
17 [17]κρείσσων θάνατος ὑπὲρ ζωὴν πικρὰν ἢ ἀρρώστημα ἔμμονον.
18 [18]ἀγαθὰ ἐκκεχυμένα ἐπὶ στόματι κεκλεισμένῳ,
θέμα βρωμάτων παρακείμενα ἐπὶ τάφῳ.

5 ιδεν A | ηυφρανθη ℵA **6** κατελειπεν A **7** υιον ℵ$^{c.a}$A | αυτου 1°] ℵAC αυτων ℵ* (-του ℵ$^{c.a}$) **8** αποβαινει] εκβαινει ℵ (-νι) AC | ανειμενος] adnot ἀναπτόμενος B$^{a\,mg}$ **9** συμπαιζον B^{ab}ℵ (-πεξ.) A συμπεζον C **10** συγγελασης B^{ab}A | εσχατων AC | σου sup ras A^{a} **12** ως] εως A | απιθησι ℵAC **13** και εργασαι εν αυτω] ως εστιν νηπιος C | σου 2°] αυτου ℵAC | προσκοψης ℵAC **14** inter lineas pr tit ☩ ὑγιειας B$^{a?b}$ **15** υγεια ℵC (-για B*)] υγιεια B$^{ab\ vid}$A | ευεξεια ℵ ευξεια C | βελτιον ℵ | χρυσιου] χρυσι sup ras B^{ab} **16** tit περι βρωματων improb B^{c} περι νγιας A$^{?\,mg\,sup}$ evan in C^{vid} | υγειας ℵ (-γιας B*C)] νγιειας B$^{a?b}$A | χαριν ℵ* (-ραν ℵ$^{c.a}$) **17** πικραν] πικρῶ] ℵ + ϗ αναπαυσις αιωνιος ℵ$^{c.a}$ | ενμονον ℵAC **18** στοματι] μ sup ras B^{a} | θεματα ℵAC

B [19]τί συμφέρει κάρπωσις εἰδώλῳ; 19
οὔτε γὰρ ἔδεται οὔτε μὴ ὀσφρανθῇ·
[(20)]οὕτως ὁ ἐκδιωκόμενος ὑπὸ Κυρίου. (20)
[20]βλέπων ἐν ὀφθαλμοῖς καὶ στενάζων 20 (21)
ὥσπερ εὐνοῦχος περιλαμβάνων παρθένον καὶ στενάζων.
[21]μὴ δῷς εἰς λύπην τὴν ψυχήν σου, 21 (22)
καὶ μὴ θλίψῃς σεαυτὸν ἐν βουλῇ σου.
[22]εὐφροσύνη καρδίας ζωὴ ἀνθρώπου, 22 (23)
καὶ ἀγαλλίαμα ἀνδρὸς μακροημέρευσις.
[23]ἀγάπα τὴν ψυχήν σου καὶ παρακάλει τὴν καρδίαν σου, 23 (24)
καὶ λύπην μακρὰν ἀπόστησον ἀπὸ σοῦ·
[(25)]πολλοὺς γὰρ ἀπέκτεινεν ἡ λύπη, (25)
καὶ οὐκ ἔστιν ὠφελία ἐν αὐτῇ.
[24]ζῆλος καὶ θυμὸς ἐλαττοῦσιν ἡμέρας, 24 (26)
καὶ πρὸ καιροῦ γῆρας ἄγει μέριμνα.
[13b]λαμπρὰ καρδία καὶ ἀγαθὴ ἐπὶ ἐδέσμασιν 13b (27) XXXI (XXX
τῶν βρωμάτων αὐτῆς ἐπιμελήσεται.
[1]ἀγρυπνία πλούτου ἐκτήκει σάρκας, 1 XXXI (XXXI
καὶ ἡ μέριμνα αὐτοῦ ἀφιστᾷ ὕπνον·
[2]μέριμνα ἀγρυπνίας ἀπαιτήσει νυσταγμόν, 2
καὶ ἀρρώστημα βαρὺ ἐκνήψει ὕπνον.
[3]ἐκοπίασεν πλούσιος ἐν συναγωγῇ χρημάτων, 3
καὶ ἐν τῇ ἀναπαύσει ἐμπίμπλαται τῶν τρυφημάτων
αὐτοῦ·
[4]ἐκοπίασεν πτωχὸς ἐν ἐλαττώσει βίου, 4
καὶ ἐν τῇ ἀναπαύσει ἐπιδεὴς γίνεται.
[5]ὁ ἀγαπῶν χρυσίον οὐ δικαιωθήσεται, 5
καὶ ὁ διώκων διαφθορὰν αὐτὸς πλησθήσεται.

ℵAC **19** *καρπωσεις* ℵA^{vid} **20** ante *βλεπων* ras aliq B$^{?}$ | *οφθαλμοις*] + *αυτου* C | *στεναζων* 2°] + *ουτως ο ποιων εν βια κριματα* B$^{b\ mg\ inf}$ **21—22** *μη δως...μακροημερ.* (2 stich) sup ras C^{a} **21** *βουλη*] *ζωη* C^{a} **22** *καρδιας*] *α* 1° sup ras B$^{?}$ | *μακροημερευσις*] *μεγαλοημερευσεις* ℵ* (*μακροημ.* ℵ$^{c.a}$) **23** *αγαπα*] *απατα* ℵ$^{c.a}$C | *παρακαλει*] *πα* sup ras 4 fere litt C^{a} | *και λυπην...απο σου* bis scr B* (unc incl 1° B^{ab}) | *απεκτεινεν*] *απωλεσεν* ℵAC | *η λυπη*] om *η* A | *ωφελεια* B^{ab}AC **24** *ελαττουσιν*] *ελαττονουσιν* C | *προ*] incep *α* ℵ* (improb postea ras *α* ℵ$^{?}$) | *γηρας*] *γηρους* ℵ$^{c.a}$ | *μεριμνα*] ℵ XXXIV **1** *αγρυπνεια* B* (*-νια* B^{b}) **1—2** post *πλουτου* ras omnia usque *μεριμνα αγρ.* C$^{?}$ (om *αυτου...μεριμνα* 2° C$^{*\,vid}$) **1** *αφιστατο* A **2** *μεριμνα*] pr *η* C^{vid} | *υπνον* B$^{*b\,(vid)}$C] *υπνος* B^{a}ℵA **3** *εμπιπλαται* ℵAC **4** *εκοπιασεν*] *ε* 1° rescr ℵ^{1} **5** *αυτος*] *ουτος* ℵ

6 [6]πολλοὶ ἐδόθησαν εἰς πτῶμα χάριν χρυσίου, B
καὶ ἐγενήθη ἀπώλεια αὐτῶν κατὰ πρόσωπον αὐτῶν.
7 [7]ξύλον προσκόμματός ἐστιν τοῖς ἐνθυσιάζουσιν αὐτῷ,
καὶ πᾶς ἄφρων ἁλώσεται ἐν αὐτῷ.
8 [8]μακάριος πλούσιος ὃς εὑρέθη ἄμωμος,
καὶ ὃς ὀπίσω χρυσίου οὐκ ἐπορεύθη·
9 [9]τίς ἐστιν, καὶ μακαριοῦμεν αὐτόν;
ἐποίησεν γὰρ θαυμάσια ἐν λαῷ αὐτοῦ.
10 [10]τίς ἐδοκιμάσθη ἐν αὐτῷ καὶ ἐτελειώθη; καὶ ἔστω εἰς
καύχησιν.
τίς ἐδύνατο παραβῆναι καὶ οὐ παρέβη,
καὶ ποιῆσαι κακὰ καὶ οὐκ ἐποίησεν;
11 [11]στερεωθήσεται τὰ ἀγαθὰ αὐτοῦ,
καὶ τὰς ἐλεημοσύνας αὐτοῦ ἐκδιηγήσεται ἐκκλησία.

12 [12]Ἐπὶ τραπέζης μεγάλης ἐκάθισας·
μὴ ἀνοίξῃς ἐπ᾽ αὐτῆς τὸν φάρυγγά σου,
(13) [13]καὶ μὴ εἴπῃς Πολλά γε τὰ ἐπ᾽ αὐτῆς.
(14) 13 [13]μνήσθητι ὅτι κακὸν ὀφθαλμὸς πονηρός·
(15) [15]πονηρότερον ὀφθαλμοῦ τί ἔκτισται;
διὰ τοῦτο ἀπὸ παντὸς προσώπου δακρύει.
(16) 14 [14]οὗ ἐὰν ἐπιβλέψῃ, μὴ ἐκτείνῃς χεῖρα,
(17) [17]καὶ μὴ συνθλίβου αὐτῷ ἐν τρυβλίῳ.
(18) 15 [15]νόει τὰ τοῦ πλησίον ἐκ σεαυτοῦ,
καὶ ἐπὶ παντὶ πράγματι διανοοῦ.
(19) 16 [16]φάγε ὡς ἄνθρωπος τὰ παρακείμενά σοι,
καὶ μὴ διαμασῶ, μὴ μισηθῇς·
(20) 17 [17]παῦσαι πρῶτος χάριν παιδείας,
καὶ μὴ ἀπληστεύου, μή ποτε προσκόψῃς·
(21) 18 [18]καὶ εἰ ἀνὰ μέσον πλειόνων ἐκάθισας,
πρότερος αὐτῶν μὴ ἐκτείνῃς τὴν χεῖρά σου.
(22) 19 [19]ὡς ἱκανὸν ἀνθρώπῳ πεπαιδευμένῳ τὸ ὀλίγον,

6 απωλεια] η απωλια ℵ **7** ξυλον προσκομματος B ℵ$^{c.a}$ A (προσσκ.) C] ℵ AC ουδε προσταγματος ℵ* | ενθουσιαζουσιν ℵ* (ενθυσ. ℵ$^{c.a}$) **9** om γαρ C **10** εστω] εσται αυτω ℵ$^{c.a}$ | εποιησε C **11** εκκλησια] σοφια A **12** ανοιξας ℵ* (-ξῃς ℵ$^{c.a}$) | αυτης] αυτη ℵ | τον φαρυγγα] om τον B^{ab} ℵ AC | om μη 2° AC **14** επιβλεψῃς ℵ* (improb s postea revoc ℵ$^{?}$) | τρυβλιω] pr τω ℵC **16** διαμασου ℵ* (-σω ℵ$^{c.a}$) **17** παιδιας ℵAC | προσσκοψῃς A

B καὶ ἐπὶ τῆς κοίτης αὐτοῦ οὐκ ἀσθμαίνει.
20 ὕπνος ὑγείας ἐπὶ ἐντέρῳ μετρίῳ· 20 (24)
ἀνέστη πρωί, καὶ ἡ ψυχὴ αὐτοῦ μετ' αὐτοῦ·
(23) πόνος ἀγρυπνίας καὶ χολέρας καὶ στρόφος μετὰ ἀνδρὸς (23)
ἀπλήστου.
21 καὶ εἰ ἐβιάσθης ἐν ἐδέσμασιν, 21 (25)
ἀνάστα μεσοπορῶν, καὶ ἀναπαύσῃ.
22 ἄκουσόν μου, τέκνον, καὶ μὴ ἐξουδενήσῃς με, 22 (26)
καὶ ἐπ' ἐσχάτῳ εὑρήσεις τοὺς λόγους μου.
(27) ἐν πᾶσι τοῖς ἔργοις σου γίνου ἐντρεχής, (27)
¶ C καὶ πᾶν ἀρρώστημα οὐ μή σοι¶ ἀπαντήσῃ.
23 λαμπρὸν ἐπ' ἄρτοις εὐλογήσει χείλη, 23 (28)
καὶ μαρτυρία τῆς καλλονῆς αὐτοῦ πιστή·
24 πονηρῷ ἐπ' ἄρτῳ διαγογγύσει πόλις, 24 (29)
καὶ ἡ μαρτυρία τῆς πονηρίας αὐτοῦ ἀκριβής.

25 Ἐν οἴνῳ μὴ ἀνδρίζου, 25 (30)
πολλοὺς γὰρ ἀπώλεσεν ὁ οἶνος·
26 κάμινος δοκιμάζει στόμωμα ἐν βαφῇ, 26 (31)
οὕτως οἶνος καρδίας ἐν μάχῃ ὑπερηφάνων.
27 ἔφισον ζωῆς οἶνος ἀνθρώπῳ, 27 (32)
ἐὰν πίνῃς αὐτὸν μέτρῳ αὐτοῦ·
(33) τίς ζωὴ ἐλασσουμένῳ οἴνῳ; (33)
(35) καὶ αὐτὸς ἔκτισται εἰς εὐφροσύνην ἀνθρώποις. (35)
28 ἀγαλλίαμα καρδίας καὶ εὐφροσύνη ψυχῆς 28 (36)
οἶνος πινόμενος ἐν καιρῷ αὐτάρκης·
29 πικρία ψυχῆς οἶνος πινόμενος πολὺς 29 (39)
ἐν ἐρεθισμῷ καὶ ἀντιπτώματι.
30 πληθύνει μέθη θυμὸν ἄφρονος εἰς πρόσκομμα, 30 (40)
ἐλαττῶν ἰσχὺν καὶ προσποιῶν τραύματα.

ℵAC **19** ασθμαινει] ασθενει C **20** υγειας (-γιας B*ℵC)] υγιειας B^{ab}A | πονος]+δε ℵ | αγρυπνειας B* (-νιας B^{b}) | στροφος] στρεφομενος ℵ* (στροφ. $ℵ^{c.a}$) **21** εν εδεσμασιν] ενδεσμασιν C | μεσοπορων $ℵ^{c.a}$] μεσοπωρων BAC μεσοπωρον ℵ* **22** εξουδενωσης ℵAC | εσχατω Bℵ*] εσχατων $ℵ^{c.a}$ εσχατου AC | πασιν ℵ | εργοις] λογοις A **23** μαρτυρια] pr η $ℵ^{c.a}$A **26** δοκιμαζει] δοκιμα (sic) ℵ* (-μαζι $ℵ^{c.a}$) δοκιμαζεις A **27** επισον A | ανθρωπω] ανοις ℵA | μετρω] pr εν $ℵ^{c.a}$ | οινω] pr εν $ℵ^{c.a}$ οινου A | ανθρωποις] ανω̄ν ℵ* (ανοις $ℵ^{c.a}$) **29** πινομενος] γινομενος A | αντιπτωμα ℵ* (-ματι $ℵ^{c.a}$) **30** προσσκομμα A

(41) 31 [31]ἐν συμποσίῳ οἴνου μὴ ἐλέγξῃς τὸν πλησίον, B
καὶ μὴ ἐξουθενήσῃς αὐτὸν ἐν εὐφροσύνῃ αὐτοῦ·
(42) [42]λόγον ὀνειδισμοῦ μὴ εἴπῃς αὐτῷ,
καὶ μὴ αὐτὸν θλίψῃς ἐν ἀπαιτήσει.

(XXXV 1 / XXXII) 1 [1]Ἡγούμενόν σε κατέστησαν; μὴ ἐπαίρου·
γίνου ἐν αὐτοῖς ὡς εἷς ἐξ αὐτῶν,
(2) [2]φρόντισον αὐτῶν καὶ οὕτω κάθισον·
2 [2]καὶ πᾶσαν τὴν χρείαν σου ποιήσας ἀνάπεσε,
(3) [3]ἵνα εὐφρανθῇς δι' αὐτούς,
καὶ εὐκοσμίας χάριν λάβῃς στέφανον.

(4) 3 [3]Λάλησον, πρεσβύτερε, πρέπει γάρ σοι,
(5) [5]ἐν ἀκριβεῖ ἐπιστήμῃ, καὶ μὴ ἐμποδίσῃς μουσικά.
(6) 4 [4]ὅπου ἀκρόαμα, μὴ ἐκχέῃς λαλιάν,
καὶ ἀκαίρως μὴ σοφίζου.
(7) 5 [5]σφραγὶς ἄνθρακος ἐπὶ κόσμῳ χρυσῷ,
σύγκριμα μουσικῶν ἐν συμποσίῳ οἴνου·
(8) 6 [6]ἐν κατασκευάσματι χρυσῷ σφραγὶς σμαράγδου,
μέλος μουσικῶν ἐφ' ἡδεῖ οἴνῳ.
(10) 7 [7]λάλησον, νεανίσκε, εἰ χρεία σου,
(11) [11]μόλις δὶς ἐὰν ἐπερωτηθῇς·
(12) 8 [8]κεφαλαίωσον λόγον, ἐν ὀλίγοις πολλά·
γίνου ὡς γινώσκων καὶ ἅμα σιωπῶν.
(13) 9 [9]ἐν μέσῳ μεγιστάνων μὴ ἐξισάζου,
καὶ ἑτέρου λέγοντος μὴ πολλὰ ἀδολέσχει.
(14) 10 [10]πρὸ βροντῆς κατασπεύδει ἀστραπή,
καὶ πρὸ αἰσχυντηροῦ προελεύσεται χάρις.
(15) 11 [11]ἐν ὥρᾳ ἐξεγείρου καὶ μὴ οὐράγει,
ἀπότρεχε εἰς οἶκον καὶ μὴ ῥαθύμει·
(16) 12 [12]ἐκεῖ παῖζε καὶ ποίει τὰ ἐνθυμήματά σου,
καὶ μὴ ἁμάρτῃς λόγῳ ὑπερηφάνῳ.

31 εξουδενωσης ℵ εξουθενωσης A XXXV **1** ηγουμενον] pr π̣ η̣γ̣ε̣μ̣ν̣ω̣ι ℵA Bb?c? mg dextr | om εν ℵ | ουτως ℵA | καθισε A **2** αναπεσον A | στεφανον] pr τον ℵ*A pr δι αυτων ℵc.a **3** ακριβη A | om και ℵ* (hab ℵc.a) **5** συνκριμα ℵA | συμποσια A **6** ζσμαραγδου ℵ* (σμ. ℵ?) **8** om λογον ℵ | om ως A **9** εξισαζου] εξουσιαζου ℵ **11** εν] κεν ℵ* (κ improb ℵ?) | ραθυμει] αθυμει A **12** αμαρτης] αμαρτια και ℵ* (αμαρτης ℵc.a) αμαρτησης A

Β [13]καὶ ἐπὶ τούτοις εὐλόγησον τὸν ποιήσαντά σε 13 (17)
καὶ μεθύσκοντά σε ἀπὸ τῶν ἀγαθῶν αὐτοῦ.

[14]Ὁ φοβούμενος Κύριον ἐκδέξεται παιδίαν, 14 (18)
καὶ οἱ ὀρθρίζοντες εὑρήσουσιν εὐδοκίαν·
[15]ὁ ζητῶν νόμον ἐμπλησθήσεται αὐτοῦ, 15 (19)
καὶ ὁ ὑποκρινόμενος σκανδαλισθήσεται ἐν αὐτῷ·
[16]οἱ φοβούμενοι Κύριον εὑρήσουσιν κρίμα, 16 (20)
καὶ δικαιώματα ὡς φῶς ἐξάψουσιν.
[17]ἄνθρωπος ἁμαρτωλὸς ἐκκλινεῖ ἔλεγμόν, 17 (21)
καὶ κατὰ τὸ θέλημα αὐτοῦ εὑρήσει σύγκριμα.
[18]ἀνὴρ βουλῆς οὐ μὴ παρίδῃ διανόημα, 18 (22)
ἀλλότριος καὶ ὑπερήφανος οὐ καταπτήξει φόβον,
[(23)]καὶ μετὰ τὸ ποιῆσαι μετ' αὐτοῦ ἄνευ βουλῆς. (23)
[19]ἄνευ βουλῆς μηθὲν ποιήσῃς, 19 (24)
καὶ ἐν τῷ ποιῆσαί σε μὴ μεταμελοῦ.
[20]ἐν ὁδῷ ἀντιπτώματος μὴ πορεύου, 20 (25)
καὶ μὴ προσκόψῃς ἐν λιθώδεσιν·
[21]μὴ πιστεύσῃς ἐν ὁδῷ ἀπροσκόπῳ, 21
[22]καὶ ἀπὸ τῶν τέκνων σου φύλαξαι. 22 (26)
[23]ἐν παντὶ ἔργῳ πίστευε τῇ ψυχῇ σου, 23 (27)
καὶ γὰρ τοῦτό ἐστιν τήρησις ἐντολῶν.
[24]ὁ πιστεύων νόμῳ προσέχει ἐντολαῖς, 24 (28)
καὶ ὁ πεποιθὼς Κυρίῳ οὐκ ἐλαττωθήσεται.
[1]τῷ φοβουμένῳ Κύριον οὐκ ἀπαντήσει κακόν, 1 XXXV (XXXI
ἀλλ' ἐν πειρασμῷ καὶ πάλιν ἐξελεῖται.
[2]ἀνὴρ σοφὸς οὐ μισήσει νόμον, 2
ὁ δὲ ὑποκρινόμενος ἐν αὐτῷ ὡς ἐν καταιγίδι πλοῖον.
[3]ἄνθρωπος συνετὸς ἐνπιστεύσει νόμῳ, 3
καὶ ὁ νόμος αὐτῷ πιστὸς [(4)]ὡς ἐρώτημα δικαίων.
[4]ἑτοίμασον λόγον καὶ οὕτως ἀκουσθήσῃ, 4
σύνδησον παιδείαν καὶ ἀποκρίθητι.

ℵA **14** Κυριον] pr τον ℵ | εκδεξεται] εκλεξετε (sic: comm) $B^{b\,?c?}$ | παιδειαν $B^{ab}A$ **15** εμπλησθησεται] επιλησθησεται ℵ* (εμπλ. $ℵ^{c.a}$) **16** κριμα] χαριν ℵ* (κριμα $ℵ^{c.a}$) **17** εκκλειν| B^{*vid} εκκλινει B^{a} (εκκλινει B^{b}) **18** και μετα...βουλης] pr asterisc $ℵ^{c.a}$ **19** μηδεν A **21** μη] pr και A **24** εντολη ℵ εντολης A XXXVI **1** Κυριον] pr τον ℵ | εξελειται] + αυτον $ℵ^{c.a}$ **2** υποκρινομενος] ενυποκρ. ℵ **3** εμπιστευσει $B^{b}A$ | ερωτημα] επερωτημα ℵ | δικαιων] δηλων ℵA **4** παιδιαν ℵA | και 2°] + ουτως ℵ

5 [5]τροχὸς ἁμάξης σπλάγχνα μωροῦ, B
καὶ ὡς ἄξων στρεφόμενος ὁ διαλογισμὸς αὐτοῦ.
6 [6]ἵππος εἰς ὀχείαν ὡς φίλος μῶκος,
ὑποκάτω παντὸς ἐπικαθημένου χρεμετίζει.
7 [7]διὰ τί ἡμέρα ἡμέρας ὑπερέχει,
καὶ πᾶν φῶς ἡμέρας ἐνιαυτοῦ ἀφ' ἡλίου;
8 [8]ἐν γνώσει Κυρίου διεχωρίσθησαν,
καὶ ἠλλοίωσεν καιροὺς καὶ ἑορτάς·
(10) 9 [9]ἀπ' αὐτῶν ἀνύψωσεν καὶ ἡγίασεν,
καὶ ἐξ αὐτῶν ἔθηκεν εἰς ἀριθμὸν ἡμερῶν.
10 [10]καὶ ἄνθρωποι πάντες ἀπὸ ἐδάφους,
καὶ ἐκ γῆς ἐκτίσθη Ἀδάμ·
11 [11]ἐν πλήθει ἐπιστήμης Κύριος διεχώρισεν αὐτούς,
καὶ ἠλλοίωσεν τὰς ὁδοὺς αὐτῶν·
12 [12]ἐξ αὐτῶν εὐλόγησεν καὶ ἀνύψωσεν,
καὶ ἐξ αὐτῶν ἡγίασεν καὶ πρὸς αὐτὸν ἤγγισεν·
ἀπ' αὐτῶν κατηράσατο καὶ ἐταπείνωσεν,
καὶ ἀνέστρεψεν αὐτοὺς ἀπὸ στάσεως αὐτῶν.
13 [13]ὡς πηλὸς κεραμέως ἐν χειρὶ αὐτοῦ,
(14) [14]πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κατὰ τὴν εὐδοκίαν αὐτοῦ·
οὕτως ἄνθρωποι ἐν χειρὶ τοῦ ποιήσαντος αὐτούς,
ἀποδοῦναι αὐτοῖς κατὰ τὴν κρίσιν αὐτοῦ.
(15) 14 [14]ἀπέναντι τοῦ κακοῦ τὸ ἀγαθόν,
καὶ ἀπέναντι τοῦ θανάτου ἡ ζωή·
οὕτως ἀπέναντι εὐσεβοῦς ἁμαρτωλός.
15 [15]καὶ οὕτως ἔμβλεψον εἰς πάντα τὰ ἔργα τοῦ ὑψίστου,
δύο δύο, ἓν κατέναντι τοῦ ἑνός.

(16) 16[a] [16a]Κἀγὼ ἔσχατος ἠγρύπνησα,
XXX 25 §[25]ὡς καλαμώμενος ὀπίσω τρυγητῶν· § C
(17) [17]ἐν εὐλογίᾳ Κυρίου ἔφθασα,
καὶ ὡς τρυγῶν ἐπλήρωσα ληνόν.

6 οχειαν B𝔎[c.a]] οχειον 𝔎* (-χιον A) | om ως 𝔎[c.a] | μωκος] μωρος 𝔎[c.a] | χρεμετισει A **9** αυτων 1°] ων sup ras A[a] | ηγιασεν κ. ανυψωσεν 𝔎 **10** εκτισθη εκ γης 𝔎 **12** ηυλογησεν 𝔎A | εταπεινωσεν] προς αυτον ηγγισεν A | απο στασεως] απο| αποστασεως (? απο bis scr) A **13** πηλον 𝔎* (-λος 𝔎[c.a]) **14** ευσεβους] pr του 𝔎 **15** om εν 𝔎 XXX **25** καλαμωμενος] καλαμενος 𝔎* (καλαμωμ. 𝔎[c.a]) καλαμουμενος C ΝΑC

B [26]κατανοήσατε ὅτι οὐκ ἐμοὶ μόνῳ ἐκοπίασα, 26 (18)
ἀλλὰ πᾶσιν τοῖς ζητοῦσιν παιδείαν.
[27]ἀκούσατέ μου, μεγιστᾶνες λαοῦ, 27 (19)
καὶ οἱ ἡγούμενοι ἐκκλησίας, ἐνωτίσασθε.
[28]υἱῷ καὶ γυναικί, ἀδελφῷ καὶ φίλῳ 28 (20)
μὴ δῷς ἐξουσίαν ἐπὶ σὲ ἐν ζωῇ σου·
καὶ μὴ δῷς ἑτέρῳ τὰ χρήματά σου,
ἵνα μὴ μεταμεληθεὶς δέῃ περὶ αὐτῶν.
[29]ἕως ἔτι ζῇς καὶ πνοὴ ἐν σοί, μὴ ἀλλάξῃς σεαυτὸν πάσῃ 29 (21)
σαρκί.
[30]κρεῖσσον γάρ ἐστιν τὰ τέκνα δεηθῆναί σου 30 (22)
ἢ σὲ ἐμβλέπειν εἰς χεῖρας υἱῶν σου.
[31]ἐν πᾶσι τοῖς ἔργοις σου γίνου ὑπεράγων, 31 (23)
μὴ δῷς μῶμον ἐν τῇ δόξῃ σου.
[32]ἐν ἡμέρᾳ συντελείας ἡμερῶν ζωῆς σου 32 (24)
καὶ ἐν καιρῷ τελευτῆς διάδος κληρονομίαν.
[33]χορτάσματα καὶ ῥάβδος καὶ φορτία ὄνῳ, 33 (25)
ἄρτος καὶ παιδεία καὶ ἔργον οἰκέτῃ.
[34]ἔργασαι ἐν παιδί, καὶ εὑρήσεις ἀνάπαυσιν· 34 (26)
ἄνες χεῖρας αὐτῷ, καὶ ζητήσει ἐλευθερίαν.
[35]ζυγὸς καὶ ἱμὰς κάμψουσιν τράχηλον, 35 (27)
καὶ οἰκέτῃ κακούργῳ στρέβλαι καὶ βάσανοι·
[36]ἔμβαλε αὐτὸν εἰς ἐργασίαν, ἵνα μὴ ἀργῇ, 36 (28)
[37]πολλὴν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία· 37 (29)
[38]εἰς ἔργα κατάστησον καθὼς πρέπει αὐτῷ, 38 (30)
κἂν μὴ πειθαρχῇ, βάρυνον τὰς πέδας αὐτοῦ.
καὶ μὴ περισσεύσῃς ἐν πάσῃ σαρκί,
καὶ ἄνευ κρίσεως μὴ ποιήσῃς μηδέν.
[39]εἰ ἔστιν σοι οἰκέτης, ἔστω ὡς σύ, 39 (31)
ὅτι ἐν αἵματι ἐκτήσω αὐτόν·

ℵAC **26** εκοπιασατε C | αλλα]+ ℽ ℵ$^{c.a}$ | πασι C | ζητουσιν (-σι C)] εκζητουσιν ℵ$^{c.a}$ | παιδειαν (-διαν ℵA)] σοφιαν C **27** οι ηγουμενοι] om οι ℵ **29** πασῃ] pr εν ℵ$^{c.a}$AC **31** πασιν ℵA | υπεραγων] υπερανω C | μη] pr ℽ ℵ$^{c.a}$ **32** συντελιας C **33** χορτασματα] χορτασμα A pr περι δουλων C 'man satis ant' mg | αρτος] pr ℿ δούλῳ B$^{a?b?}$ | παιδια ℵ (πεδ.) AC | om και 4° ℵ* (hab ℽ ℵ$^{c.a}$) **34** ζητησεις ℵ*A* (-σει ℵ$^{c.a}$A$^{?}$) C* fort (τησει ελευθ. sup ras C^{a}) **35** τραχηλον καμψουσι] ℵA τραχ. καμπτουσιν C **37** πολλη C* (ν superscr C$^{?vid}$) **38** om αυτου B^{ab}ℵ* (hab ℵ$^{c.a}$) AC | εν] επι ℵAC **39** συ] σοι C

εἰ ἔστιν σοι οἰκέτης, ἄγε αὐτὸν ὡς σεαυτόν, B
ὅτι ὡς ἡ ψυχή σου ἐπιδέησις αὐτῷ·
(32) 40 [40]ἐὰν κακώσῃς αὐτὸν καὶ ἀπάρας ἀποδρᾷ,
(33) [(33)]ἐν ποίᾳ ὁδῷ ζητήσεις αὐτόν;

XXXI (XXXIV)
1 [1]Κεναὶ ἐλπίδες καὶ ψευδεῖς ἀσυνέτῳ ἀνδρί,
καὶ ἐνύπνια ἀναπτεροῦσιν ἄφρονας.
2 [2]ὡς δρασσόμενος σκιᾶς καὶ διώκων ἄνεμον,
οὕτως ὁ ἐπέχων ἐνυπνίοις·
3 [3]τοῦτο κατὰ τούτου ὅρασις ἐνυπνίων,
κατέναντι προσώπου ὁμοίωμα προσώπου.
4 [4]ἀπὸ ἀκαθάρτου τί καθαρισθήσεται;
καὶ ἀπὸ ψευδοῦς τί ἀληθεύσει;
5 [5]μαντεῖαι καὶ οἰωνισμοὶ καὶ ἐνύπνια μάταιά ἐστιν,
[(6)]καὶ ὡς ὠδινούσης φαντάζεται καρδία.¶ ¶ C
6 [6]ἐὰν μὴ παρὰ Ὑψίστου ἀποσταλῇ ἐν ἐπισκοπῇ,
μὴ δῷς εἰς αὐτὰ τὴν καρδίαν σου·
7 [7]πολλοὺς ἐπλάνησεν τὰ ἐνύπνια,
καὶ ἐξέπεσον ἐλπίζοντες ἐπ' αὐτοῖς.
8 [8]ἄνευ ψεύδους συντελεσθήσεται νόμος,
καὶ σοφία στόματι πιστῷ τελείωσις.

9 [9]Ἀνὴρ πεπαιδευμένος ἔγνω πολλά,
καὶ ὁ πολύπειρος ἐκδιηγήσεται σύνεσιν·
10 [10]ὃς οὐκ ἐπειράθη ὀλίγα οἶδεν,
11 [11]ὁ δὲ πεπλανημένος πληθυνεῖ πανουργίαν.
12 [12]πολλὰ ἑώρακα ἐν τῇ ἀποπλανήσει μου,
καὶ πλείονα τῶν λόγων μου σύνεσίς μου·
13 [13]πλεονάκις ἕως θανάτου ἐκινδύνευσα,
καὶ διεσώθην τούτων χάριν.
14 [14]πνεῦμα φοβουμένων Κύριον ζήσεται,

39 om ει 2° ℵ* (hab ℵ$^{c.a}$) | σεαυτον] αδελφον ℵAC | επιδεησεις BℵA επιδεησι C **40** απαρας] in πα ras aliq B$^{?}$ XXXI **2** ενυπνιοις] pr ο ℵ* (improb ο ℵ$^{c.a}$) **3** τουτου] τουτο ℵ **4** απο 1°] pr και A **5** μαντιαι ℵC **6** παρα Υψ. αποσταλη] αποστ. παρα Υψ. ℵ απο Υψ. αποστ. A **7** πολλους]+γαρ A | εξεπεσαν ℵ | επ] εν ℵ* (επ ℵ$^{c.a}$) **9** πεπαιδευμενος] πεπλανημενος ℵA*^{vid} (αιδευ sup ras A^{a}) **10** επειραθη] επιρασθη ℵ **11** πανουργειαν A **12** εορακα ℵA | πλειονα] τα πλεονα ℵ* τα πλειονα ℵ$^{c.a}$

B [15]ἡ γὰρ ἐλπὶς αὐτῶν ἐπὶ τὸν σώζοντα αὐτούς· 15
[16]ὁ φοβούμενος Κύριον οὐ μὴ εὐλαβηθήσεται, 16
καὶ οὐ μὴ δειλιάσει, ὅτι αὐτὸς ἐλπὶς αὐτοῦ.
[17]φοβουμένου τὸν κύριον μακαρία ἡ ψυχή· 17
[18]τίνι ἐπέχει; καὶ τίς ἀντιστήριγμα αὐτοῦ; 18
[19]οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς ἀγαπῶντας αὐτόν, 19
ὑπερασπισμὸς δυναστείας καὶ στήριγμα ἰσχύος,
σκέπη ἀπὸ καύσωνος καὶ σκέπη ἀπὸ μεσημβρίας,
[(20)]φυλακὴ ἀπὸ προσκόμματος καὶ βοήθεια ἀπὸ πτώματος·
[20]ἀνυψῶν ψυχὴν καὶ φωτίζων ὀφθαλμούς, 20
ἴασιν διδοὺς ζωὴν καὶ εὐλογίαν.

[21]Θυσιάζων ἐξ ἀδίκου, προσφορὰ μεμωκημένη, 21 } (21)
[22]καὶ οὐκ εἰς εὐδοκίαν μωκήματα ἀνόμων· 22 }
[23]οὐκ εὐδοκεῖ ὁ ὕψιστος ἐν προσφοραῖς ἀσεβῶν, 23
οὐδὲ ἐν πλήθει θυσιῶν ἐξιλάσκεται ἁμαρτίας.
[24]θύων υἱὸν ἔναντι τοῦ πατρὸς αὐτοῦ 24
ὁ προσάγων θυσίαν ἐκ χρημάτων πενήτων.
[25]ἄρτος ἐπιδεομένων ζωὴ πτωχῶν, 25
ὁ ἀποστερῶν αὐτὴν ἄνθρωπος αἱμάτων·
[26]φονεύων τὸν πλησίον ὁ ἀφαιρούμενος συμβίωσιν, 26
[27]καὶ ἐκχέων αἷμα ὁ ἀποστερῶν μισθὸν μισθίου. 27
[28]εἷς οἰκοδομῶν καὶ εἷς καθαιρῶν, 28
τί ὠφέλησαν πλεῖον ἢ κόπου;
[29]εἷς εὐχόμενος καὶ εἷς καταρώμενος, 29
τίνος φωνῆς εἰσακούσεται ὁ δεσπότης;
[30]βαπτιζόμενος ἀπὸ νεκροῦ καὶ πάλιν ἁπτόμενος αὐτοῦ, 30
τί ὠφέλησεν τῷ λουτρῷ αὐτοῦ;
[31]οὕτως ἄνθρωπος νηστεύων ἐπὶ τῶν ἁμαρτιῶν αὐτοῦ 31
καὶ πάλιν πορευόμενος καὶ τὰ αὐτὰ ποιῶν·
τῆς προσευχῆς αὐτοῦ τίς εἰσακούσεται;
καὶ τί ὠφέλησεν ἐν τῷ ταπεινωθῆναι αὐτόν;

ℵA **15** αυτων] ω sup ras A[b] **16** ου μη 1°] ουδεν ℵ πολλα A | δειλιαση B[b(vid)] **17** φοβουμενω ℵ* (-νου ℵ[c.a]) **18** αντιστηριγμα αυτου] improb αντι B[ab] αυτου στηριγμα B[a?b?]ℵA **19** δυναστιας ℵ | σκεπη 2°] σκεπην A | πτωματος] πτωσεως A **21** μεμωκημενη] μεμωμημενη A **22** μωκηματα] μωμηματα ℵ[c.a] (sed adscr in mg δωρηματα) A (α 1° sup ras A[a]) **24** του πατρος] om του ℵ | προσαγων] προσαγαγων ℵ **25** επενδεομενων ℵA | αυτην] αυτον ℵ[c.a] **26** συμβιωσιν] εμβιωσιν ℵA (ενβ.) **27** ο αποστερων] και αποστ. A **28** ωφελησεν A | κοπους ℵA **30** τω λουτρω] pr εν ℵA

XXXII (XXXV) 1 [1]Ὁ συντηρῶν νόμον πλεονάζει προσφορᾶς, B
2 [2]θυσιάζων σωτηρίου ὁ προσέχων ἐντολαῖς·
(4) 3 [3]ἀνταποδιδοὺς χάριν προσφέρων σεμίδαλιν,
4 [4]καὶ ὁ ποιῶν ἐλεημοσύνην θυσιάζων αἰνέσεως.
5 [5]εὐδοκία Κυρίου ἀποστῆναι ἀπὸ πονηρίας,
καὶ ἐξιλασμὸς ἀποστῆναι ἀπὸ ἀδικίας.
6 [6]μὴ ὀφθῇς ἐν προσώπῳ Κυρίου κενός,
7 [7]πάντα γὰρ ταῦτα χάριν ἐντολῆς.
8 [8]προσφορὰ δικαίου λιπαίνει θυσιαστήριον,
καὶ ἡ εὐωδία αὐτῆς ἔναντι Ὑψίστου·
9 [9]θυσία ἀνδρὸς δικαίου δεκτή,
καὶ τὸ μνημόσυνον αὐτῆς οὐκ ἐπιλησθήσεται.
10 [10]ἐν ἀγαθῷ ὀφθαλμῷ δόξασον τὸν κύριον,
καὶ μὴ μικρύνῃς ἀπαρχὴν χειρῶν σου·
11 [11]ἐν πάσῃ δόσει ἱλάρωσον τὸ πρόσωπόν σου,
καὶ ἐν εὐφροσύνῃ ἁγίασον δεκάτην.
12 [12]δὸς Ὑψίστῳ κατὰ τὴν δόσιν αὐτοῦ,
καὶ ἐν ἀγαθῷ ὀφθαλμῷ καθ' εὕρεμα χειρός·
13 [13]ὅτι Κύριος ἀνταποδιδούς ἐστιν,
καὶ ἑπταπλᾶ ἀνταποδώσει σοι.
14 [14]μὴ δωροκόπει, οὐ γὰρ προσδέξεται·
15 [15]καὶ μὴ ἔπεχε θυσίᾳ ἀδίκῳ,
ὅτι Κύριος κριτής ἐστιν,
καὶ οὐκ ἔστιν παρ' αὐτῷ δόξα προσώπου.
16 [16]οὐ λήμψεται πρόσωπον ἐπὶ πτωχοῦ,
καὶ δέησιν ἠδικημένου εἰσακούσεται·
17 [17]οὐ μὴ ὑπερίδῃ ἱκετίαν ὀρφανοῦ,
καὶ χήραν ἐὰν ἐκχέῃ λαλιάν.
(18) 18 [18]οὐχὶ δάκρυα χήρας ἐπὶ σιαγόνα καταβαίνει,
19 [19]καὶ ἡ καταβόησις ἐπὶ τῷ καταγαγόντι αὐτά;
20 [20]θεραπεύων ἐν εὐδοκίᾳ δεχθήσεται,
καὶ ἡ δέησις αὐτοῦ ἕως νεφελῶν συνάψει·

XXXII **1** προσφορας B*vid ℵA] συμφορας B$^{?}$ **2** θυσιαζων] θυσια A$^{?}$ ℵA (ras ζων) **4** θυσιαζων] θυσια ℵ* (-ζων ℵ$^{c.a}$) **5** εξιλασμος] ειλασμος ℵ* (εξειλ. ℵ$^{c.a}$) **10** κυριον] + θν ℵ | μικρυνης] σμικρυνης ℵ$^{c.a}$ **11** τον προσωπον ℵ* (το πρ. ℵ$^{1\,(vid)\,c.a}$) **12** αυτου] σου A | ευρεμα] αιρεμα ℵ **13** επταπλα] επταπλασια ℵA | ανταποδωσει] ανταποδιδωσειν (sic) ℵ$^{c.a}$ αποδωσει A **17** υπεριδη] παριδη A | ικετιαν (υκ. A*)] ικετειαν B^{ab} | χηρα ℵ **18** σιαγονας ℵ σιαγονει A **19** καταβοησις] καταπτωσις ℵ

B [21] προσευχὴ ταπεινοῦ νεφέλας διῆλθεν, 21
καὶ ἕως συνεγγίσῃ, οὐ μὴ παρακληθῇ·
καὶ οὐ μὴ ἀποστῇ ἕως ἐπισκέψηται ὁ ὕψιστος,
[22] καὶ κρινεῖ δικαίως καὶ ποιήσει κρίσιν. 22
§ C [§] καὶ ὁ κύριος οὐ μὴ βραδύνῃ
οὐδὲ μὴ μακροθυμήσει ἐπ' αὐτοῖς,
ἕως ἂν συντρίψῃ ὀσφὺν ἀνελεημόνων,
[23] καὶ τοῖς ἔθνεσιν ἀνταποδώσει ἐκδίκησιν· 23
ἕως ἐξάρῃ πλῆθος ὑβριστῶν
καὶ σκῆπτρα ἀδίκων συντρίψει·
[24] ἕως ἀνταποδῷ ἀνθρώπῳ κατὰ τὰς πράξεις αὐτοῦ, 24
καὶ τὰ ἔργα τῶν ἀνθρώπων κατὰ τὰ ἐνθυμήματα αὐτῶν·
[25] ἕως κρίνῃ τὴν κρίσιν τοῦ λαοῦ αὐτοῦ 25
καὶ εὐφρανεῖ αὐτοὺς ἐν τῷ ἐλέει αὐτοῦ.
[26] ὡραῖον ἔλεος ἐν καιρῷ θλίψεως αὐτοῦ, 26
ὡς νεφέλαι ὑετοῦ ἐν καιρῷ ἀβροχίας.

[1] Ἐλέησον ἡμᾶς, δέσποτα ὁ θεὸς πάντων, [2] καὶ ἐπίβλεψον, 1 XXXII
2 (XXXV
[(2)] καὶ ἐπίβαλε τὸν φόβον σου ἐπὶ πάντα τὰ ἔθνη· 2
[3] ἔπαρον τὴν χεῖρά σου ἐπὶ ἔθνη ἀλλότρια, 3
καὶ ἰδέτωσαν τὴν δυναστείαν σου.
[4] ὥσπερ ἐνώπιον αὐτῶν ἡγιάσθης ἐν ἡμῖν, 4
οὕτως ἐνώπιον ἡμῶν μεγαλυνθείης ἐν αὐτοῖς·
[5] καὶ ἐπιγνώτωσάν σε καθάπερ καὶ ἡμεῖς ἐπέγνωμεν, 5
ὅτι οὐκ ἔστιν θεὸς πλὴν σοῦ, Κύριε.
[6] ἐγκαίνισον σημεῖα καὶ ἀλλοίωσον θαυμάσια, 6
[7] δόξασον χεῖρα καὶ βραχίονα δεξιόν· 7
[8] ἔγειρον θυμὸν καὶ ἔκχεον ὀργήν, 8
[9] ἔξαρον ἀντίδικον καὶ ἔκτριψον ἐχθρόν. 9
[10] σπεῦσον καιρὸν καὶ μνήσθητι ὁρκισμοῦ, 10
καὶ ἐκδιηγησάσθωσαν τὰ μεγαλεῖά σου.

ℵAC **21** *ο υψιστος*] $\overline{\text{κς}}$ A **22** *δικαιως*] *δικαιοις* ℵ* (-ως ℵ$^{c.a}$) A | *μακροθυμηση* ℵA | om *αν* C **23** *ανταποδωσει*] *ανταποδιδωσιν* C | *αδικων*] *δικαιων* A | *συντριψη* ℵAC **24** *ανταποδοι* ℵ* (-δω ℵ$^{c.a}$) | *κατα* 2°] *και* A **25** *εως*] + *αν* ℵ$^{c.a}$ | *κρινει* C | om *και ευφρανει...ελεει αυτου* C | *ελεει*] *ελει* A **26** *ωραιον*] pr *ως* ℵ | om *αυτου* ℵ | *ως*] *εως* ℵ* (*ως* ℵ$^{c.a}$) XXXIII **1** om *δεσποτα* A **3** *ιδετωσαν την*] *επι εθνη ταν* (sic) ℵ* (*ιδ. την* ℵ$^{c.a}$) | *δυναστιαν* AC **4** *ηγιασθης*] *εθαυμασθης* ℵ* (*ηγ.* ℵ$^{c.a}$) | *μεγαλυνθης* ℵ* (*-θιης* ℵ$^{1\,(fort)}$) C **5** *επεγνωμεν*] + *σε* ℵA **6** *εγκαινισον* ℵ **10** *ορκισμου*] *ορισμου* ℵ *ορκων* C

11 [11]ἐν ὀργῇ πυρὸς καταβρωθήτω ὁ σωζόμενος, B
καὶ οἱ ἀδικοῦντες τὸν λαόν σου εὕροισαν ἀπώλειαν.
12 [12]σύντριψον κεφαλὰς ἀρχόντων ἐχθρῶν,
λεγόντων Οὐκ ἔστιν πλὴν ἡμῶν.
(13) 13[a] [13a]σύναγε πάσας φυλὰς Ἰακώβ,¶ ¶C
XXXVI 16[b] [16b]καὶ κατακληρονομήσεις αὐτοὺς καθὼς ἀπ' ἀρχῆς.
(14) 17 [17]ἐλέησον λαόν, Κύριε, κεκλημένον ἐπ' ὀνόματί σου,
καὶ Ἰσραὴλ ὃν πρωτογόνῳ ὡμοίωσας.
(15) 18 [18]οἰκτείρησον πόλιν ἁγιάσματός σου,
Ἰερουσαλήμ, πόλιν καταπαύματός σου·
(16) 19 [19]πλῆσον Σιὼν ἀρεταλογίας σου,
καὶ ἀπὸ τῆς δόξης σου τὸν λαόν σου.
(17) 20 [20]δὸς μαρτύριον τοῖς ἐν ἀρχῇ κτίσμασίν σου,
καὶ ἔγειρον προφητείας τὰς ἐπ' ὀνόματί σου·
(18) 21 [21]δὸς μισθὸν τοῖς ὑπομένουσίν σε,
καὶ οἱ προφῆταί σου ἐμπιστευθήτωσαν.
22 [22]εἰσάκουσον, Κύριε, δεήσεως τῶν ἱκετῶν σου
(19) [19]κατὰ τὴν εὐλογίαν Ἀαρὼν περὶ τοῦ λαοῦ σου,
καὶ γνώσονται πάντες οἱ ἐπὶ τῆς γῆς
ὅτι Κύριος εἶ, ὁ θεὸς τῶν αἰώνων.

(20) 23 [23]Πᾶν βρῶμα φάγεται κοιλία,
ἔστιν δὲ βρῶμα βρώματος κάλλιον.
(21) 24 [24]φάρυγξ γεύεται βρώματα θήρας,
οὕτως καρδία συνετὴ λόγους ψευδεῖς.
(22) 25 [25]καρδία στρεβλὴ δώσει λύπην,
καὶ ἄνθρωπος πολύπειρος ἀνταποδώσει αὐτῷ.
(23) 26 [26]πάντα ἄρρενα ἐπιδέξεται γυνή,
ἔστιν δὲ θυγάτηρ θυγατρὸς κρεῖσσον.
(24) 27 [27]κάλλος γυναικὸς ἱλαρύνει πρόσωπον,

11 καταβρωθητω A* | ο σωζομενος] ο μη σωζ. ℵ* (improb μη et pr ο ασε- ℵAC
βης ℵ[c.a]) | αδικουντες] κατοικουντες A*[vid]C κακουντες (ras τοι) A[a] | απωλιαν ℵ
13 συναγε] συναγαγε A συναγαγεται C* συναγαγετας C[a vid] XXXVI **16**[b] κα-
τακληρονομησεις (vid praef)] κατεκληρονομησα BℵAC **17** om Κυριε ℵ |
πρωτογονω] πρωτοτοκω ℵ[c.a] **18** πολιν 2°] τοπον ℵA **19** πλησον B*[c]ℵA]
πλησιον B[b] | αρεταλογιας] αραι (αρε ℵA) τα λογια B[b]ℵA[vid] **20** προφητιας
A | τας επ] om τας ℵ* (hab ℵ[c.a]) **21** εμπιστευθησονται ℵA **22** ικετων]
οικετων ℵA | λαου] υιου ℵ* (λαου ℵ[c.a]) | Κυριος ει] συ ει κς ℵ **24** φαρυγξ]
βαρυγξ A | γευσεται ℵ **26** θυγατηρος ℵ* (η improb ℵ[1] postea ras) |
κρισσων ℵA

B καὶ ὑπὲρ πᾶσαν ἐπιθυμίαν ἀνθρώπου ὑπεράγει·
[28]εἰ ἔστιν ἐπὶ γλώσσης αὐτῆς ἔλεος καὶ πραΰτης, 28 (25)
οὐκ ἔστιν ὁ ἀνὴρ αὐτῆς καθ' υἱοὺς ἀνθρώπων.
[29]ὁ κτώμενος γυναῖκα ἐνάρχεται κτήσεως, 29 (26)
βοηθὸν κατ' αὐτὸν καὶ στύλον ἀναπαύσεως.
[30]οὗ οὐκ ἔστιν φραγμός, διαρπαγήσεται κτῆμα· 30 (27)
καὶ οὗ οὐκ ἔστιν γυνή, στενάξει πλανώμενος.
[31]τίς γὰρ πιστεύσει εὐζώνῳ λῃστῇ 31 (28)
σφαλλομένῳ ἐκ πόλεως εἰς πόλιν;
οὕτως ἀνθρώπῳ μὴ ἔχοντι νοσσιὰν
καὶ καταλύοντι οὗ ἐὰν ὀψίσῃ.

[1]Πᾶς φίλος ἐρεῖ Ἐφιλίασα αὐτῷ· κἀγώ· 1 XXXVII
ἀλλ' ἔστιν φίλος ὀνόματι μόνον φίλος.
[2]οὐχὶ λύπη ἔνι ἕως θανάτου 2
(2)ἑταῖρος καὶ φίλος τρεπόμενος εἰς ἔχθραν; (2)
[3]ὦ πονηρὸν ἐνθύμημα, πόθεν ἐνεκυλίσθης 3
καλύψαι τὴν ξηρὰν ἐν δολιότητι;
[4]ἑταῖρος φίλου ἐν εὐφροσύνῃ ἥδεται, 4
καὶ ἐν καιρῷ θλίψεως ἔσται ἀπέναντι·
[5]ἑταῖρος φίλῳ συνπονεῖ χάριν γαστρός, 5
ἔναντι πολέμου λήμψεται ἀσπίδα.
[6]μὴ ἐπιλάθῃ φίλου ἐν τῇ ψυχῇ σου, 6
καὶ μὴ ἀμνημονήσῃς αὐτοῦ ἐν χρήμασίν σου.
[7]πᾶς σύμβουλος ἐξαίρει βουλήν, 7 (8)
ἀλλ' ἔστιν συμβουλεύων εἰς αὐτόν.
[8]ἀπὸ συμβούλου φύλαξον τὴν ψυχήν σου, 8 (9)
καὶ γνῶθι πρότερον τίς αὐτοῦ χρεία·
καὶ γὰρ αὐτὸς ἑαυτῷ βουλεύσεται,
(10)μή ποτε βάλῃ ἐπὶ σοὶ κλῆρον, (10)
[9]καὶ εἴπῃ σοι (11)Καλὴ ἡ ὁδός σου, 9 (11)

ℵA **29** αναπαυσεως] litur 1 lit post ε A **31** σφαλλομενω] αφαλλομενω ℵA XXXVII **1** om αυτω ℵA **2** ενι] μενει $B^{b(vid)}$ $ℵ^{c.a}$ (-νι) | εταιρος] ετερος ℵ (item 4, 5) | εχθρον A **5** φιλω συνπονει (συμπ. B^{b})] συνπονει φιλω ℵ | εναντι] απεναντι A **6** επιλαθου A | ψι incep $ℵ^{*}$ (ψυχ. $ℵ^{1 et postea}$) | αμνημονησης] μνημονευσης $ℵ^{*}$ (αμνημ. $ℵ^{c.a}$) | αυτου] αυτω A **7** εξαρει $ℵ^{*}$ (εξαιρει $ℵ^{c.a}$) | εστιν]+σοι ℵ | αυτον (υτον sup ras B^{a})] εαυτον B^{a} (ε non inst B^{b}) ℵ **8** την ψυχην] om την $ℵ^{*}$ (hab $ℵ^{c.a}$) | om και 1° $ℵ^{*}$ (hab $ℵ^{c.a}$) | εαυτω] pr εν ℵ

καὶ στήσεται ἐξ ἐναντίας ἰδεῖν τὸ συμβησόμενόν σοι. B

(7) 10 [10]μὴ βουλεύου μετὰ τοῦ ὑποβλεπομένου σε,
καὶ ἀπὸ τῶν ζηλούντων σε κρύψον βουλήν·

(12–14) 11 [§ 11]μετὰ γυναικὸς τῆς ἀντιζήλου αὐτῆς § C
καὶ μετὰ δειλοῦ περὶ πολέμου
καὶ μετὰ ἐμπόρου περὶ μεταβολίας
καὶ μετὰ ἀγοράζοντος περὶ πράσεως,
μετὰ βασκάνου περὶ εὐχαριστίας
καὶ μετὰ ἀνελεήμονος περὶ χρηστοηθείας,
μετὰ ὀκνηροῦ περὶ παντὸς ἔργου
καὶ μετὰ μισθίου ἀφεστίου περὶ συντελείας,
οἰκέτῃ ἀργῷ περὶ πολλῆς ἐργασίας,
μὴ ἔπεχε ἐπὶ τούτοις περὶ πάσης συμβουλίας·

(15) 12 [12]ἀλλ' ἢ μετὰ ἀνδρὸς εὐσεβοῦς ἐνδελέχιζε,
ὃν ἂν ἐπιγνῷς συντηροῦντα ἐντολάς,

(16) [16]ὃς ἐν τῇ ψυχῇ αὐτοῦ κατὰ τὴν ψυχήν σου,
καὶ ἐὰν πταίσῃς συναλγήσει σοι.

(17) 13 [13]καὶ βουλὴν καρδίας στῆσον,
οὐ γάρ ἐστίν σοι πιστότερος αὐτῆς·

(18) 14 [14]ψυχὴ γὰρ ἀνδρὸς ἀπαγγέλλειν ἐνίοτε εἴωθεν
ἢ ἑπτὰ σκοποὶ ἐπὶ μετεώρου καθήμενοι ἐπὶ σκοπῆς.

(19) 15 [15]καὶ ἐπὶ πᾶσι τούτοις δεήθητι Ὑψίστου
ἵνα εὐθύνῃ ἐν ἀληθείᾳ τὴν ὁδόν σου.

(20) 16 [16]ἀρχὴ παντὸς ἔργου λόγος,
καὶ πρὸ πάσης πράξεως βουλή.

(21) 17/18 [17]ἴχνος ἀλλοιώσεως καρδίᾳ· [18]τέσσερα μέρη ἀνατέλλει,
ἀγαθὸν καὶ κακόν, ζωὴ καὶ θάνατος,
καὶ κυριεύουσα ἐνδελεχῶς αὐτῶν γλῶσσά ἐστιν.

(22) 19 [19]ἔστιν ἀνὴρ πανοῦργος καὶ πολλῶν παιδευτής,
καὶ τῇ ἰδίᾳ ψυχῇ ἐστιν ἄχρηστος.

(23) 20 [20]ἔστιν σοφιζόμενος ἐν λόγοις μισητός,

11 *της αντιζηλου*] pr *περι* ℵAC | om *και* 2° B^{ab}ℵAC | *εμπορου*] *ευπορου* ℵAC C | *μεταβολης* ℵ | *ανελεημονος*] *ελεημονος* C | om *και* 5° ℵ* (hab ℵ$^{c.a}$) | *αφεστιου*] *εφεστιου* ℵ*C (*επεστ.*) *επαιτιου* ℵ$^{c.a}$ (*επετ.*) A | *επι*] *ι* sup ras 3 fere litt in A | *περι πασης συμβουλιας*] om *πασης* A *επι παση συμβουλια* C **12** *ον*] *ο* C | *αν*] *εαν* ℵ | *επιγνω* A **13** *καρδιαν* ℵ* (*-διας* ℵ$^{c.a}$) **14** *καθημενοι επι μετεωρου επι σκοπης* ℵ **15** *πασι*] *πα* sup ras $B^{1?ab}$ | *αληθια* C **17** *καρδιας* B^{ab}ℵ$^{c.a}$AC+*προσ*[*ωπον*] C **18** *τεσσαρα* $B^{?}$ | *κυριευουσα* (*κυριευσα* ℵ)] pr *η* AC | *ενδελεχως αυτων*] *ενδ. αυτω* A *αυτων ενδ.* C **19** om *και* 1° ℵAC

B οὗτος πάσης τροφῆς καθυστερήσει·
21 οὐ γὰρ ἐδόθη αὐτῷ παρὰ Κυρίου χάρις, 21 (24)
ὅτι πάσης σοφίας ἐστερήθη.
22 ἔστιν σοφὸς τῇ ἰδίᾳ ψυχῇ, 22 (25)
καὶ οἱ καρποὶ τῆς συνέσεως αὐτοῦ ἐπὶ στόματος πιστοί.
23 ἀνὴρ σοφὸς τὸν ἑαυτοῦ λαὸν παιδεύσει, 23 (26)
καὶ οἱ καρποὶ τῆς συνέσεως αὐτοῦ πιστοί.
24 ἀνὴρ σοφὸς πλησθήσεται εὐλογίας, 24 (27)
καὶ μακαριοῦσιν αὐτὸν πάντες οἱ ὁρῶντες.
25 ζωὴ ἀνδρὸς ἐν ἀριθμῷ ἡμερῶν, 25 (28)
καὶ αἱ ἡμέραι τοῦ Ἰσραὴλ ἀναρίθμητοι.
26 ὁ σοφὸς ἐν τῷ λαῷ αὐτοῦ κληρονομήσει πίστιν, 26 (29)
καὶ τὸ ὄνομα αὐτοῦ ζήσεται εἰς τὸν αἰῶνα.
27 τέκνον, ἐν τῇ ζωῇ σου πείρασον τὴν ψυχήν σου, 27 (30)
καὶ ἴδε τί πονηρὸν αὐτῇ, καὶ μὴ δῷς αὐτῇ·
28 οὐ γὰρ πάντα πᾶσιν συμφέρει, 28 (31)
καὶ οὐ πᾶσα ψυχὴ ἐν παντὶ εὐδοκεῖ.
29 μὴ ἀπλησταύου ἐν πάσῃ τρυφῇ, 29 (32)
καὶ μὴ ἐκχυθῇς ἐπὶ ἐδεσμάτων·
30 ἐν πολλοῖς γὰρ βρώμασιν ἔσται πόνος, 30 (33)
καὶ ἡ ἀπληστία ἐγγιεῖ ἕως χολέρας·
31 δι' ἀπληστίαν πολλοὶ ἐτελεύτησαν, 31 (34)
ὁ δὲ προσέχων προσθήσει ζωήν.

1 Τίμα ἰατρὸν πρὸς τὰς χρείας τιμαῖς αὐτοῦ, 1 XXXVIII
καὶ γὰρ αὐτὸν ἔκτισεν Κύριος·
2 παρὰ γὰρ Ὑψίστου ἐστὶν ἴασις, 2
καὶ παρὰ βασιλέως λήμψεται δόμα.
3 ἐπιστήμη ἰατροῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ, 3
καὶ ἔναντι μεγιστάνων θαυμασθήσεται.
4 Κύριος ἔκτισεν ἐκ γῆς φάρμακα, 4
καὶ ἀνὴρ φρόνιμος οὐ προσοχθιεῖ αὐτοῖς.

ℵAC **20** *ουτος*] *και αυτος* C | *τροφης*] *σοφιας* ℵ* (*τροφ.* ℵ$^{c.a}$) **21** *πασσης* C* (*σ* 2° ras C$^{1\,vid}$) **22** *στοματι* ℵ **24** *ενπλησθησεται* A | om *και* A **26** *ζησεται*] *ζησει* A **27** *τη ζωη*] om *τη* ℵAC | *αυτη* 2°] *αυτω* C **28** *πασι* ℵC | om *εν παντι* C **29** *τρυφη*] *ψυχη* C **30** *πονος*] *νοσος* ℵA | *απλη-στεια* B* (*-τια* B^{b}) **31** *δι*] *δια* ℵAC | *απλησταιαν* B* (*-τιαν* B^{b}) ℵCA XXXVIII **1** *τιμα*] *π* incep ℵ* ^{vid} | *χρειας*] + *αυτου* ℵA | om *τιμαις αυτου* ℵ$^{c.a}$ | *Κυριος*] pr *ο* ℵC **2** om *γαρ* ℵ* (superscr ℵ$^{1\,(vid)}$) **3** *ιατρου*] *καιρου* ℵ* (*ιατρ.* ℵ$^{c.a}$) | *κεφαλην*] pr *την* ℵ

5 [5]οὐκ ἀπὸ ξύλου ἐγλυκάνθη ὕδωρ Β
(6) [6]εἰς τὸ γνωσθῆναι τὴν ἰσχὺν αὐτοῦ;
6 [6]καὶ αὐτὸς ἔδωκεν ἀνθρώποις ἐπιστήμην
ἐνδοξάζεσθαι ἐν τοῖς θαυμασίοις αὐτοῦ·
(7) 7 [7]ἐν αὐτοῖς ἐθεράπευσεν καὶ ἤρεν τὸν πόνον αὐτοῦ,
8 [8]μυρεψὸς ἐν τούτοις ποιήσει μίγμα·
καὶ οὐ μὴ συντελέσῃ ἔργα αὐτοῦ,
(8) [8]καὶ εἰρήνη παρ' αὐτοῦ ἐστιν ἐπὶ προσώπου τῆς γῆς.
9 [9]τέκνον, ἐν ἀρρωστήματί σου μὴ παράβλεπε,
ἀλλ' εὖξαι Κυρίῳ, καὶ αὐτὸς ἰάσεταί σε·
10 [10]ἀπόστησον πλημμελίαν καὶ εὔθυνον χεῖρας,
καὶ ἀπὸ πάσης ἁμαρτίας καθάρισον καρδίαν·
11 [11]δὸς εὐωδίαν καὶ μνημόσυνον σεμιδάλεως,
καὶ λίπανον προσφοράν, ὡς μὴ ὑπάρχων.
12 [12]καὶ ἰατρῷ δὸς τόπον, [12]καὶ γὰρ αὐτὸν ἔκτισεν Κύριος,
καὶ μὴ ἀποστήτω σου, καὶ γὰρ αὐτοῦ χρεία.
13 [13]ἔστιν καιρὸς ὅτε καὶ ἐν χερσὶν αὐτῶν εὐοδία·
14 [14]καὶ γὰρ αὐτοὶ Κυρίου δεηθήσονται,
ἵνα εὐοδώσῃ αὐτοῖς ἀνάπαυσιν
καὶ ἴασιν χάριν ἐμβιώσεως.
15 [15]ὁ ἁμαρτάνων ἔναντι τοῦ ποιήσαντος αὐτὸν
ἐμπέσοι εἰς χεῖρας ἰατροῦ.¶ ¶ C
16 [16]τέκνον, ἐπὶ νεκρῷ κατάγαγε δάκρυα,
καὶ ὡς δεινὰ πάσχων ἔναρξαι θρήνου,
κατὰ δὲ τὴν κρίσιν αὐτοῦ περίστειλον τὸ σῶμα αὐτοῦ,
καὶ μὴ ὑπερίδῃς τὴν ταφὴν αὐτοῦ.
17 [17]πίκρανον κλαυθμὸν καὶ θέρμανον κοπετόν,
(18) [18]καὶ ποίησον τὸ πένθος κατὰ τὴν ἀξίαν αὐτοῦ
ἡμέραν μίαν καὶ δύο χάριν διαβολῆς,
καὶ παρακλήθητι λύπης ἕνεκα·
(19) 18 [18]ἀπὸ λύπης γὰρ ἐκβαίνει θάνατος,
καὶ λύπη καρδίας κάμψει ἰσχύν·
(20) 19 [19]ἐν ἀπαγωγῇ παραβαίνει καὶ λύπη,

6 ανθρωποις] ανω A | ενδοξαζεσθε ℵ 7 τον πονον] παν πονον A ℵAC παν .... C (cett perier) | αυτου] αυτων ℵ$^{c.a}$ 8 συντελεσθη ℵAC
9 αρρωστημασιν A 10 πλημμελειαν B$^{a\dagger b}$A 13 ευωδια ℵC 14 om γαρ ℵ* (hab ℵ$^{c.a}$) | ευοδωσει C 15 εις χε .... C | ιατρου] αυτου A
16 καταγε ℵ 18 απο γαρ λυπης ℵ | καμψει] καμπτι ℵ* (καμψι ℵ$^{c.a}$)
19 επαγωγη ℵA | παραβαινει] παραμενε ℵ* παραμενει ℵ$^{.a}$A | om και 1° ℵ$^{c.a}$

B καὶ βίος πτωχοῦ κατὰ καρδίας.
[20]μὴ δῷς εἰς λύπην τὴν καρδίαν σου, 20 (21)
ἀπόστησον αὐτὴν μνησθεὶς τὰ ἔσχατα·
[21]μὴ ἐπιλάθῃ, οὐ γάρ ἐστιν ἐπάνοδος, 21 (22)
καὶ τοῦτον οὐκ ὠφελήσεις καὶ σεαυτὸν κακώσεις.
[22]μνήσθητι ὅτι τὸ κρίμα αὐτοῦ οὕτω ὡς καὶ τὸ σόν· 22 (23)
ἐμοὶ ἐχθὲς καὶ σοὶ σήμερον.
[23]ἐν ἀναπαύσει νεκροῦ κατάπαυσον τὸ μνημόσυνον αὐτοῦ, 23 (24)
καὶ παρακλήθητι ἐν αὐτῷ ἐν ἐξόδῳ πνεύματος αὐτοῦ.

[24]Σοφία γραμματέως ἐν εὐκαιρίᾳ σχολῆς, 24 (25)
καὶ ὁ ἐλασσούμενος πράξει αὐτοῦ σοφισθήσεται.
[25]τί σοφισθήσεται [(26)]ὁ κρατῶν ἀρότρου, 25 (26)
καὶ καυχώμενος ἐν δόρατι κέντρου,
βόας ἐλαύνων καὶ ἀναστρεφόμενος ἐν ἔργοις αὐτῶν,
καὶ ἡ διήγησις αὐτῶν ἐν υἱοῖς ταύρων;
[26]καρδίαν αὐτοῦ δώσει ἐκδοῦναι αὔλακας, 26 (27)
καὶ ἡ ἀγρυπνία αὐτοῦ εἰς χορτάσματα δαμάλεων.
[27]οὕτως πᾶς τέκτων καὶ ἀρχιτέκτων, 27 (28)
ὅστις νύκτωρ ὡς ἡμέρᾳ διάγει·
οἱ γλύφοντες γλύμματα σφραγίδων,
καὶ ἡ ὑπομονὴ αὐτοῦ ἀλλοιῶσαι ποικιλίαν·
καρδίαν αὐτοῦ δώσει εἰς ὁμοιῶσαι ζωγραφίαν,
καὶ ἡ ἀγρυπνία αὐτοῦ τελέσαι ἔργον.
[28]οὕτως χαλκεὺς καθήμενος ἐγγὺς ἄκμονος 28 (29)
καὶ καταμανθάνων ἀργῷ σιδήρῳ·
ἀτμὶς πυρὸς πήξει σάρκας αὐτοῦ,
καὶ ἐν θέρμῃ καμίνου διαμαχήσεται·
[(30)]φωνὴ σφύρης καινιεῖ τὸ οὖς αὐτοῦ, (30)
καὶ κατέναντι ὁμοιώματος σκεύους οἱ ὀφθαλμοὶ αὐτοῦ·
[(31)]καρδίαν αὐτοῦ δώσει εἰς συντέλειαν ἔργων, (31)
καὶ ἡ ἀγρυπνία αὐτοῦ κοσμῆσαι ἐπὶ συντελείας.
[29]οὕτως κεραμεὺς καθήμενος ἐν ἔργῳ αὐτοῦ 29 (32)

ℵA **22** οτι το κριμα αυτου ουτω ως] το κριμα αυτου οτι ουτω ως B^{ab} το κρ. οτι ουτως ℵ το κρ. μου οτι ουτως A | εχθες] χθες B^{b} **23** πνευματος] $\overline{\pi\rho\varsigma}$ ℵ* ($\overline{\pi\nu\varsigma}$ $\aleph^{c.a}$) **25** τι σοφισθησεται] τις οφθησεται A | om και 1° ℵA | αυτων 2°] αυτου $B^{b}\aleph^{c.a}$A **27** ημερας ℵA | γλυμματα] γραμματα ℵ* (γλ. $\aleph^{c.a}$) | υπομονη] επιμονη ℵA | om εις $\aleph^{c.a}$ | τελεσαι] συντελεσαι $\aleph^{c.a}$ **28** ακμωνος B | αργω σιδηρω] εργα σιδηρου ℵ εργον σιδηρου A | πηξει] τηξει ℵA | φωνη] σ incep ℵ* (improb postea ras σ $\aleph^{2}$) | καινιει] κενιει A

καὶ συστρέφων ἐν ποσὶν αὐτοῦ τροχόν, B
ὃς ἐν μερίμνῃ κεῖται διὰ παντὸς ἐπὶ τὸ ἔργον αὐτοῦ,
καὶ ἐναρίθμιος πᾶσα ἡ ἐργασία αὐτοῦ·
(33) 30 [30]ἐν βραχίονι αὐτοῦ τυπώσει πηλόν,
καὶ πρὸ ποδῶν κάμψει ἰσχὺν αὐτοῦ·
(34) [34]καρδίαν ἐπιδώσει συντελέσαι τὸ χάρισμα,
καὶ ἡ ἀγρυπνία αὐτοῦ καθαρίσαι κάμινον.
(35) 31 [31]πάντες οὗτοι εἰς χεῖρας αὐτῶν ἐνεπίστευσαν,
καὶ ἕκαστος ἐν τῷ ἔργῳ αὐτοῦ σοφίζεται·
(36) 32 [32]ἄνευ αὐτῶν οὐκ οἰκισθήσεται πόλις,
(37) [37]καὶ οὐ παροικήσουσιν οὐδὲ περιπατήσουσιν·
33 [33]καὶ ἐν ἐκκλησίᾳ οὐχ ὑπεραλοῦνται,
καὶ διαθήκην κρίματος οὐ διανοηθήσονται·
(38) [38]ἐπὶ δίφρον δικαστοῦ οὐ καθιοῦνται,
οὐδὲ μὴ ἐκφάνωσιν δικαιοσύνην καὶ κρίμα,
καὶ ἐν παραβολαῖς οὐχ εὑρεθήσονται·
(39) 34 [34]ἀλλὰ κτίσμα αἰῶνος στηρίσουσιν,
καὶ ἡ δέησις αὐτῶν ἐν ἐργασίᾳ τέχνης.

Πλὴν τοῦ ἐπιδόντος τὴν ψυχὴν αὐτοῦ
καὶ διανοουμένου ἐν νόμῳ Ὑψίστου,
XXIX 1 [1]σοφίαν πάντων ἀρχαίων ἐκζητήσει,
καὶ ἐν προφητείαις ἀσχοληθήσεται·
2 [2]διηγήσεις ἀνδρῶν ὀνομαστῶν συντηρήσει,
καὶ ἐν στροφαῖς παραβολῶν συνεισελεύσεται·
3 [3]ἀπόκρυφα παροιμιῶν ἐκζητήσει,
καὶ ἐν αἰνίγμασι παραβολῶν ἀναστραφήσεται.
4 [4]ἀνὰ μέσον μεγιστάνων ὑπηρετήσει,
καὶ ἔναντι ἡγουμένου ὀφθήσεται·

29 συνστρεφων ℵ | τροχον] πηλον ℵ$^{c.a}$ **30** εν] pr os ℵ | βραχειοσιν ℵA ℵ | επιδωσει] αυτου δωσει ℵ | χαρισμα B^{*b}] χρισμα B^{a}ℵA **31** αυτων] εαυτων A **32** οικισθησεται] οικηθησεται ℵ* οικησεται ℵ$^{c.a}$A | περιπατησουσιν]+αλλ εις βουλην λαου ζητηθησονται ℵ$^{c.a}$ **33** om και 1° ℵ* (hab ℵ$^{c.a}$) | και διαθηκην...διανοηθησονται bis scr B* (improb 1° B^{c} : 2° B^{b}) | και διαθηκην...καθιουνται] επι διφρον...διανοηθησονται (invers stichis) ℵA | ου 1°] σου ℵ* (improb σ ℵ$^{?}$) | δικαστου] δυναστου A | καθιονται A | εκφανουσιν ℵ | δικαιοσυνην] παιδιαν ℵA **34** στηρισουσιν (-ρησουσιν B)] στηριζουσιν ℵ* -ριουσιν ℵ$^{c.a}$ postea revoc -ριζουσιν pr ου ℵ* (improb ου ℵ$^{c.a}$) | om εν 1° ℵ | επιδιδοντος A | διανοουμενω A XXXIX **1** αρχαιων] αρχοντων ℵ* (-χαιων ℵ$^{c.a}$) **2** διηγησεις B^{ab} (-σις B*)] διηγησιν ℵA **3** αποκρυφια B* (-φα B^{ab}ℵA) | αινιγμασιν ℵA **4** ηγουμενων ℵ

B (5)ἐν γῇ ἀλλοτρίων ἐθνῶν διελεύσεται, (5)
ἀγαθὰ γὰρ καὶ κακὰ ἐν ἀνθρώποις ἐπείρασεν.
5τὴν καρδίαν αὐτοῦ ἐπιδώσει ὀρθρίσαι 5 (6)
πρὸς Κύριον τὸν ποιήσαντα αὐτόν,
καὶ ἔναντι Ὑψίστου δεηθήσεται·
(7)καὶ ἀνοίξει στόμα αὐτοῦ ἐν προσευχῇ, (7)
καὶ περὶ τῶν ἁμαρτιῶν αὐτοῦ δεηθήσεται.
6ἐὰν Κύριος ὁ μέγας θελήσῃ, 6 (8)
πνεύματι συνέσεως ἐμπλησθήσεται·
(9)ἀνομβρήσει ῥήματα σοφίας αὐτός, (9)
καὶ ἐν προσευχῇ ἐξομολογήσεται Κυρίῳ·
§ C §7αὐτὸς κατευθυνεῖ βουλὴν αὐτοῦ καὶ ἐπιστήμην, 7 (10)
καὶ ἐν τοῖς ἀποκρύφοις αὐτοῦ διανοηθήσεται·
8αὐτὸς ἐκφαίνει παιδείαν διδασκαλίας αὐτοῦ, 8 (11)
καὶ ἐν νόμῳ διαθήκης Κυρίου καυχήσεται.
9αἰνέσουσιν τὴν σύνεσιν αὐτοῦ πολλοί, 9 (12)
ἕως τοῦ αἰῶνος οὐκ ἐξαλειφθήσεται·
(13)οὐκ ἀποστήσεται τὸ μνημόσυνον αὐτοῦ, (13)
καὶ ὄνομα αὐτοῦ ζήσεται εἰς γενεὰς γενεῶν·
10τὴν σοφίαν αὐτοῦ διηγήσονται ἔθνη, 10 (14)
καὶ τὸν ἔπαινον αὐτοῦ ἐξαγγελεῖ ἐκκλησία·
11ἐὰν ἐμμείνῃ, ὄνομα καταλείψει ἢ χίλιοι, 11 (15)
καὶ ἐὰν ἀναπαύσηται, ἐμποιεῖ αὐτῷ.

12Ἔτι διανοηθεὶς ἐκδιηγήσομαι, 12 (16)
καὶ ὡς διχομηνία ἐπληρώθην.
13εἰσακούσατέ μου, υἱοὶ ὅσιοι, καὶ βλαστήσατε 13 (17)
ὡς ῥόδον φυόμενον ἐπὶ ῥεύματος ἀγροῦ,
14καὶ ὡς λίβανος εὐωδιάσατε ὀσμήν, 14 (18)
(19)καὶ ἀνθήσατε ἄνθος ὡς κρίνον, (19)

ℵAC **4** om γαρ ℵ* (hab ℵ$^{c.a}$) | om εν 2° A **5** στομα] pr το ℵ **6** Κυριος] pr ο ℵ$^{c.a}$A | εμπλησθησεται] εμπλησει (-σι ℵ$^{c.a}$) αυτον ℵ$^{c.a}$A | ανομβρησει] pr αυτος B^{a}?^{c}?ℵA | αυτος] αυτου B$^{a\,(vid)}$ℵA | om Κυριω ℵ* (hab κω̄ ℵ$^{c.a}$) **7** om αυτου 1° ℵ **8** αυτος] pr και C | εκφανει C | παιδιαν ℵAC | κῡ διαθηκης A **9** εως] pr και ℵAC | ονομα] pr το ℵAC | ζησεται] ζητησεται A **10** διηγησεται ℵAC | εθνει B*ℵ* (εθνη B^{ab}ℵ^{1}) | τον επαινον (παινον ℵ* επ. ℵ$^{c.a}$)] om τον C | εξαγγελ|λει ℵ εξαγγελησεται C **11** αναπαυσηται] παυσηται ℵAC | εμποιησει ℵ* (εμποιει ℵ$^{c.a}$) **12** ετι]+ δε ℵ | εκδιηγηθησομαι A | διχοτομνια ℵ **13** εισακουσεται C* (-σαται C^{a}) | μοι C* (μου C^{a}) | βλαστησεται C | αγρου] υγρου ℵAC **14** λιβανον ℵ | ευωδιασατε οσμην] τε οσμην rescr C^{a}

διάδοτε ὀσμὴν καὶ αἰνέσατε ᾄσμα. B
εὐλογήσατε Κύριον ἐπὶ πᾶσιν τοῖς ἔργοις,
(20) 15 [15]δότε τῷ ὀνόματι αὐτοῦ μεγαλωσύνην,
καὶ ἐξομολογήσασθε ἐν αἰνέσει αὐτοῦ,
ἐν ᾠδαῖς χειλέων καὶ ἐν κινύραις,
καὶ οὕτως ἐρεῖτε ἐν ἐξομολογήσει
(21) 16 [16]Τὰ ἔργα Κυρίου πάντα ὅτι καλὰ σφόδρα,
καὶ πᾶν πρόσταγμα ἐν καιρῷ αὐτοῦ ἔσται·
(26) 17 [17]οὐκ ἔστιν εἰπεῖν Τί τοῦτο; εἰς τί τοῦτο;
πάντα γὰρ ἐν καιρῷ αὐτοῦ ζητηθήσεται.
(22) [22]ἐν λόγῳ αὐτοῦ ἔστη ὡς θιμωνιὰ ὕδωρ,
καὶ ἐν ῥήματι στόματος αὐτοῦ ἀποδοχεῖα ὑδάτων.
(23) 18 [18]ἐν προστάγματι αὐτοῦ πᾶσα ἡ εὐδοκία,
καὶ οὐκ ἔστιν ὃς ἐλαττώσει τὸ σωτήριον αὐτοῦ.
(24) 19 [19]ἔργα πάσης σαρκὸς ἐνώπιον αὐτοῦ,
καὶ οὐκ ἔστιν κρυβῆναι ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ·
(25) 20 [20]ἀπὸ τοῦ αἰῶνος εἰς τὸν αἰῶνα ἐπέβλεψεν,
καὶ οὐθέν ἐστιν θαυμάσιον ἐναντίον αὐτοῦ.
(26) 21 [21]οὐκ ἔστιν εἰπεῖν Τί τοῦτο; εἰς τί τοῦτο;
πάντα γὰρ εἰς χρείας αὐτῶν ἔκτισται.
(27) 22 [22]ἡ εὐλογία αὐτοῦ ὡς ποταμὸς ἐπεκάλυψεν,
(28) [28]καὶ ὡς κατακλυσμὸς ξηρὰν ἐμέθυσεν·
23 [23]οὕτως ὀργὴν αὐτοῦ ἔθνη κληρονομήσει,
(29) [29]ὡς μετέστρεψεν ὕδατα εἰς ἅλμην.
24 [24]αἱ ὁδοὶ αὐτοῦ τοῖς ὁσίοις εὐθεῖαι,
οὕτως τοῖς ἀνόμοις προσκόμματα·
(30) 25 [25]ἀγαθὰ τοῖς ἀγαθοῖς ἔκτισται ἀπ' ἀρχῆς,
οὕτως τοῖς ἁμαρτωλοῖς κακά.
(31) 26 [26]ἀρχὴ πάσης χρείας εἰς ζωὴν ἀνθρώπου,
ὕδωρ, πῦρ καὶ σίδηρος καὶ ἅλα καὶ σεμίδαλις,

14 πασι ℵC | εργοις] + αυτου ℵ$^{c.a}$A **16** καιρω] κω ℵ* (καιρω ℵ$^{c.a}$) ℵAC **17** εις τι] εστι C* (εις τι C^{a}) | θειμωνια ℵ θημωνια C | αποδοχια B*C (-χεια B$^{a?b}$ℵA) **18** η ευδοκια] om η ℵ$^{c.a}$ **19** των οφθαλμων] ν 1° sup ras A^{a} **20** εις] επι ℵ* (εις ℵ$^{c.a}$) | ουθεν] ουκ ℵ* ουδεν ℵ$^{c.a}$AC | εστι C | θαυμαστον ℵAC | αυτου] pr των οφθαλμων ℵ* (improb ℵ$^{c.a}$ antea uncis incl ℵ$^{?}$) **21** om τι 2° C | χριαν ℵAC **22** επεκαλυψεν] απεκαλυψε C **23** οργη ℵ$^{c.a}$ | εθνει B | om ως μετεστρεψεν...αλμην AC **24** προσκομματα (προσσκ. A)] + ως μετεστρεψεν υδατα εις αλμην AC **26** ζωην] ψυχην C | πυρ] pr και ℵ$^{c.a}$AC | om και 1° ℵ | αλας A | και σεμιδ. inc stich ℵ | σεμιδαλιν ℵ* (-λις ℵ$^{c.a}$) C

B πυρὸς καὶ μέλι καὶ γάλα,
αἷμα σταφυλῆς καὶ ἔλαιον καὶ ἱμάτιον·
[27]ταῦτα πάντα τοῖς εὐσεβέσιν εἰς ἀγαθά, 27 (32)
οὕτως τοῖς ἁμαρτωλοῖς τραπήσεται εἰς κακά.
[28]ἔστιν πνεύματα ἃ εἰς ἐκδίκησιν ἔκτισται, 28 (33)
καὶ ἐν θυμῷ αὐτῶν ἐστερέωσαν μάστιγας αὐτῶν·
(34)καὶ ἐν καιρῷ συντελείας ἰσχὺν ἐκχεοῦσιν, (34)
καὶ τὸν θυμὸν τοῦ ποιήσαντος αὐτοὺς κοπάσουσιν.
[29]πῦρ καὶ χάλαζα καὶ λιμὸς καὶ θάνατος, 29 (35)
πάντα ταῦτα εἰς ἐκδίκησιν ἔκτισται·
[30]θηρίων ὀδόντες καὶ σκορπίοι καὶ ἔχεις 30 (36)
καὶ ῥομφαία ἐκδικοῦσα εἰς ὄλεθρον ἀσεβείς,
[31]ἐν τῇ ἐντολῇ αὐτοῦ εὐφρανθήσονται, 31 (37)
καὶ ἐπὶ τῆς γῆς εἰς χρείας ἑτοιμασθήσονται,
καὶ ἐν τοῖς καιροῖς αὐτῶν οὐ παραβήσονται λόγον.
[32]διὰ τοῦτο ἐξ ἀρχῆς ἐστηρίχθην 32 (38)
καὶ διενοήθην καὶ ἐν γραφῇ ἀφῆκα.
[33]τὰ ἔργα Κυρίου πάντα ἀγαθά, 33 (39)
καὶ πᾶσαν χρείαν ἐν ὥρᾳ αὐτῆς χορηγήσει·
[34]καὶ οὐκ ἔστιν εἰπεῖν Τοῦτο τούτου πονηρότερον, 34 (40)
πάντα γὰρ ἐν καιρῷ εὐδοκιμηθήσεται.
[35]καὶ νῦν ἐν πάσῃ καρδίᾳ καὶ στόματι ὑμνήσαμεν, 35 (41)
καὶ εὐλογήσατε τὸ ὄνομα Κυρίου.

[1]Ἀσχολία μεγάλη ἔκτισται παντὶ ἀνθρώπῳ, 1 XL
καὶ ζυγὸς βαρὺς ἐπὶ υἱοὺς Ἀδάμ,
ἀφ' ἡμέρας ἐξόδου ἐκ γαστρὸς μητρὸς αὐτῶν
ἕως ἡμέρας ἐπὶ ταφῇ εἰς μητέρα πάντων·
[2]τοὺς διαλογισμοὺς αὐτῶν καὶ φόβον καρδίας, 2
ἐπίνοια προσδοκίας, ἡμέρα τελευτῆς·

ℵAC **26** πυρος] πυρου ℵ πυρ C | και γαλα και μελι ℵ **27** ταυτα παντα] παντα τοαυτα (sic) ℵ* π. ταυτα ℵ[1 c.a] | ευσεβεσι C **28** πνευματα] πνα ℵ* (πνατα ℵ[c.a]) C | αυτων 1°] αυτου ℵ[c.a] | εστερεωσεν ℵ[c.a] | om και 2° A | συντελιας C | εκχεουσι C | κοπασουσι C **30** εκδικουσα] εκδιωκουσα ℵ[c.a] (mox ipse revoc εκδικ.) **31** χρειας] χειρας A | τοις καιροις] om τοις ℵAC | αυτων] αυτου C **32** εστηρισθην ℵ* (-χθην ℵ[c.a]) | και εν γραφη αφηκα και διενοηθην C **33** αγαθα] pr τα C | ωρα] καιρω C | χορηγησει] εχορηγησεν C **34** ευδοκιμηθησεται] δοκιμασθησεται ℵ ευδοκιμησεται A **35** υμνησατε B[b]ℵAC (-ται) XL **1** υιους Αδαμ] υς Αδαμ sup ras B[ab] υιοις Αδ. ℵ | αυτων] αυτου C | ημερα (2°) ℵ* (-ρας ℵ[c.a]) | επι ταφη] επι ταφης (? επιταφης) AC επιστραφη ℵ[c.a] **2** καρδιαν A | προσδοκια ℵ* (-κιας ℵ[c.a])

3 [3]ἀπὸ καθημένου ἐπὶ θρόνου ἐν δόξῃ B
καὶ ἕως τεταπεινωμένου ἐν γῇ καὶ σποδῷ,
4 [4]ἀπὸ φοροῦντος ὑάκινθον καὶ στέφανον
καὶ ἕως περιβαλλομένου ὠμόλινον·
5 [5]θυμὸς καὶ ζῆλος καὶ ταραχὴ καὶ σάλος
καὶ φόβος θανάτου καὶ μηνίαμα καὶ ἔρις.
[5]καὶ ἐν καιρῷ ἀναπαύσεως ἐπὶ κοίτης
ὕπνος νυκτὸς ἀλλοιοῖ γνῶσιν αὐτοῦ·
6 [6]ὀλίγον ὡς οὐδὲν ἐν ἀναπαύσει,
καὶ ἀπ' ἐκείνου ἐν ὕπνοις ὡς ἐν ἡμέρᾳ σκοπιᾶς·
[7]τεθορυβημένος ἐν ὁράσει καρδίας αὐτοῦ,
ὡς ἐκπεφευγὼς ἀπὸ προσώπου πολέμου·
7 [7]ἐν καιρῷ σωτηρίας αὐτοῦ ἐξηγέρθη,
καὶ ἀποθαυμάζων εἰς οὐδένα φόβον.
8 [8]μετὰ πάσης σαρκὸς ἀπὸ ἀνθρώπου ἕως κτήνους,
καὶ ἐπὶ ἁμαρτωλῶν ἑπταπλάσια πρὸς ταῦτα·
9 [9]θάνατος καὶ αἷμα καὶ ἔρις καὶ ῥομφαία,
10 [10]ἐπὶ τοὺς ἀνόμους ἐκτίσθη ταῦτα πάντα,
καὶ δι' αὐτοὺς ἐγένετο ὁ κατακλυσμός.
11 [11]πάντα ὅσα ἀπὸ γῆς εἰς γῆν ἀναστρέφει,
καὶ ἀπὸ ὑδάτων εἰς θάλασσαν ἀνακάμπτει.
12 [12]πᾶν δῶρον καὶ ἀδικία ἐξαλειφθήσεται,
καὶ πίστις εἰς τὸν αἰῶνα στήσεται.
13 [13]χρήματα ἀδίκων ὡς ποταμὸς ξηρανθήσεται,
καὶ ὡς βροντὴ μεγάλη ἐν ὑετῷ ἐξηχήσει·
14 [14]ἐν τῷ ἀνοῖξαι αὐτὸν χεῖρας εὐφρανθήσεται,
οὕτως οἱ παραβαίνοντες εἰς συντέλειαν ἐκλείψουσιν.
15 [15]ἔκγονα ἀσεβῶν οὐ πληθυνεῖ κλάδους,
καὶ ῥίζαι ἀκάθαρτοι ἐπ' ἀκροτόμου πέτρας·

3 εν δοξη] ευδοξου ℵAC | om και 1° A | εως τεταπεινωμενου] ωστε ταπει- ℵAC νουμενου A **4** υακινθινον ℵA | εως] ως C **5** om και 2° ℵC | μηνιαμα] μηνιμα ℵA μηνεις C | ερεις C | κοιτης] της non inst B^b | νυκτος] και νυξ ℵ* (νυκτ. $ℵ^{c.a}$) **6** ορασει B^{*c}] θρασει $B^{a?b}$ | απο προσωπου πολεμου εκπεφευγως C **7** αποθαυμαζων] αποθαυμαζοντων $ℵ^{c.a}$ **8** om και επι αμαρτωλων...προς ταυτα C **9** και ερις και αιμα ℵ | ερις] εις (sic) C | ρομφαια] + επαγωγαι λειμος (λιμ. B^bAC) και συντριμμα και μαστιξ $B^{ab\ mg\ sup}$ $ℵ^{c.a}$AC επαγ. λειμος συντρ. και μαστιγες ℵ* **10** παντα ταυτα ℵ **11** αναστρεψει A **14** συντελιαν C | εκλειψουσιν B^{ab}C (εκλιψ. B* ℵ)] εκθλιψουσιν A **15** ακαθαρτοι] καθαρτοι sup ras B^{ab}

B [16]ἄχει ἐπὶ παντὸς ὕδατος καὶ χείλους ποταμοῦ 16
πρὸ παντὸς χόρτου ἐκτιλήσεται.
[17]χάρις ὡς παράδεισος ἐν εὐλογίαις, 17
καὶ ἐλεημοσύνη εἰς τὸν αἰῶνα διαμενεῖ.
[18]ζωὴ αὐτάρκους ἐργάτου γλυκανθήσεται, 18
καὶ ὑπὲρ ἀμφότερα ὁ εὑρίσκων θησαυρόν.
[19]τέκνα καὶ οἰκοδομὴ πόλεως στηρίζουσιν ὄνομα, 19
καὶ ὑπὲρ ἀμφότερα γυνὴ ἄμωμος λογίζεται.
[20]οἶνος καὶ μουσικὰ εὐφραίνουσιν καρδίαν, 20
καὶ ὑπὲρ ἀμφότερα ἀγάπησις σοφίας.
[21]αὐλὸς καὶ ψαλτήριον ἡδύνουσιν μέλη, 21
καὶ ὑπὲρ ἀμφότερα γλῶσσα ἡδεῖα.
[22]χάριν καὶ κάλλος ἐπιθυμήσει ὁ ὀφθαλμός σου, 22
καὶ ὑπὲρ ἀμφότερα χλόην σπόρου.
[23]φίλος καὶ ἑταῖρος εἰς καιρὸν ἀπαντῶντες, 23
καὶ ὑπὲρ ἀμφότερα γυνὴ μετὰ ἀνδρός.
[24]ἀδελφοὶ καὶ βοήθεια εἰς καιρὸν θλίψεως, 24
καὶ ὑπὲρ ἀμφότερα ἐλεημοσύνη ῥύσεται.
[25]χρυσίον καὶ ἀργύριον ἐπιστήσουσιν πόδα, 25
καὶ ὑπὲρ ἀμφότερα γυνὴ εὐδοκιμεῖται.
[26]χρήματα καὶ ἰσχὺς ἀνυψώσουσιν καρδίαν, 26
καὶ ὑπὲρ ἀμφότερα φόβος Κυρίου·
[(27)]οὐκ ἔστιν φόβῳ Κυρίου ἐλάττωσις, (27)
καὶ οὐκ ἔστιν ἐπιζητῆσαι ἐν αὐτῷ βοήθειαν·
[27]φόβος Κυρίου ὡς παράδεισος εὐλογίας, 27 (28)
καὶ ὑπὲρ πᾶσαν δόξαν ἐκάλυψαν αὐτόν.
[28]τέκνον, ζωὴν ἐπαιτήσεως μὴ βιώσῃς· 28 (29)
κρεῖσσον ἀποθανεῖν ἢ ἐπαιτεῖν.
[29]ἀνὴρ βλέπων εἰς τράπεζαν ἀλλοτρίαν, 29 (30)

ℵAC **16** αχει] αχι A evan in C | χειλους] χιλος A **17** παραδεισον ℵ* (-σος ℵ[1 c.a]) | ελεημοσυνη] pr εν ℵ* (improb εν ℵ[c.a]) | διαμενει] μενει C **18** αμφοτερα ο ευρ.] om ο ℵ* (hab ο ℵ[c.a]) αμφοτερας ευρ. A **20** αγαπησεις σοφιαν sup ras ℵ[1] ευρησις σοφ. C **22** ο οφθαλμος σου] οφθαλμος A οφθ. σου C | χλοη C | σπορμου ℵ* (σπορου ℵ[c.a]) **23** εταιρος] ετερος C | μετα] μετ A **24** αδελφοι] pr και ℵ* (om και ℵ[c.a]) | βοηθεια] β sup litur in B | ρυεται ℵAC **25** γυνη] βουλη B[ab]ℵAC **26** ανυψωσουσιν] ανυψουσιν ℵ[1 c.a] (ανουψουσ. ℵ*) A | Κυριου 1°] θυ ℵ* (κυ ℵ[c.a]) | φοβω] pr εν ℵAC | Κυριου 2°] θυ ℵ* (κυ ℵ[c.a]) | επιζητησαι εν αυτω βοηθειαν] εν αυτω ζητησαι β. C **27** πασαν] αμφοτερα C | εκαλυψεν ℵA **28** κρεισσον (-σσων B)]+γαρ ℵ[c.a] **29** βλεπων] incep τρ ℵ* (improb τρ ℵ[1] postea ras)

οὐκ ἔστιν αὐτοῦ ὁ βίος ἐν λογισμῷ ζωῆς, Β
ἀλισγήσει τὴν ψυχὴν αὐτοῦ ἐν ἐδέσμασιν ἀλλοτρίοις·
(31) [31]ἀνὴρ δὲ ἐπιστήμων καὶ πεπαιδευμένος φυλάξεται.
(32) 30 [30]ἐν στόματι ἀναιδοῦς γλυκανθήσεται ἐπαίτησις,
καὶ ἐν κοιλίᾳ αὐτοῦ πῦρ καήσεται.

XLI 1 [19]Ω θάνατε, ὡς πικρόν σου τὸ μνημόσυνόν ἐστιν
ἀνθρώπῳ εἰρηνεύοντι ἐν τοῖς ὑπάρχουσιν αὐτοῦ,
(2) [2]ἀνδρὶ ἀπερισπάστῳ καὶ εὐοδουμένῳ ἐν πᾶσιν
καὶ ἔτι ἰσχύοντι ἐπιδέξασθαι τροφήν.
(3) 2 [2]ὦ θάνατε, καλόν σου τὸ κρίμα ἐστὶν
ἀνθρώπῳ ἐπιδεομένῳ καὶ ἐλασσουμένῳ ἰσχύι,
(4) [4]ἐσχατογήρῳ καὶ περισπωμένῳ περὶ πάντων,
καὶ ἀπειθοῦντι καὶ ἀπολωλεκότι ὑπομονήν.
(5) 3 [3]μὴ εὐλαβοῦ κρίμα θανάτου,
μνήσθητι προτέρων σου καὶ ἐσχάτων·
4 [4]τοῦτο τὸ κρίμα παρὰ Κυρίου πάσῃ σαρκί,
(6) [6]καὶ τί ἀπαναίνῃ ἐν εὐδοκίᾳ Ὑψίστου;
εἴτε δέκα εἴτε ἑκατὸν εἴτε χίλια ἔτη,
(7) [7]οὐκ ἔστιν ἐν ᾅδου ἔλεγμὸς ζωῆς.
(8) 5 [5]τέκνα βδελυκτὰ γίνεται τέκνα ἁμαρτωλῶν,
καὶ συναναστρεφόμενα παροικίαις ἀσεβῶν·
(9) 6 [6]τέκνων ἁμαρτωλῶν ἀπολεῖται κληρονομία,
καὶ μετὰ τοῦ σπέρματος αὐτῶν ἐνδελεχιεῖ ὄνειδος.
(10) 7 [7]πατρὶ ἀσεβεῖ μέμψεται τέκνα,
ὅτι δι' αὐτὸν ὀνειδισθήσονται.
(11) 8 [8]οὐαὶ ὑμῖν ἄνδρες ἀσεβεῖς,
οἵτινες ἐγκατελείπετε νόμον θεοῦ Ὑψίστου·
(12) 9 [9]καὶ ἐὰν γεννηθῆτε, εἰς κατάραν γεννηθήσεσθε,
καὶ ἐὰν ἀποθάνητε, εἰς κατάραν μερισθήσεσθε.
(13) 10 [10]πάντα ὅσα ἐκ γῆς εἰς γῆν ἀπελεύσεται,
οὕτως ἀσεβεῖς ἀπὸ κατάρας εἰς ἀπωλίαν.
(14) 11 [11]πένθος ἀνθρώπων ἐν σώμασιν αὐτῶν,

29 διαλογισμω ℵ | αλισγησει] αλγησει ℵ | την ψυχην] om την ℵA ℵAC **30** απαιτησις ℵ XLI **1** αυτου] αυτω ℵ | πασι C | επιδεξασθαι] δεξασθε ℵ **2** καλον] pr ως ℵ$^{c.a}$ | επιδεουμενω A | ισχυι] pr εν ℵA | περι παντων] pr και ℵ* (improb και ℵ^{c}) **4** το κριμα] om το AC | om εν 1° ℵ* (hab εν ℵ$^{c.c\,(vid)}$) **5** βδελυκτα] βδελυρα ℵAC **6** ενδελεχει A **7** μεμφε[ται] C **8** εγκατελειπετε] εγκατελιπετε B^{b}ℵ (ενκ.) εγκατελειπατε C | om θεου ℵ **10** απελευσονται C | απωλειαν B$^{b\,(vid)}$AC **11** σωματι ℵ* (-μασιν ℵ$^{c.a}$)

B ὄνομα δὲ ἁμαρτωλῶν οὐκ ἀγαθὸν ἐξαλειφθήσεται.
[12]φρόντισον περὶ ὀνόματος, αὐτὸ γάρ σοι διαμενεῖ 12 (15)
ἢ χίλιοι μεγάλοι θησαυροὶ χρυσίου·
[13]ἀγαθῆς ζωῆς ἀριθμὸς ἡμερῶν, 13 (16)
καὶ ἀγαθὸν ὄνομα εἰς αἰῶνα διαμενεῖ.
[14]παιδείαν ἐν εἰρήνῃ συντηρήσατε, τέκνα· 14 (17)
σοφία δὲ κεκρυμμένη καὶ θησαυρὸς ἀφανής,
τίς ὠφελία ἐν ἀμφοτέροις;
[15]κρείσσων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ 15 (18)
ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ.
[16]τοιγαροῦν ἐντράπητε ἐπὶ τῷ ῥήματί μου· 16 (19)
(20)οὐ γάρ ἐστιν πᾶσαν αἰσχύνην διαφυλάξαι καλόν, (20)
καὶ οὐ πάντα πᾶσιν ἐν πίστει εὐδοκιμεῖται.
[17]αἰσχύνεσθε ἀπὸ πατρὸς καὶ μητρὸς περὶ πορνείας, 17 (21)
καὶ ἀπὸ ἡγουμένου καὶ δυνάστου περὶ ψεύδους,
[18]ἀπὸ κριτοῦ καὶ ἄρχοντος περὶ πλημμελίας, 18 (22)
ἀπὸ συναγωγῆς καὶ λαοῦ περὶ ἀνομίας,
(23)ἀπὸ κοινωνοῦ καὶ φίλου περὶ ἀδικίας, (23)
[19]καὶ ἀπὸ τόπου οὗ παροικεῖς (24)περὶ κλοπῆς, 19 (24)
καὶ ἀπὸ ἀληθείας θεοῦ καὶ διαθήκης,
καὶ ἀπὸ πήξεως ἀγκῶνος ἐπ' ἄρτους,
ἀπὸ σκορακισμοῦ λήμψεως καὶ δόσεως,
[20]καὶ ἀπὸ ἀσπαζομένων περὶ σιωπῆς, 20 (25)
ἀπὸ ὁράσεως γυναικὸς ἑταίρας,
[21]καὶ ἀπὸ ἀποστροφῆς προσώπου συγγενοῦς, 21 (26)
ἀπὸ ἀφαιρέσεως μερίδος καὶ δόσεως,
(27)καὶ ἀπὸ κατανοήσεως γυναικὸς ὑπάνδρου, (27)
[22]ἀπὸ πέριεργείας παιδίσκης αὐτοῦ, 22
καὶ μὴ ἐπιστῇς ἐπὶ τὴν κοίτην αὐτῆς·
(28)ἀπὸ φίλων περὶ λόγων ὀνειδισμοῦ, (28)

ℵAC **11** ουκ αγαθον] αγαθον ουκ ℵ$^{c.a}$ **12** ονοματος] + καλου ℵ$^{c.a}$ **14** παιδιαν ℵAC | om δε ℵ$^{c.a}$ | ωφελεια B^{ab}A **16** διαφυλαξαι] αποκαλυψαι ℵ$^{c.a}$ | παστει ℵ* (πιστ. ℵ$^{c.a}$) **17** περι πορνειας] απο πονηριας ℵ* (περι πορν. ℵ$^{c.a}$) | ηγουμενου] προηγουμενου ℵ **18** πλημμελειας B^{ab}A | απο 3°] pr και C | om απο κοινωνου...αδικιας A | περι 3°] pr κ ℵ* (ras κ iam antea improb ℵ^{2}) **19** κλοπης] πλοκης ℵ πης rescr C^{a} | αληθιας ℵ (αλ ex δι fec ℵ^{1}) | om και 4° A | αρτους ℵAC | απο 4°] pr και AC | κορακισμου C **20** απο 1°] περι ℵ* (απο ℵ$^{c.a}$) | απο 2°] pr και AC | εταιρας] ετερας ℵAC **21** om και 3° AC **22** περιεργιας B^{b} (-γειας B*)] περιεργασιας ℵ$^{c.a}$ | παιδισκης] pr και ℵ$^{c.a}$ | λογου ℵAC | ονειδισμου] ωνιδισμων C

καὶ μετὰ τὸ δοῦναι μὴ ὀνείδιζε· B

XLII 1 [1]ἀπὸ δευτερώσεως καὶ λόγου ἀκοῆς,
καὶ ἀπὸ ἀποκαλύψεων λόγων κρυφίων·
καὶ ἔσῃ αἰσχυντηρὸς ἀληθινῶς,
καὶ εὑρίσκων χάριν ἔναντι παντὸς ἀνθρώπου.

Μὴ περὶ τούτων αἰσχυνθῇς,
καὶ μὴ λάβῃς πρόσωπον τοῦ ἁμαρτάνειν·
2 [2]περὶ νόμου Ὑψίστου καὶ διαθήκης,
καὶ περὶ κρίματος δικαιῶσαι τὸν ἀσεβῆ,
3 [3]περὶ λόγου κοινωνοῦ καὶ ὁδοιπόρων,
περὶ δόσεως κληρονομίας ἑταίρων,
4 [4]περὶ ἀκριβείας ζυγοῦ καὶ σταθμίων,
περὶ κτήσεως πολλῶν καὶ ὀλίγων,
5 [5]περὶ ἀδιαφόρου πράσεως καὶ ἐμπόρων,
καὶ περὶ παιδείας τέκνων πολλῆς,
καὶ οἰκέτῃ πονηρῷ πλευρὰν αἱμάξαι·
6 [6]ἐπὶ γυναικὶ πονηρᾷ καλὸν σφραγίς,
(7)καὶ ὅπου χεῖρες πολλαὶ κλεῖσον·
7 [7]ὃ ἐὰν παραδιδῷς, ἐν ἀριθμῷ καὶ σταθμῷ,
καὶ δόσις καὶ λῆμψις παντὶ ἐν γραφῇ·
8 [8]περὶ παιδείας ἀνοήτου καὶ μωροῦ
καὶ ἐσχατογήρως κρινομένου πρὸς νέους,
καὶ ἔσῃ πεπαιδευμένος ἀληθινῶς
καὶ δεδοκιμασμένος ἔναντι παντὸς ζῶντος.
9 [9]θυγάτηρ πατρὶ ἀπόκρυφος ἀγρυπνία,
καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον·
ἐν νεότητι αὐτῆς μή ποτε παρακμάσῃ,
καὶ συνῳκηκυῖα μή ποτε μισηθῇ·
10 [10]ἐν παρθενείᾳ μή ποτε βεβηλωθῇ

22 δουναι]+με ℵ* (improb με ℵc.a) XLII **1** om και 2° ℵ | om ℵAC απο 2° ℵC | αποκαλυψεως ℵ (απολυψ.) AC | αληθινως] και αληθινος ℵ | ανου ℵ* (ανοῦ ℵc.a(vid)) | προσωπον] pr τ ℵ* (improb τ ℵ1 postea ras) **2** ασεβην C **3** κοινωνων ℵC | περι 2°] pr και Bab(mg) ℵC | εταιρων] ετερων ℵAC **4** ακριβιας ℵC | περι 2°] pr και ℵAC **5** αδιαφορου] διαφορου ℵAC | om και 1° ℵAC | εμπορου C | παιδιας ℵAC (item 8) | αιμαξαι] εμαξας A **6** κλεισον] κλισσον C* (σ 2° ras C2vid) **7** παραδως ℵ | παντα ℵAC **8** εσχατογηρους ℵ εσχατογηρω AC | κρινομενω AC | δεδοκιμασμενος Bb (δεδοκισμ. B*) ℵc.a] δεδοκιμασμενοι ℵ* **9** πατρια C | αυτης] αυτου A | συνωκηκυια]+ανδρι ℵc.a **10** παρθενια Bb (-νεια B*A) ℵC

B καὶ ἐν τοῖς πατρικοῖς αὐτῆς ἔγκυος γένηται·
μετὰ ἀνδρὸς οὖσα μή ποτε παραβῇ,
καὶ συνωκηκυῖα μή ποτε στειρώσῃ.
11 ἐπὶ θυγατρὶ ἀδιατρέπτῳ στερέωσον φυλακήν, 11
μή ποτε ποιήσῃ σε ἐπίχαρμα ἐχθροῖς,
λαλιὰν ἐν πόλει καὶ ἔκκλητον λαοῦ,
καὶ καταισχυνεῖ σε ἐν πλήθει πολλῶν.
12 παντὶ ἀνθρώπῳ μὴ ἔμβλεπε ἐν κάλλει, 12
καὶ ἐν μέσῳ γυναικῶν μὴ συνέδρευε·
13 ἀπὸ γὰρ ἱματίων ἐκπορεύεται σής, 13
καὶ ἀπὸ γυναικὸς πονηρία γυναικός.
14 κρείσσων πονηρία ἀνδρὸς ἢ ἀγαθοποιὸς γυνή, 14
καὶ γυνὴ καταισχύνουσα εἰς ὀνειδισμόν.

15 Μνησθήσομαι δὲ τὰ ἔργα Κυρίου, 15
καὶ ἃ ἑόρακα ἐκδιηγήσομαι·
ἐν λόγοις Κυρίου τὰ ἔργα αὐτοῦ.
16 ἥλιος φωτίζων κατὰ πᾶν ἐπέβλεψεν, 16
καὶ τῆς δόξης αὐτοῦ πλῆρες τὸ ἔργον αὐτοῦ.
17 οὐκ ἐνεποίησεν τοῖς ἁγίοις Κύριος 17
ἐκδιηγήσασθαι πάντα τὰ θαυμάσια αὐτοῦ,
ἃ ἐστερέωσεν Κύριος ὁ παντοκράτωρ,
στηριχθῆναι ἐν δόξῃ αὐτοῦ τὸ πᾶν.
18 ἄβυσσον καὶ καρδίαν ἐξίχνευσεν, 18
καὶ ἐν πανουργεύμασιν αὐτῶν διενοήθην·
(19) ἔγνω γὰρ ὁ κύριος πᾶσαν εἴδησιν
καὶ ἐνέβλεψεν εἰς σημεῖον αἰῶνος,
19 ἀπαγγέλλων τὰ παρεληλυθότα καὶ ἐπεσόμενα, 19
καὶ ἀποκαλύπτων ἴχνη ἀποκρύφων·
20 οὐ παρῆλθεν αὐτὸν πᾶν διανόημα, 20
οὐκ ἐκρύβη ἀπ᾽ αὐτοῦ οὐδὲ εἷς λόγος.

ℵAC **10** μετα] pr και ℵ | στειρωση] στειρωθη ℵAC (στιρ.) **11** αδιαστρεπτω ℵ | ποιηση σε] ποιησης ℵ* (-ση σε ℵ$^{c.a}$) C ποιησει σε A | καταισχυνη ℵ **12** ενβλεπε ℵA **13** εκπορευεται] εξελευσεται C **14** κρισσω A **15** δε] δη ℵAC | εωρακα B^{b} | αυτου] + ϗ γεγονεν εν ευλογια αυτου κριμα ℵ$^{c.a}$ **16** αυτου 1°] κῦ ℵ$^{c.a}$AC | πληρης BℵC πληρεις C **17** Κυριος 1°] κῦ ℵ | εκδιηγησασθαι] pr και ℵ* (improb και ℵ$^{c.a}$) | om α C **18** πανουργημασιν ℵ* (-γευμασιν ℵ$^{c.a}$) A | διενοηθη ℵA | κυριος] υψιστος ℵAC* ^{vid} (?κ̄ς C^{a}) | ειδησιν (ιδ. A)] συνιδησιν ℵ συν[ειδησιν] C **19** απαγγελλων] pr και ℵC | επεσομενα] τα εσομενα ℵAC | αποκαλυπτων] pr ο ℵ* (om ο ℵ$^{c.a}$) **20** ου] + γαρ ℵ* (om γαρ ℵ$^{c.a}$) | ουκ] pr ϗ ℵ$^{c.a}$ | om ουδε AC

21 [21]τὰ μεγαλεῖα τῆς σοφίας αὐτοῦ ἐκόσμησεν· B
καὶ ἕως ἔστιν πρὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα,
(22) [(22)]οὔτε προσετέθη οὔτε ἠλαττώθη,
καὶ οὐ προσεδεήθη οὐδενὸς συμβούλου.
(23) 22 [22]ὡς πάντα τὰ ἔργα αὐτοῦ ἐπιθυμητά,
καὶ ὡς σπινθὴρ ὁς ἐστιν θεωρῆσαι.
(24) 23 [23]πάντα ταῦτα ζῇ καὶ μένει εἰς τὸν αἰῶνα
ἐν πάσαις χρείαις, καὶ πάντα ὑπακούει·
(25) 24 [24]πάντα δισσὰ ἓν κατέναντι τοῦ ἑνός,
καὶ οὐκ ἐποίησεν οὐδὲν ἐκλιπόν·
(26) 25 [25]ἐν τοῦ ἑνὸς ἐστερέωσεν τὰ ἀγαθά,
καὶ τίς πλησθήσεται ὁρῶν δόξαν αὐτοῦ;

XLIII 1 [1]γαυρίαμα ὕψους στερέωμα καθαριότητος,
εἶδος οὐρανοῦ ἐν ὁράματι δόξης.
2 [2]ἥλιος ἐν ὀπτασίᾳ διαγγέλλων ἐν ἐξόδῳ,
σκεῦος θαυμαστόν, ἔργον Ὑψίστου·
3 [3]ἐν μεσημβρίᾳ αὐτοῦ ἀναξηραίνει χώραν,
καὶ ἐναντίον καύματος αὐτοῦ τίς ὑποστήσεται;
4 [4]κάμινον φυλάσσων ἐν ἔργοις καύματος,
[(4)]τριπλασίως ἥλιος ἐκκαίων ὄρη·
ἀτμίδας πυρώδεις ἐμφυσῶν,
καὶ ἐκλάμπων ἀκτῖνας ἀμαυροῖ ὀφθαλμούς.
5 [5]μέγας Κύριος ὁ ποιήσας αὐτόν,
καὶ ἐν λόγοις αὐτοῦ κατέσπευσεν πορείαν·
6 [6]καὶ ἡ σελήνη ἐν πᾶσιν εἰς καιρὸν αὐτῆς,
ἀνάδειξιν χρόνων καὶ σημεῖον αἰῶνος·
7 [7]ἀπὸ σελήνης σημεῖον ἑορτῆς,
φωστὴρ μειούμενος ἐπὶ συντελείας·
8 [8]μὴν κατὰ τὸ ὄνομα αὐτῆς ἐστιν,
αὐξανομένη θαυμαστῶς ἐν ἀλλοιώσει.

21 εκοσμησε C | και εως] ως ℵ os AC | ηλασσωθη ℵA | και ου] ουδε ℵ* ℵAC (ϗ ου ℵ$^{c.a}$) | συμβουλου] pr ανδρος ℵ* (om ℵ$^{c.a}$) **22** ως σπινθηρος] εως σπινθ. ℵC (εωσπ.) | om εστιν ℵ | θεωρησαι] επιθεωρησαι ℵ **24** εκλιπον] εκλειπον B$^{ab\,vid}$ C^{vid} ενλειπον ℵ ελλιπον A XLIII **1** καθαριοτητος] και καθαριοτης ℵ | ουρανου] ανου ℵ* (ουνου ℵ$^{c.a}$) **2** διαγγελλων] αγγελλων ℵ$^{c.a}$ διαγγελων A **4** φυλασσων] φυσων ℵ$^{c.a}$ A | τριπλασιων A | εμφυσων] εκφυσων ℵAC **5** Κυριος] pr ο A | αυτον] αυτους ℵ* (-τον ℵ$^{c.a}$) | κατεσπευσεν] κατεπαυσεν ℵ$^{c.a}$ | πορiαν ℵC **7** συντελειας] συντελεια αιωνος ℵ* συντελεια ℵ^{1}A συντελειαις (sic) ℵ$^{c.a}$ **8** αυξανομενος ℵAC | θαυμαστος ℵ

B [9]σκεῦος παραβολῶν ἐν ὕψει, (9)
ἐν στερεώματι οὐρανοῦ ἐκλάμπων·
[9]κάλλος οὐρανοῦ, δόξα ἄστρων, 9 (10)
κόσμος φωτίζων, ἐν ὑψίστοις Κύριος·
[10]ἐν λόγοις ἁγίοις στήσονται κατὰ κρίμα, 10 (11)
καὶ οὐ μὴ ἐκλυθῶσιν ἐν φυλακαῖς αὐτῶν.
[11]ἴδε τόξον, καὶ εὐλόγησον τὸν ποιήσαντα αὐτό, 11 (12)
σφόδρα ὡραῖον ἐν τῷ αὐγάσματι αὐτοῦ·
[12]ἐγύρωσεν οὐρανὸν ἐν κυκλώσει δόξης, 12 (13)
χεῖρες Ὑψίστου ἐτάνυσαν αὐτό.
[13]προστάγματι αὐτοῦ κατέπαυσεν χιόνα, 13 (14)
καὶ ταχύνει ἀστραπὰς κρίματος αὐτοῦ·
[14]διὰ τοῦτο ἠνεῴχθησαν θησαυροί, 14 (15)
καὶ ἐξέπτησαν νεφέλαι ὡς πετεινά·
[15]ἐν μεγαλείῳ αὐτοῦ ἴσχυσεν νεφέλας, 15 (16)
καὶ διεθρύβησαν λίθοι χαλάζης.
[16]καὶ ἐν ὀπτασίαις αὐτοῦ σαλευθήσεται ὄρη, 16 (17)
ἐν θελήματι πνεύσεται νότος.
[17]φωνὴ βροντῆς αὐτοῦ ὠνείδισεν γῆν, 17 (18)
καὶ καταιγὶς βορέου καὶ συστροφὴ πνεύματος.
[19]ὡς πετεινὰ καθιπτάμενα πάσσει χιόνα, (19)
καὶ ὡς ἀκρὶς καταλύουσα ἡ κατάβασις αὐτῆς·
[18]κάλλος λευκότητος αὐτῆς ἐκθαυμάσει ὀφθαλμός, 18 (20)
καὶ ἐπὶ τοῦ ὑετοῦ αὐτῆς ἐκστήσεται καρδία.
[19]καὶ πάχνην ὡς ἅλα ἐπὶ γῆς χέει, 19 (21)
καὶ παγεῖσα γίνεται σκολόπων ἄκρα.
[20]ψυχρὸς ἄνεμος βορέης πνεύσει, 20 (22)
καὶ παγήσεται κρύσταλλος ἀφ' ὕδατος·
ἐπὶ πᾶσαν συναγωγὴν ὕδατος καταλύσει,
καὶ ὡς θώρακα ἐνδύσεται τὸ ὕδωρ.
[21]καταφάγεται ὄρη καὶ ἔρημον ἐκκαύσει, 21 (23)

ℵAC **8** παραβολων] παρεμβολων ℵAC **9** αστερων ℵ | Κυριος] κ̄ῡ ℵ$^{c.a}$AC **10** αγιου ℵAC **11** αυτο] αυτον AC **12** αυτο] αυτον C **13** κατεπαυσεν B$^{*\,vid}$ℵ] κατεσπευσεν B^{ab} (εσπευ sup ras) AC **15** νεφελαις A | χαλαζης] post ζ ras 1 lit A^{a} **16** οπτασια ℵAC | σαλευθησεται] σαλευθησονται ℵA σαλευονται C | εν 2°] pr και AC | θεληματι]+αυτου ℵAC **17** ωνειδισεν] ωδινησεν A | γην] γη A | καταπτεμενα B **18** αυτης 2°] αυτο incep ℵ* (-της ℵ$^{1\,c.a}$) **19** παχνη ℵ* (-χνην ℵ$^{c.a}$) **20** βορεας ℵAC | αφ υδατος] εφ υδατος ℵA φυδατος (sic) C | επι] pr και C | εκδυσεται ℵ

καὶ ἀποσβέσει χλόην ὡς πῦρ. B

(24) 22 [22]ἴασις πάντων κατὰ σπουδὴν ὁμίχλη,
δρόσος ἀπαντῶσα ἀπὸ καύσωνος ἱλαρώσει.

(25) 23 [23]λογισμῷ αὐτοῦ ἐκόπασεν ἄβυσσον,
καὶ ἐφύτευσεν αὐτὴν Ἰησοῦς.

(26) 24 [24]οἱ πλέοντες τὴν θάλασσαν διηγοῦνται τὸν κίνδυνον αὐτῆς,
καὶ ἀκοαῖς ὠτίων ἡμῶν θαυμάζομεν·

(27) 25 [25]καὶ ἐκεῖ τὰ παράδοξα καὶ θαυμάσια ἔργα,
ποικιλία παντὸς ζῴου, κτίσις κητῶν.

(28) 26 [26]δι' αὐτὸν εὐωδία τέλος αὐτοῦ,
καὶ ἐν λόγῳ αὐτοῦ σύνκειται πάντα.

(29) 27 [27]πολλὰ ἐροῦμεν καὶ οὐ μὴ ἀφικώμεθα,¶ ¶ C
καὶ συντέλεια λόγων Τὸ πᾶν ἐστιν αὐτός.

(30) 28 [28]δοξάζοντες ποῦ ἰσχύσωμεν;
αὐτὸς γὰρ ὁ μέγας παρὰ πάντα τὰ ἔργα αὐτοῦ.

(31) 29 [29]φοβερὸς Κύριος καὶ σφόδρα μέγας,
καὶ θαυμαστὴ ἡ δυναστεία αὐτοῦ.

(32, 33) 30 [30]δοξάζοντες Κύριον ὑψώσατε
καθ' ὅσον ἂν δύνησθε, ὑπερέξει γὰρ καὶ ἔτι·

(34) [34]καὶ ὑψοῦντες αὐτὸν πληθύνατε ἐν ἰσχύι·
μὴ κοπιᾶτε, οὐ γὰρ μὴ ἀφίκησθε.

(35) 31 [31]τίς ἑόρακεν αὐτὸν καὶ ἐκδιηγήσεται;
καὶ τίς μεγαλυνεῖ αὐτὸν καθὼς ἐστιν;

(36) 32 [32]πολλὰ ἀπόκρυφά ἐστιν μείζονα τούτων,
ὀλίγα γὰρ ἑωράκαμεν τῶν ἔργων αὐτοῦ.

(37) 33 [33]πάντα γὰρ ἐποίησεν ὁ κύριος,
καὶ τοῖς εὐσεβέσιν ἔδωκεν σοφίαν.

Πατέρων ὕμνος.

XLIV 1 [1]Αἰνέσωμεν δὴ ἄνδρας ἐνδόξους
καὶ τοὺς πατέρας ἡμῶν τῇ γενέσει.

21 αποσβεσαι ℵ* (-σι ℵ$^{c.a}$) **22** ιασεις A | παντων] παγων ℵ$^{c.a}$ ℵAC **23** αβυσσος ℵ$^{c.a}$ | Ιησους] Ις̄ Bℵ Ιησους AC **24** οι πλεοντες...θαυμαζομεν] και ακοαις...κινδυνον αυτης (invers stichis) AC | την] το incep ℵ* (την ℵ$^{1c.a}$) | διηγησονται ℵ | τον κινδυνον] om τον AC **25** θαυμασια και παραδοξα AC | ποικιλεια C | κτισις] κτησις ℵAC | κητων] κτηνων ℵAC **26** ευωδια] ευοδια ℵC ευδοκια A | τελους ℵ$^{c.a}$ | συγκειται B^{ab}A | παντα] pr τα ℵAC **27** εφικωμεθα C **28** ισχυομεν ℵ ισχυσομεν A **29** Κυριος] κ̄ῡ ℵ* (κ̄ς̄ ℵ^{1}) | δυναστια ℵ **30** Κυριον] pr τον ℵ$^{c.a}$ **31** τις 1°]+γαρ ℵ | εωρακεν B^{b} **33** γαρ]+α ℵ* (improb α ℵ^{1} fort postea ras) | δεδωκεν Λ

B [2]πολλὴν δόξαν ἔκτισεν ὁ κύριος, 2
τὴν μεγαλωσύνην αὐτοῦ ἀπ᾽ αἰῶνος.
[3]κυριεύοντες ἐν ταῖς βασιλείαις αὐτῶν, 3
καὶ ἄνδρες ὀνομαστοὶ ἐν δυνάμει·
βουλεύσονται ἐν συνέσει αὐτῶν,
ἀπηγγελκότες ἐν προφητείαις·
[4]ἡγούμενοι λαοῦ ἐν διαβουλίοις 4
καὶ συνέσει γραμματείας λαοῦ,
σοφοὶ λόγοι ἐν παιδείᾳ αὐτῶν·
[5]ἐκζητοῦντες μέλη μουσικῶν, 5
διηγούμενοι ἔπη ἐν γραφῇ·
[6]ἄνδρες πλούσιοι κεχορηγημένοι ἰσχύι, 6
εἰρηνεύοντες ἐν παροικίαις αὐτῶν·
[7]πάντες οὗτοι ἐν γενεαῖς ἐδοξάσθησαν, 7
καὶ ἐν ταῖς ἡμέραις αὐτῶν καύχημα.
[8]εἰσὶν αὐτῶν οἱ κατέλιπον ὄνομα 8
τοῦ ἐκδιηγήσασθαι ἐπαίνους,
[9]καὶ εἰσὶν ὧν οὐκ ἔστιν μνημόσυνον 9
καὶ ἀπώλοντο ὡς οὐχ ὑπάρξαντες,
καὶ ἐγένοντο ὡς οὐ γεγονότες,
καὶ τὰ τέκνα αὐτῶν μετ᾽ αὐτούς.
[10]ἀλλ᾽ ἢ οὗτοι ἄνδρες ἐλέους, 10
ὧν αἱ δικαιοσύναι οὐκ ἐπελήσθησαν·
[11]μετὰ τοῦ σπέρματος αὐτῶν διαμενεῖ 11
[12]ἀγαθὴ κληρονομία ἔκγονα αὐτῶν·
ἐν ταῖς διαθήκαις [12]ἔστη σπέρμα αὐτῶν, 12
[13]καὶ τὰ τέκνα αὐτῶν δι᾽ αὐτούς,
[13]ἕως αἰῶνος μενεῖ σπέρμα αὐτῶν, 13
καὶ ἡ δόξα αὐτῶν οὐκ ἐξαλειφθήσεται·

ℵA XLIV **2** πολλα ℵ* (πολλην ℵc.a) | τη μεγαλωσυνη ℵc.a **3** αυτων 1°] αυτου A | βουλευονται ℵ βουλευεται A | προφηταις ℵ* (-τιαις ℵc.a) **4** συνεσει] pr εν ℵ | γραμματειας B* (-τιας Bb)] γραμματιαις ℵ | λογοι εν] εν λογοις A | παιδια ℵA **5** διηγουμενοι] pr και ℵA | γραφη] η sup ras Aa **6** ισχυι] pr εν ℵA | παροικιαις] κατοικιαις ℵA **8** κατελιπον] ενκατελιπον ℵ* (κατελ. ℵc.a) κατελειπον A **9** εστιν] εισιν B* (εστιν Ba εστι Bb) | υπαρξοντες ℵ* (-ξαντες ℵc.a) **11** εκγονα] pr τα ℵ **12** σπερμα] pr το ℵA **12—13** και τα τεκνα...σπερμα αυτων bis scr ℵ* (εως αιωνος [1°] ...δι αυτους [2°] unc incl ℵc.a) **12** δι αυτους] μετ αυτ. ℵc.a **13** μενει] διαμενει ℵc.a | εξαλειφθησεται] ενκαταλειφθησεται ℵA (εγκ.)

14 [14]τὸ σῶμα αὐτῶν ἐν εἰρήνῃ ἐτάφη, B
καὶ τὸ ὄνομα αὐτῶν ζῇ εἰς γενεάς·
15 [15]σοφίαν αὐτῶν διηγήσονται λαοί,
καὶ τὸν ἔπαινον ἐξαγγέλλει ἐκκλησία.
16 [16]Ἐνὼχ εὐηρέστησεν Κυρίῳ καὶ μετετέθη,
ὑπόδειγμα μετανοίας ταῖς γενεαῖς.
17 [17]Νῶε εὑρέθη τέλειος δίκαιος,
ἐν καιρῷ ὀργῆς ἐγένετο ἀνταλλαγμα·
(18) [18]διὰ τοῦτο ἐγενήθη κατάλιμμα τῇ γῇ,
διὰ τοῦτο ἐγένετο κατακλυσμός·
(19) 18 [18]διαθῆκαι αἰῶνος ἐτέθησαν πρὸς αὐτόν,
ἵνα μὴ ἐξαλειφθῇ κατακλυσμῷ πᾶσα σάρξ.
(20) 19 [19]Ἀβραὰμ μέγας πατὴρ πλήθους ἐθνῶν,
καὶ οὐχ εὑρέθη ὅμοιος ἐν τῇ δόξῃ,
20 [20]ὃς συνετήρησεν νόμον Ὑψίστου,
καὶ ἐγένετο ἐν διαθήκῃ μετ' αὐτοῦ,
(21) [21]καὶ ἐν σαρκὶ αὐτοῦ ἔστησεν διαθήκην,
καὶ ἐν πειρασμῷ εὑρέθη πιστός·
(22) 21 [21]διὰ τοῦτο ἐν ὅρκῳ ἔστησεν αὐτῷ
ἐνευλογηθῆναι ἔθνη ἐν τῷ σπέρματι αὐτοῦ,
πληθῦναι αὐτὸν ὡς χοῦν τῆς γῆς,
(23) [23]καὶ ὡς ἄστρα ἀνυψῶσαι τὸ σπέρμα αὐτοῦ,
καὶ κατακληρονομῆσαι αὐτοὺς
ἀπὸ θαλάσσης ἕως θαλάσσης
καὶ ἀπὸ ποταμοῦ ἕως ἄκρου γῆς.
(24) 22 [22]καὶ ἐν τῷ Ἰσαὰκ ἔστησεν οὕτως
δι' Ἀβραὰμ τὸν πατέρα αὐτοῦ
(25) [25]εὐλογίαν πάντων ἀνθρώπων καὶ διαθήκην,
23 [23]καὶ κατέπαυσεν ἐπὶ κεφαλὴν Ἰακώβ·
(26) [26]ἐπέγνω αὐτὸν ἐν εὐλογίαις αὐτοῦ,
καὶ ἔδωκεν αὐτῷ ἐν κληρονομίᾳ·

14 το σωμα] τα σωματα ℵA **15** επαινον]+αυτων A | εξαγγελει A ℵA **17** εγενετο 1°] εγενοντο ℵ* (-νετο ℵ$^{c.a}$) | om δια τουτο (1°)...τη γη ℵ* (hab ℵ$^{c.a}$) | εγενηθη] εγενετο ℵ | καταλιμμα (-λειμμα B^{b})] καταλιμ sup ras B^{a} κα sup ras A^{a} | δια τουτο (2°)] οτε ℵ$^{c.a}$A | κατακλυσμος] pr ο A **18** om κατακλυσμω A **19** Αβραμ A | ομοιος]+αυτω A | τη δοξη] om τη ℵ$^{c.a}$ **20** om και 2° A | εστησεν] εζητησεν ℵ **21** τω σπερματι] om τω ℵA | om πληθυναι...σπερμα αυτου ℵ* hab sup ras ℵ$^{c.c\ (vid)\ mg}$ | ανυψωσαι το] αι το sup ras B^{ab} | γης 2°] pr της ℵA **22** Ισακ B*ℵ* (Ισαακ B^{ab}ℵ$^{c.a}$) | δι] δια A **23** αυτου 1°] pr υψιστου ℵ* (om ℵ^{1})

καὶ διέστειλεν μερίδας αὐτοῦ,
ἐν φυλαῖς ἐμέρισεν δέκα δύο·
(27) καὶ ἐξήγαγεν ἐξ αὐτοῦ ἄνδρα ἐλέους, (27)
εὑρίσκοντα χάριν ἐν ὀφθαλμοῖς πάσης σαρκός,
1 ἠγαπημένον ὑπὸ θεοῦ καὶ ἀνθρώπων 1 XLV
Μωυσῆν, οὗ τὸ μνημόσυνον ἐν εὐλογίαις·
2 ὡμοίωσεν αὐτὸν δόξῃ ἁγίων, 2
καὶ ἐμεγάλυνεν αὐτὸν ἐν φόβοις ἐχθρῶν·
3 ἐν λόγοις αὐτοῦ σημεῖα κατέπαυσεν, 3
(3) ἐδόξασεν αὐτὸν κατὰ πρόσωπον βασιλέων· (3)
ἐνετείλατο αὐτῷ πρὸς λαὸν αὐτοῦ,
καὶ ἔδειξεν αὐτῷ τῆς δόξης αὐτοῦ·
4 ἐν πίστει καὶ πραΰτητι αὐτοῦ ἡγίασεν, 4
ἐξελέξατο αὐτὸν ἐκ πάσης σαρκός·
5 ἠκούτισεν αὐτὸν τῆς φωνῆς αὐτοῦ, 5
καὶ εἰσήγαγεν αὐτὸν εἰς τὸν γνόφον,
(6) καὶ ἔδωκεν αὐτῷ κατὰ πρόσωπον ἐντολάς, (6)
νόμον ζωῆς καὶ ἐπιστήμης,
διδάξαι τὸν Ἰακὼβ διαθήκην
καὶ κρίματα αὐτοῦ τὸν Ἰσραήλ.
6 Ἀαρὼν ὕψωσεν ἅγιον ὅμοιον αὐτῷ 6 (7)
ἀδελφὸν αὐτοῦ ἐκ φυλῆς Λευεί·
7 ἔστησεν αὐτὸν διαθήκην αἰῶνος, 7 (8)
καὶ ἔδωκεν αὐτῷ ἱερατίαν λαοῦ·
ἐμακάρισεν αὐτὸν ἐν εὐκοσμίᾳ,
(9) καὶ περιέζωσεν αὐτὸν περιστολὴν δόξης· (9)
8 ἐνέδυσεν αὐτὸν συντέλειαν καυχήματος, 8
καὶ ἐστερέωσεν αὐτὸν σκεύεσιν ἰσχύος,
(10) περισκελῆ καὶ ποδήρη καὶ ἐπωμίδα· (10)
9 καὶ ἐκύκλωσεν αὐτὸν ῥοίσκοις, 9
χρυσοῖς κώδωσιν πλείστοις κυκλόθεν,
(11) ἠχῆσαι φωνὴν ἐν βήμασιν αὐτοῦ, (11)
ἀκουστὸν ποιῆσαι ἦχον ἐν ναῷ

ℵA **23** διεστειλεν] διεστησεν A XLV **1** υπο] απο ℵ | Μωσην ℵA **2** δοξη] pr εν ℵA **4** πραοτητι A | αυτου] αυτον A | ηγιασεν] + αυτον ℵ **5** om αυτου 2° ℵ **6** Αρων A* (Ααρ. $A^{a?}$) | υψωσεν] ανυψωσεν ℵ | Λευι A **7** αυτον 1°] αυτω A | ιερατειαν B^{ab} | περιστολη A **8** σκευεσιν] pr εν ℵ **9** om και ℵ | κωδεσιν ℵ* (-δωσιν $ℵ^{c.a}$)

εἰς μνημόσυνον υἱοῖς λαοῦ αὐτοῦ· B
(12) 10 [10]στολῇ ἁγίᾳ, χρυσῷ καὶ ὑακίνθῳ
καὶ πορφύρᾳ, ἔργων ποικιλτοῦ,
λογίῳ κρίσεως, δήλοις ἀληθείας,
(13) 11 [11]κεκλωσμένῃ κόκκῳ, ἔργῳ τεχνίτου,
λίθοις πολυτελέσιν γλύμματος σφραγῖδος,
ἐν δέσει χρυσίου, ἔργων λιθουργοῦ,
εἰς μνημόσυνον ἐν γραφῇ κεκολαμμένῃ
κατ᾽ ἀριθμὸν φυλῶν Ἰσραήλ·
(14) 12 [12]στέφανον χρυσοῦν ἐπάνω κιδάρεως,
ἐκτύπωμα σφραγῖδος ἁγιάσματος,
καύχημα τιμῆς, ἔργον ἰσχύος,
ἐπιθυμήματα ὀφθαλμῶν κοσμούμενα.
(15) 13 ὡραῖα [13]πρὸ αὐτοῦ οὐ γέγονεν τοιαῦτα,
(16) ἕως αἰῶνος [16]οὐκ ἐνεδύσατο ἀλλογενὴς
πλὴν τῶν υἱῶν αὐτοῦ μόνον,
καὶ τὰ ἔκγονα αὐτοῦ διὰ παντός.
(17) 14 [14]θυσίαν αὐτοῦ ὁλοκαρπωθήσονται
καθ᾽ ἡμέραν ἐνδελεχῶς δίς.
(18) 15 [15]ἐπλήρωσεν Μωυσῆς τὰς χεῖρας
καὶ ἔχρισεν αὐτὸν ἐν ἐλαίῳ ἁγίῳ·
(19) [19]ἐγενήθη αὐτῷ εἰς διαθήκην αἰώνιον,
καὶ ἐν τῷ σπέρματι αὐτοῦ ἐν ἡμέραις οὐρανοῦ,
λειτουργεῖν αὐτῷ ἅμα καὶ ἱερατεύειν,
καὶ εὐλογεῖν τὸν λαὸν αὐτοῦ ἐν τῷ ὀνόματι.
(20) 16 [16]ἐξελέξατο αὐτὸν ἀπὸ παντὸς ζῶντος,
προσαγαγεῖν κάρπωσιν Κυρίῳ,
θυμίαμα καὶ εὐωδίαν εἰς μνημόσυνον,
ἐξιλάσκεσθαι περὶ τοῦ λαοῦ σου.
(21) 17 [17]ἔδωκεν αὐτὸν ἐν ἐντολαῖς αὐτοῦ,
ἐξουσίαν ἐν διαθήκαις κριμάτων,

10 στολη] στηλη ℵ | εργω A | λογιω] λογοι ℵ | αληθιας ℵ **11** πολυ- ℵA τελεσι A | εν δεσει] ειδεσι ℵ* (εν δ. ℵc.a) | εργων] εργω ℵA | μνημοσυνη ℵ* (-νον ℵ1) | κατ] κατα ℵ | φυλων] φυλασσων ℵ* (-λων ℵc.a) **13** om ου ℵ* (hab ℵc.a) | εως] pr ᾗ ℵc.a | ενεδυσατο]+αυτα ℵc.a **14** θυσιαι ℵA | αυτου] αυτων ℵ **15** Μωσης A | χειρας]+αυτου ℵc.a | αιωνιον] αιωνος ℵ | om εν 2° ℵA | ονοματι]+αυτου ℵc.a **16** εξελεξαντο ℵ* (-ξατο ℵc.a) | καρπωσιν] καρπωμα ℵ | ευωδια A | om σου ℵ* (hab ℵc.a) **17** αυτον] αυτω ℵA | εν εντολαις] εντολας ℵ εν ταις εντ. A

B διδάξαι τὸν Ἰακὼβ τὰ μαρτύρια,
καὶ ἐν νόμῳ αὐτοῦ φωνῆσαι Ἰσραήλ.
18 ἐπισυνέστησαν αὐτῷ ἀλλότριοι 18 (22)
καὶ ἐζήλωσαν αὐτὸν ἐν τῇ ἐρήμῳ,
ἄνδρες οἱ περὶ Δαθὰν καὶ Ἀβειρὼν
καὶ ἡ συναγωγὴ Κόρε ἐν θυμῷ καὶ ὀργῇ·
19 εἶδεν Κύριος καὶ οὐκ εὐδόκησεν, 19 (23)
καὶ συνετελέσθησαν ἐν θυμῷ ὀργῆς·
(24) ἐποίησεν αὐτοῖς τέρατα, (24)
καταναλῶσαι ἐν πυρὶ φλογὸς αὐτοῦ.
20 καὶ προσέθηκεν Ἀαρὼν δόξαν, 20 (25)
καὶ ἔδωκεν αὐτῷ κληρονομίαν·
ἀπαρχὰς πρωτογενημάτων ἐμέρισεν αὐτοῖς,
(26) ἄρτον πρώτοις ⸗ ἡτοίμασεν πλησμονήν· (26)
21 καὶ γὰρ θυσίας Κυρίου φάγονται, 21
ἃς ἔδωκεν αὐτῷ τε καὶ τῷ σπέρματι αὐτοῦ.
22 πλὴν ἐν γῇ λαοῦ οὐ κληρονομήσει, 22 (27)
καὶ μερὶς οὐκ ἔστιν αὐτῷ ἐν λαῷ,
αὐτὸς γὰρ μερίς σου, κληρονομία.
23 καὶ Φινεὲς υἱὸς Ἐλεαζὰρ τρίτος εἰς δόξαν, 23 (28)
ἐν τῷ ζηλῶσαι αὐτὸν ἐν φόβῳ Κυρίου
(29) καὶ στῆσαι αὐτὸν ἐν τροπῇ λαοῦ (29)
ἐν ἀγαθότητι προθυμίας ψυχῆς αὐτοῦ·
καὶ ἐξιλάσατο περὶ τοῦ Ἰσραήλ.
24 διὰ τοῦτο ἐστάθη αὐτῷ διαθήκη εἰρήνης, 24 (30)
προστάτην ἁγίων καὶ λαῷ αὐτοῦ,
§ C §ἵνα αὐτῷ ᾖ καὶ τῷ σπέρματι αὐτοῦ
ἱερωσύνης μεγαλεῖον εἰς τοὺς αἰῶνας.
25 καὶ διαθήκην τῷ Δαυὶδ υἱῷ ἐκ φυλῆς Ἰούδα, 25 (31)
κληρονομία βασιλέως υἱοῦ ἐξ υἱοῦ μόνου,
κληρονομία Ἀαρὼν καὶ τῷ σπέρματι αὐτοῦ.

NA **17** τα μαρτυρια] + αυτου $\aleph^{c.a}$ μαρτυριαν A | φωνησαι] φωτισαι A | Ισραηλ] pr τον $\aleph^{c.a}$A **19** ιδεν A | ηυδοκησεν A | αυτοις] pr εν $\aleph$ | αυτου] αυτους $\aleph$A **20** αυτοις] αυτω $\aleph$A | αρτον] αρτος $\aleph^{c.a}$ (postea ipse revoc -τον) | πρωτοις] πρωτον γενηματος $\aleph^{*}$ (πρωτοις $\aleph^{c.a}$) | πλησμονην] εν πλησμονη $\aleph$A **21** om τε $\aleph^{*}$ (hab $\aleph^{c.a}$) **22** κληρονομια] pr και $\aleph^{c.a}$A **23** στησαι] στηναι A **24** λαου $\aleph^{c.a}$ **25** τω Δαυειδ] om τω $\aleph$ | υιω] υιων (nisi fort υιω κ) $\aleph^{*}$ υιω Ιεσσαι $\aleph^{c.a, c.c}$A | εξ υιου] εξ Ιουδα $\aleph^{c.a\,vid}$ | Ααρων] αυτων $\aleph$ αυτω A

26 [26]δῴη ὑμῖν σοφίαν ἐν καρδίᾳ ὑμῶν, B
κρίνειν τὸν λαὸν αὐτοῦ ἐν δικαιοσύνῃ,
ἵνα μὴ ἀφανισθῇ τὰ ἀγαθὰ αὐτῶν,
καὶ τὴν δόξαν αὐτῶν εἰς γενεὰς αὐτῶν.

XLVI 1 [1]κραταιὸς ἐν πολέμοις Ἰησοῦς Ναυή,
καὶ διάδοχος Μωσῆ ἐν προφητείαις,
ὃς ἐγένετο κατὰ τὸ ὄνομα αὐτοῦ
(2) [2]μέγας ἐπὶ σωτηρίᾳ ἐκλεκτῶν αὐτοῦ,
ἐκδικῆσαι ἐπεγειρομένους ἐχθρούς,
ὅπως κληρονομήσῃ τὸν Ἰσραήλ.
(3) 2 [2]ὡς ἐδοξάσθη ἐν τῷ ἐπᾶραι χεῖρας αὐτοῦ
καὶ τῷ ἐκκλῖναι ῥομφαίαν ἐπὶ πόλεις.
(4) 3 [3]τίς πρότερον αὐτοῦ οὕτως ἔστη;
τοὺς γὰρ πολεμίους Κύριος αὐτὸς ἐπήγαγεν.
(5) 4 [4]οὐχὶ ἐν χειρὶ αὐτοῦ ἀνεπόδισεν ὁ ἥλιος,
καὶ μία ἡμέρα ἐγενήθη πρὸς δύο;
(6) 5 [5]ἐπεκαλέσατο τὸν ὕψιστον δυνάστην
ἐν τῷ θλίψαι αὐτὸν ἐχθροὺς κυκλόθεν·
καὶ ἐπήκουσεν αὐτῶν μέγας Κύριος
ἐν λίθοις χαλάζης δυνάμεως κραταιᾶς·
(7) 6 [6]κατέρραξεν ἐπ᾽ ἔθνος πόλεμον,
καὶ ἐν καταβάσει ἀπώλεσεν ἀνθεστηκότας,
(8) [8]ἵνα γνῶσιν ἔθνη πανοπλίαν αὐτῶν,
ὅτι ἐναντίον Κυρίου ὁ πόλεμος αὐτοῦ·
καὶ γὰρ ἐπηκολούθησεν ὀπίσω Δυνάστου.
(9) 7 [7]καὶ ἐν ἡμέραις Μωυσέως ἐποίησεν ἔλεος,
αὐτὸς καὶ Χαλὲβ υἱὸς Ἰεφοννή,
ἀντιστῆναι ἔναντι ἐχθροῦ,
κωλῦσαι λαὸν ἀπὸ ἁμαρτίας
καὶ κοπάσαι γογγυσμὸν πονηρίας.
(10) 8 [8]καὶ αὐτοὶ δύο ὄντες διεσώθησαν

26 δοιη ℵ* (δωη ℵ^c.a) A | γενεαν ℵA XLVI **1** πολεμω ℵAC | Ναυη] ℵAC ο N. ℵ* (ο του N. ℵ^c.a) υιος N. A | Μωυση ℵ | προφητειας B^edit | κληρονομηση] κατακληρονομηση ℵA **2** τω εκκλιναι] τω εκτιναι ℵ* εν τω εκτειναι ℵ^c.a (εκτιν.) A | πολις ℵ* (-λεις ℵ^c.a (vid) c.c) **3** προτερος ℵΛ.| πολεμους ℵ^c.a | Κυριος] κῡ ℵ^c.aA | απηγαγε| A **4** ανεποδισεν] ενεποδισεν ℵ* (ανεπ. ℵ^c.a) ενεποδισθη A **5** υψιστον] pr κν ℵ | αυτων] αυτου ℵA | om εν 2° ℵA **6** αυτων] om ℵ* αυτου ℵ^c.aA **7** Μωσεως A | αυτος] ουτος ℵ | om εχθρου ℵ* (hab ℵ^c.a)

B ἀπὸ ἑξακοσίων χιλιάδων πεζῶν,
εἰσαγαγεῖν αὐτοὺς εἰς κληρονομίαν,
εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι.
9 καὶ ἔδωκεν ὁ κύριος τῷ Χαλὲβ ἰσχύν, 9 (11)
καὶ ἕως γήρους διέμεινεν αὐτῷ,
ἐπιβῆναι αὐτὸν ἐπὶ ὕψος τῆς γῆς,
καὶ τὸ σπέρμα αὐτοῦ κατέσχεν κληρονομίαν·
10 ὅπως ἴδωσιν πάντες οἱ υἱοὶ Ἰσραὴλ 10 (12)
ὅτι καλὸν τὸ πορεύεσθαι ὀπίσω Κυρίου.
11 καὶ οἱ κριταί, ἕκαστος τῷ αὐτοῦ ὀνόματι, 11 (13)
(14) ὅσων οὐκ ἐξεπόρνευσεν ἡ καρδία (14)
καὶ ὅσοι οὐκ ἀπεστράφησαν ἀπὸ Κυρίου,
εἴη τὸ μνημόσυνον αὐτῶν ἐν εὐλογίαις·
12 τὰ ὀστᾶ αὐτῶν ἀναθάλοι ἐκ τοῦ τόπου αὐτῶν, 12
(15) καὶ τὸ ὄνομα αὐτῶν ἀντικαταλλασσόμενον (15)
ἐφ' υἱοῖς δεδοξασμένων αὐτῶν.
13 ἠγαπημένος ὑπὸ κυρίου αὐτοῦ 13 (16)
προφήτης Κυρίου κατέστησεν βασιλέα,
καὶ ἔχρισεν ἄρχοντας ἐπὶ τὸν λαὸν αὐτοῦ·
14 ἐν νόμῳ Κυρίου ἔκρινεν συναγωγήν, 14 (17)
καὶ ἐπεσκέψατο Κύριος τὸν Ἰακώβ.
15 ἐν πίστει αὐτοῦ ἠκριβάσθη προφήτης, 15
(18) καὶ ἐγνώσθη ἐν πίστει αὐτοῦ πιστὸς ὁράσεως. (18)
16 καὶ ἐπεκαλέσατο τὸν κύριον δυνάστην, 16 (19)
ἐν τῷ θλίψαι ἐχθροὺς αὐτοῦ κυκλόθεν,
ἐν προσφορᾷ ἀρνὸς γαλαθηνοῦ·
17 καὶ ἐβρόντησεν ἀπ' οὐρανοῦ Κύριος, 17 (20)
καὶ ἐν ἤχῳ μεγάλῳ ἀκουστὴν ἐποίησεν τὴν φωνὴν αὐτοῦ,
18 καὶ ἐξέτριψεν ἡγουμένους Τυρίων 18 (21)
καὶ πάντας ἄρχοντας Φυλιστιείμ.
19 καὶ πρὸ καιροῦ κοιμήσεως αἰῶνος 19 (22)
ἐπεμαρτύρατο ἐναντι Κυρίου καὶ χριστοῦ

ℵAC **8** εισαγειν A **9** υψος] pr το ℵA[1] (pr του A*) C | κατεσχεν] και την A **10** ιδωσι ℵ | το πορευεσθαι (incep πορι ℵ* πορευ. ℵ[1 c.a])] om το ℵ **11** εκαστος ℵ[c.a] A] εκαστω Bℵ* **12** τα οστα] pr και ℵ | αντικαταλλασσομενον] αντικαταλλαξοι ξενον ℵ* (αντικαταλλασσ. ℵ[c.a]) **13** αυτου 1°] + Σαμουηλ ℵAC | βασιλεα] βασιλειαν ℵAC **15** πιστει 2°] ρημασιν ℵAC **16** επεκαλεσα ℵ* (-σατο ℵ[c.a]) | αυτου εχθρους ℵ* (εχθρ. αυτου ℵ[c.a]) **17** Κυριος] pr ο ℵ **18** Τυρων ℵ* (-ριων ℵ[c.a]) **19** χριστου] + αυτου ℵ[c.a]

Χρήματα καὶ ἕως ὑποδημάτων B
ἀπὸ πάσης σαρκὸς οὐκ εἴληφα·
καὶ οὐκ ἐνεκάλεσεν αὐτῷ ἄνθρωπος.
(23) 20 [20]καὶ μετὰ τὸ ὑπνῶσαι αὐτὸν προεφήτευσεν
καὶ ὑπέδειξεν βασιλεῖ τὴν τελευτὴν αὐτοῦ,
καὶ ἀνύψωσεν ἐκ γῆς τὴν φωνὴν αὐτοῦ
ἐν προφητείᾳ, ἐξαλεῖψαι ἀνομίαν λαοῦ.
XLVII 1 [1]καὶ μετὰ τοῦτον ἀνέστη Ναθὰν
προφητεύειν ἐν ἡμέραις Δανείδ.
2 [2]ὥσπερ στέαρ ἀφωρισμένον ἀπὸ σωτηρίου,
οὕτως Δανεὶδ ἀπὸ τῶν υἱῶν Ἰσραήλ.
3 [3]ἐν λέουσιν ἔπαιζεν ὡς ἐν ἐρίφοις,
καὶ ἐν ἄρκοις ὡς ἐν ἄρνασι προβάτων.
4 [4]ἐν νεότητι αὐτοῦ [(4)]οὐχὶ ἀπέκτεινεν γίγαντα,
καὶ ἐξῆρεν ὀνειδισμὸν ἐκ λαοῦ
(5) [(5)]ἐν τῷ ἐπᾶραι χεῖρα ἐν λίθῳ σφενδόνης
καὶ καταβαλεῖν γαυρίαμα τοῦ Γολιάθ;
(6) 5 [5]ἐπεκαλέσατο γὰρ Κύριον τὸν ὕψιστον,
καὶ ἔδωκεν ἐν τῇ δεξιᾷ αὐτοῦ κράτος,
ἐξᾶραι ἄνθρωπον ἐν πολέμῳ·
ἀνυψώσει κέρας λαοῦ αὐτοῦ.
(7) 6 [6]οὕτως ἐν μυριάσιν ἐδόξασεν αὐτόν,
καὶ ᾔνεσεν αὐτὸν ἐν εὐλογίαις Κυρίου
ἐν τῷ φέρεσθαι αὐτῷ διάδημα δόξης.
(8) 7 [7]ἐξέτριψεν γὰρ ἐχθροὺς κυκλόθεν,
καὶ ἐξουδένωσεν Φυλιστιεὶμ τοὺς ὑπεναντίους
ἕως σήμερον συνέτριψεν αὐτῶν κέρας.
(9) 8 [8]ἐν παντὶ ἔργῳ αὐτοῦ ἔδωκεν ἐξομολόγησιν
ἁγίῳ Ὑψίστῳ, ῥήματι δόξης·

19 om *και* 3° C | *ειληφα* B*[b]AC (. . λιφα)] *ειληφεν* B[ab]ℵ[c.a] **20** *επροφητευσεν* ℵAC | *και* 1° ℵAC | om *και* 2° ℵ* (hab ℵ[1 (img sinistr)] | *υπεδειξεν*] *επε[δειξ]εν* C | *την φωνην*] om *την* A | *προφητεια* (-*τια* C)] *προφητειαις* ℵ | *εξαλιψει* ℵ XLVII **1** *τουτον*] *τουτο* C | *Ναθαν*] *Δαθαν* A* (*Ναθ.* A[b]) | *Δανειδ*] *Δαδ* ℵ* (*Δαδ* ℵ[c.a]) **2** *των υιων*] om *των* ℵAC **3** *επαιξεν* B[ab]ℵ *επαισεν* C | *και*] seq λ in ℵ* (improb λ ℵ[1 c.a]) | *εναρκεις* ℵ* (*εν αρκοις* ℵ[c.a]) | *αρνασιν* A **4** *χειρας* A | *κατεβαλεν* ℵC | *Γολιαδ* C **5** om *γαρ* C | *ανθρωπον*]+*δυνατον* B[ab]ℵAC | *ανυψωσαι* ℵAC **6** *ηνεσεν*] *ηρεσεν* ℵ* *ηνεσαν* ℵ[c.a] **7** *εχθρους*]+*σου* ℵ* (improb *σου* ℵ[c.a]) | *αυτων*] *αυτω* C | *κερας*] *κεραξ* C **8** *υψιστου* ℵ | *ρηματα* C

B [10]ἐν πάσῃ καρδίᾳ αὐτοῦ ὕμνησεν (10)
καὶ ἠγάπησεν τὸν ποιήσαντα αὐτόν.
9καὶ ἔστησεν ψαλτῳδοὺς κατέναντι τοῦ θυσιαστηρίου, 9 (11)
καὶ ἐξ ἤχους αὐτῶν γλυκαίνειν μέλη·
10ἔδωκεν ἐν ἑορταῖς εὐπρέπειαν, 10 (12)
καὶ ἐκόσμησεν καιροὺς μέχρι συντελείας,
ἐν τῷ αἰνεῖν αὐτοὺς τὸ ἅγιον ὄνομα αὐτοῦ
καὶ ἀπὸ πρωὶ ἠχεῖν τὸ ἁγίασμα.
11Κύριος ἀφεῖλεν τὰς ἁμαρτίας αὐτοῦ, 11 (13)
καὶ ἀνύψωσεν εἰς αἰῶνα τὸ κέρας αὐτοῦ,
καὶ ἔδωκεν αὐτῷ διαθήκην βασιλέων
καὶ θρόνον δόξης ἐν τῷ Ἰσραήλ.
12μετὰ τοῦτον ἀνέστη υἱὸς ἐπιστήμων, 12 (14)
καὶ δι' αὐτὸν κατέλυσεν ἐν πλατυσμῷ·
13Σαλωμὼν ἐβασίλευσεν ἐν ἡμέραις εἰρήνης, 13 (15)
ᾧ ὁ θεὸς κατέπαυσεν κυκλόθεν,
ἵνα στήσῃ οἶκον ἐπ' ὀνόματι αὐτοῦ
καὶ ἑτοιμάσῃ ἁγίασμα εἰς τὸν αἰῶνα.
14ὡς ἐσοφίσθης ἐν νεότητί σου, 14
[16]καὶ ἐνεπλήσθης ὡς ποταμὸς συνέσεως. (16)
15γῆν ἐπεκάλυψεν ἡ ψυχή σου, 15
[17]καὶ ἐνέπλησας ἐν παραβολαῖς αἰνιγμάτων· (17)
16εἰς νήσους πόρρω ἀφίκετο τὸ ὄνομά σου, 16
καὶ ἠγαπήθης ἐν τῇ εἰρήνῃ σου·
17ἐν ᾠδαῖς καὶ παροιμίαις καὶ παραβολαῖς 17 (18)
καὶ ἐν ἑρμηνίᾳ ἀπεθαύμασάν σε χῶραι·
18ἐν ὀνόματι Κυρίου τοῦ θεοῦ, 18 (19)
τοῦ ἐπικεκλημένου θεοῦ Ἰσραήλ,
[20]συνήγαγες ὡς κασσίτερον τὸ χρυσίον, (20)
καὶ ὡς μόλιβον ἐπλήθυνας ἀργύριον.

ℵAC **8** υμνησιν ℵ | ηγαπησε C **9** ψαλμωδους ℵ | του θυσιαστηριου] om του ℵAC | ηχου B^b **10** om εν 1° ℵ | ορταις B^* (εορτ. B^b) | ευπρεπιαν ℵC | συντελιας C | το αγιον ονομα] το ονομα το αγιον C | αυτου] σου ℵ | πρωι] πρωιας ℵAC+φωνη $ℵ^{c.a}$ **11** Κυριος] $\overline{κς}$ B^{*b} $\overline{χς}$ B^a **12** μετα] pr και C | om και δι αυτον...πλατυσμω C | κατελυσεν] κατεπαυσεν ℵ **13** Σολομων ℵA | ω ο θεος] ως $\overline{θς}$ ℵ* (ω ο $\overline{θς}$ $ℵ^{c.a}$) **14** ενεπλησθης] εσοφισθη C* (-θης C^a) **15** ενεπλησαν C **16** ηγαπηθης] π inst (antea vitio laborasse vid) ℵ? **17** εν 1°] pr και AC | ερμηνια (-νεια B^{ab})] ερμηνιαις ℵC ερημιαις A | επεθαυμασαν A **18** om θεου 2° C^{vid} | κασιτερον C | μολιβδον C

(21) 19 [19]παρανέκλινας τὰς λαγόνας σου γυναιξίν, B
καὶ ἐνεξουσιάσθης ἐν τῷ σώματί σου·
(22) 20 [20]ἔδωκας μῶμον ἐν τῇ δόξῃ σου,
καὶ ἐβεβήλωσας τὸ σπέρμα σου,
ἐπαγαγεῖν ὀργὴν ἐπὶ τὰ τέκνα σου,
καὶ κατενύγην ἐπὶ τῇ ἀφροσύνῃ σου,
(23) 21 [21]γενέσθαι δίχα τυραννίδα
καὶ ἐξ Ἐφράιμ ἄρξαι βασιλείαν ἀπειθῆ.
(24) 22 [22]ὁ δὲ Κύριος οὐ μὴ καταλίπῃ τὸ ἔλεος αὐτοῦ,
καὶ οὐ μὴ διαφθαρῇ ἀπὸ τῶν ἔργων αὐτοῦ,
οὐδὲ μὴ ἐξαλείψῃ ἐκλεκτοῦ αὐτοῦ ἔκγονα,
καὶ σπέρμα τοῦ ἀγαπήσαντος αὐτὸν οὐ μὴ ἐξάρῃ·
(25) [25]καὶ τῷ Ἰακὼβ ἔδωκεν κατάλιμμα,
καὶ τῷ Δαυὶδ ἐξ αὐτοῦ ῥίζαν.
(26) 23 [23]καὶ ἀνεπαύσατο Σαλωμὼν μετὰ τῶν πατέρων,
(27) [27]καὶ κατέλιπεν μετ' αὐτὸν ἐκ τοῦ σπέρματος αὐτοῦ
(28) λαοῦ ἀφροσύνην [28]καὶ ἐλασσούμενον συνέσει
Ῥοβοάμ,¶ ὃς ἀπέστησεν λαὸν ἐκ βουλῆς αὐτοῦ, ¶ C
(29) [29]καὶ Ἱεροβοὰμ υἱὸν Ναβάτ, ὃς ἐξήμαρτεν τὸν Ἰσραὴλ
καὶ ἔδωκεν τῷ Ἐφράιμ ὁδὸν ἁμαρτίας.
24 [24]καὶ ἐπληθύνθησαν αἱ ἁμαρτίαι αὐτῶν σφόδρα,
(30) [30]ἀποστῆσαι αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν·
(31) 25 [25]καὶ πᾶσαν πονηρίαν ἐξεζήτησαν,
ἕως ἐκδίκησις ἔλθῃ ἐπ' αὐτούς.

XLVIII 1 [1]καὶ ἀνέστη Ἠλίας προφήτης ὡς πῦρ,
καὶ ὁ λόγος αὐτοῦ ὡς λαμπὰς ἐκαίετο·
2 [2]ὃς ἐπήγαγεν ἐπ' αὐτοὺς λιμόν,
καὶ τῷ ζήλῳ αὐτοῦ ὠλιγοποίησεν αὐτούς·
3 [3]ἐν λόγῳ Κυρίου ἀνέσχεν οὐρανόν,
κατήγαγεν οὕτως τρὶς πῦρ.
4 [4]ὡς ἐδοξάσθης, Ἠλεία, ἐν τοῖς θαυμασίοις σου·

19 παρεκλινας ℵ **20** om εν ℵ **21** τυραννιδος ℵ$^{c.a}$ | Αιφραιμ ℵ* ℵAC (Εφρ. ℵ$^{c.a}$) A | αρξας ℵ **22** καταλιπη] εγκαταλειπη A | διαφθειρη ℵ$^{c.a}$ (διαφθιρ.) A | εξαλιψει C | σπερμα] pr το A | Ιακωβ]+ος ℵ* (om ος ℵ$^{c.a}$) | καταλειμμα B^{ab} **23** Σολομων ℵ | πατερων]+αυτου ℵA | κατελειπεν A | μετ] μεθ A | ελαττουμενον ℵ | Ροβοαμ] Ροβ... C | om ος 1° ℵ* (hab ℵ$^{c.a}$) | λαον] pr τον A | υιος ℵ **24** της γης] om της ℵ **25** εως] ως A
XLVIII **1** Ηλειας ℵ **2** ολιγοποιησεν ℵA **3** om ουτως ℵ$^{c.a}$
4 Ηλια B^{b}A | τοις θαυμασιοις] om τοις ℵA

B καὶ τίς ὅμοιός σοι καυχᾶσθαι;
5 ὁ ἐγείρας νεκρὸν ἐκ θανάτου 5
καὶ ἐξ ᾅδου ἐν λόγῳ Ὑψίστου·
6 ὁ καταγαγὼν βασιλεῖς εἰς ἀπωλίαν 6
καὶ δεδοξασμένους ἀπὸ κλίνης αὐτῶν·
7 ἀκούων ἐν Σεινὰ ἔλεγμὸν 7
καὶ ἐν Χωρὴβ κρίματα ἐκδικήσεως·
8 ὁ χρίων βασιλεῖς εἰς ἀνταπόδομα, 8
καὶ προφήτας διαδόχους μετ' αὐτόν·
9 ὁ ἀναλημφθεὶς ἐν λαίλαπι πυρὸς 9
ἐν ἅρματι ἵππων πυρίνων·
10 ὁ καταγραφεὶς ἐν ἐλεγμοῖς εἰς καιρούς, 10
κοπάσαι ὀργὴν πρὸ θυμοῦ
καὶ ἐπιστρέψαι καρδίαν πατρὸς πρὸς υἱὸν
καὶ καταστῆσαι φυλὰς Ἰακώβ.
§ C 11 μακάριοι οἱ ἰδόντες σε 11
καὶ οἱ ἐν ἀγαπήσει κεκοσμημένοι,
(12) καὶ γὰρ ἡμεῖς ζωῇ ζησόμεθα. (12)
12 Ἠλείας ὃς ἐν λαίλαπι ἐσκεπάσθη· 12 (13)
καὶ Ἐλεισαῖε ἐνεπλήσθη πνεύματος αὐτοῦ,
καὶ ἐν ἡμέραις αὐτοῦ οὐκ ἐσαλεύθη ὑπὸ ἄρχοντος,
καὶ οὐ κατεδυνάστευσεν αὐτὸν οὐδείς.
13 πᾶς λόγος οὐχ ὑπερῆρεν αὐτόν, 13 (14)
καὶ ἐν κοιμήσει ἐπροφήτευσεν τὸ σῶμα αὐτοῦ·
14 καὶ ἐν ζωῇ αὐτοῦ ἐποίησεν τέρατα, 14 (15)
καὶ ἐν τελευτῇ θαυμάσια τὰ ἔργα αὐτοῦ.
15 ἐν πᾶσιν τούτοις οὐ μετενόησεν ὁ λαός, 15 (16)
καὶ οὐκ ἀπέστησαν ἀπὸ τῶν ἁμαρτιῶν,
ἕως ἐπρονομεύθησαν ἀπὸ τῆς γῆς αὐτῶν
καὶ ἐσκορπίσθησαν ἐν πάσῃ τῇ γῇ,

ℵAC **4** καυχασθαι] καυχησεται ℵA **6** απωλειαν B^{ab}ℵA **7** Σινα B^{b}A **8** μετ αυτον sup ras B^{ab} **9** λαιλαπι] λαμπαδι A | ιππων] incep π ℵ* (improb π ℵ¹) **10** εν ελεγμοις] εν ελλεγμουις ℵ* (improb ι ℵ¹ postea ras ℵ²) ελεγμος A | om εις ℵ* (hab ℵ$^{c.a}$) | om και 1° ℵA **11** ιδοντες] ειδοτες ℵC | αγαπησει] αγαπη ℵ αγαπησι σου ℵ$^{c.a}$ | ζωης ℵ* (ζωη ℵ¹) A **12** Ηλιας B^{b}A | Ελισαιε B^{b}ℵAC (Ελισ[αιε]) | ενεπλησθη] επλησθη A | αυτου 1°] αγιου A | ου κατεδυναστευσεν] ουκ εδυναστευσεν ℵ **13** ουχ] κ̄ῡ ℵ **14** ζωη] pr τη C | τελευτη] pr τη C **15** των α|αμαρτιων B* (των| αμ. B^{b}) | αμαρτιων]+αυτων ℵ | της γης] om της ℵA | εσκορπισθησαν] διεσκορπισθησαν ℵA

(17) [17]καὶ κατελείφθη ὁ λαὸς ὀλιγοστός, B
καὶ ἄρχων τῷ οἴκῳ Δαυείδ.
(18) 16 [16]τινὲς μὲν αὐτῶν ἐποίησαν τὸ ἀρεστόν,
τινὲς δὲ ἐπλήθυναν ἁμαρτίας.
(19) 17 [17]Ἐζεκίας ὠχύρωσεν τὴν πόλιν αὐτοῦ,
καὶ εἰσήγαγεν εἰς μέσον αὐτῶν τὸν Γώγ·
ὤρυξεν σιδήρῳ ἀκρότομον,
καὶ ᾠκοδόμησεν κρήνας εἰς ὕδατα.
(20) 18 [18]ἐν ἡμέραις αὐτοῦ ἀνέβη Σενναχηρεὶμ
καὶ ἀπέστειλεν Ῥαψάκην, καὶ ἀπῆρεν·
καὶ ἐπῆρεν ἡ χεὶρ αὐτοῦ ἐπὶ Σειών,
καὶ ἐμεγαλαύχησεν ὑπερηφανίᾳ αὐτοῦ.
(21) 19 [19]τότε ἐσαλεύθησαν καρδίαι καὶ χεῖρες αὐτῶν,
καὶ ὠδίνησαν ὡς αἱ τίκτουσαι·
(22) 20 [20]καὶ ἐπεκαλέσαντο τὸν κύριον τὸν ἐλεήμονα,
ἐκπετάσαντες τὰς χεῖρας αὐτῶν πρὸς αὐτόν.
καὶ ὁ ἅγιος ἐξ οὐρανοῦ ταχὺ ἐπήκουσεν αὐτῶν,
(23) [23]καὶ ἐλυτρώσατο αὐτοὺς ἐν χειρὶ Ἡσαίου·
(24) 21 [21]ἐπάταξεν τὴν παρεμβολὴν τῶν Ἀσσυρίων,
καὶ ἐξέτριψεν αὐτοὺς ὁ ἄγγελος αὐτοῦ.
(25) 22 [22]ἐποίησεν γὰρ Ἐζεκίας τὸ ἀρεστὸν Κυρίῳ,
καὶ ἐνίσχυσεν ἐν ὁδοῖς Δαυεὶδ τοῦ πατρὸς αὐτοῦ,
ἃς ἐνετείλατο Ἡσαίας ὁ προφήτης
ὁ μέγας καὶ πιστὸς ἐν ὁράσει αὐτοῦ.
(26) 23 [23]ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνεπόδισεν ὁ ἥλιος,
καὶ προσέθηκεν ζωὴν βασιλεῖ·
(27) 24 [24]πνεύματι μεγάλῳ ἴδεν τὰ ἔσχατα,
καὶ παρεκάλεσεν τοὺς πενθοῦντας ἐν Σειών·
(28) 25 [25]ἕως τοῦ αἰῶνος ὑπέδειξεν τὰ ἐσόμενα
καὶ τὰ ἀπόκρυφα πρὶν ἢ παραγενέσθαι αὐτά.

15 κατελειφθη] κατελημφθη ℵC (κατεληφθ.) | αρχων] αρχοντες ℵ$^{c.a}$ | τω ℵAC οικω] pr εν ℵA **17** αυτων] αυτης A | τον Γωγ] τον Ηωγ ℵ* τ. αγωγον ℵ$^{c.a}$ υδωρ A **18** Σενναχηρειμ] Σεννα ... C (cett evan usque 22) | απεστειλεν] απετρεψεν ℵ* (απεστιλεν ℵ$^{c.a}$) | Ραψακην] pr τον ℵ | η χειρ] χειρα A | Σιων (item 24) B^{b}A | υπερηφανιαν ℵ υπερηφανεια A **19** χειρες] pr αι ℵA **20** επανεκαλεσαντο ℵ* (επεκαλ. ℵ$^{c.a}$) | Ησαιου] Ιησου ℵ **22** om Κυριω ℵ* (hab κω ℵ$^{c.a}$) | om Δαυειδ ℵ* (hab Δαδ ℵ$^{c.a}$) **24** ειδεν ℵA **25** παραγινεσθαι C

B [1]μνημόσυνον Ἰωσείου εἰς σύνθεσιν θυμιάματος, 1 XLIX
ἐσκευασμένον ἔργῳ μυρεψοῦ·
[(2)]ἐν παντὶ στόματι ὡς μέλι γλυκανθήσεται, (2)
καὶ ὡς μουσικὰ ἐν συμποσίῳ οἶνου.
[2]αὐτὸς κατευθύνθη ἐν ἐπιστροφῇ λαοῦ, 2 (3)
καὶ ἐξῆρεν βδελύγματα ἀνομίας·
[3]κατεύθυνεν πρὸς Κύριον τὴν καρδίαν αὐτοῦ, 3 (4)
ἐν ἡμέραις ἀνόμων κατίσχυσεν τὴν εὐσέβειαν.
[4]παρὲξ Δανεὶδ καὶ Ἐζεκίου καὶ Ἰωσείου 4 (5)
πάντες πλημμελίαν ἐπλημμέλησαν·
[(6)]κατέλιπον γὰρ τὸν νόμον τοῦ ὑψίστου, (6)
οἱ βασιλεῖς Ἰούδα ἐξέλιπον.
[5]ἔδωκαν γὰρ τὸ κέρας αὐτῶν ἑτέροις 5 (7)
καὶ τὴν δόξαν αὐτῶν ἔθνει ἀλλοτρίῳ·
[6]ἐνεπύρισεν ἐκλεκτὴν πόλιν ἁγιάσματος, 6 (8)
καὶ ἠρήμωσαν τὰς ὁδοὺς αὐτῆς
ἐν χειρὶ Ἰερεμίου· [7]ἐκάκωσαν γὰρ αὐτόν, 7 (9)
καὶ αὐτὸς ἐν μήτρᾳ ἡγιάσθη προφήτης,
ἐκριζοῦν καὶ κακοῦν καὶ ἀπολλύειν,
ὡσαύτως οἰκοδομεῖν καὶ καταφυτεύειν.
[8]Ἰεζεκιήλ, ὃς εἶδεν ὅρασιν δόξης 8 (10)
ἣν ὑπέδειξεν αὐτῷ ἐπὶ ἅρματος χερουβείμ·
[9]καὶ γὰρ ἐμνήσθη τῶν ἐχθρῶν ἐν ὄμβρῳ, 9 (11)
καὶ ἀγαθῶσαι τοὺς εὐθύνοντας ὁδούς.
[10]καὶ τῶν ιβ′ προφητῶν τὰ ὀστᾶ 10 (12)
ἀναθάλοι ἐκ τοῦ τόπου αὐτῶν.
παρεκάλεσεν δὲ τὸν Ἰακώβ,
καὶ ἐλυτρώσατο αὐτοὺς ἐν πίστει ἐλπίδος.
[11]πῶς μεγαλύνωμεν τὸν Ζοροβαβέλ; 11 (13)
καὶ αὐτὸς ὡς σφραγὶς ἐπὶ δεξιᾶς χειρός.
¶ C [12]οὕτως Ἰησοῦς υἱὸς¶ Ἰωσεδέκ· 12 (14)

ℵAC XLIX **1** Ιωσιου (item 4) B[b]AC | εσκευασμενου ℵ | εργον A | μυρεψου] μυρεμου A **2** κατηυθυνθη ℵA | λαου] αυτου ℵ* (λαου ℵ[c.a]) **3** καρδιαν] οδον A **4** πλημμελειαν B[ab]C πλημμελεια A | κατελειπον A hiat C | εξελειπον AC ([εξ]ελ.) **6** ενεπυρισαν ℵA | Ιηρεμιου A **7** καταφυτευειν] φυτευειν ℵ* (καταφ. ℵ[c.a]) **8** ιδεν A | χερουβειν ℵA **9** οδους] pr τας ℵ* (om τας ℵ[c.a]) **10** ιβ] δωδεκα A | παρεκαλεσαν A | δε] γαρ ℵ[c.a]A | ελυτρωσαντο A **11** μεγαλυνομεν ℵ | ωσφραγις B* (ως σφρ. B[ab]) **12** ουτος ℵ | Ιως ... C

οἱ ἐν ἡμέραις αὐτῶν οἰκοδόμησαν οἶκον B
καὶ ἀνύψωσαν λαὸν ἅγιον Κυρίῳ
ἡτοιμασμένον εἰς δόξαν αἰῶνος.
(15) 13 [13]καὶ νέμουσιν ἐπὶ πολὺ τὸ μνημόσυνον
τοῦ ἐγείραντος ἡμῖν τείχη πεπτωκότα,
καὶ στήσαντος πύλας καὶ μοχλούς,
καὶ ἀνεγείραντος τὰ οἰκόπεδα ἡμῶν.
(16) 14 [14]οὐδὲ εἷς ἐκτίσθη οἷος Ἐνὼχ τοιοῦτος ἐπὶ τῆς γῆς,
καὶ γὰρ αὐτὸς ἀνελήμφθη ἀπὸ τῆς γῆς·
(17) 15 [15]ὁ δὲ Ἰωσὴφ ἐγενήθη ἀνήρ,
ἡγούμενος ἀδελφῶν, στήριγμα λαοῦ,
(18) [18]καὶ τὰ ὀστᾶ αὐτοῦ ἐπεσκέπησαν.
(19) 16 [16]Σὴμ καὶ Σὴθ ἐν ἀνθρώποις ἐδοξάσθησαν,
καὶ ὑπὲρ πᾶν ζῷον ἐν τῇ κτίσει Ἀδάμ.
L 1 [1]Σίμων Ὀνίου υἱὸς ἱερεὺς ὁ μέγας,
ὃς ἐν ζωῇ αὐτοῦ ὑπέραψεν οἶκον,
καὶ ἐν ἡμέραις αὐτοῦ ἐστερέωσεν τὸν ναόν·
2 [2]καὶ ὑπ' αὐτοῦ ἐθεμελιώθη ὕψος διπλῆς,
ἀνάλημμα ὑψηλὸν περιβόλου ἱεροῦ·
3 [3]ἐν ἡμέραις αὐτοῦ ἠλαττώθη ἀποδοχεῖον ὑδάτων,
χαλκὸς ὡσεὶ θαλάσσης τὸ περίμετρον·
4 [4]ὁ φροντίζων τοῦ λαοῦ αὐτοῦ ἀπὸ πτώσεως,
καὶ ἐνισχύσας πόλιν ἐνπολιορκῆσαι.
5 [5]ὡς ἐδοξάσθη ἐν περιστροφῇ λαοῦ,
ἐν ἐξόδῳ οἴκου καταπετάσματος·
6 [6]ὡς ἀστὴρ ἑωθινὸς ἐν μέσῳ νεφέλης,
ὡς σελήνη πλήρης ἐν ἡμέραις·
7 [7]ὡς ἥλιος ἐκλάμπων ἐπὶ ναὸν Ὑψίστου,
καὶ ὡς τόξον φωτίζον ἐν νεφέλαις δόξης·

12 ωκοδομησαν A | οικον B[1]ℵ] πυργον B* incep vid A | om και A | λαον] ℵA ναον A **13** νεμουσιν (-σι ℵ*)] Νεεμιου ℵ[c.a]A | ημιν] ημων ℵ | τειχη] χειλη ℵ* (τειχ. ℵ[c.a]) **14** ουδε εις] ουδεις ℵ ουτ incep A* vid | επι της γης τοιουτος οιος Ενωχ ℵA | om γαρ A | ανελημφθη] μετετεθη A **15** ο δε] ουδε ως ℵA **16** τη κτισει] om τη ℵ[c.a] L **1** Ιονιου B*ℵ* (Ονιου B[b]ℵ[c.a] sed postea inst I ℵ[2]) | ιερευς] pr ο A | υπερραψεν ℵ* υπεγραψεν ℵ[c.a] | ημεραις] pr ταις ℵ* (om ταις ℵ[1]) | τον ναον] om τον ℵA **2** bis scr και υπ αυτου εθεμελιωθη ℵ* (unc incl 1° ℵ[c.a]) | ιερου] pr υψηλου ℵ* (om ℵ[1 c.a]) **3** αποδοχιον B* (-χειον B[ab])] αποδοχεια ℵA (-χια) | χαλκος] λακκος A **4** του λαου] το ελεον ℵ* (του λ. ℵ[c.a]) | πτωσεως] πτοησεως ℵ* (πτωσ. ℵ[c.a]) | εμπολιορκησαι B[b]A **5** ως] ος A **6** νεφελων ℵ **7** om και A | φωτιζων ℵ

B [8]ὡς ἄνθος ῥόδων ἐν ἡμέραις νέων, 8
ὡς κρίνα ἐπ' ἐξόδων ὕδατος,
ὡς βλαστὸς λιβάνου ἐν ἡμέραις θέρους·
[9]ὡς πῦρ καὶ λίβανος ἐπὶ πυρίου· 9
[(10)]ὡς σκεῦος χρυσίου ὁλοσφύρητον (10)
κεκοσμημένον παντὶ λίθῳ πολυτελεῖ·
[10]ὡς ἐλαία ἀναθάλλουσα καρπούς, 10 (11)
καὶ ὡς κυπάρισσος ὑψουμένη ἐν νεφέλαις.
[11]ἐν τῷ ἀναλαμβάνειν αὐτὸν στολὴν δόξης, 11
καὶ ἐνδιδύσκεσθαι αὐτὸν συντέλειαν καυχήματος,
[(12)]ἐν ἀναβάσει θυσιαστηρίου ἁγίου (12)
ἐδόξασεν περιβολὴν ἁγιάσματος·
[12]ἐν δὲ τῷ δέχεσθαι μέλη ἐκ χειρῶν ἱερέων, 12 (13)
καὶ αὐτὸς ἑστὼς παρ' ἐσχάρᾳ βωμοῦ,
κυκλόθεν αὐτὸς στέφανος ἀδελφῶν
ὡς βλάστημα κέδρου ἐν τῷ Λιβάνῳ,
[(14)]καὶ ἐκύκλωσαν αὐτὸν ὡς στελέχη φοινίκων· (14)
[13]καὶ πάντες οἱ υἱοὶ Ἀαρὼν ἐν δόξῃ αὐτῶν, 13
[(15)]καὶ προσφορὰ Κυρίου ἐν χερσὶν αὐτῶν (15)
ἔναντι πάσης ἐκκλησίας Ἰσραήλ·
[14]καὶ συντέλειαν λειτουργῶν ἐπὶ βωμῶν, 14
κοσμῆσαι προσφορὰν Ὑψίστου Παντοκράτορος,
[15]ἐξέτεινεν ἐπὶ σπονδείου χεῖρα αὐτοῦ, 15 (16)
καὶ ἔσπεισεν ἐξ αἵματος σταφυλῆς,
[(17)]ἐξέχεεν εἰς θεμέλια θυσιαστηρίου (17)
ὀσμὴν εὐωδίας Ὑψίστῳ Παντοκράτορι.
[16]τότε ἀνέκραγον υἱοὶ Ἀαρών, 16 (18)
ἐν σάλπιγξιν ἐλαταῖς ἤχησαν,
ἀκουστὴν ἐποίησαν φωνὴν μεγάλην
εἰς μνημόσυνον ἔναντι Ὑψίστου·
[17]τότε πᾶς ὁ λαὸς κοινῇ κατέσπευσεν, 17 (19)
καὶ ἔπεσαν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν

ℵA **8** om ως 1° B* (hab $B^{ab\ mg\ sinistr}$) | ως 2°] ωσει ℵA | εξοδω ℵA **9** πυρειου ℵ | ολοφυρητον ℵ* (ολοσφ. $ℵ^{c.a}$) **9—10** κεκοσμημενον...καρπους] ως ελαια... καρπους κεκοσμημενω (sic)...πολυτελει ℵ **11** αναλαμβανειν] αναβαλλιν ℵ* (αναλαμβανιν $ℵ^{1}$) | καυχηματος] καυματος A **12** ιερεων] ορεων ℵ* (ιερ. $ℵ^{c.a}$) | εστως] εστηκως A | εσχαρας ℵ* (s ras $ℵ^{?}$) | αυτος 2°] αυτου A | κεδρων ℵA **13** οι υιοι] om οι ℵ | δοξη] pr τη ℵ | αυτων 1°] αυτου ℵ* (-των $ℵ^{1}$) **15** σπονδιου A | οσμην] pr σωτηριου $ℵ^{c.a}$ | παμβασιλει B^{b}A **16** υιοι] pr οι A **17** κατεσπευσαν B^{ab} (κατεσπευσ. B^{comm}) ℵA

προσκυνῆσαι τῷ κυρίῳ αὐτῶν B
Παντοκράτορι θεῷ τῷ ὑψίστῳ·

(20) 18 [18]καὶ ᾖνεσαν οἱ ψαλμῳδοὶ ἐν φωναῖς αὐτῶν,
ἐν πλείστῳ οἴκῳ ἐγλυκάνθη μέλος·

(21) 19 [19]καὶ ἐδεήθη ὁ λαὸς Κυρίου Ὑψίστου
ἐν προσευχῇ κατέναντι Ἐλεήμονος,
ἕως συντελεσθῇ κόσμος Κυρίου
καὶ τὴν λειτουργίαν αὐτοῦ ἐτελείωσαν.

(22) 20 [20]τότε καταβὰς ἐπῆρεν χεῖρας αὐτοῦ
ἐπὶ πᾶσαν ἐκκλησίαν υἱῶν Ἰσραήλ,
δοῦναι εὐλογίαν Κυρίῳ ἐκ χειλέων αὐτοῦ
καὶ ἐν ὀνόματι αὐτοῦ καυχᾶσθαι·

(23) 21 [21]καὶ ἐδευτέρωσεν ἐν προσκυνήσει ἐπιδείξασθαι τὴν εὐλογίαν
παρὰ Ὑψίστου.

(24) 22 [22]καὶ νῦν εὐλογήσατε τῷ θεῷ πάντες
τῷ μεγαλοποιοῦντι πάντη,
τὸν ὑψοῦντα ἡμέρας ἡμῶν ἐκ μήτρας,
καὶ ποιοῦντα μεθ' ἡμῶν κατὰ τὸ ἔλεος αὐτοῦ·

(25) 23 [23]δῴη ὑμῖν εὐφροσύνην καρδίας,
καὶ γενέσθαι εἰρήνην ἐν ἡμέραις ἡμῶν
ἐν Ἰσραὴλ κατὰ τὰς ἡμέρας τοῦ αἰῶνος,

(26) 24 [24]ἐνπιστεῦσαι μεθ' ἡμῶν τὸ ἔλεος αὐτοῦ,
καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ λυτρωσάσθω ἡμᾶς.

(27) 25 [25]ἐν δυσὶν ἔθνεσιν προσώχθισεν ἡ ψυχή μου,
καὶ τὸ τρίτον οὐκ ἔστιν ἔθνος·

(28) 26 [26]οἱ καθήμενοι ἐν ὄρει Σαμαρείας, Φυλιστιείμ,
καὶ ὁ λαὸς μωρὸς ὁ κατοικῶν ἐν Σικίμοις.

(29) 27 [27]Παιδείαν συνέσεως καὶ ἐπιστήμης

17 τω κυριω] τω θω ℵ$^{c.a}$ om τω A | αυτων] εαυτων ℵ om A | τω υψιστω] ℵA om τω ℵ$^{c.a}$A **18** ψαλμωδοι] ψαλτωδοι A | οικω] ηχω ℵ$^{c.a}$ | εγλυκανθη] εμελυνθη ℵ* εμεγαλυνθη ℵ$^{c.a}$A **19** ο λαος] om ο ℵ* (hab ο ℵ$^{c.a}$) | συνετελεσθη ℵ^{1} | κοσμος] pr ο ℵ | ετελειωσαν] ελιτουργησαν ℵ* (ετελιωσαν ℵ$^{c.a}$) **20** om καταβας A | χειρα A | om πασαν A | υιω A | Κυριω] κῡ ℵ | καυχασθαι] καυχησασθαι ℵA **21** εν] επι A | προσκυνησει] + κῡ ℵ$^{c.a}$ **22** παντες] παντων ℵA | μεγαλοποιουντι] μεγαλα ποιουντι ℵA **23** υμιν] ημιν ℵ | καρδιαν ℵ* (-διας ℵ$^{c.a}$) | ημων] pr νεων ℵ* (om νεων ℵ$^{c.a}$) | Ισραηλ] pr τω ℵ$^{c.a}$ | του αιωνος] του αιω sup ras B$^{1 fort}$ **24** εμπιστε υσαι B^{b}A **26** Σαμαριας ℵA | Φυλιστιειμ] pr και A | ο λαος] om ο ℵ | μωρος] pr ο ℵA **27** παιδιαν ℵA

B ἐχάραξα ἐν τῷ βιβλίῳ τούτῳ,
Ἰησοῦς υἱὸς Σειρὰχ Ἐλεαζὰρ ὁ Ἱεροσολυμείτης,
ὃς ἀνώμβρησεν σοφίαν ἀπὸ καρδίας αὐτοῦ.
[28]μακάριος ὃς ἐν τούτοις ἀναστραφήσεται, 28 (30)
καὶ θεὶς αὐτὰ ἐπὶ καρδίαν αὐτοῦ σοφισθήσεται·
[29]ἐὰν γὰρ αὐτὰ ποιήσῃ, πρὸς πάντα ἰσχύσει· 29 (31)
ὅτι φῶς Κυρίου τὸ ἴχνος αὐτοῦ.

[1]Προσευχὴ Ἰησοῦ υἱοῦ Σειράχ.

[1]Ἐξομολογήσομαί σοι, Κύριε βασιλεῦ, 1 LI
καὶ αἰνέσω σε θεὸν τὸν σωτῆρά μου,
[2]ἐξομολογοῦμαι τῷ ὀνόματί σου· (2)
[2]ὅτι σκεπαστὴς καὶ βοηθὸς ἐγένου μοι, 2
[3]καὶ ἐλυτρώσω τὸ σῶμά μου ἐξ ἀπωλίας (3)
καὶ ἐκ παγίδος διαβολῆς γλώσσης,
ἀπὸ χειλέων ἐργαζομένων ψεῦδος,
καὶ ἔναντι τῶν παρεστηκότων
ἐγένου βοηθός, [3]καὶ ἐλυτρώσω με 3 (4)
κατὰ τὸ πλῆθος ἐλέου καὶ ὀνόματός σου
ἐκ βρυγμῶν ἕτοιμος εἰς βρῶμα,
[5]ἐκ χειρὸς ζητούντων τὴν ψυχήν μου, (5)
ἐκ πλειόνων θλίψεων ὧν ἔσχον,
[4]ἀπὸ πνιγμοῦ πυρὰς κυκλόθεν 4 (6)
καὶ ἐκ μέσου πυρὸς οὗ οὐκ ἐξέκαυσα,
[5]ἐκ βάθους κοιλίας ᾅδου, 5 (7)
καὶ ἀπὸ γλώσσης ἀκαθάρτου καὶ λόγου ψευδοῦς.
[6]βασιλεῖ διαβολὴ γλώσσης ἀδίκου· 6
[8]ἤνεσεν ἕως θανάτου ἡ ψυχή μου, (8)
[9]καὶ ἡ ζωή μου ἦν σύνεγγυς ᾅδου κάτω· (9)
[7]περιέσχον με πάντοθεν καὶ οὐκ ἦν ὁ βοηθῶν, 7 (10)

NA 27 Σειρακ ℵ Σιραχ A | Ιεροσολυμειτης B* ℵc.a (-μιτης Bb A)] ιερευς ο Σολυμειτης ℵ* | σοφιας ℵ* (-φιαν ℵc.a) 28 θεις] pr ο ℵ* (om ο ℵc.a) 29 αυτα] ταυτα A | ισχυσει] ισχυει ℵ (ισχυι) Avid LI (tit) post προσευχη incep υ B* (improb υ Bab) | Σιραχ A 1 εξομολογησομαι] εξομολογουμαι A | om σε A 2 απωλειας Bab A | διαβολης] διαβουλης A 3 ελεου (-ους Bab ℵA)] + σου ℵc.a | ετοιμον A | εκ χειρος] pr και ℵ 4 κυκλοθεν] κλοθεν A* (κυκλ. Aa?) | εκ μεσου] ε r° sup ras B? εν μεσω ℵ | ου] σου ℵ* (ου ℵc.a) 5 εκ βαθους κοι, πο γλω perier in A | βαθου B* (βαθους Bab) 6 διαβολης ℵA | ηνεσεν] ηγγισεν ℵA | κατω] κατωτατου ℵc.a

ἐμβλέπων εἰς ἀντίλημψιν ἀνθρώπων καὶ οὐκ ἦν. B
(11) 8 [8]καὶ ἐμνήσθην τοῦ ἐλέους σου, Κύριε,
καὶ τῆς ἐργασίας σου τῆς ἀπ᾽ αἰῶνος,
(12) [12]ὅτι ἐξελῇ τοὺς ὑπομένοντάς σε
καὶ σώζεις αὐτοὺς ἐκ χειρὸς ἐθνῶν.
(13) 9 [9]καὶ ἀνύψωσα ἐπὶ γῆν ἱκετίαν μου,
καὶ ὑπὲρ θανάτου ῥύσεως ἐδεήθην·
(14) 10 [10]ἐπεκαλεσάμην Κύριον πατέρα κυρίου μου,
μή με ἐγκαταλιπεῖν ἐν ἡμέραις θλίψεως,
ἐν καιρῷ ὑπερηφανιῶν ἀβοηθησίας.
(15) 11 [11]αἰνέσω τὸ ὄνομά σου ἐνδελεχῶς,
καὶ ὑμνήσω ἐν ἐξομολογήσει·
καὶ εἰσηκούσθη ἡ δέησίς μου.
(16) 12 [12]ἔσωσας γάρ με ἐξ ἀπωλείας,
καὶ ἐξείλου με ἐκ καιροῦ πονηροῦ·
(17) [17]διὰ τοῦτο ἐξομολογήσομαι καὶ αἰνέσω σοι,
καὶ εὐλογήσω τῷ ὀνόματι Κυρίου.

(18) 13 [13]Ἔτι ὢν νεώτερος πρὶν ἢ πλανηθῆναί με,
ἐζήτησα σοφίαν προφανῶς ἐν προσευχῇ μου·
(19) 14 [14]ἔναντι ναοῦ ᾐξίουν περὶ αὐτῆς,
καὶ ἕως ἐσχάτων ἐκζητήσω αὐτήν.
15 [15]ἐξ ἄνθους ὡς περκαζούσης σταφυλῆς
(20) [20]εὐφράνθη ἡ καρδία μου ἐν αὐτῇ·
ἐπέβη ὁ πούς μου ἐν εὐθύτητι,
ἐκ νεότητός μου ἴχνευον αὐτήν.
(21) 16 [16]ἔκλινα ὀλίγον τὸ οὖς μου καὶ ἐδεξάμην,
(22) [22]καὶ πολλὴν εὗρον ἐμαυτῷ παιδείαν·
17 [17]προκοπὴ ἐγένετό μοι ἐν αὐτῇ·
(23) [23]τῷ διδόντι μοι σοφίαν δώσω δόξαν.
(24) 18 [18]διενοήθην γὰρ τοῦ ποιῆσαι αὐτήν,
καὶ ἐζήλωσα τὸ ἀγαθόν, καὶ οὐ μὴ αἰσχυνθῶ.

7 εμβλεπων] εβλεπον A **8** om και 1° ℵ* (hab ℵc.a) | εξελη] εξαιρη ℵA ℵ (εξερη) A | εθνων] εχθρων ℵA **9** ανυψωσεν ℵ | επι] απο ℵA | γην] γης B^{ab}ℵA | ικετειαν B^{ab} | υπερ] απο A | θανατου] αθανατου A **10** κυριου] pr του ℵc.a | εγκαταλειπειν A | υπερηφανων ℵA **12** πονηρου] + και εξιλου (sic) μαι A | εξομολογησομαι] + σοι ℵA | σοι] σε B^{b}ℵc.a **13** πλαν θηναι B*^{vid} (πλανη|θ. B^{b}) **15** ως] εως A | περικαζουσης A* (περκ. A^{2}) | ηυφρανθη A **16** παιδιαν ℵA **17** διδοντι] διδοσιν ℵ* (διδοντι ℵc.a) | om μοι 2° A | δωσω] και ℵ* (δωσ. ℵc.a) **18** ποιησαι] + με A

B [19]διαμεμάχισται ἡ ψυχή μου ἐν αὐτῇ, 19 (25)
καὶ ἐν ποιήσει λιμοῦ διηκριβασάμην·
[(26)]τὰς χεῖράς μου ἐξεπέτασα πρὸς ὕψος, (26)
καὶ τὰ ἀγνοήματα αὐτῆς ἐπένθησα·
[20]τὴν ψυχήν μου κατεύθυνα εἰς αὐτήν, 20 (27, 28)
καρδίαν ἐκτησάμην μετ' αὐτῶν ἀπ' ἀρχῆς,
καὶ ἐν καθαρισμῷ εὗρον αὐτήν·
διὰ τοῦτο οὐ μὴ ἐγκαταλειφθῶ.
[21]καὶ ἡ κοιλία μου ἐταράχθη ἐκζητῆσαι αὐτήν· 21 (29)
διὰ τοῦτο ἐκτησάμην ἀγαθὸν κτῆμα.
[22]ἔδωκεν Κύριος γλῶσσάν μοι μισθόν μου, 22 (30)
καὶ ἐν αὐτῇ αἰνέσω αὐτόν.

[23]Ἐγγίσατε πρὸς μέ, ἀπαίδευτοι, 23 (31)
καὶ αὐλίσθητε ἐν οἴκῳ παιδείας.
[24]καὶ ὅτι ὑστερεῖσθαι λέγετε ἐν τούτοις, 24 (32)
καὶ αἱ ψυχαὶ ὑμῶν διψῶσι σφόδρα,
[25]ἤνοιξα τὸ στόμα μου καὶ ἐλάλησα 25 (33)
Κτήσασθε αὐτοῖς ἄνευ ἀργυρίου·
[26]τὸν τράχηλον ὑμῶν ὑπόθετε ὑπὸ ζυγόν, 26 (34)
καὶ ἐπιδεξάσθω ἡ ψυχὴ ὑμῶν παιδείαν·
ἐγγύς ἐστιν εὑρεῖν αὐτήν.
[27]ἴδετε ἐν ὀφθαλμοῖς ὑμῶν ὅτι ὀλίγον ἐκοπίασα, 27 (35)
καὶ εὗρον ἐμαυτῷ πολλὴν ἀνάπαυσιν.
[28]μετάσχετε παιδείαν ἐν πολλῷ ἀριθμῷ ἀργυρίου, 28 (36)
καὶ πολὺν χρυσὸν κτήσασθε ἐν αὐτῇ·
[29]εὐφρανθείη ἡ ψυχὴ ὑμῶν ἐν τῷ ἐλέει αὐτοῦ, 29 (37)
καὶ μὴ αἰσχυνθείητε ἐν αἰνέσει αὐτοῦ·
[30]ἐργάζεσθε τὸ ἔργον ὑμῶν πρὸ καιροῦ, 30 (38)
καὶ δώσει τὸν μισθὸν ὑμῶν ἐν καιρῷ αὐτοῦ.

ℵA **19** λιμου] μου A | διηκριβωσαμην B[ᵇ] διηκριβησαμην A **19—20** α αυτης επεν, ατευθυνα perier in A **20** κατηυθυνα ℵ | καρδιαν...αυτην] και εν καθ. ευρον αυτην| καρδιαν εκτ. μετ αυτ. απ αρχης ℵ και εν καιρω θερι[σμ]ου ευρον αυτη| καρδιαν εκτησαμην μετ αυτης απ αρχης A | εγκαταλειφθω B[a¶b] (-λιφθ. B*)] ενκαταλειφθω ℵA **21** εκζητησαι] pr του ℵA **22** μοι] μου ℵA | μου] μοι ℵ **23** εγγισατε] αινεσατε ℵ* (ενγεισ. ℵ[c.a]) | αυλισθητε] αυλισθησεσθαι BA | παιδιας ℵA **24** και 1°] τι ℵA | υστερεισθαι (-σθε B)] υστερειτε ℵA | λεγετε] pr η ℵ[c.a] **25** αυτοις] εαυτοις ℵA **26** παιδιαν ℵ | εγγυς] + γαρ ℵ **27** ειδετε ℵ* (ιδ. ℵ[c.a]) **28** παιδειας ℵ[c.a] A **29** αινεσει] pr τη ℵ[c.a]

Subscr σοφια Ιησου υιου Σειραχ BℵA

Stich 3221 B 3277 ℵ 3090 A

ΕΣΘΗΡ

(XI) (2) **A** 1 ΕΤΟΥΣ *δευτέρου βασιλεύοντος* Ἀρταξέρξου *τοῦ μεγάλου* B
βασιλέως τῇ μιᾷ τοῦ Νεισὰ ἐνύπνιον ἴδεν Μαρδοχαῖος ὁ τοῦ
(3) 2 *Ἰαείρου τοῦ Σεμεείου τοῦ Κεισαίου ἐκ φυλῆς Βενιαμείν,* 2*ἄνθρω-*
πος Ἰουδαῖος οἰκῶν ἐν Σούσοις τῇ πόλει, ἄνθρωπος μέγας,
(4) 3 *θεραπεύων ἐν τῇ αὐλῇ τοῦ βασιλέως·* 3*ἦν δὲ ἐκ τῆς αἰχμαλωσίας*
ἧς ᾐχμαλώτευσεν Ναβουχοδονοσὸρ βασιλεὺς Βαβυλῶνος ἐξ
(5) 4 *Ἰερουσαλὴμ μετὰ Ἰεχονίου τοῦ βασιλέως τῆς Ἰουδαίας.* 4*καὶ*
τοῦτο αὐτοῦ τὸ ἐνύπνιον· καὶ ἰδοὺ φωναὶ καὶ θόρυβος, βρονταὶ
(6) 5 *καὶ σεισμός, τάραχος ἐπὶ τῆς γῆς.* 5*καὶ ἰδοὺ δύο δράκοντες*
μέγαλοι ἕτοιμοι προῆλθον ἀμφότεροι παλαίειν· καὶ ἐγένετο
(7) 6 *αὐτῶν φωνὴ μεγάλη,* 6*καὶ τῇ φωνῇ αὐτῶν ἡτοιμάσθη πᾶν*
(8) 7 *ἔθνος εἰς πόλεμον ὥστε πολεμῆσαι δικαίων ἔθνος.* 7*καὶ ἰδοὺ*
ἡμέρα σκότους καὶ γνόφου, θλῖψις καὶ στενοχωρία, κάκωσις καὶ
(9) 8 *τάραχος μέγας ἐπὶ τῆς γῆς·* 8*καὶ ἐταράχθη δίκαιον πᾶν ἔθνος,*
(10) 9 *φοβούμενοι τὰ ἑαυτῶν κακά, καὶ ἡτοιμάσθησαν ἀπολέσθαι·* 9*καὶ*
ἐβόησαν πρὸς τὸν θεόν. ἀπὸ δὲ τῆς βοῆς αὐτῶν ἐγένετο
(11) 10 *ὡσανεὶ ἀπὸ μικρᾶς πηγῆς ποταμὸς μέγας, ὕδωρ πολύ·* 10*φῶς*
καὶ ὁ ἥλιος ἀνέτειλεν, καὶ οἱ ταπεινοὶ ὑψώθησαν καὶ κατέφαγον
(12) 11 *τοὺς ἐνδόξους.* 11*καὶ διεγερθεὶς Μαρδοχαῖος ἐωρακὼς τὸ ἐνύπ-*
νιον τοῦτο, καὶ τί ὁ θεὸς βεβούλευται ποιῆσαι, εἶχεν αὐτὸ ἐν

Inscr Εσθηρ BℵA (mutil) **A 1** Αρταρ|ξερξου A | om *βασιλεως* ℵA | ℵA Νισα ℵ* (-σαν ℵ²) A | *ειδεν* B^ab ℵ | Ιαειρου ℵA | Σεμειου ℵA | *φυλης*] pr *της* ℵ^c.a A **2** *εν Σουσοις*] *εν μεσ|οις* A*^vid *εν μεσου|σοις* (sic) A^2 **3** *βασιλευς*] pr ο ℵ^c.a A **4** *και θορυβος*] *θορυβου* A | *ταραχος*] pr *και* ℵ^c.a A **5** *μεγαλοι*]+ *δυο* ℵ* (improb *δυο* ℵ²) | *προσηλθον* A | *εγενοντο* A | *φωναι μεγαλαι* A **7** *γνοφους* A | om *στενοχωρια* A | om *και* 4° A **8** *παν εθνος δικαιον* A **9** *ωσανει*] *ως αν* ℵ om A **10** *φως*] *φωτος* ℵ* (*φως* ℵ^c.a) pr *και* A | *και* 1° om ℵ* (hab ℵ^c.a) **11** *εωρακως*] pr ο ℵA | *βεβουλευται*] *βουλευεται* A | *αυτο*] *το ενυπνιον τουτο* A

B τῇ καρδίᾳ, καὶ ἐν παντὶ λόγῳ ἤθελεν ἐπιγνῶναι αὐτὸ ἕως τῆς
νυκτός. 12 καὶ ἡσύχασεν Μαρδοχαῖος ἐν τῇ αὐλῇ μετὰ Γαβάθα 12 (1) (XII)
καὶ Θαρρὰ τῶν δύο εὐνούχων τοῦ βασιλέως τῶν φυλασσόντων
τὴν αὐλήν, 13 ἤκουσέν τε αὐτῶν τοὺς λογισμοὺς καὶ τὰς μερίμνας 13 (2)
αὐτῶν ἐξηραύνησεν, καὶ ἔμαθεν ὅτι ἑτοιμάζουσιν τὰς χεῖρας
ἐπιβαλεῖν Ἀρταξέρξῃ τῷ βασιλεῖ. καὶ ὑπέδειξεν τῷ βασιλεῖ
περὶ αὐτῶν· 14 καὶ ἐξήτασεν ὁ βασιλεὺς τοὺς δύο εὐνούχους, 14 (3)
καὶ ὁμολογήσαντες ἀπήχθησαν, 15 καὶ ἔγραψεν ὁ βασιλεὺς τοὺς 15 (4)
λόγους τούτους εἰς μνημόσυνον, καὶ Μαρδοχαῖος ἔγραψεν περὶ
τῶν λόγων τούτων· 16 καὶ ἐπέταξεν ὁ βασιλεὺς Μαρδοχαίῳ 16 (5)
θεραπεύειν ἐν τῇ αὐλῇ, καὶ ἔδωκεν αὐτῷ δόματα περὶ τούτων.
17 καὶ ἦν Ἀμὰν Ἀμαδάθου Βουγαῖος ἔνδοξος ἐνώπιον τοῦ βασι- 17 (6)
λέως, καὶ ἐζήτησεν κακοποιῆσαι τὸν Μαρδοχαῖον καὶ τὸν λαὸν
αὐτοῦ ὑπὲρ τῶν δύο εὐνούχων τοῦ βασιλέως.

1 Καὶ ἐγένετο μετὰ τοὺς λόγους τούτους ἐν ταῖς ἡμέραις Ἀρταξέρξου, 1 I
οὗτος ὁ Ἀρταξέρξης ἀπὸ τῆς Ἰνδικῆς ἑκατὸν εἴκοσι ἑπτὰ χωρῶν
ἐκράτησεν. 2 ἐν αὐταῖς ταῖς ἡμέραις ὅτε ἐθρονίσθη ὁ βασιλεὺς Ἀρτα- 2
ξέρξης ἐν Σούσοις τῇ πόλει, 3 ἐν τῷ τρίτῳ ἔτει βασιλεύοντος αὐτοῦ, 3
δοχὴν ἐποίησεν τοῖς φίλοις καὶ τοῖς λοιποῖς ἔθνεσιν καὶ τοῖς Περσῶν
καὶ Μήδων ἐνδόξοις καὶ τοῖς ἄρχουσιν τῶν σατραπῶν. 4 καὶ μετὰ ταῦτα 4
μετὰ τὸ δεῖξαι αὐτοῖς τὸν πλοῦτον τῆς βασιλείας αὐτοῦ καὶ τὴν δόξαν
τῆς εὐφροσύνης τοῦ πλούτου αὐτοῦ ἐν ἡμέραις ἑκατὸν ὀγδοήκοντα·
5 ὅτε δὲ ἀνεπληρώθησαν αἱ ἡμέραι τοῦ γάμου, ἐποίησεν ὁ βασιλεὺς 5
πότον τοῖς ἔθνεσιν τοῖς εὑρεθεῖσιν εἰς τὴν πόλιν ἐπὶ ἡμέρας ἑξ ἐν
αὐλῇ οἴκου τοῦ βασιλέως, 6 κεκοσμημένῃ βυσσίνοις καὶ καρπασίνοις 6

ℵA **11** τη καρδια] om τη A | om και 3° ℵ* (superscr ℵc.a) | ηθελησεν A | επιγνωναι αυτο] επιγνωναι (επιγνουναι ℵ* -γνων. ℵc.a) αυτον ℵ αυτο επιγνωναι A | της νυκτος] om της A **12** ησυχαζεν ℵc.a | Θαρα ℵ*vid (-ρρας ℵc.a) **13** ηκουσε ℵ* (-σεν ℵc.b] | τε Bℵ*c.b] δε ℵc.a vid γαρ A | τους λογισμους αυτων A | εξηρευνησεν Bb | ετοιμαζουσι ℵ | Αρταξερξει ℵA | τω βασιλει (2°)] τω sup ras A2 **14** εξητασεν] σ sup ras Aa | απηχθησαν] εξηχθησαν ℵ*c.b (απηχθ. ℵc.a) A **16** αυτω] Μαρδοχαιω ℵc.a mg A | τουτων ℵ*c.b] αυτων ℵc.a A **17** Αμαδαθου] Αμαναδαθου B*vid Ναμαναδ. ut vid Bb (fort) (Αμαδ. Ba? c) Αμαθαδου A | λαον α sup ras Ba I **1** ο Αρταξερξης] om ο A | Ινδικης]+εως Αιθιοπιας ℵc.a (mg) **2** αυταις] ταυταις A | εθρονισθη] ενεθρονισθη ℵc.a | om ο βασιλευς Αρταξερξης ℵ* (hab ℵc.a mg inf) Αρταξ. ο βασιλευς A **3** εποιησεν δοχην ℵc.a | και τοις αρχουσιν] και τοις α sup ras Aa? | αρχουσι ℵAvid **4** om μετα 2° ℵ* (superscr ℵ?) | αυτου 1°] του sup ras Aa? | του πλουτου] pr και ℵ* (improb και ℵ?) | εν ημεραις] επι ημερας ℵ ημερας A **5** γαμου] ποτου ℵc.a mg A | πολιν]+απο μεγαλου ℵ εως μικρου ποτον ℵc.a mg inf | om επι A | οικου] pr του ℵA **6** κεκοσμημενω ℵ* (-νη ℵc.a) A | καρπασιοις ℵ?

τεταμένοις ἐπὶ σχοινίοις βυσσίνοις καὶ πορφυροῖς, ἐπὶ κύβοις χρυσοῖς B
καὶ ἀργυροῖς, ἐπὶ στύλοις παρίνοις καὶ λιθίνοις· κλίναι χρυσαῖ καὶ
ἀργυραῖ ἐπὶ λιθοστρώτου σμαραγδίτου λίθου καὶ πιννίνου καὶ
παρίνου λίθου, καὶ στρωμναὶ διαφανεῖς ποικίλως διηνθισμέναι,
7 κύκλῳ ῥόδα πεπασμένα· 7ποτήρια χρυσᾶ καὶ ἀργυρᾶ, καὶ ἀνθράκινον
κυλίκιον προκείμενον ἀπὸ ταλάντων τρισμυρίων· οἶνος πολὺς καὶ
8 ἡδύς, ὃν αὐτὸς ὁ βασιλεὺς ἔπινεν. 8ὁ δὲ πότος οὗτος οὐ κατὰ
προκείμενον νόμον ἐγένετο· οὕτως δὲ ἠθέλησεν ὁ βασιλεύς, καὶ
ἐπέταξεν τοῖς οἰκονόμοις ποιῆσαι τὸ θέλημα αὐτοῦ καὶ τῶν ἀνθρώπων.
9 9καὶ Ἀστὶν ἡ βασίλισσα ἐποίησε πότον ταῖς γυναιξὶν ἐν τοῖς
10 βασιλείοις ὅπου ὁ βασιλεὺς Ἀρταξέρξης. 10ἐν δὲ τῇ ἡμέρᾳ τῇ
ἑβδόμῃ ἡδέως γενόμενος ὁ βασιλεὺς εἶπεν τῷ Ἀμὰν καὶ Μαζὰν καὶ
Θαρρὰ καὶ Βωραζὴ καὶ Ζαθολθὰ καὶ Ἀβαταζὰ καὶ Θαραβά, τοῖς ἑπτὰ
11 εὐνούχοις τοῖς διακόνοις τοῦ βασιλέως Ἀρταξέρξου, 11εἰσαγαγεῖν
τὴν βασίλισσαν πρὸς αὐτόν, βασιλεύειν αὐτὴν καὶ περιθεῖναι
αὐτῇ τὸ διάδημα καὶ δεῖξαι αὐτὴν τοῖς ἄρχουσιν καὶ τοῖς ἔθνεσιν τὸ
12 κάλλος αὐτῆς· ὅτι καλὴ ἦν. 12καὶ οὐκ εἰσήκουσεν αὐτοῦ Ἀστὶν ἡ
βασίλισσα ἐλθεῖν μετὰ τῶν εὐνούχων· καὶ ἐλυπήθη ὁ βασιλεὺς καὶ
13 ὠργίσθη, 13καὶ εἶπεν τοῖς φίλοις αὐτοῦ Κατὰ ταῦτα ἐλάλησεν Ἀστίν,
14 ποιήσατε οὖν περὶ τούτου νόμον καὶ κρίσιν. 14καὶ προσῆλθεν αὐτῷ
Ἀρκεσαῖος καὶ Σαρσαθαῖος καὶ Μαλησεὰρ οἱ ἄρχοντες Περσῶν καὶ
Μήδων οἱ ἐγγὺς τοῦ βασιλέως, οἱ πρῶτοι παρακαθήμενοι τῷ βασιλεῖ,
15 15καὶ ἀπήγγειλαν αὐτῷ κατὰ τοὺς νόμους ὡς δεῖ ποιῆσαι Ἀστὶν τῇ
βασιλίσσῃ, ὅτι οὐκ ἐποίησεν τὰ ὑπὸ τοῦ βασιλέως προσταχθέντα διὰ

6 τεταγμενοις ℵ* (τεταμ. ℵ²) | χρυσαι] χρυσοις ℵ* (-σαι ℵ^c.a) | αργυραι] αρ- ℵA
γυροις ℵ* (-ραις ℵ^c.a) | λιθοστρωτους A | σμαραγδιτου (διτου sup ras B^ab) λιθ. και πιννινου και παρινου λιθου] σμ. λιθου και πινινου λιθου ℵ* σμ. και παρινου λιθου ℵ^c.a σμαραγδου και παρινου και πινινου λιθου A | στρωμναι διαφανεις] στρ. επιφανις ℵ* (-νεις ℵ^c.a) στρωμνης επιφανους A | διηνθεισμενης A | κυκλω] pr και A | ροδα] δορα A | πεπλασμενα ℵ* (πεπασμ. ℵ²) **7** ανθ̣ρακινον ℵ* (-κινον ℵ²) | κυλικινον ℵ* (-κιον ℵ²) | οινος] pr ⸗ ℵ^c.a **8** om ουτος ℵ^c.aA | om ου ℵ* (superscr ℵ^c.a) | εγενετο] εγεινετο A | ουτω ℵ | δε 2°] γαρ A **9** εποιησεν A | Αρταξερξης A **10** ο βασιλευς γενομενος A | Μαζαν] Βαζαν ℵ^c.a Βαζεα A | Θαρρα και Βωραζη] Θαρεβωα (sic) A | Ζαθολθα] Ζηβαθαθα A | Θαραβα] Θαβαζ A | om Αρταξερξου ℵ* (hab ℵ^c.a) **11** περιθειναι αυτη το διαδημα και βασιλευειν αυτην ℵ^c.a | τοις αρχουσιν] pr πασιν ℵ (-σι) A **12** αυτου] αυτων ℵ^c.aA | om Αστιν ℵ* (superscr A. ℵ^c.a) | ελθειν] εισελθειν ℵ* ελθειν κατα το ρημα του βασιλεως ℵ^c.a mg | ελυπηθη] ωργισθη ℵ | ωργισθη] ελυπηθη ℵ+⸗ εξεκαυθη εν αυτω ℵ^c.a mg **13** ειπεν]+ο βασιλευς ℵ^c.aA | αυτου] εαυτου A | ελαλησεν] pr α ℵ* (improb α ℵ²) **14** Αρκεσαος ℵ* (-σαιος ℵ^c.a) | Σαρσαθαιος] Σαρεσθεος A

Β τῶν εὐνούχων. [16]καὶ εἶπεν ὁ Μουχαῖος πρὸς τὸν βασιλέα καὶ τοὺς 16
ἄρχοντας Οὐ τὸν βασιλέα μόνον ἠδίκησεν Ἀστὶν ἡ βασίλισσα, ἀλλὰ
καὶ πάντας τοὺς ἄρχοντας καὶ τοὺς ἡγουμένους τοῦ βασιλέως. [17]καὶ 17
γὰρ διηγήσατο αὐτοῖς τὰ ῥήματα τῆς βασιλίσσης, καὶ ὡς ἀντεῖπεν
τῷ βασιλεῖ. ὡς οὖν ἀντεῖπεν τῷ βασιλεῖ Ἀρταξέρξῃ, [18]οὕτως σήμερον 18
αἱ τυραννίδες αἱ λοιπαὶ τῶν ἀρχόντων Περσῶν καὶ Μήδων ἀκούσασαι
τὰ τῷ βασιλεῖ λεχθέντα ὑπ' αὐτῆς τολμήσουσιν ὁμοίως ἀτιμάσαι τοὺς
ἄνδρας αὐτῶν. [19]εἰ οὖν δοκεῖ τῷ βασιλεῖ, προσταξάτω βασιλικὸν 19
καὶ γραφήτω κατὰ τοὺς νόμους Μήδων καὶ Περσῶν, καὶ μὴ ἄλλως
χρησάσθω, μηδὲ εἰσελθάτω ἔτι ἡ βασίλισσα πρὸς αὐτόν, καὶ τὴν
βασιλείαν αὐτῆς δότω ὁ βασιλεὺς γυναικὶ κρείττονι αὐτῆς. [20]καὶ 20
ἀκουσθήτω ὁ νόμος ὁ ὑπὸ τοῦ βασιλέως ὃν ἐὰν ποιῇ ἐν τῇ βασιλείᾳ
αὐτοῦ· καὶ οὕτως πᾶσαι αἱ γυναῖκες περιθήσουσιν τιμὴν τοῖς ἀνδράσιν
ἑαυτῶν, ἀπὸ πτωχοῦ ἕως πλουσίου. [21]καὶ ἤρεσεν ὁ λόγος τῷ βασιλεῖ 21
καὶ τοῖς ἄρχουσι· καὶ ἐποίησεν ὁ βασιλεὺς καθὰ ἐλάλησεν ὁ Μουχαῖος,
[22]καὶ ἀπέστειλεν εἰς πᾶσαν τὴν βασιλείαν κατὰ χώραν, κατὰ τὴν 22
λέξιν αὐτῶν, ὥστε εἶναι φόβον αὐτοῖς ἐν ταῖς οἰκίαις αὐτῶν.

[1]Καὶ μετὰ τοὺς λόγους τούτους ἐκόπασεν ὁ βασιλεὺς τοῦ θυμοῦ, 1 II
καὶ οὐκέτι ἐμνήσθη τῆς Ἀστίν, μνημονεύων οἷα ἐλάλησεν καὶ ὡς
κατέκρινεν αὐτήν. [2]καὶ εἶπαν οἱ διάκονοι τοῦ βασιλέως Ζητηθήτω 2
τῷ βασιλεῖ κοράσια ἄφθορα καλὰ τῷ εἴδει· [3]καὶ καταστήσει ὁ 3
βασιλεὺς κωμάρχας ἐν πάσαις ταῖς χώραις τῆς βασιλείας αὐτοῦ, καὶ

ℵA **16** Μουχαιος] Μαμουχαιος ℵ$^{c.a}$ | ηδικησεν] ητιμασεν A | Αστιν] pr asterisc ℵ$^{c.a}$ **17** om γαρ ℵ$^{c.a}$A | διηγησατο] επιδιηγησατο ℵ$^{c.a}$ | ως 1^{o}] οσα A | om ως ουν αντειπεν τω βασιλει ℵ* (hab ℵ$^{c.a\,mg}$) | τω β. Αρταξερξη] αυτω A **18** ουτω ℵ om A | σημερον· A | των αρχοντων] pr αι A | ακουσασαι] pr αιτινες ℵ$^{c.a\,mg}$ | λεχθεντα υπ αυτης] υπ αυτης λ. ℵ$^{c.a}$ αχθεντα υπ αυτης A | τολμησωσιν A | αυτων] εαυτων ℵ$^{c.a}$ αυτω A* (-των A$^{a?}$) **19** Περσων κ. Μηδων ℵ$^{c.a}$ | om μη A | εισελθετω ℵ*$^{c.b}$ (-θατω ℵ$^{c.a}$) | ετι] Αστιν ℵ* (ετι ℵ$^{c.a}$) | αυτον] τον βασιλεα Αρταξερξην A | βασιλιαν B* (-λειαν B$^{a\,(vid)\,b}$) | ο βασιλευς δοτω A **20** νομος] λογος ℵ$^{c.a\,mg}$A | om ο υπο A | ον εαν] ο εαν ℵ* ον αν ℵ$^{c.a}$A | αυτου] εαυτου· οτι αληθης A | ουτω ℵ* (ουτως ℵ$^{c.a}$) **21** τω βασιλει και τοις αρχου sup ras B^{ab} | αρχουσιν ℵA | Μουχαιος] ευνουχος ℵ* Μουχεος ℵ$^{c.a}$ Μαμουχεος ℵ$^{c.b}$ **22** απεστειλεν]+ο βασιλευς ℵ$^{c.a\,mg}$A | εις πασαν την βασιλειαν] εν παση τη βασιλεια A | κατα χωραν] εις χωραν και χωραν A | αυτοις φοβον A II **1** ο βασιλευς]+Αρταξερξης ℵ$^{c.a\,(mg)}$ | και ουκετι εμνησθη] εμνησθη γαρ A | μνημονευων...αυτην] καθα εποιησεν και οσα αυτη| κατεκριθη A | ελαλησαν ℵ* (-σεν ℵ$^{c.a}$) | κατεκριναν ℵ* (-νεν ℵ$^{c.a}$) **2** του βασιλεως] προς τον βασιλεα A | αφθορα καλα] αφωρα κ. ℵ* (αφθ. κ. ℵ$^{c.a}$) καλα αφθορα A | ειδει] ειδιν ℵ* (ειδει ℵ$^{c.a}$) **3** ταις χωραις] om ταις ℵ* (superscr ℵ$^{c.a}$) | om αυτου A

ἐπιλεξάτωσαν κοράσια παρθενικὰ καλὰ τῷ εἴδει εἰς Σουσὰν τὴν πόλιν B
εἰς τὸν γυναικῶνα, καὶ παραδοθήτωσαν τῷ εὐνούχῳ τοῦ βασιλέως τῷ
φύλακι τῶν γυναικῶν, καὶ δοθήτω σμῆγμα καὶ ἡ λοιπὴ ἐπιμέλεια·
4 [4]καὶ ἡ γυνὴ ἣ ἂν ἀρέσῃ τῷ βασιλεῖ βασιλεύσει ἀντὶ Ἀστίν. καὶ
ἤρεσεν τῷ βασιλεῖ τὸ πρόσταγμα, καὶ ἐποίησεν οὕτως.
5 [5]Καὶ ἄνθρωπος ἦν Ἰουδαῖος ἐν Σούσοις τῇ πόλει, καὶ ὄνομα
αὐτῷ Μαρδοχαῖος ὁ τοῦ Ἰαείρου τοῦ Σεμεείου τοῦ Κεισαίου ἐκ φυλῆς
6 Βενιαμείν, [6]ὃς ἦν αἰχμάλωτος ἐξ Ἰερουσαλὴμ ἣν ᾐχμαλώτευσε Ναβου-
7 χοδονοσὸρ βασιλεὺς Βαβυλῶνος. [7]καὶ ἦν τούτῳ παῖς θρεπτή,
θυγάτηρ Ἀμιναδὰβ ἀδελφοῦ πατρὸς αὐτοῦ, καὶ ὄνομα αὐτῇ Ἐσθήρ·
ἐν δὲ τῷ μεταλλάξαι αὐτῆς τοὺς γονεῖς ἐπαίδευσεν αὐτὴν ἑαυτῷ εἰς
8 γυναῖκα· καὶ ἦν τὸ κοράσιον καλὸν τῷ εἴδει. [8]καὶ ὅτε ἠκούσθη τὸ
τοῦ βασιλέως πρόσταγμα, συνήχθησαν κοράσια πολλὰ εἰς Σουσὰν
τὴν πόλιν ὑπὸ χεῖρα Γαΐ, καὶ ἤχθη Ἐσθὴρ πρὸς Γαὶ τὸν φύλακα τῶν
9 γυναικῶν. [9]καὶ ἤρεσεν αὐτῷ τὸ κοράσιον, καὶ εὗρεν χάριν ἐνώπιον
αὐτοῦ· καὶ ἔσπευσεν αὐτῇ δοῦναι τὸ σμῆγμα καὶ τὴν μερίδα καὶ
τὰ ἑπτὰ κοράσια τὰ ἀποδεδιγμένα αὐτῇ ἐκ βασιλικοῦ, καὶ ἐχρήσατο
10 αὐτῇ καλῶς καὶ ταῖς ἄβραις αὐτῆς ἐν τῷ γυναικῶνι· [10]καὶ οὐχ ὑπέ-
δειξεν Ἐσθὴρ τὸ γένος αὐτῆς οὐδὲ τὴν πατρίδα· ὁ γὰρ Μαρδοχαῖος
11 ἐνετείλατο αὐτῇ μὴ ἀπαγγεῖλαι. [11]καθ' ἑκάστην δὲ ἡμέραν ὁ Μαρ-
δοχαῖος περιεπάτει κατὰ τὴν αὐλὴν τὴν γυναικείαν, ἐπισκοπῶν τί
12 Ἐσθὴρ συμβήσεται. [12]οὗτος δὲ ἦν καιρὸς κορασίου εἰσελθεῖν πρὸς
τὸν βασιλέα, ὅταν ἀναπληρώσῃ μῆνας ιβ'· οὕτως γὰρ ἀναπλη-
ροῦνται αἱ ἡμέραι τῆς θεραπείας, μῆνας ἓξ ἀλιφόμεναι ἐν σμυρνίνῳ
ἐλαίῳ, καὶ μῆνας ἓξ ἐν τοῖς ἀρώμασιν καὶ ἐν τοῖς σμήγμασιν τῶν
13 γυναικῶν, [13]καὶ τότε εἰσπορεύεται πρὸς τὸν βασιλέα· καὶ ᾧ ἐὰν εἴπῃ,

3 επιλεξατωσαν] επιδειξατωσαν A | κορασια] pr παντα ℵ$^{c.a}$ | παρθενια ℵ* ℵA (-νικα ℵ$^{c.a}$) | σμισμα A*^{vid} σμιγμα A? | επιμελια ℵA **4** η γυνη] om η ℵ* (superscr ℵ$^{c.a}$) | προσταγμα] πραγμα B^{ab}ℵA **5** Ιουδαιος ην A | Ιαειρου] ιατρου A | του Σεμεειου] ο του Σεμειου A **6** ην 2°] ον A **7** Αμιναδαβ ℵA | ονομα] pr το ℵA | αυτη] αυτης ℵA | αυτην]+Μαρδοχαιος ℵ$^{c.a\ (mg)}$ | εαυτω] αυτω A | om εις A | καλον] καλη ℵ | ειδει]+κ ωραιῶ| τη οψει| σφοδρα ℵ$^{c.a\ (mg)}$ **8** om κορασια πολλα εις Σουσαν ℵ* (hab τα κ. π. εις Σ. ℵ$^{c.a\ mg\ inf}$) **9** δωναι B* (δουναι B^{b}) | σμιγμα A | αποδεδειγμενα B$^{b\ (vid)}$ **10** αυτης το γενος Εσθηρ A **11** καθ εκαστην δε] και καθ εκ. A | γυναικειαν ℵA | τι Εσθηρ συμβησεται] τι συμβ. Εσθηρ ℵ$^{c.a}$ τι Αισθηρ συμβαινει A **12** ουτος δε ην] και οταν η A | αναπληρωση] ανεπληρωσεν ℵ$^{c.a}$ αναπληρωθη καιρος κορασια (sic) A | μηνες 1° A | ιβ'] δωδεκα ℵ δεκα δυο A | ουτω ℵ* (-τως ℵ$^{c.a}$) | θεραπιας ℵ | αλιφομεναι BℵA | εν σμυρνινω ελαιω] σμυρινινον ελαιον A | om και εν A | om των γυναικων ℵ (hab ℵ$^{c.a\ mg}$) **13** εαν] αν A

Β παραδώσει αὐτὴν συνεισέρχεσθαι αὐτῷ ἀπὸ τοῦ γυναικῶνος ἕως τῶν βασιλείων. 14 δείλης εἰσπορεύεται, καὶ πρὸς ἡμέραν ἀποτρέχει 14
εἰς τὸν γυναικῶνα τὸν δεύτερον οὗ Γαὶ ὁ εὐνοῦχος τοῦ βασιλέως ὁ
φύλαξ τῶν γυναικῶν, καὶ οὐκέτι εἰσπορεύεται πρὸς τὸν βασιλέα
ἐὰν μὴ κληθῇ ὀνόματι. 15 ἐν δὲ τῷ ἀναπληροῦσθαι τὸν χρόνον Ἐσθὴρ 15
τῆς θυγατρὸς Ἀμιναδὰβ ἀδελφοῦ πατρὸς Μαρδοχαίου εἰσελθεῖν
πρὸς τὸν βασιλέα, οὐδὲν ἠθέτησεν ὧν ἐνετείλατο ὁ εὐνοῦχος ὁ
φύλαξ τῶν γυναικῶν· ἦν γὰρ Ἐσθὴρ εὑρίσκουσα χάριν παρὰ πάντων
τῶν βλεπόντων αὐτήν. 16 καὶ εἰσῆλθεν Ἐσθὴρ πρὸς Ἀρταξέρξην 16
τὸν βασιλέα τῷ δωδεκάτῳ μηνὶ ὅς ἐστιν Ἀδάρ, τῷ ἑβδόμῳ ἔτει τῆς
βασιλείας αὐτοῦ. 17 καὶ ἠράσθη ὁ βασιλεὺς Ἐσθήρ, καὶ εὗρεν χάριν 17
παρὰ πάσας τὰς παρθένους, καὶ ἐπέθηκεν αὐτῇ τὸ διάδημα τὸ γυναι-
κεῖον. 18 καὶ ἐποίησεν ὁ βασιλεὺς πότον μᾶσι τοῖς φίλοις αὐτοῦ 18
καὶ ταῖς δυνάμεσιν ἐπὶ ἡμέρας ἑπτά, καὶ ὕψωσεν τοὺς γάμους Ἐσθήρ,
καὶ ἄφεσιν ἐποίησεν τοῖς ὑπὸ τὴν βασιλείαν αὐτοῦ. 19 ὁ δὲ Μαρδο- 19
χαῖος ἐθεράπευεν ἐν τῇ αὐλῇ. 20 ἡ δὲ Ἐσθὴρ οὐχ ὑπέδειξεν τὴν 20
πατρίδα αὐτῆς· οὕτως γὰρ ἐνετείλατο αὐτῇ Μαρδοχαῖος, φοβεῖσθαι
τὸν θεὸν καὶ ποιεῖν τὰ προστάγματα αὐτοῦ, καθὼς ἦν μετ' αὐτοῦ·
καὶ Ἐσθὴρ οὐ μετήλλαξεν τὴν ἀγωγὴν αὐτῆς. 21 καὶ ἐλυπήθησαν οἱ 21
δύο εὐνοῦχοι τοῦ βασιλέως οἱ ἀρχισωματοφύλακες ὅτι προήχθη
Μαρδοχαῖος, καὶ ἐζήτουν ἀποκτεῖναι Ἀρταξέρξην τὸν βασιλέα.
22 καὶ ἐδηλώθη Μαρδοχαίῳ ὁ λόγος, καὶ ἐσήμανεν Ἐσθήρ, καὶ αὐτὴ 22
ἐνεφάνισεν τῷ βασιλεῖ τὰ τῆς ἐπιβουλῆς. 23 ὁ δὲ βασιλεὺς ἤτασεν 23
τοὺς δύο εὐνούχους καὶ ἐκρέμασεν αὐτούς· καὶ προσέταξεν ὁ βασιλεὺς
καταχωρίσαι εἰς μνημόσυνον ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ ὑπὲρ τῆς
εὐνοίας Μαρδοχαίου ἐν ἐγκωμίῳ.

1 Μετὰ δὲ ταῦτα ἐδόξασεν ὁ βασιλεὺς Ἀρταξέρξης Ἁμὰν Ἀμαδά- 1 III

ℵA **13** αυτω] αυτη ℵ$^{c.a}$ αυτῃ| A **14** ου Γαι ο ευνουχος] ου Γαιος ευν. ℵ* ουσας (sic ut vid σας superscr) Γαι ο ευν. ℵ$^{c.a}$ | ου Τε ο ευν. A | ονομαστι A **15** om της θυγατρος...Μαρδοχαιου ℵ* (hab ℵ$^{c.a\ mg}$) | της θυγατρος] om της A | Αμιναδαβ ℵ$^{c.a}$A | Μαρδοχεου ℵ$^{c.a}$ | εισελθειν] pr του ℵ pr εν τω A | ων] +αυτη ℵA | ενετειλατο] ελεγεν ℵ$^{c.a\ mg}$A | ο φυλαξ] om ο ℵ* (hab ℵ$^{c.a\ vid}$) om ο φυλαξ A | παρα] ενωπιον A | om παντων A **16** Αρταξερξην] pr τον ℵA | δωδεκατω] δεκατω ℵ$^{c.a}$ | Αδαρ] Αδωρ ℵ* Τηβηθ ℵ$^{c.a}$ **17** om αυτη ℵ | γυναικιον ℵ (γυνεκ.) A+αυτη ℵ$^{?\,mg}$ **18** επι] εφ A | εποιησε 2° ℵ **19** εθεραπευσεν A **20** ουτω ℵ* (-τως ℵ$^{c.a}$) | Μαρδοχαιος] pr ο A | μετ αυτου] παρ αυτω ℵ$^{c.a}$ | ου μετηλλαξεν] ουκ ηλλαξεν A **21** ελυπηθησαν]+Βαγαθαν και Θαρας ℵ$^{c.a\ mg\ sup}$ | Μαρδοχαιος] pr ο A **22** ο λογος] om ο A | αυτη] η βασιλισσα A | βασιλει]+Αρταξερξη ℵ$^{c.a\ mg}$A **23** ητασεν] ανητασεν ℵ$^{c.a}$ | om εν 2° A III **1** om δε A | Αρταξεξης B*^{vid} | Αμαν] Αναμ A | Αμαδαθου] Αναμαθαδου A

θου Βουγαῖον, καὶ ὕψωσεν αὐτὸν καὶ ἐπρωτοβάθρει πάντων τῶν φίλων B
2 αὐτοῦ. [2]καὶ πάντες οἱ ἐν τῇ αὐλῇ προσεκύνουν αὐτῷ, οὕτως γὰρ
προσέταξεν ὁ βασιλεὺς ποιῆσαι· ὁ δὲ Μαρδοχαῖος οὐ προσεκύνει
3 αὐτῷ. [3]καὶ ἐλάλησαν οἱ ἐν τῇ αὐλῇ τοῦ βασιλέως τῷ Μαρδοχαίῳ
4 Μαρδοχαῖε, τί παρακούεις τὰ ὑπὸ τοῦ βασιλέως λεγόμενα; [4]καθ' ἑκάσ-
την ἡμέραν ἐλάλουν αὐτῷ, καὶ οὐχ ὑπήκουεν αὐτῶν· καὶ ὑπέδειξαν
τῷ Ἁμὰν Μαρδοχαῖον τοῖς τοῦ βασιλέως λόγοις ἀντιτασσόμενον· καὶ
5 ὑπέδειξεν αὐτοῖς ὁ Μαρδοχαῖος ὅτι Ἰουδαῖός ἐστιν. [5]καὶ ἐπιγνοὺς
6 Ἁμὰν ὅτι οὐ προσκυνεῖ αὐτῷ Μαρδοχαῖος, ἐθυμώθη σφόδρα, [6]καὶ
ἐβουλεύσατο ἀφανίσαι πάντας τοὺς ὑπὸ τὴν Ἀρταξέρξου βασιλείαν
7 Ἰουδαίους. [7]καὶ ἐποίησεν ψήφισμα ἐν ἔτει δωδεκάτῳ τῆς βασιλείας
Ἀρταξέρξου, καὶ ἔβαλεν κλήρους ἡμέραν ἐξ ἡμέρας καὶ μῆνα ἐκ
μηνὸς ὥστε ἀπολέσαι ἐν μιᾷ ἡμέρᾳ τὸ γένος Μαρδοχαίου, καὶ ἔπεσεν
8 ὁ κλῆρος εἰς τὴν τεσσαρεσκαιδεκάτην τοῦ μηνὸς ὅς ἐστιν Ἀδάρ. [8]καὶ
ἐλάλησεν πρὸς τὸν βασιλέα Ἀρταξέρξην λέγων Ὑπάρχει ἔθνος
διεσπαρμένον ἐν τοῖς ἔθνεσιν ἐν πάσῃ τῇ βασιλείᾳ σου, οἱ δὲ νόμοι
αὐτῶν ἔξαλλοι παρὰ πάντα τὰ ἔθνη, τῶν δὲ νόμων τοῦ βασιλέως
9 παρακούουσιν, καὶ οὐ συμφέρει τῷ βασιλεῖ ἐᾶσαι αὐτούς. [9]εἰ δοκεῖ
τῷ βασιλεῖ, δογματισάτω ἀπολέσαι αὐτούς, κἀγὼ διαγράψω εἰς τὸ
10 γαζοφυλάκιον τοῦ βασιλέως ἀργυρίου τάλαντα μύρια. [10]καὶ περιε-
λόμενος ὁ βασιλεὺς τὸν δακτύλιον ἔδωκεν εἰς χεῖρα τῷ Ἁμάν,
11 σφραγίσαι κατὰ τῶν γεγραμμένων κατὰ τῶν Ἰουδαίων. [11]καὶ εἶπεν
ὁ βασιλεὺς τῷ Ἁμάν Τὸ μὲν ἀργύριον ἔχε, τῷ δὲ ἔθνει χρῶ ὡς βούλει.
12 [12]καὶ ἐκλήθησαν οἱ γραμματεῖς τοῦ βασιλέως μηνὶ πρώτῳ τῇ τρισκαι-

2 αυλη]+του βασιλεως $\aleph^{c.a}$ | αυτω 1°] Αμαν A | προσεταξεν] επεταξεν A | ℵA ποιησαι ο βασιλευς ℵ | om ου A **4** ελαλουν] ελεγον $\aleph^{c.a}$A | υπηκουσε $\aleph^{c.a}$A | υπεδειξαν] υπεδιξεν ℵ* (-ξαν $\aleph^{c.a}$) | τοις του βασ. λογοις αντιτασσομενον] μη υπακουοντα τοις του βασ. λογοις A | και υπεδειξεν] υπεδ. γαρ A **5** επιγνους] επεγνω A | ου]+Μαρδοχαιος $\aleph^{c.a\ mg\ (vid)}$ | om Μαρδοχαιος ℵ | εθυμωθη] και εθυμ. Αμαν A **6** εβουλευσατο]+Αμαν $\aleph^{c.a}$ **7** και εποιησεν...Αρταξερξου] ετους δωδεκατου βασιλευοντος Αρτ. ψηφ. εποιησεν A | ψηφισμα]+εν τω μηνι τω πρωτω αυτος ο μην Νισαν: $\aleph^{c.a\ (mg)}$ | εβαλεν] ελαβεν A | om ημεραν εξ A | τεσσαρισκαιδεκ. B^{ab} | ος] ο ℵ **8** διεσπαρμενον] ενδιεσπαρμ. (? εν διεσπ.) $\aleph^{c.a}$ | σου] αυτων ℵ* (σου $\aleph^{c.a}$) | τω βασιλει ου συμφερει A **9** ει δοκει] ει ουν δοκει $\aleph^{c.a\ vid}$ ει δ. ουν A | απολεσαι αυτους] αυτους απολεσαι ℵ απολεσθαι A | διαγραψω] παραστησω επι χειρας| των ποιουντω̄| τα εργα εισ|αγαγειν $\aleph^{c.a\ mg}$ **10** om ο βασιλευς ℵ* vid (hab ℵ? mg) | τον δακτυλιον]+αυτου A | εδωκεν εις χειρα] om εις χ. ℵ* εις χειρας εδωκεν $\aleph^{c.a}$ εδωκεν εις χειρας A | τω Αμαν] om τω A **11** βουλει] saltem β sup ras B^{ab} **12** γραμματις ℵ* (-τεις $\aleph^{c.a}$) | πρωτω]+αυτος ο μην Νισαν ϛ $\aleph^{c.a\ mg\ inf}$ | τη τρισκαιδεκατη]+ημερα αυτου $\aleph^{c.a\ mg}$

B δεκάτῃ, καὶ ἔγραψαν ὡς ἐπέταξεν Ἀμὰν τοῖς στρατηγοῖς καὶ τοῖς
ἄρχουσιν κατὰ πᾶσαν χώραν ἀπὸ Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας, ταῖς
ἑκατὸν εἴκοσι ἑπτὰ χώραις, τοῖς τε ἄρχουσι τῶν ἐθνῶν κατὰ τὴν
αὐτῶν λέξιν, δι' Ἀρταξέρξου τοῦ βασιλέως. [13]καὶ ἀπεστάλη διὰ 13
βιβλιαφόρων εἰς τὴν Ἀρταξέρξου βασιλείαν, ἀφανίσαι τὸ γένος τῶν
Ἰουδαίων ἐν ἡμέρᾳ μιᾷ μηνὸς δωδεκάτου, ὅς ἐστιν Ἀδάρ, καὶ
διαρπάσαι τὰ ὑπάρχοντα αὐτῶν. [1]Τῆς δὲ ἐπιστολῆς ἐστὶν τὸ 1 B (XIII
ἀντίγραφον τόδε Βασιλεὺς μέγας Ἀρταξέρξης τοῖς ἀπὸ τῆς Ἰνδικῆς
ἕως τῆς Αἰθιοπίας ἑκατὸν εἴκοσι ἑπτὰ χωρῶν ἄρχουσι καὶ τοπάρ-
χαις ὑποτεταγμένοις τάδε γράφει. [2]πολλῶν ἐπάρξας ἐθνῶν καὶ 2
πάσης ἐπικρατήσας οἰκουμένης, ἐβουλήθην, μὴ τῷ θράσει τῆς ἐξου-
σίας ἐπαιρόμενος ἐπιεικέστερον δὲ καὶ μετὰ ἠπιότητος ἀεὶ διεξάγων,
τοὺς τῶν ὑποτεταγμένων ἀκυμάτους διὰ παντὸς καταστῆσαι βίους,
τήν τε βασιλείαν ἥμερον καὶ πορευτὴν μέχρι περάτων παρεξόμενος
ἀνανεώσασθαί τε τὴν ποθουμένην τοῖς πᾶσιν ἀνθρώποις εἰρήνην.
[3]πυθομένου δέ μου τῶν συμβούλων πῶς ἂν ἀχθεία τοῦτο ἐπὶ πέρας, 3
σωφροσύνῃ παρ' ἡμῖν διενέγκας καὶ ἐν τῇ εὐνοίᾳ ἀπαραλλάκτως
καὶ βεβαίᾳ πίστει ἀποδεδιγμένος καὶ δεύτερον τῶν βασιλειῶν γέρας
ἀπενηνεγμένος Ἀμὰν [4]ἐπέδειξεν ἡμῖν, ἐν πάσαις ταῖς κατὰ τὴν 4
οἰκουμένην φυλαῖς ἀναμείχθαι δυσμενῆ λαόν τινα, τοῖς νόμοις
ἀντίθετον πρὸς πᾶν ἔθνος, τά τε τῶν βασιλέων παραπέμποντας
διηνεκῶς προστάγματα, πρὸς τὸ μὴ κατατίθεσθαι τὴν ὑφ' ἡμῶν
κατευθυνομένην ἀμέμπτως συναρχίαν. [5]διειληφότες οὖν τόδε τὸ 5

ℵA **12** εγραψαν] εγραψεν ℵ εγραφησαν A | επεταξεν] προσεταξεν A | αρχουσιν κατα] αρχουσιν κα sup ras A^a | αρχουσι (1°) ℵ | χωραν]+ῆ χωραν $ℵ^{c.a}$ | Ινδικης] pr της A | ταις εκατον] om ταις A | επτα] pr και A | αυτων] εαυτων $ℵ^{c.a}$ | λεξιν δι sup ras A^a | λεξιν B$ℵ^{*\,c.b}$A] ληξιν $ℵ^{c.a}$ | Αταρξερξου A* **13** βιβλιοφορων $ℵ^{c.a}$ | Αρταρξερξου A | βασιλιαν ℵ | Ιουδαιων] +απο νεανισκου $ℵ^{c.a\,(mg)}$ | ος] ο ℵ | τα υπαρχοντα] pr ῆ $ℵ^{c.a}$ **B 1** επιστολης] π sup ras $A^{a?}$ | το αντιγραφον] om το ℵ* (supersc $ℵ^{c.a}$) | Αρταρξερξης A* (ras ρ $A^?$) | επτα] pr και A **1—2** και τοπαρχαις...υποτεταγμενων ακυ sup ras et infr lineas A^a (om και πασης...επαιρομενος A*vid) **2** οικουμενης] pr της A^a | επαιρομενος επιεικεστερον δε] επιεικ. επαιρ. A^a | ηπιοτητος] πραοτητος $ℵ^{c.a}$ πιοτητος A | ακυμαντους B^{ab} | ημερον] ηρεμον A | μεχρι] αχρι A | τοις πασιν] παρα π. A **3** πυθομενου] πυνθανομενου $ℵ^{c.a}$A | σωφροσυνη παρ ημιν] σωφροσυνης ο παρ υμιν A | βεβαια αποδεδ. πιστει ℵ | αποδεδειγμενος $B^{ab\,(vid)}$A | βασιλεων ℵ* (-λειων $ℵ^{c.a}$) A | απενηνεγμενος] απενεγκαμενος A **4** επεδειξεν (-διξ. ℵ)] υπεδ. $ℵ^{c.a}$A | om εν πασαις ℵ* (hab $ℵ^{c.a\,mg}$) | ανεμεμιχθε ℵ* (αναμεμ. $ℵ^{c.a}$) | αντιθετον] αντιτυπον ℵA | παραπεμποντες ℵ* (-τας $ℵ^{c.a}$) | προσταγματα $B^{*\,vid}$] διαταγματα B^{ab} (δια sup ras) ℵA | κα|κατευθυνομενην A | συναρχειαν ℵA **5** το εθνος] om το A

ἔθνος μονώτατον ἐν ἀντιπαραγωγῇ παντὶ διὰ παντὸς ἀνθρώπῳ B
κείμενον, διαγωγὴν νόμων ξενίζουσαν παραλλάσσον, καὶ δυσνοοῦν
τοῖς ἡμετέροις πράγμασιν τὰ χείριστα συντελοῦν κακὰ καὶ πρὸς τὸ
6 μὴ τὴν βασιλείαν εὐσταθίας τυγχάνειν. 6προστετάχαμεν οὖν τοὺς
σημαινομένους ὑμῖν ἐν τοῖς γεγραμμένοις ὑπὸ Ἀμὰν τοῦ τεταγμένου
ἐπὶ τῶν πραγμάτων καὶ δευτέρου πατρὸς ἡμῶν, πάντας σὺν γυναιξὶ
καὶ τέκνοις ἀπολέσαι ὁλορριζεὶ ταῖς τῶν ἐχθρῶν μαχαίραις ἄνευ
παντὸς οἴκτου καὶ φειδοῦς τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ δωδεκάτου
7 μηνὸς Ἀδὰρ τοῦ ἐνεστῶτος ἔτους, 7ὅπως οἱ πάλαι καὶ νῦν δυσμενεῖς
ἐν ἡμέρᾳ μιᾷ βιαίως εἰς τὸν ᾅδην κατελθόντες εἰς τὸν μετέπειτα
χρόνον εὐσταθῆ καὶ ἀτάραχα παρέχωσιν ἡμῖν διὰ τέλους τὰ πρά-
III 14 γματα. 14τὰ δὲ ἀντίγραφα τῶν ἐπιστολῶν ἐξετίθετο κατὰ χώραν·
καὶ προσετάγη πᾶσι τοῖς ἔθνεσιν ἑτοίμους εἶναι εἰς τὴν ἡμέραν
15 ταύτην. 15ἐσπεύδετο δὲ τὸ πρᾶγμα καὶ εἰς Σουσάν· ὁ δὲ βασιλεὺς
καὶ Ἀμὰν ἐκωθωνίζοντο, ἐταράσσετο δὲ ἡ πόλις.

IV 1 1Ὁ δὲ Μαρδοχαῖος ἐπιγνοὺς τὸ συντελούμενον διέρρηξεν τὰ ἱμά-
τια ἑαυτοῦ, καὶ ἐνεδύσατο σάκκον καὶ κατεπάσατο σποδόν, καὶ ἐκπη-
δήσας διὰ τῆς πλατείας τῆς πόλεως ἐβόα φωνῇ μεγάλῃ Αἴρεται ἔθνος
2 μηδὲν ἠδικηκός. 2καὶ ἦλθεν ἕως τῆς πύλης τοῦ βασιλέως, καὶ ἔστη·
οὐ γὰρ ἦν ἐξὸν αὐτῷ εἰσελθεῖν εἰς τὴν αὐλὴν σάκκον ἔχοντι καὶ
3 σποδόν. 3καὶ ἐν πάσῃ χώρᾳ οὗ ἐξετίθετο τὰ γράμματα κραυγὴ
καὶ κοπετὸς καὶ πένθος μέγα τοῖς Ἰουδαίοις, σάκκον καὶ σποδὸν
4 ἔστρωσαν ἑαυτοῖς. 4καὶ εἰσῆλθον αἱ ἅβραι καὶ οἱ εὐνοῦχοι τῆς βασι-

5 εν αντιπαραγωγη BℵC* c.b (vid) A] εναντια παραγωγη ℵc.a | ανθρωπων ℵ* ℵA (-πω ℵc.a) αν̄ου A | κεινουμενον ℵ* (κειμενον ℵ?) | ξενιζουσα ℵ* (-σαν ℵc.a)] pr ras 1 lit A | παραλλασσον (παραλασσον B* παραλλ. Bb vid)] παραλλασσων ℵ* παραλλαξιν ℵc.a A | δυσνοη A | πραγμα ℵ* (πραγμασιν ℵc.a) | χειριστα] χειραι|στα ℵ* (χειριστα ℵ?) χεριστα Avid | om και 2° ℵ* (superscr ℵ?) | ευσταθειας Bab (vid) **6** om ουν ℵc.a | πραγματων] πραγμ. sup ras et in mg Bab | παντα ℵ* (-τας ℵc.a) | γυναιξιν A | ολοριζει ℵA | εχθρων] εθνων A | μαχαιραις] μαχαις A | οικτρου ℵ* (-του ℵc.a) | φιδω ℵ* (-δους ℵc.a) | τεσσαρι-σκαιδεκ. Bab | om δωδεκατου ℵ* (hab ℵc.a mg) **7** βια βιαιως ℵ* (om βια ℵ?) | om εις 1° A | αταραχον ℵ* (-χα ℵc.a) | παρεχουσιν A | πραγματα] προσ-ταγματα A III **14** χωραν]+ℵ χωραν ℵc.a | πασι τοις εθνεσιν] τοις εθνεσιν πασιν A **15** εις Σουσαν] εν Σουσοις A | εκωθωνιζοντο] adnot εμε-θύσκοντω (sic)· κώθων γὰρ· εἶδος ποτηρίου Ba mg inf IV **1** εαυτου] αυτου ℵA | πλατιας ℵ | αιρεται (-τε A)] ερειται ℵ* (ερεται ℵ?) | ηδικηκος]+πικρα ℵc.a (mg) **2** πυλης] αυλης A | αυτω εξον A | αυλην] πυλην ℵc.a mg | εχοντα A **3** χωρα]+ℵ τοπω ℵc.a (mg) | τα γραμματα] incep το ℵ* το προσταγμα του βασιλεως ℵc.a mg | κοπετος]+ην A | σακκον] pr και A | εστρω-σαν] υπεστρωσαν ℵc.a **4** εισηλθοσαν ℵ

Β λίσσης καὶ ἀνήγγειλαν αὐτῇ· καὶ ἐταράχθη ἀκούσασα τὸ γεγονός,
καὶ ἀπέστειλεν στολίσαι τὸν Μαρδοχαῖον καὶ ἀφελέσθαι αὐτοῦ τὸν
σάκκον· ὁ δὲ οὐκ ἐπείσθη. 5ἡ δὲ Ἐσθὴρ προσεκαλέσατο Ἀχραθαῖον 5
τὸν εὐνοῦχον αὐτῆς, ὃς παριστήκει αὐτῇ, καὶ ἀπέστειλεν μαθεῖν αὐτῇ
παρὰ τοῦ Μαρδοχαίου τὸ ἀκριβές. 7ὁ δὲ Μαρδοχαῖος ὑπέδειξεν αὐτῷ 7
τὸ γεγονὸς καὶ τὴν ἐπαγγελίαν ἣν ἐπηγγείλατο Ἀμὰν τῷ βασιλεῖ εἰς
τὴν γάζαν μυρίων ταλάντων, ἵνα ἀπολέσῃ τοὺς Ἰουδαίους. 8καὶ τὸ 8
ἀντίγραφον τὸ ἐν Σούσοις ἐκτεθὲν ὑπὲρ τοῦ ἀπολέσθαι αὐτοὺς ἔδωκεν
αὐτῷ δεῖξαι τῇ Ἐσθήρ· καὶ εἶπεν αὐτῷ ἐντείλασθαι αὐτῇ εἰσελθούσῃ
παραιτήσασθαι τὸν βασιλέα καὶ ἀξιῶσαι αὐτὸν περὶ τοῦ λαοῦ, μνη-
σθεῖσα ἡμερῶν ταπεινώσεώς σου ὡς ἐτράφης ἐν χειρί μου, διότι Ἀμὰν
ὁ δευτερεύων τῷ βασιλεῖ ἐλάλησεν καθ' ἡμῶν εἰς θάνατον· ἐπικά-
λεσαι τὸν κύριον καὶ λάλησον τῷ βασιλεῖ περὶ ἡμῶν καὶ ῥῦσαι ἡμᾶς
ἐκ θανάτου. 9εἰσελθὼν δὲ ὁ Ἀχραθαῖος ἐλάλησεν αὐτῇ πάντας τοὺς 9
λόγους τούτους. 10εἶπεν δὲ Ἐσθὴρ πρὸς Ἀχραθαῖον Πορεύθητι πρὸς 10
Μαρδοχαῖον καὶ εἰπὸν 11ὅτι Τὰ ἔθνη πάντα τῆς βασιλείας γινώσκει, 11
ὅτι πᾶς ἄνθρωπος ἢ γυνὴ ὃς εἰσελεύσεται πρὸς τὸν βασιλέα εἰς τὴν
αὐλὴν τὴν ἐσωτέραν ἄκλητος, οὐκ ἔστιν αὐτῷ σωτηρία· πλὴν ᾧ
ἐκτείνει ὁ βασιλεὺς τὴν χρυσῆν ῥάβδον, οὗτος σωθήσεται· κἀγὼ οὐ
κέκλημαι εἰσελθεῖν πρὸς τὸν βασιλέα, εἰσὶν αὗται ἡμέραι τριάκοντα.
12καὶ ἀπήγγειλεν Ἀχραθαῖος Μαρδοχαίῳ πάντας τοὺς λόγους Ἐσθήρ. 12
13καὶ εἶπεν Μαρδοχαῖος πρὸς Ἀχραθαῖον Πορεύθητι καὶ εἰπὸν αὐτῇ 13
Ἐσθήρ, μὴ εἴπῃς σεαυτῇ ὅτι σωθήσῃ μόνη ἐν τῇ βασιλείᾳ παρὰ
πάντας τοὺς Ἰουδαίους· 14ὡς ὅτι ἐὰν παρακούσῃς ἐν τούτῳ τῷ καιρῷ, 14

ℵA **4** γενος ℵ* (γεγονος ℵc.a) | τον Μαρδοχαιον] om τον A | αυτου] pr απ ℵc.a | επεισθη (επισθη ℵ*)] ετιθει ℵc.a ετιθη A **5** Αχραθεον A | παρειστηκει Ba (vid) A | αυτη 2° Bℵ* c.b] αυτον ℵc.a A | το ακριβες] + εις την πλατειαν της πολεως η εστιν κατα προσωπον της πυλης της πολεως ℵc.a mg + επι την πλατειαν προς τη (τη A* τα sup ras Aa) βασιλεα (sic) A **7** το γεγονος] pr συνπαν ℵc.a mg | επαγγελιαν] + του αργυριου ℵc.a mg | τω βασιλει...ταλαντων] παραστησαι εις την γαζαν τω βασιλει ταλαντων μυριων ℵc.a | την γαζαν] om την A | ταλαντων μυριων A **8** αντιγραφον] adnot γραμμα το (ras το ℵc.b) του δογματος ℵc.a mg inf | το εν] om το A | εισελθουσαν A | λαου] + και της πατριδος ℵc.a mg A | μνησθεισα] μνησθις αφ ℵ* (μνησθισα ℵc.a) | ετραφης] εστραφης A | διοτι] δια τι A | δευτερεων ℵ* (-ρευων ℵc.a) | τον κυριον] κν A **9** ο Αχθραθαιος ℵ* (Αχραθ. ℵ?) Αχθραθαιος A | αυτη] Εσθηρ ℵ* A τη Εσθ. ℵc.a **11** παντα τα εθνη A | βασιλειας] + κ λαος επαρχιων του βασιλεως ℵc.a mg | γιγνωσκει A | η] και A | εσωτεραν] εντοτεραν A | ω] σ vel fort ε incep ℵ* vid | εκτεινει] + αυτω ℵc.a | ουτος] αυτος A | καγω] και εγω A | ου κεκλημαι] ουκ εκληρωθην A | ελθειν ℵ* (εισελθ. ℵc.a) **12** Αρχαθαιος A **13** om προς Αχραθαιον A | Αχθραθαιον ℵ | σωθηση] σωθησομαι ℵc.a A | παρα] υπερ A **14** om ως A | παρακουσης] pr παρακουουσα ℵc.a mg

ἄλλοθεν βοήθεια καὶ σκέπη ἔσται τοῖς Ἰουδαίοις· σὺ δὲ καὶ ὁ οἶκος B
τοῦ πατρός σου ἀπολεῖσθε. καὶ τίς οἶδεν εἰ εἰς τὸν καιρὸν τοῦτον
15 ἐβασίλευσας; [15]καὶ ἐξαπέστειλεν Ἐσθὴρ τὸν ἥκοντα πρὸς αὐτὴν
16 πρὸς Μαρδοχαῖον λέγουσα [16]Βαδίσας ἐκκλησίασον τοὺς Ἰουδαίους
τοὺς ἐν Σούσοις, καὶ νηστεύσατε ἐπ' ἐμοί, καὶ μὴ φάγητε μηδὲ
πίητε ἐπὶ ἡμέρας τρεῖς νύκτα καὶ ἡμέραν· κἀγὼ δὲ καὶ αἱ ἅβραι
μου ἀσιτήσομεν· καὶ τότε εἰσελεύσομαι πρὸς τὸν βασιλέα παρὰ τὸν
17 νόμον, ἐὰν καὶ ἀπολέσθαι με ᾖ. [17]Καὶ βαδίσας Μαρδοχαῖος
(XIII) (8) C 1 ἐποίησεν ὅσα ἐνετείλατο αὐτῷ Ἐσθήρ· [1]καὶ ἐδεήθη Κυρίου,
(9) 2 μνημονεύων πάντα τὰ ἔργα Κυρίου, [2]καὶ εἶπεν Κύριε, κύριε
βασιλεῦ πάντων κρατῶν, ὅτι ἐν ἐξουσίᾳ σου τὸ πᾶν ἐστιν,
καὶ οὐκ ἔστιν ὁ ἀντιδοξῶν σοι ἐν τῷ θέλειν σε σῶσαι τὸν
(10) 3 Ἰσραήλ· [3]ὅτι σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πᾶν
(11) 4 θαυμαζόμενον ἐν τῇ ὑπ' οὐρανόν, [4]καὶ κύριος εἶ πάντων, καὶ
(12) 5 οὐκ ἔστιν ὃς ἀντιτάξεταί σοι τῷ κυρίῳ· [5]σὺ πάντα γινώσκεις,
σὺ οἶδας, Κύριε, ὅτι οὐκ ἐν ὕβρει οὐδὲ ἐν ὑπερηφανείᾳ οὐδὲ ἐν
φιλοδοξίᾳ ἐποίησα τοῦτο, τὸ μὴ προσκυνεῖν τὸν ὑπερήφανον
(13) 6 Ἀμάν. [6]ὅτι ἠὐδόκουν φιλεῖν πέλματα ποδῶν αὐτοῦ πρὸς σω-
(14) 7 τηρίαν Ἰσραήλ, [7]ἀλλὰ ἐποίησα τοῦτο ἵνα μὴ θῶ δόξαν ἀνθρώ-
που ὑπεράνω δόξης θεοῦ· καὶ οὐ προσκυνήσω οὐδένα πλὴν
(15) 8 σοῦ τοῦ κυρίου μου, καὶ οὐ ποιήσω αὐτὰ ἐν ὑπερηφανίᾳ. [8]καὶ
νῦν, Κύριε ὁ θεὸς ὁ βασιλεὺς ὁ θεὸς Ἀβραάμ, φείσαι τοῦ λαοῦ
σου, ὅτι ἐπιβλέπουσιν ἡμῖν εἰς καταφθορὰν καὶ ἐπεθύμησαν
(16) 9 ἀπολέσαι τὴν ἐξ ἀρχῆς κληρονομίαν σου· [9]μὴ ὑπερίδῃς τὴν
(17) 10 μερίδα σου ἣν σεαυτῷ ἐλυτρώσω ἐκ γῆς Αἰγύπτου· [10]ἐπά-
κουσον τῆς δεήσεώς μου καὶ ἱλάσθητι τῷ κλήρῳ σου, καὶ
στρέψον τὸ πένθος ἡμῶν εἰς εὐωχίαν, ἵνα ζῶντες ὑμνῶμέν
σου τὸ ὄνομα, Κύριε, καὶ μὴ ἀφανίσῃς στόμα αἰνούντων σοι.

14 αλλοθεν] + δε A | ει] η ℵ om A **15** εξαπεστειλεν Εσθηρ] ειπεν Εσθηρ ℵA εξαποστειλαι παλιν A | ηκοντα] εικοτα ℵ* (ηκοντα ℵ^c.a) | om προς αυτην A **16** εκκλησιασον] + μοι παντας ℵ^c.a | Ιουδαιους] pr ανδρας ℵ* (om ανδρ. ℵ^a.c) | επι] εφ A | καγω] και εγω A | ασιτησομεν] + ουτως ℵ^c.a | με η BℵA^vid **17** οσα] pr κατα παντα ℵ^c.a mg inf **C 1** εδεηθη] pr Μαρδοχαιος ℵ^c.a (-χαος) A | Κυριου bis] pr του ℵ^c.a **2** Κυριε 1°] + θε A | παντων κρατων] παντοκρατωρ ℵ^c.a | om και ουκ ℵ* vid (hab ℵ^c.a mgg) **4** om και 1° A | αντιτασσεται ℵ* (-ταξ. ℵ^c.a) **5** γιγνωσκεις A | υπερηφανια ℵA **6** ευδοκουν ℵA **7** ανθρωπου] ανθρωπων ℵ* (-πω ℵ^c.a) | υπερανω̄ A | θεου] + μου ℵ^c.a A | ουθενα A **8** om ο θεος 1° ℵA | ο βασιλευς] βασιλευ ℵ^c.a A | απολεσαι] απολεσθαι A **9** υπερειδης A **10** σου το ονομα] το ονομα σου A | στομα] το αιμα ℵ* (στ. ℵ^c.a) το στομα A

B [11]καὶ πᾶς Ἰσραὴλ ἐκέκραξαν ἐξ ἰσχύος αὐτῶν, ὅτι θάνατος 11 (18)
αὐτῶν ἐν ὀφθαλμοῖς αὐτῶν. [12]Καὶ Ἐσθὴρ ἡ βασίλισσα 12 (1) (XIV)
κατέφυγεν ἐπὶ τὸν κύριον ἐν ἀγῶνι θανάτου κατειλημμένη, [13]καὶ 13 (2)
ἀφελομένη τὰ ἱμάτια τῆς δόξης αὐτῆς ἐνεδύσατο ἱμάτια στενο-
χωρίας καὶ πένθους, καὶ ἀντὶ τῶν ὑπερηφάνων ἡδυσμάτων
σποδοῦ καὶ κοπριῶν ἔπλησεν τὴν κεφαλήν· καὶ τὸ σῶμα
ἐταπείνωσεν σφόδρα, καὶ πάντα τόπον κόσμου ἀγαλλιά-
ματος αὐτῆς ἔπλησεν στρεπτῶν τριχῶν αὐτῆς· [14]καὶ ἐδεῖτο 14 (3)
Κυρίου θεοῦ Ἰσραὴλ καὶ εἶπεν Κύριέ μου, ὁ βασιλεὺς ἡμῶν,
σὺ εἶ μόνος· βοήθησόν μοι τῇ μόνῃ καὶ μὴ ἐχούσῃ βοηθὸν εἰ
μὴ σέ, [15]ὅτι κίνδυνός μου ἐν χειρί μου. [16]ἐγὼ ἤκουον ἐκ 15 (4)
γενετῆς μου ἐν φυλῇ πατριᾶς μου, ὅτι σύ, Κύριε, ἔλαβες τὸν 16 (5)
Ἰσραὴλ ἐκ πάντων τῶν ἐθνῶν καὶ τοὺς πατέρας ἡμῶν ἐκ πάν-
των τῶν προγόνων αὐτῶν εἰς κληρονομίαν αἰώνιον, καὶ ἐποί-
ησας αὐτοῖς ὅσα ἐλάλησας. [17]καὶ νῦν ἡμάρτομεν ἐνώπιόν σου, 17 (6)
καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας τῶν ἐχθρῶν ἡμῶν· [18]ἀνθ' ὧν 18 (7)
ἐδοξάσαμεν τοὺς θεοὺς αὐτῶν. δίκαιος εἶ, Κύριε· [19]καὶ νῦν 19 (8)
οὐχ ἱκανώθησαν ἐν πικρασμῷ δουλείας ἡμῶν, ἀλλὰ ἔθηκαν τὰς
χεῖρας αὐτῶν, [20]ἐξᾶραι ὁρισμὸν στόματός σου καὶ ἀφανίσαι κλη- 20 (9)
ρονομίαν σου, καὶ ἐμφράξαι στόμα αἰνούντων σοι καὶ σβέσαι
δόξαν οἴκου σου καὶ θυσιαστήριόν σου, [21]καὶ ἀνοῖξαι στόμα 21 (10)
ἐθνῶν εἰς ἀρετὰς ματαίων καὶ θαυμασθῆναι βασιλέα σάρκινον
εἰς αἰῶνα. [22]μὴ παραδῷς, Κύριε, τὸ σκῆπτρόν σου τοῖς μὴ 22 (11)
οὖσιν, καὶ μὴ καταγελασάτωσαν ἐν τῇ πτώσει ἡμῶν, ἀλλὰ
στρέψον τὴν βουλὴν αὐτῶν ἐπ' αὐτούς· τὸν δὲ ἀρξάμενον
ἐφ' ἡμᾶς παραδειγμάτισον. [23]μνήσθητι, Κύριε, γνώσθητι ἐν 23 (12)
καιρῷ θλίψεως ἡμῶν, καὶ ἐμὲ θάρσυνον, βασιλεῦ τῶν θεῶν

ℵA **11** εκεκραξαν] εκραξεν ℵ εκεκραξεν A | θανατος] pr ο A **12** θανατου] ο sup ras A^a | κατειλημμενη] κατιλιμμενη ℵ κατηλιμμενη A **13** κεφαλην] om $B^{*\,vid}$ (hab $B^{a\,(ing)}$) + αυτης ℵA | σωμα] + αυτης ℵA | κοσμου αγαλλιαματος ...αυτης (2°)] αγαλλιαματος αυτης κοσμου επληρωσεν στρεπτων τριχων αυ sup ras A^a **14** εδειτο] εδεετο A | Κυριε] + ο θς̄ A **15** χειρι] pr τη A **16** εκ γενετης...πατριας] κε̄ του πρς̄ A | εν φυλη] εκ φυλης ℵ | ελαλησας] + αυτοις ℵA **17** και νυν] οτι A | ημαρτομεν] ημαρτηκαμεν A **19** εν πικρασμω] τω πικρ. A | δουλιας ℵ | αυτων] pr των ειδωλων ℵ* pr αυτων επι τας χειρας των ειδ. $ℵ^{c.a\ mg}$ **20** εμφραξαι] ενφραξη A | στομα] στοματα ℵ | αινουντων] υμνουντων A | σου 4°] σοι A **21** ανοιξαι στομα] ι 2° et σ sup ras A^a | εθνων εις α sup ras $B^{1?ab}$ **22** σου] + κε̄ ℵ | ουσι ℵ | καταγελασατωσαν] γελασατωσαν A | αυτων] αυτου ℵ* (-των $ℵ^{c.a}$) | αυτους] αυτοις ℵ* (-τους $ℵ^{c.a}$) | παραδειγματισον B^{ab}A

(13) 24 καὶ πάσης ἀρχῆς ἐπικρατῶν· 24δὸς λόγον εὔρυθμον εἰς τὸ στόμα B
μου ἐνώπιον τοῦ λέοντος, καὶ μετάθες τὴν καρδίαν αὐτοῦ εἰς
μῖσος τοῦ πολεμοῦντος ἡμᾶς, εἰς συντέλειαν αὐτοῦ καὶ τῶν
(14) 25 ὁμονοούντων αὐτῷ· 25ἡμᾶς δὲ ῥῦσαι ἐν χειρί σου, καὶ βοή-
θησόν μοι τῇ μόνῃ καὶ μὴ ἐχούσῃ εἰ μὴ σέ, Κύριε. πάντων
(15) 26 γνῶσιν ἔχεις, 26καὶ οἶδας ὅτι ἐμίσησα δόξαν ἀνόμων, καὶ βδε-
(16) 27 λύσσομαι κοίτην ἀπεριτμήτων καὶ παντὸς ἀλλοτρίου. 27σὺ
οἶδας τὴν ἀνάγκην μου, ὅτι βδελύσσομαι τὸ σημεῖον τῆς
ὑπερηφανίας μου ὃ ἐστιν ἐπὶ τῆς κεφαλῆς μου ἐν ἡμέραις
ὀπτασίας μου· βδελύσσομαι αὐτὸ ὡς ῥάκος καταμηνίων, καὶ
(17) 28 οὐ φορῶ αὐτὸ ἐν ἡμέραις ἡσυχίας μου. 28καὶ οὐκ ἔφαγεν ἡ
δούλη σου τράπεζαν Ἀμάν, καὶ οὐκ ἐδόξασα συμπόσιον βασι-
(18) 29 λέως, οὐδὲ ἔπιον οἶνον σπονδῶν· 29καὶ οὐκ ηὐφράνθη ἡ δούλη
σου ἀφ' ἡμέρας μεταβολῆς μου μέχρι νῦν πλὴν ἐπὶ σοί, Κύριε
(19) 30 ὁ θεὸς Ἀβραάμ. 30ὁ θεὸς ὁ ἰσχύων ἐπὶ πάντας, εἰσάκουσον
φωνὴν ἀπηλπισμένων καὶ ῥῦσαι ἡμᾶς ἐκ χειρὸς τῶν πονη-
ρευομένων, καὶ ῥῦσαί με ἐκ τοῦ φόβου μου.

(XV) (4) D 1 1Καὶ ἐγενήθη ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ὡς ἐπαύσατο προσευ-
χομένη, ἐξεδύσατο τὰ ἱμάτια τῆς θεραπείας καὶ περιεβάλετο
(5) 2 τὴν δόξαν αὐτῆς· 2καὶ γενηθεῖσα ἐπιφανής, ἐπικαλεσαμένη
τὸν πάντων ἐπόπτην θεὸν καὶ σωτῆρα, παρέλαβεν τὰς δύο
(6) 3 ἅβρας, 3καὶ τῇ μὲν μιᾷ ἐπηρείδετο ὡς τρυφερευομένη, 4ἡ δὲ
(7) 4
(8) 5 ἑτέρα ἐπηκολούθει κουφίζουσα τὴν ἔνδυσιν αὐτῆς· 5καὶ αὐτὴ
ἐρυθριῶσα ἀκμῇ κάλλους αὐτῆς, καὶ τὸ πρόσωπον αὐτῆς ἱλα-
ρὸν ὡς προσφιλές, ἡ δὲ καρδία αὐτῆς ἀπεστενωμένη ἀπὸ τοῦ
(9) 6 φόβου. 6καὶ εἰσελθοῦσα πάσας τὰς θύρας κατέστη ἐνώπιον
τοῦ βασιλέως· καὶ αὐτὸς ἐκάθητο ἐπὶ τοῦ θρόνου τῆς βασι-
λείας αὐτοῦ, καὶ πᾶσαν στολὴν τῆς ἐπιφανείας αὐτοῦ ἐνεδε-

23 αρχην ℵ* (-χης ℵc.a) **24** αυτου bis] αυτων ℵ* (-του ℵc.a) **25** εχου- ℵA
ση]+ βοηθον A | σε| κε· B* fort σε·| κε B^{2} **26—27** om κοιτην...βδελυσσο-
μαι (2°) A **27** το σημειον] pr κοι|την απεριτμητω| ℵ* (unc incl ℵ^{2}) | om μου
2° A | ημερα A | καταμηνιαιων ℵ | φορω] φ sup ras A^{a} (χορ. A* vid) | αυτο 2°]
ο sup ras A^{a} **28** επινον ℵ **29** ευφρανθη ℵA | om μου ℵ* (superscr
ℵc.a) **30** φωνης ℵc.a A | αφηλπισμενων ℵ | με] η incep ℵ* (improb η ℵ^{2})
D 1 θεραπιας ℵA **2** γενηθεισα] εγενηθη ℵ* (γενηθ. ℵc.a) | παρελαβεν]
παρελαβετο ℵ | τας δυο] om τας ℵA **3** επηρειδετο (επηριδ. ℵ)] επερειδετο
B$^{a\,1\,b}$A (επεριδ.) **4** επηκολουθει] θ ex δ fec ut vid A^{1} | κουφισα ℵ*
(-φιζουσα ℵ^{2}) **5** ακμη] pr ως ℵ* pr εν ℵc.a | ιλαρον αυτης ℵ | προφιλες ℵ*
(προσφ. ℵc.a) **6** om πασας ℵ* (hab ℵc.a) | κατεστη] εστη ℵc.a A | ενωπιον]
κατενωπιον ℵc.a | βασιλιας ℵ | πασαν στολην] πασαν την στ. ℵc.a την στ. A |
επιφανιας ℵA | ενεδεδυκει ℵ*] εν|δυκει B* (εν|δυκει B^{2}) ενδεδυκει ℵc.a A

B δύκει, ὅλος διὰ χρυσοῦ καὶ λίθων πολυτελῶν, καὶ ἦν φοβερὸς σφόδρα. 7καὶ ἄρας τὸ πρόσωπον αὐτοῦ πεπυρωμένον δόξῃ 7 (10)
ἐν ἀκμῇ θυμοῦ ἔβλεψεν· καὶ ἔπεσεν ἡ βασίλισσα καὶ μετέβαλε
τὸ χρῶμα αὐτῆς ἐν ἐκλύσει, καὶ κατεπέκυψεν ἐπὶ τὴν κεφα-
λὴν τῆς ἅβρας τῆς προπορευομένης. 8καὶ μετέβαλεν ὁ θεὸς 8 (11)
τὸ πνεῦμα τοῦ βασιλέως εἰς πραΰτητα, καὶ ἀγωνιάσας ἀνεπή-
δησεν ἀπὸ τοῦ θρόνου αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὴν ἐπὶ τὰς
ἀγκάλας αὐτοῦ μέχρις οὗ κατέστη, καὶ παρεκάλει αὐτὴν λό-
γοις εἰρηνικοῖς 9καὶ εἶπεν αὐτῇ Τί ἐστιν, Ἐσθήρ; ἐγὼ ὁ ἀδελ- 9 (12)
φός σου, θάρσει, 10οὐ μὴ ἀποθάνῃς· ὅτι κοινὸν τὸ πρόσταγμα 10 (13)
ἡμῶν ἐστίν· 11πρόσελθε. 12καὶ ἄρας τὴν χρυσῆν ῥάβδον ἐπέ- 11 12 (14) (15)
θηκεν ἐπὶ τὸν τράχηλον αὐτῆς, καὶ ἠσπάσατο αὐτὴν καὶ εἶπεν
Λάλησόν μοι. 13καὶ εἶπεν αὐτῷ Εἶδόν σε, κύριε, ὡς ἄγγελον 13 (16)
θεοῦ, καὶ ἐταράχθη ἡ καρδία μου ἀπὸ φόβου τῆς δόξης σού.
14ὅτι θαυμαστὸς εἶ, κύριε, καὶ τὸ πρόσωπόν σου χαρίτων 14 (17)
μεστόν. 15ἐν δὲ τῷ διαλέγεσθαι αὐτὴν ἔπεσεν ἀπὸ ἐκλύσεως· 15 (18)
16καὶ ὁ βασιλεὺς ἐταράσσετο, καὶ πᾶσα ἡ θεραπεία αὐτοῦ πα- 16 (19)
ρεκάλει αὐτήν. 3καὶ εἶπεν ὁ βασιλεύς Τί θέλεις, Ἐσθήρ; καὶ τί 3 V
σού ἐστιν τὸ ἀξίωμα; ἕως τοῦ ἡμίσους τῆς βασιλείας μου, καὶ ἔσται
σοι. 4εἶπεν δὲ Ἐσθήρ Ἡμέρα μου ἐπίσημος σήμερόν ἐστιν· εἰ οὖν 4
δοκεῖ τῷ βασιλεῖ, ἐλθάτω καὶ αὐτὸς καὶ Ἀμὰν εἰς τὴν δοχὴν ἣν
ποιήσω σήμερον. 5καὶ εἶπεν ὁ βασιλεύς Κατασπεύσατε Ἀμὰν ὅπως 5
ποιήσωμεν τὸν λόγον Ἐσθήρ· καὶ παραγίνονται ἀμφότεροι εἰς τὴν
δοχὴν ἣν εἶπεν Ἐσθήρ. 6ἐν δὲ τῷ πότῳ εἶπεν ὁ βασιλεὺς πρὸς 6
Ἐσθήρ Τί ἐστιν, βασίλισσα Ἐσθήρ; καὶ ἔσται ὅσα ἀξιοῖς. 7καὶ εἶπεν 7

ℵA **6** δια χρυσου] διαχρυσω A **7** αρας] om ℵ* (hab ℵc.a mg) ηρεν A | πεπυρωμενον] πεπληρωμενη ℵ* πεπυρωμενος ℵc.a | om δοξη A | om εβλεψεν ℵ* (hab ℵc.c mg) A | μετεβαλε (-λεν A)] μετεβαλετο ℵ | κατεπεκυψεν] επεκυψεν A | της κεφαλης A | προπορευομενης] προσπορευομενης ℵ+αυτης ℵc.a A **8** μετεβαλεν] μετελαβεν ℵ* (μετεβ. ℵc.a) | om αυτου A | ανελαβεν] ανεβαλεν A **12** αυτην] την Εσθηρ A **13** ειπον ℵ* (-πεν ℵc.a) | om φοβου A **15** εκλυσεως]+αυτης ℵA V **3** ειπεν]+αυτη ℵc.a (mg) A | Εσθηρ]+η βασιλισσα ℵc.a | βασιλιας ℵ **4** μου] μοι ℵc.a vid A | σημερον επισημος A | om εστιν A | om ουν ℵ | ελθετω A | και αυτος] ο βασιλευς ℵc.a mg A **5** κατασπευσατω A | Αμαν] pr τον ℵc.a | οπως ποιησωμεν (οπ. ποιησομεν ℵ)] ποιησαι A | παραγινονται] παρεγεινοντο A | εις] επι A **6** εν δε τω ποτω...Εσθηρ (1°)] και ειπεν ο βασιλευς προς Εσθηρ εν τω πετω A | ποτω] incp α ℵ* vid+του οινου ℵc.a mg (om τ. οιν. ℵc.b fort) | βασιλισσα Εσθηρ] Εσθηρ η βασ. A+τι το αιτημα σου κ δοθη|σεται σοι κ τι το αξιωμα| σου εως του ημισους της| βασιλειας ℵc.a mg | εσται]+σοι ℵc.a A **7** ειπεν]+Εσθηρ A

8 Τὸ αἴτημά μου καὶ τὸ ἀξίωμα· [8]εἰ εὗρον χάριν ἐνώπιον τοῦ B
βασιλέως, ἐλθάτω ὁ βασιλεὺς καὶ Ἀμὰν ἔτι τὴν αὔριον εἰς τὴν
9 δοχὴν ἣν ποιήσω αὐτοῖς, καὶ αὔριον ποιήσω τὰ αὐτά. [9]Καὶ
ἐξῆλθεν ὁ Ἀμὰν ἀπὸ τοῦ βασιλέως ὑπερχαρὴς εὐφραινόμενος· ἐν δὲ
τῷ ἰδεῖν Ἀμὰν Μαρδοχαῖον τὸν Ἰουδαῖον ἐν τῇ αὐλῇ ἐθυμώθη σφόδρα.
10 [10]καὶ εἰσελθὼν εἰς τὰ ἴδια ἐκάλεσεν τοὺς φίλους καὶ Ζωσάραν τὴν
11 γυναῖκα αὐτοῦ, [11]καὶ ὑπέδειξεν αὐτοῖς τὸν πλοῦτον αὐτοῦ καὶ τὴν
δόξαν ἣν ὁ βασιλεὺς αὐτῷ περιέθηκεν, καὶ ὡς ἐποίησεν αὐτὸν πρω-
12 τεύειν καὶ ἡγεῖσθαι τῆς βασιλείας. [12]καὶ εἶπεν Ἀμάν Οὐ κέκληκεν
ἡ βασίλισσα μετὰ τοῦ βασιλέως οὐδένα εἰς τὴν δοχὴν ἀλλ᾽ ἢ ἐμέ·
13 καὶ εἰς τὴν αὔριον κέκλημαι. [13]καὶ ταῦτά μοι οὐκ ἀρέσκει, ὅταν
14 ἴδω Μαρδοχαῖον τὸν Ἰουδαῖον ἐν τῇ αὐλῇ. [14]καὶ εἶπεν πρὸς αὐτὸν
Ζωσάρα ἡ γυνὴ αὐτοῦ καὶ οἱ φίλοι Κοπήτω σοι ξύλον πηχῶν πεν-
τήκοντα, ὄρθρου δὲ εἰπὸν τῷ βασιλεῖ καὶ κρεμασθήτω Μαρδοχαῖος
ἐπὶ τοῦ ξύλου· σὺ δὲ εἴσελθε εἰς τὴν δοχὴν σὺν τῷ βασιλεῖ καὶ
εὐφραίνου. καὶ ἤρεσεν τὸ ῥῆμα τῷ Ἀμάν, καὶ ἡτοιμάσθη τὸ ξύλον.

VI 1 [1]Ὁ δὲ κύριος ἀπέστησεν τὸν ὕπνον ἀπὸ τοῦ βασιλέως τὴν
νύκτα ἐκείνην, καὶ εἶπεν τῷ διδασκάλῳ αὐτοῦ εἰσφέρειν γράμματα
2 μνημόσυνα τῶν ἡμερῶν ἀναγινώσκειν αὐτῷ. [2]εὗρεν δὲ τὰ γράμματα
τὰ γραφέντα περὶ Μαρδοχαίου, ὡς ἀπήγγειλεν τῷ βασιλεῖ περὶ τῶν
δύο εὐνούχων τοῦ βασιλέως ἐν τῷ φυλάσσειν αὐτοὺς καὶ ζητῆσαι

7 αξιωμα] + μου ℵA **8** ενωπιον] εναντιον A | βασιλεως] + ϗ ο (sic) επι ℵA
τον βασιλεα αγαθον| δουναι το αιτημα μου ϗ ποιη|σαι το αξωμα μου ℵ$^{c.a\ mg\ inf}$ |
om ετι την ℵ^{2} επι την A | om εις την δοχην...και (2°) ℵ* hab εις την δ.
την ποιησω αυτοις την αυριον (τ. αυρ. sup ras ℵ$^{c.b}$) ℵ$^{c.a\ mg}$ | αυριον 2°] + γαρ ℵA
9 ο Αμαν] om ο A + εν τη ημερα εκεινη ℵ$^{c.a\ mg}$ | ευφραινομενος] + τη καρδια
ℵ$^{c.a}$ | ιδειν] ειδιν ℵ | om Αμαν 2° A | Μαρδοχαιον] pr τον ℵ$^{c.a\ (mg)}$ | αυλη]
+ του βασιλεως ϗ ουκ εξανεστη| ουδε ετρομησεν απ αυτου ℵ$^{c.a\ mg\ sup}$ | εθυμωθη]
+ Αμαν επι Μαρδοχαῖ| ℵ$^{c.a\ mg}$ + Αμαν A | σφοδρα] + και ενεκρατευσατο Αμαν
ℵ$^{c.a\ mg}$ **10** εισελθων] εισηλθεν A | εκαλεσεν] pr αποστειλας ℵ$^{c.a}$ pr και
A | Σωσαραν A **11** αυτοις] + Αμαν ℵ$^{c.a}$ | αυτου] + ϗ το πληθος των υιων
αυτου ℵ$^{c.a\ mg}$ | περιεθηκεν αυτω A | πρωτον A | βασιλιας ℵ
12 om ειπεν Αμαν ου κεκληκεν A | η βασιλισσα] pr Εσθηρ ℵ$^{c.a}$A | ουθενα A |
δοχην αλλ η] + ην εποιησεν (partim sup ras αλλη ut vid) αλλ η ℵ$^{c.a}$ | κεκλημαι]
pr εγω ℵ + μετα του βασιλεως ℵ$^{c.a\ mg}$ κεκληκεν A **13** οταν] επαν ℵ* εν πᾳ̣ι
χρονω οταν ℵ$^{c.a\ mg}$ | εν τη αυλη] τη αυλη ℵ* καθημενον εν τη αυλη του βασι-
λεως ℵ$^{c.a}$ **14** Σωσαρα A | οι φιλοι] pr παντες ℵ$^{c.a}$ + αυτου ℵ$^{c.a}$ (sup ras) |
om σοι A | ξυλον 1°] + υψηλον ℵ$^{c.a\ (mg)}$ VI **1** εισφερων A | γραμματα] pr
τα ℵ$^{c.a\ (mg)}$ | μνημοσυνα] + λογων ℵ$^{c.a}$ | αναγιγνωσκειν A | αυτω] αυτα ενωπιον
του βασιλεως ℵ$^{c.a}$ **2** om τα γραφεντα ℵ* (hab γραφεντα sine τα) ℵ$^{c.a\ mg}$ |
απηγγειλεν] εν sup ras (-λαι ℵ* vid) | περι 2°] + Βαγαθαν ϗ Θαρρας ℵ$^{c.a\ mg}$ |
του βασιλεως] αυτου A | αυτους] αυτον ℵ* (-τους ℵ$^{c.a}$) | και ζητησαι επιβα-
λειν] εν τω επιβαλειν αυτους A

Β ἐπιβαλεῖν τὰς χεῖρας Ἀρταξέρξῃ. [3]εἶπεν δὲ ὁ βασιλεύς Τίνα δόξαν 3
ἢ χάριν ἐποιήσαμεν τῷ Μαρδοχαίῳ; καὶ εἶπαν οἱ διάκονοι τοῦ βασι-
λέως Οὐκ ἐποίησας αὐτῷ οὐδέν. [4]ἐν δὲ τῷ πυνθάνεσθαι τὸν βασιλέα 4
περὶ τῆς εὐνοίας Μαρδοχαίου, ἰδοὺ Ἁμὰν ἐν τῇ αὐλῇ· εἶπεν δὲ ὁ
βασιλεύς Τίς ἐν τῇ αὐλῇ; ὁ δὲ Ἁμὰν εἰσῆλθεν εἰπεῖν τῷ βασιλεῖ
κρεμάσαι τὸν Μαρδοχαῖον ἐπὶ τῷ ξύλῳ ᾧ ἡτοίμασεν. [5]καὶ εἶπαν 5
οἱ διάκονοι τοῦ βασιλέως Ἰδοὺ ὁ Ἁμὰν ἕστηκεν ἐν τῇ αὐλῇ· καὶ
εἶπεν ὁ βασιλεύς Καλέσατε αὐτόν. [6]εἶπεν δὲ ὁ βασιλεὺς τῷ 6
Ἁμάν Τί ποιήσω τῷ ἀνθρώπῳ ὃν ἐγὼ θέλω δοξάσαι; εἶπεν δὲ ἐν
ἑαυτῷ ὁ Ἁμάν Τίνα θέλει ὁ βασιλεὺς δοξάσαι εἰ μὴ ἐμέ; [7]εἶπεν δὲ 7
πρὸς τὸν βασιλέα Ἄνθρωπον ὃν ὁ βασιλεὺς θέλει δοξάσαι, [8]ἐνεγκά- 8
τωσαν οἱ παῖδες τοῦ βασιλέως στολὴν βυσσίνην ἣν ὁ βασιλεὺς
περιβάλλεται, καὶ ἵππον ἐφ' ὃν ὁ βασιλεὺς ἐπιβαίνει, [9]καὶ δότω 9
ἑνὶ τῶν φίλων τοῦ βασιλέως τῶν ἐνδόξων καὶ στολισάτω τὸν ἄν-
θρωπον ὃν ὁ βασιλεὺς ἀγαπᾷ, καὶ ἀναβιβασάτω αὐτὸν ἐπὶ τὸν
ἵππον, καὶ κηρυσσέτω διὰ τῆς πλατείας τῆς πόλεως λέγων Οὕτως
ἔσται παντὶ ἀνθρώπῳ ὃν ὁ βασιλεὺς δοξάζει. [10]εἶπεν δὲ ὁ βασι- 10
λεὺς τῷ Ἁμάν Καλῶς ἐλάλησας· οὕτως ποίησον τῷ Μαρδοχαίῳ τῷ
Ἰουδαίῳ τῷ θεραπεύοντι ἐν τῇ αὐλῇ, καὶ μὴ παραπεσάτω σου λόγος
ὧν ἐλάλησας. [11]ἔλαβεν δὲ Ἁμὰν τὴν στολὴν καὶ τὸν ἵππον, καὶ 11
ἐστόλισεν τὸν Μαρδοχαῖον καὶ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὸν ἵππον, καὶ
διῆλθεν διὰ τῆς πλατείας τῆς πόλεως καὶ ἐκήρυσσεν λέγων Οὕτως
ἔσται παντὶ ἀνθρώπῳ ὃν ὁ βασιλεὺς θέλει δοξάσαι. [12]ἐπέστρεψεν δὲ 12
ὁ Μαρδοχαῖος εἰς τὴν αὐλήν· Ἁμὰν δὲ ὑπέστρεψεν εἰς τὰ ἴδια λυπού-
μενος κατὰ κεφαλῆς. [13]καὶ διηγήσατο Ἁμὰν τὰ συμβεβηκότα αὐτῷ 13

ℵA **2** Αρταξερξει ℵ **3** Μαρδοχαιω]+περι τουτου ℵ$^{c.a}$ | ειπαν] ειπον A | οι διακονοι του βασιλεως] οι εκ της διακονιας A | ουθεν A **4** Μαρδοχαιου] pr του ℵ | Αμαν 1°]+εισηλθε| ℵ$^{c.a\,(mg)}$ | αυλη 1°]+οικου του βασιλευς την εξω-τεραν (sic) ℵ$^{c.a\,mg}$ | om ειπεν...εισηλθεν ℵ^{2} | ητοιμασεν]+αυτω ℵ$^{c.a\,(mg)}$ **5** ειπαν] ειπον ℵA | διακονοι] εκ της διακονιας A | βασιλεως]+προς αυτον ℵ$^{c.a\,mg}$ | αυτον]+ȳ εισηλθε| Αμαν ℵ$^{c.a\,(mg)}$ **6** ον] ω A | εν εαυτω] αυτω ℵ | ο Αμαν] om ο ℵA+εν εαυτω ℵ$^{c.a\,mg}$ **7** δε]+Αμαν ℵ$^{c.a}$ | προς τον βασιλεα] τω βασιλει A **8** ενεγκατω A | om οι παιδες του βασιλεως A | ην]+εν αυτη ℵ$^{c.a\,mg}$ | ον]+επ αυτο| ℵ$^{c.a\,mg}$ | επιβαινει]+ȳ δοθητω| διαδημα| βασιλει|ας επι την| κεφαλην| αυτου ȳ δο|θητω το εν|δυμα ȳ ο| ιππος εν| χειρι ℵ$^{c.a\,mg}$ **9** om και δοτω ενι ℵ$^{c.a}$ | στολισατωσαν ℵ$^{c.a}$ | κηρυσσετω] κηρυσσεται ℵ* -τωσαν ℵ$^{c.a}$ | πλατιας ℵ **10** Αμαν]+ταχεως λαβε συν το ενδυμα ȳ| τον ιππον ℵ$^{c.a\,mg\,inf}$ | καλως] καθως ℵ$^{c.a}$ | ουτω ℵ | ποιησον] ποιησομεν A | τω Μαρδο-χαιω] om τω ℵ$^{c.a}$A | εν τη αυλη] ον ειπεν ο βασιλευς A | ων] pr εκ παντων ℵ$^{c.a}$ **11** om και εστολισεν...επι τον ιππον A | πλατιας ℵ **12** αυλην] +του βασιλεως ℵ$^{c.a\,(mg)}$ | κατα κεφαλης] κατακεκαλυμμενος κεφαλην ℵ$^{c.a}$ **13** Αμαν] απαντα ℵ | αυτω]+Αμαν ℵ

Ζωσάρα τῇ γυναικὶ αὐτοῦ καὶ τοῖς φίλοις· καὶ εἶπαν πρὸς αὐτὸν οἱ B
φίλοι καὶ ἡ γυνή Εἰ ἐκ γένους Ἰουδαίων Μαρδοχαῖος, ἤρξαι ταπεινοῦ-
σθαι ἐνώπιον αὐτοῦ, πεσὼν πεσῇ· οὐ μὴ δύνῃ αὐτὸν ἀμύνασθαι, ὅτι
14 θεὸς ζῶν μετ᾽ αὐτοῦ. [14]ἔτι αὐτῶν λαλούντων παραγίνονται οἱ εὐνοῦ-
χοι ἐπισπεύδοντες τὸν Ἁμὰν ἐπὶ τὸν πότον ὃν ἡτοίμασεν Ἐσθήρ.
VII 1 [1]Εἰσῆλθεν δὲ ὁ βασιλεὺς καὶ Ἁμὰν συνπιεῖν τῇ βασιλίσσῃ.
2 [2]εἶπεν δὲ ὁ βασιλεὺς Ἐσθὴρ τῇ δευτέρᾳ ἡμέρᾳ ἐν τῷ πότῳ Τί ἐστιν,
Ἐσθὴρ βασίλισσα, καὶ τί τὸ αἴτημά σου καὶ τί τὸ ἀξίωμά σου; καὶ
3 ἔστω σοι ἕως τοῦ ἡμίσους τῆς βασιλείας μου. [3]καὶ ἀποκριθεῖσα
εἶπεν Εἰ εὗρον χάριν ἐνώπιον τοῦ βασιλέως, δοθήτω ἡ ψυχὴ τῷ
4 αἰτήματί μου, καὶ ὁ λόγος μου τῷ ἀξιώματί μου. [4]ἐπράθημεν γὰρ
ἐγώ τε καὶ ὁ λαός μου εἰς ἀπωλίαν καὶ διαρπαγὴν καὶ δουλίαν,
ἡμεῖς καὶ τὰ τέκνα ἡμῶν εἰς παῖδας καὶ παιδίσκας, καὶ παρήκουσα·
5 οὐ γὰρ ἄξιος ὁ διάβολος τῆς αὐλῆς τοῦ βασιλέως. [5]εἶπεν δὲ ὁ
βασιλεύς Τίς οὗτος ὅστις ἐτόλμησεν ποιῆσαι τὸ πρᾶγμα τοῦτο;
6 [6]εἶπεν δὲ Ἐσθήρ Ἄνθρωπος ἐχθρὸς Ἁμὰν ὁ πονηρὸς οὗτος. Ἁμὰν
7 δὲ ἐταράχθη ἀπὸ τοῦ βασιλέως καὶ τῆς βασιλίσσης. [7]ὁ δὲ βασιλεὺς
ἐξανέστη ἀπὸ τοῦ συμποσίου εἰς τὸν κῆπον· ὁ δὲ Ἁμὰν παρῃτεῖτο
8 τὴν βασίλισσαν, ἑώρα γὰρ ἑαυτὸν ἐν κακοῖς ὄντα. [8]ἐπέστρεψεν
δὲ ὁ βασιλεὺς ἐκ τοῦ κήπου, Ἁμὰν δὲ ἐπιπεπτώκει ἐπὶ τὴν κλίνην
ἀξιῶν τὴν βασίλισσαν· εἶπεν δὲ ὁ βασιλεύς Ὥστε καὶ τὴν γυναῖκα
βιάζῃ ἐν τῇ οἰκίᾳ μου; Ἁμὰν δὲ ἀκούσας διετράπη τῷ προσώπῳ.

13 Σωσαρα A | ειπαν] ειπον A | οι φιλοι]+αυτου $\aleph^{c.a}$ | γυνη]+αυτου $\aleph$A Ζωσαρα: $\aleph^{c.a\ mg}$ | ηρξαι] ου ηρξω $\aleph^{c.a}$ | θεος ζων] ο θς ο ζ. A **14** λαλουντων]+μετ αυτου $\aleph^{c.a\ mg}$ | ευνουχοι]+του βασιλεως $\aleph^{c.a\ (mg)}$ | επισπευδοντες]+αγαγειν $\aleph^{c.a\ (mg)}$ | Αισθηρ $\aleph$ VII **1** συνπιειν B*^{c}$\aleph$A] συμπιειν B$^{b?c?}$ | βασιλισσῃ]+Εσθηρ $\aleph^{c.a\ (mg)}$ **2** ειπεν δε] και ειπεν A | om Εσθηρ 1° A τη δευτερα] pr και γε $\aleph^{c.a}$ | ποτω]+του οινου $\aleph^{c.a}$ | βασιλισσα] pr η A | σου 1°]+ϗ δοθησεται σοι $\aleph^{c.a\ mg}$ | εστω] εσται A **3** αποκριθεισα]+Εσθηρ η βασιλισσα $\aleph^{c.a\ mg\ sup}$ | βασιλευς]+ϗ ει επι τον βασιλεα αγαθον $\aleph^{c.a\ (mg)}$ | δοθητω]+μοι $\aleph^{c.a}$ | ψυχη]+μου $\aleph^{c.a\ (mg)}$ | αιτηματι] αιματι $\aleph^{*}$ (αιτημ. $\aleph^{c.a}$) | λογος] λαος $\aleph^{c.a}$ | om μου 2° $\aleph^{*}$ (hab $\aleph^{c.a}$) A **4** απωλειαν B^{ab}A | om και διαρπαγην A | δουλειαν B^{ab}A | παιδισκας]+επραθημεν $\aleph^{c.a\ (mg)}$ **5** βασιλευς]+Αρταξερξης τη Εσθηρ τη βασιλισσῃ $\aleph^{c.a\ mg}$ | ουτος]+εστιν $\aleph$+ϗ ποιος εστιν ουτος $\aleph^{c.a\ mg}$ | οστις] ος $\aleph$ **6** εχθρος] pr επιβουλος ϗ $\aleph^{c.a\ mg}$ **7** εξανεστη]+εν οργη αυτου $\aleph^{c.a\ (mg)}$ | απο] εκ $\aleph$A | κηπον]+τον συμφυτον $\aleph^{c.a\ mg}$ | παρητειτο] εξανεστη και παρ. περι της ψυχης αυτου $\aleph^{c.a}$ | βασιλισσαν]+Εσθηρ $\aleph^{c.a\ (mg)}$ | εαυτον B$\aleph^{c.a}$] αυτον $\aleph^{*}$A | οντα]+παρα του βασιλεως $\aleph^{c.a}$ **8** εκ] απο A | κηπου]+του συμ|φυτου εις| τον οικ̄ω| του ποτου| του οινου $\aleph^{c.a\ (mg)}$ | επιπεπτωκει]+και επεσεν A | την βασιλισσαν] αυτην A | γυναικα]+μ $\aleph^{*}$ (ras μ $\aleph^{c.a}$)+μετ εμου $\aleph^{c.a\ mg}$ | βιαζῃ] εκβιαζῃ A | om μου $\aleph^{?}$ | Αμαν 2°] pr ο λογος εξηλθεν εκ του στοματος του βασιλεως $\aleph^{c.a\ (mg)}$

Β [9]εἶπεν δὲ Βουγαθὰν εἷς τῶν εὐνούχων πρὸς τὸν βασιλέα Ἰδοὺ καὶ ξύ- 9
λον ἡτοίμασεν Ἀμὰν Μαρδοχαίῳ τῷ λαλήσαντι περὶ τοῦ βασιλέως, καὶ
ὥρθωται ἐν τοῖς Ἀμὰν ξύλον πηχῶν πεντήκοντα. εἶπεν δὲ ὁ βασι-
λεύς Σταυρωθήτω ἐπ᾽ αὐτοῦ. [10]καὶ ἐκρεμάσθη Ἀμὰν ἐπὶ τοῦ ξύλου 10
ὃ ἡτοιμάσθη Μαρδοχαίῳ. καὶ τότε ὁ βασιλεὺς ἐκόπασεν τοῦ θυμοῦ.

[1]Καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ ὁ βασιλεὺς Ἀρταξέρξης ἐδωρήσατο Ἐσθὴρ 1 VIII
ὅσα ὑπῆρχεν Ἀμὰν τῷ διαβόλῳ, καὶ Μαρδοχαῖος προσεκλήθη ὑπὸ
τοῦ βασιλέως· ὑπέδειξεν γὰρ Ἐσθὴρ ὅτι ἐνοικείωται αὐτῇ. [2]ἔλαβεν 2
δὲ ὁ βασιλεὺς τὸν δακτύλιον ὃν ἀφείλατο Ἀμὰν καὶ ἔδωκεν αὐτὸν
Μαρδοχαίῳ, καὶ κατέστησεν Ἐσθὴρ Μαρδοχαῖον ἐπὶ πάντων τῶν
Ἀμάν. [3]καὶ προσθεῖσα ἐλάλησεν πρὸς τὸν βασιλέα, καὶ προσέ- 3
πεσεν πρὸς τοὺς πόδας αὐτοῦ, καὶ ἠξίου ἀφελεῖν τὴν Ἀμὰν κακίαν
καὶ ὅσα ἐποίησεν τοῖς Ἰουδαίοις. [4]ἐξέτεινεν δὲ ὁ βασιλεὺς Ἐσθὴρ 4
τὴν ῥάβδον τὴν χρυσῆν· ἐξηγέρθη δὲ Ἐσθὴρ παρεστηκέναι τῷ
βασιλεῖ. [5]καὶ εἶπεν Ἐσθήρ Εἰ δοκεῖ σοι καὶ εὗρον χάριν, πεμφθήτω 5
ἀποστραφῆναι τὰ γράμματα τὰ ἀπεσταλμένα ὑπὸ Ἀμάν, τὰ γραφέντα
ἀπολέσθαι τοὺς Ἰουδαίους οἳ εἰσιν ἐν τῇ βασιλείᾳ σου. [6]πῶς γὰρ 6
δυνήσομαι ἰδεῖν τὴν κάκωσιν τοῦ λαοῦ μου, καὶ πῶς δυνήσομαι
σωθῆναι ἐν τῇ ἀπωλείᾳ τῆς πατρίδος μου; [7]καὶ εἶπεν ὁ βασιλεὺς 7
πρὸς Ἐσθήρ Εἰ πάντα τὰ ὑπάρχοντα Ἀμὰν ἔδωκα καὶ ἐχαρισάμην
σοι, καὶ αὐτὸν ἐκρέμασα ἐπὶ ξύλου ὅτι τὰς χεῖρας ἐπήνεγκε τοῖς
Ἰουδαίοις, τί ἔτι ἐπιζητεῖς; [8]γράψατε καὶ ὑμεῖς ἐκ τοῦ ὀνόματός μου 8
ὡς δοκεῖ ὑμῖν, καὶ σφραγίσατε τῷ δακτυλίῳ μου· ὅσα γὰρ γράφεται
τοῦ βασιλέως ἐπιτάξαντος καὶ σφραγισθῇ τῷ δακτυλίῳ μου, οὐκ ἔστιν
αὐτοῖς ἀντειπεῖν. [9]ἐκλήθησαν δὲ οἱ γραμματεῖς ἐν τῷ πρώτῳ μηνὶ 9

ℵA **9** Βουγαθα ℵ* Βουγαζαν ℵ$^{c.a}$ | των ευνουχων] pr απο ℵ$^{c.a}$ | προς τον βασιλεα] του βασιλεως A | ξυλον 1°] το ξ. ο ℵ$^{c.a}$A | λαλησαντι]+αγαθα ℵ$^{c.a\ mg}$ | ωρθωται] pr ⸗ ℵ$^{c.a}$ | ξυλον 2°] pr υψηλον ℵ$^{c.a}$ om A **10** ο 1°] ου ℵ$^{c.a}$A | ητοιμασθη] ητοιμασεν ℵ$^{c.a}$A | εκοπασεν ο βασιλευς A | θυμου] improb μου ℵ^{2} VIII **1** ημερα] ωρα ℵ | om τω διαβολω ℵ* hab τω δ. τω| Ιουδαιω| ℵ$^{c.a\ (mg)}$ | Μαρδοχαιος]+δε A | ενοικειωτο A **2** αφιλατο ℵ | Αμαν 1°] pr του ℵ$^{c.a}$A | om αυτον A **3** προσθεισα]+Εσθηρ ℵ$^{c.a}$ | ηξιου]+⸗ εδεηθη αυτου ℵ$^{c.a\ (mg)}$ **4** εξετεινεν δε] και εξετεινεν A **5** χαριν]+ενωπιον σου (hactenus A) ⸗ ευθης ο| λογος ενωπιον του βασι|λεως ⸗ αγαθη ειμι εν| οφθαλμοις αυτου ℵ$^{c.a\ mg}$ | αποστραφηναι] αποστρεψαι ℵA | απεσταλμενα] εξαπεσταλμ. ℵ$^{c.a}$A | Αμαν]+υιου Αμαδαθου βουγαιου ℵ$^{c.a\ mg}$ | απολεσθαι] απολεσαι A | οι] οσοι A | βασιλια ℵ | om σου A **6** ιδειν] επιδειν A | απωλια ℵ **7** προς Εσθηρ] Εσθηρ τη βασιλισση A | εδωκε ℵ* (-κα ℵ$^{c.a}$) | om εδωκα και A | ξυλου] pr του A | επηνεγκε] επηνεγκα αν ℵ* επηνεγκεν ℵ$^{c.a}$A (κ sup ras A^{a}) | om ετι A **8** γραψατε] γραφετε ℵ* $^{c.b}$ (γραψ. ℵ$^{c.a\ (vid)}$) A **9** γραμματεις]+του βασιλεως εν τω καιρω εκεινω ℵ$^{c.a\ mg\ sup}$ | πρωτω μηνι ος (ο ℵ*) εστι Νισα] τριτω μηνι ο (postea ος) εστιν Σιουαν ℵ$^{c.a\ mg}$

ὅς ἐστι Νισά, τρίτῃ καὶ εἰκάδι τοῦ αὐτοῦ ἔτους, καὶ ἐγράφη τοῖς B
Ἰουδαίοις ὅσα ἐνετείλατο τοῖς οἰκονόμοις καὶ τοῖς ἄρχουσιν τῶν
σατραπῶν ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας, ἑκατὸν εἴκοσι ἑπτὰ
10 σατραπείαις κατὰ χώραν καὶ χώραν, κατὰ τὴν ἑαυτῶν λέξιν. 10ἐγράφη
δὲ διὰ τοῦ βασιλέως καὶ ἐσφραγίσθη τῷ δακτυλίῳ αὐτοῦ, καὶ ἐξα-
11 πέστειλαν τὰ γράμματα διὰ βιβλιαφόρων, 11ὡς ἐπέταξεν αὐτοῖς
χρῆσθαι τοῖς νόμοις αὐτῶν ἐν πάσῃ τῇ πόλει, βοηθῆσαί τε αὐτοῖς καὶ
χρῆσθαι τοῖς ἀντιδίκοις αὐτῶν καὶ τοῖς ἀντικειμένοις αὐτῶν ὡς
12 βούλονται, 12ἐν ἡμέρᾳ μιᾷ ἐν πάσῃ τῇ βασιλείᾳ Ἀρταξέρξου, τῇ
(XVI) **E** 1 τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς ὅς ἐστιν Ἀδάρ. 13Ὧν ἐστὶν
ἀντίγραφον τῆς ἐπιστολῆς τὰ ὑπογεγραμμένα Βασιλεὺς μέγας
Ἀρταξέρξης τοῖς ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας ἑκατὸν εἴκοσι
ἑπτὰ σατραπείαις χωρῶν ἄρχουσι καὶ τοῖς τὰ ἡμέτερα φρονοῦσι
2 χαίρειν. 2πολλοὶ τῇ πλείστῃ τῶν εὐεργετούντων χρηστότητι πυκνό-
3 τερον τιμώμενοι μεῖζον ἐφρόνησαν, 3καὶ οὐ μόνον τοὺς ὑποτεταγμέ-
νους ἡμῖν ζητοῦσι κακοποιεῖν, τόν τε κόρον οὐ δυνάμενοι φέρειν καὶ
4 τοῖς ἑαυτῶν εὐεργέταις ἐπιχειροῦσι μηχανᾶσθαι· 4καὶ τὴν εὐχαριστίαν
οὐ μόνον ἐκ τῶν ἀνθρώπων ἀνταναιροῦντες, ἀλλὰ καὶ τοῖς τῶν ἀπει-
ραγάθων κόμποις ἐπαρθέντες, τοῦ τὰ πάντα κατοπτεύοντος ἀεὶ θεοῦ
5 μισοπόνηρον ὑπολαμβάνουσιν ἐκφεύξεσθαι δίκην. 5πολλάκις δὲ καὶ
πολλοὺς τῶν ἐπ' ἐξουσίαις τεταγμένων τῶν πιστευθέντων χειρίζειν
φίλων τὰ πράγματα παραμυθία μετόχους αἱμάτων ἀθῴων καταστή-

9 αυτου] δευτερου ℵ* (αυτου ℵ$^{c.a}$) | ετους] μηνος A | ενετειλατο] + Μαρδο- ℵA
χαιος προς Ιουδαιους ℵ$^{c.a\ mg}$ | σατραπων] + οι ησαν ℵ$^{c.a\ (mg)}$ | κατα χωραν κ. χ. εκατον εικοσι επτα σατραπειαις ℵ | επτα] pr και A | σατραπειαις B^{c}A | εαυτων] αυτων A **10** εγραφη δε] και εγραφη A | βασιλεως] + Αρταξερξου ℵ$^{c.a\ mg}$ | εφραγισθη A* (εσφρ. A$^{a?}$) | εξαπεστειλεν ℵ$^{c.a}$A | βιβλιοφορων ℵ$^{c.a}$A* vid **11** χρησθαι 1°] χρησθε ℵ*$^{c.b}$ χρησασθε ℵ$^{c.a}$ χρησασθαι A | παση τη πολει] παση πολει ℵ τη πολει A | om τε A | χρησθαι 2°] χρησθε ℵ*$^{c.b}$ χρησασθε ℵ$^{c.a}$ | om τοις αντιδικοις αυτων και A | om αυτων 1° ℵ | βουλονται] + πασαν δυναμιν λαου| ℔ χωρας τους θλιβον|τας αυτους νηπια ℔| γυναικας ℔ τα σκυλα| αυτων εις προνομη| ℵ$^{c.a\ mg}$ **12** του δωδεκατου μηνος ος εστιν Αδαρ] om δωδεκατου ℵ*A om ος εστιν Αδαρ ℵ* hab του ιβ' μηνος ος εστιν Αδαρ ℵ$^{c.a\ mg}$ **E 1** om ων ℵ* (hab ℵ$^{c.a}$) | της επιστολης] om της ℵ* (hab ℵ$^{c.a\ (mg)}$) | τα| τα υπογεγρ. A | επτα] pr και A | σατραπαις ℵ* (-πιαις ℵ$^{c.a}$) | χωρων] pr ιδιων ℵ* (om ιδ. ℵ$^{?}$) | αρχουσι] αρξουσι ℵ | και] + σατραπαις ℵ$^{c.a\ mg}$A | φρονουσιν ℵA **2** μειζον] αμινο| ℵ* (μιζο| ℵ$^{?}$) **3** om και 1° ℵ* (superscr ℔ ℵ$^{c.a}$) | ημιν] υμιν ℵ* (ημ. ℵ$^{?}$) | ζητουσι (-σιν A)] αιτουσιν ℵ* (ζητ. ℵ$^{c.a}$) | κορον] ο 1° sup ras A^{a} (κωρον A* vid) | επιχειρουσιν ℵA (επιχιρ.) **4** την ευχαριστιαν] pr κατα ℵA | ανταναιρουντες] ανερουντες ℵ$^{c.a}$ | υπολαμβανουσιν] διαλαμβανουσιν ℵ*$^{c.b}$ (υπολαμβ. ℵ$^{c.a\ (vid!)}$) A | εφευξεσθαι ℵ* (εκφ. ℵ$^{c.a}$) | om δικην ℵ* (superscr ℵ$^{c.a}$) **5** παραμυθιαν ℵ* (-θια ℵ$^{?}$) | μετοχους] μετενους ℵ* (μετοχ. ℵ$^{c.a}$) μεταγνουσα A | αιματων] μετα των A | καταστησας ℵA

B σασα περιέβαλε συμφοραῖς ἀνηκέστοις, [6]τῷ τῆς κακοηθείας ψευδεῖ 6
παραλογισμῷ παραλογισαμένων τὴν τῶν ἐπικρατούντων ἀκέραιον
εὐγνωμοσύνην. [7]σκοπεῖν δὲ ἔξεστιν, οὐ τοσοῦτον ἐκ τῶν παλαιο- 7
τέρων ὡς παρεδώκαμεν ἱστοριῶν, ὅσα ἐστὶν παρὰ πόδας ὑμᾶς ἐκζη-
τοῦντας ἀνοσίως συντετελεσμένα τῇ τῶν ἀνάξια δυναστευόντων λοι-
μότητι, [8]καὶ προσέχειν εἰς τὰ μετὰ ταῦτα, εἰς τὸ τὴν βασιλείαν 8
ἀτάραχον τοῖς πᾶσιν ἀνθρώποις μετ' εἰρήνης παρεξόμεθα, [9]χρώμενοι 9
ταῖς μεταβολαῖς, τὰ δὲ ὑπὸ τὴν ὄψιν ἐρχόμενα διακρίνοντες ἀεὶ
μετ' ἐπιεικεστέρας ἀπαντήσεως. [10]ὡς γὰρ Ἀμὰν Ἀμαδάθου Μακεδὼν 10
ταῖς ἀληθείαις ἀλλότριος τοῦ τῶν Περσῶν αἵματος καὶ πολὺ διεστηκὼς
τῆς ἡμετέρας χρηστότητος, ἐπιξενωθεὶς ἡμῖν [11]ἔτυχεν ἧς ἔχομεν πρὸς 11
πᾶν ἔθνος φιλανθρωπίας ἐπὶ τοσοῦτον ὥστε ἀναγορεύεσθαι ἡμῶν
πατέρα καὶ προσκυνούμενον ὑπὸ πάντων τὸ δεύτερον τοῦ βασι-
λικοῦ θρόνου πρόσωπον διατελεῖν· [12]οὐκ ἐνέγκας δὲ τὴν ὑπερη- 12
φανίαν ἐπετήδευσεν τῆς ἀρχῆς στερῆσαι ἡμᾶς καὶ τοῦ πνεύματος,
[13]τόν τε ἡμέτερον σωτῆρα καὶ διὰ παντὸς εὐεργέτην Μαρδοχαῖον καὶ 13
τὴν ἄμεμπτον τῆς βασιλείας κοινωνὸν Ἐσθὴρ σὺν παντὶ τῷ τούτων
ἔθνει πολυπλόκοις μεθόδων παραλογισμοῖς αἰτησάμενος εἰς ἀπω-
λίαν· [14]διὰ γὰρ τῶν τρόπων τούτων ᾠήθη λαβὼν ἡμᾶς ἐρήμους τὴν 14
τῶν Περσῶν ἐπικράτησιν εἰς τοὺς Μακεδόνας μετάξαι. [15]ἡμεῖς δὲ 15
τοὺς ὑπὸ τοῦ τρισαλιτηρίου παραδεδομένους εἰς ἀφανισμὸν Ἰουδαίους
εὑρίσκομεν οὐ κακούργους ὄντας, δικαιοτάτοις δὲ πολιτευομένους
νόμοις, [16]ὄντας δὲ υἱοὺς τοῦ ὑψίστου μεγίστου ζῶντος θεοῦ τοῦ 16

ℵA **6** τω της κακοηθειας (-θιας ℵ)] + τροπω ℵ$^{c.a\ (mg)}$ των της αληθειας A | ψευδει] +δε ℵ* (om δε ℵ$^{c.a}$) | om παραλογισμω A | παραλογισαμενος ℵA | ευγνωμοσυνην B𝔄$^{a?\,c.b?}$A (εγν.)] επιγνωσιν ℵ* **7** ου τοσουτον] ουτω ου|των ℵ* (ου τοσ. ℵ$^{c.a}$) | παλαιωτερων A | om ως ℵ* (superscr ℵ$^{c.a}$) | παραδεδωκαμεν ℵ$^{c.a}$ | οσα] οσον ℵ | ποδας] μερος ℵ* (ποδ. ℵ$^{c.a}$) | υμας] υμιν ℵ* (υμας ℵ$^{c.a}$) | εκζητουν ℵ* (-ντας ℵ$^{c.a}$) | αναξια δυναστευοντων] αξιας δυναστευω|το ℵ* αξια δυναστευοντω| ℵ$^{c.a}$ αξιοδυναστευοντων A | λυμοτητι A **8** τα] το ℵ* (τα ℵ$^{c.a}$) | εις το την] και την ℵ$^{c.a}$ το την ℵ$^{c.b\ (vid)}$ | βασιλιαν ℵ **9** χρωμενοι] pr ου ℵ$^{c.a}$A | αει] δει ℵ* (αει ℵ$^{c.a}$) | μετ] μετα ℵA | απαντησεως] αγανακτησεως ℵ* (απαντ. ℵ$^{c.a}$) **10** Αμαδαθου] Αμαθου A | αληθιαις ℵ | διεστηκως] incep λα ℵ* (improb λα ℵ$^{?}$) **11** ωστε] ως A | αναγορευεσθαι] αναπορευεσθαι ℵ* (αναγορ. ℵ$^{?}$) | προσκυνουμενος A **12** επετηδευσε ℵ επιτηδευσεν A | ημας στερησαι A | στερεσαι ℵ* (-ρησαι ℵ$^{c.a}$) | ημας] υμας ℵ* (ημ. ℵ$^{c.a}$) | om και A **13** σωτηραν ℵ* (improb ν ℵ$^{?}$) | βασιλειας] βασιλεως ℵ* (-λειας ℵ$^{c.a}$) | τω] τοις ℵ* (τω ℵ$^{c.a}$) | απωλειαν B^{ab}A **14** om τουτων A | ωηθη] ηθη ℵ* (ωηθη ℵ$^{c.a}$) ωηθει A | λαβειν ℵ$^{c.a}$A | ημας] τας A | την]+τε ℵ$^{c.a}$A | των Περσων] om των A | Μακαιδονας ℵ **15** ου κακουργους] κακουργους ουκ A | δικαιοτατοις] αναγκαιοτατους ℵ* (δικαιοτατοις ℵ$^{c.a}$) **16** υιοις ℵ* (-ους ℵ$^{c.a}$) | του υψιστου] om του A | μεγιστου bis scr B

κατευθύνοντος ἡμῖν τε καὶ τοῖς προγόνοις ἡμῶν τὴν βασιλείαν ἐν τῇ B
17 καλλίστῃ διαθέσει. 17καλῶς οὖν ποιήσετε μὴ προσχρησάμενοι τοῖς
18 ὑπὸ Ἁμὰν Ἀμαδάθου ἀποσταλεῖσι γράμμασιν, 18διὰ τὸ αὐτὸν τὸν
ταῦτα ἐξεργασάμενον πρὸς ταῖς Σούσων πύλαις ἐσταυρῶσθαι σὺν τῇ
πανοικίᾳ, τὴν καταξίαν τοῦ τὰ πάντα ἐπικρατοῦντος θεοῦ διὰ τάχους
19 ἀποδόντος αὐτῷ κρίσιν· 19τὸ δὲ ἀντίγραφον τῆς ἐπιστολῆς ταύτης
ἐκθέντες ἐν παντὶ τόπῳ μετὰ παρρησίας, ἐᾶν τοὺς Ἰουδαίους χρῆ-
20 σθαι τοῖς ἑαυτῶν νομίμοις, 20καὶ συνεπισχύειν αὐτοῖς ὅπως τοὺς ἐν
καιρῷ θλίψεως ἐπιθεμένους αὐτοῖς ἀμύνωνται τῇ τρισκαιδεκάτῃ τοῦ
21 δωδεκάτου μηνὸς Ἀδὰρ τῇ αὐτῇ ἡμέρᾳ· 21ταύτην γὰρ ὁ πάντα δυνα-
στεύων θεὸς ἀντ' ὀλεθρίας τοῦ ἐκλεκτοῦ γένους ἐποίησεν αὐτοῖς
22 εὐφροσύνην. 22καὶ ὑμεῖς οὖν ἐν ταῖς ἐπωνύμοις ὑμῶν ἑορταῖς ἐπί-
23 σημον ἡμέραν μετὰ πάσης εὐωχίας ἄγετε, 23ὅπως καὶ νῦν καὶ μετὰ
ταῦτα σωτηρία ἡμῖν καὶ τοῖς εὐνοοῦσιν Πέρσαις, τοῖς δὲ ἡμῖν ἐπι-
24 βουλεύουσιν μνημόσυνον τῆς ἀπωλείας. 24πᾶσα δὲ πόλις ἢ χώρα
τὸ σύνολον ἥτις κατὰ ταῦτα μὴ ποιήσῃ δόρατι καὶ πυρὶ κατα-
ναλωθήσεται μετ' ὀργῆς· οὐ μόνον ἀνθρώποις ἄβατος, ἀλλὰ καὶ
θηρίοις καὶ πετεινοῖς εἰς τὸν ἅπαντα χρόνον ἔχθιστος κατασταθή-
VIII 13 σεται. 13τὰ δὲ ἀντίγραφα ἐκτιθέσθωσαν ὀφθαλμοφανῶς ἐν πάσῃ
τῇ βασιλείᾳ, ἑτοίμους τε εἶναι πάντας τοὺς Ἰουδαίους εἰς ταύτην τὴν
14 ἡμέραν πολεμῆσαι αὐτῶν τοὺς ὑπεναντίους. 14Οἱ μὲν οὖν ἱπ-
πεῖς ἐξῆλθον σπεύδοντες τὰ ὑπὸ τοῦ βασιλέως λεγόμενα ἐπιτελεῖν·
15 ἐξετέθη δὲ τὸ πρόσταγμα καὶ ἐν Σούσοις. 15ὁ δὲ Μαρδοχαῖος ἐξῆλθεν

16 κατευθυνοντας ℵ* (-τος ℵc.a) | ημιν] ημας ℵ* (-μιν ℵc.a) | βασιλειαν] αγιαν ℵA ℵ* (βασιλιαν ℵc.a) **17** ποιησητε ℵ ποιησατε A | προ|σχρησαμενοι B* προσ|χρ. Bc | Αμαν] Μαν A | Αμαδαθου] Αμαθαδου A | αποσταλισι ℵ* (-σει ℵc.a) | γραμμασι A **18** δια 1°] pr ν ℵ* (improb ν ℵ²) | om τον ℵ* (supersc ℵc.a) A | τα παντα] om τα ℵ* (supersc τα ℵc.a) **19** εκθεντες] εκτεθεντος ℵ* (εκθεντες ℵc.a) εκτεθεντες A | εαν] αν ℵ* (εαν ℵc.a) | νομιμοις] νομοις ℵA **20** om αυτοις 2° ℵ* (supersc ℵc.a) | μυνωνται A* (αμ. A¹ fort) **21** ταυτη ℵ* (ταυτην ℵc.a) A | om γαρ ℵ* (hab ℵc.a) | ο παντα] επι παντα A | ολεθρειας ℵ | ευφροσυνην] pr εις ℵc.a **22** υμεις] ημις ℵ* vid (υμις ℵc.a) | ουν] ου A om υμων εορταις A | ημεραν ℵ* (-ραν ℵc.a) **23** σωτηρια ημιν και τοις ευνοουσιν Περσαις] σωτ. υμιν και τοις ευνοουσι| Π. ℵ* σωτ. μεν των ευνοουντων τοις Π. ℵc.b σωτ. μεν υμων κ. των ευνοουντων τοις Π. A | τοις δε ημιν επιβουλευουσιν] των δε τουτοις επιβουλευσαντων A | απωλιας ℵ **24** χωρας ℵ* (-ρα ℵ?) | δορατι bis scr ℵ* (improb 2° ℵ?) | μετ οργης] pr ϰ ℵc.a (improb ϰ ℵc.b) | om εις τον απαντα χρονον A | εχθιστος] εχιστο|ς ℵ* εσχιστος ℵc.a αισχιστος A | κατασταθησεται] αυτα σταθ. ℵ* (κατασταθ. ℵc.a) VIII **13** αντιγραφα] + της επιστολης ℵc.a | εκτιθεσθωσαν] εκτιθεσθω ℵ εκτεθεισθω A | βασιλια ℵ | τε] δε A **14** ιππεις] + ϰ επιβα|ται των το|ριων οι με|γιστανες ℵc.a mg | σπευδοντες] + και διωκομενοι ℵc.a (mg) | προσταγμα] εκθεμα A | Σουσοις] + τη βαρει ℵc.a **15** εξηλθεν] + εκ προσωπου του βασιλεως ℵc.a mg

Β ἐστολισμένος τὴν βασιλικὴν στολὴν καὶ στέφανον ἔχων χρυσοῦν καὶ διάδημα βύσσινον πορφυροῦν· ἰδόντες δὲ οἱ ἐν Σούσοις ἐχάρησαν. 16τοῖς δὲ Ἰουδαίοις ἐγένετο φῶς καὶ εὐφροσύνη 17κατὰ πόλιν 16 17
καὶ χώραν οὗ ἂν ἐξετέθη τὸ πρόσταγμα, οὗ ἂν ἐξετέθη τὸ ἔκθεμα· χαρὰ καὶ εὐφροσύνη τοῖς Ἰουδαίοις, κώθων καὶ εὐφροσύνη· καὶ πολλοὶ τῶν ἐθνῶν περιετέμοντο καὶ ἰουδάιζον διὰ τὸν φόβον τῶν Ἰουδαίων.

1Ἐν γὰρ τῷ δωδεκάτῳ μηνὶ τρισκαιδεκάτῃ τοῦ μηνός, ὅς ἐστιν 1 IX
Ἀδάρ, παρῆν τὰ γράμματα τὰ γραφέντα ὑπὸ τοῦ βασιλέως. 2ἐν 2
αὐτῇ τῇ ἡμέρᾳ ἀπώλοντο οἱ ἀντικείμενοι τοῖς Ἰουδαίοις· οὐδεὶς γὰρ ἀντέστη, φοβούμενος αὐτούς. 3οἱ γὰρ ἄρχοντες τῶν σατραπῶν καὶ 3
οἱ τύραννοι καὶ οἱ βασιλικοὶ γραμματεῖς ἐτίμων τοὺς Ἰουδαίους· ὁ γὰρ φόβος Μαρδοχαίου ἐνέκειτο αὐτοῖς. 4προσέπεσεν γὰρ τὸ πρόσταγμα 4
τοῦ βασιλέως ὀνομασθῆναι ἐν πάσῃ τῇ βασιλείᾳ. 6καὶ ἐν αὐτῇ τῇ 6
πόλει ἀπέκτειναν οἱ Ἰουδαῖοι ἄνδρας πεντακοσίους, 7τόν τε Φαρσὰν 7
καὶ Νεσταὶν καὶ Δελφὼν καὶ Φασγὰ 8καὶ Φαραδάθα καὶ Βαρσὰ καὶ 8
Σαρβαχὰ 9καὶ Μαρμασιμὰ καὶ Ῥουφαῖον καὶ Ἀρσαῖον καὶ Ζαβου- 9
θαῖον, 10τοὺς δέκα υἱοὺς Ἀμὰν Ἀμαδάθου Βουγαίου τοῦ ἐχθροῦ 10
τῶν Ἰουδαίων, καὶ διήρπασαν 11ἐν αὐτῇ τῇ ἡμέρᾳ· ἐπεδόθη τε ὁ 11
ἀριθμὸς τῷ βασιλεῖ τῶν ἀπολωλότων ἐν Σούσοις. 12εἶπεν δὲ ὁ 12

ℵA **15** στολισμενος A | στολην] + υακινθινην αερινην ℵ$^{c.a\ (mg)}$ | ειδοντες ℵ | εχαρησαν] + ϛ ευφρανθησᾶ| ℵ$^{c.a\ (mg)}$ **16** τοις δε Ιουδαιοις] οτι τοις Ιουδ. A | ευφροσυνη] + ϛ αγαλλιαμα ϛ τιμη ℵ$^{c.a}$ **17** om ου αν εξετεθη το προσταγμα A | εξετεθη το προσταγμα] ο λογος του βασιλεως ϛ το εκθεμα εξετεθη ℵ$^{c.a\ mg\ inf}$ | om ου αν εξετεθη το εκθεμα ℵ | αν 2°] εαν A | om χαρα...ευφροσυνη 2° ℵ* hab ευφροσυνη και χαρα τοις Ιουδαιοις| κωθων ϛ ευφροσυνη ℵ$^{c.a\ mg\ inf}$ | τοις Ιουδαιοις...των Ιουδαιων sup ras A^{a} | ευφροσυνη 2°] ευφροσυνην A^{a} | περιετεμνοντο ℵ$^{c.a}$A^{a} | ενιουδαιζον ℵ* (ιουδ. ℵ?) | δια] pr και ℵ* (om και ℵ?) IX **1** τεσσαρεσϛ|δεκατη ℵ* (τρισϛ|δεκ. ℵ$^{c.a}$) | ος] ο ℵ* (ος ℵ$^{c.a}$) | βασιλεως] + ϛ το δογμα αυτου ποιησαι ℵ$^{c.a\ mg}$ **2** ημερα] ωρα ℵ* (ημ. ℵ$^{c.a}$) | απωλοντο] pr η ℵ$^{c.a}$ | αντεστη]+κατα| προσωπο̄| αυτω̄| ℵ$^{c.a\ mg}$ | φοβουμενοις ℵ* (-νοι ℵ$^{c.a}$) **3** βασιλικοι] βασιλει ℵ* (-λεικοι ℵ$^{c.a}$ et ita A) | ετιμων] τιμωνται ℵ* (ετιμ. ℵ$^{c.a}$) | αυτοις] + εμεγα|λυνετο γαρ Μαρδοχαιος| πορευο|μενος ℵ$^{c.a\ mg}$ **4** προσεπεσεν] επεπεσεν ℵ$^{c.a}$ | βασιλια ℵ **6** αυτη τη πολει] Σουσοις ℵ* Σ. τη πολει ℵ$^{c.a\ mg\ inf}$A | om απεκτειναν ℵ* (hab απεκτιναν ℵ$^{c.a\ mg\ inf}$) | Ιουδαιοι]+ϛ απωλεσαν ℵ$^{c.a}$ | πεντακοσιους] φ′ ℵ **7** Φαρσαν και Νεσταιν] Φαρσαννεσταν ℵ*^{vid} Φαρσαννεσταιν ℵ$^{c.a}$ Φαρσανεσταν· A | Δελφων] αδελφων ℵ* τον Δελφων ℵ$^{c.a}$ | Φασγα B ℵ$^{c.a}$] Φιαγα ℵ*^{vid} Φαγα A **8** Φαραδαθα] Φαραααθα ℵ Βαρδαθα A | Βαρσα] Βαρελ ℵA **9** Μαρμασιμα] Μαρμασιμ ℵ Μαρμασιμνα A | Ρουφαιον] Ρουφανο̄ A | Αρσεον ℵ | Ζαβουθαιον] Ζαβουδεθᾶ| ℵ Ζαβουγαθα A **10** Αμαναδαθου ℵ* (Αμαδ. ℵ?) Αμαθαδου A | Βουγαιου (βουδεου ℵ* -γεου ℵ$^{c.a}$)] pr του A | του] των τους ℵ* om των et fort ras s ℵ? | Ιουδαιων]+απεκτιναν ℵ$^{c.a}$ | διηρπασαν] pr απεκτειναν και A **11** om τε ℵ$^{c.a}$A | ο αριθμος] om ο A | Σουσοις]+τη πολει ℵ$^{c.a}$

βασιλεὺς πρὸς Ἐσθήρ Ἀπώλεσαν οἱ Ἰουδαῖοι ἐν Σούσοις τῇ πόλει Β
ἄνδρας πεντακοσίους· ἐν δὲ τῇ περιχώρῳ πῶς οἴει ἐχρήσαντο; τί οὖν
13 ἀξιοῖς ἔτι καὶ ἔσται σοι; [13]καὶ εἶπεν Ἐσθὴρ τῷ βασιλεῖ Δοθήτω
τοῖς Ἰουδαίοις χρῆσθαι ὡσαύτως τὴν αὔριον, ὥστε τοὺς δέκα υἱοὺς
14 κρεμάσαι Ἁμάν. [14]καὶ ἐπέτρεψεν οὕτως γενέσθαι, καὶ ἐξέθηκε
τοῖς Ἰουδαίοις τῆς πόλεως τὰ σώματα τῶν υἱῶν Ἁμὰν κρεμάσαι.
15 [15]καὶ συνήχθησαν οἱ Ἰουδαῖοι ἐν Σούσοις τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ
16 Ἀδὰρ καὶ ἀπέκτειναν ἄνδρας τριακοσίους, καὶ οὐδὲν διήρπασαν. [16]οἱ
δὲ λοιποὶ τῶν Ἰουδαίων οἱ ἐν τῇ βασιλείᾳ συνήχθησαν καὶ ἑαυτοῖς
ἐβοήθουν, καὶ ἀνεπαύσαντο ἀπὸ τῶν πολεμίων· ἀπώλεσαν γὰρ
αὐτῶν μυρίους πεντακισχιλίους τῇ τρισκαιδεκάτῃ τοῦ Ἀδάρ, καὶ
17 οὐδὲν διήρπασαν. [17]καὶ ἀνεπαύσαντο τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ
αὐτοῦ μηνός, καὶ ἦγον αὐτὴν ἡμέραν ἀναπαύσεως μετὰ χαρᾶς καὶ
18 εὐφροσύνης. [18]οἱ δὲ Ἰουδαῖοι οἱ ἐν Σούσοις τῇ πόλει συνήχθησαν καὶ
τῇ τεσσαρεσκαιδεκάτῃ καὶ οὐκ ἀνεπαύσαντο· ἦγον δὲ καὶ τὴν
19 πεντεκαιδεκάτην μετὰ χαρᾶς καὶ εὐφροσύνης. [19]διὰ τοῦτο οὖν οἱ
Ἰουδαῖοι οἱ διεσπαρμένοι ἐν πάσῃ χώρᾳ τῇ ἔξω ἄγουσιν τὴν τεσσα-
ρεσκαιδεκάτην τοῦ Ἀδὰρ ἡμέραν ἀγαθὴν μετ᾽ εὐφροσύνης, ἀποστέλ-

12 om προς A | Εσθηρ]+τη βασιλισση ℵ$^{c.a\ mg}$ | Ιουδαιοι]+ϗ εφονευσαν ℵA ℵ$^{c.a\ mg}$ | om τη πολει ℵ* (superscr τ. πολι ℵ$^{c.a}$) | πεντακοσιους]+ϗ τους ι′ υιους Αμαν ℵ$^{c.a\ mg}$ | περιχωρω] χωρα A | αιει ℵ* (οιει ℵ$^{c.a}$) | εχρησαντο] κεχρηνται ℵ$^{c.a}$A | τι ουν] και τι A **13** χρησθαι] χρησται ℵ* χρησασθαι ℵ$^{c.a}$ | την αυριον] τη αυρ. ℵ$^{c.a}$ | om δεκα A | κρεμασαι Αμαν] κρεμασθηναι Αμαν επι ξυλου ℵ$^{c.a}$ Αμαν κρεμασθηναι A **14** om και επετρεψεν ουτως γενεσθαι A | επεστρεψεν ℵ* (επετρ. ℵ^{2}) | ουτω ℵ | εξεθηκε] επεθηκεν ℵ* (εξεθηκεν ℵ$^{c.a}$) | om της πολεως τα σωματα ℵ* (hab ℵ$^{c.a\ mg}$) **15** Σουσοις] ουσοις sup ras A^{a} | τεσσαρεσκαιδεκατη (τεσσαρισκαιδ. B$^{a?b}$ item 17, 19, 21)] τρισκαιδεκατη ℵ$^{c.a}$ | Αδαρ] μηνος ℵ* Αδαρ μηνος ℵ$^{c.a}$ | απεκτειναν]+οι Ιουδαιοι εν Σουσοις ℵ$^{c.a\ mg}$ | ουδεν] ουθεν A **16** συνηχθησαν και] συναχθεντες A | εβοηθουν]+περι της ψυχης αυτω ℵ$^{c.a}$ | αυτων] δυνατων ℵ* (αυτ. ℵ$^{c.a}$) | πεντακισχιλιους]+ουδεν διηρπασαν· ουκ απεστειλαν τας χειρας αυτων ℵ$^{c.a\ (mg)}$ | τρισκαιδεκατη] τεσσαρεσκαιδεκατη A | om του Αδαρ ℵ* (hab του αυτου Αδαρ ℵ$^{c.a\ mg}$) | και 3° pr και τεσσαρεσκαιδεκατη ℵ* (unc incl κ. τεσσ. ℵ$^{c.a}$) | om και ουδεν διηρπασαν ℵ$^{c.a}$A **17** om ανεπαυσαντο A | αυτου του μηνος ℵ | και 2° pr και ουδεν διηρπασαν και ανεπαυσαντο τη τεσσαρεσκαιδεκατη του αυτου μηνος A | ημεραν] pr την ℵ **18** οι εν Σουσοις] om οι A | om τη πολει ℵ* vid (hab τη πολι ℵ$^{c.a\ mg}$) | συνηχθησαν]+τη γ′ και ι′ του αυτου ℵ$^{c.a\ mg}$ | τεσσαρεσκαιδ. (τεσσαρισκαιδ. B$^{bc\ (fort)}$)]+του αυτου ℵ$^{c.a\ mg}$ | om και ουκ ℵ* c.b (hab ℵ$^{c.a}$) A | τη πεντεκαιδεκατη ℵ* (την πεντεκαιδεκατην ℵ$^{c.a}$) **19** δια τουτο] δια γαρ τ. ℵ$^{c.b}$A δια τ. ουν ℵ$^{c.a\ vid}$ | οι διεσπαρμενοι] om οι ℵA | εν] pr οικουντες ℵ$^{c.a}$ | παση χωρα] τη χ. A | om τη εξω ℵ* (hab ℵ$^{c.a\ mg}$) | την τεσσαρεσκαιδ. (τεσσεαρεσκ. ℵ* τεσσαρεσκ. ℵ^{2})] pr και A | Αδαρ] μηνος ℵ* (Αδαρ superscr ℵ$^{c.a}$) | μετ] μετα ℵA | ευφροσυνης]+ϗ ποτου ℵ$^{c.a}$

Β λοντες μερίδας ἕκαστος τῷ πλησίον. οἱ δὲ κατοικοῦντες ἐν ταῖς μητροπόλεσιν καὶ τὴν ε′ καὶ ι′ τοῦ Ἀδὰρ εὐφροσύνην ἀγαθὴν ἄγουσιν ἐξαποστέλλοντες μερίδας καὶ τοῖς πλησίον. 20 Ἔγραψεν δὲ Μαρδοχαῖος τοὺς λόγους τούτους εἰς βιβλίον, καὶ ἐξαπέστειλεν τοῖς Ἰουδαίοις ὅσοι ἦσαν ἐν τῇ Ἀρταξέρξου βασιλείᾳ, τοῖς ἐγγὺς καὶ τοῖς μακράν, 21 στῆσαι τὰς ἡμέρας ταύτας ἀγαθάς, ἄγειν τε τὴν τεσσαρεσ- καιδεκάτην καὶ τὴν πεντεκαιδεκάτην τοῦ Ἀδάρ· 22 ἐν γὰρ ταύταις ταῖς ἡμέραις ἀνεπαύσαντο οἱ Ἰουδαῖοι ἀπὸ τῶν ἐχθρῶν αὐτῶν· καὶ τὸν μῆνα ἐν ᾧ ἐστράφη αὐτοῖς, ὃς ἦν Ἀδάρ, ἀπὸ πένθους εἰς χαρὰν καὶ ἀπὸ ὀδύνης εἰς ἀγαθὴν ἡμέραν, ἄγειν ὅλον ἀγαθὰς ἡμέρας γάμων καὶ εὐφροσύνης, ἐξαποστέλλοντας μερίδας τοῖς φίλοις καὶ τοῖς πτωχοῖς. 23 καὶ προσεδέξαντο οἱ Ἰουδαῖοι καθὼς ἔγραψεν αὐτοῖς ὁ Μαρδοχαῖος, 24 πῶς Ἀμὰν Ἀμαδάθου ὁ Μακεδὼν ἐπολέμει αὐτούς, καθὼς ἔθετο ψῆφισμα καὶ κλῆρον ἀφανίσαι αὐτούς, 25 καὶ ὡς εἰσῆλθεν πρὸς τὸν βασιλέα λέγων κρεμάσαι τὸν Μαρδοχαῖον· ὅσα δὲ ἐπεχεί- ρησεν ἐπάξαι ἐπὶ τοὺς Ἰουδαίους κακὰ ἐπ᾽ αὐτὸν ἐγένοντο, καὶ ἐκρεμάσθη αὐτὸς καὶ τὰ τέκνα αὐτοῦ. 26 διὰ τοῦτο ἐπεκλήθησαν αἱ ἡμέραι αὗται Φρουραὶ διὰ τοὺς κλήρους, ὅτι τῇ διαλέκτῳ αὐτῶν καλοῦνται Φρουραί, διὰ τοὺς λόγους τῆς ἐπιστολῆς ταύτης, καὶ ὅσα πεπόνθασιν διὰ ταῦτα καὶ ὅσα αὐτοῖς ἐγένετο 27 καὶ ἔστησεν· καὶ

ℵA **19** μεριδας 1°] μεριδα ℵ* (-δας ℵc.a) | om εκαστος A | τω πλησιον] τοις πλ. A | om οι δε κατοικουντες...τοις πλησιον B* (hab Bab mg inf A) | την ε′ και ι′] τη πεντεκαιδεκατη ℵ την πεντεκαιδεκατῃ| A | ευφροσυνην] ημεραν ευφροσυνης ℵA | om αγουσιν 2° A | εξαποστελλουσιν ℵ*(-λλοντες ℵc.a) | μεριδας 2°] μεριδα ℵ* (-δας ℵc.a) | om και 3° ℵA **20** τους] τουτ incep ℵ* | εξαπεστειλεν] απε- στειλεν A | οσοι ησαν] οι εισιν ℵc.aA | βασιλια ℵ **21** om τε A | τη τεσσε- αρεσκαιδεκατη (sic) ℵ* (την τεσσαρεσκαιδεκατην ℵc.a) + του μηνος Αδαρ ℵc.a (mg) | πεντεκαιδεκατην] ημεραν πεμπτην και δεκατην ℵc.a | του Αδαρ] του Αγαρ ℵ* (Αδ. ℵc.a) om A **22** om γαρ ταυταις A | ανεπαυσαντο] pr οs ℵc.a vid pr αις A | om οι Ιουδαιοι ℵ* hab οι Ιουδ. εν αυταις ℵc.a (mg) | om απο 1° ℵ* (hab ℵc.a) | εστραφη] εγραφη ℵA | om οs ην Αδαρ A | Αγαρ ℵ* (Αδ. ℵc.a) | om απο πενθους...ημεραν ℵ απο οδυνης εις χαραν· και απο πενθους εις αγ. ημ. A | αγειν]+αυτας A | om ολον αγαθας A | ευφροσυνην ℵ* (-νης ℵc.a) | εξαποστελλοντες A **23** ο Μαρδοχαιος] om ο A **24** πως] οπως ℵA | Αμαν] pr ο ℵ* c.b (om ℵc.a) | Αμαδαθου] Αμαγαθουν ℵ* (Αμαδ. ℵc.a) Αμαθαδου A + ο Εβουγαιος (sic) ℵc.a mg | ο Μακεδων] om ο A | αυτους 1°] αυτοις ℵ* (-τους ℵc.a) τους Ιουδαιους A | καθως] και ως ℵc.aA | και κληρον] ϗ εβαλεν φουρ ο εστιν κληρος ℵc.a | αφανισαι] απολεσαι ℵc.aA **25** δε] τε ℵc.a om A | επεχειρησαν ℵ* (-σεν ℵc.a) | επι τους Ιουδαιους] τοις Ιουδαιοις (-δαιους A* -δαιοις Aa) | post κακα ras 2 litt ℵ? vid | εγενετο A | om και 2° A | αυτου] + επι τοις ξυλοις ℵc.a + επι των ξυλων ℵc.b A **26** om αι ημεραι αυται A | Φρουραι 1°] Φρουριμ ℵc.a | κληρους οτι τη διαλεκτ sup ras Bab | καλοιψται τη διαλεκτω αυτω̄| A | Φρουραι 2°] αι Φρουραι ℵ* vid Φρουρ. ℵc. **27** εστησε ℵ* (-σεν ℵc.a)

προσεδέχοντο οἱ Ἰουδαῖοι ἐφ' ἑαυτοῖς καὶ ἐπὶ τῷ σπέρματι αὐτῶν καὶ B
ἐπὶ τοῖς προστεθειμένοις ἐπ' αὐτῶν, οὐδὲ μὴν ἄλλως χρήσονται. αἱ
δὲ ἡμέραι αὗται μνημόσυνον ἐπιτελούμενον κατὰ γενεὰν καὶ γενεὰν
28 καὶ πόλιν καὶ πατριὰν καὶ χώραν. [28]αἱ δὲ ἡμέραι αὗται τῶν
Φρουραὶ ἀχθήσονται εἰς τὸν ἅπαντα χρόνον, καὶ τὸ μνημόσυνον
29 αὐτῶν οὐ μὴ ἐκλίπῃ ἐκ τῶν γενεῶν. [29]καὶ ἔγραψεν Ἐσθὴρ ἡ
βασίλισσα θυγάτηρ Ἀμιναδὰβ καὶ Μαρδοχαῖος ὁ Ἰουδαῖος ὅσα
(30, 31) 30 ἐποίησαν τό τε στερέωμα τῆς ἐπιστολῆς τῶν Φρουραί. [30]καὶ Μαρδο-
χαῖος καὶ Ἐσθὴρ ἡ βασίλισσα ἔστησαν ἑαυτοῖς καθ' ἑαυτῶν, καὶ τότε
(32) 31 στήσαντες κατὰ τῆς ὑγιείας ἑαυτῶν καὶ τὴν βουλὴν αὐτῶν. [31]καὶ
Ἐσθὴρ λόγῳ ἔστησεν εἰς τὸν αἰῶνα, καὶ ἐγράφη εἰς μνημόσυνον.

X 1 [1]Ἔγραψεν δὲ ὁ βασιλεὺς ἐπὶ τὴν βασιλείαν τῆς γῆς καὶ τῆς
2 θαλάσσης. [2]καὶ τὴν ἰσχὺν αὐτοῦ καὶ ἀνδραγαθίαν, πλοῦτόν τε καὶ
δόξαν τῆς βασιλείας αὐτοῦ, ἰδοὺ γέγραπται ἐν βιβλίῳ βασιλέων
3 Περσῶν καὶ Μήδων εἰς μνημόσυνον. [3]ὁ δὲ Μαρδοχαῖος διεδέχετο
τὸν βασιλέα Ἀρταξέρξην, καὶ μέγας ἦν ἐν τῇ βασιλείᾳ καὶ δεδο-
ξασμένος ὑπὸ τῶν Ἰουδαίων· καὶ φιλούμενος διηγεῖτο τὴν ἀγωγὴν
(4) F 1 παντὶ τῷ ἔθνει αὐτοῦ. [1]Καὶ εἶπεν Μαρδοχαῖος Παρὰ τοῦ
(5) 2 θεοῦ ἐγένετο ταῦτα. [2]ἐμνήσθην γὰρ περὶ τοῦ ἐνυπνίου οὗ
εἶδον περὶ τῶν λόγων τούτων, οὐδὲ γὰρ παρῆλθεν ἀπ' αὐτῶν
(6) 3 λόγος· [3]ἡ μικρὰ πηγὴ ἡ ἐγένετο ποταμός, καὶ ἦν φῶς καὶ
ἥλιος καὶ ὕδωρ πολύ. Ἐσθὴρ ἐστιν ὁ ποταμός, ἣν ἐγάμησεν
(7) 4 ὁ βασιλεὺς καὶ ἐποίησεν βασίλισσαν· [4]οἱ δὲ δύο δράκοντες,

27 προσεδεχοντο (προ|σεδ. B[b])] pr ως ℵA | αυτων 1°] αυτου ℵ* (-των ℵ[c.a]) | ℵA om και 4° A | τοις προστεθειμενοις] pr πασιν ℵ[c.a] προτεθειμενοις A | επ αυτων] επ αυτω ℵ* (-των ℵ[c.a]) εφ εαυτων A | μνημοσυναι επιτελουμεναι A | om επιτε-λουμενον ℵ* (hab ℵ[c.a mg]) | γενεαν 2°] πατριαν A | om και 7° ℵ* (superscr ϛ ℵ[1(vid)]) A | om πατριαν A **28** των Φρουραι] των Φρουρων ℵ* (-ριμ ℵ[c.a]) του Φρουραι A | αχθησονται] αρθησονται ℵ* (αχθ. ℵ[?]) | om εις A | εκλειπη A **29** om η βασιλισσα ℵ* (hab ℵ[c.a]) | Αμιναδαν ℵ | om ο Ιουδαιος ℵ* (superscr Ιουδαιοις ℵ[c.a]) | εποιησεν ℵ | το τε στερεωμα] το εστερεωμα ℵ* vid (το τε στ. ℵ[c.a]) om τε A | Φρουρων ℵ* Φρουριμ ℵ[c.b] Φρουραια A **30** Μαρδοχαιος]+ οσα εποιησεν το τε στερεωμα της επιστολης ℵ* (unc incl ℵ[?]) | υγιειας] υγιας ℵA | εαυτων] αυτων ℵ | την βουλην] om την ℵ* (superscr την ℵ[c.a]) | αυτων] εαυτων A **31** om και 1° ℵ* (superscr ℵ[c.a]) A X **1** δε] γαρ A | ο βασιλευς]+ Αρταξερξης ℵ[c.a mg inf] | επι] pr τελη ℵA | της βασιλειας ℵ* (την βασιλειαν ℵ[c.a]) | της γης] της τε γ. ℵA **2** αυτου 1°] αυτης ℵ* (-του ℵ[c.a]) | ανδραγαθιαν] ανδραγαθεια ℵ* την ανδραγαθιαν ℵ[c.a] | βασιλιας ℵ | ιδου] om ιδου ℵ* hab ιδου ταυτα ℵ[c.a (mg)] και ιδου A | βιβλιω] βιβλω ℵ* (-λιω ℵ[c.a]) pr τω A | βασιλεως ℵ* (-ων ℵ[c.a]) **3** ο δε Μαρδοχαιος] οτε ο M. ℵ* +ο Ιουδαιος ℵ[c.a mg] ο γαρ M. A | βασιλεια] βασιλια ℵ | διηγειτο] ηγειτο ℵ (ηγιτ.) A **F 1** Μαρδοχαιος] pr ο ℵ **2** om γαρ 1° ℵ[?]A | ουδε γαρ] ου γαρ ℵ ουδεν A | om απ A **3** om η 2° ℵ* (superscr η τις ℵ[c.a]) A **4** om δυο A |

Β ἐγώ εἰμι καὶ Ἀμάν· [5]τὰ δὲ ἔθνη, τὰ ἐπισυναχθέντα ἀπολέσαι 5 (8)
τὸ ὄνομα τῶν Ἰουδαίων· [6]τὸ δὲ ἔθνος τὸ ἐμόν, οὗτός ἐστιν 6 (9)
Ἰσραὴλ οἱ βοήσαντες πρὸς τὸν θεὸν καὶ σωθέντες. καὶ ἔσωσεν Κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐρρύσατο Κύριος ἡμᾶς ἐκ πάντων τῶν κακῶν τούτων· καὶ ἐποίησεν ὁ θεὸς τὰ σημεῖα καὶ τὰ τέρατα τὰ μεγάλα ἃ οὐ γέγονεν ἐν τοῖς ἔθνεσιν. [7]διὰ τοῦτο (10)
ἐποίησεν κλήρους δύο, ἕνα τῷ λαῷ τοῦ θεοῦ καὶ ἕνα πᾶσι τοῖς ἔθνεσιν· [8]καὶ ἦλθον οἱ δύο κλῆροι οὗτοι εἰς ὥραν καὶ καιρὸν καὶ (11)
εἰς ἡμέραν κρίσεως ἐνώπιον τοῦ θεοῦ καὶ πᾶσι τοῖς ἔθνεσιν,
[9]καὶ ἐμνήσθη ὁ θεὸς τοῦ λαοῦ αὐτοῦ, καὶ ἐδικαίωσεν τὴν κλη- 9 (12)
ρονομίαν ἑαυτοῦ. [10]καὶ ἔσονται αὐτοῖς αἱ ἡμέραι αὗται ἐν μηνὶ 10 (13)
Ἀδάρ, τῇ τεσσαρεσκαιδεκάτῃ καὶ τῇ πεντεκαιδεκάτῃ τοῦ αὐτοῦ μηνός, μετὰ συναγωγῆς καὶ χαρᾶς καὶ εὐφροσύνης ἐνώπιον τοῦ θεοῦ κατὰ γενεὰς εἰς τὸν αἰῶνα ἐν τῷ λαῷ αὐτοῦ Ἰσραήλ.

[11]Ἔτους τετάρτου βασιλεύοντος Πτολεμαίου καὶ Κλεο- 11 (1) (XI)
πάτρας εἰσήνεγκεν Δοσίθεος, ὃς ἔφη εἶναι ἱερεὺς καὶ Λευείτης, καὶ Πτολεμαῖος ὁ υἱὸς αὐτοῦ τὴν προκειμένην ἐπιστολὴν τῶν Φρουραί, ἣν ἔφασαν εἶναι καὶ ἑρμηνευκέναι Λυσίμαχον Πτολεμαίου τῶν ἐν Ἰερουσαλήμ.

ℵA **4** ειμι] ημην ℵ* (ειμι ℵ$^{c.a}$) **5** επισυναχθεντα] συναχθ. A **6** Ισραηλ] pr ο A | om Κυριος 1° A | ερυσατο ℵA | om Κυριος 2° ℵ$^{c.a}$A **7** om δια τουτο...τοις εθνεσιν A | τω λαω του θεου] τω θω του λαου ℵ **8** om και ηλθον...τοις εθνεσιν B* (hab B$^{ab\ mg\ inf}$) | ουτοι] αυτοι ℵ* (ουτ. ℵ$^{c.a}$) om A | καιρον] κληρον B^{ab}ℵA | πασι τοις εθν.] pr εν ℵ$^{c.a}$ (improb εν ℵ$^{c.b}$) πασῖ| εθνεσιν A **9** θεος] κς A | εαυτου] αυτου ℵA **10** om και τη πεντεκαιδεκατη ℵ* (hab ϛ τη ε′ ϛ ι′ ℵ$^{c.a\ mg}$) A* (hab ϛ τη π. A$^{a\ ?mg}$) | γενεαν A **11** Κλαιοπατρας A | Δωσιθεος B* (Δοσιθ. B^{ab}) Δωσειθεος ℵ | om ος ℵ* (superscr ℵ$^{c.a}$) | Λευιτης ℵA | ο υιος] om ο A | Φρουραια ℵ* (Φρουριμ ℵ$^{c.a}$) A | ερμηνευκεναι] ν 1° sup ras B$^{?}$ ηρμηνευκεναι A

Subscr Εσθηρ BℵA

αντεβληθη προς παλαιω|τατον λιαν αντιγραφον| δεδιορθωμενον χειρι| του αγιου μαρτυρος Παμ|φιλου· προς δε τω τελει| του αυτου παλαιωτατου| βιβλιου οπερ αρχην μεν| ειχεν απο της πρωτης| των βασιλειων· εις δε| την Εσθηρ ελληγεν· τοι|αυτη τις εν πλατει ιδιο|χειρος υποσημιωσις του| αυτου μαρτυρος υπεκειτο| εχουσα ουτως:

μετελημφθη και διορ|θωθη προς τα εξαπλα| Ωριγενους υπ αυτου δι|ορθωμενα· Αντωνινος| ομολογητης αντεβαλε·| Παμφιλος διορθωσατο| τευχος εν τη φυλακη| δια την του θυ πολλη| και χαριν και πλατυσμο| και ει γε μη βαρυ ειπειν| τουτω τω αντιγραφω| παραπλησιον ευρειν| αντιγραφον ου ραδιον.|

διεφωνη δε το αυτο| παλαιωτατον βιβλιο| προς τοδε το τευχος| εις τα (corr τινα) κυρια ονοματα| ℵ*$^{?1\ ?mg\ inf}$

ΙΟΥΔΕΙΘ

I (5a) 1 ΕΤΟΥΣ δωδεκάτου τῆς βασιλείας Ναβουχοδονοσόρ, ὃς ἐβα- B
(1) σίλευσεν Ἀσσυρίων ἐν Νινευὴ τῇ πόλει τῇ μεγάλῃ, (1)ἐν ταῖς
2 ἡμέραις Ἀρφαξάδ, ὃς ἐβασίλευσεν Μήδων ἐν Ἐκβατάνοις 2καὶ
(2a) ᾠκοδόμησεν ἐπ' Ἐκβατάνων καὶ κύκλῳ (2a)τείχη ἐκ λίθων λελαξευ-
μένων, εἰς πλάτος πηχῶν τριῶν καὶ εἰς μῆκος πηχῶν ἕξ, καὶ
ἐποίησεν τὸ ὕψος τοῦ τείχους πηχῶν ἑβδομήκοντα καὶ τὸ
(2b) 3 πλάτος αὐτοῦ πηχῶν πεντήκοντα· 3καὶ τοὺς πύργους αὐτοῦ
ἔστησεν ἐπὶ ταῖς πύλαις αὐτῆς πηχῶν ἑκατόν, καὶ τὸ πλάτος
(3b) 4 αὐτῆς ἐθεμελίωσεν εἰς πήχεις ἑξήκοντα· 4καὶ ἐποίησεν τὰς πύλας
αὐτῆς πύλας διεγειρομένας εἰς ὕψος πηχῶν ἑβδομήκοντα, καὶ τὸ
(4) πλάτος αὐτῆς πήχεις τεσσεράκοντα, (4)εἰς ἐξόδους δυνάμεως δυ-
(5b) 5 νατῶν αὐτοῦ καὶ διατάξεις τῶν πεζῶν αὐτοῦ· 5καὶ ἐποίησεν
πόλεμον ἐν ταῖς ἡμέραις ἐκείναις βασιλεὺς Ναβουχοδονοσὸρ πρὸς
(6) βασιλέα Ἀρφαξὰδ (6)τῷ πεδίῳ τῷ μεγάλῳ, τοῦτό ἐστιν τοῖς ὁρίοις
6 Ῥαγαύ. 6καὶ συνήντησαν πρὸς αὐτὸν πάντες οἱ κατοικοῦντες
τὴν ὀρινήν, καὶ πάντες οἱ κατοικοῦντες τὸν Εὐφράτην καὶ τὸν
Τίγριν καὶ τὸν Ὑδάσπην, καὶ πεδίῳ Ἀριὼχ ὁ βασιλεὺς Ἐλυμαίων·

I **1** *τη πολει τη μεγ.*] *τη μεγ. πολει* ℵ **2** *επ Εκβατανων* BAℵ$^{c.a}$] ℵA *Εκβατανα* ℵ* *Εκβατανων* ℵ$^{c.b}$ | om *και* 2° ℵ$^{c.a}$ (hab ℵ*$^{c.b}$) A | *πηχων* 2°, 3°] *πηχεων* ℵ | *υψος*] *μηκος* A | om *και το πλ. αυτου πηχ. πεντηκοντα* ℵ* (hab *και το πλ. αυτου πηχ. ν'* ℵ$^{c.a}$) | *πεντηκοντα*] *εβδομηκοντα* A **3** *αυτου*] *αυτης* ℵ | *εστησεν*] *κατεστησε*ι ℵ | *πηχων*] *πηχεων* ℵ **4** *διεγηγερμενας* ℵ* (*διεγειρ.* ℵ*) | *εβδομηκοντα*] *εξηκοντα* ℵ | *πηχεις*] *πηχεων* ℵ | *τεσσαρακ.* B^{b} | *εξοδον* ℵ* (*εξοδους* ℵ$^{c.a}$) | *δυναμεως...πεζων αυτου*] *τω*| *αρματων αυτων*| ℵ* *δυναμεων δυνατων αυτου και αρματων αυτου και εις διαταξεις των πεζ. αυτου* ℵ$^{c.a}$ *δυναμεων δυνατων*| *αυτου·* *και διαταξεις των πεζ. αυτου* A | *και αι δ.* B **5** *βασιλευς*] pr ο A | *τω πεδιω*] pr *εν* ℵA | *εστιν*] + *πεδιον* ℵA (*παιδ.*) | om *τοις οριοις* ℵ *εν τ. ορ.* A **6** *συνηντησε*ν| A | *προς αυτον*] *εις πολεμον* ℵ* *προς αυτον εις πολ.* ℵ$^{c.a}$ | om *την ορινην και παντες οι κατοικουντες* ℵ* (hab ℵ$^{c.a}$) | *ορειν.* B^{ab} (ita fere ubique) | *Τριγιν* A | *πεδιω*] *τα παιδια* ℵ$^{c.a}$ *παιδια* A | *Αρι*|*ασε* ℵ* (*Αριωχ* ℵ$^{c.a}$) | *βασιλεως* ℵ* (*ο βασιλευς* ℵ$^{c.a}$)

B καὶ συνῆλθον ἔθνη πολλὰ εἰς παράταξιν υἱῶν Χελεούλ. 7 Καὶ 7 (7b,10)
ἀπέστειλεν Ναβουχοδονοσὸρ βασιλεὺς Ἀσσυρίων ἐπὶ πάντας τοὺς
κατοικοῦντας τὴν Περσίδα καὶ ἐπὶ πάντας τοὺς κατοικοῦντας
πρὸς δυσμαῖς, τοὺς κατοικοῦντας τὴν Κιλικίαν καὶ Δαμασκόν,
τὸν Λίβανον καὶ Ἀντιλίβανον, καὶ πάντας τοὺς κατοικοῦντας
κατὰ πρόσωπον παραλίας, 8 καὶ τοὺς ἐν τοῖς ἔθνεσι τοῦ Καρ- 8 (8)
μήλου καὶ Γαλαὰδ καὶ τὴν ἄνω Γαλειλαίαν καὶ τὸ μέγα πεδίον
Ἐσρήμ, 9 καὶ πάντας τοὺς ἐν Σαμαρείᾳ καὶ ταῖς πόλεσιν αὐτῆς, 9 (9a)
καὶ πέραν τοῦ Ἰορδάνου ἕως Ἰερουσαλὴμ καὶ Βαιτανὴ καὶ Χελοὺς
καὶ Κάδης καὶ τοῦ ποταμοῦ Αἰγύπτου, καὶ Ταφνὰς καὶ Ῥαμεσσὴ
καὶ πᾶσαν γῆν Γέσεμ 10 ἕως τοῦ ἐλθεῖν ἐπάνω Τάνεως καὶ Μέμ- 10 (9b)
φεως, καὶ πάντας τοὺς κατοικοῦντας τὴν Αἴγυπτον ἕως τοῦ ἐλ-
θεῖν ἐπὶ τὰ ὅρια τῆς Αἰθιοπίας. 11 καὶ ἐφαύλισαν πάντες οἱ 11 (11)
κατοικοῦντες πᾶσαν τὴν γῆν τὸ ῥῆμα Ναβουχοδονοσὸρ βασι-
λέως Ἀσσυρίων καὶ οὐ συνῆλθον αὐτῷ εἰς τὸν πόλεμον, ὅτι
οὐκ ἐφοβήθησαν αὐτὸν ἀλλ' ἦν ἐναντίον αὐτῶν ὡς ἀνὴρ ἴσος, καὶ
ἀνέστρεψαν τοὺς ἀγγέλους αὐτοῦ κενοὺς ἐν ἀτιμίᾳ πρὸ προσ-
ώπου αὐτῶν. 12 Καὶ ἐθυμώθη Ναβουχοδονοσὸρ ἐπὶ πᾶσαν 12 (12)
τὴν γῆν ταύτην σφόδρα, καὶ ὤμοσε κατὰ τοῦ θρόνου καὶ τῆς
βασιλείας αὐτοῦ, εἰ μὴ ἐκδικήσειν πάντα τὰ ὅρια τῆς Κιλικίας —
καὶ Δαμασκηνῆς καὶ Συρίας, ἀνελεῖν τῇ ῥομφαίᾳ αὐτοὺς καὶ πάν-
τας τοὺς κατοικοῦντας ἐν τῇ Μωὰβ καὶ τοὺς υἱοὺς Ἀμμὼν καὶ
πᾶσαν τὴν Ἰδουμαίαν καὶ πάντας τοὺς ἐν Αἰγύπτῳ ἕως τοῦ ἐλ-
θεῖν ἐπὶ τὰ ὅρια τῶν δύο θαλασσῶν. 13 καὶ παρετάξατο ἐν τῇ 13

ℵA **6** *συνηλθον*] *συνηχθησαν* ℵ *συνηλθαν* A | Χελεουλ] Χεσλαιουδα ℵ* Χελαιουδ ℵc.a Χελεουδ A **7** *την Περσιδα*] Ιαμνιαν ℵ* *την* Π. *κ* Ιαμν. ℵc.a Περσιδα A | om *τους κατοικουντας* (2°) ℵ | om *προς δυσμαις* ℵ* (hab ℵc.a) | *την* Κιλικιαν] om *την* ℵA | om *και Δαμασκον* ℵ* (hab *κ Δαμ.* ℵc.a) | *τον Λιβανον*] om *τον* ℵ *και Λιβ.* A | om *και Αντιλιβανον* ℵ | *παραλιας*] pr *της* ℵA **8** *τους*] *τοις* ℵ | *εθνεσιν* ℵ | Γαλιλαιαν BbA | Εσρημ] Εσρημ B Εσ'|δρηλων ℵ Εσδρημ' A **9** Σαμαρια A | *εως*]+*εις* ℵ* (om ℵc.a) | Βα|τανη ℵ Βλιτανη A | Χεσλους ℵ | *του ποταμου*] *τους*| *χιμαρρους* ℵ | *γην*] *την* ℵ **10** om *επανω...ελθειν* 2° ℵ* (hab ℵc.a) **11** *πασαν την γην*] *την γῆ πασαν* ℵ* (*παν* ℵc.b postea ut vid penitus om) | *συνηλθον*] *συνηλθοσᾶ*| ℵ **11—13** [*εφοβηθ*]*ησαν...εκραταιωθη εν τ*[*ω*] retract Ab **11** *ισος*] *εις* ℵA | *απεστρεψαν* ℵA* (vid) b | *προ προσωπου*] *προσωπων* ℵ *απο προσωπου* Ab **12** om *ταυτην* A*b | *ωμοσεν* ℵAb | *και της* sup ras B1?ab *και κατα της* ℵ | *εκδικησει* ℵ* (*εκδικησειν* ℵc.a) *εκδικησιν* A | *ορια* 1°] *ορη* Ab | *Δαμασκηνης*] *Δαμασκου* ℵ | om *Συριας* ℵ* (hab *Συριας κ* ℵc.a) | *τη ρομφ.*] pr *εν* ℵ | *αυτους*] *αυτου* ℵAb | om *και* 6° ℵc.a | *τη Μωαβ*] *γη* M. ℵAb | *υιους*] *υιων* Ab | *την* Ιδουμαιαν] *την* Ιου|δαιαν ℵ *τῆ*| Ιουδαιαν A* (non rescr *τῆ*| Ab) | *του ελθειν*] om *του* ℵ

δυνάμει αὐτοῦ πρὸς Ἀρφαξὰδ βασιλέα ἐν τῷ ἔτει τῷ ἑπτακαι- B
δεκάτῳ· καὶ ἐκραταιώθη ἐν τῷ πολέμῳ αὐτοῦ, καὶ ἀνέστρεψεν
πᾶσαν τὴν δύναμιν Ἀρφαξὰδ καὶ πᾶσαν τὴν ἵππον αὐτοῦ καὶ
14 πάντα τὰ ἅρματα αὐτοῦ, [14]καὶ ἐκυρίευσεν τῶν πόλεων αὐτοῦ·
καὶ ἀφίκετο ἕως Ἐκβατάνων, καὶ ἐκράτησεν τῶν πύργων καὶ
ἐπρονόμευσε τὰς πλατείας αὐτῆς, καὶ τὸν κόσμον αὐτῆς ἔθηκεν
(5–6) 15 εἰς ὄνειδος αὐτῆς· [15]καὶ ἔλαβε τὸν Ἀρφαξὰδ ἐν τοῖς ὄρεσι Ῥα-
– γαύ, καὶ κατηκόντισεν αὐτὸν ἐν ταῖς σιβύναις αὐτοῦ, καὶ ἐξωλέ-
16 θρευσεν αὐτὸν ἕως τῆς ἡμέρας ἐκείνης. [16]καὶ ἀνέστρεψεν μετ' αὐ-
τῶν αὐτὸς καὶ ἡ δύναμις αὐτοῦ ἐφ' ἡμέρας ἑκατὸν εἴκοσι.

II 1 [1]Καὶ ἐν τῷ ἔτει τῷ ὀκτωκαιδεκάτῳ, δευτέρᾳ καὶ εἰκάδι τοῦ πρώτου
μηνός, ἐγένετο λόγος ἐν οἴκῳ Ναβουχοδονοσὸρ βασιλέως Ἀσσυρίων
2 ἐκδικῆσαι πᾶσαν τὴν γῆν καθὼς ἐλάλησεν. [2]καὶ συνεκάλεσεν πάν-
τας τοὺς θεράποντας αὐτοῦ καὶ πάντας τοὺς μεγιστᾶνας αὐτοῦ, καὶ
ἔθετο μετ' αὐτῶν τὸ μυστήριον τῆς βουλῆς αὐτοῦ, καὶ συνετέλεσεν
3 πᾶσαν τὴν κακίαν τῆς γῆς ἐκ τοῦ στόματος αὐτοῦ· [3]καὶ αὐτοὶ ἔκρι-
ναν ὀλεθρεῦσαι πᾶσαν σάρκα οἳ οὐκ ἠκολούθησαν τῷ λόγῳ τοῦ
4 στόματος αὐτοῦ. [4]καὶ ἐγένετο ὡς συνετέλεσεν τὴν βουλὴν αὐτοῦ,
ἐκάλεσεν Ναβουχοδονοσὸρ βασιλεὺς Ἀσσυρίων τὸν Ὀλοφέρνην ἀρχι-
(5[a]) στράτηγον τῆς δυνάμεως αὐτοῦ, δεύτερον ὄντα μετ' αὐτόν, (5[a])καὶ
– 5 εἶπεν πρὸς αὐτόν [5]Τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας, ὁ κύριος
πάσης τῆς γῆς Ἰδοὺ σὺ ἐξελεύσῃ ἐκ τοῦ προσώπου μου, καὶ
λήμψῃ μετὰ σεαυτοῦ ἄνδρας πεποιθότας ἐν ἰσχύι αὐτῶν, πεζῶν
εἰς χιλιάδας ἑκατὸν εἴκοσι καὶ πλῆθος ἵππων σὺν ἀναβάταις
(5[b]) 6 μυριάδας δέκα δύο, [6]καὶ ἐξελεύσῃ εἰς συνάντησιν πάσῃ τῇ γῇ ἐπὶ
– 7 δυσμάς, ὅτι ἠπείθησαν τῷ ῥήματι τοῦ στόματός μου· [7]καὶ ἑτοι-
μάζειν γῆν καὶ ὕδωρ, ὅτι ἐξελεύσομαι ἐν θυμῷ μου ἐπ' αὐτούς,
καὶ καλύψω πᾶν τὸ πρόσωπον τῆς γῆς ἐν τοῖς ποσὶν τῆς δυνά-
8 μεώς μου, καὶ δώσω αὐτοὺς εἰς διαρπαγὴν αὐτοῖς· [8]καὶ οἱ τραυ-

13 βασιλεα] pr τον ℵ | ανεστρεψεν] ανετρε|ψεν ℵ | την δυναμιν] om την ℵ | ℵA om παντα ℵ* (hab ℵ[c.a]) | αρματα] χρηματα ℵ **14** επρονομευσεν ℵA **15** ελαβεν ℵA | ορεσιν ℵ ορεσει A | σιβυναις] ζιβυναις B[ab]ℵ[c.a]A | εξωλοθρ. B[b] | εκεινης] ταυτης ℵ **16** μετ αυτων] αυτος (εις Νινευη αυτος A) και πας ο˙ σῦ|μικτος (συμμ. A) αυτου πληθος ανδρων πολεμιστων πολυ (πολυν A[1(vid)]) σφοδρα· και ην εκει ραθυμων (ραμνθων A*) και ευωχουμενος ℵA II **1** βασιλεως] βασιλευς A **3** ολοθρευσαι ℵ **5** om συ ℵ | του προσωπου] om του ℵ | om εις ℵ | om και πληθος ℵ* (hab ℵ[c.a]) | μυριαδας] χιλιαδας B[ab]A χειλιαδες ℵ* (-δας ℵ[c.a]) | δεκα δυο] ιβ' ℵ **6** συναντησιν] υπαντησιν ℵ | παση τη γη] πασης της γης ℵ | δυσμαις ℵ **7** και 1°]+α|παγγελεις αυτοις| B[ab]ℵA | ετοιμαζειν]+μοι ℵ[c.a]

B ματίαι αὐτῶν πληρώσουσιν τὰς φάραγγας αὐτῶν καὶ τοὺς χει-
μάρρους, καὶ ποταμὸς ἐπικλύζων τοῖς νεκροῖς αὐτῶν πληρωθή-
σεται· 9καὶ ἄξω τὴν αἰχμαλωσίαν αὐτῶν ἐπὶ τὰ ἄκρα πάσης τῆς 9
γῆς. 10σὺ δὲ ἐξελθὼν προκαταλήμψῃ μοι πᾶν ὅριον αὐτῶν, καὶ 10
ἐκδώσουσίν σοι ἑαυτούς, καὶ διατηρήσεις ἐμοὶ αὐτοὺς εἰς ἡμέραν
ἐλεγμοῦ αὐτῶν· 11ἐπὶ δὲ τοὺς ἀπειθοῦντας οὐ φείσεται ὁ ὀφθαλ- 11 (6a)
μός σου, δοῦναι αὐτοὺς εἰς φόνον καὶ ἁρπαγὴν ἐν πάσῃ τῇ –
γῇ σου. 12ὅτι ζῶν ἐγὼ καὶ τὸ κράτος τῆς βασιλείας μου, λελά- 12
ληκα καὶ ποιήσω ταῦτα ἐν χειρί μου. 13καὶ σὺ δὲ οὐ παραβήσῃ 13
ἕν τι τῶν ῥημάτων τοῦ κυρίου σου, ἀλλὰ ἐπιτελῶν ἐπιτελέσεις
καθότι προστέταχά σοι, καὶ οὐ μακρυνεῖς τοῦ ποιῆσαι αὐ-
τά. 14Καὶ ἐξῆλθεν Ὀλοφέρνης ἀπὸ προσώπου τοῦ κυρίου 14 (7)
αὐτοῦ, καὶ ἐκάλεσεν πάντας τοὺς δυνάστας καὶ τοὺς στρατηγοὺς
καὶ ἐπιστάτας τῆς δυνάμεως Ἀσσούρ, 15καὶ ἠρίθμησεν ἐκλεκτοὺς 15
ἄνδρας εἰς παράταξιν, καθότι ἐκέλευσεν αὐτῷ ὁ κύριος αὐτοῦ,
εἰς μυριάδας δέκα δύο καὶ ἱππεῖς τοξότας μυρίους δισχιλίους, –
16καὶ διέταξεν αὐτοὺς ὃν τρόπον πολέμου πλῆθος συντάσσεται. 16
17καὶ ἔλαβεν καμήλους καὶ ὄνους καὶ ἡμιόνους εἰς τὴν ἀπαρτίαν 17 (8)
αὐτῶν, πλῆθος πολὺ σφόδρα, καὶ πρόβατα καὶ βόας καὶ αἶγας
εἰς τὴν παρασκευὴν αὐτῶν ὧν οὐκ ἦν ἀριθμός, 18καὶ ἐπισιτισμὸν 18 (9,10)
παντὶ ἀνδρὶ εἰς πλῆθος, καὶ χρυσίον καὶ ἀργύριον ἐξ οἴκου βασι-
λέως σφόδρα. 19καὶ ἐξῆλθεν αὐτὸς καὶ πᾶσα ἡ δύναμις αὐτοῦ 19 (11)
εἰς πορείαν τοῦ προελθεῖν βασιλέως Ναβουχοδονοσὸρ καὶ καλύψαι
πᾶν τὸ πρόσωπον τῆς γῆς πρὸς δυσμαῖς ἐν ἅρμασι καὶ ἱππεῦ-
σι καὶ πεζοῖς ἐπιλέκτοις αὐτῶν. 20καὶ πολὺς ὁ ἐπίμικτος ὡς 20
ἀκρὶς συνεξῆλθον αὐτοῖς, καὶ ὡς ἡ ἄμμος τῆς γῆς, οὐ γὰρ ἦν
ἀριθμὸς ἀπὸ πλήθους αὐτῶν. 21καὶ ἐπῆλθον ἐκ Νινευὴ ὁδὸν 21 (12)
τριῶν ἡμερῶν ἐπὶ πρόσωπον τοῦ πεδίου Βαικτειλαίθ, καὶ ἐπε-
στρατοπέδευσαν ἀπὸ Βαικτειλαὶθ πλησίον τοῦ ὄρους τοῦ ἐπ᾽ ἀρι-

ℵA **8** τους χειμαρρους] πας χιμ. ℵ **10** προκαταληψη B^{b} ("ut alias") προσκατα-
λημψη A | σοι εαυτους] αυτους ℵ (σοι εαυτ. ℵ$^{c.a}$) **11** δουναι] pr του ℵA
12 ζω ℵ | λελαληκα] pr οσα ℵ$^{c.a}$ **13** αλλ ℵA | μακρυνει A* (s superscr
•A^{1}) **14** επιστατας] τους σατραπας ℵ* (α 1° ℵ^{1}) + και επιστατας ℵ$^{c.a}$
15 εκελευσεν] προσεταξεν ℵA | δεκα δυο] δωδεκα ℵ **16** πληθος πολεμου
ℵ **17** ημιονους] μ pro υ A$^{1\,vid}$ **18** om εξ οικου βασ. σφοδρα ℵ*
(hab εξ οικου του βασ. πολυν σφοδρα ℵ$^{c.a}$) | σφοδρα] pr πολυ A **19** η
δυν. αυτου πασα ℵ | om και 3° A | αρμασιν ℵ | ιππευσιν ℵ **20** ο επιμ.]
om ο ℵ | ακρις] pr η ℵ | συνεξηλθεν ℵ **21** επηλθον] απηλθον ℵ*
εξηλθον ℵ$^{c.a}$ εξηλθεν A | Βαικτειλαιθ] Βαιτουλια ℵ* (Βεκτιλεθ ℵ$^{c.a}$) Βεκτελεθ
A | απο B. πλησιον] απεναντι ℵ απο Πακταλαι πλ. A | του επ αρ.] εν αρ. ℵ

– 22 στερᾷ τῆς ἄνω Κιλικίας. [22]καὶ ἔλαβεν πᾶσαν τὴν δύναμιν αὐτοῦ, B
τοὺς πεζοὺς καὶ τοὺς ἱππεῖς καὶ τὰ ἅρματα αὐτοῦ, καὶ ἀπῆλθεν
(13) 23 ἐκεῖθεν εἰς τὴν ὀρινήν. [23]καὶ διέκοψεν τὸ Φουδ καὶ Λούδ, καὶ
ἐπρονόμευσαν υἱοὺς πάντας Ῥασσεὶς καὶ υἱοὺς Ἰσμαὴλ τοὺς κατὰ
(14) 24 πρόσωπον τῆς ἐρήμου πρὸς νότον τῆς Χαλδαίων. [24]καὶ παρῆλ-
θεν τὸν Εὐφράτην καὶ διῆλθεν τὴν Μεσοποταμίαν, καὶ διέσκαψε
πάσας τὰς πόλεις τὰς ὑψηλὰς τὰς ἐπὶ τοῦ χειμάρρου Ἀβρωνὰ
(15) 25 ἕως τοῦ ἐλθεῖν ἐπὶ θάλασσαν. [25]καὶ κατελάβετο τὰ ὅρια τῆς
Κιλικίας, καὶ κατέκοψε πάντας τοὺς ἀντιστάντας αὐτῷ, καὶ ἦλ-
θεν ἕως ὁρίων Ἰάφεθ τὰ πρὸς νότον κατὰ πρόσωπον τῆς Ἀρα-
(16) 26 βίας. [26]καὶ ἐκύκλωσεν πάντας τοὺς υἱοὺς Μαδιάμ, καὶ ἐνέπρησεν
τὰ σκηνώματα αὐτῶν, καὶ ἐπρονόμευσεν τὰς μάνδρας αὐτῶν.
(17) 27 [27]καὶ κατέβη εἰς πεδίον Δαμασκοῦ ἐν ἡμέραις θερισμοῦ πυρῶν
– καὶ ἐνέπρησεν πάντας τοὺς ἀγροὺς αὐτῶν, τὰ ποίμνια καὶ τὰ
βουκόλια ἔδωκεν εἰς ἀφανισμόν, καὶ τὰς πόλεις αὐτῶν ἐσκύλευ-
σεν καὶ τὰ πεδία αὐτῶν ἐξελίκμησεν, καὶ ἐπάταξεν πάντας
18) 28 τοὺς νεανίσκους αὐτῶν ἐν στόματι ῥομφαίας. [28]Καὶ ἐπέ-
πεσεν φόβος καὶ τρόμος αὐτοῦ ἐπὶ τοὺς κατοικοῦντας τὴν παρα-
– λίαν, τοὺς ὄντας ἐν Σιδῶνι καὶ Τύρῳ, καὶ τοὺς κατοικοῦντας
Ἀσσοὺρ καὶ Ὀκεινά, καὶ πάντας τοὺς κατοικοῦντας Ἰεμνάαν,
καὶ οἱ κατοικοῦντες ἐν Ἀζώτῳ καὶ Ἀσκάλωνι ἐφοβήθησαν αὐτὸν
III (1[a]) 1 σφόδρα. [1]Καὶ ἀπέστειλαν πρὸς αὐτὸν ἀγγέλους λόγοις
(2–6) 2 εἰρηνικοῖς λέγοντες [2]Ἰδοὺ ἡμεῖς οἱ παῖδες Ναβουχοδονοσὸρ βασι-
λέως μεγάλου παρακείμεθα ἐνώπιόν σου, χρῆσαι ἡμῖν καθὼς
3 ἀρεστόν ἐστιν τῷ προσώπῳ σου· [3]ἰδοὺ αἱ ἐπαύλεις ἡμῶν καὶ πᾶν •

23 το Φουδ] τους Φ. ℵA | επρονομευσεν ℵA | υιους παντας] αυτους παντας ℵA και τους υιους ℵ | Ραασσεις ℵ | Ισμαηλ] Μαηκ ℵ* (Ισμ. ℵ[c.a]) | τους κατα] om τους ℵ | Χαλδαιων] Χελεων ℵA 24 παρηλθεν] διεβη ℵ [διηλθεν] παρηλθεν ℵ | διεσκαψε] κατεσκαψεν ℵA | πασας τας] in π, τ ras aliq B[?] | Αβρωνα] Χεβρων ℵ | θαλασσαν] pr την ℵ 25 προκατελαβετο ℵ | ορια] ορη ℵ | κατεκοψεν ℵA | αντιστατας A* (ν superscr A[1]) | Ιαφεθ] α sup ras A[a] | τα προς] του προς ℵ 26 ενεπρησεν] ρ sup ras A[a] 27 τα ποιμνια] pr και ℵA | εδωκαν ℵ | om εν 2° ℵ 28 επεπεσεν] επεσεν ℵA | φοβος και τρομος αυτου] φ. αυτου και τρ. ℵ ο φ. και ο τρ. αυτου A | την παραλιαν] την π sup ras A[a] | Τυρω] pr εν ℵA | Ασσουρ] Σουρ B[ab]ℵ[a?a.b, c.a]Λ Τουρ ℵ* | Οκεινα... Ιεμναν] Αμμᾶ| ℵ* τους Κιναιους και παντας τους κατοικουντας Ιεμναα ℵ[c.a] | οι κατοικουντες] τους κατοικουντας ℵ | Ασκαλωνι]+και Γαζη ℵ III 2 οιδε ℵ* (ιδου ℵ[c.a]) | παιδες]+σου παιδες ℵ | μεγαλου] in ε ras aliq B[?] | παρεκειμεθα ℵ* (παρακ. ℵ[c.a]) | om σου 1° ℵ* (hab ℵ[c.a]) | om χρησαι...αρεστον ℵ | αρεστον εστιν] ν εστ sup ras A[1?] | τω προσωπω] εν προσ. ℵ* 2–3 om εν προσωπω... προ προσωπου σου ℵ[c.a] (hab ℵ*[c.b]) 3 ημων 1°]+και πας τοπος ημων· A | om και παν πεδιον...των σκηνων ημων ℵ

Β πεδίον πυρῶν καὶ τὰ ποίμνια καὶ τὰ βουκόλια καὶ πᾶσαι αἱ
μάνδραι τῶν σκηνῶν ἡμῶν παράκεινται πρὸ προσώπου σου,
χρῆσαι καθ' ὃ ἂν ἀρέσκῃ σοι· 4ἰδοὺ καὶ αἱ πόλεις ἡμῶν καὶ 4
οἱ κατοικοῦντες ἐν αὐταῖς δοῦλοί σοί εἰσιν, ἐλθὼν ἀπάντησον
αὐταῖς ὡς ἔστιν ἀγαθὸν ἐν ὀφθαλμοῖς σου. 5καὶ παρεγένοντο 5 (1b)
οἱ ἄνδρες πρὸς Ὀλοφέρνην καὶ ἀπήγγειλαν αὐτῷ κατὰ τὰ ῥή-
ματα ταῦτα. 6καὶ κατέβη ἐπὶ τὴν παραλίαν αὐτὸς καὶ ἡ δύναμις 6 (7,8)
αὐτοῦ, καὶ ἐφρούρωσε τὰς πόλεις τὰς ὑψηλάς, καὶ ἔλαβον ἐξ
αὐτῶν εἰς συμμαχίαν ἄνδρας ἐπιλέκτους· 7καὶ ἐδέξαντο αὐτὸν 7 (9b,10)
αὐτοὶ καὶ πᾶσα ἡ περίχωρος αὐτῶν μετὰ στεφάνων καὶ χορῶν
καὶ τυμπάνων. 8καὶ κατέσκαψεν πάντα τὰ ὅρια αὐτῶν, καὶ τὰ 8 (12,13)
ἄλση αὐτῶν ἐξέκοψεν· καὶ ἦν δεδομένον αὐτῷ ἐξολεθρεῦσαι πάν-
τας τοὺς θεοὺς τῆς γῆς, ὅπως αὐτῷ μόνῳ τῷ Ναβουχοδονοσὸρ
λατρεύωσι πάντα τὰ ἔθνη, καὶ πᾶσαι αἱ γλῶσσαι καὶ πᾶσαι
αἱ φυλαὶ αὐτῶν ἐπικαλέσωνται αὐτὸν εἰς θεόν. 9καὶ ἦλθεν κατὰ 9 (14,15)
πρόσωπον Ἐσδραηλὼν πλησίον τῆς Δωταίας, ἥ ἐστιν ἀπέναντι
τοῦ πρίονος τοῦ μεγάλου τῆς Ἰουδαίας, 10καὶ κατεστρατοπέδευ- 10
σαν ἀνὰ μέσον Γαιβαὶ καὶ Σκυθῶν πόλεως, καὶ ἦν ἐκεῖ μῆνα
ἡμερῶν εἰς τὸ συλλέξαι πᾶσαν τὴν ἀπαρτίαν τῆς δυνάμεως αὐτοῦ.

1Καὶ ἤκουσαν οἱ υἱοὶ Ἰσραὴλ οἱ κατοικοῦντες ἐν τῇ Ἰουδαίᾳ 1 (1,2) IV
πάντα ὅσα ἐποίησεν Ὀλοφέρνης τοῖς ἔθνεσιν, ὁ ἀρχιστράτηγος
Ναβουχοδονοσὸρ βασιλέως Ἀσσυρίων, καὶ ὃν τρόπον ἐσκύλευ-
σεν πάντα τὰ ἱερὰ αὐτῶν καὶ ἔδωκεν αὐτὰ εἰς ἀφανισμόν· 2καὶ 2
ἐφοβήθησαν σφόδρα σφόδρα ἀπὸ προσώπου αὐτοῦ, καὶ περὶ Ἰε-
ρουσαλὴμ καὶ τοῦ ναοῦ Κυρίου θεοῦ αὐτῶν ἐταράχθησαν. 3ὅτι 3 –
προσφάτως ἦσαν ἀναβεβηκότες ἐκ τῆς αἰχμαλωσίας, καὶ νεωστὶ
πᾶς ὁ λαὸς συνελέλεκτο τῆς Ἰουδαίας, καὶ τὰ σκεύη καὶ τὸ θυσι-
αστήριον καὶ ὁ οἶκος ἐκ τῆς βεβηλώσεως ἡγιασμένα ἦν. 4καὶ 4 (3)
ἀπέστειλαν εἰς πᾶν ὅριον Σαμαρίας καὶ Κωνὰ καὶ Βαιθωρὼν καὶ

ℵA **3** προσωπου σου sup ras et in mg A^{a} | χρησαι] + ημιν ℵ$^{c.a}$ | om αν ℵ | αρεσκει ℵ **4** om και 1° ℵ | σοι] σου ℵA **5** ανδρες] + της πολεως ℵ **6** παραλιαν] επαρχιαν A | εφρουρησεν ℵA | ελαβεν ℵA | συνμαχιαν ℵ* (συμμ. ℵ$^{a.b\,(vid)}$) **7** αυτων] αυτης ℵ* (-των ℵ$^{c.a}$) **8** και 3°] οτι ℵ | εξολοθρευσαι A | om παντας ℵ | θεους] φορους ℵ | om μονω ℵ | λατρευσωσιν ℵ λατρευσι A | γλωσσαι κ. πασαι αι φυλαι] φυλαι κ. αι γλωσσαι ℵ γλ. κ. αι φ. A | επικαλεσονται ℵ **9** Εσδρηλων ℵ$^{c.a}$ (Εσδηρλων ℵ*) A | Δωτεας A | om η εστιν...Ιουδαιας ℵ* (hab ℵ$^{c.a}$) **10** Γαιβαι] Γαιβαν ℵ Ταιβα A | απαρτιαν] στρατιαν ℵ IV **1** om τοις εθνεσιν ℵ* (hab ℵ$^{c.a}$) | ο αρχιστρ.] om ο ℵ | βασιλεως] βασιλευς A | om παντα 2° ℵ | ιερα] ορια A **2** om σφοδρα 2° ℵA | θεου] pr του ℵ **3** νεωστει ℵ **4** Σαμαριας B*A] Σαμαρειας B^{ab}ℵ | Κωνα] Κωλα ℵ Κωνας ℵ$^{c.a}$A | Βεθωρω· A

Βαιλμάιν καὶ Ἰερειχὼ καὶ εἰς Χωβὰ καὶ Αἰσωρὰ καὶ τὸν αὐλῶνα Β
5 Σαλήμ, [5]καὶ προκατελάβοντο πάσας τὰς κορυφὰς τῶν ὀρέων τῶν
(4) ὑψηλῶν, [(4)]καὶ ἐτειχίσαντο τὰς ἐν αὐτοῖς κώμας, καὶ παρέθεντο
εἰς ἐπισιτισμὸν εἰς παρασκευὴν πολέμου, ὅτι προσφάτως ἦν
(5) 6 τὰ πεδία αὐτῶν τεθερισμένα. [6]καὶ ἔγραψεν Ἰωακὶμ ὁ ἱερεὺς
ὁ μέγας, ὃς ἦν ἐν ταῖς ἡμέραις ἐν Ἰερουσαλήμ, τοῖς κατοικοῦσι
Βαιτουλουὰ καὶ Βαιτομαισθάιμ, ἥ ἐστιν ἀπέναντι Ἐσρηλὼν κατὰ
(6) 7 πρόσωπον τοῦ πεδίου τοῦ πλησίον Δωθάειμ, [7]λέγων διακατα-
σχεῖν τὰς ἀναβάσεις τῆς ὀρινῆς, ὅτι δι' αὐτῶν ἦν ἡ εἴσοδος εἰς
τὴν Ἰουδαίαν· καὶ ἦν εὐχερῶς διακωλῦσαι αὐτοὺς προσβαίνοντας,
στενῆς τῆς προσβάσεως οὔσης, ἐπ' ἄνδρας τοὺς πάντας δύο.
(7) 8 [8]καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καθὰ συνέταξεν αὐτοῖς Ἰωακὶμ
ὁ ἱερεὺς ὁ μέγας καὶ ἡ γερουσία παντὸς δήμου Ἰσραὴλ οἱ ἐκά-
(8) 9 θηντο ἐν Ἰερουσαλήμ. [9]Καὶ ἀνεβόησαν πᾶς ἀνὴρ Ἰσραὴλ
πρὸς τὸν θεὸν ἐν ἐκτενείᾳ μεγάλῃ, καὶ ἐταπεινοῦσαν τὰς ψυχὰς
(9b) 10 αὐτῶν ἐν ἐκτενείᾳ μεγάλῃ, [10]αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν [(9b)]καὶ
τὰ νήπια αὐτῶν καὶ τὰ κτήνη αὐτῶν· καὶ πᾶς πάροικος ἢ μισθω-
τὸς καὶ ἀργυρώνητος αὐτῶν ἐπέθεντο σάκκους ἐπὶ τὰς ὀσφύας
11 αὐτῶν. [11]καὶ πᾶς ἀνὴρ Ἰσραὴλ καὶ γυνὴ καὶ παιδία, οἱ κατοι-
κοῦντες ἐν Ἰερουσαλήμ, ἔπεσον κατὰ πρόσωπον τοῦ ναοῦ, καὶ
ἐσποδώσαντο τὰς κεφαλὰς αὐτῶν, καὶ ἐξέτειναν τοὺς σάκκους
12 αὐτῶν κατὰ πρόσωπον Κυρίου, [12]καὶ τὸ θυσιαστήριον σάκκῳ
(10b) περιέβαλλον· [(10b)]καὶ ἐβόησαν πρὸς τὸν θεὸν Ἰσραὴλ ὁμοθυμαδὸν
ἐκτενῶς, τοῦ μὴ δοῦναι εἰς διαρπαγὴν τὰ νήπια αὐτῶν καὶ τὰς
γυναῖκας εἰς προνομὴν καὶ τὰς πόλεις τῆς κληρονομίας αὐτῶν

4 Βαιλμαιν] Αβελμαιν ℵ Βελμ. A | Ιεριχω B^b ("ut alias") Ειεριχω A | ℵA Χωβα] Χαβα ℵ | Αισωρα] Αρα|σουσια ℵ* Αισωρα (vel potius Αισωραα) $ℵ^{c.a}$ **5** ετειχισαντο B^{ab} (ετιχ. B*)] ετιχισαν ℵ ετειχεισαν A **6** εγραψεν] ηκουσεν ℵ* (εγρ. $ℵ^{c.a}$) | ος ην εν ταις ημεραις εν] εν ταις ημεραις ℵ* ος ην εν ταις ημ. εκειναις $ℵ^{a.c}$ | κατοικουσι] ℵ | Βαιτουλουα] Βαιτουλια ℵ Βετυλουα A | om και Βαιτομαισθαιμ...Εσρηλων ℵ | Βετομεσθαιμ A | Εσρηλων] Εσερηχω| A | om του πεδιου του πλησιον ℵ **7** η εισοδος] οδος ℵ | αυτους προσβαινοντας] τους προβ. ℵ | της προσβασεως] αναβασεως ℵ* διαβασεως $ℵ^{c.a}$ της διαβ. A | om τους παντας ℵ **8** om Ιωακειμ ℵ | δημου] λαου A **9** ανεβοησαν] εβοησαν ℵ | εκτενια (1°) ℵ | εταπινωσαν ℵ | αυτων]+νηστια μεγαλη $ℵ^{c.a}$ | om εν εκτενεια μεγαλη (2°) ℵ **10** η] και ℵA | om αυτων 4° ℵ | επεθεντο] pr και ℵ **11** παιδια] pr τα ℵA | om οι κατοικουντες εν Ιερ. ℵ* (hab $ℵ^{c.a}$) pr και A | επεσον] επεσαν ℵ επεθεντο A **11—12** κυ και sup ras $B^{a?b}$ **12** θυσιαστηριον] θυσιαστ sup ras B^{ab} | περιεβαλον B^{ac} ℵA | εβοησαν] ανεβοησαν ℵ | om εκτενως ℵ | γυναικας]+αυτων ℵ | om αυτων 2° ℵ* (hab $ℵ^{c.a}$)

B εἰς ἀφανισμὸν καὶ τὰ ἅγια εἰς βεβήλωσιν καὶ ὀνειδισμόν, ἐπί-
χαρμα τοῖς ἔθνεσιν. 13 καὶ εἰσήκουσεν Κύριος τῆς φωνῆς αὐτῶν 13 –
καὶ ἐσείδεν τὴν θλῖψιν αὐτῶν· καὶ ἦν ὁ λαὸς νηστεύων ἡμέρας
πλείους ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Ἰερουσαλὴμ κατὰ πρόσωπον
τῶν ἁγίων Κυρίου Παντοκράτορος. 14 καὶ Ἰωακεὶμ ὁ ἱερεὺς ὁ 14 (11,9ª)
μέγας καὶ πάντες οἱ παρεστηκότες ἐνώπιον Κυρίου, ἱερεῖς καὶ οἱ
λειτουργοῦντες Κυρίῳ, σάκκους περιεζωσμένοι τὰς ὀσφύας αὐ-
τῶν προσέφερον τὴν ὁλοκαύτωσιν τοῦ ἐνδελεχισμοῦ καὶ τὰς –
εὐχὰς καὶ τὰ ἑκούσια δόματα τοῦ λαοῦ, 15 καὶ ἦν σποδὸς ἐπὶ τὰς 15 (16,17)
κιδάρεις αὐτῶν· καὶ ἐβόων πρὸς Κύριον ἐκ πάσης δυνάμεως, εἰς
ἀγαθὸν ἐπισκέψασθαι πᾶν οἶκον Ἰσραήλ.

1 Καὶ ἀνηγγέλη Ὀλοφέρνῃ ἀρχιστρατήγῳ δυνάμεως Ἀσσοὺρ διότι 1 V
οἱ υἱοὶ Ἰσραὴλ παρεσκευάσαντο εἰς πόλεμον, καὶ τὰς διόδους τῆς
ὀρινῆς συνέκλεισαν καὶ ἐτείχισαν πᾶσαν κορυφὴν ὄρους ὑψηλοῦ,
καὶ ἔθηκαν ἐν τοῖς πεδίοις σκάνδαλα. 2 καὶ ὠργίσθη θυμῷ σφόδρα, 2
καὶ ἐκάλεσεν πάντας τοὺς ἄρχοντας Μωὰβ καὶ τοὺς στρατηγοὺς
Ἀμμὼν καὶ πάντας σατράπας τῆς παραλίας, 3 καὶ εἶπεν αὐτοῖς 3
Ἀναγγείλατε δή μοι, υἱοὶ Χανάαν, τίς ὁ λαὸς οὗτος ὁ καθήμενος
ἐν τῇ ὀρινῇ, καὶ τίνες ἂς κατοικοῦσιν πόλεις, καὶ τὸ πλῆθος τῆς
δυνάμεως αὐτῶν, καὶ ἐν τίνι τὸ κράτος αὐτῶν καὶ ἡ ἰσχὺς αὐτῶν,
καὶ τίς ἀνέστηκεν ἐπ' αὐτῶν βασιλεὺς ἡγούμενος στρατιᾶς αὐτῶν,
4 καὶ διὰ τί κατενωτίσαντο τοῦ μὴ ἐλθεῖν εἰς ἀπάντησίν μοι παρὰ 4
πάντας τοὺς κατοικοῦντας ἐν δυσμαῖς. 5 Καὶ εἶπεν πρὸς αὐτὸν 5
Ἀχιὼρ ὁ ἡγούμενος πάντων υἱῶν Ἀμμὼν Ἀκουσάτω δὴ λόγον ὁ
κύριός μου ἐκ στόματος τοῦ δούλου σου, καὶ ἀναγγελῶ σοι τὴν
ἀλήθειαν περὶ τοῦ λαοῦ ὃς κατοικεῖ τὴν ὀρινὴν ταύτην πλησίον
σοῦ οἰκοῦντος, καὶ οὐκ ἐξελεύσεται ψεῦδος ἐκ τοῦ στόματος τοῦ
δούλου σου. 6 ὁ λαὸς οὗτός εἰσιν ἀπόγονοι Χαλδαίων· 7 καὶ παρῴ- 6
κησαν τὸ πρότερον ἐν τῇ Μεσοποταμίᾳ, ὅτι οὐκ ἐβουλήθησαν ἀκο- 7

ℵA **13** εσειδεν] ως ειδεν B^{ab} εισιδεν ℵ* ιδεν $ℵ^{c.a}$ εισειδεν A | τη Ιουδαια] γη Ιουδα ℵ | Ιερουσαλημ] οι εν| Ιερουσαλημ επε|σον ℵ | Παντοκρατορος] pr του A **14** om ο μεγας ℵ* (hab $ℵ^{c.a}$) | om ιερεις...Κυριω ℵ | om και 3° A | περιεζωσμενοι σακκους ℵ | προσεφεροντες] προσφεροντες ℵ | om και τας ευχας...του λαου ℵ **15** και ην] και η sup ras $B^{1?ab}$ | παν] παντα ℵ V **1** δυναμεως] pr της ℵ | οι υιοι] om οι A | και 2°] κατα ℵ* (και $ℵ^{a.c\,(vid)}$) | ορινης] in ο ras aliq $B^{?}$ | εθηκα A* (ν superscr A^{1}) **2** στρατηγους] + υιους (υς υι sup ras) A^{a} | om και παντας σατραπας της παραλιας ℵ **3** om δη ℵ | υιοι] pr οι ℵ | ουτος ο καθημενος] ενκαθημενος ουτος ℵ | ανεστηκεν] καθεστηκεν ℵ | επ αυτων βασ.] βασ. επ αυτων ℵ | βασιλευς] pr ο A | om ηγουμ. στρατιας αυτων ℵ | στρατειας A **4** μοι] μου ℵ **5** λαου] + τουτου A

λουθῆσαι τοῖς θεοῖς τῶν πατέρων αὐτῶν οἳ ἐγένοντο ἐν γῇ Χαλδαίων. B
(9) 8 [8]ἐξέβησαν ἐξ ὁδοῦ τῶν γονέων αὐτῶν [(9)]καὶ προσεκύνησαν
τῷ θεῷ τοῦ οὐρανοῦ, θεῷ ᾧ ἐπέγνωσαν· καὶ ἐξέβαλον αὐτοὺς
ἀπὸ προσώπου τῶν θεῶν αὐτῶν, καὶ ἔφυγον εἰς Μεσοπο-
9 ταμίαν, καὶ παρῴκησαν ἐκεῖ ἡμέρας πολλάς. [9]καὶ εἶπεν ὁ
θεὸς αὐτῶν ἐξελθεῖν ἐκ τῆς παροικίας αὐτῶν καὶ πορευθῆναι
εἰς γῆν Χανάαν· καὶ κατῴκησαν ἐκεῖ, καὶ ἐπληθύνθησαν χρυσίῳ
10 καὶ ἀργυρίῳ καὶ ἐν κτήνεσιν πολλοῖς σφόδρα. [10]καὶ κατέβησαν
εἰς Αἴγυπτον, ἐκάλυψεν γὰρ τὸ πρόσωπον τῆς γῆς Χανάαν
λιμός, καὶ παρῴκησαν ἐκεῖ μέχρις οὗ διετράφησαν· καὶ ἐγένοντο
ἐκεῖ εἰς πλῆθος πολύ, καὶ οὐκ ἦν ἀριθμὸς τοῦ γένους αὐτῶν.
(10) 11 [11]καὶ ἐπανέστη αὐτοῖς ὁ βασιλεὺς Αἰγύπτου, καὶ κατεσοφίσαντο
αὐτοὺς ἐν πόνῳ καὶ πλίνθῳ, ἐταπείνωσαν αὐτοὺς καὶ ἔθεντο
12 αὐτοὺς εἰς δούλους. [12]καὶ ἀνεβόησαν πρὸς τὸν θεὸν αὐτῶν, καὶ
(11[a]) ἐπάταξεν γῆν Αἰγύπτου πληγαῖς ἐν αἷς οὐκ ἦν ἴασις· [(11[a])]καὶ ἐξέ-
(12) 13 βαλον αὐτοὺς οἱ Αἰγύπτιοι ἀπὸ προσώπου αὐτῶν. [13]καὶ κατε-
(14–16) 14 ξήρανεν ὁ θεὸς τὴν ἐρυθρὰν θάλασσαν ἔμπροσθεν αὐτῶν, [14]καὶ
ἤγαγεν αὐτοὺς εἰς ὁδὸν τοῦ Σεινὰ καὶ Καδὴς Βαρνή· καὶ ἐξέβαλον
(20) 15 πάντας τοὺς κατοικοῦντας ἐν τῇ ἐρήμῳ, [15]καὶ ᾤκησαν ἐν γῇ
Ἀμορραίων, καὶ πάντας τοὺς Ἐσεβωνείτας ἐξωλέθρευσαν ἐν τῇ
ἰσχύι αὐτῶν· καὶ διαβάντες τὸν Ἰορδάνην ἐκληρονόμησαν πᾶ-
16 σαν τὴν ὀρινήν. [16]καὶ ἐξέβαλον ἐκ προσώπου αὐτῶν τὸν Χα-
ναναῖον καὶ τὸν Φερεζαῖον καὶ τὸν Ἰεβουσαῖον καὶ τὸν Συχὲμ
καὶ πάντας τοὺς Γεργεσαίους, καὶ κατῴκησαν ἐν αὐτῇ ἡμέρας
(21) 17 πολλάς. [17]καὶ ἕως οὐχ ἥμαρτον ἐνώπιον τοῦ θεοῦ αὐτῶν, ἦν
μετ' αὐτῶν τὰ ἀγαθά, ὅτι θεὸς μισῶν ἀδικίαν μετ' αὐτῶν ἐστίν·
(22) 18 [18]ὅτε δὲ ἀπέστησαν ἀπὸ τῆς ὁδοῦ ἧς διέθετο αὐτοῖς, ἐξωλεθρεύ-
– θησαν ἐν πολλοῖς πολέμοις ἐπὶ πολὺ σφόδρα, καὶ ᾐχμαλωτεύ-
θησαν εἰς γῆν οὐκ ἰδίαν, καὶ ὁ ναὸς τοῦ θεοῦ αὐτῶν ἐγενήθη
εἰς ἔδαφος, καὶ αἱ πόλεις αὐτῶν ἐκρατήθησαν ὑπὸ τῶν ὑπεναν-

8 εξεβησαν] pr και A + δε ℵ | εξ] εκ της ℵ | om θεω 2° ℵ **9** ο θς sup ℵA ras A^a (seq ras 2 vel 3 litt: bis scr ειπεν A^{*vid}) | κατοικησαν ℵ **10** το προσ. της γης Χ. λιμος] ο λ. το προσ. τ. γ. Χ. ℵ | μεχρι A | του γενους] om του ℵ **11** κατεσοφισατο ℵA | εν] pr και A | πονω] πηλω ℵ | εταπεινωσαν] και εταπινωσεν ℵ εταπεινωσεν A | εθετο A **12** om και 2° A^* (hab ℘ $A^{a?(mg)}$) | παταξον A^* (επαταξεν· $A^{a?}$) | γην] pr πασαν την ℵA **14** Σινα B^b **15** οικησαν ℵ | εν γη] γην ℵ | Εσεβωνειτας] Εσεβωνιτας B^b Εσεβων ℵA | εξωλεθρευσαν] pr και παντας ℵ **17** εως] + ου ℵ | μετ αυτων ην ℵ | θεος] pr ο ℵ **18** εξολεθρευθησαν ℵ | ουχ ηδιαν B^* (ουκ ιδιαν B^{ab} ουχ ιδιαν ℵA)

B τίων. [19] καὶ νῦν ἐπιστρέψαντες ἐπὶ τὸν θεὸν αὐτῶν ἀνέβησαν 19 (23)
ἐκ τῆς διασπορᾶς οὗ διεσπάρησαν ἐκεῖ, κατέσχον τὴν Ἰερου-
σαλὴμ οὗ τὸ ἁγίασμα αὐτῶν, καὶ κατῳκίσθησαν ἐν τῇ ὀρινῇ,
ὅτι ἦν ἔρημος. [20] καὶ νῦν, δέσποτα κύριε, εἰ μέν ἐστιν ἀγνόημα 20 (24)
ἐν τῷ λαῷ τούτῳ καὶ ἁμαρτάνουσιν εἰς τὸν θεὸν αὐτῶν, καὶ
ἐπισκεψόμεθα ὅτι ἐστὶν ἐν αὐτοῖς σκάνδαλον τοῦτο, καὶ ἀνα-
βησόμεθα καὶ ἐκπολεμήσομεν αὐτούς· [21] εἰ δ' οὐκ ἔστιν ἀνομία 21 (25)
ἐν τῷ ἔθνει αὐτῶν, παρελθέτω δὴ ὁ κύριος, μή ποτε ὑπερα-
σπίσῃ ὁ κύριος αὐτῶν καὶ ὁ θεὸς αὐτῶν ὑπὲρ αὐτῶν, καὶ ἐσό-
μεθα εἰς ὀνειδισμὸν ἐναντίον πάσης τῆς γῆς. [22] Καὶ ἐγέ- 22 (26)
νετο ὡς ἐπαύσατο Ἀχιὼρ λαλῶν τοὺς λόγους τούτους, καὶ
ἐγόγγυσεν πᾶς ὁ λαὸς ὁ κυκλῶν τὴν σκηνὴν καὶ περιεστώς· καὶ
εἶπαν οἱ μεγιστᾶνες Ὀλοφέρνου καὶ πάντες οἱ κατοικοῦντες τὴν
παραλίαν καὶ τὴν Μωὰβ συγκόψαι αὐτόν [23] Οὐ γὰρ φοβηθησό- 23 (27)
μεθα ἀπὸ υἱῶν Ἰσραήλ· ἰδοὺ γὰρ λαὸς ἐν ᾧ οὐκ ἔστιν δύναμις
οὐδὲ κράτος εἰς παράταξιν ἰσχυράν. [24] διὸ δὴ ἀναβησόμεθα, καὶ 24 (28)
ἔσονται εἰς κατάβρωμα πάσης τῆς στρατείας σου, δέσποτα Ὀλο-
φέρνη. [1] Καὶ ὡς κατέπαυσεν ὁ θόρυβος τῶν ἀνδρῶν τῶν 1 (1) VI
κύκλῳ τῆς συνεδρίας, εἶπεν Ὀλοφέρνης ἀρχιστράτηγος δυνάμεως
Ἀσσοὺρ πρὸς Ἀχιὼρ ἐναντίον παντὸς τοῦ δήμου ἀλλοφύλων –
[2] Καὶ τίς εἶ σὺ Ἀχιὼρ καὶ πρὸς πάντας υἱοὺς Μωὰβ καὶ οἱ 2
μισθωτοὶ Ἐφράιμ, [(2)] ὅτι ἐπροφήτευσας ἐν ἡμῖν καθὼς σήμερον, (2)
καὶ εἶπας τὸ γένος Ἰσραὴλ μὴ πολεμῆσαι, ὅτι θεὸς αὐτῶν
ὑπερασπιεῖ αὐτῶν; καὶ τίς ὁ θεὸς εἰ μὴ Ναβουχοδονοσόρ; οὗτος –
ἀποστελεῖ τὸ κράτος αὐτοῦ καὶ ἐξολεθρεύσει αὐτοὺς ἀπὸ προσ-
ώπου τῆς γῆς, καὶ οὐ ῥύσεται αὐτοὺς ὁ θεὸς αὐτῶν· [3] ἀλλ' ἡμεῖς 3 (3[a])
οἱ δοῦλοι αὐτοῦ πατάξομεν αὐτοὺς ὡς ἄνθρωπον ἕνα, καὶ οὐχ ὑπο- –
στήσονται τὸ κράτος τῶν ἵππων ἡμῶν. [4] κατακαύσομεν γὰρ 4

ℵA **19** κατεσχον] pr και ℵA | ορεινη B^{ab}ℵ | οτε ℵ* (οτι ℵ$^{c.a}$) **21** ει δ] ει δε ℵ ιδου A | αυτων 1°] τουτω ℵ | παρελθατω ℵA | om δη A | ο κυριος (1°)] +μου ℵ | om ο κυριος αυτων και ℵ | υπερ] περι A | ονειδισμον] ονειδος ℵA **22** Αχειωρ A | λαλων Αχ. ℵ | κυκλων την σκηνην] κυκλω της σκηνης A | om και 3° ℵ* (hab ℵ$^{c.a}$) A | om περιεστως ℵ* (hab ℵ$^{c.a}$) | om παντες ℵ | κατοικουντες] κατοικοῦ A* (+τες $A^{a?\,(mg)}$) **24** καταβρωσιν ℵA | στρατιας ℵA VI **1** ειπεν] pr και ℵA | αρχιστρατηγος] pr ο A | δυναμεως] pr της A | αλλοφυλων] των αλλοφ. και προς παντας τους υιους Μωαβ'· A **2** Αχιωρ] +εναντιος (prius εναντιον) παντος δημου αλλοφυλων ℵ$^{c.a}$ | om και προς παντας υιους Μωαβ A | Μωαβ και sup ras B^{ab} | Εφραιμ] pr του B^{ab}ℵA | θεος αυτων (1°)] ο θς αυτων ℵ ο θς A | ο θεος (1°)] om ο ℵ | ουτος] αυτος ℵ | αποστελει] εξαποστελει ℵ **3** αλλα ℵ | παταξομεν] εξολεθρευσωμεν A

αὐτοὺς ἐν αὐτοῖς, καὶ τὰ ὅρια αὐτῶν μεθυσθήσεται ἐν τῷ αἵματι B
αὐτῶν, καὶ τὰ πεδία αὐτῶν πληρωθήσεται νεκρῶν αὐτῶν· καὶ
οὐκ ἀντιστήσεται τὸ ἴχνος τῶν ποδῶν αὐτῶν κατὰ πρόσωπον
(4a) ἡμῶν, ἀλλ' ἀπωλείᾳ ἀπολοῦνται, λέγει ὁ βασιλεὺς (4a)Ναβουχοδο-
νοσόρ, κύριος πάσης τῆς γῆς. εἶπεν γάρ· οὐ ματαιωθήσεται τὰ
5 ῥήματα τῶν λόγων αὐτοῦ. 5σὺ δὲ Ἀχιώρ, μισθωτὲ τοῦ Ἀμμών,
ὃς ἐλάλησας τοὺς λόγους τούτους ἐν ἡμέρᾳ ἀδικίας σου, οὐκ ὄψῃ
ἔτι τὸ πρόσωπόν μου ἀπὸ τῆς ἡμέρας ταύτης ἕως οὗ ἐκδικήσω
(4b) 6 τὸ γένος τῶν ἐξ Αἰγύπτου· 6καὶ τότε διελεύσεται ὁ σίδηρος τῆς
στρατείας μου καὶ ὁ λαὸς τῶν θεραπόντων μου τὰς πλευράς σου,
7 καὶ πέσῃ ἐν τοῖς τραυματίαις αὐτῶν ὅταν ἐπιστρέψωσιν· 7καὶ
ἀποκαταστήσουσίν σε οἱ δοῦλοί μου εἰς τὴν ὀρινὴν καὶ θήσουσίν
8 σε ἐν μιᾷ τῶν πόλεων τῶν ἀναβάσεων, 8καὶ οὐκ ἀπολῇ ἕως οὗ
(5) 9 ἐξολεθρευθῇς μετ' αὐτῶν. 9καὶ εἴπερ ἐλπίζεις τῇ καρδίᾳ σου
ὅτι οὐ λημφθήσονται, μὴ συμπεσέτω σου τὸ πρόσωπον. ἐλά-
(7) 10 λησα, καὶ οὐδὲν διαπεσεῖται τῶν ῥημάτων μου. 10Καὶ προσ-
έταξεν Ὀλοφέρνης τοῖς δούλοις αὐτοῦ, οἳ ἦσαν παρεστηκότες ἐν
τῇ σκηνῇ αὐτοῦ, συλλαβεῖν τὸν Ἀχιὼρ καὶ ἀποκαταστῆσαι αὐ-
(8) 11 τὸν εἰς Βετυλουὰ καὶ παραδοῦναι εἰς χεῖρας υἱῶν Ἰσραήλ. 11καὶ
συνέλαβον αὐτὸν οἱ δοῦλοι αὐτοῦ καὶ ἤγαγον αὐτὸν ἔξω τῆς
παρεμβολῆς εἰς τὸ πεδίον, καὶ ἀπῆραν ἐκ μέσου τῆς πεδινῆς εἰς
τὴν ὀρινήν, καὶ παρεγένοντο ἐπὶ τὰς πηγὰς αἳ ἦσαν ὑποκάτω
12 Βετυλουά. 12καὶ ὡς ἴδαν αὐτοὺς οἱ ἄνδρες τῆς πόλεως ἐπὶ τὴν
κορυφὴν τοῦ ὄρους, ἀνέλαβον τὰ ὅπλα αὐτῶν καὶ ἐπῆλθον ἔξω
τῆς πόλεως ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους· καὶ πᾶς ἀνὴρ σφεν-
δονήτης διεκράτησαν τὴν ἀνάβασιν αὐτῶν καὶ ἔβαλλον ἐν λίθοις
(9) 13 ἐπ' αὐτούς. 13καὶ ὑποδύσαντες ὑποκάτω τοῦ ὄρους ἔδησαν τὸν
Ἀχιὼρ καὶ ἀφῆκαν ἐρριμμένον ὑπὸ τὴν ῥίζαν τοῦ ὄρους, καὶ

4 om *εν αυτοις* ℵ | *ορια*] *ορη* ℵA | *μεθυσθησονται* A | *πληρωθησεται*] πλη- ℵA
σθησεται ℵ | *νεκρων*] pr *των* A | om *αυτων* 4° ℵ | *αντιστησεται*] απα|τησεται
ℵ | *των ποδων*] *του ποδος* ℵ | *ημων*] pr *των ποδων* A | *αλλα* ℵA | *απωλια*
ℵ | *βασιλευς*] in *σιλ* ras aliq B^1 | N. *ο βασιλευς* ℵ | *κυριος*] pr *ο* ℵA | *των*
λογων] *του στοματος* ℵ **5** *ος*] *ως* ℵ | *αδικια σου* A | om *ετι* ℵ | *ταυτης*] *α*
sup ras A^a **6** *στρατιας* A | *ταις τραυμ.* ℵ$^{c.a}$ | *αυτων*] *αυτ* sup ras B^{ab} |
επιστρεψω B^{ab}ℵA **7** bis scr *οι δουλοι μου...θησουσιν σε* B* (om 1° B^{ab}) | om *σε* 2° ℵ **9** *λημφθησονται*] *συλλημφθ.* A | *σῡ|πεσετω* ℵ *συμπε-*
σατω A **10** *εν τη σκηνη αυτου*] *αυτω* ℵ | *Βαιτουλουα* ℵ (item 11) |
παραδουναι] + *αυτον* ℵ | *υιων Ισρ.*] rescr *υιων* I ℵ^1 **11** om *αυτον* 2° ℵ |
επι] *εις* ℵ | *πηγας*] rescr *γ* ℵ^1 **12** *ως*] *ω* ℵ* (*s* superscr ℵ^1) | *ειδαν*
B^{ab}ℵA | *επηλθον*] *απηλθεν* A **13** *υποδυσαντες*] *δ* sup ras A^1 | *ρεριμμενον*
A | *υπο την*] saltem *τ* sup ras B^{ab}

Β ἀπῴχοντο πρὸς τὸν κύριον αὐτῶν. 14καταβάντες δὲ οἱ υἱοὶ 14 (10)
Ἰσραὴλ ἐκ τῆς πόλεως αὐτῶν ἐπέστησαν αὐτῷ, καὶ λύσαντες
αὐτὸν ἀπήγαγον εἰς τὴν Βετυλουά, καὶ κατέστησαν αὐτὸν ἐπὶ
τοὺς ἄρχοντας τῆς πόλεως αὐτῶν, 15οἳ ἦσαν ἐν ταῖς ἡμέραις ἐκεί- 15 (11)
ναις Ὀζείας ὁ τοῦ Μειχὰ ἐκ τῆς φυλῆς Συμεὼν καὶ Χαβρεὶς ὁ
τοῦ Γοθονιὴλ καὶ Χαρμεὶς υἱὸς Μελχειήλ. 16καὶ συνεκάλεσεν 16 (12,13)
πάντας τοὺς πρεσβυτέρους τῆς πόλεως, καὶ συνέδραμον πᾶς
νεανίσκος αὐτῶν καὶ αἱ γυναῖκες εἰς τὴν ἐκκλησίαν, καὶ ἔστη-
σαν τὸν Ἀχιὼρ ἐν μέσῳ παντὸς τοῦ λαοῦ αὐτῶν, καὶ ἐπηρώτησεν
αὐτὸν Ὀζείας τὸ συμβεβηκός. 17καὶ ἀποκριθεὶς ἀπήγγειλεν αὐ- 17
τοῖς τὰ ῥήματα τῆς συνεδρείας Ὀλοφέρνου, καὶ πάντα τὰ ῥήμα-
τα ὅσα ἐλάλησεν ἐν μέσῳ τῶν ἀρχόντων υἱῶν Ἀσσούρ, καὶ ὅσα
ἐμεγαλορημόνησεν Ὀλοφέρνης εἰς τὸν οἶκον Ἰσραήλ. 18καὶ πε- 18 (14)
σόντες ὁ λαὸς προσεκύνησαν τῷ θεῷ, καὶ ἐβόησαν λέγοντες
19Κύριε ὁ θεὸς τοῦ οὐρανοῦ, κάτιδε ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν, 19 (15)
καὶ ἐλέησον τὴν ταπείνωσιν τοῦ γένους ἡμῶν, καὶ ἐπίβλεψον
ἐπὶ τὸ πρόσωπον τῶν ἡγιασμένων σοι ἐν τῇ ἡμέρᾳ ταύτῃ.
20καὶ παρεκάλεσαν τὸν Ἀχιώρ, καὶ ἐπῄνεσαν αὐτὸν σφόδρα. 20 (16–18)
21καὶ παρέλαβεν αὐτὸν Ὀζείας ἐκ τῆς ἐκκλησίας εἰς οἶκον αὐ- 21 (19–21)
τοῦ, καὶ ἐποίησεν πότον τοῖς πρεσβυτέροις· καὶ ἐπεκαλέσαντο
τὸν θεὸν Ἰσραὴλ εἰς βοήθειαν ὅλην τὴν νύκτα ἐκείνην.

1Τῇ δὲ ἐπαύριον παρήγγειλεν Ὀλοφέρνης πάσῃ τῇ στρατείᾳ 1 VII
αὐτοῦ καὶ παντὶ τῷ λαῷ αὐτοῦ οἳ παρεγένοντο ἐπὶ τὴν συμμαχίαν
αὐτοῦ, ἀναζευγνύειν ἐπὶ Βαιτυλουὰ καὶ τὰς ἀναβάσεις τῆς ὀρινῆς
προκαταλαμβάνεσθαι καὶ ποιεῖν πόλεμον πρὸς τοὺς υἱοὺς Ἰσραήλ.
2καὶ ἀνέζευξεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶς ἀνὴρ δυνατὸς αὐτῶν· καὶ ἡ 2
δύναμις αὐτῶν ἀνδρῶν πολεμιστῶν χιλιάδες ἀνδρῶν πεζῶν ἑκατὸν
ἑβδομήκοντα καὶ ἱππέων χιλιάδες δέκα δύο, χωρὶς τῆς ἀποσκευῆς
τῶν ἀνδρῶν οἳ ἦσαν πεζοὶ ἐν αὐτοῖς, πλῆθος πολὺ σφόδρα. 3καὶ 3

ℵA **14** om δε A* (superscr A¹) | αυτω] επ αυτον A | Βαιτουλουα ℵ | επι] εις A **15** Οζειας] Οζιας B^{ab} O, as sup ras A$^{a?}$ (seq ras 1 vel 2 litt) | Μειχα] Μιχα B^{b} Χειμα A | Γοθονιηλ] Γοθο|νιου ℵ* (Γοθονιηλ ℵ$^{c.a}$) | Χαρμεις] Χαλμεις A | υιος Μελχειηλ] ο του Σελλημ ℵ* (ῡς Μελχιηλ ℵ$^{c.a}$) υιος Μελχιηλ A **16** συνεκαλεσαν ℵA | της πολεως] Ισραηλ ℵ* της πολ. (non del Ισρ.) ℵ$^{c.a}$ | om αυτων 2° ℵ | Οζιας B^{b}A (item 21) **17** συνεδριας B^{b}ℵA | ελαλησαν A **18** τω θεω] pr κ̄ω̄ ℵ **19** κατιδε] επιβλεψον ℵ καθειδε A (pr ras 1 lit) | υπερηφανιας] post α 1° ras 1 lit A^{3} | αυτων] α sup ras A¹ VII **1** στρατια A | τω λαω] om τω A | οι] και ℵ | Βαιτουλουα ℵ | ορεινης B^{ab}A **2** ανεζευξεν] ε 1° sup litur ℵ¹ | om ανδρων 2° ℵA | εκατον εβδομηκοντα] οκτω ℵ* ρκ′ ℵ$^{c.a}$ | ιππων ℵ | δεκα δυο] ιβ′ ℵ | των ανδρων] pr και ℵA

παρενέβαλον ἐν τῷ αὐλῶνι πλησίον Βαιτυλουὰ ἐπὶ τῆς πηγῆς, καὶ B
παρέτειναν εἰς εὖρος ἐπὶ Δωθάειμ ἕως Βελβάιμ, καὶ εἰς μῆκος ἕως
4 Βαιτυλουὰ ἕως Κυαμῶνος ἥ ἐστιν ἀπέναντι Ἐσδρηλών. 4οἱ δὲ υἱοὶ
Ἰσραήλ, ὡς ἴδον αὐτῶν τὸ πλῆθος, ἐταράχθησαν σφόδρα, καὶ εἶπαν
ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ Νῦν ἐκλίξουσιν οὗτοι τὸ πρόσ-
ωπον τῆς γῆς πάσης, καὶ οὔτε τὰ ὄρη τὰ ὑψηλὰ οὔτε αἱ φάραγγες
5 οὔτε οἱ βουνοὶ ὑποστήσονται τὸ βάρος αὐτῶν. 5καὶ ἀναλαβόντες
ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ αὐτῶν καὶ ἀνακαύσαντες πυρὰς ἐπὶ
τοὺς πύργους αὐτῶν ἔμενον φυλάσσοντες ὅλην τὴν νύκτα ἐκείνην.
6 6τῇ δὲ ἡμέρᾳ τῇ δευτέρᾳ ἐξήγαγεν Ὀλοφέρνης πᾶσαν τὴν ἵππον
7 αὐτοῦ κατὰ πρόσωπον τῶν υἱῶν Ἰσραὴλ οἳ ἦσαν ἐν Βετυλουά, 7καὶ
ἐπεσκέψατο τὰς ἀναβάσεις τῆς πόλεως αὐτῶν, καὶ τὰς πηγὰς τῶν
ὑδάτων ἐφώδευσεν καὶ προκατελάβετο αὐτάς, καὶ ἐπέστησεν αὐταῖς
παρεμβολὰς ἀνδρῶν πολεμιστῶν, καὶ αὐτὸς ἀνέζευξεν εἰς τὸν λαὸν
(8) 8 αὐτοῦ. 8Καὶ προσελθόντες αὐτῷ πάντες ἄρχοντες υἱῶν
Ησαὺ καὶ πάντες οἱ ἡγούμενοι τοῦ λαοῦ Μωὰβ καὶ οἱ στρατηγοὶ
9 τῆς παραλίας εἶπαν 9Ἀκουσάτω δὴ λόγον ὁ δεσπότης ἡμῶν, ἵνα
10 μὴ γένηται θραῦσμα ἐν τῇ δυνάμει σου. 10ὁ γὰρ λαὸς οὗτος τῶν
υἱῶν Ἰσραὴλ οὐ πέποιθαν ἐπὶ τοῖς δόρασιν αὐτῶν ἀλλ᾽ ἐπὶ
τοῖς ὕψεσι τῶν ὀρέων αὐτῶν, ἐν οἷς αὐτοὶ ἐνοικοῦσιν ἐν αὐτοῖς·
οὐ γὰρ ἔστιν εὐχερὲς προσβῆναι ταῖς κορυφαῖς τῶν ὀρέων αὐτῶν.
(9) 11 11καὶ νῦν, δέσποτα, μὴ πολέμει πρὸς αὐτοὺς καθὼς γίνεται πό-
λεμος παρατάξεως, καὶ οὐ πεσεῖται ἐκ τοῦ λαοῦ σου ἀνὴρ εἷς.
12 12ἀνάμεινον ἐπὶ τῆς παρεμβολῆς σου, διαφυλάσσων πάντα ἄνδρα
ἐκ τῆς δυνάμεώς σου, καὶ ἐπικρατησάτωσαν οἱ παῖδές σου τῆς
13 πηγῆς τοῦ ὕδατος ἡ ἐκπορεύεται ἐκ τῆς ῥίζης τοῦ ὄρους, 13διότι
ἐκεῖθεν ὑδρεύονται πάντες οἱ κατοικοῦντες Βαιτυλουά, καὶ ἀνελεῖ
αὐτοὺς ἡ δίψα, καὶ ἐκδώσουσι τὴν πόλιν αὐτῶν· καὶ ἡμεῖς καὶ
ὁ λαὸς ἡμῶν ἀναβησόμεθα ἐπὶ τὰς πλησίον κορυφὰς τῶν ὀρέων,

3 Βετυλουα (1°) A | om επι 1° ℵ | Βελβαιμ] Αβελ|βαιμ ℵ | εως 2°] απο ℵA ℵA | Εσδρηλωμ A **4** ειδον ℵA | om αυτων 1° A | ειπον ℵ ειπεν A | αυτου] αυτων ℵ | πασης της γης A **5** αυτων 1°] αυτου ℵ* (-των ℵ^c.a) | om και ανακαυσαντες...αυτων (2°) ℵ* (hab ℵ^c.a) | om ολην ℵ* (hab ℵ^c.a) | om εκεινην ℵ **6** των υιων] om των ℵ | om οι ησαν εν Βετυλουα ℵ* (hab οι ησαν εκ Βαιτουλουα ℵ^c.a) οι ησαν εκ Βαιτυλουα A **7** υδατων] + αυτων A | παρεμβολας ανδρων πολεμιστων] ανδρας πολεμιστας ℵ **8** της παραλιας] om της ℵ **10** υψεσι] οψεσι A | om αυτων 2° ℵA | αυτοι] seq ras 1 lit (s ut vid) in A | ενοικουσιν] κατοικουσιν A **11** προς αυτους] μετ αυτων ℵ | ανηρ] pr ως ℵ^c.a **13** διοτι] οτι ℵ | κατοικουντες] ενοικουντες ℵ | εκδωσουσιν ℵA

Β καὶ παρεμβαλοῦμεν ἐπ᾽ αὐταῖς εἰς προφυλακὴν τοῦ μὴ ἐξελθεῖν
ἐκ τῆς πόλεως ἄνδρα ἕνα. [14]καὶ τακήσονται ἐν τῷ λιμῷ αὐτοὶ 14
καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν, καὶ πρὶν ἐλθεῖν τὴν
ῥομφαίαν ἐπ᾽ αὐτοὺς καταστρωθήσονται ἐν ταῖς πλατείαις τῆς
οἰκήσεως αὐτῶν· [15]καὶ ἀνταποδώσεις αὐτοῖς ἀνταπόδομα πονηρὸν 15 –
ἀνθ᾽ ὧν ἐστασίασαν καὶ οὐκ ἀπήντησαν τῷ προσώπῳ σου ἐν
εἰρήνῃ. [16]Καὶ ἤρεσαν οἱ λόγοι αὐτῶν ἐνώπιον Ὀλοφέρνου 16 (10)
καὶ ἐνώπιον πάντων τῶν θεραπόντων αὐτοῦ, καὶ συνέταξε ποιεῖν
καθὰ ἐλάλησαν. [17]καὶ ἀπῆρεν παρεμβολὴ υἱῶν Ἀμμών, καὶ 17
μετ᾽ αὐτῶν χιλιάδες πέντε υἱῶν Ἀσσούρ, καὶ παρενέβαλον ἐν τῷ
αὐλῶνι καὶ προκατελάβοντο τὰ ὕδατα καὶ τὰς πηγὰς τῶν ὑδά-
των τῶν υἱῶν Ἰσραήλ. [18]καὶ ἀνέβησαν οἱ υἱοὶ Ἡσαὺ καὶ οἱ υἱοὶ 18 –
Ἀμμών, καὶ παρενέβαλον ἐν τῇ ὀρινῇ ἀπέναντι Δωθάειμ, καὶ
ἀπέστειλαν ἐξ αὐτῶν πρὸς νότον καὶ ἀπηλιώτην ἀπέναντι Ἐγρε-
βὴλ ἥ ἐστιν πλησίον Χοὺς ἥ ἐστιν ἐπὶ τοῦ χειμάρρου Μοχμούρ·
καὶ ἡ λοιπὴ στρατεία τῶν Ἀσσυρίων παρενέβαλον ἐν τῷ πεδίῳ
καὶ ἐκάλυψαν πᾶν τὸ πρόσωπον τῆς γῆς, καὶ αἱ σκηναὶ καὶ αἱ
ἀπαρτίαι αὐτῶν κατεστρατοπέδευσαν ἐν ὄχλῳ πολλῷ καὶ ἦσαν
εἰς πλῆθος πολὺ σφόδρα. [19]καὶ οἱ υἱοὶ Ἰσραὴλ ἀνεβόησαν πρὸς 19
Κύριον θεὸν αὐτῶν, ὅτι ὠλιγοψύχησεν τὸ πνεῦμα αὐτῶν, ὅτι ἐκύ-
κλωσαν πάντες οἱ ἐχθροὶ αὐτῶν καὶ οὐκ ἦν διαφυγεῖν ἐκ μέσου
αὐτῶν. [20]καὶ ἔμεινεν κύκλῳ αὐτῶν πᾶσα παρεμβολὴ Ἀσσούρ, 20 (11)
οἱ πεζοὶ καὶ ἅρματα καὶ οἱ ἱππεῖς αὐτῶν, ἡμέρας τριάκοντα
τέσσαρες· καὶ ἐξέλειπεν πάντας τοὺς κατοικοῦντας Βαιτυλουὰ
πάντα τὰ ἀγγεῖα αὐτῶν τῶν ὑδάτων, [21]καὶ οἱ λάκκοι ἐξεκε- 21
νοῦντο, καὶ οὐκ εἶχον πεῖν εἰς πλησμονὴν ὕδωρ ἡμέραν μίαν, ὅτι
ἐν μέτρῳ ἐδίδοσαν αὐτοῖς πεῖν. [22]καὶ ἠθύμησεν τὰ νήπια αὐ- 22 –
τῶν, καὶ αἱ γυναῖκες καὶ οἱ νεανίσκοι ἐξέλιπον ἀπὸ τῆς δίψης,
καὶ ἔπιπτον ἐν ταῖς πλατείαις τῆς πόλεως καὶ ἐν ταῖς διόδοις

ℵA **13** αυταις] αυτας ℵ | προφυλακην] pr την ℵ **14** πλατιαις A **15** ουκ απηντησαν] ουχ υπηντ. A **16** αυτων] αυτου A | Ολοφερνους ℵ | συνεταξεν ℵA **17** απηραν παρεμβολην A ⟦ προκατελαβον ℵ **18** ορεινη B^{ab}ℵ | Εκρεβηλ A | Χουσει A | Μοχμουρ] Μουχμουρ ℵ* Μοκμουρ $ℵ^{c.a\ vid}$ om A | στρατια ℵA | εκαλυψαν] επε|καλυψαν ℵ εκαλυψεν A | om παν ℵ | απαρτειαι B*ℵ **19** θεον] pr τον ℵ | εκυκλωσαν] + αυτους A **20** εμεινεν] εμενον A | αρματα] pr τα A | τριακοντα τεσσαρες] τρ. τεσσαρας B^{b} λδ′ ℵ (prius ut vid δδ′ per incur) | εξελιπε $B^{b\,vid}$ εξελιπεν ℵ* εξελιπαν $ℵ^{c.a}$ εξελειπαν A | παντας του κατοικουντας] των κατοικουντων $ℵ^{c.a}$ | Βαιτουλουα ℵ | αγγια ℵA **21** πειν B* bis (πιειν $B^{a?b}$ℵA [πειειν 1°]) **22** ηθυμησαν $ℵ^{c.a}$ | εξελειπον A

(12) 23 τῶν πυλῶν, καὶ οὐκ ἦν κραταίωσις ἔτι ἐν αὐτοῖς. [23]Καὶ B
ἐπισυνήχθησαν πᾶς ὁ λαὸς ἐπὶ Ὀζείαν καὶ τοὺς ἄρχοντας τῆς
πόλεως, οἱ νεανίσκοι καὶ αἱ γυναῖκες καὶ τὰ παιδία, καὶ ἀνε-
(13) 24 βόησαν φωνῇ μεγάλῃ καὶ εἶπαν ἐναντίον τῶν πρεσβυτέρων
[24]Κρίναι ὁ θεὸς ἀνὰ μέσον ὑμῶν καὶ ἡμῶν, ὅτι ἐποιήσατε ἐν
ἡμῖν ἀδικίαν μεγάλην οὐ λαλήσαντες εἰρηνικὰ μετὰ υἱῶν Ἀσσούρ.
(14) 25 [25]καὶ νῦν οὐκ ἔστιν ὁ βοηθὸς ἡμῶν, ἀλλὰ πέπρακεν ἡμᾶς ὁ θεὸς
εἰς τὰς χεῖρας αὐτῶν τοῦ καταστρωθῆναι ἐναντίον αὐτῶν ἐν δίψῃ
(15) 26 καὶ ἀπωλίᾳ μεγάλῃ. [26]καὶ νῦν ἐπικαλέσασθε αὐτοὺς καὶ ἔκδοσθε
τὴν πόλιν πᾶσαν εἰς προνομὴν τῷ λαῷ Ὀλοφέρνου καὶ πάσῃ
(16) 27 τῇ δυνάμει αὐτοῦ. [27]κρεῖσσον γὰρ ἡμῖν γενηθῆναι αὐτοῖς εἰς
διαρπαγήν· ἐσόμεθα γὰρ εἰς δούλους καὶ ζήσεται ἡ ψυχὴ ἡμῶν,
καὶ οὐκ ὀψόμεθα τὸν θάνατον τῶν νηπίων ἡμῶν ἐν ὀφθαλμοῖς
ἡμῶν καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα ἡμῶν ἐκλειπούσας τὰς
(17) 28 ψυχὰς αὐτῶν. [28]μαρτυρόμεθα ὑμῖν τὸν οὐρανὸν καὶ τὴν γῆν
καὶ τὸν θεὸν ἡμῶν καὶ κύριον τῶν πατέρων ἡμῶν, ὃς ἐκδικεῖ
ἡμᾶς κατὰ τὰς ἁμαρτίας ἡμῶν καὶ κατὰ τὰ ἁμαρτήματα τῶν
πατέρων ἡμῶν, ἵνα μὴ ποιήσῃ κατὰ τὰ ῥήματα ταῦτα ἐν τῇ
(18) 29 ἡμέρᾳ τῇ σήμερον. [29]καὶ ἐγένετο κλαυθμὸς μέγας ἐν μέσῳ τῆς
ἐκκλησίας πάντων ὁμοθυμαδόν, καὶ ἐβόησαν πρὸς Κύριον τὸν
(23) 30 θεὸν φωνῇ μεγάλῃ. [30]καὶ εἶπεν πρὸς αὐτοὺς Ὀζείας Θαρσεῖτε,
ἀδελφοί, διακαρτερήσωμεν ἔτι πέντε ἡμέρας ἐν αἷς ἐπιστρέψει
Κύριος ὁ θεὸς ἡμῶν τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, οὐ γὰρ ἐγκατα-
(25) 31 λείψει ἡμᾶς εἰς τέλος· [31]ἐὰν δὲ διέλθωσιν αὗται καὶ μὴ ἔλθῃ
– 32 ἐφ' ἡμᾶς βοήθεια, ποιήσω κατὰ τὰ ῥήματα ὑμῶν. [32]καὶ ἐσκόρ-
πισεν τὸν λαὸν εἰς τὴν ἑαυτοῦ παρεμβολήν, καὶ ἐπὶ τὰ τείχη καὶ
τοὺς πύργους τῆς πόλεως αὐτῶν ἀπῆλθον, καὶ τὰς γυναῖκας καὶ
τὰ τέκνα εἰς τοὺς οἴκους αὐτῶν ἀπέστειλεν· καὶ ἦσαν ἐν ταπει-
νώσει πολλῇ ἐν τῇ πόλει.

VIII 1 [1]Καὶ ἤκουσεν ἐν ἐκείναις ταῖς ἡμέραις Ἰουδὶθ θυγάτηρ Μεραρὶ

22 πυλων] οδων ℵ **23** Οζιαν $B^{b}A$ | τους αρχ.] pr επι ℵ | om και 5° ℵA ℵ | ανεβοησαν] εβοησαν A | των πρεσβ.] pr παντων ℵA **24** ημων και υμων A **25** ο βοηθος] ο βοηθων ℵ βοηθος A | ημων] ημιν ℵ | απωλεια $B^{ab}A$ **26** Ολοφερνους ℵ **27** ημιν] ημας ℵA | ημων 1°] υμων ℵ* (ημ. $ℵ^{a.b\,vid}$) | ουχ οψ. A | om εν οφθαλμοις ημων A | εκλιπουσας ℵ **28** μαρτυρομεθα] διαμαρτ. ℵ | ος] ως ℵ | om μη ℵ **29** τον θεον] om τον A **30** αυτους] υς sup ras A^{a} | Οζιας B^{b} | ετι] επι A | ημ. πεντε ℵ | επιστρεφει A | ενκαταλιψει A **31** om δε A **32** παρεμβολην] pr πολιν A | τους πυργους] pr επι A | bis scr οικους A* vid (ras 1° $A^{?}$) | αυτων 2°] εαυτων ℵ | απεστειλαν $ℵ^{c.a}A$ VIII **1** ταις ημ. εκειναις ℵ

Β υἱοῦ *Ωξ υἱοῦ Ἰωσὴφ υἱοῦ Ὀζειὴλ υἱοῦ Ἑλκειὰ υἱοῦ Ἠλειοὺ υἱοῦ Χελκείου υἱοῦ Ἐλειὰβ υἱοῦ Ναθαναὴλ υἱοῦ Σαλαμιὴλ υἱοῦ Σαρασαδαὶ υἱοῦ Ἰσραήλ. 2 καὶ ὁ ἀνὴρ αὐτῆς Μανασσῆς τῆς φυλῆς αὐτῆς καὶ τῆς πατριᾶς αὐτῆς· καὶ ἀπέθανεν ἐν ἡμέραις θερισμοῦ κριθῶν. 3 ἐπέστη γὰρ ἐπὶ τοῦ δεσμεύοντος τὸ δράγμα ἐν τῷ πεδίῳ, καὶ ὁ καύσων ἦλθεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἔπεσεν ἐπὶ τὴν κλίνην καὶ ἐτελεύτησεν ἐν Βαιτυλουὰ τῇ πόλει αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν τῷ ἀγρῷ τῷ ἀνὰ μέσον Δωθάειμ καὶ Βαλαμών. 4 καὶ ἦν Ἰουδὶθ ἐν τῷ οἴκῳ αὐτῆς χηρεύουσα ἔτη τρία καὶ μῆνας τέσσαρες. 5 καὶ ἐποίησεν αὐτῇ σκηνὴν ἐπὶ τοῦ δώματος τοῦ οἴκου αὐτῆς, (6) καὶ ἐπέθηκεν ἐπὶ τὴν ὀσφὺν αὐτῆς σάκκον, καὶ ἦν ἐπ᾽ αὐτῆς τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς. 6 καὶ ἐνήστευε πάσας τὰς ἡμέρας τῆς χηρεύσεως αὐτῆς χωρὶς προσαββάτων καὶ σαββάτων καὶ προνουμηνιῶν καὶ ἑορτῶν καὶ χαρμοσυνῶν οἴκου Ἰσραήλ. 7 καὶ ἦν καλὴ τῷ εἴδει καὶ ὡραία τῇ ὄψει σφόδρα· καὶ ὑπελείπετο αὐτῇ Μανασσῆς ὁ ἀνὴρ αὐτῆς χρυσίον καὶ ἀργύριον καὶ παῖδας καὶ παιδίσκας καὶ κτήνη καὶ ἀγρούς, καὶ ἔμενεν ἐπ᾽ αὐτῶν. 8 καὶ οὐκ ἦν ὃς ἐπήνεγκεν αὐτῇ ῥῆμα πονηρόν, ὅτι ἐφοβεῖτο τὸν θεὸν σφόδρα. 9 Καὶ (9) ἤκουσεν ῥήματα τοῦ λαοῦ τὰ πονηρὰ ἐπὶ τὸν ἄρχοντα, ὅτι ὠλιγοψύχησαν ἐπὶ τῇ σπάνει τῶν ὑδάτων· καὶ ἤκουσεν πάντας τοὺς λόγους Ἰουδὶθ οὓς ἐλάλησεν πρὸς αὐτοὺς Ὀζείας, ὃς ὤμοσεν αὐτοῖς παραδώσειν τὴν πόλιν μετὰ ἡμέρας πέντε τοῖς Ἀσσυρίοις. 10 καὶ ἀποστείλασα τὴν ἄβραν αὐτῆς τὴν ἐφεστῶσαν πᾶσιν τοῖς ὑπάρχουσιν αὐτῆς ἐκάλεσεν Χάβρειν καὶ Χάρμειν τοὺς πρεσβυτέρους τῆς πόλεως αὐτῆς. 11 καὶ ἦλθον πρὸς αὐτήν· καὶ εἶπεν (10) πρὸς αὐτούς Ἀκούσατε δή μου, ἄρχοντες τῶν κατοικούντων ἐν

ℵA **1** Ελκεια] + υιου Ανανιου| υιου Γεδσων υιου Ραφαειν| υιου Αχιτωβ| ℵ + υιου Ανανιου· υιου| Γεδεων· υιου Ραφαιν· υιου Ακιθω·| A | Ηλιου B^c | om υιου Χελκειου A | Χελκιου B^bℵ | Ελειαβ] Εναβ ℵ Ελιαβ A | Σαλαμιηλ] Σαμαμιηλ ℵ | Σαρισαδαι ℵ Σαλασαδαι A | Ισραηλ] Ιηλ A^* Ιεηλ A^a **2** της φυλης] pr εκ ℵ | κριθων θερισμου A **3** τους δεσμευοντας τα δραγματα ℵA | om και επεσεν επι την κλινην ℵ* (hab $ℵ^{c.a}$) | κλινην] + αυτου $ℵ^{c.a}$A | Βαιτουλουα ℵ **4** τεσσαρες] δ΄ ℵ **5** αυτη] εαυτη ℵA | αυτης 3°] αυτη ℵ **6** ενηστευσεν ℵA | προσαββατων] και σαββατων sup ras A^a (προσαββ. A*) | om και σαββατων A^* | προνουμηνιων] + και νουμηνιων $B^{ab\,(mg)}$ (inter προ et νουμ. ins νουμηνιων κ) ℵ + προσαββατων $A^{a\,(mg)}$ | om και 4° ℵ **7** υπελιπετο ℵ | ο ανηρ αυτης M. ℵ | εμεινεν ℵ* (εμενεν $ℵ^{c.a}$) A **9** ρηματα] pr τα B^{ab} (superscr) ℵA | ωλιγοψυχησεν A | επι 2°] εν ℵA | Ιουδειθ π. τους λογους A | Οζιας B^b (item 28, 35) | ος] ως ℵA **10** αυτης 2°] αυτη ℵ* (-της $ℵ^{c.a}$) | Χαβρειμ A | Χαρμιν A **11** om εν 1° ℵA

Βαιτυλουά· ὅτι οὐκ εὐθὴς ὁ λόγος ὑμῶν ὃν ἐλαλήσατε ἐναντίον B
τοῦ λαοῦ ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ ἐστήσατε τὸν ὅρκον ὃν ἐλα-
λήσατε ἀνὰ μέσον τοῦ θεοῦ καὶ ὑμῶν, καὶ εἴπατε ἐκδώσειν τὴν
πόλιν τοῖς ἐχθροῖς ἡμῶν ἐὰν μὴ ἐν αὐταῖς ἐπιστρέψῃ ὁ κύριος
(11–17) 12 βοήθειαν ὑμῖν. [12]καὶ νῦν τίνες ἐστὲ ὑμεῖς οἱ ἐπειράσατε τὸν
θεὸν ἐν τῇ ἡμέρᾳ τῇ σήμερον, καὶ ἵστατε ὑπὲρ τοῦ θεοῦ ἐν
13 μέσῳ υἱῶν ἀνθρώπων; [13]καὶ νῦν Κύριον Παντοκράτορα ἐξετάζετε,
14 καὶ οὐθὲν ἐπιγνώσεσθε ἕως τοῦ αἰῶνος· [14]ὅτι βάθος καρδίας
ἀνθρώπου οὐχ εὑρήσετε, καὶ λόγους τῆς διανοίας αὐτοῦ οὐ δια-
λήμψεσθε· καὶ πῶς τὸν θεὸν ὃς ἐποίησεν τὰ πάντα ταῦτα ἐρευ-
νήσετε, καὶ τὸν νοῦν αὐτοῦ ἐπιγνώσεσθε, καὶ τὸν λογισμὸν αὐτοῦ
κατανοήσετε; μηδαμῶς, ἀδελφοί, μὴ παροργίζετε Κύριον θεὸν
15 ἡμῶν. [15]ὅτι ἐὰν μὴ βούληται ἐν ταῖς πέντε ἡμέραις βοηθῆσαι
ἡμῖν, αὐτὸς ἔχει τὴν ἐξουσίαν ἐν αἷς θέλει σκεπάσαι ἡμέραις, ἢ
16 καὶ ὀλεθρεῦσαι ἡμᾶς πρὸ προσώπου τῶν ἐχθρῶν ἡμῶν. [16]ὑμεῖς
δὲ μὴ ἐνεχυράζετε τὰς βουλὰς Κυρίου τοῦ θεοῦ ἡμῶν, ὅτι οὐχ ὡς
ἄνθρωπος ὁ θεὸς ἀπειληθῆναι οὐδ' ὡς υἱὸς ἀνθρώπου διαιτη-
17 θῆναι. [17]διόπερ ἀναμένοντες τὴν παρ' αὐτοῦ σωτηρίαν ἐπικα-
λεσώμεθα αὐτὸν εἰς βοήθειαν ἡμῶν, καὶ εἰσακούσεται τῆς φωνῆς
(18) 18 ἡμῶν, ἐὰν ἦν αὐτῷ ἀρεστόν. [18]ὅτι οὐκ ἀνέστη ἐν ταῖς γενεαῖς
ἡμῶν οὐδὲ ἔστιν ἐν τῇ ἡμέρᾳ τῇ σήμερον οὔτε φυλὴ οὔτε πατριὰ
οὔτε δῆμος οὔτε πόλις ἐξ ἡμῶν οἳ προσκυνοῦσι θεοῖς χειροποιή-
(19) 19 τοις, καθάπερ ἐγένετο ἐν ταῖς πρότερον ἡμέραις· [19]ὧν χάριν
ἐδόθησαν εἰς ῥομφαίαν καὶ εἰς διαρπαγὴν οἱ πατέρες ἡμῶν, καὶ
20 ἔπεσον πτῶμα μέγα ἐνώπιον τῶν ἐχθρῶν ἡμῶν. [20]ἡμεῖς δὲ
ἕτερον θεὸν οὐκ ἐπέγνωμεν πλὴν αὐτοῦ· ὅθεν ἐλπίζομεν ὅτι
– 21 οὐχ ὑπερόψεται ἡμᾶς οὐδ' ἀπὸ τοῦ γένους ἡμῶν. [21]ὅτι ἐν τῷ
λημφθῆναι ἡμᾶς οὕτως καθήσεται πᾶσα ἡ Ἰουδαία, καὶ προνο-
μευθήσεται τὰ ἅγια ἡμῶν, καὶ ζητήσει τὴν βεβήλωσιν αὐτῶν

11 ελαλησατε 1°] τ sup ras $A^{a?}$ | τον ορκον] + τουτον A | ανα μεσον sup ras ℵA ℵ[1] | επιστρεψει A | ο κυριος] om ο A | βοηθειαν B^{ab} (βοηθιαν B*)] βοηθειν ℵ βοηθησαι A **12** ιστατε (ιστασθε B)] ιστασθε ℵ[c.a] **14** λογους] vs sup ras $A^{a?}$ | διαλημψεσθε] καταλημψ. ℵ | τα παντα] om τα ℵA | ερευνησετε] εραυνατε ℵ ερευνησατε A | κατανοησετε $A^{*\,vid}$ (-σατε A^{a}) | θεον 2°] pr τον ℵA **15** σκεπασαι] και πασαις A **16** υμεις] ημεις A | ουδ] ουδε A **17** αναμενοντες] ε 2° inst ℵ[c.a] | επικαλεσομεθα A | βοηθειαν A | ην] η ℵA **18** ουτε πολις ουτε δημος ℵ **19** επεσαν ℵ **20** επεγνωμεν] εγνωμεν ℵA | ουδ] ουδε ℵ ουτε A | του γενους] του (το ℵ[c.a vid]) εθνους ℵ **21** ζητησει] εκζητησει ℵA + κς ℵ

B ἐκ τοῦ αἵματος ἡμῶν, [22]καὶ τὸν φόνον τῶν ἀδελφῶν ἡμῶν καὶ 22
τὴν αἰχμαλωσίαν τῆς γῆς καὶ τὴν ἐρήμωσιν τῆς κληρονομίας ἡμῶν
ἐπιστρέψει εἰς κεφαλὴν ἡμῶν ἐν τοῖς ἔθνεσιν οὗ ἐὰν δουλεύ-
σωμεν ἐκεῖ, καὶ ἐσόμεθα εἰς πρόσκομμα καὶ εἰς ὄνειδος ἐναντίον
τῶν κτωμένων ἡμᾶς. [23]ὅτι οὐ κατευθυνθήσεται ἡ δουλεία ἡμῶν 23
εἰς χάριν, ἀλλ' εἰς ἀτιμίαν θήσει αὐτὴν Κύριος ὁ θεὸς ἡμῶν. [24]καὶ 24 (21ᵃ)
νῦν, ἀδελφοί, ἐπιδειξώμεθα τοῖς ἀδελφοῖς ἡμῶν, ὅτι ἐξ ἡμῶν
κρέμαται ἡ ψυχὴ αὐτῶν, καὶ τὰ ἅγια καὶ ὁ οἶκος καὶ τὸ θυσια- –
στήριον ἐπεστήρισται ἐφ' ἡμῖν. [25]παρὰ ταῦτα πάντα εὐχαρι- 25 (21ᵇ)
στήσωμεν Κυρίῳ τῷ θεῷ ἡμῶν, ὃς πειράζει ἡμᾶς καθὰ καὶ τοὺς
πατέρας ἡμῶν. [26]μνήσθητε ὅσα ἐποίησεν μετὰ Ἀβραάμ, καὶ ὅσα 26 (22,23)
ἐπείρασεν τὸν Ἰσαάκ, καὶ ὅσα ἐγένετο τῷ Ἰακὼβ ἐν Μεσοπο-
ταμίᾳ τῆς Συρίας ποιμαίνοντι τὰ πρόβατα Λαβὰν τοῦ ἀδελφοῦ
τῆς μητρὸς αὐτοῦ. [27]ὅτι οὐ καθὼς ἐκείνους ἐπύρωσεν εἰς ἐτασμὸν 27 (24–27)
τῆς καρδίας αὐτῶν, καὶ ἡμᾶς οὐκ ἐξεδίκησεν, ἀλλ' εἰς νουθέ-
τησιν μαστιγοῖ Κύριος τοὺς ἐγγίζοντας αὐτῷ. [28]Καὶ εἶπεν 28 (28)
πρὸς αὐτὴν Ὀζείας Πάντα ὅσα εἶπας ἀγαθῇ καρδίᾳ ἐλάλησας,
καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τοῖς λόγοις σου. [29]ὅτι οὐκ ἐν τῇ 29 –
σήμερον ἡ σοφία σου πρόδηλός ἐστιν, ἀλλ' ἀπ' ἀρχῆς ἡμερῶν
σου ἔγνω πᾶς ὁ λαὸς τὴν σύνεσίν σου, καθότι ἀγαθόν ἐστιν τὸ
πλάσμα τῆς καρδίας σου. [30]ἀλλὰ ὁ λαὸς ἐδίψησεν σφόδρα, καὶ 30
ἠνάγκασαν ποιῆσαι ἡμᾶς καθὰ ἐλαλήσαμεν αὐτοῖς, καὶ ἐπαγαγεῖν
ἐφ' ἡμᾶς ὅρκον ὃν οὐ παραβησόμεθα. [31]καὶ νῦν δεήθητι περὶ 31 (29)
ἡμῶν, ὅτι γυνὴ εὐσεβὴς εἶ, καὶ ἀποστελεῖ Κύριος τὸν ὑετὸν εἰς
πλήρωσιν τῶν λάκκων ἡμῶν, καὶ οὐκ ἐκλείψομεν ἔτι. [32]καὶ 32 (30,31)
εἶπεν πρὸς αὐτούς Ἰουδείθ Ἀκούσατέ μου, καὶ ποιήσω πρᾶγμα
ὃ ἀφίξεται εἰς γενεὰς γενεῶν υἱοῖς τοῦ γένους ἡμῶν. [33]ὑμεῖς 33 (32)
στήσεσθε ἐπὶ τῆς πύλης τὴν νύκτα ταύτην, καὶ ἐξελεύσομαι ἐγὼ
μετὰ τῆς ἅβρας μου, καὶ ἐν ταῖς ἡμέραις μεθ' ἃς εἴπατε παρα-

ℵA **21—22** *ματος ημων...αδελφων υ* (sic) in mg et sup ras $A^{a?}$ (om *και τον φον. τ. αδ. ημ.* A*) **21** *ημων* 2°] *παντων* ℵ **24** *ημων* 1°] *αυτων* ℵ* (*ημ.* ℵ$^{c.a}$) | *επεστηρισται*] *επιστηρισαι* A **25** *παρα*] *δια* ℵ$^{c.a}$ | *παντα ταυτα* ℵ om *παντα* A **26** Ισαακ B* (Ισαακ $B^{a?\,c\,(vid)}$) | *ποιμαινοντι*] *ποιμενοντος* ℵ *ποιμαινοντος αυτου* A **27** *της καρδιας*] om *της* ℵ* (hab ℵ$^{c.a}$) **28** *αγαθη*] pr *εν* ℵA **29** *σημε|ριμνη* ℵ* (*σημερον* ℵ$^{c.a}$) | *αλλ*] *αλλα* ℵA | *πας ο* sup ras B^{ab} | *της καρδ.*] *της*| sup ras A^{1} **30** *εδιψησεν*] *δεδιψηκεν* ℵA | *ηναγκασεν* ℵA | *ημας ποιησαι* ℵA | *επαγαγειν*] *επηγαγεν* A **31** *ευσεβης*] *η* sup ras $A^{a?}$ | *ει*]+*συ* ℵ | *τον υετον*] pr *ημιν* ℵ | *εις πληρωσιν*] pr *εις πλησμονην* ℵ | *λακκων*] *σακκων* ℵ | om *ετι* ℵ **32** *υιοις*] pr *τοις* ℵ **33** *ημεραις*] pr *ε'* ℵ$^{c.a}$

δώσειν τὴν πόλιν τοῖς ἐχθροῖς ἡμῶν ἐπισκέψεται Κύριος τὸν B
(33) 34 Ἰσραὴλ ἐν χειρί μου. 34ὑμεῖς δὲ οὐκ ἐξερευνήσετε τὴν πρᾶξίν
(34) 35 μου, οὐ γὰρ ἐρῶ ὑμῖν ἕως τοῦ τελεσθῆναι ἃ ἐγὼ ποιῶ. 35καὶ
εἶπεν Ὀζείας καὶ οἱ ἄρχοντες πρὸς αὐτήν Πορεύου εἰς εἰρήνην,
καὶ Κύριος ὁ θεὸς ἔμπροσθέν σου εἰς ἐκδίκησιν τῶν ἐχθρῶν
36 ἡμῶν. 36καὶ ἀποστρέψαντες ἐκ τῆς σκηνῆς ἐπορεύθησαν ἐπὶ
τὰς διατάξεις αὐτῶν.

IX 1 1Ἰουδεὶθ δὲ ἔπεσεν ἐπὶ πρόσωπον, καὶ ἐπέθετο σποδὸν ἐπὶ τὴν
κεφαλὴν αὐτῆς, καὶ ἐγύμνωσεν ὃν ἐδεδύκει σάκκον· καὶ ἦν ἄρτι
προσφερόμενον ἐν Ἰερουσαλὴμ εἰς τὸν οἶκον τοῦ θεοῦ τὸ θυμίαμα
τῆς ἑσπέρας ἐκείνης, καὶ ἐβόησεν φωνῇ μεγάλῃ Ἰουδεὶθ πρὸς Κύριον
2 καὶ εἶπεν 2Κύριε ὁ θεὸς τοῦ πατρός μου Συμεών, ᾧ ἔδωκας ἐν χειρὶ
ῥομφαίαν εἰς ἐκδίκησιν ἀλλογενῶν, οἱ ἔλυσαν μήτραν παρθένου εἰς
μίασμα καὶ ἐγύμνωσαν μηρὸν εἰς αἰσχύνην καὶ ἐβεβήλωσαν μήτραν
– 3 εἰς ὄνειδος· εἶπας γάρ Οὐχ οὕτως ἔσται· καὶ ἐποίησαν. 3ἀνθ' ὧν
ἔδωκας ἄρχοντας αὐτῶν εἰς φόνον, καὶ τὴν στρωμνὴν αὐτῶν ἧς
ᾐδέσατο τὴν ἀπάτην αὐτῶν ἀπατηθεῖσαν εἰς αἷμα, καὶ ἐπάταξας
(3) 4 δούλους ἐπὶ δυνάσταις καὶ δυνάστας ἐπὶ θρόνους αὐτῶν· 4καὶ
ἔδωκας γυναῖκας αὐτῶν εἰς προνομὴν καὶ θυγατέρας εἰς αἰχμα-
λωσίαν καὶ πάντα τὰ σκῦλα εἰς διαίρεσιν υἱῶν ἠγαπημένων
ὑπὸ σοῦ, οἳ καὶ ἐζήλωσαν τὸν ζῆλόν σου καὶ ἐβδελύξαντο
μίασμα αἵματος αὐτῶν καὶ ἐπεκαλέσαντό σε εἰς βοηθόν· ὁ θεὸς
(4) 5 ὁ θεὸς ἐμός, καὶ εἰσάκουσον ἐμοῦ τῆς χήρας. 5σὺ γὰρ ἐποίησας
τὰ πρότερα ἐκείνων, καὶ ἐκεῖνα καὶ τὰ μετέπειτα καὶ τὰ νῦν
6 καὶ τὰ ἐπερχόμενα διενοήθης, καὶ ἐγενήθησαν ἃ ἐνενοήθης, 6καὶ
(5) παρέστησαν ἃ ἐβουλεύσω καὶ εἶπαν Ἰδοὺ πάρεσμεν· (5)πᾶσαι γὰρ
(6,9,10a) 7 αἱ ὁδοί σου ἕτοιμοι, καὶ ἡ κρίσις σου ἐν προγνώσει. 7ἰδοὺ γὰρ
Ἀσσύριοι ἐπληθύνθησαν ἐν δυνάμει αὐτῶν, ὑψώθησαν ἐφ' ἵππῳ
καὶ ἀναβάτῃ, ἐγαυρίασαν ἐν βραχίονι πεζῶν, ἤλπισαν ἐν ἀσπίδι

34 εξε|ραυνησεται ℵ εξερευνησατε A | ερω] αναγγελω ℵA **35** ημων] η ℵA sup ras $A^{a?}$ (υμ. A*) IX **1** επεθετο] εθετο ℵ$^{c.a}$ | εδεδυκει] ενδεδυκει ℵ ενεδιδυσκετο A | θεου] κυ A | του θυμιαματος A | φωνην μεγαλην A **2** παρθενου] παρ sup ras A^{a} **2—3** εις μιασμα...εδωκας sup ras A^{a} **2** εγυμνωσαν] + μητραν παρθενου| εις μιασμα B* (om μητραν 1°...εγυμνωσαν $B^{1?a?}$ non inst B^{b}) **3** om αρχοντας ℵ* (hab ℵ$^{c.a}$) | om αυτων 2°, 3° ℵA | om απατην ℵ* vid (hab απατη| ℵ^{1}) A | δυνασταις] δυναστας ℵ | om δυνασταις και A **4** θυγατερας] θυγατ|ρες B + αυτων A | σκυλα] + αυτων A | υιων] + Ισλ ℵ | ηγαπημενων] pr των ℵ | om οι A | ο θεος ο θεος] ο θς· ℵ ·ο θς· ο θς A | εμος] pr ο ℵ | om και 7° A | εμου] μου A **5** om και 2° ℵ | τα μετεπ.] om τα A **6** η κρισις] αι κρισεις A

B καὶ ἐν γαίσῳ καὶ τόξῳ καὶ σφενδόνῃ, καὶ οὐκ ἔγνωσαν ὅτι σὺ
εἶ Κύριος συντρίβων πολέμους. 8 Κύριος ὄνομά σοι· σὺ ῥάξον 8 (10b,11)
αὐτῶν τὴν ἰσχὺν ἐν δυνάμει σου, καὶ κάταξον τὸ κράτος αὐτῶν
ἐν τῷ θυμῷ σου· ἐβουλεύσαντο γὰρ βεβηλῶσαι τὰ ἅγιά σου,
μιᾶναι τὸ σκήνωμα τῆς καταπαύσεως τοῦ ὀνόματος τῆς δόξης
σου, καταβαλεῖν σιδῆρῳ κέρας θυσιαστηρίου σου. 9 βλέψον εἰς 9 (12–15)
ὑπερηφανίαν αὐτῶν, ἀπόστειλον τὴν ὀργήν σου εἰς κεφαλὰς
αὐτῶν, δὸς ἐν χειρί μου τῆς χήρας ὃ διενοήθην κράτος. 10 πά- 10
ταξον δοῦλον ἐκ χειλέων ἀπάτης μου ἐπ᾽ ἄρχοντι καὶ ἄρχοντα
ἐπὶ θεράποντι αὐτοῦ, θραῦσον αὐτῶν τὸ ἀνάστεμα ἐν χειρὶ θη-
λείας. 11 οὐ γὰρ ἐν πλήθει τὸ κράτος σου, οὐδὲ ἡ δυναστεία 11 (16)
σου ἐν ἰσχύουσιν, ἀλλὰ ταπεινῶν εἶ θεός, ἐλαττόνων εἶ βοηθός,
ἀντιλήμπτωρ ἀσθενούντων, ἀπεγνωσμένων σκεπαστής, ἀπηλπι- –
σμένων σωτήρ. 12 ναὶ ναὶ ὁ θεὸς τοῦ πατρός μου καὶ θεὸς κλη- 12
ρονομίας Ἰσραήλ, (17) δέσποτα τῶν οὐρανῶν καὶ τῆς γῆς, κτίστα (17)
τῶν ὑδάτων, βασιλεῦ πάσης κτίσεώς σου, σὺ εἰσάκουσον τῆς
δεήσεώς μου, 13 καὶ δὸς λόγον μου καὶ ἀπάτην εἰς τραῦμα καὶ 13 (18)
μώλωπα αὐτῶν, οἳ κατὰ τῆς διαθήκης σου καὶ οἴκου ἡγιασμένου
σου καὶ κορυφῆς Σιὼν καὶ οἴκου κατασχέσεως υἱῶν σου ἐβου-
λεύσαντο σκληρά. 14 καὶ ποίησον ἐπὶ πᾶν τὸ ἔθνος σου καὶ 14 (19)
πάσης φυλῆς ἐπίγνωσιν, τοῦ εἰδῆσαι ὅτι σὺ εἶ ὁ θεὸς πάσης
δυνάμεως καὶ κράτους, καὶ οὐκ ἔστιν ἄλλος ὑπερασπίζων τοῦ
γένους Ἰσραὴλ εἰ μὴ σύ.

X 1 Καὶ ἐγένετο ὡς ἐπαύσατο βοῶσα πρὸς τὸν θεὸν Ἰσραὴλ καὶ 1
συνετέλεσεν πάντα τὰ ῥήματα ταῦτα, 2 καὶ ἀνέστη ἀπὸ τῆς πτώσεως 2
(2) καὶ ἐκάλεσεν τὴν ἄβραν αὐτῆς, καὶ κατέβη εἰς τὸν οἶκον ἐν ᾧ διέτριβεν
ἐν αὐτῷ ἐν ταῖς ἡμέραις τῶν σαββάτων καὶ ἐν ταῖς ἑορταῖς αὐτῆς,
3 καὶ περιείλατο τὸν σάκκον ὃν ἐνδεδύκει, καὶ ἐξεδύσατο τὰ ἱμάτια 3

ℵA **7** om *και εν γαισω* A | *γεισω* ℵ* vid (*γαισ.* ℵ1) **8** *συ ραξον*] *συν-
ρα|ξον* ℵ | *μιαναι*] pr *και* ℵ **9** *υπερηφανιαν*] pr *την* ℵ **10** *αυ-
των*]+*την οργην*| *σου εις κεφαλας*| *αυτων αποστει|λον την οργην σου*| *εις
κεφαλας αυτω*| *δος εν χειρι μου*| *της χηρας ο διενο|ηθην· θραυσον αυ|των* ℵ*
(om *θραυσον* 1°...*διενοηθην* ℵc.a) | *αναστημα* A **11** om *σου* 1° ℵ*
(hab ℵc.a) | *η δυναστεια*] *η δεξια* ℵ* *τη δυναστια* ℵc.a | *θεος*] *κς* A | *αφηλπισμ.*
ℵ **12** *ο θεος*] *θε* ℵ *θς* A | *βασιλευς* A **13** *μου*] *μοι* ℵ | *κορυφην* A
14 *παν το εθνος*] *παντος εθνους* A | *ειδησαι*] *ειδεναι σε* ℵc.a | *ο θεος*]+*θς* ℵA |
ει μη συ sup ras Aa X **1** *και εγενετο*] *ι εγενετο* sup ras Aa **2** *πτωσεως*]
+*αυτης* ℵ | *οικον*]+*αυτης* ℵ **3** *περιειλετο* ℵ | *σακκον*]+*της* (*s* sup litur
ℵ1 vid) *χηρευσεως αυτης* ℵ | *ενδεδυκει*] *ενεδεδυκει* Bab *ενεδιδυσκετο* A

τῆς χηρεύσεως αὐτῆς· (3)περιεκλύσατο τὸ σῶμα ὕδατι καὶ ἐχρίσατο B
μύρῳ παχεῖ, καὶ διέταξε τὰς τρίχας τῆς κεφαλῆς αὐτῆς καὶ ἐπέθετο
μίτραν ἐπ' αὐτῆς, καὶ ἐνεδύσατο τὰ ἱμάτια τῆς εὐφροσύνης αὐτῆς
ἐν αἷς ἐστολίζετο ἐν ταῖς ἡμέραις τῆς ζωῆς τοῦ ἀνδρὸς αὐτῆς Μανασσῆ·
4 4καὶ ἔλαβεν σανδάλια εἰς τοὺς πόδας αὐτῆς, καὶ περιέθετο τοὺς
χλίδωνας καὶ τὰ ψέλια καὶ τοὺς δακτυλίους καὶ τὰ ἐνώτια καὶ
πάντα τὸν κόσμον αὐτῆς· (4b)καὶ ἐκαλλωπίσατο σφόδρα εἰς ἀπάντησιν
5 ὀφθαλμῶν ἀνδρῶν ὅσοι ἂν ἴδωσιν αὐτήν. 5καὶ ἔδωκεν τῇ ἄβρᾳ
αὐτῆς ἀσκοπυτίνην οἴνου καὶ καψάκην ἐλαίου, καὶ πήραν ἐπλήρωσεν
ἀλφίτων καὶ παλάθης καὶ ἄρτων καθαρῶν, καὶ περιεδίπλωσε πάντα
6 τὰ ἄγγια αὐτῆς καὶ ἐπέθηκεν αὐτῇ. 6καὶ ἐξῆλθοσαν ἐπὶ τὴν πύλην
τῆς πόλεως Βαιτυλουά, καὶ εὗροσαν ἐπεστῶτα ἐπ' αὐτῇ Ὀζείαν καὶ
7 τοὺς πρεσβυτέρους τῆς πόλεως Χάβρειν καὶ Χάρμειν. 7ὡς δὲ εἶδον
αὐτήν, καὶ ἦν ἠλλοιωμένον τὸ πρόσωπον αὐτῆς, καὶ τὴν στολὴν μετα-
βεβληκυῖαν, καὶ ἐθαύμασαν ἐπὶ τῷ κάλλει αὐτῆς ἐπὶ πολὺ σφόδρα,
8 (8)καὶ εἶπαν αὐτῇ 8Ὁ θεὸς τῶν πατέρων ἡμῶν δῴη σε εἰς χάριν, καὶ
τελειώσαι τὰ ἐπιτηδεύματά σου εἰς γαυρίαμα υἱῶν Ἰσραὴλ καὶ ὕψωμα
9 Ἰερουσαλήμ. καὶ προσεκύνησεν τῷ θεῷ, 9καὶ εἶπεν πρὸς αὐτούς
Ἐπιτάξατε ἀνοῖξαί μοι τὴν πύλην τῆς πόλεως, καὶ ἐξελεύσομαι
εἰς τελείωσιν τῶν λόγων ὧν ἐλαλήσατε μετ' ἐμοῦ· καὶ συνέταξαν
10 τοῖς νεανίσκοις ἀνοῖξαι αὐτῇ καθότι ἐλάλησαν. 10καὶ ἐποίησαν
οὕτως· (10)καὶ ἐξῆλθεν Ἰουδείθ, αὐτὴ καὶ ἡ παιδίσκη αὐτῆς μετ' αὐτῆς·
ἀπεσκόπευον δ' αὐτὴν οἱ ἄνδρες τῆς πόλεως ἕως οὗ κατέβη τὸ ὄρος,
11 ἕως διῆλθεν τὸν αὐλῶνα καὶ οὐκ ἔτι ἐθεώρουν αὐτήν. 11Καὶ
ἐπορεύοντο ἐν τῷ αὐλῶνι εἰς εὐθεῖαν, καὶ συνήντησεν αὐτῇ προ-
12 φυλακὴ τῶν Ἀσσυρίων. 12καὶ συνέλαβον αὐτὴν καὶ ἐπηρώτησαν
Τίνων εἶ, καὶ πόθεν ἔρχῃ, καὶ ποῦ πορεύῃ; (12)καὶ εἶπεν Θυγάτηρ εἰμὶ
τῶν Ἑβραίων, καὶ ἀποδιδράσκω ἀπὸ προσώπου αὐτῶν, ὅτι μέλλουσιν

3 om *της χηρευσεως αυτης* ℵ | *περιεκλυσατο*] pr *και* ℵA | *παχει*] χ sup ℵA ras B^{ab} | *διεταξε*] *διεξανε* ℵ *διεταξεν* A | *αις*] *οις* ℵ | *εστολιζετο*] *εκοσμειτο* ℵ **4** *χλιδωνας*] λ sup ras $A^{a?}$ | *απαντησιν*] *απατησιν* $ℵ^{1?a.b?}$A **5** *ασκοπυτινην* (*-τεινην* A)] *ασκον* ℵ | om *και παλαθης* ℵ | *περιεδιπλωσεν* ℵA | *αγγεια* B^{ab} **6** *εξηλθοσαν*] *οσ* sup ras A^{a} | *Βαιτουλουα* ℵ | *ευραν* ℵ | *εφεστωτα* ℵA | om *επ* ℵA | *Οζιαν* B^{b} **7** *το προσωπον αυτης ηλλοιωμ.* ℵ | *στολην*]+*αυτης* ℵ | *μεταβεβληκυιαν*]+*αυτης* $B^{ab\,mg}$A | om *και* 3° A **8** *το επιτηδευμα* ℵ | Ιλμ ℵ* Ιλημ $ℵ^{c.a}$ **9** *ελαλησατε*] *ατ* sup ras A^{a} | *ελαλησαν*] *ελαλησεν* ℵA **10** *εποιησαν* (seq ras 1 lit) A | *εξηλθον* $B^{c?vid}$ | *Ιουδειθ*] seq ras ut vid in B | om *μετ αυτης* A | *δ*] *δε* $A^{a?}$ (*ε* superscr) | *εθεωρων* ℵ *εθεωρουσαν* (*σ* sup ras A^{a}) A **12** *Εβραιων*] *Εβ*, *α* sup ras $A^{a?}$

B δίδοσθαι ὑμῖν εἰς κατάβρωμα. [13]κἀγὼ ἔρχομαι εἰς τὸ πρόσωπον 13
Ὀλοφέρνου ἀρχιστρατήγου δυνάμεως ὑμῶν τοῦ ἀναγγεῖλαι ῥήματα
ἀληθείας, καὶ δείξω πρὸ προσώπου αὐτοῦ ὁδὸν καθ' ἣν πορεύσεται
καὶ κυριεύσει πάσης τῆς ὀρινῆς, καὶ οὐ διαφωνήσει τῶν ἀνδρῶν αὐτοῦ
σὰρξ μία οὐδὲ πνεῦμα ζωῆς. [14]ὡς δὲ ἤκουσαν οἱ ἄνδρες τὰ ῥήματα 14
αὐτῆς, καὶ κατενόησαν τὸ πρόσωπον αὐτῆς, καὶ ἦν ἐναντίον αὐτῶν
θαυμάσιον τῷ κάλλει σφόδρα· (15)καὶ εἶπαν πρὸς αὐτήν [15]Σέσωκας 15
τὴν ψυχήν σου σπεύσασα καταβῆναι εἰς πρόσωπον τοῦ κυρίου ἡμῶν·
καὶ νῦν πρόσελθε ἐπὶ τὴν σκηνὴν αὐτοῦ, καὶ ἀφ' ἡμῶν προπέμψουσίν
σε ἕως παραδῶσίν σε εἰς χεῖρας αὐτοῦ. [16]ἐὰν δὲ στῇς ἐναντίον 16
αὐτοῦ, μὴ φοβηθῇς τῇ καρδίᾳ σου, ἀλλὰ ἀνάγγειλον κατὰ τὰ ῥήματά
σου, καὶ εὖ σε ποιήσει. [17]καὶ ἀπέλεξαν ἐξ αὐτῶν ἄνδρας ἑκα- 17 –
τόν, καὶ παρέζευξαν αὐτῇ καὶ τῇ ἅβρᾳ αὐτῆς, καὶ ἤγαγον αὐτὰς
ἐπὶ τὴν σκηνὴν Ὀλοφέρνου. [18]καὶ ἐγένετο συνδρομὴ ἐν τῇ 18
παρεμβολῇ, διεβοήθη γὰρ εἰς τὰ σκηνώματα ἡ παρουσία αὐτῆς·
καὶ ἐλθόντες ἐκύκλουν αὐτὴν ὡς ἱστήκει ἔξω τῆς σκηνῆς Ὀλο-
φέρνου, ἕως προσήγγειλαν αὐτῷ περὶ αὐτῆς. [19]καὶ ἐθαύμαζον 19 (17b–18)
ἐπὶ τῷ κάλλει αὐτῆς, καὶ ἐθαύμαζον τοὺς υἱοὺς Ἰσραὴλ ἀπ' αὐτῆς·
καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ Τίς καταφρονήσει
τοῦ λαοῦ τούτου ὃς ἔχει ἐν ἑαυτῷ γυναῖκας τοιαύτας; ὅτι οὐ
καλόν ἐστιν ὑπολείπεσθαι ἐξ αὐτῶν ἄνδρα ἕνα, οἳ ἀφεθέντες
δυνήσονται κατασοφίσασθαι πᾶσαν τὴν γῆν. [20]καὶ ἐξῆλθον οἱ 20
παρακαθεύδοντες Ὀλοφέρνῃ καὶ πάντες οἱ θεράποντες αὐτοῦ,
καὶ εἰσήγαγον αὐτὴν εἰς τὴν σκηνήν. [21]καὶ ἦν Ὀλοφέρνης ἀνα- 21 (19)
παύομενος ἐπὶ τῆς κλίνης αὐτοῦ ἐν τῷ κωνωπίῳ, ὃ ἦν ἐκ πορ-
φύρας καὶ χρυσίου καὶ σμαράγδου καὶ λίθων πολυτελῶν καθυ-
φασμένων. [22]καὶ ἀνήγγειλαν αὐτῷ περὶ αὐτῆς, καὶ ἐξῆλθεν εἰς 22
τὸ προσκήνιον, καὶ λαμπάδες ἀργυραῖ προάγουσαι αὐτοῦ. [23]ὡς 23 (17a, 20)
δὲ ἦλθεν κατὰ πρόσωπον αὐτοῦ Ἰουδεὶθ καὶ τῶν θεραπόντων
αὐτοῦ, ἐθαύμασαν πάντες ἐπὶ τῷ κάλλει τοῦ προσώπου· καὶ

ℵA **12** διδοσθαι] διδοναι ℵ **13** το προσωπον] om το ℵ | αναγγειλαι] απαγγειλαι ℵA (λαι sup ras Aa) | ρηματα sup ras Aa (seq ras 1 lit) **14** αυτης 1°] ταυτα ℵ | θαυμασιον] θαυμαστον ℵ θαυμασια A | om τω καλλει ℵ **15** εις προσ. του κυριου] προς τον κν̄ ℵ | παραδωσι ℵ παραδωσουσι ℵc.a παραδωσουσιν A **16** ευ] ευθη A **17** επελεξαν Bbℵc.aA | Ολοφερνου] pr του ℵ **18** τη παρεμβολη] pr πασῃ Babmgℵ A | ειστηκει Bab **19** επι τω καλλει...απο (sic) αυτης in mgg et sup ras Aa (om επι...εθαυμαζον (2°) A*) | ειπαν A | om ου ℵ* (hab ℵc.a) | om εστιν ℵ | υπολιπε|σθαι ανδρα εξ αυ|των ενα ℵ εξ αυτω̄ υπολειπεσθαι ανδρα ενα A **21** καθυφασμενον ℵ **23** προσωπου] + αυτης ℵA

πεσοῦσα ἐπὶ πρόσωπον προσεκύνησεν αὐτῷ, καὶ ἤγειραν αὐτὴν B
XI 1 οἱ δοῦλοι αὐτοῦ. [1]Καὶ εἶπεν πρὸς αὐτὴν Ὀλοφέρνης Θάρ-
σησον, γύναι, μὴ φοβηθῇς τῇ καρδίᾳ σου· ὅτι ἐγὼ οὐκ ἐκάκωσα
ἄνθρωπον ὅστις ἡρέτικεν δουλεύειν βασιλεῖ Ναβουχοδονοσὸρ πάσης
2 τῆς γῆς. [2]καὶ νῦν ὁ λαός σου ὁ κατοικῶν τὴν ὀρινήν, εἰ μὴ
ἐφαύλισάν με, οὐκ ἂν ἦρα τὸ δόρυ μου ἐπ᾽ αὐτούς, ἀλλὰ αὐτοὶ
3 ἑαυτοῖς ἐποίησαν ταῦτα. [3]καὶ νῦν λέγε μοι τίνος ἕνεκεν ἀπέδρας
– ἀπ᾽ αὐτῶν καὶ ἦλθες πρὸς ἡμᾶς· ἥκεις γὰρ εἰς σωτηρίαν·
4 θάρσει, ἐν τῇ νυκτὶ ταύτῃ ζήσῃ καὶ εἰς τὸ λοιπόν· [4]οὐ γὰρ
ἔστιν ὃς ἀδικήσει σε, ἀλλ᾽ εὖ σε ποιήσει καθὰ γίνεται τοῖς
(4) 5 δούλοις τοῦ κυρίου μου βασιλέως Ναβουχοδονοσόρ. [5]καὶ εἶπεν
πρὸς αὐτὸν Ἰουδείθ Δέξαι τὰ ῥήματα τῆς δούλης σου, καὶ λαλη-
σάτω ἡ παιδίσκη σου κατὰ πρόσωπόν σου, καὶ οὐκ ἀναγγελῶ
6 ψεῦδος τῷ κυρίῳ μου ἐν τῇ νυκτὶ ταύτῃ. [6]καὶ ἐὰν κατακολου-
θήσῃς τοῖς λόγοις τῆς παιδίσκης σου, τελείως πρᾶγμα ποιήσει
μετὰ σοῦ ὁ θεός, καὶ οὐκ ἀποπεσεῖται ὁ κύριός μου τῶν ἐπιτη-
(5) 7 δευμάτων αὐτοῦ. [7]ζῇ γὰρ βασιλεὺς Ναβουχοδονοσὸρ πάσης τῆς
γῆς καὶ ζῇ τὸ κράτος αὐτοῦ, ὃς ἀπέστειλέν σε εἰς κατόρθωσιν
πάσης ψυχῆς, ὅτι οὐ μόνον ἄνθρωποι διὰ σὲ δουλεύουσιν αὐτῷ,
ἀλλὰ καὶ τὰ θηρία τοῦ ἀγροῦ καὶ τὰ κτήνη καὶ τὰ πετεινὰ τοῦ
οὐρανοῦ διὰ τῆς ἰσχύος σου ζήσονται Ναβουχοδονοσὸρ καὶ πάντα
(6) 8 τὸν οἶκον αὐτοῦ. [8]ἠκούσαμεν γὰρ τὴν σοφίαν σου καὶ τὰ πανουρ-
γεύματα τῆς ψυχῆς σου, καὶ ἀνηγγέλη πάσῃ τῇ γῇ ὅτι σὺ μόνος
ἀγαθὸς ἐν πάσῃ βασιλείᾳ καὶ δυνατὸς ἐν ἐπιστήμῃ καὶ θαυμαστὸς
(7) 9 ἐν στρατεύμασιν πολέμου. [9]καὶ νῦν λόγος ὃν ἐλάλησεν Ἀχιὼρ
ἐν τῇ συνεδρίᾳ σου, ἠκούσαμεν τὰ ῥήματα αὐτοῦ, ὅτι περιεποιή-
σαντο αὐτὸν οἱ ἄνδρες Βαιτυλουά, καὶ ἀνήγγειλεν αὐτοῖς πάντα
– 10 ὅσα ἐξελάλησεν παρὰ σοί. [10]διό, δέσποτα κύριε, μὴ παρέλθῃς
(8) τὸν λόγον αὐτοῦ, ἀλλὰ κατάθου αὐτὸν ἐν τῇ καρδίᾳ σου, [(8)]ὅτι
ἐστὶν ἀληθής· οὐ γὰρ ἐκδικᾶται τὸ γένος ἡμῶν, οὐ κατισχύει ῥομφαία
(9) 11 ἐπ᾽ αὐτοὺς ἐὰν μὴ ἁμάρτωσιν εἰς τὸν θεὸν αὐτῶν. [11]καὶ νῦν

XI 1 μη] pr και ℵ | ηρετικεν] ηκεν ℵ ηρετισεν A 2 ει μη| εφαυλισαν ℵA με οι| κατοικων την| ορ. ℵ | εφαυλισεν A | αλλα] αλλ ℵ 3 ενεκα ℵA | απεδρασας ℵ | ζησῃ] pr ζωη ℵ 4 ποιησει] ποισει ℵ* (η superscr ℵ¹) βασιλεως] pr του ℵ 7 βασιλευς] pr ο A | πασης της γης Ναβουχ. A | Ναβουχ. 2°] pr επι ℵ^c.a A 8 πανουργηματα B^ab A | και 2°] pr α B^ab (vid) A | βασιλεια] pr τη A 9 λογος] + σου ℵ* (om ℵ^a?) pr ο ℵA | συνεδρια B^b ℵA | Βαιτουλουα ℵ | εξελαλησεν] ελαλησεν ℵ 10 διο] διοτι ℵ* (διο ℵ^c.a) δη A | ου 2°] ουδε ℵ ος A

B ἵνα μὴ γένηται ὁ κύριός μου ἔκβολος καὶ ἄπρακτος, ἐπιπεσεῖται
θάνατος ἐπὶ πρόσωπον αὐτῶν, καὶ κατελάβετο αὐτοὺς ἁμάρτημα
ἐν ᾧ παροργιοῦσιν τὸν θεὸν αὐτῶν, ὁπηνίκα ἂν ποιήσωσιν ἀτο-
πίαν. [12]ἐπεὶ γὰρ ἐξέλειπεν αὐτοὺς τὰ βρώματα καὶ ἐσπανίσθη 12 (10,11)
πᾶν ὕδωρ, ἐβουλεύσαντο ἐπιβαλεῖν τοῖς κτήνεσιν αὐτῶν, καὶ
πάντα ὅσα διεστείλατο αὐτοῖς ὁ θεὸς τοῖς νόμοις αὐτοῦ μὴ φαγεῖν
διέγνωσαν δαπανῆσαι. [13]καὶ τὰς ἀπαρχὰς τοῦ σίτου καὶ τὰς 13 (12)
δεκάτας τοῦ οἴνου καὶ τοῦ ἐλαίου, ἃ διεφύλαξαν ἁγιάσαντες τοῖς
ἱερεῦσιν τοῖς παρεστηκόσιν ἐν Ἰερουσαλὴμ ἀπέναντι τοῦ προσ-
ώπου τοῦ θεοῦ ἡμῶν, κεκρίκασιν ἐξαναλῶσαι, ὧν οὐδὲ ταῖς
¶ ℵ χερσὶν¶ καθῆκεν ἅψασθαι οὐδένα τῶν ἐκ τοῦ λαοῦ. [14]καὶ ἀπε- 14
στάλκασιν εἰς Ἰερουσαλήμ, ὅτι καὶ οἱ ἐκεῖ κατοικοῦντες ἐποίησαν
ταῦτα, τοὺς μετοικίσαντας αὐτοῖς τὴν ἄφεσιν παρὰ τῆς γερουσίας.
[15]καὶ ἔσται ὡς ἂν ἀναγγείλῃ αὐτοῖς καὶ ποιήσωσιν, δοθήσονταί 15
σοι εἰς ὄλεθρον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. [16]ὅθεν ἐγὼ ἡ δούλη σου 16 (13)
ἐπιγνοῦσα ταῦτα πάντα ἀπέδρων ἀπὸ προσώπου αὐτῶν, καὶ
ἀπέστειλέν με ὁ θεὸς ποιῆσαι μετὰ σοῦ πράγματα ἐφ' οἷς ἐκστή-
σεται πᾶσα ἡ γῆ ὅσοι ἐὰν ἀκούσωσιν αὐτά. [17]ὅτι ἡ δούλη σου 17 (14)
θεοσεβής ἐστιν, καὶ θεραπεύουσα νυκτὸς καὶ ἡμέρας τὸν θεὸν
τοῦ οὐρανοῦ· καὶ νῦν μενῶ παρὰ σοί, κύριέ μου, καὶ ἐξελεύ-
σεται ἡ δούλη σου κατὰ νύκτα εἰς τὴν φάραγγα καὶ προσεύξομαι
πρὸς τὸν θεόν, [(15a)]καὶ ἐρεῖ μοι πότε ἐποίησαν τὰ ἁμαρτήματα αὐ- (15a)
τῶν. [18]καὶ ἐλθοῦσα προσανοίσω σοι, καὶ ἐξελεύσῃ σὺν πάσῃ 18
τῇ δυνάμει σου, καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεταί σοι ἐξ αὐτῶν.
[19]καὶ ἄξω σε διὰ μέσου τῆς Ἰουδαίας ἕως τοῦ ἐλθεῖν ἀπέναντι 19
Ἰερουσαλήμ, καὶ θήσω τὸν δίφρον σου ἐν μέσῳ αὐτῆς, καὶ
ἄξεις αὐτοὺς ὡς πρόβατα οἷς οὐκ ἔστιν ποιμήν, καὶ οὐ γρύξει
κύων τῇ γλώσσῃ αὐτοῦ ἀπέναντί σου· [(16)]ὅτι ταῦτα ἐλαλήθη μοι (16)
κατὰ πρόγνωσίν μου καὶ ἀπηγγέλη μοι, [(17)]καὶ ἀπεστάλην ἀναγ- (17)
γεῖλαί σοι. [20]Καὶ ἤρεσαν οἱ λόγοι αὐτῆς ἐναντίον Ὀλοφέρνου 20 (18)
καὶ ἐναντίον πάντων τῶν θεραπόντων αὐτοῦ, καὶ ἐθαύμασαν ἐπὶ
τῇ σοφίᾳ αὐτῆς καὶ εἶπαν [21]Οὐκ ἔστιν τοιαύτη γυνὴ ἀπ' ἄκρου 21 (19)
ἕως ἄκρου τῆς γῆς, ἐν καλῷ προσώπῳ καὶ συνέσει λόγων. [22]καὶ 22 (20)

ℵA **11** επιπεσειται] pr κ B[a(mg)] ℵ[c.a] pr και A | προσωπου ℵA | κατελαβετο] καταλαβοι A | εν τω ℵ* (εν ω ℵ[c.a]) | παροργιουσι ℵ | αν] εαν ℵA **12** om γαρ A | εξελειπεν] εξελιπεν B[b]ℵ παρεξελειπεν A | βρωματα]+ αυτων A | κτησιν ℵ* (κτησεσιν ℵ[c.a]) **13** δεκατα A* (ς superscr A[1]) | om α A | ουδε] ουδ εν A | post χερσιν|| excidit fol in ℵ **15** αν] εαν A **17** ερει] αναγγελει A **19** [?ι] σου οτι ταυτα ελαλη sup ras B[1?ab] | μοι ταυτα ελαληθη A | απηγγελη] ανηγγελη A

εἶπεν πρὸς αὐτὴν Ὀλοφέρνης Εὖ ἐποίησεν ὁ θεὸς ἀποστείλας σε B
ἔμπροσθεν τοῦ λαοῦ, τοῦ γενηθῆναι ἐν χερσὶν ἡμῶν κράτος· ἐν
(21) 23 δὲ τοῖς φαυλίσασι τὸν κύριόν μου ἀπώλεια. 23καὶ νῦν ἀστεία
εἶ σὺ ἐν τῷ εἴδει σου καὶ ἀγαθὴ ἐν τοῖς λόγοις σου· ὅτι ἐὰν
ποιήσῃ καθὰ ἐλάλησας, ὁ θεός σου ἔσται μοῦ θεός, καὶ σὺ
ἐν οἴκῳ Ναβουχοδονοσὸρ βασιλέως καθήσῃ, καὶ ἔσῃ ὀνομαστὴ
XII 1 παρὰ πᾶσαν τὴν γῆν. 1Καὶ ἐκέλευσεν εἰσαγαγεῖν αὐτὴν οὗ
ἐτίθετο τὰ ἀργυρώματα αὐτοῦ, καὶ συνέταξεν καταστρῶσαι αὐτῇ ἀπὸ
2 τῶν ὀψοποιημάτων αὐτοῦ καὶ τοῦ οἴνου αὐτοῦ πίνειν. 2καὶ εἶπεν
Ἰουδείθ Οὐ φάγομαι ἐξ αὐτῶν, ἵνα μὴ γένηται σκάνδαλον, ἀλλ' ἐκ
3 τῶν ἠκολουθηκότων μοι χορηγηθήσεται. 3καὶ εἶπεν πρὸς αὐτὴν
Ὀλοφέρνης Ἐὰν δὲ ἐκλίπῃ τὰ μετὰ σοῦ ὄντα, πόθεν ἐξοισομέν
σοι δοῦναι ὅμοια αὐτοῖς; οὐ γάρ ἐστιν μεθ' ἡμῶν ἐκ τοῦ ἔθνους
(4) 4 σου. 4καὶ εἶπεν Ἰουδὶθ πρὸς αὐτόν Ζῇ ἡ ψυχή σου, κύριέ μου,
ὅτι οὐ δαπανήσει ἡ δούλη σου τὰ ὄντα μετ' ἐμοῦ ἕως ἂν ποιήσῃ ἐν
5 χειρί μου ἃ ἐβουλεύσατο. 5καὶ ἠγάγοσαν αὐτὴν οἱ θεράποντες
Ὀλοφέρνου εἰς τὴν σκηνήν, καὶ ὕπνωσεν μέχρι μεσούσης τῆς
(5) 6 νυκτός· καὶ ἀνέστη πρὸς τὴν ἐωθινὴν φυλακήν, 6καὶ ἀπέστειλεν
πρὸς Ὀλοφέρνην λέγουσα Ἐπιταξάτω δὴ ὁ κύριός μου ἐᾶσαι
(6) 7 τὴν δούλην σου ἐπὶ προσευχὴν ἐξελθεῖν. 7καὶ προσέταξεν Ὀλο-
φέρνης τοῖς σωματοφύλαξιν μὴ διακωλύειν αὐτήν. καὶ παρέμεινεν
(7) ἐν τῇ παρεμβολῇ ἡμέρας τρεῖς· (7)καὶ ἐξεπορεύετο κατὰ νύκτα
εἰς τὴν φάραγγα Βαιτυλουά, καὶ ἐβαπτίζετο ἐν τῇ παρεμβολῇ
(8) 8 ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος. 8καὶ ὡς ἀνέβη, ἐδέετο τοῦ κυρίου
θεοῦ Ἰσραὴλ κατευθῦναι τὴν ὁδὸν αὐτῆς εἰς ἀνάστημα τῶν υἱῶν
(9) 9 τοῦ λαοῦ αὐτοῦ. 9καὶ εἰσπορευομένη καθαρὰ παρέμενεν τῇ
σκηνῇ, μέχρι οὗ προσηνέγκατο τὴν τροφὴν αὐτῆς πρὸς ἑσπέ-
(10) 10 ραν. 10Καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ τετάρτῃ ἐποίησεν
Ὀλοφέρνης πότον τοῖς δούλοις αὐτοῦ μόνοις, καὶ οὐκ ἐκάλεσεν
11 εἰς τὴν χρῆσιν οὐδένα τῶν πρὸς ταῖς χρείαις. 11καὶ εἶπεν
Βαγώᾳ τῷ εὐνούχῳ, ὃς ἦν ἐφεστηκὼς ἐπὶ πάντων τῶν αὐτοῦ
Πεῖσον δὴ πορευθεὶς τὴν γυναῖκα τὴν Ἑβραίαν ἥ ἐστιν παρὰ
σοὶ τοῦ ἐλθεῖν πρὸς ἡμᾶς καὶ φαγεῖν καὶ πιεῖν μεθ' ἡμῶν.

23 ποιηση] ποιησεις A | εν| οικω B* εν οι|κω B$^{b\,(vid)}$ | βασιλεως Ναβ. A A
XII **1** αυτη] αυτῆ| A | πινειν] πιειν A **2** αλλ] αλλα A **3** om δε A | εκλειπη A | οντα μετα σου B^{ab}A | εξοισομεν] εξομεν A | ομοια] pr τα A | εθνους] γενους A **4** ποιηση] + κς A **5** της νυκτος] om της A | προς] περι A **6** εξελθειν] επι προσευχην A **8** ως] εως A | εδετο A | του κυριου] om του A **9** καθαρα] καθα A | τη σκηνη] pr εν A | μεχρις B^{ab} | τροφην] τρυφην A **10** χρησιν] κλησιν A

B [12]ἰδοὺ γὰρ αἰσχρὸν τῷ προσώπῳ ἡμῶν εἰ γυναῖκα τοιαύτην 12 (11)
παρήσομεν οὐχ ὁμιλήσαντες αὐτῇ· ὅτι ἐὰν ταύτην μὴ ἐπισπασώ-
μεθα, καταγελάσεται ἡμῶν. [13]καὶ ἐξῆλθεν Βαγώας ἀπὸ προσώπου 13 (12)
Ὀλοφέρνου, καὶ εἰσῆλθεν πρὸς αὐτὴν καὶ εἶπεν Μὴ ὀκνησάτω
δὴ ἡ παιδίσκη ἡ καλὴ αὕτη ἐλθοῦσα πρὸς τὸν κύριόν μου δοξα-
σθῆναι κατὰ πρόσωπον αὐτοῦ, καὶ πίεσαι μεθ' ἡμῶν εἰς εὐφρο-
σύνην οἶνον, καὶ γενηθῆναι ἐν τῇ ἡμέρᾳ ταύτῃ ὡς θυγάτηρ μία
τῶν υἱῶν Ἀσσοὺρ αἳ παρεστήκασιν ἐν οἴκῳ Ναβουχοδονοσόρ.
[14]καὶ εἶπεν πρὸς αὐτὸν Ἰουδείθ Καὶ τίς εἰμι ἐγὼ ἀντεροῦσα τῷ 14 (13,14)
κυρίῳ μου; ὅτι πᾶν ὃ ἔσται ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ ἀρεστὸν
σπεύσασα ποιήσω, καὶ ἔσται τοῦτό μοι ἀγαλλίαμα ἕως ἡμέρας
θανάτου μου. [15]καὶ διαναστᾶσα ἐκοσμήθη τῷ ἱματισμῷ καὶ παντὶ 15
τῷ κόσμῳ τῷ γυναικείῳ· καὶ προῆλθεν ἡ δούλη αὐτῆς καὶ ἔστρωσεν
αὐτῇ κατέναντι Ὀλοφέρνου χαμαὶ τὰ κώδια, ἃ ἔλαβεν παρὰ Βαγώου εἰς
τὴν καθημερινὴν δίαιταν αὐτῆς εἰς τὸ ἐσθίειν κατακλινομένην ἐπ' αὐτῶν.
[16]καὶ εἰσελθοῦσα ἀνέπεσεν Ἰουδείθ, [(16)]καὶ ἐξέστη ἡ καρδία Ὀλο- 16
φέρνου ἐπ' αὐτήν, ἐσαλεύθη ἡ ψυχὴ αὐτοῦ· καὶ ἦν κατεπίθυμος
σφόδρα τοῦ συγγενέσθαι μετ' αὐτῆς, καὶ ἐτήρει καιρὸν τοῦ ἀπατῆσαι
αὐτὴν ἀφ' ἧς ἡμέρας εἶδεν αὐτήν. [17]καὶ εἶπεν πρὸς αὐτὴν Ὀλοφέρνης 17
Πίε δὴ καὶ γενήθητι μεθ' ἡμῶν εἰς εὐφροσύνην. [18]καὶ εἶπεν Ἰου- 18
δείθ Πίομαι δή, κύριε, ὅτι ἐμεγαλύνθη τὸ ζῆν μου ἐν ἐμοὶ σήμερον
παρὰ πάσας τὰς ἡμέρας τῆς γενέσεώς μου. [19]καὶ λαβοῦσα ἔφαγεν 19
καὶ ἔπιεν κατέναντι αὐτοῦ ἃ ἡτοίμασεν ἡ δούλη αὐτῆς. [20]καὶ ηὐ- 20
φράνθη Ὀλοφέρνης ἀπ' αὐτῆς, καὶ ἔπιεν οἶνον πολὺν σφόδρα ὅσον
οὐκ ἔπιεν πώποτε ἐν ἡμέρᾳ μιᾷ ἀφ' οὗ ἐγεννήθη. [1]Ὡς δὲ 1 XIII
ὀψία ἐγένετο, ἐσπούδασαν οἱ δοῦλοι αὐτοῦ ἀναλύειν· καὶ Βαγώας
συνέκλεισεν τὴν σκηνὴν ἔξωθεν, καὶ ἀπέκλεισεν τοὺς παρεστῶ-
τας ἐκ προσώπου τοῦ κυρίου αὐτοῦ, καὶ ἀπῴχοντο εἰς τὰς κοίτας
αὐτῶν· [(2)]ἦσαν γὰρ πάντες κεκοπωμένοι διὰ τὸ ἐπὶ πλεῖον γεγο- (2)
νέναι τὸν πότον. [2]ὑπελείφθη δὲ Ἰουδὶθ μόνη ἐν τῇ σκηνῇ, 2 (3)
[(4)]καὶ Ὀλοφέρνης προπεπτωκὼς ἐπὶ τὴν κλίνην ἑαυτοῦ· ἦν γὰρ (4)

A **13** Βαγως A* (α 2° superscr A[1]) | πιεσαι] πιεῖ A | ν μεθ υμων (sic) εις ευφροσυνη in mgg et sup ras A[a] (om εις ευφροσυνην A*) **14** μοι τουτο A | ημερα A | om μου 2° A **15** αναστασα A | om και παντι τω κοσμω A | γυναικιω A | προσηλθεν A | κατεναντι] εναντιον A | κωδια] post κ ras 1 lit (λ vel α) B[a?] | ελαβον A **16** εσαλευθη] pr και A | συνγενεσθαι A **17** μεθ] θ sup ras A[1] **19** επιεν και εφαγεν A **20** επιεν 2°] πι sup ras A[1] | om πωποτε εν ημ. μια A XIII **1** κ προσωπου του κυριου sup ras B[1?ab] **2** om εν τη σκηνη A | επι την sup ras B[ab]

(5) 3 περικεχυμένος αὐτῷ ὁ οἶνος. 3καὶ εἶπεν Ἰουδὶθ τῇ δούλῃ αὐτῆς B
— στῆναι ἔξω τοῦ κοιτῶνος αὐτῆς καὶ ἐπιτηρεῖν τὴν ἔξοδον αὐτῆς
καθάπερ καθ' ἡμέραν, ἐξελεύσεσθαι γὰρ ἔφη ἐπὶ τὴν προσευχὴν
4 αὐτῆς· καὶ τῷ Βαγώᾳ ἐλάλησεν κατὰ τὰ ῥήματα ταῦτα. 4καὶ
ἀπήλθοσαν πάντες ἐκ προσώπου, καὶ οὐδεὶς κατελείφθη ἐν τῷ
(6) κοιτῶνι ἀπὸ μικροῦ ἕως μεγάλου· (6)καὶ στᾶσα Ἰουδὶθ παρὰ τὴν
(7) κλίνην αὐτοῦ εἶπεν ἐν τῇ καρδίᾳ ἑαυτῆς (7)Κύριε ὁ θεὸς πάσης
δυνάμεως, ἐπίβλεψον ἐν τῇ ὥρᾳ ταύτῃ ἐπὶ τὰ ἔργα τῶν χειρῶν
5 μου, εἰς ὕψωμα Ἰερουσαλήμ· 5ὅτι νῦν καιρὸς ἀντιλαβέσθαι τῆς
κληρονομίας σου καὶ ποιῆσαι τὸ ἐπιτήδευμά μου εἰς θραῦμα
(8) 6 ἐχθρῶν οἳ ἐπανέστησαν ἡμῖν. 6καὶ προσελθοῦσα τῷ κανόνι τῆς
κλίνης ὃς ἦν πρὸς κεφαλῆς Ὀλοφέρνου καθεῖλε τὸν ἀκινάκην
(9) 7 αὐτοῦ ἀπ' αὐτοῦ, 7καὶ ἐγγίσασα τῆς κλίνης ἐδράξατο τῆς κόμης
τῆς κεφαλῆς αὐτοῦ, καὶ εἶπεν Κραταίωσόν με, ὁ θεὸς Ἰσραήλ, ἐν
(10) 8 τῇ ἡμέρᾳ ταύτῃ. 8καὶ ἐπάταξεν εἰς τὸν τράχηλον αὐτοῦ δὶς ἐν
9 τῇ ἰσχύι αὐτῆς, καὶ ἀφεῖλεν τὴν κεφαλὴν αὐτοῦ, 9καὶ ἀπεκύλισεν
τὸ σῶμα αὐτοῦ §ἀπὸ τῆς στρωμνῆς, καὶ ἀφεῖλε τὸ κωνώπιον § ℵ
(11) ἀπὸ τῶν στύλων· (11)καὶ μετ' ὀλίγον ἐξῆλθεν καὶ παρέδωκεν τῇ
10 ἄβρᾳ αὐτῆς τὴν κεφαλὴν Ὀλοφέρνου, 10καὶ ἐνέβαλεν αὐτὴν εἰς
(12) τὴν πήραν τῶν βρωμάτων αὐτῆς· (12)καὶ ἐξῆλθον αἱ δύο ἅμα κατὰ
τὸν ἐθισμὸν αὐτῶν. καὶ διελθοῦσαι τὴν παρεμβολὴν ἐκύκλωσαν
τὴν φάραγγα ἐκείνην, καὶ προσανέβησαν τὸ ὄρος Βαιτυλουά, καὶ
(13) 11 ἦλθοσαν πρὸς τὰς πύλας αὐτῆς. 11Καὶ εἶπεν Ἰουδὶθ μακρό-
θεν τοῖς φυλάσσουσιν ἐπὶ τῶν πυλῶν Ἀνοίξατε, ἀνοίξατε δὴ τὴν
πύλην· μεθ' ἡμῶν ὁ θεὸς ὁ θεὸς ἡμῶν ποιῆσαι ἔτι ἰσχὺν ἐν
Ἰσραὴλ καὶ κράτος κατὰ τῶν ἐχθρῶν ἡμῶν, καθὰ καὶ σήμερον
(14) 12 ἐποίησεν. 12καὶ ἐγένετο ὡς ἤκουσαν οἱ ἄνδρες τῆς πόλεως αὐ-
τῆς τὴν φωνὴν αὐτῆς, ἐσπούδασαν τοῦ καταβῆναι ἐπὶ τὴν πύλην
τῆς πόλεως αὐτῶν, καὶ συνεκάλεσαν τοὺς πρεσβυτέρους τῆς
(15) 13 πόλεως. 13καὶ συνέδραμον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου
αὐτῶν, ὅτι παράδοξον ἦν αὐτοῖς τοῦ ἐλθεῖν αὐτήν, καὶ ἤνοιξαν

4 προσωπου]+αυτης A | εαυτης] αυτης A | om εν 3° A **5** θραυσμα Λ ℵA **6** ακεινακην B*A (ακιν. Bᵇ) **7** ο θεος] pr κε A **8** επαταξεν] α 1° sup ras Aᵃ | αυτου 2°]+απ αυτου A **9** τηστρωμνης A | αφειλεν A | τον κωνωπιον A | μεθ B* (μετ Bᵇ) **10** αυτων]+επι την προσευχην ℵA | φαραγγαν A | το ορος] προς ℵ* (το ορ. ℵᶜ·ᵃ) | Βαιτουλουα ℵ | ηλθοσαν] ηλθον ℵ **11** ανοιξ. δη ανοιξ. A | om ημων 3° BᵃᵇℵA **12** om αυτης 1° ℵ | του καταβ.] om του ℵ **13** om αυτων BᵃᵇℵA | του ελθειν] το ελθ. BᵃᵇℵA

B τὴν πύλην καὶ ἀπεδέξαντο αὐτάς· (16)ἅψαντες πῦρ εἰς φαῦσιν (16)
περιεκύκλωσαν αὐτάς. 14ἡ δὲ εἶπεν πρὸς αὐτοὺς φωνῇ μεγάλῃ 14 (17)
Αἰνεῖτε τὸν θεόν, αἰνεῖτε· αἰνεῖτε τὸν θεὸν ὃς (18)οὐκ ἀπέστησεν (18)
τὸ ἔλεος αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰσραήλ, ἀλλ' ἔθρανσε τοὺς ἐχθροὺς
ἡμῶν διὰ χειρός μου ἐν τῇ νυκτὶ ταύτῃ. 15καὶ προελοῦσα τὴν 15 (19)
κεφαλὴν ἐκ τῆς πήρας ἔδειξεν καὶ εἶπεν αὐτοῖς Ἰδοὺ ἡ κεφαλὴ
Ὀλοφέρνου ἀρχιστρατήγου δυνάμεως Ἀσσούρ, καὶ ἰδοὺ τὸ κωνώ-
πιον ἐν ᾧ κατέκειτο ἐν ταῖς μέθαις αὐτοῦ· καὶ ἐπάταξεν αὐτὸν
ὁ κύριος ἐν χειρὶ θηλείας. 16καὶ ζῇ Κύριος ὃς διεφύλαξέν με ἐν 16 (20)
τῇ ὁδῷ μου ᾗ ἐπορεύθην, ὅτι ἠπάτησεν αὐτὸν τὸ πρόσωπόν μου
εἰς ἀπώλειαν αὐτοῦ, καὶ οὐκ ἐποίησεν ἁμάρτημα μετ' ἐμοῦ εἰς
μίασμα καὶ αἰσχύνην. 17καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα, καὶ 17 (22)
κύψαντες προσεκύνησαν τῷ θεῷ καὶ εἶπαν ὁμοθυμαδὸν Εὐλογητὸς
εἶ ὁ θεὸς ἡμῶν ὁ ἐξουδενώσας ἐν τῇ ἡμέρᾳ τῇ σήμερον τοὺς
ἐχθροὺς τοῦ λαοῦ σου. 18καὶ εἶπεν αὐτῇ Ὀζείας Εὐλογητὴ σύ, 18 (23)
θυγάτηρ, τῷ θεῷ τῷ ὑψίστῳ παρὰ πάσας τὰς γυναῖκας τὰς ἐπὶ
τῆς γῆς, (24)καὶ εὐλογημένος Κύριος ὁ θεὸς ὃς ἔκτισεν τοὺς οὐρα- (24)
νοὺς καὶ τὴν γῆν, ὃς κατεύθυνέν σε εἰς τραῦμα κεφαλῆς ἄρχοντος
ἐχθρῶν ἡμῶν· 19ὅτι οὐκ ἀποστήσεται ἡ ἐλπίς σου ἀπὸ καρδίας 19 (25)
ἀνθρώπων μνημονευόντων ἰσχὺν θεοῦ ἕως αἰῶνος. 20καὶ ποιήσαι 20
σοι αὐτὰ ὁ θεὸς εἰς ὕψος αἰώνιον, τοῦ ἐπισκέψασθαί σε ἐν
ἀγαθοῖς, ἀνθ' ὧν οὐκ ἐφείσω τῆς ψυχῆς σου διὰ τὴν ταπείνωσιν
τοῦ γένους ἡμῶν, ἀλλ' ἐπεξῆλθες πτώματι ἡμῶν, ἐπ' εὐθεῖαν
πορευθεῖσα ἐνώπιον τοῦ θεοῦ ἡμῶν. (26)καὶ εἶπαν πᾶς ὁ λαός (26)
Γένοιτο, γένοιτο.

1Καὶ εἶπεν πρὸς αὐτοὺς Ἰουδείθ Ἀκούσατε δή μου, ἀδελφοί, 1 XIV
καὶ λαβόντες τὴν κεφαλὴν ταύτην κρεμάσατε αὐτὴν ἐπὶ τῆς ἐπάλξεως
τοῦ τείχους ὑμῶν. 2καὶ ἔσται ἡνίκα ἐὰν διαφαύσῃ ὁ ὄρθρος καὶ 2
ἐξέλθῃ ὁ ἥλιος ἐπὶ τὴν γῆν, ἀναλήμψεσθε ἕκαστος τὰ σκεύη τὰ
πολεμικὰ ὑμῶν καὶ ἐξελεύσεσθε πᾶς ἀνὴρ ἰσχύων ἔξω τῆς πόλεως,

ℵA **13** απεδεξαντο] επεδεξαντο B^{ab} εισεδεξ. ℵ υπεδεξ. A | ψαντες] pr και ℵ$^{c.a}$ A | πυρ sup ras $B^{a\,vid}$ **14** θεον (bis)] κν A | om αινειτε αινειτε τον θεον ℵ | ος] οτι A | αλλ] ras aliq inferius $B^{?}$ | εθρανσεν ℵA **15** κωνωπιον] + αυτου A **16** Κυριος] pr ο A | απωλιαν $B^{*a\,(vid)}$ (απωλειαν B^{b}ℵA) **17** ειπαν] α sup ras A^{a} | om ει ℵ | εξουθενωσας ℵ **18** Οζιας B^{b} | ευλογητη] ευλογημε|νη A | συ] pr ει A | θεος]+σου ℵ | ος 1°] ο A | om ος 2° ℵ* (superscr ℵ$^{1\,c.a}$) | κεφαλης ℵA] κεφαλην B | om ημων A **20** om σοι ℵ | αλλ] αλλα ℵ | επεξηλθες] s sup ras A^{1} | πτωματι] pr τω ℵA | πορευθεισα επ ευθειαν ℵ | ειπεν ℵ | om γενοιτο 2° A XIV **1** υμων] ημων ℵ **2** εαν] αν ℵ | διαφαυση ο ο sup litur ℵ$^{1\,(vid)}$ | εξελευσεσθε] εξελευσεται A

καὶ δώσετε ἀρχηγὸν εἰς αὐτούς, ὡς καταβαίνοντες ἐπὶ τὸ πεδίον εἰς Β
3 τὴν προφυλακὴν υἱῶν Ἀσσούρ· καὶ οὐ καταβήσεσθε. 3καὶ ἀναλα-
βόντες οὗτοι τὰς πανοπλίας αὐτῶν πορεύσονται εἰς τὴν παρεμβολὴν
(4) αὐτῶν καὶ ἐγεροῦσι τοὺς στρατηγοὺς τῆς δυνάμεως Ἀσσούρ· (4)καὶ
συνδραμοῦνται ἐπὶ τὴν σκηνὴν Ὀλοφέρνου, καὶ οὐχ εὑρήσουσιν
αὐτόν· καὶ ἐπιπεσεῖται ἐπ' αὐτοὺς φόβος, καὶ φεύξονται ἀπὸ προσ-
(5) 4 ώπου ὑμῶν. 4καὶ ἐπακολουθήσαντες ὑμεῖς καὶ πάντες οἱ κατοι-
κοῦντες πᾶν ὅριον Ἰσραὴλ καταστρώσατε αὐτοὺς ἐν ταῖς ὁδοῖς
XIII) (27a,28) 5 αὐτῶν. 5πρὸ δὲ τοῦ ποιῆσαι ταῦτα καλέσατέ μοι Ἀχιὼρ τὸν
Ἀμμανείτην, ἵνα ἴδῃ ἐπιγνοῖ τὸν ἐκφαυλίσαντα τὸν οἶκον τοῦ
6 Ἰσραήλ, καὶ αὐτὸν ὡς εἰς θάνατον ἀποστείλαντα εἰς ἡμᾶς. 6Καὶ
(29) ἐκάλεσαν τὸν Ἀχιὼρ ἐκ τοῦ οἴκου Ὀζεία· (29)ὡς δὲ ἦλθεν καὶ ἴδεν
τὴν κεφαλὴν Ὀλοφέρνου ἐν χειρὶ ἀνδρὸς ἑνὸς ἐν τῇ ἐκκλησίᾳ
τοῦ λαοῦ, ἔπεσεν ἐπὶ πρόσωπον, καὶ ἐξελύθη τὸ πνεῦμα αὐτοῦ.
(30) 7 7ὡς δὲ ἀνέλαβον αὐτόν, προσέπεσεν τοῖς ποσὶν Ἰουδεὶθ καὶ
(31) προσεκύνησεν τῷ προσώπῳ αὐτῆς καὶ εἶπεν (31)Εὐλογημένη σὺ
ἐν παντὶ σκηνώματι Ἰούδα καὶ ἐν παντὶ ἔθνει, οἵτινες ἀκού-
— 8 σαντες τὸ ὄνομά σου ταραχθήσονται. 8καὶ νῦν ἀνάγγειλόν μοι
ὅσα ἐποίησας ἐν ταῖς ἡμέραις ταύταις. καὶ ἀπήγγειλεν αὐτῷ
Ἰουδεὶθ ἐν μέσῳ τοῦ λαοῦ πάντα ὅσα ἦν πεποιηκυῖα, ἀφ' ἧς
9 ἡμέρας ἐξῆλθεν ἕως οὗ ἐλάλει αὐτοῖς. 9ὡς δὲ ἐπαύσατο λαλοῦσα,
ἠλάλαξεν ὁ λαὸς φωνῇ μεγάλῃ καὶ ἔδωκεν φωνὴν εὐφρόσυνον
(XIV) (6) 10 ἐν τῇ πόλει αὐτῶν. 10ἰδὼν δὲ Ἀχιὼρ πάντα ὅσα ἐποίησεν ὁ
θεὸς τοῦ Ἰσραήλ, ἐπίστευσεν τῷ θεῷ σφόδρα, καὶ περιετέμετο
τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ, καὶ προσετέθη πρὸς τὸν οἶκον
(7) 11 Ἰσραὴλ ἕως τῆς ἡμέρας ταύτης. 11Ἡνίκα δὲ ὁ ὄρθρος ἀνέβη,
καὶ ἐκρέμασαν τὴν κεφαλὴν Ὀλοφέρνου ἐκ τοῦ τείχους, καὶ ἀνέ-
λαβεν πᾶς ἀνὴρ Ἰσραὴλ τὰ ὅπλα αὐτοῦ καὶ ἐξῆλθοσαν κατὰ
(8–12) 12 σπείρας ἐπὶ τὰς ἀναβάσεις. 12οἱ δὲ υἱοὶ Ἀσσοὺρ ὡς ἴδον αὐτούς,
διέπεμψαν ἐπὶ τοὺς ἡγουμένους αὐτῶν· οἱ δὲ ἦλθον ἐπὶ τοὺς
13 στρατηγοὺς καὶ χιλιάρχους καὶ ἐπὶ πάντα ἄρχοντα αὐτῶν. 13καὶ

2 αρχηγον εις αυτους] αυτους| αρχην ℵ* εις αυτ. αρχην ℵ1 εις αυτ. ℵA αρχηγον ℵc.a 3 ουτοι] αυτοι ℵ | τας παρεμβολας A | εγερουσι BℵA | om υμων ℵ 4 καταστρωσετε ℵ 5 επιγνω ℵA | εκφαυλισαντα] a 1° sup ras Bab | του Ισραηλ] om του A 6 εκαλεσεν ℵ | Οζια Bb Οζειου ℵ | ειδεν ℵA 7 ανελαβεν A | συ] ευ A* (ε improb Aa) 8 εξηλθες ℵ* (εξηλθεν ℵc.a) 9 ευφροσυνης A 10 προς] εις ℵA 11 ο ορθρος] om ο A | om και 1° A | om Ισραηλ ℵA | σπειραν A | αναβασεις] +του ορους Bab(mg)ℵA 12 ειδον ℵA | τους στρατ.] om τους Bab ℵ

B παρεγένοντο ἐπὶ τὴν σκηνὴν Ὀλοφέρνου, καὶ εἶπαν τῷ ὄντι ἐπὶ
πάντων τῶν αὐτοῦ Ἔγειρον δὴ τὸν κύριον ἡμῶν, ὅτι ἐτόλμησαν
οἱ δοῦλοι καταβαίνειν ἐφ' ἡμᾶς εἰς πόλεμον, ἵνα ἐξολεθρευθῶσιν
εἰς τέλος. [14]καὶ εἰσῆλθεν Βαγώας καὶ ἔκρουσε τὴν αὐλαίαν τῆς 14 (13)
σκηνῆς· ὑπενοεῖτο γὰρ καθεύδειν αὐτὸν μετὰ Ἰουδείθ. [15]ὡς δ' οὐ- 15 (14)
θεὶς ἐπήκουσεν, διαστείλας εἰσῆλθεν εἰς τὸν κοιτῶνα, καὶ εὗρεν
αὐτὸν ἐπὶ τῆς χελωνίδος ἐριμμένον νεκρόν, καὶ ἡ κεφαλὴ αὐτοῦ
ἀφῄρητο ἀπ' αὐτοῦ. [16]καὶ ἐβόησεν φωνῇ μεγάλῃ μετὰ κλαυθμοῦ 16
καὶ στεναγμοῦ καὶ βοῆς ἰσχυρᾶς, καὶ διέρρηξεν τὰ ἱμάτια αὐτοῦ.
[17]καὶ εἰσῆλθεν εἰς τὴν σκηνὴν οὗ ἦν Ἰουδεὶθ καταλύουσα, καὶ 17 (15)
οὐχ εὗρεν αὐτήν· καὶ ἐξεπήδησεν εἰς τὸν λαὸν [(16)]κράζων [18]Ἠθέ- 18 (16)
τησαν οἱ δοῦλοι, ἐποίησεν αἰσχύνην μία γυνὴ τῶν Ἑβραίων εἰς
τὸν οἶκον τοῦ βασιλέως Ναβουχοδονοσόρ· ὅτι ἰδοὺ Ὀλοφέρνης
χαμαί, καὶ ἡ κεφαλὴ οὐκ ἔστιν ἐπ' αὐτῷ. [19]ὡς δὲ ἤκουσαν τὰ 19 (17)
ῥήματα οἱ ἄρχοντες τῆς δυνάμεως Ἀσσούρ, τοὺς χιτῶνας αὐτῶν
διέρρηξαν, καὶ ἐταράχθη αὐτῶν ἡ ψυχὴ σφόδρα, [(18)]καὶ ἐγένετο (18)
αὐτῶν κραυγὴ καὶ βοὴ μεγάλη σφόδρα ἐν μέσῳ τῆς παρεμβο-
λῆς. [1]Καὶ ὡς ἤκουσαν οἱ ἐν τοῖς σκηνώμασιν ὄντες, ἐξέ- 1 (1) XV
στησαν ἐπὶ τὸ γεγονός, [2]καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς τρόμος καὶ 2
φόβος, [(2)]καὶ οὐκ ἦν ἄνθρωπος μένων κατὰ πρόσωπον τοῦ πλη- (2)
σίον ἔτι, ἀλλ' ἐκχυθέντες ὁμοθυμαδὸν ἔφευγον ἐπὶ πᾶσαν ὁδὸν
τοῦ πεδίου καὶ τῆς ὀρινῆς. [3]καὶ οἱ παρεμβεβληκότες ἐν τῇ 3 (3,4)
ὀρινῇ κύκλῳ Βαιτυλουὰ καὶ ἐτράπησαν εἰς φυγήν· καὶ τότε οἱ
υἱοὶ Ἰσραὴλ πᾶς ἀνὴρ πολεμιστὴς ἐξ αὐτῶν ἐξεχύθησαν ἐπ' αὐ-
τούς. [4]καὶ ἀπέστειλεν Ὀζείας εἰς Βαιτομασθάιμ καὶ Χωβαὶ καὶ 4 (5)
Χωλὰ καὶ εἰς πᾶν ὅριον Ἰσραὴλ τοὺς ἀπαγγέλλοντας ὑπὲρ τῶν
συντετελεσμένων, καὶ ἵνα πάντες ἐπεκχυθῶσιν τοῖς πολεμίοις
εἰς τὴν ἀναίρεσιν αὐτῶν. [5]ὡς δὲ ἤκουσαν οἱ υἱοὶ Ἰσραήλ, πάντες 5 (6)

ℵA **13** παρεγενοντο] παραγεν. ℵ* vid (παρεγ. ℵ1) παρεγενε|νοντο A | καταβαινειν] καταβηναι ℵ **14** εκρουσε| A | αυλαιαν] αυλην A | υπενοει ℵA **15** δ] δε ℵA | ουδεις ℵ | υπηκουσεν A | διεστειλας A | ερριμμ. Bac ℵA | αφειρητο ℵ **17** κραζων] λεγω| ℵ και εβοησεν A **18** του βασ.] om του ℵ **19** τα ρηματα] pr ταυτα A | διερρηξαν τους χιτ. αυτων ℵA | η ψυχη αυτων A XV **1** οι εν] om οι ℵ | τοις σκηνωμασιν] τω σκηνω|ματι ℵ **2** επεπεσεν] επεσεν ℵA | αυτοις ℵ* (αυτους ℵc.a) | φοβος κ. τρομος A | του πλησιον] αυτου πλ. ℵ* (om αυ ℵ1) **3** πα|ραβεβληκοτες ℵ | Βαιτουλουα ℵ Βετυλουα A | om και 2° ℵA | om επ αυτους ℵ **4** επεστειλεν ℵ | Οζιας Bb | Βαιτομασθεν ℵ | Χωβαι και Χωλα] Αβελβαιμ και Χωβα ℵ* (Αβ. κ. Χωβαι ℵ| Κεειλα ℵc.a) Βηβαι και Χωβαι και Κωλα A | απαγγελλοντας] αποστελλοντας ℵ* (απαγγ. ℵc.a) | συντελεσμενων A | επεκχυθωσι ℵ απεκχυθωσιν A

ὁμοθυμαδὸν ἐπέπεσον ἐπ' αὐτοὺς καὶ ἔκοπτον αὐτοὺς ἕως Χωβά. Β
ὡσαύτως δὲ καὶ οἱ ἐξ Ἰερουσαλὴμ παρεγενήθησαν καὶ ἐκ πάσης
τῆς ὀρινῆς, ἀνήγγειλαν γὰρ αὐτοῖς τὰ γεγονότα τῇ παρεμβολῇ
τῶν ἐχθρῶν αὐτῶν· καὶ οἱ ἐν Γαλαὰδ καὶ οἱ ἐν τῇ Γαλειλαίᾳ
ὑπερεκέρασαν αὐτοὺς πληγῇ μεγάλῃ, ἕως οὗ παρῆλθον Δαμασκὸν
(7) 6 καὶ τὰ ὅρια αὐτῆς. 6οἱ δὲ λοιποὶ οἱ κατοικοῦντες Βαιτυλουὰ ἐπέ-
πεσαν τῇ παρεμβολῇ Ἀσσοὺρ καὶ ἐπρονόμευσαν αὐτούς, καὶ
(8) 7 ἐπλούτησαν σφόδρα. 7οἱ δὲ υἱοὶ Ἰσραὴλ ἀναστρέψαντες ἀπὸ
τῆς κοπῆς ἐκυρίευσαν τῶν λοιπῶν, καὶ αἱ κῶμαι καὶ ἐπαύλεις
ἐν τῇ ὀρινῇ καὶ πεδινῇ ἐκράτησαν πολλῶν λαφύρων, ἦν γὰρ
πλῆθος πολὺ σφόδρα.
(9) 8 8Καὶ Ἰωακεὶμ ὁ ἱερεὺς ὁ μέγας καὶ ἡ γερουσία τῶν υἱῶν Ἰσραὴλ
οἱ κατοικοῦντες ἐν Ἰερουσαλὴμ ἦλθον τοῦ θεάσασθαι τὰ ἀγαθὰ
ἃ ἐποίησεν Κύριος τῷ Ἰσραήλ, καὶ τοῦ ἰδεῖν τὴν Ἰουδεὶθ καὶ
(10) 9 λαλῆσαι μετ' αὐτῆς εἰρήνην. 9ὡς δὲ εἰσῆλθον πρὸς αὐτήν, εὐλό-
γησαν αὐτὴν πάντες ὁμοθυμαδὸν καὶ εἶπαν πρὸς αὐτήν Σὺ ὕψωμα
Ἰερουσαλήμ, σὺ γαυρίαμα μέγα τοῦ Ἰσραήλ, σὺ καύχημα μέγα
(11) 10 τοῦ γένους ἡμῶν. 10ἐποίησας πάντα ταῦτα ἐν χειρί σου, ἐποί-
ησας τὰ ἀγαθὰ μετὰ Ἰσραήλ, καὶ εὐδοκήσαι ἐπ' αὐτοῖς ὁ θεός·
εὐλογημένη γίνου παρὰ τῷ παντοκράτορι κυρίῳ εἰς τὸν αἰῶνα
(12,13) 11 χρόνον. (12)καὶ εἶπεν πᾶς ὁ λαός Γένοιτο. 11καὶ ἐλαφύρευσεν
(14) πᾶς ὁ λαὸς τὴν παρεμβολὴν ἐφ' ἡμέρας τριάκοντα, (14)καὶ ἔδωκαν
τῇ Ἰουδεὶθ τὴν σκηνὴν Ὀλοφέρνου καὶ πάντα τὰ ἀργυρώματα καὶ
τὰς κλίνας καὶ τὰ ὅλκια καὶ πάντα τὰ σκευάσματα αὐτοῦ· καὶ
λαβοῦσα αὕτη ἐπέθηκεν ἐπὶ τὴν ἡμίονον αὐτῆς, καὶ ἔζευξεν τὰς
(15) 12 ἁμάξας αὐτῆς, καὶ ἐσώρευσεν αὐτὰ ἐπ' αὐτῶν. 12Καὶ συνέ-
δραμεν πᾶσα γυνὴ Ἰσραὴλ τοῦ ἰδεῖν αὐτήν, καὶ εὐλόγησαν αὐτήν,
καὶ ἐποίησαν αὐτῇ χορὸν ἐξ αὐτῶν· καὶ ἔλαβεν θύρσους ἐν ταῖς

5 επεπεσον] επιπεσοντες ℵ | om και 1° ℵ | εκοπτοντο A | εξ] εν ℵ | τα ℵA γεγονοτα] pr οι ℵ* (om ℵ1 c.a) | Γαλααδ] pr τη A | Γαλιλαια B^{b}A | πληγην| μεγαλην ℵ | και τα] κατα τα ℵ **6** Βαιτουλουα ℵ | επεπεσον A **7** ε| εκυριευσαν B* (om ε 1° B^{ab}) | επαυλεις] αι πολεις ℵA | εν] pr αι ℵ | ορεινη B^{ab}ℵ **8** om ηλθον ℵ* (hab ℵc.a) | εποιησεν] εποιη| ℵ | την Ιουδειθ] om την A | λαλησαι] pr του ℵ **9** εισηλθον] εξηλθαν ℵ εισηλθαν A | συ 1°]+ει ℵ | **10** ταυτα παντα ℵA | εποιησας 2°] ευ ποιησας A | Ισραηλ] Ιλη' A | ευδοκησαι] ευδοκησεν ℵA | επ] εν A* vid | παρα] pr τω ℵ* (om ℵ1 (vid)) **11** om πας ℵA | εφ] επι ℵ | Ολοφερνους ℵ* (Ολοφερνου ℵc.a) | ολκεια ℵA | σκευασματα] κατασκευασματα ℵA | αυτη] αυτα ℵ | επεθηκεν] εθηκεν ℵ | επ] μετ A **12** om αυτην και εποιησαν A* (ευλογησαν et αυτη signis not $A^{a?}$) | αυτων] εαυτων ℵ | ελαβον ℵ* (ελαβεν ℵ1 (vid) c.a)

B χερσὶν αὐτῆς, καὶ ἔδωκεν ταῖς γυναιξὶν ταῖς μετ' αὐτῆς, [13]καὶ 13
ἐστεφανώσαντο τὴν ἐλαίαν αὕτη καὶ αἱ μετ' αὐτῆς· καὶ προῆλθεν
παντὸς τοῦ λαοῦ ἐν χορείᾳ ἡγουμένη πασῶν τῶν γυναικῶν, καὶ
ἠκολούθει πᾶς ἀνὴρ Ἰσραὴλ ἐνωπλισμένοι μετὰ στεφάνων καὶ
ὕμνων ἐν τῷ στόματι αὐτῶν. [14]καὶ ἐξῆρχεν Ἰουδεὶθ τὴν ἐξομο- 14 (1) (XVI)
λόγησιν ταύτην ἐν παντὶ Ἰσραήλ, καὶ ὑπερεφώνει πᾶς ὁ λαὸς
τὴν αἴνεσιν ταύτην· [1]καὶ εἶπεν Ἰουδείθ 1 XVI

(2)Ἐξάρχετε τῷ θεῷ μου ἐν τυμπάνοις, (2)
ᾄσατε τῷ κυρίῳ ἐν κυμβάλοις,
ἐναρμόσασθε αὐτῷ ψαλμὸν καὶ αἶνον, ὑψοῦτε καὶ ἐπικα-
λεῖσθε τὸ ὄνομα αὐτοῦ.
[2]ὅτι θεὸς συντρίβων πολέμους Κύριος, 2 (3)
(4)ὅτι εἰς παρεμβολὰς αὐτοῦ ἐν μέσῳ λαοῦ ἐξείλατό με (4)
ἐκ χειρὸς καταδιωκόντων με.
[3]ἦλθεν Ἀσσοὺρ ἐξ ὀρέων ἀπὸ βορρᾶ, 3 (5)
ἦλθεν ἐν μυριάσι δυνάμεων αὐτοῦ,
ὧν τὸ πλῆθος αὐτῶν ἐνέφραξεν χειμάρρους,
καὶ ἡ ἵππος αὐτῶν ἐκάλυψεν βουνούς.
[4]εἶπεν ἐμπρήσειν τὰ ὅρη μου, 4 (6)
καὶ τοὺς νεανίσκους μου ἀνελεῖν ῥομφαίᾳ,
καὶ τὰ θηλάζοντά μου θήσειν εἰς ἔδαφος,
καὶ τὰ νήπιά μου δώσειν εἰς προνομήν,
καὶ τὰς παρθένους σκυλεῦσαι.
[5]Κύριος Παντοκράτωρ ἠθέτησεν αὐτοὺς ἐν χειρὶ θηλείας. 5 (7)
[6]οὐ γὰρ ὑπέπεσεν ὁ δυνατὸς αὐτῶν ὑπὸ νεανίσκων, 6 (8)
οὐδὲ υἱοὶ Τιτάνων ἐπάταξαν αὐτόν,
οὐδὲ ὑψηλοὶ γίγαντες ἐπέθεντο αὐτῷ·
ἀλλὰ Ἰουδεὶθ θυγάτηρ Μεραρεί·
ἐν κάλλει προσώπου αὐτῆς παρέλυσεν αὐτόν.
[7]ἐξεδύσατο γὰρ στολὴν χηρεύσεως αὐτῆς εἰς ὕψος τῶν πο- 7 (9)
νούντων ἐν Ἰσραήλ,

ℵA **12** μετ] μεθ A **13** εστεφανωσατο A | αι μετ] οι μ. A | υμνουν ℵ **14** εξηρεν A* (χ superscr A^{a}) | om εν ℵ XVI **1** τω κυριω]+μου ℵA | και αινον] καινον A **2** θεος] pr ο A | λαου] pr του ℵ | εξειλατο] εξελευσεσθαι ℵ* εξεσεσθαι ℵ$^{c.a}$ εξελεσθαι ℵ$^{c.b}$ | εκ] εως ℵ* (εκ ℵ$^{c.a}$) **3** μυριασιν A | δυναμεως ℵA | ων] ως ℵ* (ων ℵ$^{c.a}$) | ενεφραξεν] εφραξε ℵ **4** εμπρησειν ℵ | ορη] ορια ℵA | ρομφαια] pr εν A | δωσει A | παρθενους]+μου ℵA **6** υπεπεσεν] επεσεν ℵ | Μαραρει ℵ Μεραρι A **6—7** om παρελυσεν... προσωπον αυτης ℵ* (hab ℵ$^{c.a}$) **7** Ισραηλ] Ιλη' A

(10) [10]ἠλείψατο τὸ πρόσωπον αὐτῆς ἐν μυρισμῷ, B
8 [8]καὶ ἐδήσατο τὰς τρίχας αὐτῆς ἐν μίτρᾳ,
καὶ ἔλαβεν στολὴν λινῆν εἰς ἀπάτην αὐτοῦ.
(11) 9 [9]τὸ σανδάλιον αὐτῆς ἥρπασεν ὀφθαλμὸν αὐτοῦ,
καὶ τὸ κάλλος αὐτῆς ᾐχμαλώτισεν ψυχὴν αὐτοῦ.
διῆλθεν ὁ ἀκινάκης τὸν τράχηλον αὐτοῦ.
(12) 10 [10]ἔφριξαν Πέρσαι τὴν τόλμαν αὐτῆς,
καὶ Μῆδοι τὸ θράσος αὐτῆς ἐρράχθησαν.
(13) 11 [11]τότε ἠλάλαξαν οἱ ταπεινοί μου,
καὶ ἐφοβήθησαν οἱ ἀσθενοῦντές μου καὶ ἐπτοήθησαν·
ὕψωσαν τὴν φωνὴν αὐτῶν καὶ ἀνετράπησαν.
(14) 12 [12]υἱοὶ κορασίων κατεκέντησαν αὐτούς,
καὶ ὡς παῖδας αὐτομολούντων ἐτίτρωσκον·
ἀπώλοντο ἐκ παρατάξεως κυρίου μου.
(15) 13 [13]ὑμνήσω τῷ θεῷ μου ὕμνον καινόν.
(16) [16]Κύριε, μέγας εἶ καὶ ἔνδοξος,
θαυμαστὸς ἐν ἰσχύι, ἀνυπέρβλητος.
(17) 14 [14]σοὶ δουλευσάτω πᾶσα ἡ κτίσις σου·
ὅτι εἶπας, καὶ ἐγενήθησαν·
ἀπέστειλας τὸ πνεῦμά σου,
καὶ ᾠκοδόμησεν· καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ φωνῇ
σου.
(18) 15 [15]ὄρη γὰρ ἐκ θεμελίων σὺν ὕδασιν σαλευθήσεται,
πέτραι δ' ἀπὸ προσώπου σου ὡς κηρὸς τακήσονται·
(19) [19]ἔτι δὲ τοῖς φοβουμένοις σε,
– σὺ εὐιλατεύεις αὐτοῖς.
16 [16]ὅτι μικρὸν πᾶσα θυσία εἰς ὀσμὴν εὐωδίας,
καὶ ἐλάχιστον πᾶν στέαρ εἰς ὁλοκαύτωμά σοι·
ὁ δὲ φοβούμενος τὸν κύριον μέγας διὰ παντός.
(20) 17 [17]οὐαὶ ἔθνεσιν ἐπανισταμένοις τῷ γένει μου·

7 το προσωπον] om το A* (superscr A¹) | εν μυρισμω] pr και ℵ* (om ℵA ℵc.a) **8** εδησατο] ανεδησατο ℵc.a **9** ο ακινακης] ακινακις A **10** τολμην Λ | ερραχθησαν] εταραχθησαν ℵc.aA **11** οι ασθ.] om οι Bab | επτοησαν ℵ* (επτοηθησαν ℵc.a) | αυτου ℵ* (αυτων ℵc.a) **12** παιδες A | ετιτρωσκον] + αυτους ℵ **13** θεω μου] κω̄ A **14** απεστειλας] επεστρεψας ℵ | ωκοδομησεν] ωκοδομηθησᾱ ℵ **15** σαλευθησεται πετραι δ (δε A)] εσαλευθησαν·|| σαλευθησεται| πετρα ℵ* εσαλευθησαν·|| πετραι δε ℵc.a | τακησεται Λ | ευιλατευεις Bb (ευειλ. B*)] ειλατευσεις ℵ* (ιλ. ℵc.a) ευειλατευσεις A **16** ολοκαυτωμα] ολοκαρπωμα ℵ **17** επανισταμενοις ℵA

B Κύριος Παντοκράτωρ ἐκδικήσει αὐτοὺς ἐν ἡμέρᾳ κρίσεως,
(21)δοῦναι πῦρ καὶ σκώληκας εἰς σάρκας αὐτῶν, (21)
καὶ κλαύσονται ἐν αἰσθήσει ἕως αἰῶνος.
18 Ὡς δὲ ἦλθοσαν εἰς Ἰερουσαλήμ, προσεκύνησαν τῷ θεῷ, 18 (22)
καὶ ἡνίκα ἐκαθαρίσθη ὁ λαός, ἀνήνεγκαν τὰ ὁλοκαυτώματα αὐ-
τῶν καὶ τὰ ἑκούσια αὐτῶν καὶ τὰ δόματα. 19καὶ ἀνέθηκεν 19 (23)
Ἰουδὶθ πάντα τὰ σκεύη Ὀλοφέρνου ὅσα ἔδωκεν ὁ λαὸς αὐτῇ,
καὶ τὸ κωνώπιον ὃ ἔλαβεν ἑαυτῇ ἐκ τοῦ κοιτῶνος αὐτοῦ εἰς
ἀνάθημα τῷ θεῷ ἔδωκεν. 20καὶ ἦν ὁ λαὸς εὐφραινόμενος ἐν 20 (24)
Ἰερουσαλὴμ κατὰ πρόσωπον τῶν ἁγίων ἐπὶ μῆνας τρεῖς, καὶ
Ἰουδὶθ μετ' αὐτῶν κατέμεινεν. 21Μετὰ δὲ τὰς ἡμέρας ταύτας 21 (25)
ἀνέζευξεν ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ, καὶ Ἰουδὶθ ἀπῆλ-
θεν εἰς Βαιτυλουὰ καὶ κατέμεινεν ἐπὶ τῆς ὑπάρξεως αὐτῆς· καὶ
ἐγένετο κατὰ τὸν καιρὸν αὐτῆς ἔνδοξος ἐν πάσῃ τῇ γῇ. 22καὶ 22 (26)
πολλοὶ ἐπεθύμησαν αὐτήν, καὶ οὐκ ἔγνω ἀνὴρ αὐτὴν πάσας τὰς
ἡμέρας τῆς ζωῆς αὐτῆς, ἀφ' ἧς ἡμέρας ἀπέθανεν Μανασσῆς ὁ ἀνὴρ
αὐτῆς καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ. 23καὶ ἦν προβαίνουσα 23 (27)
μεγάλη σφόδρα, (28)καὶ ἐγήρασεν ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς ἔτη (28)
ἑκατὸν πέντε, καὶ ἀφῆκεν τὴν ἅβραν αὐτῆς ἐλευθέραν. καὶ ἀπέ-
θανεν εἰς Βαιτυλουά, καὶ ἔθαψαν αὐτὴν ἐν τῷ σπηλαίῳ τοῦ
ἀνδρὸς αὐτῆς Μανασσῆ. 24καὶ ἐπένθησεν αὐτὴν οἶκος Ἰσραὴλ 24 (29)
ἡμέρας ἑπτά. καὶ διεῖλεν τὰ ὑπάρχοντα αὐτῆς πρὸ τοῦ ἀπο-
θανεῖν αὐτὴν πᾶσι τοῖς ἔγγιστα Μανασσῆ τοῦ ἀνδρὸς αὐτῆς καὶ
τοῖς ἔγγιστα τοῦ γένους αὐτῆς. 25καὶ οὐκ ἦν ἔτι ὁ ἐκφοβῶν 25 (30)
τοὺς υἱοὺς Ἰσραὴλ ἐν ταῖς ἡμέραις Ἰουδὶθ καὶ μετὰ τὸ ἀπο-
θανεῖν αὐτὴν ἡμέρας πολλάς. ἀμήν.

ℵA **18** εκαθερισθη A | δοματα] + αυτων A **19** Ολοφερνους ℵ | αυτη] εαυτη A | αυτου] εαυτου A | αναθημα Bℵ$^{c.a}$] αναθεμα ℵ*A | θεω] κω ℵA **20** εν] εις A **21** ταυτας τας ημερας A | ανεζευξαν ℵ | om εκαστος A | αυτου] εαυτου A | απηλθεν] + εις τον οικο$\bar{\text{ν}}$ | αυτης ℵ | Βαιτυλουα ℵ (item 23) **22** Μανασση A **23** προβαινουσα ην A | om εν A | ανδρος] ος sup ras A$^{a?}$ | εκατον πεντε ετη A **24** επενθησαν A | οικος] pr ο ℵ | ημερας] pr επι ℵ | πασιν ℵ | om Μανασση...εγγιστα (2°) ℵ | αυτης 3°] ς sup ras A^{a} **25** om αμην ℵA
Subscr Ιουδειθ BℵA

ΤΩΒΕΙΤ

I 1 ΒΙΒΛΟΣ λόγων Τωβεὶτ τοῦ Τοβιὴλ τοῦ Ἀνανιὴλ τοῦ Ἀδουὴλ τοῦ Β
2 Γαβαήλ, ἐκ τοῦ σπέρματος Ἀσιήλ, ἐκ τῆς φυλῆς Νεφθαλείμ, [2]ὃς
ᾐχμαλωτεύθη ἐν ἡμέραις Ἐνεμεσσάρου τοῦ βασιλέως Ἀσσυρίων ἐκ
Θίσβης, ἥ ἐστιν ἐκ δεξιῶν Κυδιὼς τῆς Νεφθαλεὶμ ἐν τῇ Γαλειλαίᾳ
ὑπεράνω Ἀσήρ.
3 [3]Ἐγὼ Τωβεὶτ ὁδοῖς ἀληθείας ἐπορευόμην καὶ δικαιοσύνῃ πάσας
τὰς ἡμέρας τῆς ζωῆς μου. καὶ ἐλεημοσύνας πολλὰς ἐποίησα τοῖς
ἀδελφοῖς μου καὶ τῷ ἔθνει τοῖς προπορευθεῖσιν μετ' ἐμοῦ εἰς χώραν
4 Ἀσσυρίων εἰς Νινευή. [4]καὶ ὅτε ἤμην ἐν τῇ χώρᾳ μου ἐν τῇ γῇ
Ἰσραήλ, νεωτέρου μου ὄντος, πᾶσα φυλὴ τοῦ Νεφθαλεὶμ τοῦ πατρός
μου ἀπέστη ἀπὸ τοῦ οἴκου Ἰεροσολύμων, τῆς ἐκλεγείσης ἀπὸ πασῶν
τῶν φυλῶν Ἰσραὴλ εἰς τὸ θυσιάζειν πάσας τὰς φυλάς· καὶ ἡγιάσθη
ὁ ναὸς τῆς κατασκηνώσεως τοῦ ὑψίστου καὶ ᾠκοδομήθη εἰς πάσας

I 1 ΒΙΒΛΟΣ λόγων Τωβεὶθ τοῦ Τωβιὴλ τοῦ Ἀνανιὴλ τοῦ Ἀδουὴλ τοῦ ℵ
Γαβαὴλ τοῦ Ῥαφαὴλ τοῦ Ῥαγουήλ, ἐκ τοῦ σπέρματος Ἀσιήλ, ἐκ φυλῆς
2 Νεφθαλείμ, [2]ὃς ᾐχμαλωτεύθη ἐν ταῖς ἡμέραις Ἐνεμεσσάρου τοῦ βασιλέως
τῶν Ἀσσυρίων ἐκ Θίσβης, ἥ ἐστιν ἐκ δεξιῶν Κυδιὼς τῆς Νεφθαλεὶμ ἐν τῇ
ἄνω Γαλειλαίᾳ ὑπεράνω Ἀσσήρ, ὀπίσω δυσμῶν ἡλίου, ἐξ ἀριστερῶν Φογώρ.
3 [3]Ἐγὼ Τωβεὶθ ὁδοῖς ἀληθείας ἐπορευόμην καὶ ἐν δικαιοσύναις πάσας τὰς
ἡμέρας τῆς ζωῆς μου. καὶ ἐλεημοσύνας πολλὰς ἐποίησα τοῖς ἀδελφοῖς μου
καὶ τῷ ἔθνει μου τοῖς πορευθεῖσιν μετ' ἐμοῦ ἐν τῇ αἰχμαλωσίᾳ εἰς τὴν χώραν
4 τῶν Ἀσσυρίων εἰς Νινευή. [4]καὶ ὅτε ἤμην ἐν τῇ χώρᾳ μου ἐν γῇ Ἰσραήλ,
καὶ ὅτε ἤμην νέος, πᾶσα ἡ φυλὴ Νεφθαλεὶμ τοῦ πατρός μου ἀπέστησαν
ἀπὸ τοῦ οἴκου Δαυεὶδ τοῦ πατρός μου καὶ ἀπὸ Ἰερουσαλήμ, πόλεως τῆς ἐκ πα-
σῶν φυλῶν Ἰσραὴλ εἰς τὸ θυσιάζειν πάσαις φυλαῖς Ἰσραήλ· καὶ ἡγιάσθη
ὁ ναὸς τῆς κατασκηνώσεως τοῦ θεοῦ, καὶ ᾠκοδομήθη ἐν αὐτῇ εἰς πάσας τὰς

Inscr Τωβειθ ℵ
I 1 Τωβιτ A | Τωβιηλ A | Αδουηλ] Ναυη A | A Γαβαηλ] Γαμαηλ A
2 Θιβης A | Κυδιων A | Γαλιλ. B[1]A | υπερ|ανω B* υπερα|νω B[b] υπερ ℵ[1]
3 Τωβιτ A | δικαιοσυνης A | εθνει]+μου A προπορευθεισιν] συνπορευομενοις A
4 οικοδομηθη A

B τὰς γενεὰς τοῦ αἰῶνος· 5καὶ πᾶσαι αἱ φυλαὶ αἱ συναποστᾶσαι ἔθνον 5
τῇ Βάαλ τῇ δαμάλει, καὶ ὁ οἶκος Νεφθαλεὶμ τοῦ πατρός μου. 6κἀγὼ 6
μόνος (6)ἐπορευόμην πλεονάκις ἐν Ἰεροσολύμοις ταῖς ἑορταῖς, (6)
καθὼς γέγραπται παντὶ τῷ Ἰσραὴλ ἐν προστάγματι αἰωνίῳ, τὰς
ἀπαρχὰς καὶ τὰς δεκάτας τῶν γενημάτων καὶ τὰς προκουρίας
ἔχων· 7καὶ ἐδίδουν αὐτὰς τοῖς ἱερεῦσιν τοῖς υἱοῖς Ἀαρὼν πρὸς 7
τὸ θυσιαστήριον τῶν γενημάτων· τὴν δεκάτην ἐδίδουν τοῖς υἱοῖς
Λευεὶ τοῖς θεραπεύουσιν εἰς Ἰερουσαλήμ, καὶ τὴν δευτέραν δεκά-
την ἀπεπρατιζόμην, καὶ ἐπορευόμην καὶ ἐδαπάνων αὐτὰ ἐν Ἰερο-
σολύμοις καθ' ἕκαστον ἐνιαυτόν· 8καὶ τὴν τρίτην ἐδίδουν οἷς 8 (7,8)
καθήκει, καθὼς ἐνετείλατο Δεββώρα ἡ μήτηρ τοῦ πατρός μου,
διότι ὀρφανὸς κατελείφθην ὑπὸ τοῦ πατρός μου. 9καὶ ὅτε ἐγε- 9 (9)
νόμην ἀνήρ, ἔλαβον Ἄνναν γυναῖκα ἐκ τοῦ σπέρματος τῆς πατριᾶς
ἡμῶν, καὶ ἐγέννησα ἐξ αὐτῆς Τωβίαν. 10καὶ ὅτε ᾐχμαλωτίσθημεν 10 (11,12)

ℵ γενεὰς τοῦ αἰῶνος. 5πάντες οἱ ἀδελφοί μου καὶ ὁ οἶκος Νεφθαλεὶμ τοῦ 5
πατρός μου, ἐθυσίαζον ἐκεῖνοι τῷ μόσχῳ ὃν ἐποίησεν Ἱεροβεὰμ ὁ βασιλεὺς
Ἰσραὴλ ἐν Δὰν ἐπὶ πάντων ὀρέων τῆς Γαλειλαίας. 6κἀγὼ μονώτατος ἐπο- 6
ρευόμην πολλάκις εἰς Ἱεροσόλυμα ἐν ταῖς ἑορταῖς, καθὼς γέγραπται ἐν παντὶ
Ἰσραὴλ ἐν προστάγματι αἰωνίῳ. τὰς ἀπαρχὰς καὶ τὰ πρωτογενήματα καὶ
τὰς δεκάτας τῶν κτηνῶν καὶ τὰς πρωτοκουρὰς τῶν προβάτων ἔχων ἀπέτρε-
χον εἰς Ἱεροσόλυμα· 7καὶ ἐδίδουν αὐτὰ τοῖς ἱερεῦσιν τοῖς υἱοῖς Ἀαρὼν πρὸς 7
τὸ θυσιαστήριον, καὶ τὴν δεκάτην τοῦ οἴνου καὶ τοῦ σίτου καὶ ἐλαίων
καὶ ῥοῶν καὶ τῶν λοιπῶν ἀκροδρύων τοῖς υἱοῖς Λευεὶ τοῖς θεραπεύουσιν ἐν
Ἱερουσαλήμ. καὶ τὴν δεκάτην τὴν δευτέραν ἀπεδεκάτιζον ἀργυρίῳ τῶν ἓξ
ἐτῶν καὶ ἐπορευόμην καὶ ἐδαπάνων αὐτὰ ἐν Ἱερουσαλὴμ καθ' ἕκαστον
ἐνιαυτόν· 8καὶ ἐδίδουν αὐτὰ τοῖς ὀρφανοῖς καὶ ταῖς χήραις, καὶ προσηλύτοις 8
τοῖς προσκειμένοις τοῖς υἱοῖς Ἰσραὴλ εἰσέφερον καὶ ἐδίδουν αὐτοῖς ἐν τῷ
τρίτῳ ἔτει καὶ ἠσθίομεν αὐτὰ κατὰ τὸ πρόσταγμα τὸ προστεταγμένον περὶ
αὐτῶν ἐν τῷ νόμῳ Μωσῆ καὶ κατὰ τὰς ἐντολὰς ἃς ἐνετείλατο Δεββώρα
ἡ μήτηρ Ἀνανιὴλ τοῦ πατρὸς ἡμῶν, ὅτι ὀρφανὸν κατέλιπέν με ὁ πατὴρ
καὶ ἀπέθανεν. 9καὶ ὅτε ἐγενήθην ἀνήρ, ἔλαβον γυναῖκα ἐκ τοῦ σπέρματος 9
τῆς πατριᾶς ἡμῶν, καὶ ἐγέννησα ἐξ αὐτῆς υἱὸν καὶ ἐκάλεσα τὸ ὄνομα αὐτοῦ
Τωβίαν. 10μετὰ τὸ αἰχμαλωτισθῆναι εἰς Ἀσσυρίους καὶ ὅτε ᾐχμαλωτίσθην, 10

A **5** om παντες οι αδελφοι μου (ου ℵ* μ superscr ℵ$^{a\,(vid)}$) ℵ$^{c.a}$ (hab πασαι αι φυλαι αι συναποστα|σαι εθνον τη Βααλ τη δαμαλ. ℵ$^{c.a\,mg}$) | Νεφθαλειμ] pr του A **6** καγω] και εγω A | εν Ιεροσολυμοις B*^{vid}] εις Ιεροσολυμα B^{ab}A | ταις εορτ.] pr εν B^{ab}A (om B*^{vid}) | τας προκουριας] post τας seq ras in B: π B$^{2\,mg\,sinistr}$ τ. πρωτοκουριας A **7** αυτας] αυτα A | Αρων A | θυσιαστηριον] + παντων των γενηματων ℵ$^{c.a\,mg}$ | των γεν.] των των γεν. B* παντων των γεν. B^{ab}A | του σιτου και του οινου ℵ$^{c.a}$ | ελαιων ℵ*] ελαιου ℵ$^{c.a}$ | και 6°]+των συκων ℵ ℵ$^{c.a\,mgg}$ | κροδρυων ℵ* (ακρ. ℵ$^{c.a}$) | om εις A **8** οις] τοις B* (οις B$^{b\,vid}$) | τοις υιοις] pr εδιδουν ℵ$^{c.a\,vid}$ | Δεμβωρα A **9** εγεθην ℵ* (εγενηθ. ℵ$^{c.a}$) **10** αιχμαλωτισθηναι ℵ*]+με ℵ$^{c.a}$ | ηχμαλωτισθημεν] ηχμαλωτισθην A

εἰς Νινευή, πάντες οἱ ἀδελφοί μου καὶ οἱ ἐκ τοῦ γένους ἤσθιον B
11 ἐκ τῶν ἄρτων τῶν ἐθνῶν· 11 ἐγὼ δὲ συνετήρησα τὴν ψυχήν
(13) 12 μου μὴ φαγεῖν, 12 καθότι ἐμεμνήμην τοῦ θεοῦ ἐν ὅλῃ τῇ ψυχῇ
13 μου. 13 καὶ ἔδωκεν ὁ ὕψιστος χάριν καὶ μορφὴν ἐνώπιον Ἐνεμεσ-
(16,17) 14 σάρου, καὶ ἤμην αὐτοῦ ἀγοραστής. 14 ἐπορευόμην εἰς τὴν Μηδείαν,
καὶ παρεθέμην Γαβαήλῳ τῷ ἀδελφῷ Γαβρία ἐν Ῥάγοις τῆς
(18) 15 Μηδείας ἀργυρίου τάλαντα δέκα. 15 Καὶ ὅτε ἀπέθανεν
Ἐνεμεσσάρ, ἐβασίλευσεν Ἀχηρεὶλ ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ, καὶ
αἱ ὁδοὶ αὐτοῦ ἠκαταστάτησαν καὶ οὐκέτι ἠδυνάσθην πορευθῆναι
(19) 16 εἰς τὴν Μηδείαν. 16 καὶ ἐν ταῖς ἡμέραις Ἐνεμεσσάρου ἐλεημο-
(20) 17 σύνας πολλὰς ἐποίουν τοῖς ἀδελφοῖς μου· 17 τοὺς ἄρτους μου
ἐδίδουν τοῖς πεινῶσιν καὶ ἱμάτια τοῖς γυμνοῖς, καὶ εἴ τινα ἐκ
τοῦ γένους μου ἐθεώρουν τεθνηκότα καὶ ῥιμμένον ὀπίσω τοῦ
(21) 18 τείχους Νινευή, ἔθαπτον αὐτόν. 18 καὶ εἴ τινα ἀπέκτεινεν Ἀχηρεὶλ
ὁ βασιλεύς, ὅτε ἦλθεν φεύγων ἐκ τῆς Ἰουδαίας, ἔθαψα αὐτοὺς
κλέπτων· πολλοὺς γὰρ ἀπέκτεινεν ἐν τῷ θυμῷ αὐτοῦ· καὶ ἐζη-
(22) 19 τήθη ὑπὸ τοῦ βασιλέως τὰ σώματα, καὶ οὐχ εὑρέθη. 19 πορευ-

---

εἰς Νινευὴ ἐπορευόμην· καὶ πάντες οἱ ἀδελφοί μου καὶ οἱ ἐκ τοῦ γένους μου ℵ
11 ἤσθιον ἐκ τῶν ἄρτων τῶν ἐθνῶν, 11 ἐγὼ δὲ συνετήρησα τὴν ψυχήν μου μὴ
12 φαγεῖν ἐκ τῶν ἄρτων τῶν ἐθνῶν· 12 καὶ ὅτε ἐμεμνήμην τοῦ θεοῦ μου ἐν ὅλῃ
13 ψυχῇ μου, 13 καὶ ἔδωκέν μοι ὁ ὕψιστος χάριν καὶ μορφὴν ἐνώπιον Ἐνε-
14 μεσσάρου καὶ ἠγόραζον αὐτῷ πάντα τὰ πρὸς τὴν χρῆσιν· 14 καὶ ἐπορευόμην
εἰς Μηδίαν καὶ ἠγόραζον αὐτῷ ἐκεῖθεν ἕως αὐτὸν ἀποθανεῖν. καὶ παρεθέμην
Γαβήλῳ βαλλάντια τῷ ἀδελφῷ τῷ Γαβρεὶ ἐν τῇ χώρᾳ τῆς Μηδίας, ἀργυρίου
15 τάλαντα δέκα. 15 Καὶ ὅτε ἀπέθανεν Ἐνεμασσὰρ καὶ ἐβασίλευσεν
Σενναχηρεὶμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ, καὶ αἱ ὁδοὶ τῆς Μηδείας ἀπέστησαν
16 καὶ οὐκέτι ἠδυνάσθην πορευθῆναι εἰς τὴν Μηδίαν. 16 ἐν ταῖς ἡμέραις Ἐνε-
μεσσάρου ἐλεημοσύνας πολλὰς ἐποίησα τοῖς ἀδελφοῖς μου τοῖς ἐκ τοῦ γένους
17 μου· 17 τοὺς ἄρτους μου ἐδίδουν τοῖς πεινῶσιν καὶ ἱμάτια τοῖς γυμνοῖς,
καὶ εἴ τινα τῶν ἐκ τοῦ ἔθνους μου ἐθεώρουν τεθνηκότα καὶ ἐρριμμένον ὀπίσω
18 τοῦ τείχους Νινευή, ἔθαπτον αὐτόν. 18 καὶ εἴ τινα ἀπέκτεινεν Σενναχηρείμ,
ὅτε ἀπῆλθεν φεύγων ἐκ τῆς Ἰουδαίας ἐν ἡμέραις τῆς κρίσεως ἧς ἐποίησεν
ἐξ αὐτοῦ ὁ βασιλεὺς τοῦ οὐρανοῦ περὶ τῶν βλασφημιῶν ὧν ἐβλασφήμησεν,
ἔθαψα· πολλοὺς γὰρ ἀπέκτεινεν ἐν τῷ θυμῷ αὐτοῦ ἐκ τῶν υἱῶν Ἰσραηλ,
καὶ ἔκλεπτον τὰ σώματα αὐτῶν καὶ ἔθαπτον. καὶ ἐζήτησεν αὐτὰ Σεννα-

---

10 γενους] + μου A 14 επορευομην] pr και A | Μηδειαν (item 15), A
Μηδειας B^{ab} | Γαβηλω ℵ*] Γαβαηλω $ℵ^{c.a}$ 15 Ενεμεσσαρος A | Αχηρειλ]
Αχηρεια $B^{b\,vid}$ Σενναχηρειμ A | ηκαταστατησαν] κατεστησαν A 16 εν
ταις] pr και ℵ$^{c.a?}$ | εποιουν] ουν sup ras 4 litt A^a 17 ιματια] τα ιμ.
μου A | ερριμμενον A | οπισω] επι A | Νινευη] pr εις A 18 Αχηρειλ]
Σενναχηρειμ A | Σενναχηρειμ 1° ℵ*] + ο βασιλευς $ℵ^{c.a\,(vid)}$

Β θεὶς δὲ εἷς τῶν ἐν Νινευὴ ὑπέδειξε τῷ βασιλεῖ περὶ ἐμοῦ ὅτι θάπτω αὐτούς, καὶ ἐκρύβην· ἐπιγνοὺς δὲ ὅτι ζητοῦμαι ἀποθανεῖν, φοβηθεὶς ἀνεχώρησα. [20]καὶ διηρπάγη πάντα τὰ ὑπάρχοντά μου, 20
[23]καὶ οὐ κατελείφθη μοι οὐδὲν πλὴν Ἄννας τῆς γυναικός μου καὶ (23)
Τωβεὶτ τοῦ υἱοῦ μου. [21]καὶ οὐ διῆλθον ἡμέραι πεντήκοντα ἕως 21 (24)
οὗ ἀπέκτειναν αὐτὸν οἱ δύο υἱοὶ αὐτοῦ, καὶ ἔφυγον εἰς τὰ ὄρη –
Ἀραράθ· καὶ ἐβασίλευσεν Σαχερδονὸς ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ,
καὶ ἔταξεν Ἀχιάχαρον τὸν Ἀναὴλ υἱὸν τοῦ ἀδελφοῦ μου ἐπὶ
πᾶσαν τὴν ἐκλογιστείαν τῆς βασιλείας αὐτοῦ καὶ ἐπὶ πᾶσαν
τὴν διοίκησιν. [22]καὶ ἠξίωσεν Ἀχιάχαρος περὶ ἐμοῦ, καὶ ἦλθον 22 (25)
εἰς Νινευή. Ἀχιάχαρος δὲ ἦν ὁ οἰνοχόος καὶ ἐπὶ τοῦ δακτυλίου
καὶ διοικητὴς καὶ ἐκλογιστής, καὶ κατέστησεν αὐτὸν ὁ Σαχερδονός,
υἱὸς ἐκ δευτέρας· ἦν δὲ ἐξάδελφός μου.

[1]Ὅτε δὲ κατῆλθον εἰς τὸν οἰκόν μου καὶ ἀπεδόθη μοι Ἄννα ἡ 1 II
γυνή μου καὶ Τωβίας ὁ υἱός μου, ἐν τῇ πεντηκοστῇ ἑορτῇ ἥ ἐστιν
ἁγία ἑπτὰ ἑβδομάδων, ἐγενήθη ἄριστον καλόν μοι· ἀνέπεσα τοῦ
φαγεῖν. [2]καὶ ἐθεασάμην ὄψα πολλά, καὶ εἶπα τῷ υἱῷ μου Βάδισον 2

ℵ χηρεὶμ καὶ οὐχ εὗρεν αὐτά. [19]καὶ ἐπορεύθη εἷς τις τῶν ἐκ τῆς Νινευὴ καὶ 19
ὑπέδειξεν τῷ βασιλεῖ περὶ ἐμοῦ, ὅτι ἐγὼ θάπτω αὐτοὺς καὶ ἐκρύβην· καὶ
ὅτε ἐπέγνων ὅτι ἔγνω περὶ ἐμοῦ ὁ βασιλεὺς καὶ ὅτι ζητοῦμαι τοῦ ἀποθανεῖν,
ἐφοβήθην καὶ ἀπέδρασα. [20]καὶ ἡρπάγη πάντα ὅσα ὑπῆρχέν μοι, καὶ οὐ 20
κατελείφθη μοι οὐδὲν ὃ οὐκ ἀνελήμφθη εἰς τὸ βασιλικὸν πλὴν Ἄννας τῆς
γυναικός μου καὶ Τωβία τοῦ υἱοῦ μου. [21]καὶ οὐ διῆλθον ἡμέραι τεσσεράκοντα 21
ἕως οὗ ἀπέκτειναν αὐτὸν οἱ δύο υἱοὶ αὐτοῦ, καὶ ἔφυγον εἰς τὰ ὄρη Ἀραράτ·
καὶ ἐβασίλευσεν Σαχερδονὸς υἱὸς αὐτοῦ μετ' αὐτόν, καὶ ἔταξεν Ἀχείχαρον τὸν
Ἀναὴλ τὸν τοῦ ἀδελφοῦ μου υἱὸν ἐπὶ πᾶσαν τὴν ἐκλογιστίαν τῆς βασιλείας
αὐτοῦ, καὶ αὐτὸς εἶχεν τὴν ἐξουσίαν ἐπὶ πᾶσαν τὴν διοίκησιν. [22]τότε 22
ἠξίωσεν Ἀχείχαρος περὶ ἐμοῦ, καὶ κατῆλθον εἰς τὴν Νινευή. Ἀχείχαρος γὰρ
ἦν ὁ ἀρχιοινοχόος καὶ ἐπὶ τοῦ δακτυλίου καὶ διοικητὴς καὶ ἐκλογιστὴς ἐπὶ
Σενναχηρεὶμ βασιλέως Ἀσσυρίων, καὶ κατέστησεν αὐτὸν Σαχερδονὸς ἐκ
δευτέρας. ἦν δὲ ἐξάδελφός μου καὶ ἐκ τῆς συγγενείας μου.

[1]Καὶ ἐπὶ Σαρχεδόνος βασιλέως κατῆλθον εἰς τὸν οἰκόν μου καὶ ἀπεδόθη 1 II
μοι ἡ γυνή μου Ἄννα καὶ Τωβίας ὁ υἱός μου, καὶ ἐν τῇ πεντηκοστῇ τῆς
ἑορτῆς ἡμῶν, ἥ ἐστιν ἁγία ἑβδομάδων, ἐγενήθη μοι ἄριστον καλόν· καὶ
ἀνέπεσα τοῦ ἀριστῆσαι. [2]καὶ παρετέθη μοι ἡ τράπεζα καὶ παρετέθη μοι 2
ὀψάρια πλείονα, καὶ εἶπα τῷ Τωβεία τῷ υἱῷ μου Παιδίον, βάδιζε καὶ δν

A **19** εν Νινευη] Νινευιτων A | υπεδειξεν A | θαπτω] εθαπτον A **20** Τωβειτ] Τωβιου A **21** τεσσερακοντα] ν' ℵ c.a mg | εφυγεν ℵ* (-γον ℵ c.a) | Αραρατ A | Σαχερδαν A | Αχειαχαρον ℵ c.a | υιον] pr τον A | εκλογιστιαν A **22** οινοχοος] οινοδοχος A | βασιλεως] βασιλεα ℵ c.a | Σαχερδονοσος A ο Σαχ. ℵ c.a (om ο ℵ*) | ην] η ℵ* II **1** om δε A | εορτη] pr τη A | ανεπεσα] και ανεπαυ|σαμην A | φαγειν] α sup ras A[a]

καὶ ἄγαγε ὂν ἐὰν εὕρῃς τῶν ἀδελφῶν ἡμῶν ἐνδεῆ ὃς μέμνηται τοῦ Β
3 κυρίου, καὶ ἰδοὺ μένω σε. 3καὶ ἐλθὼν εἶπεν Πάτερ, εἷς ἐκ τοῦ
4 γένους ἡμῶν ἐστραγγαλωμένος ἔρριπται ἐν τῇ ἀγορᾷ. 4κἀγὼ πρὶν
ἢ γεύσασθαί με ἀναπηδήσας (4)ἀνειλόμην αὐτὸν εἴς τι οἴκημα ἕως οὗ
5 ἔδυ ὁ ἥλιος. 5καὶ ἐπιστρέψας ἐλουσάμην, καὶ ἤσθιον τὸν ἄρτον μου
6 ἐν λύπῃ· 6καὶ ἐμνήσθην τῆς προφητείας Ἀμώς, καθὼς εἶπεν

Στραφήσονται αἱ ἑορταὶ ὑμῶν εἰς πένθος,
καὶ πᾶσαι αἱ εὐφροσύναι ὑμῶν εἰς θρῆνον.

7 7καὶ ἔκλαυσα. (7)καὶ ὅτε ἔδυ ὁ ἥλιος, ᾠχόμην καὶ ὀρύξας ἔθαψα αὐτόν.
8 8καὶ οἱ πλησίον ἐπεγέλων λέγοντες Οὐκέτι φοβεῖται φονευθῆναι
περὶ τοῦ πράγματος τούτου· καὶ ἀπέδρα, καὶ ἰδοὺ πάλιν θάπτει
(10) 9 τοὺς νεκρούς. 9καὶ ἐν αὐτῇ τῇ νυκτὶ ἀνέλυσα θάψας, καὶ
ἐκοιμήθην μεμιαμμένος παρὰ τὸν τοῖχον τῆς αὐλῆς, καὶ τὸ πρόσ-
(11) 10 ωπόν μου ἀκάλυπτον ἦν. 10καὶ οὐκ ᾔδειν ὅτι στρουθία ἐν τῷ
τοίχῳ ἐστίν· καὶ τῶν ὀφθαλμῶν μου ἀνεῳγότων, ἀφώδευσαν τὰ
στρουθία θερμὸν εἰς τοὺς ὀφθαλμούς μου, καὶ ἐγενήθη λευκώ-
– ματα εἰς τοὺς ὀφθαλμούς μου· καὶ ἐπορεύθην πρὸς ἰατρούς, καὶ

ἂν εὕρῃς πτωχὸν τῶν ἀδελφῶν ἡμῶν ἐκ Νινευητῶν αἰχμαλώτων ὃς μέμνηται ℵ
ἐν ὅλῃ καρδίᾳ αὐτοῦ, καὶ ἄγαγε αὐτὸν καὶ φάγεται κοινῶς μετ' ἐμοῦ· καὶ ἴδε
3 προσμενῶ σε, παιδίον, μέχρι τοῦ σε ἐλθεῖν. 3καὶ ἐπορεύθη Τωβίας ζητῆσαί
τινα πτωχὸν τῶν ἀδελφῶν ἡμῶν καὶ ἐπιστρέψας λέγει Πάτερ. καὶ εἶπα
αὐτῷ Ἰδοὺ ἐγώ, παιδίον. καὶ ἀποκριθεὶς εἶπεν Πάτερ, ἰδοὺ εἷς ἐκ τοῦ
ἔθνους ἡμῶν πεφόνευται καὶ ἔρριπται ἐν τῇ ἀγορᾷ, καὶ αὐτόθι νῦν ἐστραγ-
4 γάληται. 4καὶ ἀναπηδήσας ἀφῆκα τὸ ἄριστον πρὶν ἢ γεύσασθαί με αὐτοῦ,
καὶ ἀναιροῦμαι αὐτὸν ἐκ τῆς πλατείας καὶ εἰς ἓν τῶν οἰκιδίων ἔθηκα μέχρι
5 τοῦ τὸν ἥλιον δῦναι καὶ θάψω αὐτόν. 5ἐπιστρέψας οὖν ἐλουσάμην καὶ
6 ἤσθιον τὸν ἄρτον μετὰ πένθους· 6καὶ ἐμνήσθην τοῦ ῥήματος τοῦ προφήτου
ὅσα ἐλάλησεν Ἀμὼς ἐπὶ Βαιθὴλ λέγων

Στραφήσονται ὑμῶν αἱ ἑορταὶ εἰς πένθος,
καὶ πᾶσαι αἱ ὁδοὶ ὑμῶν εἰς θρῆνος.

7 7καὶ ἔκλαυσα. καὶ ὅτε ἔδυ ὁ ἥλιος, ᾠχόμην καὶ ὀρύξας ἔθαψα αὐτόν.
8 8καὶ οἱ πλησίον μου κατεγέλων λέγοντες Οὐ φοβεῖται οὐκέτι; ἤδη γὰρ
ἐπεζητήθην τοῦ φονευθῆναι περὶ τοῦ πράγματος τούτου· καὶ ἀπέδρα, καὶ
9 πάλιν ἰδοὺ θάπτει τοὺς νεκρούς. 9καὶ αὐτῇ τῇ νυκτὶ ἐλουσάμην καὶ εἰσῆλ-
θον εἰς τὴν αὐλήν μου, καὶ ἐκοιμήθην παρὰ τὸν τοῖχον τῆς αὐλῆς, καὶ τὸ
10 πρόσωπόν μου ἀνακεκαλυμμένον διὰ τὸ καῦμα. 10καὶ οὐκ ᾔδειν ὅτι στρουθία
ἐν τῷ τοίχῳ ἐπάνω μού εἰσιν, καὶ ἐκάθισεν τὸ ἀφόδευμα αὐτῶν εἰς τοὺς
ὀφθαλμούς μου θερμὸν καὶ ἐπήγαγεν λευκώματα. καὶ ἐπορευόμην πρὸς τοὺς

---

2 om ενδεη ος μεμνηται A | ιδε ℵ*] ιδου ℵc.a **3** εστραγγαλημενος BabA A
4 om η A **6** προφητιας A **8** επεζητηθη ℵa.b.t | αποδρα A
9 ανελυσα] ανελυσ sup ras Bab **10** om και εγενηθη...οφθαλμους μου (2°) A | τους οφθαλμοις (2°) Bedit

Β οὐκ ὠφέλησάν με· Ἀχιάχαρος δὲ ἔτρεφέν με ἕως οὗ ἐπορεύθην εἰς τὴν Ἐλυμαΐδα. 11 Καὶ ἡ γυνή μου Ἄννα ἠριθεύετο ἐν τοῖς γυναικείοις· 12 καὶ ἀπέστελλεν τοῖς κυρίοις, καὶ ἀπέδωκαν αὐτῇ καὶ αὐτοὶ τὸν μισθόν, προσδόντες καὶ ἔριφον. 13 ὅτε δὲ ἦλθεν πρὸς μέ, ἤρξατο κράζειν· καὶ εἶπα αὐτῇ Πόθεν τὸ ἐρίφιον; μὴ κλεψιμαῖόν ἐστιν; ἀπόδος αὐτὸ τοῖς κυρίοις· οὐ γὰρ θεμιτόν ἐστιν φαγεῖν κλεψιμαῖον. 14 ἡ δὲ εἶπεν Δῶρον δέδοταί μοι ἐπὶ τῷ μισθῷ. καὶ οὐκ ἐπίστευον αὐτῇ, καὶ ἔλεγον ἀποδιδόναι αὐτὸ τοῖς κυρίοις, καὶ ἠρυθρίων πρὸς αὐτήν· (22) ἡ δὲ ἀποκριθεῖσα εἶπέν μοι Ποῦ εἰσιν αἱ ἐλεημοσύναι σου καὶ αἱ δικαιοσύναι σου; ἰδοὺ γνωστὰ πάντα μετὰ σοῦ. III 1 Καὶ λυπηθεὶς ἔκλαυσα, καὶ προσευξάμην μετ' ὀδύνης (2) λέγων 2 Δίκαιος εἶ, Κύριε, καὶ πάντα τὰ ἔργα σου καὶ πᾶσαι αἱ ὁδοί σου ἐλεημοσύναι καὶ ἀλήθεια, καὶ κρίσιν ἀληθινὴν καὶ δικαίαν σὺ κρίνεις εἰς τὸν αἰῶνα. 3 μνήσθητί μου καὶ ἐπίβλεψον ἐπ' ἐμέ· μὴ ἐκδικῇς ταῖς ἁμαρτίαις μου καὶ τοῖς ἀγνοήμασίν μου καὶ τῶν πατέρων μου, ἃ ἥμαρτον ἐνώπιόν σου. 4 παρήκουσαν γὰρ τῶν ἐντολῶν σου· ἔδωκας ἡμᾶς εἰς διαρπαγὴν καὶ

ℵ ἰατροὺς θεραπευθῆναι, καὶ ὅσῳ ἐνεχρίοσάν με τὰ φάρμακα, τοσούτῳ μᾶλλον ἐξετυφλοῦντο οἱ ὀφθαλμοί μου τοῖς λευκώμασιν μέχρι τοῦ ἀποτυφλωθῆναι. καὶ ἤμην ἀδύνατος τοῖς ὀφθαλμοῖς ἔτη τέσσερα. καὶ πάντες οἱ ἀδελφοί μου ἐλυποῦντο περὶ ἐμοῦ, καὶ Ἀχειάχαρος ἔτρεφέν με ἔτη δύο πρὸ τοῦ αὐτὸν βαδίσαι εἰς τὴν Ἐλυμαΐδα. 11 Καὶ ἐν τῷ χρόνῳ ἐκείνῳ Ἄννα ἡ γυνή μου ἠριθεύετο ἐν τοῖς ἔργοις τοῖς γυναικίοις· 12 καὶ ἀπέστελλε τοῖς κυρίοις αὐτῶν, καὶ ἀπεδίδουν αὐτῇ τὸν μισθόν. καὶ ἐν τῇ ἑβδόμῃ τοῦ Δύστρου ἐξέτεμε τὸν ἱστὸν καὶ ἀπέστειλεν αὐτὸν τοῖς κυρίοις, καὶ ἔδωκαν αὐτῇ τὸν μισθὸν πάντα καὶ ἔδωκαν αὐτῇ ἐφ' ἑστίᾳ ἔριφον ἐξ αἰγῶν. 13 καὶ ὅτε εἰσῆλθεν πρὸς μέ, ὁ ἔριφος ἤρξατο κράζειν, καὶ ἐκάλεσα αὐτὴν καὶ εἶπα Πόθεν τὸ ἐρίφιον τοῦτο; μήποτε κλεψιμαῖόν ἐστιν; ἀπόδος αὐτὸ τοῖς κυρίοις αὐτοῦ· οὐ γὰρ ἐξουσίαν ἔχομεν ἡμεῖς φαγεῖν οὐδὲν κλεψιμαῖον. 14 καὶ λέγει μοι αὐτή Δόσει δέδοταί μοι ἐπὶ τῷ μισθῷ. καὶ οὐκ ἐπίστευον αὐτῇ, καὶ ἔλεγον ἀποδοῦναι τοῖς κυρίοις, καὶ προσηρυθρίων χάριν τούτου πρὸς αὐτήν. εἶτα ἀποκριθεῖσα λέγει μοι Καὶ ποῦ εἰσιν αἱ ἐλεημοσύναι σου; ποῦ εἰσιν αἱ δικαιοσύναι σου; ἴδε ταῦτα μετὰ σοῦ γνωστά ἐστιν. III 1 Καὶ περίλυπος γενόμενος τῇ ψυχῇ καὶ στενάξας ἔκλαυσα καὶ ἠρξάμην προσεύχεσθαι μετὰ στεναγμῶν 2 Δίκαιος εἶ, Κύριε, καὶ πάντα τὰ ἔργα σου δίκαια καὶ πᾶσαι αἱ ὁδοί σου ἐλεημοσύνη καὶ ἀλήθεια· σὺ κρίνεις τὸν αἰῶνα. 3 καὶ νῦν σύ, Κύριε, μνήσθητί μου καὶ ἐπίβλεψον, καὶ μή με ἐκδικήσῃς ταῖς ἁμαρτίαις μου καὶ ἐν τοῖς ἀγνοήμασίν μου καὶ τῶν πατέρων μου. ἥμαρτον ἐναντίον σου 4 καὶ παρήκουσα τῶν ἐντολῶν σου, καὶ ἔδωκας

A 10 Ελυμαιδα A 11 γυναικιοις A 12 αυτη] αυτη·| A 13 κραζειν] κραυαζειν A | ειπα] ειπον A 14 ιδε ℵ*] ιδου ℵ^c.a III 2 συ] σοι A 3 μη]+με A | εκδικησης A | α] οι ℵ^c.aA 4 παρηκουσα ℵ*] παρηκουσαν ℵ^c.a | εδωκας] pr και A | διαρπαγην] αρπαγην A

αἰχμαλωσίαν καὶ θάνατον καὶ παραβολὴν ὀνειδισμοῦ πᾶσιν τοῖς B
ἔθνεσιν ἐν οἷς ἐσκορπίσμεθα. 5 καὶ νῦν πολλαὶ αἱ κρίσεις σού
εἰσιν ἀληθιναί, ἐξ ἐμοῦ ποιῆσαι περὶ τῶν ἁμαρτιῶν μου καὶ τῶν
πατέρων μου, ὅτι οὐκ ἐποιήσαμεν τὰς ἐντολάς σου· οὐ γὰρ ἐπορεύ-
6 θημεν ἐν ἀληθείᾳ ἐνώπιόν σου. 6 καὶ νῦν κατὰ τὸ ἀρεστόν σου
ποίησον μετ' ἐμοῦ· ἐπίταξον ἀναλαβεῖν τὸ πνεῦμά μου, ὅπως ἀπολυθῶ
καὶ γένωμαι γῆ· διότι λυσιτελεῖ μοι ἀποθανεῖν ἢ ζῆν, ὅτι ὀνειδι-
σμοὺς ψευδεῖς ἤκουσα, λύπη ἐστὶν πολλὴ ἐν ἐμοί· ἐπίταξον ἀπο-
λυθῆναί με τῆς ἀνάγκης ἤδη εἰς τὸν αἰώνιον τόπον, μὴ ἀποστρέψῃς
τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ.
7 7 Ἐν τῇ αὐτῇ ἡμέρᾳ συνέβη τῇ θυγατρὶ Ῥαγουὴλ Σάρρᾳ ἐν Ἐκβα-
τάνοις τῆς Μηδείας, καὶ ταύτην ὀνειδισθῆναι ὑπὸ παιδισκῶν πατρὸς
8 αὐτῆς, 8 ὅτι ἦν δεδομένη ἀνδράσιν ἑπτά, καὶ Ἀσμόδαυς τὸ πονηρὸν
δαιμόνιον ἀπέκτεινεν αὐτοὺς πρὶν ἢ γενέσθαι αὐτοὺς μετ' αὐτῆς ὡς
ἐν γυναιξίν· (9) καὶ εἶπαν αὐτῇ Οὐ συνίεις ἀποπνίγουσά σου τοὺς
9 ἄνδρας; ἤδη ἑπτὰ ἔσχες, καὶ ἑνὸς αὐτῶν οὐκ ὠνάσθης. 9 τί ἡμᾶς
μαστιγοῖς; εἰ ἀπέθαναν, βάδιζε μετ' αὐτῶν· μὴ ἴδοιμέν σου υἱὸν ἢ

ἡμᾶς εἰς ἀρπαγὴν καὶ αἰχμαλωσίαν καὶ θάνατον καὶ εἰς παραβολὴν καὶ ℵ
λάλημα καὶ ὀνειδισμὸν ἐν πᾶσιν τοῖς ἔθνεσιν ἐν οἷς ἡμᾶς διεσκόρπισας.
5 5 καὶ νῦν πολλαί σου αἱ κρίσεις ὑπάρχουσιν ἀληθιναί, ποιῆσαι ἐξ ἐμοῦ περὶ
τῶν ἁμαρτιῶν μου, ὅτι οὐκ ἐποιήσαμεν τὰς ἐντολάς σου καὶ οὐκ ἐπορεύθημεν
6 ἀληθινῶς ἐνώπιόν σου. 6 καὶ νῦν κατὰ τὸ ἀρεστόν σου ποίησον μετ' ἐμοῦ,
καὶ ἐπίταξον ἀναλαβεῖν τὸ πνεῦμά μου ἐξ ἐμοῦ, ὅπως ἀπολυθῶ ἀπὸ προσώπου
τῆς γῆς καὶ γένωμαι γῆ· διὸ λυσιτελεῖ μοι ἀποθανεῖν μᾶλλον ἢ ζῆν, ὅτι
ὀνειδισμοὺς ψευδεῖς ἤκουσα, καὶ λύπη πολλὴ μετ' ἐμοῦ. Κύριε, ἐπίταξον
ὅπως ἀπολυθῶ ἀπὸ τῆς ἀνάγκης ταύτης, ἀπόλυσόν με εἰς τὸν τόπον τὸν
αἰώνιον, καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου, Κύριε, ἀπ' ἐμοῦ· διὸ λυσι-
τελεῖ μοι ἀποθανεῖν μᾶλλον ἢ βλέπειν ἀνάγκην πολλὴν ἐν τῇ ζωῇ μου, καὶ μὴ
ἀκούειν ὀνειδισμούς.
7 7 Ἐν τῇ ἡμέρᾳ ταύτῃ συνέβη Σάρρᾳ τῇ θυγατρὶ Ῥαγουὴλ τοῦ ἐν Ἐκ-
βατάνοις τῆς Μηδείας, καὶ αὐτὴν ἀκοῦσαι ὀνειδισμοὺς ὑπὸ μιᾶς τῶν παιδισκῶν
8 τοῦ πατρὸς ἑαυτῆς, 8 διότι ἦν ἐκδεδομένη ἀνδράσιν ἑπτά, καὶ Ἀσμοδαῖος
τὸ δαιμόνιον τὸ πονηρὸν ἀπέκτεννεν αὐτοὺς πρὶν ἢ γενέσθαι αὐτοὺς μετ' αὐτῆς,
καθάπερ ἀποδεδιγμένον ἐστὶν ταῖς γυναιξίν. καὶ εἶπεν αὐτῇ ἡ παιδίσκη
Σὺ εἶ ἡ ἀποκτέννουσα τοὺς ἄνδρας σου· ἰδοὺ ἤδη ἀπεκδέδοσαι ἑπτὰ ἀνδράσιν,
9 καὶ ἑνὸς αὐτῶν οὐκ ὠνομάσθης. 9 τί ἡμᾶς μαστιγοῖς περὶ τῶν ἀνδρῶν σου
ὅτι ἀπέθανον; βάδιζε μετ' αὐτῶν καὶ μὴ ἴδοιμεν υἱὸν μηδὲ θυγατέρα εἰς

---

5 αληθιναι] + αι οδοι σου ℵ$^{c.a}$ | μου ℵ*] + κ των πρων μου ℵ$^{c.a}$ **6** σου 1°] A pr ενωπιον A | αποθανειν] pr μαλλον A | λυπη] pr και A **7** τη θυγατρι] om τη A | Μηδιας A | υπο] απο A | πατρος] pr του A **8** Ασμοδεος ℵ Ασμοδαιος A | ειπαν] ειπεν A | ωνασθης] ωνομασθης B$^{a?b}$ **9** απεθανε B$^{a?}$ | υιον ℵ*] + σου ℵ$^{c.a}$

B θυγατέρα εἰς τὸν αἰῶνα. [10]ταῦτα ἀκούσασα ἐλυπήθη σφόδρα ὥστε 10
ἀπάγξασθαι· καὶ εἶπεν Μία μέν εἰμι τῷ πατρί μου· ἐὰν ποιήσω
τοῦτο, ὄνειδος αὐτῷ ἔσται, καὶ τὸ γῆρας αὐτοῦ κατάξω μετ' ὀδύνης
εἰς ᾅδου. [11]καὶ ἐδεήθη πρὸς τῇ θυρίδι καὶ εἶπεν Εὐλογητὸς 11 (11–13)
εἶ, Κύριε ὁ θεός μου, καὶ εὐλογητὸν τὸ ὄνομά σου τὸ ἅγιον καὶ
ἔντιμον εἰς τοὺς αἰῶνας· εὐλογήσαισάν σε πάντα τὰ ἔργα σου
εἰς τὸν αἰῶνα. [12]καὶ νῦν, Κύριε, τοὺς ὀφθαλμούς μου καὶ τὸ 12 (14)
πρόσωπόν μου εἰς σὲ δέδωκα. [13]εἰπὸν ἀπολῦσαί με ἀπὸ τῆς 13 (15)
γῆς καὶ μὴ ἀκοῦσαί με μηκέτι ὀνειδισμόν. [14]σὺ γινώσκεις, 14 (16–18)
Κύριε, ὅτι καθαρά εἰμι ἀπὸ πάσης ἁμαρτίας καὶ ἀνδρός, [15]καὶ 15 –
οὐκ ἐμόλυνα τὸ ὄνομά μου οὐδὲ τὸ ὄνομα τοῦ πατρός μου ἐν
τῇ γῇ τῆς αἰχμαλωσίας μου. μονογενής εἰμι τῷ πατρί μου,
καὶ οὐχ ὑπάρχει αὐτῷ παιδίον ὃ κληρονομήσει αὐτόν, οὐδὲ
ἀδελφὸς ἐγγὺς οὐδὲ ὑπάρχων αὐτῷ υἱὸς ἵνα συντηρήσω ἐμαυτὴν
αὐτῷ γυναῖκα. ἤδη ἀπώλοντό μοι ἑπτά· ἵνα τί μοι ζῇν; καὶ
εἰ μὴ δοκεῖ σοι ἀποκτεῖναί με, ἐπίταξον ἐπιβλέψαι ἐπ' ἐμὲ
καὶ ἐλεῆσαί με, καὶ μηκέτι ἀκοῦσαί με ὀνειδισμόν.
[16]Καὶ εἰσηκούσθη προσευχῆς ἀμφοτέρων ἐνώπιον τῆς δόξης 16 (24,25)

ℵ τὸν αἰῶνα. [10]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐλυπήθη ἐν τῇ ψυχῇ καὶ ἔκλαυσεν, καὶ 10
ἀναβᾶσα εἰς τὸ ὑπερῷον τοῦ πατρὸς αὐτῆς ἠθέλησεν ἀπάγξασθαι· καὶ πάλιν
ἐλογίσατο καὶ λέγει Μή ποτε ὀνειδίσωσιν τὸν πατέρα μου καὶ ἐροῦσιν αὐτῷ
Μία σοι ὑπῆρχεν θυγατὴρ ἀγαπητή, καὶ αὐτὴ ἀπήγξατο ἀπὸ τῶν κακῶν·
καὶ κατάξω τὸ γῆρας τοῦ πατρός μου μετὰ λύπης εἰς ᾅδου. χρησιμώτερόν
μοί ἐστιν μὴ ἀπάγξασθαι, ἀλλὰ δεηθῆναι τοῦ κυρίου, ὅπως ἀποθάνω καὶ
μηκέτι ὀνειδισμοὺς ἀκούσω ἐν τῇ ζωῇ μου. [11]ἐν αὐτῷ τῷ καιρῷ διαπετάσασα 11
τὰς χεῖρας πρὸς τὴν θυρίδα ἐδεήθη καὶ εἶπεν Εὐλογητὸς εἶ, θεὲ ἐλεήμων,
καὶ εὐλογητὸν τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, καὶ εὐλογησάτωσάν σε πάντα
τὰ ἔργα σου εἰς τὸν αἰῶνα. [12]καὶ νῦν ἐπὶ σὲ τὸ πρόσωπόν μου καὶ τοὺς 12
ὀφθαλμούς μου ἀνέβλεψα. [13]εἰπὸν ἀπολυθῆναί με ἀπὸ τῆς γῆς καὶ μὴ 13
ἀκούειν με μηκέτι ὀνειδισμούς. [14]σὺ γινώσκεις, δέσποτα, ὅτι καθαρά εἰμι 14
ἀπὸ πάσης ἀκαθαρσίας ἀνδρός, [15]καὶ οὐχὶ ἐμόλυνά μου τὸ ὄνομα καὶ οὐδὲ 15
τὸ ὄνομα τοῦ πατρός μου ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου. μονογενής εἰμι
τῷ πατρί μου, καὶ οὐχ ὑπάρχει αὐτῷ ἕτερον τέκνον ἵνα κληρονομήσῃ αὐτόν,
οὐδὲ ἀδελφὸς αὐτῷ ἐγγὺς οὔτε συγγενὴς αὐτῷ ὑπάρχει ἵνα συντηρήσω
ἐμαυτὴν αὐτῷ γυναῖκα. ἤδη ἀπώλοντό μοι ἑπτά, καὶ ἵνα τί μοί ἐστιν ἔτι
ζῆν; καὶ εἰ μή σοι δοκεῖ ἀποκτεῖναί με, Κύριε, νῦν εἰσάκουσον ὀνειδισμόν
μου.
[16]Ἐν αὐτῷ τῷ καιρῷ εἰσηκούσθη ἡ προσευχὴ ἀμφοτέρων ἐνώπιον τῆς 16

A **10** εσται] εστιν A | αδους ℵ* (αδου ℵc.a) **14** om και BabA **15** της αιχμ.] om της A | υιος ινα] υιος ι sup ras Aa | αυτην ℵ* (εμαυτην ℵc.a) | αυτω γυ sup ras ℵ1 αυτω γυναι sup ras Aa (seq ras 2 litt) | κα (pro κε) ℵedit **16** εισηκουσθη] εισηκουσεν κς A | προσευχης] προσευχη Ba pr της A

– 17 τοῦ μεγάλου Ῥαφαήλ, 17καὶ ἀπεστάλη ἰάσασθαι τοὺς δύο, τοῦ B
Τωβεὶτ λεπίσαι τὰ λευκώματα, καὶ Σάρραν τὴν τοῦ Ῥαγουὴλ
δοῦναι Τωβίᾳ τῷ υἱῷ Τωβεὶτ γυναῖκα, καὶ δῆσαι Ἀσμώδαυν τὸ
πονηρὸν δαιμόνιον, διότι Τωβίᾳ ἐπιβάλλει κληρονομῆσαι αὐτήν.
ἐν αὐτῷ τῷ καιρῷ ἐπιστρέψας Τωβεὶτ εἰσῆλθεν εἰς τὸν οἶκον
αὐτοῦ, καὶ Σάρρα ἡ τοῦ Ῥαγουὴλ κατέβη ἐκ τοῦ ὑπερῴου αὐτῆς.

IV (1,2) 1 1Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐμνήσθη Τωβεὶτ περὶ τοῦ ἀργυρίου
2 οὗ παρέθετο Γαβαὴλ ἐν Ῥάγοις τῆς Μηδίας. 2καὶ εἶπεν ἐν
ἑαυτῷ Ἐγὼ ᾐτησάμην θάνατον, τί οὐ καλῶ Τωβείαν τὸν υἱόν
3 μου ἵνα αὐτῷ ὑποδείξω πρὶν ἀποθανεῖν με; 3καὶ καλέσας
(3) αὐτὸν εἶπεν Παιδίον, (3)ἐὰν ἀποθάνω θάψον με, καὶ μὴ ὑπερίδῃς
τὴν μητέρα σου· τίμα αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου,
(4) 4 καὶ ποίει τὸ ἀρεστὸν αὐτῇ καὶ μὴ λυπήσῃς αὐτήν. 4μνή-
σθητι, παιδίον, ὅτι πολλοὺς κινδύνους ἑώρακεν ἐπὶ σοὶ ἐν τῇ
(5) κοιλίᾳ· (5)ὅταν ἀποθάνῃ, θάψον αὐτὴν παρ' ἐμοὶ ἐν ἑνὶ τάφῳ.
(6) 5 5πάσας τὰς ἡμέρας, παιδίον, Κυρίου τοῦ θεοῦ ἡμῶν μνημόνευε·
μὴ θελήσῃς παραβῆναι τὰς ἐντολὰς αὐτοῦ. δικαιοσύνην ποίει

---

17 δόξης τοῦ θεοῦ, 17καὶ ἀπεστάλη Ῥαφαὴλ ἰάσασθαι τοὺς δύο· Τωβείθ, ἀπο- ℵ
λῦσαι τὰ λευκώματα ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ ἵνα ἴδῃ τοῖς ὀφθαλμοῖς τὸ
φῶς τοῦ θεοῦ, καὶ Σάρρᾳ τῇ Ῥαγουήλ, δοῦναι αὐτὴν Τωβείᾳ τῷ υἱῷ Τωβεὶθ
γυναῖκα, καὶ λῦσαι Ἀσμοδαῖον τὸ δαιμόνιον τὸ πονηρὸν ἀπ' αὐτῆς, διότι
Τωβίᾳ ἐπιβάλλει κληρονομῆσαι αὐτὴν παρὰ πάντας τοὺς θέλοντας λαβεῖν
αὐτήν. ἐν ἐκείνῳ τῷ καιρῷ ἐπέστρεψεν Τωβεὶθ ἀπὸ τῆς αὐλῆς εἰς τὸν οἶκον
αὐτοῦ, καὶ Σάρρα ἡ τοῦ Ῥαγουὴλ καὶ αὐτὴ κατέβη ἐκ τοῦ ὑπερῴου.

IV 1 1Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐμνήσθη Τωβεὶθ τοῦ ἀργυρίου ὃ παρέθετο Γαβαήλῳ
2 ἐν Ῥάγοις τῆς Μηδίας. 2καὶ εἶπεν ἐν τῇ καρδίᾳ αὐτοῦ Ἰδοὺ ἐγὼ ᾐτη-
σάμην θάνατον· τί οὐχὶ καλῶ Τωβίαν τὸν υἱόν μου καὶ ὑποδείξω αὐτῷ
3 περὶ τοῦ ἀργυρίου τούτου πρὶν ἀποθανεῖν με; 3καὶ ἐκάλεσεν Τωβείαν τὸν
υἱὸν αὐτοῦ, καὶ ἦλθεν πρὸς αὐτόν· καὶ εἶπεν αὐτῷ Θάψον με καλῶς, καὶ
τίμα τὴν μητέρα σου καὶ μὴ ἐγκαταλίπῃς αὐτὴν πάσας τὰς ἡμέρας τῆς
ζωῆς αὐτῆς, καὶ ποίει τὸ ἀρεστὸν ἐνώπιον αὐτῆς καὶ μὴ λυπήσῃς τὸ πνεῦμα
4 αὐτῆς ἐν παντὶ πράγματι. 4μνήσθητι αὐτῆς, παιδίον, ὅτι κινδύνους πολλοὺς
ἑώρακεν ἐπὶ σοὶ ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ὅταν ἀποθάνῃ θάψον αὐτὴν παρ' ἐμοὶ
5 ἐν ἑνὶ τάφῳ. 5καὶ πάσας τὰς ἡμέρας σου, παιδίον, τοῦ κυρίου μνημόνευε,
καὶ μὴ θελήσῃς ἁμαρτεῖν καὶ παραβῆναι τὰς ἐντολὰς αὐτοῦ. δικαιοσύνας

---

17 Τωβιτ A (ter: ita ubique) | λεπισαι] λιπεισαι A* ras λι A^{1} | Σαρρα ℵ* A (Σαρραν ℵ^{1}) | τη Ραγουηλ ℵ*] την του Ραγ. ℵ$^{c.a}$ | Τωβειτ 2°] pr του A | Ασμοδαιον A IV **1** αργυριου] inter ρ 2° et ι parva ras in B^{vid} | Μηδειας B^{ab} **2** εν εαυτω] αυτω A | om Τωβειαν A **4** εωρακεν B^{b}A | **5** πασας τας ημ. cum praeced coniung A^{vid} | μη 1°] pr και A | θελησης]+ αμαρτανειν και B$^{ab\ mg}$A | δικαιοσυνην] pr και A | ποιειν A

B πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ μὴ πορευθῇς ταῖς ὁδοῖς τῆς ἀδικίας. 6διότι ποιοῦντός σου τὴν ἀλήθειαν εὐοδίαι ἔσονται 6 – ἐν τοῖς ἔργοις σου καὶ πᾶσι τοῖς ποιοῦσι τὴν δικαιοσύνην. 7ἐκ 7 (7) τῶν ὑπαρχόντων σοι ποίει ἐλεημοσύνην, καὶ μὴ φθονεσάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην· καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ παντὸς πτωχοῦ, καὶ ἀπὸ σοῦ οὐ μὴ ἀποστραφῇ τὸ πρόσωπον τοῦ θεοῦ. 8ὡς σοὶ ὑπάρχει κατὰ τὸ 8 (8,9) πλῆθος, ποίησον ἐξ αὐτῶν ἐλεημοσύνην· ἐὰν ὀλίγον σοι ὑπάρχῃ, κατὰ τὸ ὀλίγον μὴ φοβοῦ ποιεῖν ἐλεημοσύνην. 9θέμα γὰρ ἀγαθὸν 9 (10) θησαυρίζεις σεαυτῷ εἰς ἡμέραν ἀνάγκης. 10διότι ἐλεημοσύνη ἐκ 10 (11) θανάτου ῥύεται, καὶ οὐκ ἐάσει εἰσελθεῖν εἰς τὸ σκότος. 11δῶρον 11 (12) γὰρ ἀγαθόν ἐστιν ἐλεημοσύνη πᾶσι τοῖς ποιοῦσιν αὐτὴν ἐνώπιον τοῦ ὑψίστου. 12πρόσεχε σεαυτῷ, παιδίον, ἀπὸ πάσης πορνείας, 12 (13) καὶ γυναῖκα πρῶτον λάβε ἀπὸ τοῦ σπέρματος τῶν πατέρων – σου· μὴ λάβῃς γυναῖκα ἀλλοτρίαν ἣ οὐκ ἔστιν ἐκ τῆς φυλῆς τοῦ πατρός σου, διότι υἱοὶ προφητῶν ἐσμεν. Νῶε, Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ, οἱ πατέρες ἡμῶν ἀπὸ τοῦ αἰῶνος, μνήσθητι, παιδίον, ὅτι αὐτοὶ πάντες ἔλαβον γυναῖκας ἐκ τῶν ἀδελφῶν αὐτῶν, καὶ εὐλογήθησαν ἐν τοῖς τέκνοις αὐτῶν, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν. 13καὶ νῦν, παιδίον, ἀγάπα τοὺς ἀδελ- 13 φούς σου, (14)καὶ μὴ ὑπερηφανεύου τῇ καρδίᾳ σου ἀπὸ τῶν (14) ἀδελφῶν σου καὶ τῶν υἱῶν καὶ θυγατέρων τοῦ λαοῦ σου, λαβεῖν – σεαυτῷ ἐξ αὐτῶν γυναῖκα. διότι ἐν τῇ ὑπερηφανίᾳ ἀπωλία καὶ ἀκαταστασία πολλή, καὶ ἐν τῇ ἀχρεότητι ἐλάττωσις καὶ ἔνδεια μεγάλη· ἡ γὰρ ἀχρεότης μήτηρ ἐστὶν τοῦ λιμοῦ. 14μισθὸς 14 (15) παντὸς ἀνθρώπου ὃς ἐὰν ἐργάσηται παρὰ σοὶ μὴ αὐλισθήτω, ἀλλὰ ἀπόδος αὐτῷ παραυτίκα· ἐὰν δουλεύσῃς τῷ θεῷ, ἀποδοθή- – σεταί σοι. πρόσεχε σεαυτῷ, παιδίον, ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ ἴσθι πεπαιδευμένος ἐν πάσῃ ἀναστροφῇ σου. 15καὶ ὃ μισεῖς 15 (16)

ℵ ποίει πάσας τὰς ἡμέρας τῆς ζωῆς σου καὶ μὴ πορευθῇς ταῖς ὁδοῖς τῆς ἀδικίας· 6διότι οἱ ποιοῦντες ἀλήθειαν εὐοδωθήσονται ἐν τοῖς ἔργοις αὐτῶν. καὶ πᾶσιν 6

A **6** αληθιαν B*ℵA (-θειαν Bab) **7** σοι] σου A | om σε A | om και 2° A **8** φοβου ποιειν] ου ποι sup ras Bab **10** ελεημοσυνην A* (ν ras A²) | εασει] εα A **11** om γαρ A | πασιν A **12** μη] pr και A | Ισαακ] pr και A | Ιακωβ] pr και A | αυτοι] ουτοι A | ηυλογισθησαν A **13** απωλεια BabA **14** εαν 2°] pr και A

– μηδενὶ ποιήσῃς. οἶνον εἰς μέθην μὴ πίῃς, καὶ μὴ πορευθήτω B
(17) 16 μετὰ σοῦ μέθη ἐν τῇ ὁδῷ σου. [16]ἐκ τοῦ ἄρτου σου δίδου
πεινῶντι, καὶ ἐκ τῶν ἱματίων σου τοῖς γυμνοῖς· πᾶν ὃ ἐὰν περισ-
σεύσῃ σοι ποίει ἐλεημοσύνην, καὶ μὴ φθονεσάτω σου ὁ ὀφθαλμὸς
(18) 17 ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην. [17]ἔκχεον τοὺς ἄρτους σου ἐπὶ
(19) 18 τὸν τάφον τῶν δικαίων, καὶ μὴ δῷς τοῖς ἁμαρτωλοῖς. [18]συμ-
βουλίαν παρὰ παντὸς φρονίμου ζήτησον, καὶ μὴ καταφρονήσῃς
(20) 19 ἐπὶ πάσης συμβουλίας χρησίμης. [19]καὶ ἐν παντὶ καιρῷ εὐλόγει
Κύριον τὸν θεόν, καὶ παρ' αὐτοῦ αἴτησον ὅπως αἱ ὁδοί σου
εὐθεῖαι γένωνται καὶ πᾶσαι αἱ τρίβοι καὶ βουλαὶ εὐοδωθῶσιν.
– διότι πᾶν ἔθνος οὐκ ἔχει βουλήν, ἀλλὰ αὐτὸς ὁ κύριος δίδωσιν
πάντα τὰ ἀγαθὰ καὶ ὃ ἐὰν θέλῃ ταπεινοῖ, καθὼς βούλονται. καὶ
νῦν, παιδίον, μνημόνευε τῶν ἐντολῶν μου, καὶ μὴ ἐξαλειφθήτω
(21) 20 σαν ἐκ τῆς καρδίας σου. [20]καὶ νῦν ἐπιδεικνύω σοι τὰ δέκα
τάλαντα τοῦ ἀργυρίου ἃ παρεθέμην Γαβαήλῳ τῷ τοῦ Γαβρεία
(23) 21 ἐν Ῥάγοις τῆς Μηδείας. [21]καὶ μὴ φοβοῦ, παιδίον, ὅτι ἐπτω-
χεύσαμεν· ὑπάρχει σοι πολλά, ἐὰν φοβηθῇς τὸν θεὸν καὶ ἀποστῇς
ἀπὸ πάσης ἁμαρτίας καὶ ποιήσῃς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ.
V 1 [1]Καὶ ἀποκριθεὶς Τωβίας εἶπεν αὐτῷ Πάτερ, ποιήσω πάντα ὅσα
2 ἐντέταλσαί μοι. [2]ἀλλὰ πῶς δυνήσομαι λαβεῖν τὸ ἀργύριον, καὶ οὐ
3 γινώσκω αὐτόν; [3]καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον, καὶ εἶπεν

---

19 τοῖς ποιοῦσιν δικαιοσύνας, [19]δώσει Κύριος αὐτοῖς βουλὴν ἀγαθήν· καὶ ὃν ℵ
ἂν θέλῃ Κύριος ταπεινοῖ ἕως ᾅδου κατωτάτω. καὶ νῦν, παιδίον, μνημόνευε
20 τὰς ἐντολὰς ταύτας, καὶ μὴ ἐξαλειφθήτωσαν ἐκ τῆς καρδίας σου. [20]καὶ νῦν,
παιδίον, ὑποδεικνύω σοι ὅτι δέκα τάλαντα ἀργυρίου παρεθέμην Γαβαήλῳ
21 τῷ τοῦ Γαβρεὶ ἐν Ἄργοις τῆς Μηδείας. [21]καὶ μὴ φοβοῦ, παιδίον, ὅτι
ἐπτωχεύσαμεν· ὑπάρχει σοι πολλὰ ἀγαθά, ἐὰν φοβηθῇς τὸν θεὸν καὶ φύγῃς
ἀπὸ πάσης ἁμαρτίας καὶ ποιήσῃς τὰ ἀγαθὰ ἐνώπιον Κυρίου τοῦ θεοῦ σου.
V 1 [1]Τότε ἀποκριθεὶς Τωβίας εἶπεν Τωβεὶθ τῷ πατρὶ αὐτοῦ Πάντα ὅσα
2 ἐντέταλσαί μοι ποιήσω, πάτερ. [2]πῶς δὲ δυνήσομαι αὐτὸ λαβεῖν παρ'
αὐτοῦ, καὶ αὐτὸς οὐ γινώσκει με καὶ ἐγὼ οὐ γινώσκω αὐτόν; τί σημεῖον
δῶ αὐτῷ καὶ ἐπιγνῷ με καὶ πιστεύσῃ μοι καὶ δῷ μοι τὸ ἀργύριον; καὶ
3 τὰς ὁδοὺς τὰς εἰς Μηδείαν οὐ γινώσκω τοῦ πορευθῆναι ἐκεῖ. [3]τότε ἀπο-
κριθεὶς Τωβεὶθ εἶπεν Τωβίᾳ τῷ υἱῷ αὐτοῦ Χειρόγραφον αὐτοῦ ἔδωκέν μοι
καὶ χειρόγραφον ἔδωκα αὐτῷ, καὶ διεῖλον εἰς δύο καὶ ἐλάβομεν ἑκατέροσεν
καὶ ἔθηκα μετὰ τοῦ ἀργυρίου· καὶ νῦν ἰδοὺ ἔτη εἴκοσι ἀφ' οὗ παρεθέμην

---

16 διδου] διαδιδου A | τοις γυμν.] τοις sup ras B^{ab} | περισσευη A | om σε A A
18 καταφρονησης] μεταφρον. A **19** ο 2°] ον A | βουλονται] βουλεται A
20 επιδεικνυω] υποδ. A | Γαβαηλω] Γαμαηλω A | Γαβρια A | Μηδιας A
21 παιδιον] διον abscis est in A | θεον] κν A V **1** εντεταλσαι] σ sup ras $A^{a?}$

B αὐτῷ [4]Ζήτησον σεαυτῷ ἄνθρωπον ὃς συμπορεύσεταί σοι, καὶ δώσω (4)
αὐτῷ μισθὸν ἕως ζῶ, καὶ λάβε πορευθεὶς τὸ ἀργύριον. [4]καὶ 4 (5,6)
ἐπορεύθη ζητῆσαι ἄνθρωπον, καὶ εὗρεν Ῥαφαὴλ ὃς ἦν ἄγγελος,
καὶ οὐκ ᾔδει· [5]καὶ εἶπεν αὐτῷ Εἰ δύναμαι πορευθῆναι μετὰ σοῦ 5 (7)
ἐν Ῥάγοις τῆς Μηδείας, καὶ εἰ ἔμπειρος εἶ τῶν τόπων; [6]καὶ 6 (8)
εἶπεν αὐτῷ ὁ ἄγγελος Πορεύσομαι μετὰ σοῦ, καὶ τῆς ὁδοῦ ἐμπειρῶ,
καὶ παρὰ Γαβαὴλ τὸν ἀδελφὸν ἡμῶν ηὐλίσθην. [7]καὶ εἶπεν αὐτῷ 7 (9)
Τωβίας Ὑπόμεινόν με, καὶ ἐρῶ τῷ πατρί. [8]καὶ εἶπεν αὐτῷ 8 –
Πορεύου καὶ μὴ χρονίσῃς. [9]Καὶ εἰσελθὼν εἶπεν τῷ πατρί 9 (10)
Ἰδοὺ εὕρηκα ὃς συνπορεύσεταί μοι. ὁ δὲ εἶπεν Φώνησον αὐτὸν
πρὸς μέ, ἵνα ἐπιγνῶ ποίας φυλῆς ἐστιν, καὶ εἰ πιστὸς τοῦ πορευ-
θῆναι μετὰ σοῦ. [10]καὶ ἐκάλεσεν αὐτόν· καὶ εἰσῆλθεν, καὶ ἠσπά- 10 (11)

ℵ τὸ ἀργύριον τοῦτο ἐγώ. καὶ νῦν, παιδίον, ζήτησον σεαυτῷ ἄνθρωπον πιστὸν
ὃς πορεύσεται μετὰ σοῦ, καὶ δώσομεν αὐτῷ μισθὸν ἕως ὅτου ἔλθῃς, καὶ
λάβε παρ' αὐτοῦ τὸ ἀργύριον τοῦτο. [4]ἐξῆλθεν δὲ Τωβίας ζητῆσαι ἄνθρωπον 4
ὃς πορεύσεται μετ' αὐτοῦ εἰς Μηδίαν, ὃς ἐμπειρεῖ τῆς ὁδοῦ, καὶ ἐξῆλθεν
καὶ εὗρεν Ῥαφαὴλ τὸν ἄγγελον ἑστηκότα ἀπέναντι αὐτοῦ. καὶ οὐκ ἔγνω ὅτι
ἄγγελος τοῦ θεοῦ ἐστιν· [5]καὶ εἶπεν αὐτῷ Πόθεν εἶ, νεανίσκε; καὶ εἶπεν 5
αὐτῷ Ἐκ τῶν υἱῶν Ἰσραὴλ τῶν ἀδελφῶν σου, καὶ ἐλήλυθα ὧδε ἐργα-
τεύεσθαι. καὶ εἶπεν αὐτῷ Ἐπίστῃ τὴν ὁδὸν πορευθῆναι εἰς Μηδίαν;
[6]καὶ εἶπεν αὐτῷ Ναί, πολλάκις ἐγὼ ἐγενόμην ἐκεῖ, καὶ ἐμπειρῶ καὶ 6
ἐπίσταμαι τὰς ὁδοὺς πάσας· πλεονάκις ἐπορεύθην εἰς Μηδίαν καὶ ηὐλιζόμην
παρὰ Γαβαήλῳ τῷ ἀδελφῷ ἡμῶν τῷ οἰκοῦντι ἐν Ἐκβατάνοις τῆς Μηδείας, καὶ
ἀπέχει ὁδὸν ἡμερῶν δύο τεταγμένων ἀπὸ Ἐκβατάνων εἰς Γάρρας· κεῖνται
γὰρ ἐν τῷ ὄρει, Ἐκβάτανα ἐν μέσῳ τῷ πεδίῳ. [7]καὶ εἶπεν αὐτῷ Μεῖνόν 7
μοι, νεανίσκε, μέχρι ὅτου εἰσελθὼν ὑποδείξω τῷ πατρί μου· χρείαν γὰρ ἔχω
ἵνα βαδίσῃς μετ' ἐμοῦ, καὶ δώσω σοι τὸν μισθόν σου. [8]καὶ εἶπεν αὐτῷ 8
Ἰδοὺ ἐγὼ προσκαρτερῶ, μόνον μὴ χρονίσῃς. [9]Καὶ εἰσελθὼν Τωβείας 9
ὑπέδειξεν Τωβεὶθ τῷ πατρὶ αὐτοῦ καὶ εἶπεν αὐτῷ Ἰδοὺ ἄνθρωπον εὗρον τῶν
ἀδελφῶν ἡμῶν τῶν υἱῶν Ἰσραήλ. καὶ εἶπεν αὐτῷ Κάλεσόν μοι τὸν ἄνθρω-
πον, ὅπως ἐπιγνῶ τί τὸ γένος αὐτοῦ καὶ ἐκ ποίας φυλῆς ἐστιν, καὶ εἰ πιστός
ἐστιν ἵνα πορευθῇ μετὰ σοῦ, παιδίον. καὶ ἐξῆλθεν Τωβείας καὶ ἐκάλεσεν
αὐτὸν καὶ εἶπεν αὐτῷ Νεανίσκε, ὁ πατήρ καλεῖ σε. [10]καὶ εἰσῆλθεν πρὸς αὐτὸν 10
καὶ ἐχαιρέτισεν αὐτὸν Τωβεὶθ πρῶτος. καὶ εἶπεν αὐτῷ Χαίρειν σοι πολλὰ
γένοιτο. καὶ ἀποκριθεὶς Τωβεὶθ εἶπεν αὐτῷ Τί μοι ἔτι ὑπάρχει χαίρειν;
καὶ ἐγὼ ἄνθρωπος ἀδύνατος τοῖς ὀφθαλμοῖς καὶ οὐ βλέπω τὸ φῶς τοῦ οὐρανοῦ,
ἀλλ' ἐν τῷ σκότει κεῖμαι ὥσπερ οἱ νεκροὶ οἱ μηκέτι θεωροῦντες τὸ φῶς· ζῶν
ἐγὼ ἐν νεκροῖς εἰμι, φωνὴν ἀνθρώπων ἀκούω καὶ αὐτοὺς οὐ βλέπω. καὶ
εἶπεν αὐτῷ Θάρσει, ἐγγὺς παρὰ τῷ θεῷ ἰάσασθαί σε· θάρσει. καὶ εἶπεν
αὐτῷ Τωβεὶθ Τωβείας ὁ υἱός μου θέλει πορευθῆναι εἰς Μηδίαν· εἰ δυνήσῃ

A **4** Ραφαηλ] pr τον A **5** Μηδειας A **6** om εις Γαρρας...Εκβατανα
ℵ* vid (hab ℵ1 mg) **7** μενον ℵ | πατρι]+μου A **9** συμπορευσεται BbA |
πιστος]+εστιν A **10** αυτους ℵ* (αυτος ℵc.a)

(16) 11 σαντο ἀλλήλους. 11καὶ εἶπεν αὐτῷ Τωβείτ Ἀδελφέ, ἐκ ποίας B
(17) 12 φυλῆς καὶ ἐκ ποίας πατρίδος σὺ εἶ; ὑπόδειξόν μοι. 12καὶ εἶπεν
αὐτῷ Φυλὴν καὶ πατριὰν σὺ ζητεῖς, ἢ μίσθιον ὃς συμπορεύ-
σεταί μετὰ τοῦ υἱοῦ σου; καὶ εἶπεν αὐτῷ Τωβείτ Βούλομαι, ἀδελφέ,
(18) 13 ἐπιγνῶναι τὸ γένος σου καὶ τὸ ὄνομα. 13ὃς δὲ εἶπεν Ἐγὼ
(19) 14 Ἀζαρίας Ἀνανίου τοῦ μεγάλου, τῶν ἀδελφῶν σου. 14καὶ εἶπεν
αὐτῷ Ὑγιαίνων ἔλθοις, ἀδελφέ· καὶ μή μοι ὀργισθῇς ὅτι ἐζήτησα
τὴν φυλήν σου καὶ τὴν πατριάν σου ἐπιγνῶναι. καὶ σὺ τυγ-
χάνεις ἀδελφός μου ἐκ τῆς καλῆς καὶ ἀγαθῆς γενεᾶς· ἐπε-
γίνωσκον γὰρ ἐγὼ Ἀνανίαν καὶ Ἰαθὰν τοὺς υἱοὺς Σεμεοῦ τοῦ
μεγάλου, ὡς ἐπορευόμεθα κοινῶς εἰς Ἰεροσόλυμα προσκυνεῖν,
ἀναφέροντες τὰ πρωτότοκα καὶ τὰς δεκάτας τῶν γενημάτων,
καὶ οὐκ ἐπλανήθησαν ἐν τῇ πλάνῃ τῶν ἀδελφῶν ἡμῶν· ἐκ ῥίζης
– 15 καλῆς εἶ, ἀδελφέ. 15ἀλλ' εἰπόν μοι τίνα σοι ἔσομαι μισθὸν
διδόναι; δραχμὴν τῆς ἡμέρας καὶ τὰ δέοντά σοι ὡς καὶ τῷ υἱῷ
16 μου; 16καὶ ἔτι προσθήσω σοι ἐπὶ τὸν μισθόν, ἐὰν ὑγιαίνοντες
(21,22) 17 ἐπιστρέψητε. 17εὐδόκησαν οὕτως· καὶ εἶπεν πρὸς Τωβίαν Ἕτοι-
μος γίνου πρὸς τὴν ὁδόν· καὶ εὐοδωθείητε. καὶ ἡτοίμασεν ὁ υἱὸς

συνελθεῖν αὐτῷ καὶ ἀγαγεῖν αὐτόν; καὶ δώσω σοι τὸν μισθόν σου, ἀδελφέ. ℵ
καὶ εἶπεν αὐτῷ Δυνήσομαι πορευθῆναι μετ' αὐτοῦ, καὶ ἐπίσταμαι ἐγὼ τὰς
ὁδοὺς πάσας, καὶ πολλάκις ᾠχόμην εἰς Μηδείαν καὶ διῆλθον πάντα τὰ πεδία
11 αὐτῆς, καὶ τὰ ὄρη καὶ πάσας τὰς ὁδοὺς αὐτῆς ἐγὼ γινώσκω. 11καὶ εἶπεν
αὐτῷ Ἀδελφέ, ποίας πατριᾶς εἶ καὶ ἐκ ποίας φυλῆς; ὑπόδειξόν μοι, ἀδελφέ.
12 12καὶ εἶπεν Τί χρείαν ἔχεις φυλῆς; καὶ εἶπεν αὐτῷ Βούλομαι γνῶναι τὰ
13 κατ' ἀλήθειαν τίνος εἶ, ἀδελφέ, καὶ τί τὸ ὄνομά σου. 13καὶ εἶπεν αὐτῷ Ἐγὼ
14 Ἀζαρίας Ἀνανίου τοῦ μεγάλου, τῶν ἀδελφῶν σου. 14καὶ εἶπεν αὐτῷ Ὑγιαί-
νων ἔλθοις καὶ σωζόμενος, ἀδελφέ· καὶ μή μοι πικρανθῇς, ἀδελφέ, ὅτι τὴν
ἀλήθειαν ἐβουλόμην γνῶναι καὶ τὴν πατριάν σου. καὶ σὺ τυγχάνεις ἀδελφὸς
ὤν, καὶ ἐκ γενεᾶς καλῆς καὶ ἀγαθῆς εἶ σύ. ἐγίνωσκον Ἀνανίαν καὶ Ναθὰν
τοὺς δύο υἱοὺς Σεμελίου τοῦ μεγάλου, καὶ αὐτοὶ συνεπορεύοντό μοι εἰς
Ἰερουσαλὴμ καὶ προσεκύνουν μετ' ἐμοῦ ἐκεῖ καὶ οὐκ ἐπλανήθησαν. οἱ ἀδελφοί
15 σου ἄνθρωποι ἀγαθοί· ἐκ ῥίζης ἀγαθῆς εἶ σύ, καὶ χαίρων ἔλθοις. 15καὶ
εἶπεν αὐτῷ Ἐγώ σοι δίδωμι μισθὸν τὴν ἡμέραν δραχμήν, καὶ τὰ δέοντά
16 σοι ὁμοίως τῷ υἱῷ μου· καὶ πορεύθητι μετὰ τοῦ υἱοῦ μου, 16καὶ ἐπιπροσθήσω
σοι τῷ μισθῷ. καὶ εἶπεν αὐτῷ ὅτι Πορεύσομαι μετ' αὐτοῦ καὶ μὴ φοβηθῇς·
ὑγιαίνοντες ἀπελευσόμεθα καὶ ὑγιαίνοντες ἐπιστρέψομεν πρός σε, διότι ἡ
17 ὁδὸς ἀσφαλής. 17καὶ εἶπεν αὐτῷ Εὐλογία σοι γένοιτο, ἀδελφέ. καὶ ἐκά-
λεσεν τὸν υἱὸν αὐτοῦ καὶ εἶπεν αὐτῷ Παιδίον, ἑτοίμασον τὰ πρὸς τὴν ὁδὸν

---

11 πατριδος] πατριας A **12** του υιου] τ sup ras B^{ab} **13** ος δε] και A | A om εγω A **14** om σου 2° B^{ab}A | επεγινωσκον] εγιγνωσκον A | Σεμειου A | εν τη πλανη] την πλανην A | καλης] μεγαλης A **15** αλλ] αλλα A | δραχμην sup ras $B^{?}$ | της ημ.] in της parvam ras prae se fert $B^{?}$ **16** υγιαινοντες] τε sup ras $A^{a?}$ **17** ευδοκησαν] pr και A

B αὐτοῦ τὰ πρὸς τὴν ὁδόν· καὶ εἶπεν αὐτῷ ὁ πατὴρ αὐτοῦ Πορεύου
μετὰ τοῦ ἀνθρώπου· ὁ δὲ ἐν τῷ οὐρανῷ οἰκῶν θεὸς εὐοδώσει
τὴν ὁδὸν ὑμῶν, καὶ ὁ ἄγγελος αὐτοῦ συνπορευθήτω ὑμῖν. καὶ
ἐξῆλθαν ἀμφότεροι ἀπελθεῖν, καὶ ὁ κύων τοῦ παιδαρίου μετ' αὐ-
τῶν. 18 [V]Εκλαυσεν δὲ Ἄννα ἡ μήτηρ αὐτοῦ, καὶ εἶπεν 18 (23)
πρὸς Τωβείτ Τί ἐξαπέστειλας τὸ παιδίον ἡμῶν; ἢ οὐχὶ ἡ ῥάβδος
τῆς χειρὸς ἡμῶν ἐστιν ἐν τῷ εἰσπορεύεσθαι αὐτὸν καὶ ἐκπορεύ-
εσθαι ἐνώπιον ἡμῶν; 19 ἀργύριον τῷ ἀργυρίῳ μὴ φθάσαι, ἀλλὰ 19 (24)
περίψημα τοῦ παιδίου ἡμῶν γένοιτο. 20 ὡς γὰρ δέδοται ἡμῖν ζῆν 20 (25)
παρὰ τοῦ κυρίου, τοῦτο ἱκανὸν ἡμῖν ὑπάρχει. 21 καὶ εἶπεν αὐτῇ 21 (26)
Τωβείτ Μὴ λόγον ἔχε, ἀδελφή· ὑγιαίνων ἐλεύσεται, καὶ οἱ
ὀφθαλμοί σου ὄψονται αὐτόν. 22 ἄγγελος γὰρ ἀγαθὸς συνπορεύ- 22 (27)
σεται αὐτῷ, καὶ εὐοδωθήσεται ἡ ὁδὸς αὐτοῦ, καὶ ὑποστρέψει
ὑγιαίνων. 1 καὶ ἐπαύσατο κλαίουσα. 1 (28) VI

2 Οἱ δὲ πορευόμενοι τὴν ὁδὸν ἦλθον ἐσπέρας ἐπὶ τὸν Τίγριν 2 (1) (VI)
ποταμόν, καὶ ηὐλίζοντο ἐκεῖ. 3 τὸ δὲ παιδάριον κατέβη περι- 3 (2, 3)
κλύσασθαι, καὶ ἀνεπήδησεν ἰχθὺς ἀπὸ τοῦ ποταμοῦ καὶ ἐβουλήθη
καταπεῖν τὸ παιδάριον. 4 ὁ δὲ ἄγγελος εἶπεν αὐτῷ Ἐπιλαβοῦ τοῦ 4

ℵ καὶ ἔξελθε μετὰ τοῦ ἀδελφοῦ σου, καὶ ὁ θεὸς ὁ ἐν τῷ οὐρανῷ διασώσαι ὑμᾶς
ἐκεῖ καὶ ἀποκαταστήσαι ὑμᾶς πρὸς ἐμὲ ὑγιαίνοντας, καὶ ὁ ἄγγελος αὐτοῦ
συνοδεύσαι ὑμῖν μετὰ σωτηρίας, παιδίον. καὶ ἐξῆλθεν πορευθῆναι τὴν ὁδὸν
αὐτοῦ καὶ ἐφίλησεν τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ εἶπεν αὐτῷ Τωβεὶθ
Πορεύου ὑγιαίνων. 18 Καὶ ἔκλαυσεν ἡ μήτηρ αὐτοῦ, καὶ εἶπεν πρὸς 18
Τωβεὶθ Τί ὅτι ἀπέστειλας τὸ παιδίον μου; οὐχὶ αὐτὸς ῥάβδος τῆς χειρὸς
ἡμῶν ἐστιν καὶ αὐτὸς εἰσπορεύεται καὶ ἐκπορεύεται ἐνώπιον ἡμῶν; 19 ἀργύριον 19
τῷ ἀργυρίῳ μὴ φθάσαι, ἀλλὰ περίψημα τοῦ παιδίου ἡμῶν γένοιτο. 20 ὡς 20
δέδοται ζῆν ἡμῖν παρὰ τοῦ κυρίου, τοῦτο ἱκανὸν ἡμῖν. 21 καὶ εἶπεν αὐτῇ Μὴ 21
λόγον ἔχε, ὑγιαίνων πορεύσεται τὸ παιδίον ἡμῶν καὶ ὑγιαίνων ἐλεύσεται
πρὸς ἡμᾶς, καὶ οἱ ὀφθαλμοί σου ὄψονται ἐν τῇ ἡμέρᾳ ᾗ ἂν ἔλθῃ πρὸς σὲ
ὑγιαίνων· μὴ λόγον ἔχε, μὴ φοβοῦ περὶ αὐτῶν, ἀδελφή· 22 ἄγγελος γὰρ 22
ἀγαθὸς συνελεύσεται αὐτῷ, καὶ εὐοδωθήσεται ἡ ὁδὸς αὐτοῦ καὶ ὑποστρέψει
ὑγιαίνων. 1 καὶ ἐσίγησεν κλαίουσα. 1 VI

2 Καὶ ἐξῆλθεν τὸ παιδίον καὶ ὁ ἄγγελος μετ' αὐτοῦ, καὶ ὁ κύων ἐξῆλθεν 2
μετ' αὐτοῦ καὶ ἐπορεύθη μετ' αὐτῶν, καὶ ἐπορεύθησαν ἀμφότεροι καὶ ἔτυχεν
αὐτοῖς νὺξ μία, καὶ ηὐλίσθησαν ἐπὶ τοῦ Τίγριδος ποταμοῦ. 3 καὶ κατέβη 3
τὸ παιδίον περινίψασθαι τοὺς πόδας εἰς τὸν Τίγριν ποταμόν, καὶ ἀναπη-
δήσας ἰχθὺς μέγας ἐκ τοῦ ὕδατος ἐβούλετο καταπεῖν τὸν πόδα τοῦ παιδαρίου,
καὶ ἔκραξεν. 4 καὶ ὁ ἄγγελος τῷ παιδαρίῳ εἶπεν Ἐπιλαβοῦ καὶ ἐγκρατὴς 4

A 17 οικων] κατοικων A | συμπορευθητω B^{b}A | εξηλθον A 18 om Αννα A
20 ως ℵ*] + γαρ $ℵ^{c.a}$ 22 συμπορευσεται B^{b} συνπορευεται A VI 3 ανε-
πηδησεν] seq ras 2 circ litt in B | καταπιειν B^{ab}A | εκραξεν ℵ*] pr απο του
φοβου $ℵ^{c.a}$

ἰχθύος· καὶ ἐκράτησεν τὸν ἰχθὺν τὸ παιδάριον, καὶ ἀνέβαλεν αὐτὸν ἐπὶ B
5 τὴν γῆν. 5καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος Ἀνάτεμε τὸν ἰχθύν, καὶ λαβὼν
6 τὴν καρδίαν καὶ τὸ ἧπαρ καὶ τὴν χολὴν θὲς ἀσφαλῶς. 6καὶ ἐποίησεν
τὸ παιδάριον ὡς εἶπεν αὐτῷ ὁ ἄγγελος, τὸν δὲ ἰχθὺν ὀπτήσαντες
7 ἔφαγον· καὶ ὥδευον ἀμφότεροι ἕως ἤγγισαν ἐν Ἐκβατάνοις. 7καὶ
εἶπεν τὸ παιδάριον τῷ ἀγγέλῳ Ἀζαρία ἀδελφέ, τί ἐστιν τὸ ἧπαρ
8 καὶ ἡ καρδία καὶ ἡ χολὴ τοῦ ἰχθύος; 8καὶ εἶπεν αὐτῷ Ἡ καρδία
καὶ τὸ ἧπαρ, ἐάν τινα ὀχλῇ δαιμόνιον ἢ πνεῦμα πονηρόν· ταῦτα δὲ
9 καπνίσαι ἐνώπιον ἀνθρώπου ἢ γυναικός, καὶ οὐ μηκέτι ὀχληθῇ. 9ἡ
δὲ χολὴ ἐνχρῖσαι ἄνθρωπον ὃς ἔχει λευκώματα ἐν τοῖς ὀφθαλμοῖς,
10 καὶ ἰαθήσεται. 10Ὡς δὲ προσήγγισαν τῇ Ῥάγῃ, 11εἶπεν ὁ ἄγγελος
τῷ παιδαρίῳ Ἀδελφέ, σήμερον αὐλισθησόμεθα παρὰ Ῥαγουηλῷ· καὶ
αὐτὸς συγγενής σού ἐστιν, καὶ ἔστιν αὐτῷ θυγάτηρ ὀνόματι Σάρρα.
12 12λαλήσω περὶ αὐτῆς τοῦ δοθῆναί σοι αὐτὴν εἰς γυναῖκα, ὅτι σοὶ
ἐπιβάλλει ἡ κληρονομία αὐτῆς, καὶ σὺ μόνος εἶ ἐκ τοῦ γένους αὐτῆς·
13 καὶ τὸ κοράσιον καλὸν καὶ φρόνιμόν ἐστιν. 13καὶ νῦν ἄκουσόν μου

τοῦ ἰχθύος γενοῦ. καὶ ἐκράτησεν τὸ παιδάριον τοῦ ἰχθύος καὶ ἀνήνεγκεν ℵ
5 αὐτὸν ἐπὶ τὴν γῆν. 5καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος Ἀνάσχισον τὸν ἰχθύν,
καὶ ἔξελε τὴν χολὴν καὶ τὴν καρδίαν καὶ τὸ ἧπαρ αὐτοῦ καὶ ἀπόθες αὐτὰ
μετὰ σαυτοῦ, καὶ τὰ ἔγκατα ἔκβαλε· ἔστιν γὰρ εἰς φάρμακον χρήσιμον
6 ἡ χολὴ καὶ ἡ καρδία καὶ τὸ ἧπαρ αὐτοῦ. 6καὶ ἀνασχίσας τὸ παιδάριον
τὸν ἰχθὺν συνήγαγεν τὴν χολὴν καὶ τὴν καρδίαν καὶ τὸ ἧπαρ, καὶ ὤπτησεν
τοῦ ἰχθύος καὶ ἔφαγεν, καὶ ἀφῆκεν ἐξ αὐτοῦ ἠλισμένον. καὶ ἐπορεύθησαν
7 ἀμφότεροι κοινῶς ἕως ἤγγισαν εἰς Μηδίαν. 7καὶ τότε ἠρώτησεν τὸ παιδάριον
τὸν ἄγγελον καὶ εἶπεν αὐτῷ Ἀζαρία ἀδελφέ, τί τὸ φάρμακον ἐν τῇ καρδίᾳ
8 καὶ τῷ ἥπατι τοῦ ἰχθύος καὶ ἐν τῇ χολῇ; 8καὶ εἶπεν αὐτῷ Ἡ καρδία καὶ τὸ
ἧπαρ τοῦ ἰχθύος κάπνισον ἐνώπιον ἀνθρώπου ᾧ γυναικός, ᾧ ἀπάντημα δαι-
μονίου ἢ πνεύματος πονηροῦ· καὶ φεύξεται ἀπ' αὐτοῦ πᾶν ἀπάντημα καὶ
9 οὐ μὴ μείνωσιν μετ' αὐτοῦ εἰς τὸν αἰῶνα. 9καὶ ἡ χολὴ ἐνχρῖσαι ἀνθρώπου
ὀφθαλμούς, οὗ λευκώματα ἀνέβησαν ἐπ' αὐτῶν, ἐμφυσῆσαι ἐπ' αὐτοὺς ἐπὶ
10 τῶν λευκωμάτων, καὶ ὑγιαίνουσιν. 10Καὶ ὅτε εἰσῆλθεν εἰς Μηδείαν καὶ
11 ἤδη ἤγγιζεν εἰς Ἐκβάτανα, 11λέγει Ῥαφαὴλ τῷ παιδαρίῳ Τωβεία ἀδελφέ.
καὶ εἶπεν αὐτῷ Ἰδοὺ ἐγώ. καὶ εἶπεν αὐτῷ Ἐν τοῖς Ῥαγουήλου τὴν νύκτα
ταύτην δεῖ ἡμᾶς αὐλισθῆναι· καὶ ὁ ἄνθρωπος συγγενής σού ἐστιν, καὶ ἔστιν
12 αὐτῷ θυγάτηρ ᾗ ὄνομα Σάρρα. 12καὶ υἱὸς ἄρσην οὐδὲ θυγάτηρ ὑπάρχει
αὐτῷ πλὴν Σάρρας μόνης, καὶ σὺ ἔγγιστα αὐτῆς εἶ παρὰ πάντας ἀνθρώπους
κληρονομῆσαι αὐτήν, καὶ τὰ ὄντα τῷ πατρὶ αὐτῆς σοὶ δικαιοῦται κληρονο-
μῆσαι· καὶ τὸ κοράσιον φρόνιμον καὶ ἀνδρεῖον καὶ καλὸν λίαν καὶ ὁ πατὴρ

---

8 η καρδια ℵ* c.b] την καρδιαν ℵc.a | αυτου ιχθ. ℵ* (του ιχθ. ℵc.a (vid)) | δε] A εδει A | καπνισον ℵ* (καπνισαι ℵc.a) | ου μηκετι] ουκετι ου μη A **9** εγχρ. Ba? b | λευκωμα A **10** Εκβατανων ℵ **11** Ραγουηλ A | θυγατηρ] +μονογενης A **12** σοι 2°] συ B

B καὶ λαλήσω τῷ πατρὶ αὐτῆς, καὶ ὅταν ὑποστρέψωμεν ἐκ Ῥάγων, ποιήσωμεν τὸν γάμον. διότι ἐπίσταμαι Ῥαγουὴλ ὅτι οὐ μὴ δῷ αὐτὴν ἀνδρὶ ἑτέρῳ κατὰ τὸν νόμον Μωυσῆ, ἢ ὀφειλέσει θάνατον, ὅτι τὴν κληρονομίαν σοὶ καθήκει λαβεῖν ἢ πάντα ἄνθρωπον. [14]τότε 14 εἶπεν τὸ παιδάριον τῷ ἀγγέλῳ Ἀζαρία ἀδελφέ, ἀκήκοα ἐγὼ τὸ κοράσιον δεδόσθαι ἑπτὰ ἀνδράσιν, καὶ πάντας ἐν τῷ νυμφῶνι ἀπολωλότας. [15]καὶ νῦν ἐγὼ μόνος εἰμὶ τῷ πατρί, καὶ φοβοῦμαι μὴ 15 εἰσελθὼν ἀποθάνω καθὼς καὶ οἱ πρότεροι, ὅτι δαιμόνιον φιλεῖ αὐτὴν ὃ οὐκ ἀδικεῖ οὐδένα πλὴν τῶν προσαγόντων αὐτῇ. καὶ νῦν ἐγὼ φοβοῦμαι μὴ ἀποθάνω, καὶ κατάξω τὴν ζωὴν τοῦ πατρός μου καὶ τῆς μητρός μου μετ' ὀδύνης ἐπ' ἐμοὶ εἰς τὸν τάφον αὐτῶν· καὶ υἱὸς ἕτερος οὐχ ὑπάρχει αὐτοῖς ὃς θάψει αὐτούς. [16]εἶπεν δὲ αὐτῷ ὁ ἄγγελος 16 Οὐ μέμνησαι τῶν λόγων ὧν ἐνετείλατό σοι ὁ πατήρ σου ὑπὲρ τοῦ λαβεῖν σε γυναῖκα ἐκ τοῦ γένους σου; καὶ νῦν ἄκουσόν μου, ἀδελφέ, διότι σοὶ ἔσται εἰς γυναῖκα, καὶ τοῦ δαιμονίου μηδένα λόγον ἔχε, ὅτι τὴν νύκτα ταύτην δοθήσεταί σοι αὕτη εἰς γυναῖκα. [17]καὶ 17 (18,19) ἐὰν εἰσέλθῃς εἰς τὸν νυμφῶνα, λήμψῃ τέφραν θυμιαμάτων καὶ

ℵ αὐτῆς καλός. [13]καὶ εἶπεν Δεδικαίωταί σοι λαβεῖν αὐτήν· καὶ ἄκουσόν μου, 13 ἀδελφέ, καὶ λαλήσω τῷ πατρὶ περὶ τοῦ κορασίου τὴν νύκτα ταύτην ἵνα λημψόμεθά σοι αὐτὴν νύμφην· καὶ ὅταν ἐπιστρέψωμεν ἐκ Ῥαγουὴλ ποιήσομεν τὸν γάμον αὐτῆς. καὶ ἐπίσταμαι ὅτι οὐ μὴ δυνηθῇ Ῥαγουὴλ κωλῦσαι αὐτὴν ἀπὸ σοῦ ἢ ἐγγυᾶσθαι ἑτέρῳ, ὀφειλήσειν θάνατον κατὰ τὴν κρίσιν τῆς βίβλου Μωυσέως, καὶ διὰ τὸ γινώσκειν ὅτι σοὶ κληρονομία καθήκει λαβεῖν τὴν θυγατέρα αὐτοῦ παρὰ πάντα ἄνθρωπον. καὶ νῦν ἄκουσόν μου, ἀδελφέ, καὶ λαλήσωμεν περὶ τοῦ κορασίου τὴν νύκτα ταύτην καὶ μνηστευσόμεθά σοι αὐτήν· καὶ ὅταν ἐπιστρέψωμεν ἐκ Ῥάγων λημψόμεθα αὐτήν, καὶ ἀπάξωμεν αὐτὴν μεθ' ἡμῶν εἰς τὸν οἶκόν σου. [14]τότε ἀποκριθεὶς Τωβείας εἶπεν τῷ 14 Ῥαφαὴλ Ἀζαρία ἀδελφέ, ἤκουσα ὅτι ἑπτὰ ἤδη ἐδόθη ἀνδράσιν, καὶ ἀπέθανον ἐν τοῖς νυμφῶσιν αὐτῶν· τὴν νύκτα ὁπότε εἰσεπορεύοντο πρὸς αὐτὴν καὶ ἀπέθνησκον. καὶ ἤκουσα λεγόντων αὐτῶν ὅτι δαιμόνιον ἀποκτέννει αὐτούς. [15]καὶ νῦν φοβοῦμαι ἐγώ· ὅτι αὐτὴν οὐκ ἀδικεῖ, ἀλλ' ὃς ἂν θελήσῃ ἐγγίσαι 15 αὐτῆς, ἀποκτέννει αὐτόν. μονογενής εἰμι τῷ πατρί μου, μὴ ἀποθάνω, καὶ κατάξω τὴν ζωὴν τοῦ πατρός μου καὶ τῆς μητρός μου μετ' ὀδύνης ἐπ' ἐμοὶ εἰς τὸν τάφον αὐτῶν· καὶ υἱὸς ἕτερος οὐχ ὑπάρχει αὐτοῖς ἵνα θάψῃ αὐτούς. [16]καὶ 16 λέγει αὐτῷ Οὐ μέμνησαι τὰς ἐντολὰς τοῦ πατρός σου, ὅτι ἐνετείλατό σοι λαβεῖν γυναῖκα ἐκ τοῦ οἴκου τοῦ πατρός σου; καὶ νῦν ἄκουσόν μου, ἀδελφέ, καὶ μὴ λόγον ἔχε τοῦ δαιμονίου τούτου καὶ λάβε. καὶ γινώσκω ἐγὼ ὅτι τὴν νύκτα ταύτην δοθήσεταί σοι γυνή. [17]καὶ ὅταν εἰσέλθῃς εἰς τὸν νυμφῶνα, 17

A **13** ποιησομεν A | οφειλησιν ℵ οφειλησει A | σοι] συ ℵ | αυτην θυγ. ℵ* (την θυγ. ℵ[1c.a]) **14** εδθη ℵ* (εδοθη ℵ[c.a]) **15** οτι] διοτι A **16** ο πατηρ σου...γυναικα] ο πηρ σου υπερ του λογου τουτου του λαβεῖ σε γυναι sup ras et in mg A[a?] | om αυτη A **17** τον νυμφ.] τον ν sup ras B[ab]

ἐπιθήσεις ἀπὸ τῆς καρδίας καὶ τοῦ ἥπατος τοῦ ἰχθύος· καὶ B
18 καπνίσεις, [18]καὶ ὀσφρανθήσεται τὸ δαιμόνιον καὶ φεύξεται, καὶ
– οὐκ ἐπανελεύσεται τὸν αἰῶνα τοῦ αἰῶνος. ὅταν δὲ προσπορεύῃ
αὐτῇ, ἐγέρθητε ἀμφότεροι καὶ βοήσατε πρὸς τὸν ἐλέημονα θεόν,
καὶ σώσει ὑμᾶς καὶ ἐλεήσει. μὴ φοβοῦ, ὅτι σοὶ αὕτη ἡτοι-
μασμένη ἦν ἀπὸ τοῦ αἰῶνος, καὶ σὺ αὐτὴν σώσεις, καὶ πορεύ-
σεται μετὰ σοῦ, καὶ ὑπολαμβάνω ὅτι σοὶ ἔσται ἐξ αὐτῆς παιδία.
καὶ ὡς ἤκουσεν Τωβείας ταῦτα, ἐφίλησεν αὐτήν, καὶ ἡ ψυχὴ
αὐτοῦ ἐκολλήθη αὐτῇ σφόδρα.

VII 1 [1]Καὶ ἦλθεν εἰς Ἐκβάτανα καὶ παρεγένετο εἰς τὴν οἰκίαν Ῥαγουήλ,
καὶ Σάρρα δὲ ὑπήντησεν αὐτῷ· καὶ ἐχαιρέτισεν αὐτὸν καὶ αὐτὸς
2 αὐτούς. καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὴν οἰκίαν. [2]καὶ εἶπεν Ἔδνα τῇ
3 γυναικὶ αὐτοῦ Ὡς ὅμοιος ὁ νεανίσκος Τωβεὶτ τῷ ἀνεψιῷ μου. [3]καὶ
ἠρώτησεν αὐτοὺς Ῥαγουήλ Πόθεν ἐστέ, ἀδελφοί; καὶ εἶπαν αὐτῷ
4 Ἐκ τῶν υἱῶν Νεφθαλεὶ τῶν αἰχμαλώτων ἐκ Νινευή. [4]καὶ εἶπεν αὐτοῖς
5 Γινώσκετε Τωβεὶτ τὸν ἀδελφὸν ἡμῶν; [5]οἱ δὲ εἶπαν Καὶ ζῇ καὶ ὑγι-

---

λάβε ἐκ τοῦ ἥπατος τοῦ ἰχθύος καὶ τὴν καρδίαν καὶ ἐπίθες ἐπὶ τὴν τέφραν ℵ
18 τῶν θυμιαμάτων, καὶ ἡ ὀσμὴ πορεύσεται [18]καὶ ὀσφρανθήσεται τὸ δαιμόνιον καὶ
φεύξεται, καὶ οὐκέτι μὴ φανῇ περὶ αὐτὴν τὸν πάντα αἰῶνα. καὶ ὅταν μέλλῃς
γίνεσθαι μετ᾽ αὐτῆς, ἐξεγέρθητε πρῶτον ἀμφότεροι καὶ προσεύξασθε καὶ δεήθητε
τοῦ κυρίου τοῦ οὐρανοῦ ἵνα ἔλεος γένηται καὶ σωτηρία ἐφ᾽ ὑμᾶς. καὶ μὴ
φοβοῦ, σοὶ γάρ ἐστιν μεμερισμένη πρὸ τοῦ αἰῶνος, καὶ σὺ αὐτὴν σώσεις, καὶ
μετὰ σοῦ πορεύσεται, καὶ ὑπολαμβάνω ὅτι ἔσονταί σοι ἐξ αὐτῆς παιδία
καὶ ἔσονταί σοι ὡς ἀδελφοί· μὴ λόγον ἔχε. καὶ ὅτε ἤκουσεν Τωβείας τῶν
λόγων Ῥαφαὴλ καὶ ὅτι ἔστιν αὐτῷ ἀδελφὴ ἐκ τοῦ σπέρματος τοῦ οἴκου
τοῦ πατρὸς αὐτοῦ, λίαν ἠγάπησεν αὐτὴν καὶ ἡ καρδία αὐτοῦ ἐκολλήθη εἰς
αὐτήν.

VII 1 [1]Καὶ ὅτε εἰσῆλθεν εἰς Ἐκβάτανα λέγει αὐτῷ Ἀζαρία ἀδελφέ, ἀπάγαγέ
με εὐθεῖαν πρὸς Ῥαγουὴλ τὸν ἀδελφὸν ἡμῶν. καὶ ἀπήγαγεν αὐτὸν εἰς
τὸν οἶκον Ῥαγουήλου, καὶ εὗρον αὐτὸν καθήμενον παρὰ τὴν θύραν τῆς αὐλῆς
καὶ ἐχαιρέτισαν αὐτὸν πρῶτοι· καὶ εἶπεν αὐτοῖς Χαίρετε πολλά, ἀδελφοί,
2 καὶ καλῶς ἦλθατε ὑγιαίνοντες. καὶ ἤγαγεν αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ. [2]καὶ
εἶπεν Ἔδνα τῇ γυναικὶ αὐτοῦ Ὡς ὅμοιος ὁ νεανίσκος οὗτος Τωβείᾳ τῷ ἀδελφῷ
3 μου. [3]καὶ ἠρώτησεν αὐτοὺς Ἔδνα καὶ εἶπεν αὐτοῖς Πόθεν ἐστέ, ἀδελφοί; καὶ
εἶπαν αὐτῇ Ἐκ τῶν υἱῶν Νεφθαλεὶμ ἡμεῖς τῶν αἰχμαλωτισθέντων ἐν Νινευή.
4 [4]καὶ εἶπεν αὐτοῖς Γινώσκετε Τωβεὶθ τὸν ἀδελφὸν ἡμῶν; καὶ εἶπαν αὐτῇ
5 Γινώσκομεν ἡμεῖς αὐτόν. καὶ εἶπεν αὐτοῖς Ὑγιαίνει; [5]καὶ εἶπαν αὐτῇ

---

18 επανελευσεται] post επανε| ras aliq $B^{1?a?b}$ | τον αιωνα] pr εις A | προσ- A
πορευση A | υμας] ημας A | προ ου ℵ* (προ του ℵ[1]) | Τωβιας A | αυτην 2°] in
η ras aliq $B^{?}$ | εκολληθη] κεκολλητο A | om αυτη 3° A VII **1** ηλθον A |
παρεγενοντο A | om και 3° A | αυτω] αυτοις A | αυτον] αυτους A | αυτος αυ-
τους] αυτοι αυτην A **2** Τωβειτ] τω Τωβιτ A **3** ειπαν] ειπεν A | Νεφθα-
λειμ A | εκ Νιν.] των εν Νιν. A **4** γιγνωσκεται A | ημων]+οι δε ειπα|
γιγνωσκομεν·| και ειπεν αυτοις· υγιαινει· A

B αἰνει. καὶ εἶπεν Τωβίας Πατήρ μού ἐστιν. [6]καὶ ἀνεπήδησεν Ῥαγουήλ, 6
καὶ κατεφίλησεν αὐτὸν καὶ ἔκλαυσε· [7]καὶ εὐλόγησεν αὐτὸν καὶ εἶπεν 7
αὐτῷ Ὁ τοῦ καλοῦ καὶ ἀγαθοῦ ἀνθρώπου· καὶ ἀκούσας ὅτι Τωβεὶτ
ἀπώλεσεν τοὺς ὀφθαλμοὺς ἑαυτοῦ, ἐλυπήθη καὶ ἔκλαυσεν. [8]καὶ 8
Ἔδνα ἡ γυνὴ αὐτοῦ καὶ Σάρρα ἡ θυγάτηρ αὐτοῦ ἔκλαυσαν· καὶ
ὑπεδέξαντο αὐτοὺς προθύμως. [9]καὶ ἔθυσαν κριὸν προβάτων, καὶ 9
παρέθηκαν ὄψα πλείονα. [10]Εἶπεν δὲ Τωβείας τῷ Ῥαφαήλ (10–14)
Ἀζαρία ἀδελφέ, λάλησον ὑπὲρ ὧν ἔλεγες ἐν τῇ πορείᾳ, καὶ
τελεσθήτω τὸ πρᾶγμα. [10]καὶ μετέδωκεν τὸν λόγον τῷ Ῥαγουήλ. 10
καὶ εἶπεν Ῥαγουὴλ πρὸς Τωβείαν Φάγε, πίε καὶ ἡδέως γίνου, σοὶ
γὰρ καθήκει τὸ παιδίον μου λαβεῖν· πλὴν ὑποδείξω τὴν ἀλή-
θειαν. [11]ἔδωκα τὸ παιδίον μου ἑπτὰ ἀνδράσιν, καὶ ὁπότε ἐὰν 11
εἰσεπορεύοντο πρὸς αὐτήν, ἀπέθνησκον ὑπὸ νύκτα. ἀλλὰ τὸ
νῦν ἔχων ἡδέως γίνου. καὶ εἶπεν Τωβίας Οὐ γεύομαι οὐδὲν ὧδε
ἕως ἂν στήσητε καὶ σταθῆτε πρὸς μέ. καὶ εἶπεν Ῥαγουήλ
Κομίζου αὐτὴν ἀπὸ τοῦ νῦν κατὰ τὴν κρίσιν· σὺ δὲ ἀδελφὸς

א Ὑγιαίνει καὶ ζῇ. καὶ εἶπεν Τωβείας Ὁ πατήρ μού ἐστιν. [6]καὶ ἀνεπήδησεν 6
Ῥαγουήλ, καὶ κατεφίλησεν αὐτὸν καὶ ἔκλαυσεν· [7]καὶ ἐλάλησεν καὶ εἶπεν 7
αὐτῷ Εὐλογία σοι γένοιτο, παιδίον, ὁ τοῦ καλοῦ καὶ ἀγαθοῦ πατρός· ὢ
ταλαιπώρων κακῶν, ὅτι ἐτυφλώθη ἀνὴρ δίκαιος καὶ ποιῶν ἐλεημοσύνας. καὶ
ἐπιπεσὼν ἐπὶ τὸν τράχηλον Τωβεία τοῦ ἀδελφοῦ αὐτοῦ ἔκλαυσεν. [8]καὶ 8
Ἔδνα ἡ γυνὴ αὐτοῦ ἔκλαυσεν αὐτόν, καὶ Σάρρα ἡ θυγάτηρ αὐτῶν ἔκλαυσεν
καὶ αὐτή. [9]καὶ ἔθυσεν κριὸν ἐκ προβάτων καὶ ὑπεδέξατο αὐτοὺς προθύ- 9
μως. Καὶ ὅτε ἐλούσαντο καὶ ἐνίψαντο καὶ ἀνέπεσαν δειπνῆσαι εἶπεν
Τωβείας τῷ Ῥαφαήλ Ἀζαρία ἀδελφέ, εἰπὸν Ῥαγουὴλ ὅπως δῷ μοι Σάρραν
τὴν ἀδελφήν μου. [10]καὶ ἤκουσεν Ῥαγουὴλ τὸν λόγον καὶ εἶπεν τῷ παιδί 10
Φάγε καὶ πίε καὶ ἡδέως γενοῦ τὴν νύκτα ταύτην, οὐ γάρ ἐστιν ἄνθρωπος
ᾧ καθήκει λαβεῖν Σάρραν τὴν θυγατέρα μου πλὴν σοῦ, ἀδελφέ· ὡσαύτως
δὲ καὶ ἐγὼ οὐκ ἔχω ἐξουσίαν δοῦναι αὐτὴν ἑτέρῳ ἀνδρὶ πλὴν σοῦ, ὅτι σὺ
ἔγγιστά μου. καὶ μάλα τὴν ἀλήθειάν σοι ὑποδείξω, παιδίον. [11]ἔδωκα 11
αὐτὴν ζ' ἀνδράσιν τῶν ἀδελφῶν ἡμῶν, καὶ πάντες ἀπέθανον τὴν νύκτα
ὁπότε εἰσεπορεύοντο πρὸς αὐτήν. καὶ νῦν, παιδίον, φάγε καὶ πίε καὶ Κύριος
ποιήσει ἐν ὑμῖν. καὶ εἶπεν Τωβείας Οὐ μὴ φάγω ἐντεῦθεν οὐδὲ μὴ πίω
ἕως ἂν διαστήσῃς τὰ πρὸς ἐμέ. καὶ εἶπεν αὐτῷ Ῥαγουὴλ ὅτι Ποιῶ,
καὶ αὐτὴ δίδοταί σοι κατὰ τὴν κρίσιν τῆς βίβλου Μωυσέως, καὶ ἐκ τοῦ
οὐρανοῦ κέκριταί σοι δοθῆναι· κομίζου τὴν ἀδελφήν σου. ἀπὸ τοῦ νῦν
σὺ ἀδελφὸς εἶ αὐτῆς καὶ αὐτὴ ἀδελφή σου· δέδοταί σοι ἀπὸ τῆς σήμερον

A **7** ηυλογησεν A | om εαυτου A **8** η γυνη] pr και A | εκλαυσεν B^{ab}
9 om δε A^* (superscr A^{a2}) | Τωβιας B^bA | πορεια] ενπορια A | τελεσθητω] στητω A **10** Τωβιαν B^bA | πιε] pr και A | υποδειξω]+σοι A | αληθιαν B^* (αληθειαν $B^{ab}A$) **11** παιδιον] παιδαριον A^* (παιδειον [ε sup ras] A^{a2}) | om μου A | εαν] αν A | απεθνησκοσαν B^aA | νυκτα] pr την A | εχον $B^{ab}A$ | Τωβιας B^bA (item 11) | γευσομαι A | om δε 1° A

εἶ αὐτῆς, καὶ αὐτή σού ἐστιν· ὁ δὲ ἐλεήμων θεὸς εὐοδώσει ὑμῖν B
(15) 12 τὰ κάλλιστα. 12 καὶ ἐκάλεσεν Σάρραν τὴν θυγατέρα αὐτοῦ, καὶ
λαβὼν τῆς χειρὸς αὐτῆς παρέδωκεν αὐτὴν Τωβεῖᾳ γυναῖκα, καὶ
εἶπεν Ἰδοὺ κατὰ τὸν νόμον Μωυσέως κομίζου αὐτὴν καὶ ἄπαγε
13 πρὸς τὸν πατέρα σου· καὶ εὐλόγησεν αὐτούς. 13 καὶ ἐκάλεσεν
(16) Ἔδναν τὴν γυναῖκα αὐτοῦ· (16) καὶ λαβὼν βιβλίον ἔγραψεν συν-
(17) 14 (18) 15 γραφὴν καὶ ἐσφραγίσαντο. 14 καὶ ἤρξαντο ἐσθίειν. 15 καὶ ἐκά-
λεσεν Ῥαγουὴλ Ἔδναν τὴν γυναῖκα αὐτοῦ καὶ εἶπεν αὐτῇ Ἀδελφή,
(19) 16 ἑτοίμασον τὸ ἕτερον ταμεῖον καὶ εἴσαγε αὐτήν. 16 καὶ ἐποίησεν
ὡς εἶπεν καὶ εἰσήγαγεν αὐτὴν ἐκεῖ, καὶ ἔκλαυσεν· καὶ ἀπεδέ-
(20) 17 ξατο τὰ δάκρυα τῆς θυγατρὸς αὐτῆς (20) καὶ εἶπεν αὐτῇ 17 Θάρσει,
τέκνον, ὁ κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς δῴη σοι χάριν ἀντὶ
VIII 1 τῆς λύπης σου ταύτης· θάρσει, θύγατερ. 17 Ὅτε δὲ συνε-
2 τέλεσαν δειπνοῦντες, εἰσήγαγον Τωβείαν πρὸς αὐτήν. 2 ὁ δὲ πορευό-
μενος ἐμνήσθη τῶν λόγων Ῥαφαήλ, καὶ ἔλαβεν τὴν τέφραν τῶν
θυμιαμάτων καὶ ἐπέθηκεν τὴν καρδίαν τοῦ ἰχθύος καὶ τὸ ἧπαρ,
3 καὶ ἐκάπνισεν. 3 ὅτε δὲ ὠσφράνθη τὸ δαιμόνιον τῆς ὀσμῆς, ἔφυγεν

καὶ εἰς τὸν αἰῶνα. καὶ ὁ κύριος τοῦ οὐρανοῦ εὐοδώσει ὑμᾶς, παιδίον, τὴν ℵ
12 νύκτα ταύτην καὶ ποιήσαι ἐφ' ὑμᾶς ἔλεος καὶ εἰρήνην. 12 καὶ ἐκάλεσεν
Ῥαγουὴλ Σάρραν τὴν θυγατέρα αὐτοῦ, καὶ ἦλθεν πρὸς αὐτόν, καὶ λαβόμενος
τῆς χειρὸς αὐτῆς παρέδωκεν αὐτὴν αὐτῷ καὶ εἶπεν Κόμισαι κατὰ τὸν νόμον
καὶ κατὰ τὴν κρίσιν τὴν γεγραμμένην ἐν τῇ βίβλῳ Μωυσέως δοῦναί σοι
τὴν γυναῖκα, ἔχε καὶ ἀπάγαγε πρὸς τὸν πατέρα σου ὑγιαίνων· καὶ ὁ
13 θεὸς τοῦ οὐρανοῦ εὐοδώσαι ὑμῖν εἰρήνην. 13 καὶ ἐκάλεσεν τὴν μητέρα αὐτῆς
καὶ εἶπεν ἐνεγκεῖν βιβλίον, καὶ ἔγραψεν συνγραφὴν βιβλίου συνοικήσεως καὶ ὡς
14 ὁἰδωσιν αὐτὴν αὐτῷ γυναῖκα κατὰ τὴν κρίσιν τοῦ Μωυσέως νόμου. 14 ἀπ' ἐκεί-
15 νου ἤρξαντο φαγεῖν καὶ πεῖν. 15 καὶ ἐκάλεσεν Ῥαγουὴλ Ἔδναν τὴν γυναῖκα
αὐτοῦ καὶ εἶπεν αὐτῇ Ἀδελφή, ἑτοίμασον τὸ ταμεῖον τὸ ἕτερον καὶ εἰσάγαγε
16 αὐτὴν ἐκεῖ. 16 καὶ βαδίσασα ἔστρωσεν εἰς τὸ ταμεῖον ὡς εἶπεν αὐτῇ, καὶ
ἤγαγεν αὐτὴν ἐκεῖ· καὶ ἔκλαυσεν περὶ αὐτῆς καὶ ἀπεμάξατο τὰ δάκρυα καὶ
17 εἶπεν αὐτῇ 17 Θάρσει, θύγατερ, ὁ κύριος τοῦ οὐρανοῦ δῴη σοι χαρὰν ἀντὶ τῆς
VIII 1 λύπης σου· θάρσει, θύγατερ. 1 Καὶ ὅτε συνετέλεσαν τὸ
φαγεῖν καὶ πεῖν, ἠθέλησαν κοιμηθῆναι καὶ ἀπήγαγον τὸν νεανίσκον καὶ
2 εἰσήγαγον αὐτὸν εἰς τὸ ταμεῖον. 2 καὶ ἐμνήσθη Τωβείας τῶν λόγων Ῥαφαήλ,
καὶ ἔλαβεν τὸ ἧπαρ τοῦ ἰχθύος καὶ τὴν καρδίαν ἐκ τοῦ βαλαντίου οὗ εἶχεν
3 καὶ ἐπέθηκεν ἐπὶ τὴν τέφραν τοῦ θυμιάματος. 3 καὶ ἡ ὀσμὴ τοῦ ἰχθύος
ἐκώλυσεν, καὶ ἀπέδραμεν τὸ δαιμόνιον ἄνω εἰς τὰ μέρη Αἰγύπτου· καὶ βαδίσας

---

11 υμιν] ημιν A* (υμ. A^{a}) **12** Σαρρα A | Τωβεια] τω Τωβια A | ηυ- A
λογησεν A **13** συγγραφην B^{ab} | εσφραγισατο A **14** ηρξατο B^{ab}
15 om Ραγουηλ A | ταμιον B*ℵA (ταμειον B^{a}) | εισαγε] εισαγαγε A
16 εισηγαγον A **17** δω A* (δωη A^{a}?) VIII **1** το φαγειν ℵ*] του φ.
ℵ$^{c.a}$ | Τωβιαν B^{a}A | ταμιον ℵ **2** om και 4° A

Β εἰς τὰ ἀνώτατα Αἰγύπτου, καὶ ἔδησεν αὐτὸ ὁ ἄγγελος. 4 ὡς δὲ συνε- 4
κλείσθησαν ἀμφότεροι, ἀνέστη Τωβείας ἀπὸ τῆς κλίνης καὶ εἶπεν
Ἀνάστηθι, ἀδελφή, καὶ προσευξώμεθα ἵνα ἡμᾶς ἐλεήσῃ ὁ κύριος.
5 καὶ ἤρξατο Τωβίας λέγειν Εὐλογητὸς εἶ ὁ θεὸς τῶν πατέρων 5 (7)
ἡμῶν, καὶ εὐλογητὸν τὸ ὄνομά σου τὸ ἅγιον καὶ ἔνδοξον εἰς
τοὺς αἰῶνας· εὐλογησάτωσάν σε οἱ οὐρανοὶ καὶ πᾶσαι αἱ κτίσεις
σου. 6 σὺ ἐποίησας Ἀδάμ, καὶ ἔδωκας αὐτῷ βοηθὸν Εὔαν στή- 6 (8)
ριγμα τὴν γυναῖκα αὐτοῦ· ἐκ τούτων ἐγενήθη τὸ ἀνθρώπων
σπέρμα. σὺ εἶπας Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον, ποιή- —
σωμεν αὐτῷ βοηθὸν ὅμοιον αὐτῷ. 7 καὶ νῦν, Κύριε, οὐ διὰ πορ- 7 (9)
νείαν ἐγὼ λαμβάνω τὴν ἀδελφήν μου ταύτην, ἀλλ' ἐπ' ἀληθείας·
ἐπίταξον ἐλεῆσαί με καὶ αὐτῇ συνκαταγηρᾶσαι. 8 καὶ εἶπεν 8 (10)
μετ' αὐτοῦ Ἀμήν. 9 καὶ ἐκοιμήθησαν ἀμφότεροι τὴν νύκτα. (11) Καὶ 9 (11)
ἀναστὰς Ῥαγουὴλ ἐπορεύθη καὶ ὤρυξεν τάφον, 10 λέγων Μὴ καὶ 10 (12)
οὗτος ἀποθάνῃ. 11 καὶ ἦλθεν Ῥαγουὴλ εἰς τὴν οἰκίαν ἑαυτοῦ, 11 (13)
12 καὶ εἶπεν Ἔδνᾳ τῇ γυναικὶ αὐτοῦ (14) Ἀπόστειλον μίαν τῶν 12 (14)
παιδισκῶν, καὶ εἰδέτωσαν εἰ ζῇ· εἰ δὲ μή, ἵνα θάψωμεν αὐτὸν
καὶ μηδεὶς γνῷ. 13 καὶ εἰσῆλθεν ἡ παιδίσκη ἀνοίξασα τὴν θύραν, 13 (15)

ℵ Ῥαφαὴλ συνεπόδισεν αὐτὸν ἐκεῖ καὶ ἐπέδησεν παραχρῆμα. 4 καὶ ἐξῆλθον καὶ 4
ἀπέκλεισαν τὴν θύραν τοῦ ταμείου. καὶ ἠγέρθη Τωβείας ἀπὸ τῆς κλίνης καὶ
εἶπεν αὐτῇ Ἀδελφή, ἀνάστηθι, προσευξώμεθα καὶ δεηθῶμεν τοῦ κυρίου ἡμῶν
ὅπως ποιήσῃ ἐφ' ἡμᾶς ἔλεος καὶ σωτηρίαν. 5 καὶ ἀνέστη καὶ ἤρξαντο 5
προσεύχεσθαι καὶ δεηθῆναι ὅπως γένηται αὐτοῖς σωτηρία, καὶ ἤρξατο λέγειν
Εὐλογητὸς εἶ ὁ θεὸς τῶν πατέρων ἡμῶν καὶ εὐλογητὸν τὸ ὄνομά σου εἰς
πάντας τοὺς αἰῶνας τῆς γενεᾶς· εὐλογησάτωσάν σε οἱ οὐρανοὶ καὶ πᾶσα
ἡ κτίσις σου εἰς πάντας τοὺς αἰῶνας. 6 σὺ ἐποίησας τὸν Ἀδάμ, καὶ ἐποίησας 6
αὐτῷ βοηθὸν στήριγμα Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ ἐξ ἀμφοτέρων ἐγενήθη
τὸ σπέρμα τῶν ἀνθρώπων· καὶ σὺ εἶπας ὅτι Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον
μόνον, ποιήσωμεν αὐτῷ βοηθὸν ὅμοιον αὐτῷ. 7 καὶ νῦν οὐχὶ διὰ πορνίαν 7
ἐγὼ λαμβάνω τὴν ἀδελφήν μου ταύτην, ἀλλ' ἐπ' ἀληθείας· ἐπίταξον ἐλεῆσαί
με καὶ αὐτὴν καὶ συνκαταγηρᾶσαι κοινῶς. 8 καὶ εἶπαν μεθ' ἑαυτῶν Ἀμήν. 8
9 καὶ ἐκοιμήθησαν τὴν νύκτα. Καὶ ἀναστὰς Ῥαγουὴλ ἐκάλεσεν τοὺς 9
οἰκέτας μεθ' ἑαυτοῦ καὶ ᾤχοντο καὶ ὤρυξαν τάφον· 10 εἶπεν γάρ Μή ποτε 10
ἀποθάνῃ καὶ γενώμεθα καταγέλως καὶ ὀνειδισμός. 11 καὶ ὅτε συνετέλεσαν 11
ὀρύσσοντες τὸν τάφον, ἦλθεν Ῥαγουὴλ εἰς τὸν οἶκον καὶ ἐκάλεσεν τὴν
γυναῖκα αὐτοῦ 12 καὶ εἶπεν Ἀπόστειλον μίαν τῶν παιδισκῶν καὶ εἰσελθοῦσα 12
ἰδέτω εἰ ζῇ· καὶ εἰ τέθνηκεν, ὅπως ἂν θάψωμεν αὐτόν, ὅπως μηδεὶς γνῷ.
13 καὶ ἀπέστειλαν τὴν παιδίσκην καὶ ἦλθαν τὸν λύχνον καὶ ἤνοιξαν τὴν θύραν, 13

A **3** εις] pr εως A **4** Τωβιας $B^{a}A$ (item 5) | προσευξωμεθα] ξωμ sup ras B^{ab} | ελ. ο $\overline{κς}$ ημας A **6** om ομοιον A^{*} (hab A^{2}) **7** αλλα A | αυτη] ταυτη A | συγκαταγηρασαι B^{ab} συνκαταγηρασομε (αγηρα sup ras A^{a}) A **10** ουτος] αυτος A **12** ιδετωσαν B^{b} | γνω] γνωτω A

(16) 14 καὶ εὗρεν τοὺς δύο καθεύδοντας. [14]καὶ ἐξελθοῦσα ἀπήγγειλεν B
(17) 15 αὐτοῖς ὅτι ζῇ. [15] Καὶ εὐλόγησεν Ῥαγουὴλ τὸν θεὸν λέγων
Εὐλογητὸς εἶ σὺ ὁ θεὸς ἐν πάσῃ εὐλογίᾳ· καὶ εὐλογείτωσάν σε
οἱ ἅγιοί σου καὶ πᾶσαι αἱ κτίσεις σου, πάντες οἱ ἄγγελοί σου
16 καὶ οἱ ἐκλεκτοί σου εὐλογείτωσάν σε εἰς τοὺς αἰῶνας. [16]εὐλο-
γητὸς εἶ ὅτι ηὔφρανάς με, καὶ οὐκ ἐγένετό μοι καθὼς ὑπενόουν,
(18,19) 17 [(18)]ἀλλὰ κατὰ τὸ πολὺ ἔλεός σου ἐποίησας μεθ' ἡμῶν. [17]εὐλογητὸς
εἶ ὅτι ἠλέησας δύο μονογενεῖς· ποίησον αὐτοῖς, δέσποτα, ἔλεος,
συντέλεσον τὴν ζωὴν αὐτῶν ἐν ὑγείᾳ μετὰ εὐφροσύνης καὶ
(20) 18 ἐλέους. [18]ἐκέλευσεν δὲ τοῖς οἰκέταις χῶσαι τὸν τάφον. [19] Καὶ
(21,22) 19
(23) 20 ἐποίησεν αὐτοῖς γάμον ἡμερῶν δέκα τεσσάρων. [20]καὶ εἶπεν αὐτῷ
Ῥαγουὴλ πρὶν ἢ συντελεσθῆναι τὰς ἡμέρας τοῦ γάμου ἐνόρκως,
μὴ ἐξελθεῖν αὐτὸν ἐὰν μὴ πληρωθῶσιν αἱ δέκα τέσσαρες ἡμέραι
(24) 21 τοῦ γάμου, [21]καὶ τότε λαβόντα τὸ ἥμισυ τῶν ὑπαρχόντων αὐτοῦ
πορεύεσθαι μετὰ ὑγείας πρὸς τὸν πατέρα· καὶ τὰ λοιπὰ ὅταν
ἀποθάνω καὶ ἡ γυνή μου.

IX (1) ½ [1]Καὶ ἐκάλεσεν Τωβίας τὸν Ῥαφαὴλ καὶ εἶπεν αὐτῷ [2]Ἀζαρία
(3) ἀδελφέ, [(3)]λάβε μετὰ σεαυτοῦ παῖδα καὶ δύο καμήλους, καὶ πορεύ-

---

14 καὶ εἰσῆλθεν καὶ εὗρεν αὐτοὺς καθεύδοντας καὶ ὑπνοῦντας κοινῶς. [14]καὶ ἐξελ- S
15 θοῦσα ἡ παιδίσκη ὑπέδειξεν αὐτοῖς ὅτι Ζῇ καὶ οὐδὲν κακόν ἐστιν. [15] Καὶ
εὐλόγησαν τὸν θεὸν τοῦ οὐρανοῦ καὶ εἶπαν Εὐλογητὸς εἶ, θεέ, ἐν πάσῃ
16 εὐλογίᾳ καθαρᾷ· εὐλογείτωσάν σε εἰς πάντας τοὺς αἰῶνας. [16]καὶ εὐλογητὸς
εἶ ὅτι εὔφρανάς με, καὶ οὐκ ἐγένετο καθὼς ὑπενόουν, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεός
17 σου ἐποίησας μεθ' ἡμῶν. [17]καὶ εὐλογητὸς εἶ ὅτι ἠλέησας δύο μονογενεῖς.
ποίησον αὐτοῖς, δέσποτα, ἔλεος καὶ σωτηρίαν, καὶ συντέλεσον τὴν ζωὴν
18 αὐτῶν μετ' εὐφροσύνης καὶ ἐλέου. [18]τότε εἶπεν τοῖς οἰκέταις αὐτοῦ χῶσαι
19 τὸν τάφον πρὸ τοῦ ὄρθρον γενέσθαι. [19] Καὶ τῇ γυναικὶ εἶπεν ποιῆσαι
ἄρτους πολλούς. καὶ εἰς τὸ βουκόλιον βαδίσας ἤγαγεν βόας δύο καὶ κριοὺς
20 τέσσαρες καὶ εἶπεν συντελεῖν αὐτούς· καὶ ἤρξαντο παρασκευάζειν. [20]καὶ
ἐκάλεσεν Τωβείαν καὶ εἶπεν αὐτῷ Δέκα τεσσάρων ἡμερῶν οὐ μὴ κινηθῇς
21 ἐντεῦθεν, ἀλλ' αὐτοῦ μενεῖς ἔσθων καὶ πίνων παρ' ἐμοὶ καὶ εὐφρανεῖς τὴν
ψυχὴν τῆς θυγατρός μου τὴν κατωδυνωμένην. [21]καὶ ὅσα μοι ὑπάρχει,
λάμβανε αὐτόθεν τὸ ἥμισυ καὶ ὕπαγε ὑγιαίνων πρὸς τὸν πατέρα σου, καὶ
τὸ ἄλλο ἥμισυ ὅταν ἀποθάνω ἐγώ τε καὶ ἡ γυνή μου ὑμέτερόν ἐστιν. θάρσει,
παιδίον, ἐγώ σου ὁ πατὴρ καὶ Ἔδνα ἡ μήτηρ σου. καὶ παρὰ σοῦ νῦν ἐσμεν
ἡμεῖς καὶ τῆς ἀδελφῆς σου· ἀπὸ τοῦ νῦν ἐσμεν εἰς τὸν αἰῶνα· θάρσει, παιδίον.
IX ½ [1]Τότε ἐκάλεσεν Τωβείας Ῥαφαὴλ καὶ εἶπεν αὐτῷ [2]Ἀζαρία ἀδελφέ,
παράλαβε μετὰ σεαυτοῦ τέσσαρες οἰκέτας καὶ καμήλους δύο, καὶ πορεύθητι

---

15 ηυλογησεν A | ευλογια]+καθαρα και αγια $B^{ab\ mg}A$ | παντες] pr και A | A
τους αιωνας] pr παντας A **16** ηυφρανας $B^{*b}A$] ευφρανας A **17** υγιεια
B^{ab} υγια A | μετα] μετ A **20** αυτω] αυτοις A **21** υγιας $B^{*}A$ (υγειας
B^{ab}) IX **1** Τωβιας $B^{a}A$ (item 6)

B θητι ἐν Ῥάγοις τῆς Μηδείας παρὰ Γαβαήλ, καὶ κόμισαί μοι τὸ ἀργύριον καὶ αὐτὸν ἄγε μοι εἰς τὸν γάμον. 3διότι ὀμώμοχεν 3 (5)
Ῥαγουὴλ μὴ ἐξελθεῖν με· 4καὶ ὁ πατήρ μου ἀριθμεῖ τὰς ἡμέρας, 4 (4)
καὶ ἐὰν χρονίσω μέγα, ὀδυνηθήσεται λίαν. 5καὶ ἐπορεύθη Ῥαφαήλ, 5 (6)
καὶ ηὐλίσθη παρὰ Γαβαήλ, καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον·
ὃς δὲ προήνεγκεν τὰ θυλάκια ἐν ταῖς σφραγῖσιν καὶ ἔδωκεν
αὐτῷ. 6καὶ ὤρθρευσαν κοινῶς καὶ ἦλθοσαν εἰς τὸν γάμον, 6 (7b)
καὶ εὐλόγησεν Τωβείας τὴν γυναῖκα αὐτοῦ. –

1Καὶ Τωβεὶτ ὁ πατὴρ αὐτοῦ ἐλογίσατο ἑκάστης ἡμέρας· καὶ ὡς 1 X
ἐπληρώθησαν αἱ ἡμέραι τῆς πορείας καὶ οὐκ ἤρχετο, 2εἶπεν Μή 2
ποτε κατῃσχυνται; (2)ἢ μή ποτε ἀπέθανεν Γαβαήλ, καὶ οὐδεὶς
δίδωσιν αὐτῷ τὸ ἀργύριον; 3καὶ ἐλυπεῖτο λίαν. 4εἶπεν δὲ αὐτῷ 3
ἡ γυνή Ἀπώλετο τὸ παιδίον, διότι κεχρόνικεν· καὶ ἤρξατο θρηνεῖν 4 (4)
αὐτὸν καὶ εἶπεν 5Οὐ μέλει μοι, τέκνον, ὅτι ἀφῆκά σε τὸ φῶς τῶν 5

ℵ εἰς Ῥάγας καὶ ἦκε παρὰ Γαβαήλῳ, καὶ δὸς αὐτῷ τὸ χειρόγραφον· κόμισαι
τὸ ἀργύριον, καὶ παράλαβε αὐτὸν μετὰ σοῦ εἰς τοὺς γάμους. 4σὺ γὰρ 4
γινώσκεις ὅτι ἔσται ἀριθμῶν ὁ πατὴρ τὰς ἡμέρας, καὶ ἐὰν χρονίσω ἡμέραν
μίαν, λυπήσω αὐτὸν λίαν· 3καὶ θεωρεῖς τί ὤμοσεν Ῥαγουήλ, καὶ οὐ δύναμαι 3
παραβῆναι τὸν ὅρκον αὐτοῦ. 5καὶ ἐπορεύθη Ῥαφαὴλ καὶ οἱ τέσσαρες οἰκέται 5
καὶ αἱ δύο κάμηλοι εἰς Ῥάγας τῆς Μηδίας, καὶ ηὐλίσθησαν παρὰ Γαβαήλῳ,
καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον αὐτοῦ, καὶ ὑπέδειξεν αὐτῷ περὶ Τωβείου
τοῦ υἱοῦ Τωβείθ, ὅτι ἔλαβεν γυναῖκα καὶ ὅτι καλεῖ αὐτὸν εἰς τὸν γάμον.
καὶ ἀναστὰς παρηρίθμησεν αὐτῷ τὰ θυλάκια σὺν ταῖς σφραγῖσιν καὶ συνέ-
θηκαν αὐτά. 6καὶ ὤρθρισαν κοινῶς καὶ εἰσῆλθον εἰς τὸν γάμον, καὶ εἰσῆλθον 6
εἰς τὰ Ῥαγουὴλ καὶ εὗρον Τωβείαν ἀνακείμενον. καὶ ἀνεπήδησεν καὶ ἠσπά-
σατο αὐτόν, καὶ ἔκλαυσεν καὶ εὐλόγησεν αὐτὸν καὶ εἶπεν αὐτῷ Καλὲ
καὶ ἀγαθέ, ἀνδρὸς καλοῦ καὶ ἀγαθοῦ, δικαίου καὶ ἐλεημοποιοῦ· δῴη σοι
Κύριος εὐλογίαν οὐρανοῦ καὶ τῇ γυναικί σου καὶ τῷ πατρί σου καὶ τῇ μητρὶ
τῆς γυναικός σου. εὐλογητὸς ὁ θεὸς ὅτι εἶδον Τωβείαν τὸν ἀνεψιόν μου
ὅμοιον αὐτῷ.

1Ἑκάστην δὲ ἡμέραν ἐξ ἡμέρας ἐλογίζετο Τωβεὶθ τὰς ἡμέρας ἐν πόσαις 1 X
πορεύσεται καὶ ἐν πόσαις ἐπιστρέψει. καὶ ὅτε συνετελέσθησαν αἱ ἡμέραι καὶ
ὁ υἱὸς αὐτοῦ οὐ παρῆν, 2εἶπεν Μή ποτε κατεσχέθη ἐκεῖ; ἢ μή ποτε ἀπέθανεν 2
ὁ Γαβαήλ, καὶ οὐδεὶς αὐτῷ δίδωσιν τὸ ἀργύριον; 3καὶ ἤρξατο λυπεῖσθαι. 3
4καὶ Ἄννα ἡ γυνὴ αὐτοῦ λέγει Ἀπώλετο τὸ παιδίον μου καὶ οὐκέτι ὑπάρχει 4
ἐν τοῖς ζῶσιν· καὶ ἤρξατο κλαίειν καὶ θρηνεῖν περὶ τοῦ υἱοῦ αὐτῆς καὶ εἶπεν
5Οὐαί μοι, τέκνον, ὅτι ἀφῆκά σε πορευθῆναι, τὸ φῶς τῶν ὀφθαλμῶν μου. 5

A 2 Μηδιας A | και κομισαι] om και ℵ* (hab ℵ1(vid)) | om μοι 2° A 3 ομωμοκεν Bab 4 μεγα] γ sup ras Aa 5 Γαβαηλω A 6 ωρθρισαν A ηλθοσαν B*b (ηλθον BaA) X 1 Τωβιτ A | ελογιζετο A | πορειας A | ηρχετο] ηρχοντο A 2 ειπεν]+Τωβιας A 4 γυνη]+αυτου A 5 μοι] μ A sup ras Aa

6 ὀφθαλμῶν μου; [6]καὶ Τωβεὶτ λέγει αὐτῇ Σίγα, μὴ λόγον ἔχε, ὑγιαίνει. B
7 [7]καὶ εἶπεν αὐτῷ Σίγα, μὴ πλάνα με· ἀπώλετο τὸ παιδίον μου. καὶ
ἐπορεύετο καθ' ἡμέραν εἰς τὴν ὁδὸν ἔξω οἵας ἀπῆλθεν, ἡμέρας τε
ἄρτον οὐκ ἤσθιεν, τὰς δὲ νύκτας οὐ διελίμπανεν θρηνοῦσα Τωβείαν
τὸν υἱὸν αὐτῆς, ἕως οὗ συνετελέσθησαν αἱ δέκα τέσσαρες ἡμέραι
τοῦ γάμου ἃς ὤμοσεν Ῥαγουὴλ ποιῆσαι αὐτὸν ἐκεῖ. Εἶπεν δὲ
Τωβείας τῷ Ῥαγουὴλ Ἐξαπόστειλόν με, ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ
8 μου οὐκέτι ἐλπίζουσιν ὄψεσθαί με. [8]εἶπεν δὲ αὐτῷ ὁ πενθερός
Μεῖνον παρ' ἐμοί, κἀγὼ ἐξαποστελῶ πρὸς τὸν πατέρα σου καὶ
9 δηλώσουσιν αὐτῷ τὰ κατὰ σέ. [9]καὶ Τωβείας λέγει Ἐξαπόστειλόν
10 με πρὸς τὸν πατέρα μου. [10]ἀναστὰς δὲ Ῥαγουὴλ ἔδωκεν αὐτῷ
Σάρραν τὴν γυναῖκα αὐτοῦ καὶ τὰ ἥμισυ τῶν ὑπαρχόντων, σώματα
11 καὶ κτήνη, ἀργύριον· [11]καὶ εὐλογήσας αὐτοὺς ἐξαπέστειλεν λέγων
Εὐοδώσει ὑμᾶς, τέκνα, ὁ θεὸς τοῦ οὐρανοῦ πρὸ τοῦ με ἀποθανεῖν.
(12,13) 12 [12]καὶ εἶπεν τῇ θυγατρὶ αὐτοῦ Τίμα τοὺς πενθερούς σου, αὐτοὶ

---

6 [6]καὶ Τωβεὶθ ἔλεγεν αὐτῇ Σίγα, μὴ λόγον ἔχε, ἀδελφή, ὑγιαίνει· καὶ μάλα ℵ
περισπασμὸς αὐτοῖς ἐγένετο ἐκεῖ, καὶ ὁ ἄνθρωπος ὁ πορευθεὶς μετ' αὐτοῦ
πιστός ἐστιν καὶ εἷς τῶν ἀδελφῶν ἡμῶν· μὴ λυποῦ περὶ αὐτοῦ, ἀδελφή,
7 ἤδη παρέσται. [7]καὶ εἶπεν αὐτῷ Σίγα ἀπ' ἐμοῦ καὶ μή με πλάνα· ἀπώλετο
τὸ παιδίον μου. καὶ ἐκπηδήσασα περιεβλέπετο τὴν ὁδὸν ᾗ ᾤχετο ὁ υἱὸς
αὐτῆς καθ' ἡμέραν καὶ οὐκ ἐπείθετο οὐδενί, καὶ ὅτε ἔδυ ὁ ἥλιος εἰσπορευομένη
ἐθρήνει καὶ ἔκλαιεν τὴν νύκτα ὅλην καὶ οὐκ εἶχεν ὕπνον. Καὶ ὅτε
συνετελέσθησαν αἱ δέκα τέσσαρες ἡμέραι τοῦ γάμου ἃς ὤμοσεν Ῥαγουὴλ
ποιῆσαι τῇ θυγατρὶ αὐτοῦ, εἰσῆλθεν πρὸς αὐτὸν Τωβείας καὶ εἶπεν Ἐξ-
απόστειλόν με, γινώσκω γὰρ ἐγὼ ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου οὐ πιστεύ-
ουσιν ὅτι ὄψονταί με ἔτι· καὶ νῦν ἀξιῶ σε, πάτερ, ὅπως ἐξαποστείλῃς με
8 καὶ πορευθῶ πρὸς τὸν πατέρα μου· ἤδη ὑπέδειξά σοι ὡς ἀφῆκα αὐτόν. [8]καὶ
εἶπεν Ῥαγουὴλ τῷ Τωβείᾳ Μεῖνον, παιδίον, μεῖνον μετ' ἐμοῦ καὶ ἐγὼ
ἀποστέλλω ἀγγέλους πρὸς Τώβειν τὸν πατέρα σου καὶ ὑποδείξουσιν αὐτῷ
9 περὶ σοῦ. [9]καὶ εἶπεν αὐτῷ Μηδαμῶς, ἀξιῶ σε ὅπως ἐξαποστείλῃς με
10 ἐντεῦθεν πρὸς τὸν πατέρα μου. [10]καὶ ἀναστὰς Ῥαγουὴλ παρέδωκεν Τωβείᾳ
Σάρραν τὴν γυναῖκα αὐτοῦ καὶ τὸ ἥμισυ πάντων τῶν ὑπαρχόντων αὐτῷ,
παῖδας καὶ παιδίσκας, βόας καὶ πρόβατα, ὄνους καὶ καμήλους, ἱματισμὸν καὶ
11 ἀργύριον καὶ σκεύη· [11]καὶ ἐξαπέστειλεν αὐτοὺς ὑγιαίνοντας καὶ ἠσπάσατο
αὐτὸν καὶ εἶπεν αὐτῷ Ὑγίαινε, παιδίον, ὑγιαίνων ὕπαγε· ὁ κύριος τοῦ
οὐρανοῦ εὐοδώσαι ὑμᾶς καὶ Σάρραν τὴν γυναῖκά σου, καὶ ἴδοιμι ὑμῶν παιδία
12 πρὸ τοῦ ἀποθανεῖν με. [12]καὶ εἶπεν Σάρρᾳ τῇ θυγατρὶ αὐτοῦ Ὕπαγε πρὸς

---

7 απηλθαν A | ησθιε B[b] | νυκτας] + ολας A | διελιπανεν B* (διελιμπ. A B[b](vid)A) | τω Ραγουηλ] om τω B[ab] **8** πενθερος] + αυτου A | εξαποστελω B*[vid]A] εξαποστελλω B[a?] **9** εξαποστειλον] pr ουχι B[ab] pr ουχι αλλα A **10** τα (α sup ras) ημισυ A[?] το ημ. A*[vid] | αργυριον] pr και A **11** ευοδωσει] ευλογησει A | ο θς| του ουρανου τεκνα A **12** σου 1°] ου sup ras (seq ras 1 lit) A[1]

B *νῦν γονεῖς σού εἰσιν· ἀκούσαιμί σου ἀκοὴν καλήν. καὶ ἐφίλησεν αὐτήν. καὶ* Ἔδνα εἶπεν *πρὸς* Τωβειαν Ἀδελφὲ *ἀγαπητέ, ἀποκαταστήσει σε ὁ κύριος τοῦ οὐρανοῦ, καὶ δῴη μοι ἰδεῖν σου παιδία ἐκ Σάρρας τῆς θυγατρός μου, ἵνα εὐφρανθῶ ἐνώπιον τοῦ κυρίου· καὶ ἰδοὺ παρατίθεμαί σοι τὴν θυγατέρα μου ἐν παρακαταθήκῃ, μὴ λυπήσῃς αὐτήν.*

[1]Μετὰ ταῦτα ἐπορεύετο καὶ Τωβείας εὐλογῶν τὸν θεὸν ὅτι 1 XI
εὐόδωσεν τὴν ὁδὸν αὐτοῦ, καὶ κατευλόγει Ῥαγουὴλ *καὶ* Ἔδναν *τὴν γυναῖκα αὐτοῦ·* [(1)]*καὶ ἐπορεύετο μέχρις οὗ ἐγγίσαι αὐτὸν εἰς* Νινευή.

[2]Καὶ εἶπεν Ῥαφαὴλ *πρὸς* Τωβείαν *Οὐ γινώσκεις, ἀδελφέ, πῶς* 2
ἀφῆκες τὸν πατέρα σου; [3]*προδράμωμεν ἔμπροσθεν τῆς γυναικός* 3
σου καὶ ἑτοιμάσωμεν τὴν οἰκίαν, [4]*λάβε δὲ παρὰ χεῖρα τὴν χολὴν* 4
τοῦ ἰχθύος. καὶ ἐπορεύθησαν, καὶ συνῆλθεν ὁ κύων ὄπισθεν αὐτῶν. [5]*καὶ* Ἄννα *ἐκάθητο περιβλεπομένη εἰς τὴν ὁδὸν τὸν* 5
παῖδα αὐτῆς, [6]*καὶ προσενόησεν αὐτὸν ἐρχόμενον· εἶπεν τῷ πατρὶ* 6
αὐτοῦ Ἰδοὺ *ὁ υἱός μου ἔρχεται καὶ ὁ ἄνθρωπος ὁ πορευθεὶς μετ' αὐτοῦ.* [7]*καὶ* Ῥαφαὴλ *εἶπεν* Ἐπίσταμαι *ἐγὼ ὅτι ἀνοίξει τοὺς* 7

א *τὸν πενθερόν σου, ὅτι ἀπὸ τοῦ νῦν αὐτοὶ γονεῖς σου, ὡς οἱ γεννήσαντές σε· βάδιζε εἰς εἰρήνην, θύγατερ, ἀκούσαιμί σου ἀγαθὴν ἀκοὴν ἕως ζῶ. καὶ ἀπασπασάμενος ἀπέλυσεν αὐτούς. καὶ* Ἔδνα *λέγει* Τωβίᾳ *Τέκνον καὶ ἀδελφὲ ἠγαπημένε, ἀποκαταστήσαι σε Κύριος καὶ ἴδοιμί σου τέκνα ἕως ζῶ καὶ Σάρρας τῆς θυγατρός μου πρὸ τοῦ με ἀποθανεῖν. ἐνώπιον τοῦ κυρίου παρατίθεμαί σοι τὴν θυγατέρα μου ἐν παραθήκῃ, μὴ λυπήσῃς αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. παιδίον, εἰς εἰρήνην· ἀπὸ τοῦ νῦν ἐγώ σου μήτηρ καὶ Σάρρα ἀδελφή. εὐοδωθείημεν πάντες ἐν τῷ αὐτῷ πάσας τὰς ἡμέρας ἐν τῇ ζωῇ ἡμῶν. καὶ κατεφίλησεν ἀμφοτέρους καὶ ἀπέστειλεν ὑγιαίνοντας.* [13]*καὶ ἀπῆλθεν* Τωβίας *ἀπὸ* Ῥαγουὴλ *ὑγιαίνων καὶ χαίρων καὶ εὐλογῶν τῷ* 13
κυρίῳ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τῷ βασιλεῖ τῶν πάντων, ὅτι εὐόδωκεν τὴν ὁδὸν αὐτοῦ· καὶ εἶπεν αὐτῷ Εὐοδωθῇ *σοι τιμᾶν αὐτοὺς πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν.*

[1]Καὶ *ὡς ἤγγισαν εἰς* Κασερείν, *ἥ ἐστιν κατέναντι* Νινευή, [2]*εἶπεν* Ῥαφαὴλ 1 2 XI
Σὺ γινώσκεις πῶς ἀφήκαμεν τὸν πατέρα σου· [3]*προδράμωμεν τῆς γυναικός* 3
σου καὶ ἑτοιμάσωμεν τὴν οἰκίαν ἐν ᾧ ἔρχονται. [4]*καὶ ἐπορεύθησαν ἀμφότεροι* 4
κοινῶς καὶ εἶπεν αὐτῷ Λάβε μετὰ χεῖρας τὴν χολήν. καὶ συνῆλθεν αὐτοῖς ὁ κύριος ἐκ τῶν ὀπίσω αὐτοῦ καὶ τοῦ υἱοῦ αὐτῆς. [5]*καὶ* Ἄννα *ἐκάθητο περι-* 5
βλεπομένη τὴν ὁδὸν τοῦ υἱοῦ αὐτῆς. [6]*καὶ προσενόησεν αὐτὸν ἐρχόμενον* 6
καὶ εἶπεν τῷ πατρὶ αὐτοῦ Ἰδοὺ *ὁ υἱός σου ἔρχεται καὶ ὁ ἄνθρωπος ὁ πορευθεὶς μετ' αὐτοῦ.* [7]*καὶ* Ῥαφαὴλ *εἶπεν* Τωβείᾳ *πρὸ τοῦ ἐγγίσαι αὐτὸν πρὸς* 7

A **12** αποκαταστησαι A | παρακαταθηκη] κατα sup ras A^1 XI **1** ευωδωσεν B^{ab} | αυτον] αυτους $B^{b?c?}$ **2** αφηκας (s absciss) A **6** ειπεν] pr και A | μου] σου A **7** εγω]+ Τωβια A | οτι bis scr A | ανοιγει A

(8) 8 ὀφθαλμοὺς ὁ πατήρ σου· 8σὺ ἔνχρισον τὴν χολὴν εἰς τοὺς ὀφθαλ- B
μοὺς αὐτοῦ, καὶ δηχθεὶς διατρίψει καὶ ἀποβαλεῖται τὰ λευκώματα
– 9 καὶ ὄψεταί σε. 9Καὶ προσδραμοῦσα Ἄννα ἐπέπεσεν ἐπὶ
τὸν τράχηλον τοῦ υἱοῦ αὐτῆς, καὶ εἶπεν αὐτῷ Εἶδόν σε, παιδίον,
(11,10) 10 ἀπὸ τοῦ νῦν ἀποθανοῦμαι. (11)καὶ ἔκλαυσαν ἀμφότεροι. 10καὶ
Τωβεὶτ ἐξῆρχετο πρὸς τὴν θύραν καὶ προσέκοπτεν· ὁ δὲ υἱὸς
(13) 11 προσέδραμεν αὐτῷ, 11καὶ ἐπελάβετο τοῦ πατρὸς αὐτοῦ, καὶ προσέ-
πασεν τὴν χολὴν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ πατρὸς αὐτοῦ λέγων
– 12 Θάρσει, πάτερ. 12ὡς δὲ συνεδήχθησαν, διέτριψε τοὺς ὀφθαλ-
(14) 13 μοὺς αὐτοῦ, 13καὶ ἐλεπίσθη ἀπὸ τῶν κανθῶν τῶν ὀφθαλμῶν
αὐτοῦ τὰ λευκώματα. καὶ ἰδὼν τὸν υἱὸν αὐτοῦ ἐπέπεσεν ἐπὶ τὸν
(17) 14 τράχηλον αὐτοῦ, 14καὶ ἔκλαυσεν καὶ εἶπεν Εὐλογητὸς εἶ ὁ θεός,
καὶ εὐλογητὸν τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, καὶ εὐλογημένοι
15 πάντες οἱ ἅγιοι ἄγγελοί σου, 15ὅτι ἐμαστίγωσας καὶ ἠλέησάς με·
(18) ἰδοὺ βλέπω Τωβείαν τὸν υἱόν μου. (18)καὶ εἰσῆλθεν ὁ υἱὸς αὐτοῦ
(19) χαίρων, (19)καὶ ἀπήγγειλεν τῷ πατρὶ αὐτοῦ τὰ μεγαλεῖα τὰ γενό-
16 μενα αὐτῷ ἐν τῇ Μηδείᾳ. 16Καὶ ἐξῆλθεν Τωβείας εἰς συνάν-

---

8 τὸν πατέρα Ἐπίσταμαι ὅτι οἱ ὀφθαλμοὶ αὐτοῦ ἀνεῳχθήσονται· 8ἔνπλασον ℵ
τὴν χολὴν τοῦ ἰχθύος εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἀποστύψει τὸ φάρμακον
καὶ ἀπολεπίσει τὰ λευκώματα ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ, καὶ ἀναβλέψει
9 ὁ πατήρ σου καὶ ὄψεται τὸ φῶς. 9Καὶ ἀνέδραμεν καὶ ἐπέπεσεν ἐπὶ τὸν
τράχηλον τοῦ υἱοῦ αὐτῆς, καὶ εἶπεν αὐτῷ Εἶδόν σε, παιδίον· ἀπὸ τοῦ νῦν
10 ἀποθανοῦμαι. καὶ ἔκλαυσεν. 10καὶ ἀνέστη Τώβεις καὶ προσέκοπτεν τοῖς
ποσὶν καὶ ἐξῆλθεν τὴν θύραν τῆς αὐλῆς. καὶ ἐβάδισεν Τωβείας πρὸς αὐτὸν
11 11καὶ ἡ χολὴ τοῦ ἰχθύος ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐνεφύσησεν εἰς τοὺς ὀφθαλ-
μοὺς αὐτοῦ καὶ ἐλάβετο αὐτοῦ καὶ εἶπεν Θάρσει, πάτερ. καὶ ἐπέβαλεν τὸ
13 φάρμακον ἐπ' αὐτὸν καὶ ἐπέδωκεν· 13καὶ ἀπελέπισεν ἑκατέραις ταῖς χερσὶν
αὐτοῦ ἀπὸ τῶν κανθῶν τῶν ὀφθαλμῶν αὐτοῦ, καὶ ἔπεσεν ἐπὶ τὸν τράχηλον
14 αὐτοῦ, 14καὶ ἔκλαυσεν καὶ εἶπεν αὐτῷ Εἶδόν σε, τέκνον, τὸ φῶς τῶν ὀφθαλ-
μῶν μου. καὶ εἶπεν Εὐλογητὸς ὁ θεός, καὶ εὐλογητὸν τὸ ὄνομα τὸ μέγα
αὐτοῦ, καὶ εὐλογημένοι πάντες οἱ ἄγγελοι οἱ ἅγιοι αὐτοῦ. γένοιτο τὸ ὄνομα
τὸ μέγα αὐτοῦ ἐφ' ἡμᾶς καὶ εὐλογητοὶ πάντες οἱ ἄγγελοι εἰς πάντας τοὺς
15 αἰῶνας· 15ὅτι αὐτὸς ἐμαστίγωσέν με, καὶ ἰδοὺ βλέπω Τωβείαν τὸν υἱόν
μου. καὶ εἰσῆλθεν Τωβείας χαίρων καὶ εὐλογῶν τὸν θεὸν ἐν ὅλῳ τῷ σώματι
αὐτοῦ, καὶ ἐπέδειξεν Τωβείας τῷ πατρὶ αὐτοῦ ὅτι εὐοδώθη ἡ ὁδὸς αὐτοῦ καὶ
ὅτι ἐνήνοχεν ἀργύριον, καὶ ὡς ἔλαβεν Σάρραν τὴν θυγατέρα Ῥαγουὴλ γυναῖκα,
16 καὶ ὅτι ἰδοὺ παραγίνεται καί ἐστιν σύνεγγυς τῆς πύλης Νινευή. 16Καὶ

---

7 οφθαλμους] seq ras 1 lit in A 8 συ]+ουν A | εγχρισον B^{b} | A
αποβαλει A 9 επεπεσεν] επεσεν A | ιδον A 11 προσεπασεν] a sup
ras A^{a} | επι] εις A 12 διετριψεν A 13 επεπεσεν] επεσεν A 14 σου
αγγελοι B^{2}A 15 Μηδεια A 16 Τωβειας] Τωβειτ B^{ab} Τωβιτ A^{vid}

Β τησιν τῇ νύμφῃ αὐτοῦ, χαίρων καὶ εὐλογῶν τὸν θεόν, πρὸς τῇ
πύλῃ Νινευή. καὶ ἐθαύμαζον οἱ θεωροῦντες αὐτὸν πορευόμενον,
ὅτι ἔβλεψεν· 17 καὶ Τωβεὶτ ἐξωμολογεῖτο ἐνώπιον αὐτοῦ ὅτι ἠλέη- 17
σεν αὐτοὺς ὁ θεός. καὶ ὡς ἤγγισεν Τωβεὶτ Σάρρᾳ τῇ νύμφῃ
αὐτοῦ, κατευλόγησεν αὐτὴν λέγων Ἔλθοις ὑγιαίνουσα, θύγατερ·
εὐλογητὸς ὁ θεός, ὃς ἤγαγέν σε πρὸς ἡμᾶς, καὶ ὁ πατήρ σου καὶ
ἡ μήτηρ σου. (20) καὶ ἐγένετο χαρὰ πᾶσι τοῖς ἐν Νινευὴ ἀδελ- (20)
φοῖς αὐτοῦ. 18 καὶ παρεγένετο Ἀχιάχαρος καὶ Νασβᾶς ὁ ἐξά- 18
δελφος αὐτοῦ, 19 καὶ ἦχθη ὁ γάμος Τωβεία μετ' εὐφροσύνης ἑπτὰ 19 (21)
ἡμέρας.

1 Καὶ ἐκάλεσεν Τωβεὶτ Τωβείαν τὸν υἱὸν αὐτοῦ καὶ εἶπεν αὐτῷ 1 XII
Ὅρα, τέκνον, μισθὸν τῷ ἀνθρώπῳ τῷ συνελθόντι σοι, καὶ προσ-
θεῖναι αὐτῷ δεῖ.. 2 καὶ εἶπεν Πάτερ, οὐ βλάπτομαι δοὺς αὐτῷ 2 (2–4)
τὸ ἥμισυ ὧν ἐνήνοχα, 3 ὅτι με ἀγίοχέν σοι ὑγιῆ, καὶ τὴν γυναῖκά 3
μου ἐθεράπευσεν καὶ τὸ ἀργύριόν μου ἤνεγκεν, καὶ σὲ ὁμοίως
ἐθεράπευσεν. 4 καὶ εἶπεν ὁ πρεσβύτης Δικαιοῦται αὐτῷ. 5 καὶ ἐκά- 4
λεσεν τὸν ἄγγελον καὶ εἶπεν αὐτῷ Λάβε τὸ ἥμισυ πάντων ὧν 5

ℵ ἐξῆλθεν εἰς ἀπάντησιν τῆς νύμφης αὐτοῦ χαίρων καὶ εὐλογῶν τὸν θεὸν πρὸς
τὴν πύλην Νινευή. καὶ ἰδόντες αὐτὸν οἱ ἐν Νινευὴ πορευόμενον καὶ δια-
βαίνοντα αὐτὸν πάσῃ τῇ ἰσχύι αὐτοῦ καὶ ὑπὸ μηδενὸς χειραγωγούμενον
ἐθαύμασαν· 17 καὶ Τωβεὶθ ἐξωμολογεῖτο ἐναντίον αὐτῶν, ὅτι ἠλέησεν αὐτὸν 17
ὁ θεὸς καὶ ὅτι ἤνοιξεν τοὺς ὀφθαλμοὺς αὐτοῦ. καὶ ἤγγισεν Τωβεὶθ Σάρρᾳ
τῇ γυναικὶ Τωβία τοῦ υἱοῦ αὐτοῦ καὶ εὐλόγησεν αὐτὴν καὶ εἶπεν αὐτῇ
Εἰσέλθοις ὑγιαίνουσα, θύγατερ, καὶ εὐλογητὸς ὁ θεός σου, ὃς ἤγαγέν σε πρὸς
ἡμᾶς, θύγατερ· καὶ εὐλογημένος ὁ πατήρ σου, καὶ εὐλογημένος Τωβείας ὁ υἱός
μου, καὶ εὐλογημένη σύ, θύγατερ· εἰσελθε εἰς τὴν οἰκίαν σου ὑγιαίνουσα
ἐν εὐλογίᾳ καὶ χαρᾷ, εἴσελθε, θύγατερ. ἐν τῇ ἡμέρᾳ ταύτῃ ἐγένετο χαρὰ
πᾶσιν τοῖς Ἰουδαίοις τοῖς οὖσιν ἐν Νινευή. 18 καὶ παρεγένοντο Ἀχεικὰρ 18
καὶ Ναβὰδ οἱ ἐξάδελφοι αὐτοῦ χαίροντες πρὸς Τώβειν.

1 Καὶ ὅτε ἐπετελέσθη ὁ γάμος ἐκάλεσεν Τωβεὶθ Τωβείαν τὸν υἱὸν αὐτοῦ 1 XII
καὶ εἶπεν αὐτῷ Παιδίον, ὅρα δοῦναι τὸν μισθὸν τῷ ἀνθρώπῳ τῷ πορευθέντι
μετὰ σοῦ, προσθεῖναι αὐτῷ εἰς τὸν μισθόν. 2 καὶ εἶπεν αὐτῷ Πάτερ, πόσον 2
αὐτῷ δώσω τὸν μισθόν; οὐ βλάπτομαι διδοὺς αὐτῷ τὸ ἥμισυ τῶν ὑπαρ-
χόντων ὧν ἐνήνοχεν μετ' ἐμοῦ. 3 ἐμὲ ἀγίοχεν ὑγιαίνοντα, καὶ τὴν γυναῖκά 3
μου ἐθεράπευσεν, καὶ τὸ ἀργύριον ἤνεγκεν μετ' ἐμοῦ, καὶ σὲ ἐθεράπευσεν·
πόσον αὐτῷ ἔτι δῶ μισθόν; 4 καὶ εἶπεν αὐτῷ Τώβεις Δικαιοῦται αὐτῷ, 4
παιδίον, λαβεῖν τὸ ἥμισυ πάντων ὧν ἔχων ἦλθεν. 5 καὶ ἐκάλεσεν αὐτὸν 5
καὶ εἶπεν Λάβε τὸ ἥμισυ πάντων ὧν ἔχων ἦλθες εἰς τὸν μισθόν σου, καὶ

A **16** τη πυλη] την πυλην A **17** εξομολογειτο A | αυτου 1°] αυτων A | αυτους] αυτον A | ο πατηρ σου ℵ*] + κ η μητηρ σου ℵ c.a **18** Αχεικαρ ℵ*] Αχειαχαρος ℵ c.a | οι εξαδελφοι ℵ*] ο εξαδελφος ℵ c.a | om χαιροντες ℵ c.b (postea restituit) XII **1** om οτε ℵ* (hab ℵ 1(vid)) **2** ειπεν] + αυτω A **3** αγηοχεν $B^{a?b}$

6 ἐνηνόχατε. [6]καὶ καλέσας τοὺς δύο κρυπτῶς εἶπεν αὐτοῖς Εὐλογεῖτε B
τὸν θεὸν καὶ αὐτῷ ἐξομολογεῖσθε, μεγαλωσύνην δίδοτε αὐτῷ, καὶ
ἐξομολογεῖσθε αὐτῷ ἐνώπιον πάντων τῶν ζώντων περὶ ὧν ἐποίησεν
μεθ' ὑμῶν. ἀγαθὸν τὸ εὐλογεῖν τὸν θεὸν καὶ ὑψοῖν τὸ ὄνομα αὐτοῦ,
τοὺς λόγους τῶν ἔργων τοῦ θεοῦ ἐντίμως ὑποδεικνύοντες· καὶ μὴ
7 ὀκνεῖτε ἐξομολογεῖσθαι αὐτῷ. [7]μυστήριον βασιλέως καλὸν κρύψαι,
τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν ἐνδόξως. ἀγαθὸν ποιήσατε, καὶ
8 κακὸν οὐχ εὑρήσει ὑμᾶς. [8]ἀγαθὸν προσευχὴ μετὰ νηστείας καὶ
ἐλεημοσύνης καὶ δικαιοσύνης· ἀγαθὸν τὸ ὀλίγον μετὰ δικαιοσύνης ἢ
πολὺ μετὰ ἀδικίας· καλὸν ποιῆσαι ἐλεημοσύνην ἢ θησαυρίσαι χρυσίον.
9 [9]ἐλεημοσύνη ἐκ θανάτου ῥύεται, καὶ αὕτη ἀποκαθαριεῖ πᾶσαν ἁμαρ-
τίαν· οἱ ποιοῦντες ἐλεημοσύνας καὶ δικαιοσύνας πλησθήσονται ζωῆς·
10 [10]οἱ δὲ ἁμαρτάνοντες πολέμιοί εἰσιν τῆς ἑαυτῶν ζωῆς. [11]οὐ μὴ κρύψω
11 ἀφ' ὑμῶν πᾶν ῥῆμα· εἴρηκα δὴ μυστήριον βασιλέως κρύψαι καλόν,
12 τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν ἐνδόξως. [12]καὶ νῦν ὅτε προσ-
ηύξω σὺ καὶ ἡ νύμφη σου Σάρρα, ἐγὼ προσήγαγον τὸ μνημόσυνον
τῆς προσευχῆς ὑμῶν ἐνώπιον τοῦ ἁγίου· καὶ ὅτε ἔθαπτες τοὺς
13 νεκρούς, ὡσαύτως συμπαρήμην σοι· [13]καὶ ὅτε οὐκ ὤκνησας ἀνα-
στῆναι καὶ καταλιπεῖν τὸ ἄριστόν σου ὅπως ἀπελθὼν περιστείλῃς

---

6 ὕπαγε ὑγιαίνων. [6]τότε ἐκάλεσεν τοὺς δύο κρυπτῶς καὶ εἶπεν αὐτοῖς Τὸν ℵ
θεὸν εὐλογεῖτε καὶ αὐτῷ ἐξομολογεῖσθε ἐνώπιον πάντων τῶν ζώντων ἃ
ἐποίησεν μεθ' ὑμῶν ἀγαθά, τοῦ εὐλογεῖν καὶ ὑμνεῖν τὸ ὄνομα αὐτοῦ. τοὺς
λόγους τοῦ θεοῦ ὑποδείκνυτε πᾶσιν ἀνθρώποις ἐντίμως, καὶ μὴ ὀκνεῖτε
7 ἐξομολογεῖσθαι αὐτῷ. [7]μυστήριον βασιλέως κρύπτειν καλόν, τὰ δὲ ἔργα τοῦ
θεοῦ ἐξομολογεῖσθαι καὶ ἀνακαλύπτειν. καὶ ἐξομολογεῖσθε ἐντίμως. τὸ ἀγαθὸν
8 ποιεῖτε, καὶ κακὸν οὐχ εὑρήσει ὑμᾶς. [8]ἀγαθὸν προσευχὴ μετὰ ἀληθείας καὶ
ἐλεημοσύνη μετὰ δικαιοσύνης μᾶλλον ἢ πλοῦτος μετὰ ἀδικίας· καλὸν ποιῆσαι
9 ἐλεημοσύνην μᾶλλον ἢ θησαυρίσαι χρυσίον. [9]ἐλεημοσύνη ἐκ θανάτου ῥύεται,
καὶ αὐτὴ ἀποκαθαίρει πᾶσαν ἁμαρτίαν· οἱ ποιοῦντες ἐλεημοσύνην χορτασ-
10 θήσονται ζωῆς· [10]οἱ ποιοῦντες ἁμαρτίαν καὶ ἀδικίαν πολέμιοί εἰσιν τῆς
11 ἑαυτῶν ψυχῆς. [11]πᾶσαν τὴν ἀλήθειαν ὑμῖν ὑποδείξω καὶ οὐ μὴ κρύψω
ἀφ' ὑμῶν πᾶν ῥῆμα. ἤδη ὑμῖν ὑπέδειξα καὶ εἶπον Μυστήριον βασιλέως
12 καλὸν κρύψαι, καὶ τὰ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν ἐνδόξως. [12]καὶ νῦν ὅτε
προσηύξω καὶ Σάρρα, ἐγὼ προσήγαγον τὸ μνημόσυνον τῆς προσευχῆς ὑμῶν
13 ἐνώπιον τῆς δόξης Κυρίου, καὶ ὅτε ἔθαπτες τοὺς νεκροὺς ὡσαύτως· [13]καὶ
ὅτε οὐκ ὤκνησας ἀναστῆναι καὶ καταλιπεῖν σου τὸ ἄριστον καὶ ᾤχου καὶ

---

5 ενηνοχας A **6** και 1°] τοτε A | om εξομολογεισθε 1°...και 3° A | A
om αυτω 3° A | υψουν A | υποδειγν. A **7** κρυψαι] κρυπτειν A | om
αγαθον...υμας A **8** νηστιας A | ποιησαι] pr το A **9** ελεημοσυνη]+γαρ
A **11** δη] δε A **12** συμπαρημην (συνπ. A)] μην sup ras A[a]?
13 καταλειπιν A

B τὸν νεκρόν, οὐκ ἔλαθές με ἀγαθοποιῶν, ἀλλὰ σὺν σοὶ ἤμην. 14 καὶ 14
νῦν ἀπέστειλέν με ὁ θεὸς ἰάσασθαί σε καὶ τὴν νύμφην σου Σάρραν.
15 ἐγώ εἰμι Ῥαφαήλ, εἷς ἐκ τῶν ἑπτὰ ἁγίων ἀγγέλων οἱ προσανα- 15
φέρουσιν τὰς προσευχὰς τῶν ἁγίων καὶ εἰσπορεύονται ἐνώπιον
τῆς δόξης τοῦ ἁγίου. 16 Καὶ ἐταράχθησαν οἱ δύο καὶ ἔπεσον 16
ἐπὶ πρόσωπον, ὅτι ἐφοβήθησαν. 17 καὶ εἶπεν αὐτοῖς Μὴ φοβεῖσθε, 17
εἰρήνη ὑμῖν ἔσται· τὸν δὲ θεὸν εὐλογεῖτε εἰς τὸν αἰῶνα, 18 ὅτι οὐ 18
τῇ ἐμαυτοῦ χάριτι ἀλλὰ τῇ θελήσει τοῦ θεοῦ ὑμῶν· ὅθεν εὐλογεῖτε
αὐτὸν εἰς τὸν αἰῶνα. 19 πάσας τὰς ἡμέρας ὠπτανόμην ὑμῖν, καὶ 19
οὐκ ἔφαγον οὐδὲ ἔπιον, ἀλλὰ ὅρασιν ὑμεῖς ἐθεωρεῖτε. 20 καὶ νῦν ἐξ- 20
ομολογεῖσθε τῷ θεῷ, διότι ἀναβαίνω πρὸς τὸν ἀποστείλαντά με, καὶ
γράψατε πάντα τὰ συντελεσθέντα εἰς βιβλίον. 21 καὶ ἀνέστησαν, καὶ 21
οὐκ εἶδον αὐτόν. 22 καὶ ἐξομολογοῦντο τὰ ἔργα τὰ μεγάλα καὶ θαυ- 22
μαστὰ αὐτοῦ, ὡς ὤφθη αὐτοῖς ἄγγελος Κυρίου.

1 Καὶ Τωβεὶτ ἔγραψεν προσευχὴν εἰς ἀγαλλίασιν καὶ εἶπεν 1 XIII
Εὐλογητὸς ὁ θεὸς ὁ ζῶν εἰς τοὺς αἰῶνας καὶ ἡ βασιλεία αὐτοῦ,
2 ὅτι αὐτὸς μαστιγοῖ καὶ ἐλεᾷ, κατάγει εἰς ᾅδην καὶ ἀνάγει, 2
καὶ οὐκ ἔστιν ὃς ἐκφεύξεται τὴν χεῖρα αὐτοῦ.
3 ἐξομολογεῖσθε αὐτῷ, οἱ υἱοὶ Ἰσραήλ, ἐνώπιον τῶν ἐθνῶν, 3

ℵ περιέστειλες τὸν νεκρόν, 14 τότε ἀπέσταλμαι ἐπὶ σὲ πειράσαι σε, καὶ ἅμα 14
ἀπέσταλκέν με ὁ θεὸς ἰάσασθαι καὶ Σάρραν τὴν νύμφην σου. 15 ἐγώ εἰμι 15
Ῥαφαήλ, εἷς τῶν ἑπτὰ ἀγγέλων οἱ παρεστήκασιν καὶ εἰσπορεύονται ἐνώπιον
τῆς δόξης Κυρίου. 16 Καὶ ἐταράχθησαν οἱ δύο καὶ ἔπεσαν ἐπὶ πρόσωπον 16
αὐτῶν καὶ ἐφοβήθησαν. 17 καὶ εἶπεν αὐτοῖς Μὴ φοβεῖσθε, εἰρήνη ὑμῖν· 17
τὸν θεὸν εὐλογεῖτε εἰς πάντα τὸν αἰῶνα. 18 ἐγὼ ὅτε ἤμην μεθ' ὑμῶν οὐχὶ τῇ 18
ἐμῇ χάριτι ἤμην μεθ' ὑμῶν, ἀλλὰ τῇ θελήσει τοῦ θεοῦ· αὐτὸν εὐλογεῖτε
κατὰ πάσας τὰς ἡμέρας, αὐτῷ ὑμνεῖτε. 19 καὶ θεωρεῖτέ με ὅτι οὐκ ἔφαγον 19
οὐθέν, ἀλλὰ ὅρασις ὑμῖν ἐθεωρεῖτο. 20 καὶ νῦν εὐλογεῖτε ἐπὶ τῆς γῆς Κύριον 20
καὶ ἐξομολογεῖσθε τῷ θεῷ. ἰδοὺ ἐγὼ ἀναβαίνω πρὸς τὸν ἀποστείλαντά
με· γράψατε πάντα ταῦτα τὰ συμβάντα ὑμῖν. καὶ ἀνέβη. 21 καὶ ἀνέστησαν 21
καὶ οὐκέτι ἠδύναντο ἰδεῖν αὐτόν. 22 καὶ ηὐλόγουν καὶ ὕμνουν τὸν θεὸν καὶ 22
ἐξωμολογοῦντο αὐτῷ ἐπὶ τὰ ἔργα αὐτοῦ τὰ μεγάλα ταῦτα, ὡς ὤφθη αὐτοῖς
ἄγγελος θεοῦ.

1 Καὶ εἶπεν Εὐλογητὸς ὁ θεὸς ὁ ζῶν εἰς τὸν αἰῶνα καὶ ἡ βασιλεία αὐτοῦ, 1 XIII
2 ὅτι αὐτὸς μαστιγοῖ καὶ ἐλεᾷ, κατάγει ἕως ᾅδου κατωτάτω τῆς γῆς καὶ αὐτὸς 2
ἀνάγει ἐκ τῆς ἀπωλείας τῆς μεγάλης, καὶ οὐκ ἔστιν οὐδὲν ὃ ἐκφεύξεται
τὴν χεῖρα αὐτοῦ. 3 ἐξομολογεῖσθε αὐτῷ, οἱ υἱοὶ Ἰσραήλ, ἐνώπιον τῶν ἐθνῶν, 3

A **13** ελαθες με] s με sup ras A^a | αγαθοποιων] αγαθον ποιων A **16** επεσαν A **17** ειρηνη] pr οτι A **18** υμων] + ηλθον A **21** ανεστησαν] ανε sup ras B^{ab} | φυκ] + ετι A **22** εξωμολογουντο A | αυτου] του θεου και A | αγγελος] pr ο A XIII **2** ελεα] ελεει B^{ab} **3** εξωμολογεισθαι A

(4) [4]ὅτι αὐτὸς διέσπειρεν ἡμᾶς ἐν αὐτοῖς. B

4 [4]ἐκεῖ ὑποδείξατε τὴν μεγαλωσύνην αὐτοῦ,
ὑψοῦτε αὐτὸν ἐνώπιον παντὸς ζῶντος·
καθότι αὐτὸς κύριος ἡμῶν,
καὶ θεὸς αὐτὸς πατὴρ ἡμῶν εἰς πάντας τοὺς αἰῶνας.

5 [5]καὶ μαστιγώσει ἡμᾶς ἐν ταῖς ἀδικίαις ἡμῶν,
– καὶ πάλιν ἐλεήσει καὶ συνάξει ἡμᾶς ἐκ πάντων τῶν ἐθνῶν,
οὗ ἐὰν σκορπισθῆτε ἐν αὐτοῖς.

6 [6]ἐὰν ἐπιστρέψητε πρὸς αὐτὸν ἐν ὅλῃ καρδίᾳ ὑμῶν καὶ ἐν ὅλῃ τῇ ψυχῇ
ποιῆσαι ἐνώπιον αὐτοῦ ἀλήθειαν,
τότε ἐπιστρέψει πρὸς ὑμᾶς
καὶ οὐ μὴ κρύψῃ τὸ πρόσωπον αὐτοῦ ἀφ' ὑμῶν.

(6) [6]καὶ θεάσασθε ἃ ποιήσει μεθ' ὑμῶν,
καὶ ἐξομολογήσασθε αὐτῷ ἐν ὅλῳ τῷ σώματι ὑμῶν·
καὶ εὐλογήσατε τὸν κύριον τῆς δικαιοσύνης,
καὶ ὑψώσατε τὸν βασιλέα τῶν αἰώνων.

(7) [7]ἐγὼ ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου ἐξομολογοῦμαι αὐτῷ,
καὶ δεικνύω τὴν ἰσχὺν καὶ τὴν μεγαλωσύνην αὐτοῦ ἔθνη ἁμαρτωλῶν.

(8) [8]ἐπιστρέψατε, ἁμαρτωλοί, καὶ ποιήσατε δικαιοσύνην ἐνώπιον αὐτοῦ·
τίς γινώσκει εἰ θελήσει ὑμᾶς καὶ ποιήσει ἐλεημοσύνην ὑμῖν;

---

4 ὅτι αὐτὸς διέσπειρεν ὑμᾶς ἐν αὐτοῖς, 4καὶ ἐκεῖ ὑπέδειξεν ὑμῖν τὴν μεγαλω- ℵ
σύνην αὐτοῦ· καὶ ὑψοῦτε αὐτὸν ἐνώπιον παντὸς ζῶντος, καθότι αὐτὸς ἡμῶν
κύριός ἐστιν, καὶ αὐτὸς θεὸς ἡμῶν καὶ αὐτὸς πατὴρ ἡμῶν καὶ αὐτὸς θεὸς
5 εἰς πάντας τοὺς αἰῶνας. 5μαστιγώσει ὑμᾶς ἐπὶ ταῖς ἀδικίαις ὑμῶν, καὶ
πάντας ὑμᾶς ἐλεήσει ἐκ πάντων τῶν ἐθνῶν, ὅπου ἂν διασκορπισθῆτε ἐν
6 αὐτοῖς. 6ὅταν ἐπιστρέψητε πρὸς αὐτὸν ἐν ὅλῃ τῇ καρδίᾳ ὑμῶν καὶ ἐν
ὅλῃ τῇ ψυχῇ ὑμῶν ποιῆσαι ἐνώπιον αὐτοῦ ἀλήθειαν, τότε ἐπιστρέψει πρὸς
ὑμᾶς καὶ οὐ μὴ κρύψῃ τὸ πρόσωπον αὐτοῦ ἀφ' ὑμῶν οὐκέτι. καὶ νῦν
θεάσασθε ἃ ἐποίησεν μεθ' ὑμῶν, καὶ ἐξομολογήσασθε αὐτῷ ἐν ὅλῳ τῷ
στόματι ὑμῶν, καὶ εὐλογήσατε τὸν κύριον τῆς δικαιοσύνης καὶ ὑψώσατε
τὸν βασιλέα τῶν αἰώνων.

---

4 θεος αυτος] ο θς ο A **5** εσκορπισθητε A **6** καρδια] pr τη A | ψυχη] A
+υμων A | επιστρεψει] ε sup ras A² | μεθ] με sup ras B^{ab} | σωματι] στο-
ματι A | ευλογησατε] ευλογειτε A | γιγνωσκει A | η B*] non inst B^{b} ει A |
υμιν] εις υμας A

B [7]τὸν θεόν μου ὑψῶ, 7 (9)
καὶ ἡ ψυχή μου τῷ βασιλεῖ τοῦ οὐρανοῦ,
καὶ ἀγαλλιάσεται τὴν μεγαλωσύνην αὐτοῦ.
[8]λεγέτωσαν πάντες καὶ ἐξομολογείσθωσαν αὐτῷ ἐν Ἰεροσο- 8 (10)
λύμοις.
[9]Ἰερουσόλυμα πόλις ἁγίου· 9 (11)
μαστιγώσει ἐπὶ τὰ ἔργα τῶν υἱῶν σου,
καὶ πάλιν ἐλεήσει τοὺς υἱοὺς τῶν δικαίων.
[10]ἐξομολογοῦ τῷ κυρίῳ ἀγαθῶς, 10 (12)
καὶ εὐλόγει τὸν βασιλέα τῶν αἰώνων,
ἵνα πάλιν ἡ σκηνὴ αὐτοῦ οἰκοδομηθῇ σοι μετὰ χαρᾶς·
καὶ εὐφράναι ἐν σοὶ τοὺς αἰχμαλώτους
καὶ ἀγαπήσαι ἐν σοὶ τοὺς ταλαιπώρους
εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος.
[11]ἔθνη πολλὰ μακρόθεν ἥξει πρὸς τὸ ὄνομα Κυρίου τοῦ θεοῦ, 11 (14)
δῶρα ἐν χερσὶν ἔχοντες καὶ δῶρα τῷ βασιλεῖ τοῦ οὐρανοῦ·
γενεαὶ γενεῶν δώσουσίν σοι ἀγαλλίαμα.
[12]ἐπικατάρατοι πάντες οἱ μισοῦντές σε, 12 (16)
εὐλογημένοι ἔσονται πάντες οἱ ἀγαπῶντές σε εἰς τὸν
αἰῶνα.
[13]χάρηθι καὶ ἀγαλλίασαι ἐπὶ τοῖς υἱοῖς τῶν δικαίων, 13 (17)
ὅτι συναχθήσονται καὶ εὐλογήσουσιν τὸν κύριον τῶν
δικαίων.

א [10]καὶ πάλιν ἡ σκηνή σου οἰκοδομηθήσεταί σοι μετὰ χαρᾶς· καὶ εὐ- 10
φράναι ἐν σοὶ πάντας τοὺς αἰχμαλώτους καὶ ἀγαπήσαι ἐν σοὶ πάντας
τοὺς ταλαιπώρους καὶ πάσας τὰς γενεὰς τοῦ αἰῶνος. [11]φῶς λαμπρὸν 11
λάμψει εἰς πάντα τὰ πέρατα τῆς γῆς· ἔθνη πολλὰ μακρόθεν καὶ κατοι-
κιεῖ πάντων τῶν ἐσχάτων τῆς γῆς πρὸς τὸ ὄνομα τὸ ἅγιόν σου, καὶ
τὰ δῶρα αὐτῶν ἐν ταῖς χερσὶν αὐτῶν ἔχοντες τῷ βασιλεῖ τοῦ οὐρανοῦ.
γενεαὶ γενεῶν δώσουσιν ἐν σοὶ ἀγαλλίαμα, καὶ ὄνομα τῆς ἐκλεκτῆς εἰς τὰς
γενεὰς τοῦ αἰῶνος. [12]ἐπικατάρατοι πάντες οἱ ἐροῦσιν λόγον σκληρόν, ἐπι- 12
κατάρατοι ἔσονται πάντες οἱ καθαιροῦντές σε καὶ κατασπῶντες τὰ τείχη σου,
καὶ πάντες οἱ ἀνατρέποντες τοὺς πύργους σου καὶ ἐμπυρίζοντες τὰς οἰκήσεις
σου· καὶ εὐλογητοὶ ἔσονται πάντες εἰς τὸν αἰῶνα οἱ φοβούμενοί σε. [13]τότε 13
πορεύθητι καὶ ἀγαλλίασαι πρὸς τοὺς υἱοὺς τῶν δικαίων, ὅτι πάντες ἐπι-
συναχθήσονται καὶ εὐλογήσουσιν τὸν κύριον τοῦ αἰῶνος. [14]μακάριοι οἱ ἀγα- 14

A **7** τω βασιλει] τον βασιλεα A **8** Ιεροσολυμοις] seq ras 2 vel 3 litt in A
9 αγιου] αγια A **10** κυριω αγαθως] αγαθω A | η σκηνη] om η A | σοι 1°] pr εν A | ευφρανη A | αιχμαλωτους] pr εκει A **11** om και A | γενεα A | δωσουσιν] pr αινε|σουσιν σοι και A | om σοι A | αγαλλιαμα] αγαλλιασιν A
13 χαρητι B*A (χαρηθι B^{ab})

(18) 14 [14]ὦ μακάριοι οἱ ἀγαπῶντές σε· B
χαρήσονται ἐπὶ τῇ εἰρήνῃ σου.
– μακάριοι ὅσοι ἐλυπήθησαν ἐπὶ ταῖς μάστιξίν σου,
ὅτι ἐπὶ σοὶ χαρήσονται θεασάμενοι πᾶσαν τὴν δόξαν σου·
καὶ εὐφρανθήσεται εἰς τὸν αἰῶνα ἡ ψυχή μου.
(19) 15 [15]εὐλόγει τὸν θεὸν τὸν βασιλέα τὸν μέγαν,
(21) 16 [16]ὅτι οἰκοδομηθήσεται Ἰερουσαλὴμ σαπφείρῳ καὶ σμαράγδῳ,
καὶ λίθῳ ἐντίμῳ τὰ τείχη σου,
καὶ οἱ πύργοι καὶ οἱ προμαχῶνες χρυσίῳ καθαρῷ,
(22) 17 [17]καὶ αἱ πλατεῖαι Ἰερουσαλὴμ βηρύλλῳ καὶ ἄνθρακι καὶ λίθῳ
ἐκ Σουφεὶρ ψηφολογηθήσονται.
18 [18]καὶ ἐροῦσιν πᾶσαι αἱ ῥῦμαι αὐτῆς ἀλληλουιὰ καὶ αἴνεσιν,
(23) λέγοντες [(23)]Εὐλογητὸς ὁ θεὸς ὃς ὕψωσεν πάντας τοὺς
αἰῶνας.

XIV (1) 1 [1]Καὶ ἐπαύσατο ἐξομολογούμενος Τωβείτ. [2]καὶ ἦν ἐτῶν πεντή-
(3) 2 κοντα ὀκτὼ ὅτε ἀπώλεσεν τὰς ὄψεις, καὶ μετὰ ἔτη ὀκτὼ ἀνέ-
(4) βλεψεν· καὶ ἐποίει ἐλεημοσύνας, [(4)]καὶ προσέθετο φοβεῖσθαι

πῶντές σε, καὶ μακαριοι οἱ χαρήσονται ἐπὶ τῇ εἰρήνῃ σου· καὶ μακάριοι S
πάντες οἱ ἄνθρωποι οἳ ἐπὶ σοὶ λυπηθήσονται, ἐπὶ πάσαις ταῖς μάστιξίν
σου, ὅτι ἐν σοὶ χαρήσονται καὶ ὄψονται πᾶσαν τὴν χαρά̀ν σου εἰς τὸν αἰῶνα.
15 15ἡ ψυχή μου εὐλογεῖ τὸν κύριον τὸν βασιλέα τὸν μέγαν, 16ὅτι Ἰερουσαλὴμ
16 οἰκοδομηθήσεται τῇ πόλει οἶκος αὐτοῦ εἰς πάντας τοὺς αἰῶνας. μακάριος
ἔσομαι ἂν γένηται τὸ κατάλιμμα τοῦ σπέρματός μου ἰδεῖν τὴν δόξαν σου καὶ
ἐξομολογήσασθαι τῷ βασιλεῖ τοῦ οὐρανοῦ. καὶ αἱ θύραι Ἰερουσαλὴμ σαπ-
φείρῳ καὶ σμαράγδῳ οἰκοδομηθήσονται, καὶ λίθῳ τιμίῳ πάντα τὰ τείχη σου·
οἱ πύργοι Ἰερουσαλὴμ χρυσίῳ οἰκοδομηθήσονται καὶ οἱ προμαχῶνες αὐτῶν
17 χρυσίῳ καθαρῷ, 17αἱ πλατεῖαι Ἰερουσαλὴμ ἄνθρακι ψηφολογηθήσονται
18 καὶ λίθῳ Σουφείρ. 18καὶ αἱ θύραι Ἰερουσαλὴμ ᾠδὰς ἀγαλλιάματος ἐροῦσιν,
καὶ πᾶσαι αἱ οἰκίαι αὐτῆς ἐροῦσιν Ἀλληλουιά, εὐλογητὸς ὁ θεὸς τοῦ Ἰσραήλ·
καὶ εὐλογητοὶ εὐλογήσουσιν τὸ ὄνομα τὸ ἅγιον εἰς τὸν αἰῶνα καὶ ἔτι.

XIV 1 [1]Καὶ συνετελέσθησαν οἱ λόγοι τῆς ἐξομολογήσεως Τωβείθ· καὶ ἀπέθανεν
2 ἐν εἰρήνῃ ἐτῶν ἑκατὸν δώδεκα καὶ ἐτάφη ἐνδόξως ἐν Νινευή. [2]καὶ ξβ′ ἐτῶν
ἦν ὅτε ἐγένετο ἀνάπειρος τοῖς ὀφθαλμοῖς, καὶ μετὰ τὸ ἀναβλέψαι αὐτὸν
ἔζησεν ἐν ἀγαθοῖς καὶ ἐλεημοσύνας ἐποίησεν, καὶ ἔτι προσέθετο εὐλογεῖν

---

14 οσοι] οι A | ταις μαστιξιν] pr πασαις $B^{a\,?\,b}A$ | ευφρανθησονται A | A
αιωνα· A **15** ευλογειτω A **16** οικοδομηθησεται] ι sup ras (seq ras 1
lit) A^a | σαπφειρω B σαπφιρω A | εντιμω] επιτιμω· A | χρυσιω] pr εν A
17 πλατιαι A **18** αινεσιν] αινεσουσιν (σουσιν sup ras) A^a | λεγοντες]
λεγον sup ras A^a | παντας] pr εις A XIV **2** πεντηκοντα] ογδοηκοντα A |
και προσεθετο] bis scr και προσ A^* (ras 1° A^1)

B Κύριον τὸν θεὸν καὶ ἐξωμολογεῖτο αὐτῷ. [3]μεγάλως δὲ ἐγήρασεν· 3 (5)
καὶ ἐκάλεσεν τὸν υἱὸν αὐτοῦ καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ εἶπεν
αὐτῷ Τέκνον, λάβε τοὺς υἱούς σου· ἰδοὺ γεγήρακα, καὶ πρὸς τὸ
ἀποτρέχειν ἐκ τοῦ ζῆν εἰμί. [4]ἄπελθε εἰς τὴν Μηδείαν, τέκνον, 4 (6,7)
ὅτι πέπεισμαι ὅσα ἐλάλησεν Ἰωνᾶς ὁ προφήτης περὶ Νινευὴ ὅτι
καταστραφήσεται, ἐν δὲ τῇ Μηδείᾳ ἔσται εἰρήνη μᾶλλον ἕως
καιροῦ· καὶ ὅτι οἱ ἀδελφοὶ ἡμῶν ἐν τῇ γῇ σκορπισθήσονται ἀπὸ
τῆς ἀγαθῆς γῆς, καὶ Ἰερουσόλυμα ἔσται ἔρημος καὶ ὁ οἶκος τοῦ
θεοῦ ἐν αὐτῇ κατακαήσεται, καὶ ἔρημος ἔσται μέχρι χρόνου. [5]καὶ 5
πάλιν ἐλεήσει αὐτοὺς ὁ θεὸς καὶ ἐπιστρέψει αὐτοὺς εἰς τὴν γῆν,
καὶ οἰκοδομήσουσιν τὸν οἶκον, οὐχ οἷος ὁ πρότερος, ἕως πληρω-
θῶσιν καιροὶ τοῦ αἰῶνος. καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν ἐκ
τῶν αἰχμαλωσιῶν καὶ οἰκοδομήσουσιν Ἰερουσαλὴμ ἐντίμως, καὶ
ὁ οἶκος τοῦ θεοῦ ἐν αὐτῇ οἰκοδομηθήσεται ἐνδόξως, καθὼς
ἐλάλησαν περὶ αὐτῆς οἱ προφῆται. [6]καὶ πάντα τὰ ἔθνη ἐπι- 6 (8,9)
στρέψουσιν ἀληθινῶς φοβεῖσθαι Κύριον τὸν θεόν· κατορύξουσιν

ℵ τὸν θεὸν καὶ ἐξομολογεῖσθαι τὴν μεγαλωσύνην τοῦ θεοῦ. [3]καὶ ὅτε ἀπέθνησκεν, 3
ἐκάλεσεν Τωβείαν τὸν υἱὸν αὐτοῦ καὶ ἐνετείλατο αὐτῷ λέγων Παιδίον,
ἀπάγαγε τὰ παιδία σου [4]καὶ ἀπότρεχε εἰς Μηδείαν, ὅτι πιστεύω ἐγὼ τῷ 4
ῥήματι τοῦ θεοῦ ἐπὶ Νινευή, ἃ ἐλάλησεν Ναούμ, ὅτι πάντα ἔσται καὶ ἀπαντήσει
ἐπὶ Ἀθὴρ καὶ Νινευή, καὶ ὅσα ἐλάλησαν οἱ προφῆται τοῦ Ἰσραήλ, οὓς ἀπέστειλεν
ὁ θεός, πάντα ἀπαντήσει· καὶ οὐ μηθὲν ἐλαττονωθῇ ἐκ πάντων τῶν ῥημάτων,
καὶ πάντα συμβήσεται τοῖς καιροῖς αὐτῶν. καὶ ἐν τῇ Μηδείᾳ ἔσται σωτηρία
μᾶλλον ἤπερ ἐν Ἀσσυρίοις καὶ ἐν Βαβυλῶνι· διὸ γινώσκω ἐγὼ καὶ πιστεύω
ὅτι πάντα ἃ εἶπεν ὁ θεὸς συντελεσθήσεται καὶ ἔσται καὶ οὐ μὴ διαπέσῃ ῥῆμα
ἐκ τῶν λόγων. καὶ οἱ ἀδελφοὶ ἡμῶν οἱ κατοικοῦντες ἐν τῇ γῇ Ἰσραὴλ
πάντων λογισθήσονται καὶ αἰχμαλωτισθήσονται ἐκ τῆς γῆς τῆς ἀγαθῆς,
καὶ ἔσται πᾶσα ἡ γῆ τοῦ Ἰσραὴλ ἔρημος, καὶ Σαμαρία καὶ Ἰερουσαλὴμ
ἔσται ἔρημος καὶ ὁ οἶκος τοῦ θεοῦ ἐν λύπῃ καὶ καυθήσεται μέχρι χρόνου.
[5]καὶ πάλιν ἐλεήσει αὐτοὺς ὁ θεὸς καὶ ἐπιστρέψει αὐτοὺς ὁ θεὸς εἰς τὴν 5
γῆν τοῦ Ἰσραήλ, καὶ πάλιν οἰκοδομήσουσιν τὸν οἶκον, καὶ οὐχ ὡς τὸν πρῶτον,
ἕως τοῦ χρόνου οὗ ἂν πληρωθῇ ὁ χρόνος τῶν καιρῶν. καὶ μετὰ ταῦτα
ἐπιστρέψουσιν ἐκ τῆς αἰχμαλωσίας αὐτῶν πάντες καὶ οἰκοδομήσουσιν Ἰερου-
σαλὴμ ἐντίμως, καὶ ὁ οἶκος τοῦ θεοῦ ἐν αὐτῇ οἰκοδομηθήσεται, καθὼς ἐλάλη-
σαν περὶ αὐτῆς οἱ προφῆται τοῦ Ἰσραήλ. [6]καὶ πάντα τὰ ἔθνη τὰ ἐν ὅλῃ τῇ 6
γῇ, πάντες ἐπιστρέψουσιν καὶ φοβηθήσονται τὸν θεὸν ἀληθινῶς, καὶ ἀφή-
σουσιν πάντες τὰ εἴδωλα αὐτῶν, τοὺς πλανῶντας ψευδῆ τὴν πλάνησιν αὐτῶν,

---

A **2** εξωμολογειτο] εξομολογεισθαι A **3** υιους 1°] εξ υιους (nisi potius εξυιους) A | εκ] απο A **4** Μηδιαν B*A (Μηδειαν B^{ab}) | καταστραφησεται] κατασκαφησεται A | Μηδια A | μηθεν ℵ* μη ουθεν $ℵ^{c.a}$ **5** εως] ως A | οικοδομηθησεται] + εις πασας τας γε|νεας του αιωνος οικοδομη (seq ras) $B^{ab\,mg}$ + εις| πασας τας γενεας του αιωνος·| οικοδομη A | ενδοξω B^{b}A **7** κατο-
ρυξουσιν] και κατορυξωσιν A

7 τὰ εἴδωλα αὐτῶν· 7καὶ εὐλογήσουσιν πάντα τὰ ἔθνη Κύριον. Β
καὶ ὁ λαὸς αὐτοῦ ἐξομολογήσεται τῷ θεῷ, καὶ ὑψώσει Κύριος
τὸν λαὸν αὐτοῦ· καὶ χαρήσονται πάντες οἱ ἀγαπῶντες Κύριον
τὸν θεὸν ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ, ποιοῦντες ἔλεος τοῖς ἀδελφοῖς
(10–13) 8 ἡμῶν. 8καὶ νῦν, τέκνον, ἄπελθε ἀπὸ Νινευή, ὅτι πάντως ἔσται ἃ
9 ἐλάλησεν ὁ προφήτης Ἰωνᾶς. 9σὺ δὲ τήρησον τὸν νόμον καὶ τὰ
προστάγματα, καὶ γενοῦ φιλελεήμων καὶ δίκαιος, ἵνα σοι καλῶς
10 ᾖ. 10καὶ θάψον με καλῶς, καὶ τὴν μητέρα σου μετ' ἐμοῦ, καὶ
– μηκέτι αὐλισθῆτε εἰς Νινευή. τέκνον, ἴδε τί ἐποίησεν Ἀδὰμ
Ἀχιαχάρῳ τῷ θρέψαντι αὐτόν, ὡς ἐκ τοῦ φωτὸς ἤγαγεν αὐτὸν
εἰς τὸ σκότος καὶ ὅσα ἀνταπέδωκεν αὐτῷ· καὶ Ἀχιάχαρον μὲν
ἔσωσεν, ἐκείνῳ δὲ τὸ ἀνταπόδομα ἀπεδόθη, καὶ αὐτὸς κατέβη
εἰς τὸ σκότος. Μανασσῆς ἐποίησεν ἐλεημοσύνην, καὶ ἐσώθη ἐκ
παγίδος θανάτου ἧς ἔπηξεν αὐτῷ, Ἀδὰμ δὲ ἐνέπεσεν εἰς τὴν
11 παγίδα καὶ ἀπώλετο. 11καὶ νῦν, παιδία, ἴδετε τί ἐλεημοσύνη
ποιεῖ καὶ δικαιοσύνη ῥύεται. καὶ ταῦτα αὐτοῦ λέγοντος ἐξέ-
λιπεν αὐτοῦ ἡ ψυχὴ ἐπὶ τῆς κλίνης· ἦν δὲ ἐτῶν ἑκατὸν πεντή-

---

7 7καὶ εὐλογήσουσιν τὸν θεὸν τοῦ αἰῶνος ἐν δικαιοσύνῃ. πάντες οἱ υἱοὶ τοῦ ℵ
Ἰσραὴλ οἱ σωζόμενοι ἐν ταῖς ἡμέραις ἐκείναις, μνημονεύοντες τοῦ θεοῦ ἐν
ἀληθείᾳ, ἐπισυναχθήσονται καὶ ἥξουσιν εἰς Ἰερουσαλήμ, καὶ οἰκήσουσιν τὸν
αἰῶνα ἐν τῇ γῇ Ἀβραὰμ μετὰ ἀσφαλείας, καὶ παραδοθήσεται αὐτοῖς· καὶ
9 χαρήσονται οἱ ἀγαπῶντες τὸν θεὸν ἐπ' ἀληθείας, καὶ οἱ ποιοῦντες τὴν ἁμαρ-
τίαν καὶ τὴν ἀδικίαν ἐκλείψουσιν ἀπὸ πάσης τῆς γῆς. 9καὶ νῦν, παιδία,
ἐγὼ ὑμῖν ἐντέλλομαι, δουλεύσατε τῷ θεῷ ἐν ἀληθείᾳ καὶ ποιήσατε τὸ
ἀρεστὸν ἐνώπιον αὐτοῦ· καὶ τοῖς παιδίοις ὑμῶν ἐνυποταγήσεται ποιεῖν
δικαιοσύνην καὶ ἐλεημοσύνην, καὶ ἵνα ὦσιν μεμνημένοι τοῦ θεοῦ καὶ εὐλογῶσιν
8 τὸ ὄνομα αὐτοῦ ἐν παντὶ καιρῷ ἐν ἀληθείᾳ καὶ ὅλῃ τῇ ἰσχύι αὐτῶν. 8καὶ
10 νῦν σύ, παιδίον, ἔξελθε ἐκ Νινευὴ καὶ μὴ μείνῃς ὧδε. 10ἐν ᾗ ἂν ἡμέρᾳ
θάψῃς τὴν μητέρα σου μετ' ἐμοῦ, αὐτῇ τῇ ἡμέρᾳ μὴ αὐλισθῇς ἐν τοῖς ὁρίοις
αὐτῆς· ὁρῶ γὰρ ὅτι πολλὴ ἀδικία ἐν αὐτῇ καὶ δόλος πολὺς συντελεῖται ἐν
αὐτῇ καὶ οὐκ αἰσχύνονται. ἴδε, παιδίον, ὅσα Ναδὰβ ἐποίησεν Ἀχεικάρῳ τῷ
ἐκθρέψαντι αὐτόν, οὐχὶ ζῶν κατηνέχθη εἰς τὴν γῆν; καὶ ἀπέδωκεν ὁ θεὸς
τὴν ἀτιμίαν κατὰ πρόσωπον αὐτοῦ· καὶ ἐξῆλθεν εἰς τὸ φῶς Ἀχίκαρος, καὶ
Ναδὰβ εἰσῆλθεν εἰς τὸ σκότος τοῦ αἰῶνος ὅτι ἐζήτησεν ἀποκτεῖναι Ἀχεί-
καρον. ἐν τῷ ποιῆσαί με ἐλεημοσύνην ἐξῆλθεν ἐκ τῆς παγίδος τοῦ θανάτου
ἣν ἔπηξεν αὐτῷ Ναδάβ, καὶ Ναδὰβ ἔπεσεν εἰς τὴν παγίδα τοῦ θανάτου
11 καὶ ἀπώλεσεν αὐτόν. 11καὶ νῦν, παιδία, ἴδετε τί ποιεῖ ἐλεημοσύνη καὶ
τί ποιεῖ ἀδικία, ὅτι ἀποκτέννει. καὶ ἰδοὺ ἡ ψυχή μου ἐκλείπει. καὶ ἔθηκαν

---

7 Κυριον 1°] pr τον A **8** πα|τως B **9** γενου] γινου A | ην] η B^{b}A A **10** εις 1°] εν A | Αδαμ] Αμαν A (bis) | το σκοτος 1°] om το A | Αχιαχαρος A | εσωσεν] εσωθη A | πακιδος, πακιδα ℵ* (παγ. ℵ$^{c.a}$ bis) **11** και 2°]+τι A | εξελειπεν A

B κοντα ὀκτώ· καὶ ἔθαψεν αὐτὸν ἐνδόξως. [12]Καὶ ὅτε ἀπέθανεν 12 (14)
Ἄννα, ἔθαψεν αὐτὴν μετὰ τοῦ πατρὸς αὐτοῦ· ἀπῆλθεν δὲ Τωβίας
μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν υἱῶν αὐτοῦ εἰς Ἐκβάτανα πρὸς
Ῥαγουὴλ τὸν πενθερὸν αὐτοῦ. [13]καὶ ἐγήρασεν ἐντίμως, καὶ 13 (15)
ἔθαψεν τοὺς πενθεροὺς αὐτοῦ ἐνδόξως, καὶ ἐκληρονόμησεν τὴν
οὐσίαν αὐτῶν καὶ Τωβεὶτ τοῦ πατρὸς αὐτοῦ. [14]καὶ ἀπέθανεν 14 (16)
ἐτῶν ἑκατὸν ἑπτὰ ἐν Ἐκβατάνοις τῆς Μηδείας. [15]καὶ ἤκουσεν 15 –
πρὶν ἢ ἀποθανεῖν αὐτὸν τὴν ἀπωλίαν Νινευὴ ἣν ᾐχμαλώτισεν
Ναβουχοδονοσὸρ καὶ Ἀσύηρος· ἐχάρη πρὸ τοῦ ἀποθανεῖν ἐπὶ
Νινευή. ἀμήν.

ℵ αὐτὸν ἐπὶ τὴν κλίνην καὶ ἀπέθανεν· καὶ ἐτάφη ἐνδόξως. [12]Καὶ ὅτε 12
ἀπέθανεν ἡ μήτηρ αὐτοῦ ἔθαψεν αὐτὴν Τωβείας μετὰ τοῦ πατρὸς αὐτοῦ,
καὶ ἀπῆλθεν αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ εἰς Μηδείαν καὶ ᾤκησεν ἐν Ἐκβατανοις
μετὰ Ῥαγουήλου τοῦ πενθεροῦ αὐτοῦ. [13]καὶ ἐγηροβόσκησεν αὐτοὺς ἐντίμως· 13
καὶ ἔθαψεν αὐτοὺς ἐν Ἐκβατάνοις τῆς Μηδείας, καὶ ἐκληρονόμησεν τὴν οἰκίαν
Ῥαγουήλου καὶ Τωβεὶθ τοῦ πατρὸς αὐτοῦ. [14]καὶ ἀπέθανεν ἐτῶν ἑκατὸν 14
δέκα ἑπτὰ ἐνδόξως. [15]καὶ εἶδεν καὶ ἤκουσεν πρὸ τοῦ ἀποθανεῖν αὐτὸν τὴν 15
ἀπωλίαν Νινευή, καὶ εἶδεν τὴν αἰχμαλωσίαν αὐτῆς ἀγομένην εἰς Μηδείαν ἣν
ᾐχμαλώτισεν Ἀχιάχαρος ὁ βασιλεὺς τῆς Μηδίας. καὶ εὐλόγησεν τὸν θεὸν ἐν
πᾶσιν οἷς ἐποίησεν ἐπὶ τοὺς υἱοὺς Νινευὴ καὶ Ἀθουρείας· ἐχάρη πρὶν τοῦ
ἀποθανεῖν ἐπὶ Νινευή, καὶ εὐλόγησεν Κύριον τὸν θεὸν εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. ἀμήν.

A **12** om αυτου 3° A **14** επτα] pr εικοσι A | Μηδιας A **15** απωλειαν $B^{b(vid)}$A | ηχμαλωτευσεν A | Αχιαχαρος ℵ*] Ναβουχοδονοσορ ⸗ Ασσυηρος ℵc.a | Ασυηρος A | Αθουρειας ℵ*] Ασυερος ℵc.a | εχαρη] pr και A
Subscr Τωβειτ BA Τωβειθ ℵ

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Α
ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Β
ΕΣΔΡΑΣ Α
ΕΣΔΡΑΣ Β
ΨΑΛΜΟΙ
ΠΑΡΟΙΜΙΑΙ
ΕΚΚΛΗΣΙΑΣΤΗΣ
ΑΣΜΑ
ΙΩΒ
ΣΟΦΙΑ ΣΑΛΩΜΩΝΟΣ
ΣΟΦΙΑ ΣΕΙΡΑΧ
ΕΣΘΗΡ
ΙΟΥΔΕΙΘ
ΤΩΒΕΙΤ

ἵνα μή τι ἀπόληται

APPENDIX

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ A

I 10 *γειγας* B* (*γιγ.* B^b) ‖ 29 *γενεσις* A ‖ 32 *πολλακης* A* (*παλλ.* A^a) ‖ 46 *παιδιω* B* (*πεδ.* B^{ab}) A

III 23 *τρις* A

IV 2 *γενεσις* A ‖ 23 *κατωκεισαν* A ‖ 27 *τρις* A ‖ 32 *επαυλις* A

V 18 *χειλ.* B (item 21 quater) ‖ 20 *κατεισχυσαν* B* (*κατισχ.* B^a) ‖ 23 *ημισις* A

VI 32 *λιτουργ.* B* bis (*λειτ.* B*) A : item 48 ‖ 49 *εξειλασκεσθαι* B *εξιλασκαισθαι* A ‖ 56 *παιδια* A | *αυτης*] *αυ|αυτης* A

VII 2 *χειλ.* B (item 4, 5, 7, 9, 11, 40) ‖ 6 *τρις* A ‖ 9 *γενεσις* A ‖ 40 *εκλετοι* B* (*εκλεκτοι* B^{ab})

VIII 3 *κα* (2°) B^{edit} ‖ 28 *γενεσις* A

IX 1 *συλλοχισμος* B^{ab} A ‖ 9 *γενεσις* A (item 34) ‖ 13 *χειλιοι* B | *λιτουργιας* B* (*λειτ.* B^{ab}) *λιτουργειας* A ‖ 19 *λιτουργιας* B* (*λειτ.* B^{ab}) A ‖ 22 *πιστι* A (item 26, 31 [cum ℵ]) ‖ 27 *κλιδων* A ‖ 28 *λιτουργιας* B* (*λειτ.* B^{ab}) ℵA ‖ 32 *αιτοιμασαι* A ‖ 38 *εμμεσω* (1°) A

X 1 *ορι* ℵA ‖ 4 *αιροντι*] *εροντι* ℵ | *εμπεξωσιν* ℵ | *αιρων*] *ερων* ℵ (item 5) ‖ 6 *τρις* ℵA ‖ 7 *αυλωνει* B^{*b} (*-νι* B^{ac}) ‖ 9 *απεστιλαν* ℵ ‖ 14 *απεκτινεν* ℵ | *βασιλιαν* ℵ

XI 3 *εχρεισαν* B ‖ 5 *πολεις* A ‖ 10 *κατεισχυοντες* B^{*b} (*κατισχ.* B^{ac}) ‖ 13 *κρειθων* B ‖ 15 *σπηλεον* ℵ ‖ 18 *τρις* A (item 19) | *εσπισεν* ℵA ‖ 19 *ειλεως* Bℵ | *πιομε* ℵ ‖ 23 *υφενοντων* ℵ | *απεκτινεν* ℵ ‖ 25 *τρις* ℵA ‖ 26 *δυναμαιων* A

XII 1 *σφενδονητε* ℵ ‖ 8 *θυραιους* A ‖ 14 *μεικρος* B* (*μικρ.* B^{ab}) | *χειλ.* B (item 20, 24 [cum ℵ], 25, 26, 27, 29, 30, 31, 33, 34 bis, 35, 36, 37) ‖ 15 *διαβαντες*] *μαβ.* $B^{b\,vid}$ | *κρηπειδα* B* (*κρηπιδα* B^b) ‖ 17 *χιρος* ℵ ‖ 18 *ιρηνη* (3°) ℵ ‖ 19 *ελθιν* ℵ ‖ 23 *βασιλιαν* ℵ ‖ 28 *εκοσι* A* (*εικ.* $A^{?}$) ‖ 29 *τρις* ℵ | *πλιστον* ℵ ‖ 32 *γεινωσκοντες* B* (*γιν.* B^b) ‖ 38 *ιρηνικη* ℵ ‖ 39 *τρις* A | *πεινοντες* B* (*πιν.* B^b) ‖ 40 *ελεον* A

XIII 2 *υμειν* B* (*υμιν* B^{ab}) | *αποστιλωμεν* ℵ ‖ 8 *δυναμι* A ‖ 9 *εξετινεν* ℵ | *κατασχιν* B* (*-σχειν* B^{ab}) | *εξεκλεινεν* B ‖ 10 *εκι* ℵ | *εκτιναι* ℵ ‖ 13 *εξεκλεινεν* B* (*εξεκλιν.* B^b) ‖ 14 *τρις* A

XIV 1 *απεστιλεν* ℵ ‖ 8 *εχρεισθη* B | *ζητησε* ℵ ‖ 10 *χιρας* ℵ (bis) ‖ 11 *εις*] *ις* B* (*εις* B^{ab}) | *χιρι* ℵ ‖ 12 *κατεκαυσε* ℵ ‖ 15 *συνσισμου* ℵA ‖ 16 *ενετιλατο* ℵ

XV 2 *κειβωτ.* ℵ (item 23 [1°], 24 [1°], 25, 27) | *λιτουργειν* B* (*λειτ.* B^{ab}) ℵ ‖ 13 *ημειν* B* (*ημιν* B^{ab}) ‖ 15 *ενετειλατο* ℵ ‖ 26 *κρειους* B* (*κριους* B^b) ‖ 27 *αιροντες*] *εροντες* ℵ ‖ 28 *αναφωνουνται* A ‖ 29 *πεζοντα* ℵ

XVI 1 *εμμεσω* A ‖ 4 *λιτουργουντας* B* (*λειτ.* B^{ab}) | *αινιν* ℵ (item 7, 37, 41) ‖ 15 *ενετιλατο* ℵ ‖ 19 *εσμεικρυνθησαν* B* (*εσμικρ.* B^b) ‖ 21 *βασιλις* ℵ ‖ 22 *αψησθαι* A | *χρειστων* B* (*χριστ.* B^b) ℵ | *πονηρευεσθαι* ℵA ‖ 26 *ιδωλα* ℵ ‖ 27 *επενος* ℵ ‖ 33 *κρειναι* B ‖ 34 *ελαιος* A (item 41) ‖ 37 *λιτουργειν* B* (*λειτ.* B^{ab}) ℵA ‖ 40 *αναφεριν* ℵ ‖ 42 *αναφωνιν* ℵ

XVII 1 *κειβωτος* ℵ ‖ 4 *οικοδομησις* ℵ ‖ 6 *ποιμενιν* ℵ ‖ 7 *ερις* ℵ ‖ 9 *θησομε* ℵ | *ταπινωσε* ℵ ‖ 10 *εταπινωσα* ℵ ‖ 11 *εστε* ℵ (bis) ‖ 13 *ελαιος* A ‖ 17 *εσμεικρυνθη* B* (*εσμικρ.* B^b)

XVIII 3 *επιστησε* ℵ ‖ 4 *χειλια* Bℵ | *χειλιαδας* 1° Bℵ | *χειλιαδας* 2° B ‖ 5 *βοηθησε* ℵ ‖ 6 *φαιροντας* A ‖ 10 *απεστιλεν* A ‖ 12 *χειλιαδας* B

XIX 2 ελαιος (1°) A | απεστιλεν ℵ (item 3, 4, 5, 6, 8) || 5 απαγγιλαι ℵ | ητειμωμενοι B* (ητιμ. B^b) καθειστατε ℵ | ανατιλαι ℵ || 6 χειλ. B (item 18) | καιππειs B* (και ιππ. B^{ab}) || 9 παιδιω B* (πεδ. B^a) ℵ || 19 πεδες A

XX 1 ετι A || 2 τειμιος B* (τιμ. B^b) || 4 εταπινωσεν A || 7 ωνιδισεν A

XXI 1 επεσισεν A || 5 χειλ. B (ter: item 14) || 6 κατεισχυσεν B* (κατισχ. B^b) || 12 λειμου B* (λιμ. B^b) | τρις A | αποστιλαντι A || 13 οικτιρμοι B^b

XXII 14 χειλ. B (ter) || 15 τεχνειται B* (τεχνιτ. B^b)

XXIII 3 χειλ. B (item 4 bis, 5) || 9 τρις A (item 23) || 13 λιτουργ. B* (λειτ. B^{ab}: item 24 [cum A], 26, 28 bis [2° cum A], 32)

XXIV 3 λιτουργιαν B* (λειτ. B^{ab}: item 19) λιτουργειαν A || 19 λειτουργειαν A

XXV 7 συνειων B* (συνιων B^b) || 8 μεικρον B* (μικρ. B^b) | τελιων A

XXVI 12 λιτουργειν B* (λειτ. B^{ab}) || 13 μεικρον B* (μικρ. B^{ab}) || 18 τρις A || 26 χειλ. B (item 30, 32) || 29 διακρεινειν B* (διακριν. B^b) || 30 λιτουργειαν B* (λειτουργειαν B^a λειτουργιαν B^b) A || 31 γενεσις A

XXVII 1 χειλ. B (bis: item 2, 4, 5, 7, 8, 9, 10, 11, 12, 13, 14, 15) | λιτουργουντες B* (λειτ. B^{ab}) | διαιρεσειs] διαιρεσις A | διαιρεσις] διαρεσειs A || 24 αριθμιν A || 28 ελεωνων B* (ελαιων. B^{ab}) | συκαμεινων B* (συκαμιν. B^{ab})

XXVIII 1 χειλιαδων B || 2 εμμεσω A | επιτηδια A || 11 εξειλασμου B* (εξιλ. B^b) || 12 παραδιγμα A || 13 λιτουργιας B* (λειτ. B^{ab}) | λιτουργησιμων B* (λειτ. B^{ab}) A || 20 λιτουργιας B* (λειτ. B^{ab}) A | ειλασμου B* (ιλ. B^b) || 21 λειτουργειαν A

XXIX 2 τειμιον B* (τιμ. B^b) || 4 χειλ. B* bis (item 6, 7 quater, 21 ter) | ειερου A || 5 τεχνειτων B* (τεχνιτ. B^b) || 12 κατεισχυσαι B* (κατισχ. B^b) || 22 εχρεισαν B* (εχρισ. B^b)

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Β

I 2 χειλ. B (item 6, 14 bis) || 7 νυκτει A || 15 συκαμεινους B* (συκαμιν. B^b) || 16 τειμη B* (τιμ. B^b)

II 2 χειλ. B (ter: item 10 ter, 17 bis, 18 ter) || 4 αναφαιρειν A || 6 ισχυσι A || 10 σειτον B* (σιτ. B^b: item 15) | κρειθων B* (κριθ. B^b) || 12 επιστα-μευον $A^{b\,vid}$ || 15 κρειθην B* (κριθ. B^b) || 16 χριαν A

III 6 τειμιοις B* (τιμ. B^b)

IV 4 τρις (1°) A

V 9 αναφοραιων A || 13 ελαιος A || 14 λιτουργειν B* (λειτ. $B^{ab\,(vid)}$)

VI 13 εμμεσω A || 21 ειλεως B* (ιλ. B^b: item 25, 27, 39) || 28 λειμος B* (λιμ. B^b) | θλειψη B* (θλιψ. B^b) || 29 δεησεις A || 30 γεινωσκεις B* (γιν. B^b) || 32 βραχεινα B* (βραχινα B^b)

VII 3 ελαιος A (item 6) || 5 χειλιαδες B | ενεκενισεν A || 14 ειλεως B* (ιλ. B^b) || 19 αποστρεψηται A | λατρευσηται A

VIII 2 κατωκεισεν A || 3 κατεισχυσεν B* (κατισχ. B^b) || 5 μοκλοι B* (μοχλ. B^{ab}) || 8 καταλιφθεντων A || 14 λιτουργιας B* (λειτ. B^{ab}) λειτουργειας A | λιτουργειν B* (λειτ. B^{ab}) || 16 ετελιωσεν A

IX 1 τειμιον B* (τιμ. B^b: item 9, 10) || 4 λιτουργων B* (λειτ. B^{ab}) || 5 αληθεινος A || 11 πευκεινα A || 25 χειλ. B* bis (χιλ. $B^?$) | θηλιαι A || 27 συκαμεινους B* (συκαμιν. B^b) | παιδινη A

X 6 βουλεσθαι A (item 9) || 10 μεικρος B* (μικρ. B^{ab})

XI 1 χειλ. B* (χιλ. $B^?$) || 5 τιχηρεις A (item 10) || 12 κατεισχυσ. B* (κατισχ. B^b: item 17 bis) || 14 Λευειτε A | λιτουργειν B* (λειτ. $B^?$)

XII 7 μεικρον B* (μικρ. B^{ab}) || 13 κατεισχυσεν B* (κατισχ. B^b) || 15 αιπολεμει A

XIII 3 χειλ. B* (χιλ. $B^?$ bis: item 17) || 4 ορι A || 9 κρειοις B* (κριοις B^b) | εγειινετο B* (εγιν. B^b) || 10 λιτουργουσιν B* (λειτ. $B^{a\,(vid)\,b}$) || 18 κατεισχυσ. B* (κατισχυσ. B^{ab}: item 21)

XIV 3 συνετρειψεν B || 6 πολις A | τιχηρεις A || 7 μοκλους B* (μοχλ.

B^{ab}) || 8 χειλ. B* (χιλ. $B^{?}$ bis) || 10 *φαραγγει* A || 11 *κατεισχυσ.* B* (*κατισχ.* B^{ab} bis)

XV 2 *εγκαταλειψι* A || 3 *αληθεινω* A || 6 *θλειψει* B || 8 *κατεισχυσεν* B* (*κατισχ.* B^{ab}) || 10 *ετι* A || 11 *επτακισχειλ.* B || 16 *λιτουργουσαν* B* (*λειτ.* B^{ab})

XVI 9 *κατεισχυσαι* B* (*κατισχ.* B^{a}) || 14 *κλεινης* B* (*κλιν.* B^{b})

XVII 1 *κατεισχυσεν* B* (*κατισχ.* B^{ab}) || 7 *ετι* A || 11 *κρειους* B* (*κριους* B^{b}) | *επτακισχειλ.* B* (*επτακισχιλ.* $B^{?}$) || 14 χειλ. B* (χιλ. $B^{?}$ bis: item 15, 16, 17, 18) || 19 *λιτουργουντες* B* (*λειτ.* B^{ab})

XVIII 7 *εμεισησα* B* (*εμισ.* B^{b}) || 26 *θλειψεως* B* (*θλιψ.* B^{b} bis) || 30 *μεικρον* B* (*μικρ.* B^{b})

XIX 2 *μεισουμενω* B* (*μισ.* B^{b}) A || 6 *κρεινετε* B *κρινεται* A || 8 *κρεινειν* B || 10 *διαστελεισθαι* A | *αμαρτησεσθαι* A

XX 9 *λειμος* B* (*λιμ.* B^{b}) | *θλειψεως* B* (*θλιψ.* B^{b}) || 10 *εξεκλειναν* A || 11 *επειχιρουσιν* A || 15 *φοβεισθαι* A || 16 *ευρησεται* A || 20 *εμπιστευσεσθαι* A | *ευοδωθησεσθαι* A || 21 *ελαιος* A || 23 *εκτρειψει* B* (*εκτριψ.* B^{b}) || 25 *τρις* A || 32 *εξεκλεινεν* B* (*εξεκλιν.* B^{b}) A

XXI 3 *τετευχεισμενων* B || 17 *μεικροτατος* B* (*μικρ.* B^{ab})

XXII 1 *μεικρον* B* (*μικρ.* B^{ab}) || 7 *χρειστον* B* (*χριστ.* B^{b}) || 11 *κλεινων* B* (*κλιν.* B^{b})

XXIII 4 *ποιησεται* A || 6 *λιτουργουντες* B* (*λειτ.* B^{ab}) A || 10 *ωμειας* (2°) A || 11 *εχρεισαν* B* (*εχρισ.* B^{b})

XXIV 14 *λιτουργικα* B* (*λειτ.* B^{ab}) A || 20 *παραπορευεσθαι* A | *ευοδωθησεσθαι* A || 22 *ελαιους* A | *κρεινατω* B* (*κριν.* B^{b}) || 25 *κλεινης* B* (*κλιν.* B^{b})

XXV 5 *χειλ.* B* (*χιλ.* $B^{?}$: item 6) || 11 *κατεισχυσεν* B* (*κατισχ.* B^{ab}) | *χειλ.* B (item 12, 13) || 13 *τρις* A || 16 *μαστειγωθης* B* (*μαστιγ.* B^{b}) | *γεινωσκω* B* (*γιν.* B^{b}) || 19 *βαρια* A || 24 *συμμειξεων* B* (*συμμιξ.* B^{b}) || 26 *ουχ* B* (*ουκ* B^{ab})

XXVI 7 *κατεισχυσεν* B* (*κατισχ.* B^{ab}: item 8, 9) || 12 χειλ. B* (item 13 bis) || 15 *κατεισχυσεν* B (item 16) || 21 *κρεινων* B* (*κριν.* B^{b}) || 23 *παιδιω* A

XXVII 3 *τειχι* B* (-χει B^{ab}) A || 5 *κατεισχυσεν* B* (*κατισχ.* B^{ab}: item 6) | *χειλ.* B (bis) | *κρειθων* B* (*κριθ.* B^{ab})

XXVIII 8 *χειλ.* B || 10 *ουχ* B* (*ουκ* B^{ab}) || 19 *εταπινωσεν* A || 23 *κατεισχυσουσιν* B* (*κατισχ.* B^{ab}) || 24 *εκλισεν* A

XXIX 11 *λιτουργ.* B* (bis: *λειτ.* B^{ab}) || 21 *κρειους* B* (*κριους* B^{b}: item 22) | *χιμαρρους* B* (*χιμαρους* B^{b}) *χειμαρρους* A || 23 *χιμαρρους* B* (*χιμαρους* B^{b}) A || 24 *εξειλασαντο* B* (*εξιλ.* B^{b} bis) || 32 *κρειοι* B* (*κριοι* B^{b}) || 33 *τρισχειλια* B

XXX 3 *ουκ* A || 7 *γεινεσθε* B* (*γιν.* B^{b}) || 14 *ερρειψαν* B* (*ερριψ.* B^{b}) || 18 *εξειλασθω* B* (*εξιλ.* B^{b}) || 24 χειλ. B (quater)

XXXI 1 *συνετρειψαν* B* (*συνετριψ.* B^{b}) || 2 *λιτουργ.* B* (*λειτ.* B^{ab} bis: item 4) || 4 *κατεισχυσουσιν* B* (*κατισχ.* B^{b}) || 5 *σειτου* B* (*σιτ.* B^{b}) || 15 *μεικρου* B* (*μικρ.* B^{b}) || 16 *λιτουργιαν* B* (*λειτ.* B^{ab}) A

XXXII 3 *συνεπεισχυσαν* B* (*συνεπισχ.* B^{ab}) || 4 *κατεισχυσ.* B* (*κατισχ.* B^{ab}: item 5 bis) || 5 *προτιχισμα* A || 7 *ανδριζεσθαι* A || 8 *βραχειονες* B* (*βραχιον.* B^{b}) || 11 *λειμον* B* (*λιμ.* B^{b}) || 13 *γνωσεσθαι* A || 15 *πιστευεται* A || 17 *ονιδιζειν* A || 21 *εξετρειψεν* B* (*εξετριψ.* B^{b}) || 26 *εταπινωθη* A || 27 *τειμιου* (*τιμ.* B^{b}) || 28 *σειτου* B* (*σιτ.* B^{b}) || 29 *πολις* A || 32 *ελαιος* A || 33 *τειμην* B* (*τιμ.* B^{b})

XXXIII 11 *πεδαις*] *παιδες* A || 23 *εταπινωθη* (1°) A

XXXIV 2 *εξεκλεινεν* B* (*εξεκλιν.* B^{b}) A || 4 *συνετρειψεν* B* (*συνετριψ.* B^{b}) | *ερρειψεν* B* (*ερριψ.* B^{b}) || 8 *ετι* A || 10 *κατεισχυσαι* B* (*κατισχ.* $B^{1?b}$) || 26 *ερειται* A || 27 *εταπινωθης* (1°) A || 30 *μεικρου* B* (*μικρ.* B^{b}) || 33 *εξεκλεινεν* B* (*εξεκλιν.* B^{b})

XXXV 2 *κατεισχυσεν* B* (*κατισχ.* B^{ab}) || 3 *λιτουργ.* B* (*λειτ.* B^{ab}: item 10 [cum A], 16) || 5 *διαιρεσις* A (item 10) || 7 χειλ. B (bis: item 8,

9) | τρις A ‖ 14 αιτοιμασαι A ‖ 15 κεινεισθαι B* (κιν. Bᵇ) A ‖ 22 παιδιω A

XXXVI 1 εχρεισαν B* (εχρισ. Bᵇ) ‖ 8 ουχ B* (ουκ Baᵗᵇ) ‖ 13 κατεισχυσεν B* (κατισχ. Bᵃᵇ) ‖ 17 εφισατο A ‖ 18 μεικρα B* (μικρ. Bᵃᵇ) ‖ 20 απωκεισεν A

ΕΣΔΡΑΣ Α

I 4 αιτοιμασατε A (item 6) | μεγαλιοτητα A ‖ 7 χειλ. B (bis: item 8, 9 bis) | βασιλεικων B* (-λικων Bᵇ) | ιερευσειν A ‖ 27 παιδιω A ‖ 28 λειαν B* (λιαν Bᵇ) ‖ 32 ετων] αιτων A ‖ 33 τρεις] τρις B* (τρεις Baᵉᵗᵇ) ‖ 39 απηρισατο A ‖ 47 ιεραιων A ‖ 48 εφιδετο A ‖ 50 εφισαντο A ‖ 51 βασιλεικας A ‖ 52 τιχη A

II 6 βοηθιτωσαν B* (βοηθειτ. Bᵃᵇ) ‖ 12 χειλ. B (ter: item 13) ‖ 16 προσπειπτοντα B* (προσπιπτ. Bᵇ: item 21) ‖ 18 επι B* (επει Bᵃᵇ) ‖ 20 τιχη A ‖ 21 γραμματι Aᵛⁱᵈ ‖ 25 μεχρει A

III 2 μεχρει A ‖ 5 επινεικια B* (-νικια Bᵇ) ‖ 6 πεινειν B* (πιν. Bᵇ) | χρυσοχαλεινον B* (-χαλιν. Bᵇ) ‖ 8 προσκαιφαλαιον A ‖ 9 κρεινη B* (κριν. Bᵇ) | τρις A | νεικος B* (νικ. Bᵃᵇ) ‖ 11 υπερισχυι A ‖ 12 νεικα B* (νικ. Bᵃᵇ) ‖ 17 υπερισχυι B* (-σχυει Bᵃᵇ) ‖ 19 οφιλημα A ‖ 21 πεινωσιν B* (πιν. Bᵇ) ‖ 23 ουκ B* (ουχ Bᵃᵇ) | εσειγησεν B* (εσιγ. Bᵇ)

IV 2 ουκ B* (ουχ Bᵃᵇ) ‖ 3 υπερισχυι B*ᵛⁱᵈ (-σχυει Bᵃᵇ) ‖ 5 νεικησωσιν B* (νικ. Bᵃᵇ) ‖ 10 πεινει B* (πιν. Bᵇ) ‖ 12 ουκ B* (ουχ Bᵃᵇ) A | υπερισχυι B* (-σχυει Bᵃᵇ) | εσειγησεν B* (εσιγ. Bᵇ) ‖ 14 ισχυι B* (-σχυει Bᵃᵇ) ‖ 16 γειναται B ‖ 21 μεμνητε A ‖ 22 ουχει A | πονειται A | μοχθειται A | διδοται A | φερεται A ‖ 24 σκοτι A ‖ 32 ουχ B* (ουκ Bᵇ: item ut vid 34) ‖ 34 στρεφετε A ‖ 40 μεγαλιοτης A ‖ 41 εσειωπησεν B* (εσιωπ. Bᵇ) | υπερισχυι B* (-ισχυει Bᵃᵇ) A ‖ 46 δαιομαι A ‖ 53 κτεισαι A

V 2 χειλ. B (item 11, 13, 14, 17, 23, 41 bis, 42 bis) ‖ 6 επι] επει A (item 59) ‖ 43 παραγεινεσθαι B* (παραγιν. Bᵇ) ‖ 45 κατοικεισθησαν A ‖ 49 διλινον A

VI 1 ετι A ‖ 4 οικοδομειται A | επιτελειται A ‖ 9 γεινομενα B ‖ 17 απηρισατο A ‖ 19 οικοδουμενος B* (οικοδομουμ. Bᵃᵇ) ‖ 20 κρεινεται B* (κριν. Bᵇ) ‖ 26 συνετερεοις A ‖ 27 οικοδοδομησαι B* (οικοδομ. Bᵃᵇ) ‖ 31 παραβωσειν A | βασιλεικα B* (-λικα Bᵃᵇ)

VII 1 συνετεροι A ‖ 2 ιεροστατες A ‖ 3 εγειναετο B ‖ 7 κρειους B* (κριους Bᵇ) ‖ 8 χειμαρρους B* (χιμαρους Bᵇ) χιμαρρους A

VIII 10 κρεινας B* (κριν. Bᵇ) | ιεραιων A ‖ 14 κρειους B* (κριους Bᵇ) ‖ 17 υποπειπτη B* (-πιπτη Bᵇ) ‖ 22 γεινηται B ‖ 26 ετειμησεν B* (ετιμ. Bᵇ) ‖ 53 ευειλατου B* (ευιλ. Bᵇ) ‖ 58 αγρυπνειται A ‖ 64 βασιλεικοις A ‖ 69 επεκεινουντο B* (-κινουντο Bᵇ) A | διλινης A ‖ 71 ησχυμμε A ‖ 74 βασιλευσειν (2ο) A ‖ 75 ελαιος A ‖ 77 βασιλαιων A ‖ 80 εισερχεσθαι A ‖ 83 γεινεται B ‖ 84 επιμηγηναι (sic) B* (επιμιγ. Bᵇ) ‖ 86 αληθεινος A ‖ 92 ιεραιων A

IX 6 χιμωνα A ‖ 11 χιμερινη A | εισχυσομεν B* (ισχ. Bᵇ) ‖ 20 εξειλασμον B* (εξιλ. Bᵇ) | κρειους B* (κριους Bᵇ⁽ᵛⁱᵈ⁾) A ‖ 41 ανεγεινωσκεν B ‖ 48 ανεγεινωσκον B* (ανεγιν. Bᵇ) ‖ 52 λυπεισθαι A (item 53) ‖ 54 ευφρενεσθαι A

ΕΣΔΡΑΣ Β

I 8 χιρα A ‖ 9 χειλ. B (item 10, 11) ‖ 11 πεντακεισχιλ. A

II 3 χειλ. B (item 6, 7, 11, 31, 34, 64, 65, 69 bis) ‖ 61 ιεραιων A (item 69)

III 3 αιτοιμασιαν A | ολοκαυτωσεις A ‖ 4 κρισεις A ‖ 11 ελαιος A | θεμελειωσει A (item 12) ‖ 12 ιεραιων A ‖ 13 επιγεινωσκων B* (επιγιν. Bᵇ)

IV 1 θλειβοντες B* (θλιβ. Bᵇ) ‖ 9 εκρεινεν B* (εκριν. Bᵇ) ‖ 10 τειμιος B* (τιμ. Bᵇ) | κατωκεισεν A ‖ 12 απο-

στατειν A ‖ 15 εμμεσω A ‖ 17 γραμματαια A ‖ 19 πολεις A (item 21) | επερεται A | γεινονται B (item 20) ‖ 22 κακοποιησειν A

V 8 γεινεται B

VI 1 βιβλιοθηκες A ‖ 2 πολι A | κεφαλεις B* (-λις B^{b}) ‖ 7 οικοδομιτωσαν A ‖ 17 κρειους B | χειμαρους A

VII 7 ιεραιων A (item 16) ‖ 11 γραμματι B* (-τει B^{a}) A ‖ 12 γραμματι A ‖ 17 κρειους B ‖ 19 λιτουργιαν B* (λειτ. B$^{a?b}$) ‖ 21 γεινεσθω B ‖ 24 λιτουργοις B* (λειτ. B^{b}) A ‖ 26 γεινομενον B ‖ 28 εκλεινεν B* (εκλιν. B^{b}) A | ελαιος A

VIII 21 ταπινωθηναι A | ευθιαν A ‖ 24 ιεραιων A (item 29) ‖ 27 χειλιοι B χειλειοι A ‖ 35 κρειους B | χιμαρους B* (χιμαρους B^{b}) χειμαρους A

IX 4 εσπερεινης A ‖ 5 εσπερεινη A | κλεινω B* (κλιν. B^{b}) ‖ 8 μεικραν B* (μικρ. B^{b}) ‖ 9 εκλεινεν Β* (εκλιν. B^{b}) A | ελαιος A ‖ 11 χειρει ℵ | εισπορευεσθαι (εισν incep ℵ*) ℵ$^{?}$A | μετακειν. bis B* (μετακιν. B^{b}) A ‖ 12 ιρηνην ℵ

X 4 ημις ℵ | κρατεου ℵ ‖ 6 ασυνθεσεια A ‖ 8 υπαρξεις ℵ ‖ 9 ικαδει ℵ εικαδει A | χιμωνος A ‖ 11 αινεσειν A ‖ 18 ιεραιων A

XI 5 ελαιος A ‖ 6 ακουσε ℵ ‖ 7 ενετιλω ℵ (item 8) ‖ 9 επιστρεψηται ℵ ‖ 11 φοβισθαι ℵ

XII 3 μνημιων A (item 5) ‖ 6 απεστιλεν ℵ (item 9) ‖ 8 εισελευσομε ℵ | χιρ ℵ ‖ 12 απηγγιλα ℵ ‖ 13 συντρειβων B* (συντριβ. B^{b}: item 15) | τειχη A ‖ 14 κτηνι ℵ | παρελθιν ℵ ‖ 15 τιχει (1°) ℵA | τειχη (2°) A ‖ 16 εντειμοις B* (εντιμ. B^{b}) ‖ 18 χειρες] χειραις A ‖ 20 ημις ℵ

XIII 1 ιερεις] ιερις ℵ ‖ 3 κλιθρα A (item 13, 14) ‖ 4 επι 1°, 3°] επει (item 5, 9, 10 bis, 17) ‖ 5 χιρα A (item 9, 10 bis, 17) ‖ 8 τιχους ℵ | πλαταιος A ‖ 13 χειλιους B ‖ 15 κλειμακων B* (κλιμ. B^{b})

XIV 1 ημις ℵ (item 15, 19, 21) | τιχος ℵ (item 3, 15) ‖ 3 θυσιασουσειν A ‖ 5 ονιδισμον ℵ ‖ 7 τιχεσιν ℵ ‖ 10 τειχη A ‖ 11 θλειβοντες B* (θλιβ. B^{b}) ‖ 13 τιχους ℵ | σκεπινοις ℵ ‖ 14 εντειμους B* (εντιμ. B^{b}) ℵ (item 19) | παραταξασθαι A ‖ 16 εκινης ℵ | αντιχοντο ℵ* | θυραιοι A ‖ 17 τειχη A | εκρατι B* (-τει B^{ab}) ‖ 20 ακουσηται ℵ | συναχθησεσθαι ℵA ‖ 22 εμμεσω A

XV 2 σειτον B* (σιτ. B^{b}: item 3, 11) ℵ ‖ 3 οικειαι ℵ ‖ 5 εντειμοις B* (εντιμ. B^{b}) ‖ 7 εντειμους B* (εντιμ. B^{b}) ℵ ‖ 8 ημις ℵ | υμις ℵ (item 9) ‖ 9 ποιειται ℵ | ονιδισμου ℵ ‖ 11 οικειας ℵ | σειτον ℵ ‖ 14 ενετιλατο ℵ ‖ 15 εξουσιαζοντε A ‖ 18 γεινομενον B | χειμαρρος B* (χιμαρος B^{b}) χειμαρος A | εγεινοντο BA

XVI 1 κατελιφθη ℵ ‖ 2 απεστιλ. ℵ (item 3, 4 bis, 12) | παιδιω A ‖ 3 τελιωσω ℵ ‖ 6 λογιζεσθαι A ‖ 7 καθεσης A ‖ 9 χιρες ℵ ‖ 10 εμμεσω A ‖ 13 ονιδισωσιν ℵ ‖ 15 εικαδει A ‖ 16 τελιωθηναι ℵA ‖ 17 εντειμων B* (εντιμ. B^{b}) ‖ 19 επεστιλεν ℵ

XVII 2 ενετιλαμην ℵ ‖ 5 εντειμους B* (εντιμ. B^{b}) ‖ 8 χειλ. B (item 11, 12, 17, 19, 34, 42, 66, 69, 71) ‖ 63 ιεραιων A (item 70) ‖ 73 εκαθεισαν A

XVIII 1 γραμματι A | ενετιλατο ℵ (item 14) ‖ 8 αναγνωσει] αναγνωσι ℵ ‖ 9 πενθιται ℵ πενθειται A | κλαιεται ℵA ‖ 10 πορευεσθαι A | φαγεται ℵA | λειπασματα A | πιεται ℵA·| αποστιλατε ℵ ‖ 11 καταπιπτεται ℵA ‖ 13 γραμματαια A

XIX 5 ευλογειται ℵ ‖ 9 ταπινωσιν ℵ*A ‖ 10 σημια ℵ ‖ 11 εμμεσω A ‖ 14 ενετιλω ℵ ‖ 15 εξετινας ℵ | χιρα ℵ ‖ 17 πολυελαιος A ‖ 19 εξεκλεινας BA ‖ 20 δειψει ℵA ‖ 21 ειματια A | αιπαλαιωθησαν A ‖ 24 εξετρειψας B | χιρας ℵ (item 28) ‖ 25 πολις ℵ* (-λεις ℵ$^{c.a}$) | πληρις ℵ ‖ 27 προφοτητας ℵ | απεκτιναν ℵ ‖ 28 θλειβοντων B | εθλειψαν B | θλειψεως B | θλειβοντος B ‖ 29 επιστρεψε ℵ | απιθουντα ℵ ‖ 30 χιρι ℵ (bis) ‖ 31 οικτιρμοις ℵ ‖ 32 ελαιος A | ολιωθητω B* vid (ολιγ. B^{ab}) ‖ 35 πλατια ℵA ‖ 37 θλειψει B ‖ 38 ιερις ℵ

XX 33 ενδελεχεισμου A | των νουμηνιων] του νουμ. A* | εξειλασασθαι ℵ (pr ι vel η ℵ*) ‖ 36 προτοτοκα (2°)

A | λιτουργουσιν B* (λειτ. B^{ab}) ℵA ‖ 37 σειτων B* (σιτ. B^{b}) ‖ 39 σειτου B^{*b} (σιτ. B^{b}) | λιτουργοι B* (λειτ. B^{ab}) ℵA

XXI 2 καθεισαι A ‖ 3 εκαθεισαν A ‖ 10 ιεραιων A

XXII 7 ιεραιων A ‖ 24 υμνιν ℵ | αινιν ℵ (item 37) ‖ 27 τιχους ℵA ‖ 28 επαυλαιων A ‖ 35 σαλπιγξειν A ‖ 36 εν] αιν A ‖ 37 κλειμακας B*(κλιμ. B^{b}) | τιχους ℵ ‖ 43 εκινη ℵ

XXIII 5 ιεραιων A ‖ 6 ετι ℵ ‖ 8 σφοδα B* (σφοδρ. B^{ab}) | ερρειψα B* (ερριψ. B^{b}) ‖ 12 ελεου ℵ ‖ 13 γραμματαιως A | επι χειρα (2^{o})] επει χιρα A ‖ 14 εξαλιφθητω ℵ | ελαιος ℵA ‖ 17 ποιειται ℵA | βεβηλουται ℵA ‖ 18 υμις ℵ | προστιθεται ℵ ‖ 20 πρασειν A | δεις A ‖ 21 αυλιζεσθαι A | τιχους ℵ | δευτερωσηται ℵ ‖ 22 φισαι ℵ | ελαιους A ‖ 24 επιγεινωσκοντει B* (επιγιν. B^{b}) ‖ 26 εξεκλειναν B* (εξεκλιν. B^{b}) A ‖ 27 καθεισαι A ‖ 30 ιερευσειν A

ΨΑΛΜΟΙ

I

I 5 εμβουλη R^{a} ‖ 6 γεινωσκει B* (γιν. B^{b})

II 3 απορρειψωμεν B* (απορριψ. B^{b}) ‖ 9 ωσκευη A | συντρειψεις B ‖ 10 συνεται A | κρεινοντες B ‖ 11 αγαλλιασθαι A

III 2 θλειβοντες B ‖ 6 αντιλημψετε A ‖ 8 συνετρειψας B

IV 3 αγαπαται A | ζητειται A ‖ 5 οργιζεσθαι A | αμαρτανεται A | λεγεται A ‖ 7 διξει A | εσημιωθη B* (εσημειωθη B^{ab}) ℵA ‖ 8 σειτου B* (σιτ. B^{b})

V 5 ουχει A ‖ 6 εμεισησας ℵ ‖ 8 ελαιου A ‖ 11 ασεβιων A ‖ 12 κατασκηνωσις A

VI 5 ελαιους A ‖ 7 κλειην ℵ ‖ 11 αισχυνθισαν (1^{o}) A | ταραχθισαν A

VII 8 κυκλωσι A ‖ 14 κεομενοις A ‖ 15 ωδειηησεν ℵ

VIII 8 ετει A | παιδιου A

IX 6 επετειμησας B* (επετιμ. B^{b}) | εξηλιψας B* (εξηλειψ. B^{ab}) ℵ ‖ 7 καθιλες A ‖ 10 ευκεριαις A ‖ 11 γεινωσκοντες B ‖ 14 ταπινωσιν B* (ταπειν. B^{a}) ℵ ‖ 15 αινεσις A ‖ 22 ευκεριαις B* (ευκαιρ. B^{ab}) A | θλιψι A ‖ 23 συλλαμβανοντε B* (-ται B^{ab}) ‖ 24 επαινειτε B* (-ται B^{ab}) επενειται A | ενευλογιται A ‖ 26 αντανεριται A ‖ 29 αποκτιναι A ‖ 35 ενκαταλελιπται B* (-λειπται B^{ab}) ℵ ενκαταλελιππε A^{vid} ‖ 36 συντρειψων B* (συντριψ. B^{b}) ‖ 38 αιτοιμασιαν A ‖ 39 κρειναι ℵ | ταπινω B* (ταπειν. B^{a})

X 1 ερειται A ‖ 2 ενετινᾶ| A ‖ 5 μεισει B* (μισ. B^{b}) ℵ

XI 5 ειστιν (1^{o}) U

XII 4 υπνωσω] επνωσω U ‖ 5 θλειβοντες B ‖ 6 η] ε U

XIII 3 εξεκλειναν B* (-κλιναν B^{b}) ℵU | ενος] αινος A | εκχεε B* (-αι B^{ab}) | και (1^{o}) bis scr U ‖ 5 εδιλιασαν A ‖ 6 κατησχυναται A | ειστιν U ‖ 7 εχμαλωσιαν U

XIV 3 ονιδισμον B* (ονειδ. B^{ab}) ℵA ‖ 4 εξουδενωτε B* (-ται B^{ab}) A

XV 3 θαυμαστωσεν U ‖ 4 πληνθυνθησαν U* (ras ν 1^{o} U^{1}) | χειλεων] χιλαιων A ‖ 6 σχοινεια U | κρακρατιστοις U | ειστιν U (item 8) ‖ 9 ελπειδι A

XVI 6 κλεινον ℵ ‖ 10 συνεκλισαν B* (-κλεισαν B^{ab}) A ‖ 11 οθεντο U | εκκλειναι ℵ ‖ 12 αιτοιμος A ‖ 13 υποσκελεισον U

XVII 3 αντιλημτωρ U ‖ 5 ωδεινες B* (ωδιν. B^{b}) ℵ | χιμαρροι B* (χειμ. B^{ab}) ℵ ‖ 6 ωδεινες ℵA ‖ 7 θλειβεσθαι B ‖ 8 η] ε U | οραιων A | εισαλευθησαν U ‖ 10 εκλεινεν B* (εκλιν. B^{b}) ℵ ‖ 16 επιτειμησεως $B^{a\,fort}$ (επιτιμ. B^{*}) ‖ 18 ρυσαιτε A | μεισουντων B* (μισ. B^{b}) ℵ ‖ 21 ανταποδωσι (1^{o}) B* (-σει B^{ab}) | ανταποδωσι (2^{o}) A ‖ 25 των 1^{o} bis scr U ‖ 28 ταπινον, ταπινωσεις B* (ταπειν. B^{ab}) ‖ 30 πι-

ρατηριου B* (πειρ. Bab) | υπερβησομαι U ‖ 31 ειστιν U ‖ 36 η 1°, 3°] ε U ‖ 37 εσθηνησαν U ‖ 39 εκθλειψω B ‖ 41 μεισουντας ℵ ‖ 43 πλατιων A ‖ 51 ελαιος A

XVIII 10 αληθεινα A ‖ 14 φισαι A

XIX 2 θλειψεως B ‖ 4 μνησθιη B* (-θειη Bab)

XX 4 ευλογειαις A ‖ 7 ευλογειαν A ‖ 9 μεισουντας ℵ ‖ 12 εκλειναν Bℵ ‖ 14 δυναμι B* (-μει Bab) ℵA

XXI 5 πρεες U ‖ 7 ειμι] εμι U | ᾱανος U | ονιδος B* (ονειδ. Ba?b) ‖ 8 εκεινησαν B* (εκιν. Bb) ℵA ‖ 11 εμμου U ‖ 14 ηνεξαν U ‖ 15 ωσοι (1°) Rvid ‖ 16 καικολληται U ‖ 19 αιματια U | αιματισμον U ‖ 20 βοηθιαν ℵ ‖ 21 εκ χειρος] εχειρος U ‖ 22 ταπινωσιν B* (ταπειν. Bab) ℵ ‖ 23 της αδελφοις U | εμμεσω B* (εν μ. Bb) ‖ 25 προσωχθεισαν U ‖ 27 πενηταις A ‖ 28 επιστρανφησονται R* | προσκυνησουσειν U ‖ 29 κυριου (sic) U

XXII 1 με 1°] μαι A | υστερησι B* (-σει Bab) ‖ 4 εμμεσω A ‖ 5 οιτοιμασας U | των] τον U | θλειβοντων B ‖ 6 ελαιος A

XXIII 1 κατεκουντες U ‖ 4 ελαβεν] αλαβεν A ‖ 5 λημψαι U ‖ 7 επαρθηται B* (-τε Bab: item 9) ‖ 10 δυναμαιων A | ειστιν 2° U

XXIV 7 ελαιος A (item 11) | της χρηστοτης A ‖ 11 καιλαση B* (και ιλ. Bab(vid)) και ειλαση ℵ ‖ 12 ειστιν U | ανθροπως U ‖ 18 ταπινωσιν B* (ταπειν. Bab) ℵ ‖ 19 μεισος, εμεισησαν ℵ ‖ 22 θλειψεων B θλιψαιων A

XXV 1 κρεινον ℵ ‖ 2 πιρασον B* (πειρ. Bab) ‖ 3 ελαιος A | ειστιν U ‖ 5 εμεισησα ℵ ‖ 10 η] ε U ‖ 12 ειστη U

XXVI 1 χρεισθηναι B | φοβηθησομαι] φοβηθησονμαι U | διλιασω B* (δειλ. Bab) ℵAT ‖ 2 θλειβοντες B ‖ 3 πολεμον U ‖ 5 εν ημερα] ειν εμερα U ‖ 6 ασομε A ‖ 7 ειακουσον U ‖ 9 εκκλεινης BℵA ‖ 11 νομοθητησον U* (νομοθετ. U2) | ευθια T ‖ 12 θλειβοντων B ‖ 14 υπομινον B* (υπομειν. Bab) bis: A (2°)

XXVII 1 καταβα|νουσιν Bedit ‖ 2 ερειν AT

XXVIII 1 κρειων ℵ ‖ 3 εβρωντησεν U ‖ 4 ισχυει ℵ ‖ 5 Λιβανους U ‖ 7 Κηριου U ‖ 10 κατοικειει A

XXIX 1 εγκενισμου A ‖ 3 ειασω A | με] μαι A ‖ 5 εξομολογεισθαι B* (-σθε Bab) A εξομολογισθε U* (-γειεσθε U1) ‖ 6 αγαλλιασεις A ‖ 8 καλλι B* (-λει Bab) ℵA

XXX 2 καταισχυνθιην ℵA κατησχυνθειην U | ρυσε A | με 2°] μαι A ‖ 3 κλεινον ℵ ‖ 7 εμεισησας ℵ | ματαιωτητας U ‖ 8 ταπινωσιν B* (ταπειν. Bab) ℵ ταπεινωσειν U ‖ 9 συνεκλισας AU ‖ 10 η bis] ε U ‖ 11 ετη] αιτη A | εσθενησεν U ‖ 12 γιτοσιν ℵA ‖ 14 κυκλοθην U ‖ 16 εκ χειρος] εχειρος U ‖ 18 καταισχυνθιην A κατεσχυνθειην U | επικαλεσαμην U | αισχυνθησαν A | καταχθησαν A ‖ 22 ελαιος A ‖ 23 εκεκστασει U | απερριμμε A | κεκραγενε A [κ]εκραγενη U ‖ 24 τοις] της U ‖ 25 ανδριζεσθαι B* (-σθε Bab) AU

XXXI 2 ειστιν U ‖ 4 ταλυπωριαν U ‖ 5 ειγνωρισα U ‖ 7 θλειψεως B | λυτρωσε A ‖ 9 γενεσθε B γνεσθαι AU | συνεσεις A συνε|εις U ‖ 10 ελαιος A ‖ 11 αγαλλιασθαι B* (-σθε Bab) A | καυχασθαι B* (-σθε Bab) A

XXXII 1 αγαλλιασθαι B* (-σθε Bab) A | ευθεσει A | αινεσεις A ‖ 2 εξομολογισθαι B* (-γεισθε Bab(vid)) εξομολογεισθαι A εξομολογισθε U* (-γεισθε U1) ‖ 5 ελαιους A ‖ 11 γεναιαν (2°) A ‖ 12 ειστιν U (item 20) ‖ 13 ανθροπων U ‖ 14 κατηκητηριον U ‖ 17 ψευδεις A ‖ 18 ελαιος A ‖ 19 ρυσασθε ℵ

XXXIII 2 αινεσεις A ‖ 3 ακουσατοσαν U ‖ 7 θλειψεων B (item 18) θλιψαιων A (item 18) ‖ 8 αυτον] αυτων U ‖ 9 γευσασθαι B* (-σθε Bab) A | ιδεται A ‖ 10 οι] ε U ‖ 11 επινασαν B* (επειν. Ba) ℵAU (επινα[σαν]) ‖ 15 εκκλεινον ℵA | ερηνην U ‖ 19 ταπινους ℵ | σωσι B* (-σει Ba) ‖ 20 αι] ε U | θλειψεις B ‖ 22 μεισουντες ℵ

XXXIV 2 θυραιου A | αναστηθει A ‖ 3 εκχαιον A | συνκλισον AU | ειμι] εμι U ‖ 5 εκθλειβων B ‖ 7 δωραιαν A (item 19) | ωνιδισαν B*

(ωνειδ. B^{ab}) ‖ 11 εγεινωσκον B ‖ 13 εταπινουν B^{*} (εταπειν. B^{ab}) ℵ ‖ 14 εταπινουμην B^{*} (εταπειν. B^{ab}) ℵ ‖ 16 επιρασαν B^{*} (επειρ. B^{ab}) ‖ 19 μεισουντες ℵ ‖ 23 κρισι B^{*} (-σει B^{ab})

XXXV 3 μεισησαι ℵ ‖ 6 ελαιος (item 8, 11) ‖ 9 χιμαρρουν B^{*} (χειμ. B^{ab}) ℵ ‖ 11 παρατινον B^{*} (παρατειν. B^{ab}) ℵA | ευθεσει A

XXXVI 7 υποταγηθει A ‖ 8 παυσε A ‖ 16 κρισσον B^{*} (κρεισσ. B^{ab}) A ‖ 18 γινωσκι B^{*} (-σκει B^{ab}) ‖ 21 αποτησει A | οικτειρι B^{*} (-ρει B^{ab}) οικτιρι A οικτιρει T ‖ 27 εκκλεινον ℵ ‖ 28 ενκαταλιψει ℵ εγκαταλειψι A ‖ 30 κρισει] A ‖ 31 ουκ B^{*} (ουχ B^{ab}) ℵ ‖ 34 υπομινον B^{*} (υπομειν. B^{ab}) A ‖ 35 επερομενον A ‖ 37 ιρηνικω B^{*} (ειρ. B^{ab}) ‖ 39 θλειψεως B θλιψαιως A ‖ 40 εξελιται B^{*} (-λειται B^{ab})

XXXVII 4 ιασεις A (item 8) ‖ 9 εταπινωθην B^{*} (εταπειν. B^{ab}) ℵAT ‖ 18 αιτοιμος A ‖ 20 μεισουντες ℵT

XXXVIII 3 εταπινωθην B^{*} (εταπειν. B^{ab}) ℵT | εσειγησα B^{*} (εσιγ. B^{b}) | ανεκενισθη A ‖ 7 ικονι AT ‖ 9 ονιδος B^{*} (ονειδ. B^{ab}) T | αφρονει A ‖ 10 ηνυξα B^{*} (ηνοιξ. B^{ab}) ‖ 12 ελλεγμοις A

XXXIX 9 εμμεσω AT ‖ 11 ελαιος A (item 12) ‖ 12 οικτειρμους ℵ ‖ 15 εντραπιησαν (1°) T ‖ 17 ευφρανθιησαν A

XL 4 κλεινης Bℵ ‖ 5 ιασε A ‖ 10 αισθιων T ‖ 13 εβαιβεωσας A

II

XLI 7 μεικρου B^{*} (μικρ. B^{a1}) ℵ ‖ 9 ελαιος A ‖ 10 ει] ι A ‖ 11 θλειβοντες B | καθ εκαστην] κατ εκ. ℵ ‖ 12 συνταρασσις B^{*} (-σεις B^{ab})

XLII 1 κρεινον ℵ ‖ 2 μαι B^{*} (με B^{ab}) A | εκθλειβειν B^{*} (εκθλιβ. B^{ab}) ‖ 4 ναιοτητα A ‖ 5 συνταρασσις B^{*} (-σεις B^{ab})

XLIII 7 σωσι B^{*} (-σει B^{ab}) ‖ 11 οπεισω A | μεισουντες ℵT ‖ 12 διεσπιρας T ‖ 14 ονιδος B^{*} (ονειδ. B^{ab}) AT | γιτοσιν B^{*} (γειτ. B^{ab}) ℵAT ‖ 15 κειινσιν B^{*} (κιν. B^{ab}) ℵAT ‖ 17 ονιδιζοντος B^{*} (ονειδ. B^{b}) ℵT ‖ 20 εταπινωσας B^{*} (εταπειν. B^{ab}) ℵT ‖ 21 ει 2°] ι A ‖ 24 αναστηθει A ‖ 26 εταπινωθη B^{*} (εταπειν. B^{ab}) ℵT

XLIV 2 γραμματαιως AT ‖ 3 καλλι A ‖ 4 δυναται A (item 5) | καλλι B^{*} (καλλει B^{ab}) ℵA ‖ 5 εντινον AT ‖ 8 εμεισησας ℵT | εχρεισεν B^{*} (εχρισ. B^{ab}) ℵ | ελεον B^{*} (ελαιον B^{ab}) ‖ 9 βαραιων A ‖ 10 βασιλεισσα ℵ ‖ 11 κλεινον Bℵ ‖ 16 απενχθησονται T

XLV 2 βοηθς T | θλειψεσιν B ‖ 6 εμμεσω T ‖ 7 εκλειναν ℵ ‖ 8 δυναμαιων A (item 12) ‖ 10 θυραιους AT

XLVI 7 ψαλαται (4°) A

XLVII 4 γνηωσκεται A ‖ 7 ωδεινες ℵ ‖ 10 ελαιος A | εμμεσω T ‖ 13 διηγησασθαι B^{*} (-σθε B^{ab}) A ‖ 14 θεσθαι B^{*} (-σθε B^{ab}) A | καταδιελεσθαι B^{*} (-σθε B^{ab}) A | διηγησασθε T

XLVIII 2 ενωτισασθαι B^{*} (-σθε B^{ab}) A ‖ 3 γιγενεις A ‖ 5 κλεινω ℵ | ανυξω A ‖ 7 δυναμι ℵA ‖ 8 εξειλασμα Bℵ ‖ 9 τειμην B^{*} (τιμ. B^{b}) ‖ 10 ουχ B^{*} (ουκ B^{ab}) ‖ 12 γεναιαν (1°) A | γαιων] γεων A ‖ 18 αποθνησκιν ℵ ‖ 20 ουχ B^{*} (ουκ B^{ab}) T

XLIX 5 συναγαγεται A ‖ 9 χιμαρρους B^{*} (χιμαρους B^{b}) ℵ χειμαρρους AT ‖ 12 πινασω B^{*} (πειν. B^{ab}) ℵAT ‖ 13 αιμα] εμα A | πειομαι T ‖ 14 αινεσαιως A ‖ 15 θλειψεως B θλιψαιως A | δοξασις B^{*} (-σεις B^{ab}) A ‖ 16 αναλαμβανις A ‖ 17 εμεισησας ℵT ‖ 23 διξω B^{*} (δειξ. B^{ab}) T

L 3 εξαλιψον B^{*} (εξαλειψ. B^{ab}) ℵT ‖ 4 πλιον B^{*} (πλειον B^{ab}) ‖ 9 πλυνεις B^{*} (πλυνειs B^{ab}) | χειονα T ‖ 10 τεταπινωμενα B^{*} (τεταπειν. B^{ab}) ℵT ‖ 11 εξαλιψον B^{*} (εξαλειψ. B^{ab}) ℵT ‖ 19 τεταπινωμενην B^{*} (τεταπειν. B^{ab}) ℵT

LI 2 αναγγιλαι T

LII 4 εξεκλειναν BN

LIII 2 ουχ B* (ουκ B^{ab}) RT ‖ 3 δυναμι B* (-μει B^{ab}) | κρεινον N* ‖ 9 θλειψεως B

LIV 4 εξεκλεναν BN ‖ 5 διλια B* (δειλ. B^{ab}) T ‖ 11 εμμεσω T (item 16) ‖ 12 πλατιων T ‖ 13 μεισων T ‖ 15 αιδεσματα T ‖ 20 ταπινωσει NT ‖ 21 εξετινεν T ‖ 22 ελεον B* (ελαιον B^{ab})

LV 9 εξηγγιλα T

LVI 4 εξαπεστιλεν T | ονιδος T ‖ 5 οξια T

LVII 1 διαφθιρης T ‖ 2 ενθια T ‖ 3 εργαζεσθαι B ‖ 8 εντενι B* (-νει B^{ab}) ‖ 9 τακις B* (τακεις B^{ab}) | αντανερεθησονται T

LVIII 1 διαφθιρης T ‖ 2 με 1°] μαι B* (με B^{ab}) N ‖ 9 εξουδενωσις B* (-σεις B^{ab}) ‖ 12 αποκτινης T | δυναμι B* (-μει B^{ab}) item 17 ‖ 17 θλειψεως B

LIX 2 χειλιαδας B ‖ 4 συνεσισας B* (συνεσεισ. B^{ab}) N ‖ 5 εδιξας B* (εδειξ. B^{ab}) ‖ 6 σημιωσιν B* (σημειωσιν B^{ab}) N ‖ 13 βοηθιαν T ‖ 14 θλειβοντας B

LXI 4 επιτιθεσθαι B* (-σθε B^{ab}) ‖ 8 βοηθιας T ‖ 11 προστιθεσθαι B* (-σθε B^{ab})

LXII 4 κρισσον T ‖ 6 πειοτητος T

LXIII 4 ενετιναν B* (ενετειν. B^{ab}) T ‖ 7 βαθια T ‖ 10 ανηγγιλαν T

LXIV 4 ειλαση BN ‖ 7 ισχυει N ‖ 9 σημιων B* (-μειων B^{ab}) | τερψις B ‖ 12 παιδια B* (πεδ. B^{ab})

LXV 11 θλιψις B* (-ψεις B^{ab}) ‖ 15 χιμαρρων BN

LXVII 2 μεισουντες N ‖ 5 αγαλλιασθαι B* (-σθε B^{ab}) ‖ 15 χειονωθησονται B* (χιον. B^{ab}) ‖ 18 χειλιαδες N ‖ 29 δυναμι B* (-μει B^{ab}) ‖ 31 αποκλισθηναι B* (αποκλεισθ. B^{ab})

LXVIII 7 εντραπισαν B* (-πεισαν B^{ab}) N ‖ 8 ονιδισμον N (item 11, 21) ‖ 10 ονιδισμοι B* (ονειδ. B^{ab}) ‖ 13 πεινοντες B* (πιν. B^{b}) ‖ 15 μεισουντων N ‖ 17 οικτιρμων B^{b} ‖ 18 θλειβομαι B ‖ 20 ονιδισμον B* (ονειδ. B^{ab}) | θλειβοντες B ‖ 29 εξαλιφθητωσαν B* (εξαλειφθ. B^{ab}) N

LXIX 3 αποστραφισαν N (item 4) | καταισχυνθισαν N

LXX 2 κλεινον N ‖ 19 μεγαλια B* (μεγαλεια B^{ab}) ‖ 20 θλιψις B* (-ψεις B^{ab}) ‖ 22 αληθιαν B* (-θειαν B^{ab}) N

LXXI 4 ταπινωσει T ‖ 7 αντανερεθη B* (ανταναιρ. B^{ab}) T ‖ 13 φισεται T

III

LXXII 20 ικονα T ‖ 28 εξαγγιλαι T | αινεσις B* (-σεις B^{ab}) N

LXXIII 4 μεισουντες NT | εμμεσω T ‖ 5 αξειναις N ‖ 6 πελεκι B* (-κει B^{ab}) N ‖ 10 ονιδιει B* (ονειδ. B^{ab}) NT ‖ 13 δυναμι B* (-μει B^{ab}) ‖ 15 χιμαρρους B* (χειμ. B^{ab}) N ‖ 18 ωνιδισεν T ‖ 21 τεταπινωμενος B* (τεταπειν. B^{ab}) NT ‖ 22 ονιδισμων N*T ‖ 23 μεισουντων NT

LXXIV 1 διαφθιρης T ‖ 3 κρεινω N ‖ 6 επερετε B* (επαιρ. B^{ab}) T | λαλιτε T ‖ 8 ταπινοι B* (ταπειν. B^{ab}) NT ‖ 9 εκλεινεν N | πεινονται T

LXXV 11 εορτασι B* (-σει B^{ab}) ‖ 12 ευξασθαι B* (-σθε B^{ab})

LXXVII 1 κλεινατε N ‖ 4 τας αινεσις B* (-σεις B^{ab}) τανεσεις R ‖ 5 ενετιλατο T (item 23) ‖ 9 εντινοντες T ‖ 11 εδιξεν T ‖ 12 παιδιω B* (πεδ. $B^{a\dagger b}$) ‖ 18 εξεπιρασαν NT ‖ 20 επι B* (επει B^{ab}) T | χιμαρροι B* (χειμ. B^{ab}) N ‖ 25 απεστιλε| T ‖ 27 πετινα T ‖ 31 απεκτινεν B* (απεκτειν. B^{ab}) T | πλιοσιν (πλει. B^{ab}) ‖ 38 ειλασεται B ‖ 43 σημια B* (-μεια $B^{?}$) ‖ 44 πειωσιν T ‖ 45 εξαπεστιλεν T (item 49) | διεφθιρεν T ‖ 47 απεκτινεν NT | συκαμεινους B* (συκαμιν. B^{b}) N ‖ 50 εφισατο T | συνεκλισεν T (item 62) ‖ 51 απαρχημ R ‖ 53 εδιλιασεν NT ‖ 66 ονιδος T ‖ 72 συνεσι N*

LXXVIII 2 πετινοις T ‖ 4 ονιδος T | γιτοσιν (item 12) NT ‖ 9 ειλασθητι BN ‖ 12 ονιδισμον, ωνιδισαν T

LXXIX 3 εξεγιρον T ‖ 7 γιτοσιν B* (γειτ. B²) ℵT ‖ 12 εξετινεν ℵT ‖ 15 δυναμαιων A (item 20)

LXXX 2 αγαλλιασθαι A ‖ 7 αρσαιων A ‖ 8 θλειψει B | με] μαι ℵA ‖ 13 εξαπεστιλα T ‖ 15 εταπινωσα ℵA T | θλειβοντος B

LXXXI 1 εμμεσω B* (εν μ. B^b) | διακρεινει B ‖ 2 κρεινετε B | λαμβανεται A ‖ 3 κρεινατε Bℵ | ταπινον T ‖ 4 εξελεσθαι A | ρυσασθαι A ‖ 5 σκοτι AT | θεμελεια A ‖ 6 εσται A ‖ 7 αποθνησκεται A | πιπτεται A ‖ 8 κρεινον Bℵ

LXXXII 3 μεισουντες B* (μισ. B^b "et alias") ℵT ‖ 10 χιμαρρω B* (χειμ. Ba?b) ℵT

LXXXIII 2 δυναμαιων A (item 4, 9, 13) ‖ 3 εκλιπει ℵ εκλειπι A ‖ 6 αντιλημψεις A ‖ 7 ευλογειας A ‖ 8 δυναμαιως A ‖ 11 χειλιαδας Bℵ ‖ 12 ελαιον A

LXXXIV 6 γεναιαν A ‖ 8 διξον AT | ελαιος A (item 11) ‖ 12 ανετιλεν T

LXXXV 1 κλεινον Bℵ ‖ 5 πολυελαιος A (item 15) ‖ 7 θλειψεως B ‖ 11 φοβισθαι T ‖ 13 ελαιος A ‖ 15 αληθεινος AT ‖ 17 μεισουντες BℵT

LXXXVII 2 νυκιτ T^edit ‖ 3 σου 1°] σ| T | κλεινον Bℵ ‖ 7 σκοτινοις AT ‖ 12 ελαιος A ‖ 13 σκοτι ℵAT ‖ 16 εταπινωθην ℵT

LXXXVIII 3 ελαιος (item 15, 25, 29, 34) ‖ 5 αιτοιμασω A | γεναιαν (1°) A ‖ 9 δυναμαιων A ‖ 11 εταπινωσας ℵT ‖ 21 εχρεισα B* (εχρισ. Bb) ℵ ‖ 24 μεισουντας B* (μισ. Bb) ℵT ‖ 41 διλιαν ℵAT ‖ 42 ονιδος T | γιτοσιν B* (γειτ. Ba?b) ℵAT ‖ 49 ουχ T ‖ 51 ονιδισμου T ‖ 52 ωνιδισαν bis T

IV

LXXXIX 3 ταπινωσιν B* (ταπειν. Bab) ℵAT ‖ 4 χειλια Bℵ ‖ 10 ετη 1°] αιτη A ‖ 15 εταπινωσας B* (εταπειν. Bab) ℵAT

XC 4 επισκιασι A ‖ 6 σκοτι AT ‖ 7 πεσειτε A | χειλιας B ‖ 11 εντελειτε A | διαφυλαξε A ‖ 13 λαιοντα A ‖ 15 Oλειψει A ‖ 16 διξω AT

XCI 2 εξομολογεισθε A^vid εξομολογισθαι T | ψαλλιν A ‖ 3 αναγγελλιν A | ελαιος A ‖ 8 ανατιλαι T ‖ 11 πειονι A ‖ 15 γηρι (ι sup ras) A²T | πειονι T ‖ 16 αναγγιλαι T

XCII 1 κατωκεισται A

XCIII 1 εκδικησαιων bis A ‖ 2 κρεινων B ‖ 5 εταπινωσαν B* (εταπειν. Bab) ℵA ‖ 19 παρακλησις A

XCIV 4 οραιων A ‖ 8 ακουσηται A | σκληρυνηται A | πιρασμου B* (πειρ. Bab) ℵ

XCV 1 καινον] κενον A ‖ 2 ευαγγελιζεσθαι A ‖ 3 αναγγιλατε T ‖ 8 εισπορευεσθαι A ‖ 10 κρεινει B (item 13) ‖ 11 ευφρενεσθωσαν A ‖ 12 παιδια A ‖ 13 κρειναι B

XCVI 6 ανηγγιλαν T ‖ 7 ιδωλοις T ‖ 10 μεισειτε B* (μισ. Bbc) ℵT μισιται A ‖ 11 ανετιλεν T | ευθεσει A ‖ 12 εξομολογεισθαι A

XCVII 1 καινον] κενον A ‖ 3 ελαιους ℵA ‖ 4 αγαλλιασθαι A ‖ 8 χειρει B* (χειρι Bb) χιρι A ‖ 9 κρεινει B

XCVIII 5 προσκυνιτε T (item 9) ‖ 8 ευειλατος B* (ευιλ. Bb) ℵA | εγειναν B ‖ 9 προσκυνειται ℵA

XCIX 2 αγαλλιασι ℵ ‖ 3 ημις ℵ ‖ 4 εξομολογεισθαι ℵA | αινειται ℵ αινιτε T ‖ 5 ελαιος A

C 2 εμμεσω BAT ‖ 3 παραβασις A | εμεισησα T ‖ 4 εκκλεινοντος BA ‖ 6 ελιτουργει B* (ελειτ. Bab?) ℵAT ‖ 7 εμμεσω BT

CI 3 θλειβωμαι B | κλεινον B ‖ 5 φαγιν ℵ ‖ 7 οικοπαιδω A ‖ 9 ωνιδιζον T ‖ 12 εκλιθισαν A ‖ 13 μενις ℵ | γεναιαν (2°) A ‖ 14 οικτιρησεις ℵ | οικτιρησαι ℵT ‖ 18 ταπινων T ‖ 24 αναγγιλον ℵT ‖ 25 ημισι ℵ ημεισει A | γεναιων A ‖ 27 ειματιον ℵA ‖ 28 εκλιψουσιν ℵ

CII 1 ευλογι ℵ (item 2, 22) ‖ 3 ευειλατευοντα B* (ευιλ. Bb) ℵ ‖ 4 οικτιρμοις T ‖ 5 ανακενισθησεται A ‖ 8 πολυελαιος A ‖ 11 ελαιος A (item 17) ‖

13 οικτιρει ℵT οικτειρι A | οικτιρησεν T ‖ 20 ευλογειται ℵA ευλογιτε T | ισχυει B* (ισχυι Bᵇ) | ακουσε A ‖ 21 ευλογειται ℵA ευλογιτε T | δυναμις ℵ | λιτουργοι B* (λειτ. Bᵃᵇ) AT ‖ 22 ευλογειται ℵ ευλογιτε T

CIII 1 ευλογι ℵ ‖ 2 εκτινων ℵT | ωσι ℵ ‖ 4 λιτουργους B* (λειτ. Bᵃᵇ) ℵAT ‖ 6 οραιων A (item 10, 32) ‖ 7 δειλειασουσιν B* (δειλιασ. Bᵇ) διλιασουσιν ℵA ‖ 8 παιδια ℵA ‖ 11 δειψαν B ‖ 12 πετινα ℵT ‖ 15 ευφρενει A | στηριζι ℵ ‖ 16 παιδιου A ‖ 17 ηγιται AT ‖ 22 ανετιλεν ℵT ‖ 26 εμπεζειν A ‖ 29 εκλιψουσιν ℵ ‖ 30 ανακενιεις A ‖ 32 τρεμιν ℵ ‖ 34 ηδυνθιη ℵ | ευφρανθησομε ℵ ‖ 35 ευλογι ℵ | υπαρχιν A

CIV 1 εξομολογεισθαι A | επικαλεισθαι ℵA | απαγγειλαται ℵ απαγγιλατε T ‖ 2 διηγησασθαι ℵA ‖ 3 επαινεισθαι A επαινισθε T ‖ 4 ζητησαται ℵ bis ‖ 8 ενετιλατο ℵT | χειλιας B ‖ 14 βασιλις ℵ ‖ 15 χρειστων B* (χριστ. Bᵇ) ℵ | πονηρευεσθαι A ‖ 17 απεστιλεν ℵT ‖ 18 εταπινωσαν B* (εταπειν. Bᵃᵇ) ℵT | πεδαις] παιδες A ‖ 20 εξαπεστιλεν ℵ* απεστιλεν ℵᶜ·ᵃT ‖ 25 μεισησαι T ‖ 26 εξαπεστιλεν ℵT ‖ 27 σημιων ℵ ‖ 28 εξαπεστιλεν ℵ ‖ 29 απεκτινεν ℵT ‖ 43 αγαλλιασι ℵ

CV 1 εξομολογεισθαι A εξομολογισθε T | ελαιος A ‖ 4 ευδοκεια A | επισκεψε ℵ ‖ 5 επαινισθαι T ‖ 7 ελαιους ℵA ‖ 10 μεισουντων B* (μισ. Bᵇ) μεισουντος T ‖ 11 θλειβοντας B | εις] ις T | υπελιφθη B* (υπελειφθ. Bᵃᵇ) ℵ ‖ 13 υπεμιναν ℵ ‖ 14 επιρασαν ℵ ‖ 15 εξαπεστιλεν ℵ ‖ 30 εξειλασατο ℵ | θραυσεις A ‖ 33 διεστιλεν ℵT | χιλεσιν ℵ ‖ 41 χιρας ℵ (item 42) | μεισουντες T ‖ 42 εταπινωθησαν (item 43) ℵT ‖ 43 πλεονακεις A ‖ 44 θλιβεσθε ℵ ‖ 45 ελαιους A ‖ 47 αινεσι ℵA ‖ 48 γενοιτγεοιτο T^edit

V

CVI 1 εξομολογεισθαι A εξομολογισθε T | ελαιος A ‖ 2 χιρος ℵ ‖ 5 πινωντες ℵAT ‖ 7 ευθιαν ℵT ‖ 9 πινωσαν ℵAT ‖ 10 σκοτι ℵAT ‖ 12 εταπινωθη ℵT ‖ 17 εταπινωθησαν ℵAT ‖ 20 απεστιλεν ℵT ‖ 22 εξαγγιλατωσαν T | αγαλλιασει A ‖ 36 πινωντας ℵAT ‖ 37 εσπιραν AT ‖ 39 θλιψαιως A

CVII 5 ελαιος A | αληθια ℵ ‖ 13 θλιψαιως A ‖ 14 εξουδενωσι ℵ

CVIII 2 ηνυχθη ℵ ‖ 3 μεισους T | δωραιαν A ‖ 5 μεισος ℵT ‖ 10 επετησατωσαν ℵA | οικοπαιδων A ‖ 13 εξαλιφθητω ℵ*A ‖ 14 αναμνησθιη ℵ | εξαλιφθειη ℵ εξαλειφθιη A εξαλιφθη T ‖ 16 ελαιος A (item 21 [Aᵃ¹], 26) ‖ 18 ελεον ℵ (item 24) ‖ 21 ρυσε ℵ ‖ 23 εκκλειναι A ‖ 25 ονιδος ℵT ‖ 27 χιρ ℵ

CIX 2 εξαποστελι ℵ ‖ 5 βασιλις A ‖ 7 πειεται T

CX 4 μνιαν AT ‖ 6 ανηγγιλεν T ‖ 9 απεστιλεν ℵT | ενετιλατο ℵT

CXI 2 εστε ℵ ‖ 4 εξανετιλεν ℵT | σκοτι ℵAT | ευθεσει A ‖ 7 αιτοιμη A

CXII 1 αινιτε bis T ‖ 6 ταπινα ℵT ‖ 7 εγιρων ℵT ‖ 9 στιραν ℵT

CXIII 4 εσκειρτησαν A ‖ 6 εσκιρτισατε A ‖ 12 ιδωλα T ‖ 13 ουκ] ουχ T ‖ 14 ρεινας ℵ ‖ 22 προσθιη ℵ ‖ 23 υμις ℵ | εσται ℵ

CXIV 3 ωδεινες A ‖ 5 ελαιημων ℵ ‖ 6 εταπινωθην ℵAT ‖ 8 εξιλατο T

CXV 1 εταπινωθην ℵT ‖ 2 εκστασι ℵ ‖ 10 εμμεσω A

CXVI 1 αινειται ℵ ‖ 2 μενι ℵ

CXVII 1 εξομολογεισθαι ℵA εξομολογισθε T | ελαιος A (item 2, 3, 29) ‖ 12 μελισσε A ‖ 13 ωσθις A ‖ 19 ανιξατε A ‖ 27 συστησασθαι ℵA ‖ 29 εξομολογεισθαι ℵA

CXVIII 4 ενετιλω ℵT ‖ 5 κατευθυνθισαν ℵ ‖ 6 επιβλεπιν ℵ ‖ 13 χιλεσιν ℵ | εξηγγιλα ℵT ‖ 22 ονιδος ℵT ‖ 25 εδαφι ℵ ‖ 26 εξηγγιλα ℵT ‖ 36 κλεινον A ‖ 39 ονιδος ℵ ‖ 41 ελαιος

(1°) A (item 76, 88) ‖ 42 *ονιδιζουσι* ℵ ‖ 46 *βασιλαιων* A ‖ 48 *χιρας* ℵ ‖ 50 *ταπινωσει* ℵT *ταπινωσι* A ‖ 62 *μεσονυκτειον* ℵ | *εξομολογισθαι* T ‖ 64 *ελαιους* A | *με*] *μαι* A ‖ 67 *ταπινωθηναι* ℵT ‖ 71 *εταπινωσας* ℵT ‖ 81 *εκλιπει* ℵ ‖ 89 *διαμενι* ℵ ‖ 91 *διαταξι* ℵA ‖ 92 *ει*] *ι* ℵ* (*ει* ℵ?) | *ταπινωσι* ℵT ‖ 103 *μελει* ℵA ‖ 104 *εμεισησα* T (item 113, 128, 163) ‖ 107 *εταπινωθην* ℵT ‖ 115 *εκκλειναται* A ‖ 130 *δηλωσεις* ℵA ‖ 131 *ηνυξα* ℵ*A ‖ 136 *επι* AT ‖ 138 *ενετιλω* ℵ T ‖ 142 *αληθια* ℵ (item 151) ‖ 153 *ταπινωσιν* ℵT | *με*] *μαι* A ‖ 161 *δωραιαν* A | *εδιλιασεν* ℵAT ‖ 164 *επτακεις* A ‖ 171 *χιλη* ℵ

CXIX 1 *θλειβεσθαι* A ‖ 2 *χιλαιων* A ‖ 6 *μεισουντων* AT ‖ 7 *ιρηνικος* ℵ | *δωραιαν* AT

CXX 1 *ηξι* ℵ | *βοηθια* ℵT ‖ 2 *βοηθια* T

CXXI 3 *πολεις* A ‖ 7 *δυναμι* A

CXXII 2 *δυλων* T | *χιρας* ℵ bis ‖ 4 *πλιον* ℵA | *ονιδος* T | *εξουδενωσεις* A

CXXIII 2 *εφ ημας*] *φημας* T^edit

CXXIV 3 *αφησι* ℵ | *εκτινωσιν* ℵT

CXXV 1 *επιστρεψε* ℵ ‖ 4 *χιμαρρους* ℵ ‖ 5 *σπιροντες* ℵT

CXXVI 1 *φυλξαη* T^edit ‖ 4 *ωσι* ℵ ‖ 5 *κατεσχυνθησεται* ℵ

CXXVII 2 *φαγεσε* A ‖ 3 *ελεων* ℵ

CXXVIII 1 *πλεονακεις* A (item 2) ‖ 3 *ετεκτενον* ℵA ‖ 5 *μεισουντες* ℵT ‖ 8 *ευλογεια* A

CXXIX 3 *υποστησητε* ℵ ‖ 4 *ειλασμος* ℵ ‖ 5 *υπεμινεν* ℵ ‖ 7 *ελαιος* A | *λυτρωσεις* A

CXXX 2 *εταπινοφρονουν* ℵT

CXXXI 3 *κλεινης* A ‖ 6 *δασεσει* A ‖ 8 *αναστηθει* A | *κειβωτος* A ‖ 11 *αληθιαν* ℵ | *θησομε* ℵ ‖ 14 *καταπαυσεις* ℵA

CXXXII 3 *ενετιλατο* ℵT | *ευλογειαν* A

CXXXIII 1 *ευλογειται* ℵ *ευλογιτε* T ‖ 2 *επαραται* ℵ | *ευλογιται* ℵ *ευλογειται* A *ευλογιτε* T

CXXXIV 1 *αινειται* (1°) ℵA *αινιτε* T | *αινιται* (2°) ℵ *αινειται* A *αινιτε* T ‖ 3 *αινειται* ℵA *αινιτε* T ‖ 9 *εξαπεστιλεν* ℵT | *σημια* ℵ | *εμμεσω* T | *Αιγυπται* A ‖ 10 *απεκτινεν* ℵT | *κρατεους* T ‖ 15 *ιδωλα* ℵT ‖ 16 *ουκ*] *ουχ* T

CXXXV 1 *εξομολογεισθαι* A (item 2, 3, 26) *εξομολογισθε* T (item 2, 3, 26) | *ελαιος* A (item vicies bis) ‖ 2 *εξομολογεισθαι* ℵ (item 3) ‖ 5 *συνεσι* ℵ ‖ 13 *διερεσεις* ℵ ‖ 18 *αποκτιναντι* ℵAT ‖ 19 *βασιλαια* A ‖ 24 *χιρος* ℵ

CXXXVI 1 *εκαθεισαμεν* A ‖ 2 *εμμεσω* T ‖ 5 *επιλησθιη* ℵA ‖ 6 *κολληθιη* A ‖ 8 *ανταποδωσι* ℵ

CXXXVII 2 *αληθια* ℵ ‖ 3 *δυναμι* ℵ ‖ 6 *ταπινα* ℵAT | *γινωσκι* ℵ ‖ 7 *εμμεσω* B* (*εν μ.* Ba?b) T | *θλειψεως* B *θλιψαιως* A | *εξετινα* ℵ* | *εξετινας* ℵc.a T ‖ 8 *ελαιος* A | *χιρων* ℵ

CXXXVIII 3 *σχυνον* A ‖ 8 *παρι* T ‖ 14 *γινωσκι* A ‖ 16 *ουδις* A ‖ 17 *λειαν* B* (*λιαν* Bb) bis ‖ 19 *αποκτινης* ℵT | *εκκλειναται* B ‖ 20 *πολις* ℵA ‖ 21 *μεισουντας*, *εμεισησα* B* (*μισ.*, *εμισ.* Bb) T ‖ 22 *τελιον* T | *μεισος* ℵT | *εμεισουν* AT

CXXXIX 2 *με* 1°] *μαι* ℵA | *ανδικου* ℵ* (*αδ.* ℵ1) ‖ 4 *ωσι* A | *χιλη* ℵ ‖ 5 *αμαρτολου* B^edit ‖ 6 *διετιναν* AT ‖ 8 *δυναμεις* A ‖ 13 *ποιησι* ℵ

CXL 2 *χιρων* ℵ ‖ 4 *εκκλεινης* B* (*εκκλιν.* Bb) | *προφασις* ℵA | *αμαρτιαις* *αρματιαις* A

CXLI 3 *εκχαιω* A ‖ 7 *εταπινωθην* B* (*εταπειν.* Bb) ℵT

CXLII 1 *αληθια* ℵ ‖ 3 *εταπινωσεν* B* (*εταπειν.* Bab) ℵAT ‖ 8 *ελαιος* A | *πορευσομε* ℵ ‖ 9 *με*] *μαι* A ‖ 10 *ευθια* ℵT ‖ 11 *ζησις* A | *θλιψαιως* A ‖ 12 *θλειβοντας* B

CXLIII 1 *χιρας* ℵ ‖ 2 *ελαιος* A ‖ 4 *ωσι* ℵ* (*ωσει* ℵc.a) ‖ 5 *κλεινου* B | *καταβηθει* B* (*-θι* Bb) | *οραιων* A ‖ 6 *εξαποστιλον* (item 7) ℵT ‖ 7 *με* 1°] *μαι* A | *ρυσε* ℵ* (*-σαι* ℵc.a) ‖ 11 *με* 2°] *μαι* A

CXLIV 4 *επαινεσι* ℵ ‖ 8 *πολυελαιος* A ‖ 14 *αναρθοι* R ‖ 15 *ευκερια* A ‖ 16 *χιρας* ℵ ‖ 19 *ποιησι* ℵ ‖ 21 *ευλογιτω* ℵT

CXLV 4 εκινη ℵ ‖ 6 αληθιαν ℵ ‖ 7 πινωσιν ℵAT | πεπαιδημενους A ‖ 8 αναρθοι R ‖ 9 φυλασσι A ‖ 10 γεναιαν (2°) A

CXLVI 1 αινειται ℵA | ηδυνθιη ℵA ‖ 3 ειωμενος A ‖ 6 ταπινων ℵT ‖ 8 αιτοιμαζοντι A ‖ 9 θροφην R ‖ 12 ελαιος A

CXLVII 1 αιπαινι ℵ* (επαινι ℵc.a) αιπενει A ‖ 2 μοκλους B* (μοχλ. Bab) ‖ 5 χειονα T ‖ ωσι (1°) ℵ: (2°) A ‖ 7 αποστελι ℵ | τηζι ℵ

CXLVIII 1 αινειτε 1°] αινειται ℵT | αινειτε 2°] αινειται ℵAT (item 2 bis, 4, 7, ℵ: 2 bis, 3 bis, 4, 7, T) ‖ 2 δυναμις ℵ ‖ 5 ενετιλατο ℵT ‖ 8 χειων ℵT ‖ 10 πετινα ℵT ‖ 13 εξομολογησεις ℵA

CXLIX 1 αινεσεις A ‖ 8 πεδαις] παιδες A | χιροπεδαις A

CL 1 αινειται (bis: item 2 bis, 3 bis, 4 bis, 5 bis) ℵ αινιτε T

[CLI] 1 μεικρος ℵ ‖ 2 χειραις ℵ ‖ 4 εξαπεστιλεν T | εχρεισεν, χρεισεως B χρισιος Rvid ‖ 6 ιδωλοις ℵT ‖ 7 ονιδος AT

ΠΑΡΟΙΜΙΑΙ

I 2 νοησε C ‖ 3 δεξασθε C | κατευθυνιν ℵ ‖ 15 εκκλεινον B ‖ 17 εκτινετε ℵ ‖ 20 υμνιται C | πλατιαις ℵAC ‖ 21 τιχεων ℵC ‖ 22 εμεισησαν B* (εμισ. Bb) A: item 29 ‖ 24 επιδη ℵ | ουκ B* (ουχ Ba?b) | εξετινον ℵ ‖ 25 εποιειται ℵ

II 5 ευρησις C ‖ 10 αισθησεις ℵ* (-σις ℵc.a) ‖ 13 ευθιας ℵ (item 16, 19) ‖ 17 διδασκαλειαν A ‖ 21 υπολιφθησονται B* (υπολειφθ. Bab)

III 1 τηριτω ℵ ‖ 3 ελαιημοσυναι A ‖ 7 εκκλεινε B ‖ 10 ε ληνοι ℵ* (αι λ. ℵc.a) ‖ 14 κριττον ℵ ‖ 16 a ελαιον A ‖ 18 επεριδομενοις B* (επερειδ. Bab) ℵA ‖ 23 ιρηνη ℵ ‖ 27 χιρ ℵ ‖ 31 ονιδη ℵ ‖ 34 ταπινοις ℵ

IV 12 συνκλισθησεται ℵ ‖ 15 στρατοπαιδευσωσιν ℵA | εκκλεινον BA ‖ 17 σειτουνται B* (σιτ. Bb) ℵ | σειτα B* (σιτ. Bb(vid)) ℵ ‖ 23 τηρι ℵ ‖ 27 εκκλεινης BA ‖ 27 b ιρηνη ℵ

V 3 αποσταζι ℵ ‖ 5 εριδεται ℵA ‖ 9 αναιλεημοσιν A ‖ 11 ηνικα] ινικα A ‖ 12 εμεισησα B* (εμισ. Bb) A | εξεκλεινεν B ‖ 14 εμμεσω BA ‖ 15 πεινε Bb (πινε Bb) ℵ ‖ 16 υπερεκχισθω ℵ | πλατιας ℵ ‖ 19 ομειλειτω B* (ομιλ. Bb) A ομιλιτω ℵ ‖ 22 σιραις ℵ

VI 1 χιρα ℵ ‖ 2 χιλεσιν ℵ ‖ 3 χιρας ℵ ‖ 8 ετοιμαζετε ℵA ‖ 8 b ποθινη A ‖ 9 κατεκεισε B* (-σαι Bab) ℵA ‖ 10 μεικρον B* (μικρ. Bb) ‖ 11 εναραγειναται BℵA | ενδια A (bis) ‖ 13 σημαινι ℵ ‖ 14 τεκτενεται A ‖ 16 μεισει B* (μισ. Bb) | συντρειβεται B ‖ 18 τεκτενομενη A ‖ 30 πινων ℵ ‖ 33 ονιδος ℵ | εξαλιφθησεται B* (εξαλειφθ. Bab) ‖ 34 φισεται ℵ

VII 2 βιωσις A ‖ 6 πλατιας ℵ ‖ 9 σκοτι A ‖ 11 ουκ B* (ουχ Ba?b) ℵA ‖ 12 πλατιαις ℵ ‖ 13 αναιδι ℵ ‖ 16 κλεινην B ‖ 21 ομειλεια B* (ομιλια Bb) ομιλεια A ‖ 25 εκκλεινατω B ‖ 27 ταμια B* (ταμεια Bab) ℵ

VIII 4 προιεμε ℵ ‖ 11 κρισσων B* (κρεισσ. Bab) ℵA ‖ 13 μεισει B* (μισ. Bb) μισι ℵ ‖ 19 καρπιζεσθε ℵ ‖ 21 a γεινομενα ℵ ‖ 30 ευφρενομην A ‖ 31 ενευφρενετο ℵ | ευφρενετο ℵ ‖ 34 εισακουσετε A | εμαις] εμες A ‖ 35 ετοιμαζετε A | θελησεις ℵA ‖ 36 μεισουντες B* (μισ. Bb)

IX 1 υπερισεν B* (υπερεισεν Bab) ℵ ‖ 4 εκκλεινατω B (item 16) ‖ 6 ινα] εινα A ‖ 7 λημψετε ℵ | μωμησετε ℵ ‖ 11 ζησις ℵ ‖ 12 αντλησις ℵ ‖ 12 a εριδεται ℵ ερειδετε A ‖ 14 πλατιαις ℵA ‖ 16 ενδεεσει ℵ | παρακελευομε ℵ ‖ 17 aψασθαι A

X 1 ευφρενει ℵ ‖ 4 ταπινοι ℵ | ανδριων A ‖ 4 a αφρονει A ‖ 5 γειναται ℵ ‖ 12 μεισος B* (μισ. Bb) ℵ | νικος B* (νεικ. Bab) ℵA | φιλονικουντας B* (φιλονεικ. Bab) ℵA ‖ 13 τυπτι ℵ ‖ 19 φιδομενος A | χιλεων A ‖ 20 εκλιψει ℵA ‖ 23 τικτι ℵ ‖ 25 εκκλεινας ℵ ‖ 32 χιλη ℵ

XI 2 ταπινων B* (ταπειν. Bab) ℵ ‖ 3 γεινεται ℵ ‖ 9 πολιταις B* (πολειτ.

B^a) || 13 κρυπτι ℵ || 15 μεισει B* (μισ. B^b) ℵ || 16 μεισουσα B* (μισ. B^b) | ανδριοι ℵA | εριδονται ℵ || 18 αληθιας ℵ || 21 σπιρων ℵ || 22 ρεινι B* (ρινι B^b) | κακοφρονει A || 24 πλιονα A || 26 σειτον ℵ || 27 τεκτενομενος A || 28 πεσιτ, A || 30 αφερουνται A

XII 1 μεισων B* (μισ. B^b) ℵ || 2 κρισσων A || 4 ανδρια ℵA || 9 κρισσων ℵA || 10 οικτιρει ℵ || 11 a καταλιψει B* (-λειψει B^{ab}) || 13 χιλεων ℵ | εμπιπτι ℵ || 13 a ελαιηθησεται ℵ | εκθλεψει A || 16 κρυπτι ℵ || 17 επιδικνυμενην B* (επιδεικν. B^{ab}) ℵ || 19 χιλη ℵ (item 22) | αληθεινα A || 20 τεκτενομενου A || 22 πιστις ℵA || 25 αγγελεια A

XIII 3 τηρι ℵ | χιλεσιν ℵ || 4 ανδριων ℵ || 8 απιλην ℵ || 9 a οικτιρουσιν ℵ | ελαιωσιν B* (ελεωσ. B^{ab}) || 11 γεινεται ℵ | οικτιρει ℵ || 12 κρισσων A || 13 καταφρονι ℵ || 13 a αισονται ℵ* (εσονται ℵ$^{c.a}$) || 14 θανιται ℵ || 24 φιδεται A | μισι ℵ

XIV 3 χιλη ℵ || 6 αισθησεις A || 9 οικειαι A (bis: item 11) | οφιλησουσιν ℵA || 10 εσθητικη ℵ | ευφραινητε ℵ | υβρι B* (υβρει B^{ab}) ℵ || 12 τελευτεα B* (-ταια B^{ab}: item 13) || 13 προσμειγνυται A || 16 εξεκλεινεν B | μειγνυται A || 21 αμαρτανι ℵ* (-νει ℵ$^{c.a}$) || 22 αληθιαν ℵ || 23 ενδια ℵ || 26 καταλιπει ℵ* || 27 εκκλεινειν B || 28 εκλιψει ℵ || 29 φρονησι ℵ || 33 διαγεινωσκεται ℵ

XV 7 εσθησει A || 10 μεισουντες B* (μισ. B^b) ℵ || 14 ζητι ℵ || 16 κρισσων ℵA: item 17 || 18 κατασβεσι A || 19 ανδριων A || 20 ευφρενει ℵ || 22 συνεδρεια B* (-δρια B^{ab}) || 24 εκκλεινας B || 27 μεισων B* (μισ. B^b) ℵA | εκκλεινει B εκκλινι ℵ || 28 αποκρεινεται B | γειινονται ℵ

XVI 3 μεισει B* (μισ. B^b) || 5 ταπινου ℵC || 6 χιρας ℵ || 10 μαντιον ℵC | χιλεσιν A | κρισι ℵ || 14 εξειλασεται Bℵ || 16 νοσσειαι B* (νοσσιαι B^a) C: bis | ερετωτεραι (1ο) C | χρυσειου B* (-σιου B^b) || 17 εκκλεινουσιν B | τηρι ℵ | φισεται A || 19 κρισσων ℵA | ταπινωσεως B* (ταπειν. B^{ab}) | διερειται ℵC || 23 επει A (item 27) | χιλεσιν ℵ (item 30) | φορεσι C || 27 χιλεων ℵ || 29 αποπιραται ℵ || 32 κρισσων (1ο) B* (κρεισσ. $B^{ab\,(vid)}$) AC | κρισσων (2ο) ℵ

XVII 1 κρισσων A || 3 καμεινω ℵ || 4 χιλεσιν A || 7 αφρονει A || 9 μεισει ℵ | οικιους ℵ || 10 απιλη A | μαστειγωθεις B* (μαστιγ. B^b) || 13 κεινηθησεται B* (κιν. B^b) A || 15 κρινι ℵ || 16 ζητι ℵ || 18 επικροτι ℵ || 21 ευφρενεται A | απεδευτω ℵ | ευφρενι ℵ || 22 ευφρενομενη A | ευεκτιν A | ξηρενεται ℵ || 23 εκκλεινει B || 27 φιδεται ℵ || 28 αινεον B* (ενν. B^b)

XVIII 1 επονιδιστος B* (επονειδ. B^{ab}) || 2 χριαν ℵA || 3 καταφρονι ℵ | ονιδος ℵA || 5 εκκλεινειν B εκκλινιν ℵ | κρισι ℵ || 6 χιλη ℵ (item 7) || 8 πινασουσι ℵA || 12 ταπινουται ℵ || 13 αποκρεινεται B | ονιδος A || 16 καθιζανι ℵ || 17 πρωτολογεια A || 19 ισχυι A || 20 χιλεων ℵ || 23 αιτειαται A

XIX 3 γειινεται ℵ | ονιδος ℵ || 4 μεισει B* (μισ. B^b) || 5 ευρησι ℵ || 6 εστε ℵ || 7 συμφερι ℵ || 8 επερχετε A || 9 απιλη ℵ || 11 πατεραις A || 12 δειλεια B* (δειλια $B^{b\,vid}$) διλια ℵ | πινασει ℵA || 13 τηρι ℵ || 19 κρισσων ℵA || 22 γειινεται ℵ || 23 επονιδιστος B* (επονειδ. $B^{a\,(vid)\,b}$) A

XX 2 απιλη ℵ | αμαρτανι ℵ || 4 ονειδειζομενος A || 6 ελαιημων ℵ || 7 καταλιψει B* (-λειψει B^{ab}) ℵ || 12 υπομινον ℵ || 14 ευθια ℵ || 16 καταλαλιν ℵ

XXI 1 εκλεινεν B || 2 κατευθυνι ℵ || 6 διωκι ℵ || 9 κρισσον ℵ | οικιν ℵ || 11 γειινεται ℵ || 14 ανατρεπι ℵ | φιδομενος A || 17 ελεον A || 19 οικιν ℵ || 21 ελαιημοσυνης ℵ || 22 καθιλεν ℵ | επεποιθισαν ℵ || 24 καλιται ℵ || 25 αποκτινουσιν ℵ* || 26 επιθυμι ℵ | αφιδως ℵA

XXII 8 συντελεσι A || 10 νικος B* (νεικ. B^{ab}) ℵ || 13 πλατιαις ℵ || 14 μεισηθεις B* (μισ. B^b) || 14 a ουχ A || 18 χιλεσιν ℵA || 23 κρινι ℵ || 24 ισθει C | ετερος C || 28 μετερε ℵA || 29 βασιλευσει A

XXIII 1 καθεισης A | διπνειν ℵ ‖ 3 αιδεσματων B* (εδεσμ. B^{b}) | εχετε A ‖ 4 παρεκτινου AC ‖ 6 συνδιπνι ℵ ‖ 7 πινι ℵ ‖ 8 εξαιμεσει B* (εξεμ. B^{ab}) ℵ ‖ 11 κρινι ℵ ‖ 16 χιλη (1°) ℵ ‖ 17 ισθει C (item 20) ‖ 26 τηριτωσαν ℵA ‖ 28 απολιται ℵ ‖ 31 ομειλειτε bis B* (ομιλ. B^{b}) ομειλειτε ℵ ομιλειται A ‖ 32 εκτινεται ℵ ‖ 35 ενεπεξαν ℵA

XXIV 2 χιλη ℵ ‖ 5 κρισσων ℵA ‖ 6 γεινεται ℵ ‖ 7 σοφεια ℵ | εκκλεινουσιν B ‖ 11 φισηι ℵA ‖ 12 γεινωσκε ℵ | γινωσκι ℵ ‖ 14 εγκαταλιψει B* (-λειψει B^{ab}) ℵA ‖ 18 οψετε A ‖ 21 απιθησης ℵA ‖ 22 εξεφνης A ‖ 25 φρονησεις A ‖ 30 αποθανιν ℵ* (-νειν $ℵ^{c.a}$) ‖ 33 χιρας ℵ ‖ 35 κρινι ℵ* (-νει $ℵ^{a.c}$) ‖ 36 επερεται A ‖ 37 ταπινους ℵ ‖ 38 επιγινωσκιν ℵ ‖ 39 εστε A ‖ 41 χιλη ℵ ‖ 43 πολειτην B* (-λιτην B^{b}) | χιλεσιν ℵA ‖ 44 χρησομε C | τεισομαι ℵ ‖ 46 γεινεται ℵ ‖ 49 ενδια ℵC ‖ 50 τρις A (bis) | θυγατεραις ℵ | ειπιν A ‖ 56 σιεται ℵA | φεριν A ‖ 57 σειτιων B* (σιτ. B^{b}) ℵ ‖ 63 εριδομενος B* (ερειδ. B^{ab}) ℵ ‖ 66 θηλιαις ℵ | εθνι ℵ ‖ 67 εκτινης ℵ ‖ 71 υστεροβουλειαν A ‖ 72 ινον ℵ* (οιν. $ℵ^{c.a}$) | πεινετωσαν B* (πιν. B^{b}) ‖ 73 κρειναι B | ασθενις ℵ ‖ 74 διδοται A | πεινειν B* (πιν. B^{b}) πινιν ℵ ‖ 76 ανοιγε] ανυγε ℵ (item 77)

XXV 2 κρυπτι ℵ ‖ 5 κτινε ℵ κτειναι A ‖ 7 κρισσον ℵA ‖ 8 ονειδεση B* (-διση B^{b}) A ονιδεισηι ℵ ‖ 9 αναχωρι ℵ | καταφρονι ℵA ‖ 10 ονιδιση ℵ ονειδειση A ‖ 10a επονιδιστος Bℵ ‖ 11 ειπιν ℵ ‖ 13 ωφελι ℵ | αποστιλαντας ℵ ‖ 14 δοσι A ‖ 15 συντρειβει B ‖ 16 μελει A | εξαιμεσης B* (εξεμ. B^{b}) A ‖ 17 μεισηση ℵ ‖ 19 ολιται ℵ ‖ 20a ειματιω ℵ ‖ 21 πινα ℵA ‖ 22 σωρευσις ℵ ‖ 23 ανεδες A | αιρεθιζει ℵ ‖ 24 κριττον ℵ | οικιν ℵ | οικεια A ‖ 25 δειψωση A | αγγελεια A ‖ 28 ατιχιστος A | πρασσι A

XXVI 4 αποκρεινου B* (-κρινου $B^{1?a?}$) | αφρονει (1°) A ‖ 6 ονιδος ℵ | αποστιλας ℵ ‖ 10 χιμαζεται ℵ ‖ 11 αιμετον B* (εμ. B^{ab}) ‖ 14 κλεινης B ‖ 20 θαλλι ℵ ‖ 23 καλυπτι ℵ ‖ 24 αποκλεομενος A | τεκτενεται A ‖ 25 πισθης ℵA ‖ 27 εμπεσειτε ℵ | αληθιαν ℵ

XXVII 2 χιλη ℵA ‖ 5 κρισσους ℵA ‖ 8 νοσσειας B* (-σσιας B^{b}) C ‖ 11 γεινου ℵ ‖ 12 τεισουσιν ℵ ‖ 13 λοιμενετε A ‖ 15 χιμερινη B* (χειμ. B^{ab}) ℵ ‖ 19 ουκ C ‖ 20a ακρατις ℵ* (-τεις $ℵ^{c.a}$) ‖ 21a εκζητι ℵ | ζητι ℵ ‖ 22 εμμεσω B^{b} ‖ 25 παιδιω A ‖ 26 παιδιον ℵ

XXVIII 3 ανδριος ℵA | συκοφαντι ℵ ‖ 4 τιχος ℵ ‖ 6 κρισσων ℵA | αληθια B* (-θεια B^{ab}) ‖ 9 εκκλεινων B ‖ 12 βοηθιαν ℵ | γεινεται ℵ ‖ 15 πινων B^{b}ℵA | δειψων A | τυραννι A ‖ 16 μεισων ℵ ‖ 17a εθνι ℵ ‖ 22 σπευδι ℵ | πλουτιν ℵ ‖ 24 αμαρτανιν ℵ ‖ 25 κρινι ℵA

XXIX 1 κρισσων ℵA ‖ 7 κρινιν ℵ ‖ 16 γεινονται ℵ (bis) ‖ 17 αναπαυσι A ‖ 20 γεινωσκε ℵ ‖ 22 νικος B* (νεικ. B^{ab}) ℵA ‖ 23 υβρεις ℵ | ταπινοι ℵ | ταπινοφρονας B* (ταπειν. B^{ab}) ℵ ‖ 24 μεισει ℵ ‖ 26 γεινεται ℵ (item 41) ‖ 31 ερεια B* (ερια B^{b}) ‖ 35 ηρισεν ℵ | βραχειονας ℵ ‖ 38 εξετινεν ℵ ‖ 41 συνεδρειω B* (-δριω B^{b}) ‖ 43 εστιλατο ℵ ‖ 45 σταιγναι A | σειτα B* (σιτα B^{b}) ℵ | ελαιημοσυνη ℵ ‖ 47 υπερκισαι ℵA ‖ 48 ευλογιται ℵ | αινιτω ℵ ‖ 49 χιλεων A

ΕΚΚΛΗΣΙΑΣΤΗΣ

I 3 μοχθει] μοχθι A ‖ 6 πορευετε (1°) C ‖ 7 χιμαρροι bis B* (χειμ. B^{ab}) A ‖ 8 λαλιν C

II 1 πιρασω A ‖ 5 παραδισους ℵA ‖ 10 αφιλον ℵ ‖ 12 επελευσετε A ‖ 14 σκοτι ℵA ‖ 16 αποθανιται ℵ ‖ 17 εμεισησα ℵ ‖ 18 γεινομενω ℵ ‖ 22 γεινεται ℵ ‖ 24 διξει ℵAC

III 2 καιρος 2°] κερος C (item 4 [4°], 5 [2°], 8 [4°]) | αποθανιν ℵ ‖

3 αποκτιναι ℵ || 4 καιρος 2°] κεαρος ℵ* (καιρ. ℵc.a) | κοψασθε A || 6 εκβαλιν A || 7 καιρος 2°, 4°] κερος A || 8 ιρηνης ℵ || 17 κρινι ℵ || 18 λαλειας A | διακρινι ℵ

IV 5 χιρας ℵ* (χειρ. ℵc.c) || 10 εγειραι] εγιραι ℵ* (εγειρ. ℵc.c)

V 2 παραγεινεται ℵ | πιρασμου ℵ || 13 απολιται ℵ || 16 σκοτι ℵC || 17 ιδιν ℵ

VI 4 σκοτι bis ℵAC || 6 χειλιων B

VII 2 ελεον ℵA || 15 ζηθει A || 17 γεινου ℵ (item 18) || 21 ουκ C || 23 πλιστακις B* (πλειστ. Bab) πλιστακεις A || 24 επιρασα ℵ || 27 χιρας ℵ | εξερεθησεται AC

VIII 1 μεισηθησεται ℵ || 5 γεινωσκει ℵ || 6 γνωσεις ℵ || 11 γεινομενη ℵ || 12 γεινωσκω ℵ || 15 φαγιν ℵ || 17 ευρειν bis] ευριν A

IX 1 μεισος ℵ || 10 χιρ A || 14 μεικρα ℵ

X 6 ταπινω ℵA || 8 καθερουντα ℵ || 12 χιλη ℵ || 18 ταπινωθησεται ℵC | δοκωσεις A | χιρων ℵ || 19 ελεον ℵ | ταπινωσει ℵ* || 20 συνιδησι ℵ | πετινον ℵ

XI 1 αποστιλον ℵ || 6 χιρ A || 7 βλεπιν A || 9 ευφρενου ℵ | γνωθει A | αξι C

XII 1 ερις A || 4 κλισουσιν AC | ταπινωθησονται ℵA || 9 εξηχνιασεται A || 10 ευριν ℵA || 14 κρισι ℵ* (-σει ℵc.a)

ΑΣΜΑ

I 5 μελενα C || 6 βλεψηται A || 10 ωρεωθησαν C || 12 ανακλισι ℵA || 15 πλισιον C || 16 κλεινη Bℵ

II 1 παιδιου A || 7 εγειρηται ℵAC | εξεγειρηται ℵAC || 9 νεφρω A | ελαβων A || 11 χιμων A || 14 προτιχισματος ℵA | διξον ℵ || 17 κεινηθωσιν ℵ

III 4 μεικρον ℵ || 5 εγιρηται ℵ εγειρηται AC | εξεγιρηται ℵ εξεγειρηται AC

IV 3 χιλη ℵA (item 11, ℵ) || 4 χειλιοι B | θυραιοι B* (-ρεοι Ba?b) A || 12 κεκλισμενος bis ℵA || 13 παραδισος B* (-δεισος Ba?b)

V 1 μεθυσθηται A || 2 αγρυπνι A | τελια ℵ || 4 απεστιλεν ℵ | χιρα ℵ || 5 κλιθρου ℵA || 8 απαγγειληται A || 14 σαπφιρου A || 17 αδελφειδος 2° ℵ

VI 5 χιλη ℵA || 7 βασιλεισσαι A || 8 τελια ℵ || 9 ωσι A || 10 ιδειν 1°] ειδειν ℵ ειδιν A | χιμαρρου B* (χειμ. Bab) ℵ | ιδειν 2°] ειδιν ℵ ιδιν A

VII 1 οψεσθαι ℵA | τεχνειτου B* (-νιτου Bb) || 8 φοινικει ℵ (item 8) | ρεινος B* (ριν. Bb) || 9 χιλεσιν ℵ

VIII 4 εγειρηται A | εξεγιρητε ℵ εξεγειρηται A || 9 τιχος B* (τειχ. Bab) ℵA || 11 χειλιους B || 12 χειλιοι Bℵ

ΙΩΒ

I 2 τρις A || 3 θηλιαι ℵA | τρις ℵA || 4 πινιν ℵ || 8 αληθεινος A || 11 αποστιλον ℵ | αψε A || 13 επεινον B* (επιν. Bb) || 14 θηλιαι A || 15 παιδας] πεδας ℵ | απεκτιναν ℵ || 16 ποιμαινας A || 18 ερχετε A | πεινοντων B* (πιν. Bb) || 19 εξεφνης A || 21 αφιλατο A

II 4 εκτεισει B* (-τισει Bb) || 5 αποστιλας ℵ | αψε A || 7 επαισεν] επεσεν ℵA || 8 ειχωρα B* (ιχ. Bb) || 9 a μεικρον ℵ || 9 b ηφανιστε A | ωδεινες ℵ || 9 d αι] ε A || 10 χιλεσιν ℵA || 11 τρις ℵA

III 5 καταραθιη ℵc.aC || 6 εκινη ℵc.a | αριθμηθιη ℵ || 8 εκινην ℵ || 10 συνεκλισεν ℵAC (item 23, ℵA) || 13 κοιμηθις C || 21 ομιρονται ℵ || 22 περιχαρις A || 25 εδεδοικιν ℵA

IV 2 υποισι A || 6 ουκ B* (ουχ Bab)

ℵC ‖ 7 αληθεινοι A ‖ 8 σπιροντες C ‖ 10 λεενης A ‖ 11 εχιν ℵ (item 21) ‖ 12 αληθεινον A ‖ εξεσια A ‖ 19 επαισεν] επεσεν ℵA

V 1 επικαλεσε A ‖ 4 εστε A | εξερουμενος ℵ ‖ 5 εξερετοι ℵ ‖ 9 εξεσια A ‖ 11 ταπινους ℵ ‖ 15 χιρος ℵ (item 20) ‖ 18 αλγιν A ‖ 19 εξελιται ℵ | λυσι ℵ ‖ 20 λειμω B* (λιμ. B^b) ‖ 24 ειρηνευσι ℵ ‖ 26 συνκομισθισα ℵ ‖ 27 γνωθει A

VI 4 εκπεινει B* (εκπιν. B^b) εκπινι ℵ | αρξωμε C ‖ 5 καικραξεται C ‖ 8 ετησις C ‖ 10 τιχεων ℵA ‖ 12 αι] ε A* (αι A^a) | χαλκιαι C ‖ 13 επεποιθιν A ‖ 14 απιπατο AC ‖ 15 χιμαρρους B* (χειμ. B^{ab}) ‖ 16 χειων ℵA ‖ 17 τακισα C ‖ 21 υμις ℵ | επεβηται AC | φοβηθηται ℵA ‖ 25 αληθεινου A ‖ 27 επιπιπτεται A | εναλλεσθαι A ‖ 28 νυνει ℵ

VII 1 πιρατηριον ℵA ‖ 3 υπεμινα ℵ ‖ 4 γεινομαι ℵ ‖ 5 φυρετε A | εις χωρος B* (ιχ. B^b) ‖ 6 ελπιδει A ‖ 7 ιδιν A ‖ 13 κλεινη B* (κλιν. B^b) ‖ 17 προσεχις ℵ

VIII 1 λεγι ℵ ‖ 4 απεστιλεν ℵ ‖ 6 αληθεινος A ‖ 12 ξηρενεται ℵ ‖ 15 επειλαβομενου A | υπομινη ℵ ‖ 21 αληθεινων A | εμπλησι ℵ | χιλη ℵ ‖ 22 ενδυσοντε ℵ

IX 3 αντιπη ℵA | χειλιων B ‖ 4 υπεμινεν ℵ ‖ 6 σιων ℵA ‖ 10 εξεσια A ‖ 14 διακρινι ℵ ‖ 15 ισακουσεται ℵ ‖ 19 κρατι ℵ ‖ 24 χιρας ℵ | συνκαλυπτι A ‖ 28 σιομε A | εασις A ‖ 29 επιδη ℵ ‖ 32 αντικρινουμε ℵ ‖ 33 μεσειτης B* (μεσιτ. B^b) ‖ 34 στροβιτω ℵ

X 2 ασεβιν A ‖ 3 απιπω ℵ ‖ 7 χιρων ℵ | εξερουμενος A ‖ 8 χιρες ℵ | επαισας] επεσας A ‖ 13 αδυνατι B* (-τει B^{ab}) ‖ 16 αγρευομε A | δινως ℵ ‖ 17 επανακενιζων A | αιτασιν A ‖ 18 ουκ 2°] ουχ B* (ουκ B^{ab})

XI 5 χιλη ℵ ‖ 12 ερημειτη B* (-μιτη B^b) AC ‖ 13 χιρας ℵ ‖ 18 αναφανιται ℵ | ιρηνη ℵ ‖ 19 εστε A ‖ 20 απολιψει ℵ

XII 2 υμις ℵ ‖ 5 πεσιν A ‖ 7 πετινα ℵ | απαγγιλωσιν ℵ ‖ 8 εκδιηγησε A ‖ 14 κλισι ℵ ‖ 15 ξηρανι ℵ ‖ 19 ιεριs ℵ ‖ 20 χιλη ℵ ‖ 21 ταπινους ℵ ‖ 25 πλανηθισαν ℵ

XIII 2 υμις ℵ | επιστασθαι ℵA ‖ 4 εσται ℵ ‖ 5 κωφευσε A ‖ 6 χιλεων ℵA | προσεχεται A ‖ 7 λαλειται A | φθεγγεσθαι ℵA ‖ 8 υποστελεισθαι ℵA | γενεσθαι ℵA ‖ 9 προστεθησεσθαι ℵA ‖ 10 θαυμαζεσθαι ℵ ‖ 11 στροβησι ℵ ‖ 15 χειρωσητε A | επι ℵA ‖ 19 εκλιψω B* (-λειψ. B^{ab}) ℵ ‖ 21 με] μαι C ‖ 23 αμαρτιε C ‖ 24 ηγησε A ‖ 25 κεινουμενον B* (κιν. B^b) A | αντικισαι ℵ αντικεισε A ‖ 26 καταιγραψας C ‖ 27 αφεικου B* (αφικ. B^{ab})

XIV 11 ερημωθις ℵ ‖ 12 κοιμηθις ℵ | αιξυπνισθησονται C ‖ 13 μνιαν ℵAC ‖ 15 χιρων ℵ ‖ 18 παλεωθησεται C ‖ 19 ελαιαναν C ‖ 20 εξαπεστιλας ℵ ‖ 22 αι] ε A* (αι $A^{a?}$)

XV 6 χιλη ℵ ‖ 7 θεινων B* (θιν. B^b) ℵC ‖ 8 αφεικετο B* (αφικ. B^b) ℵ ‖ 9 ημις ℵ ‖ 22 εντεταλτε C | χιρας ℵ (item 25) C | σειδηρου C ‖ 23 εις 1°] ις C ‖ 24 θλειψεις C ‖ 26 υβρι AC | παχι B* (-χει B^{ab}) ℵ ‖ 28 αυλισθη B* (-θειη B^{ab}) ℵ ‖ 29 μινη ℵ ‖ 33 τρυγηθη ℵ | ελεας A

XVI 3 παρενοχλησι ℵ παρενοχλισει A^{vid} ‖ 4 κεινησω A ‖ 5 κεινησιν AC | χιλεων ℵA | φισομαι AC ‖ 9 πιρατων ℵ ‖ 10 οξι ℵ* (-ξει $ℵ^{c.a}$) | επαισεν] επεσεν B* (επαισ. B^{ab}) ℵA ‖ 11 χιρας ℵA ‖ 13 λογχες C | φιδομενοι A ‖ 20 δεησεις AC ‖ 21 επαναστραφησομε C

XVII 1 ολεκομε ℵA | δεομε A ‖ 2 λισσομε C ‖ 5 αναγγελι $ℵ^{c.a}$ ‖ 8 αληθεινους A | επαναστεη $ℵ^{c.a}$ ‖ 10 εριδετε A ερειδεται C ‖ 13 εστρωτε C

XVIII 1 λεγι ℵ ‖ 8 ελιχθιη ℵ ‖ 12 εξεσιō| A ‖ 13 βρωθισαν A | κατεδετε A ‖ 14 εκραγιη ℵA ‖ 15 κατασκηνωσι ℵ | θιω ℵA

XIX 3 γνωται A | καταλαλειται ℵA | εσχυνομενοι ℵ | επικεισθαι ℵ ‖ 4 αληθιας ℵ | αυλιζετε A ‖ 5 μεγαλυνεσθαι $ℵ^{c.a}$A | εναλλεσθαι ℵ | οικιδει ℵA ‖ 6 γνωται ‖ 7 ονειδι ℵ ‖

8 περιωκοδομημε A ‖ 11 δινως A ‖ 12 πιρατηρια ℵ ‖ 15 γιτονες B* (γειτ. B^{ab}) A | θεραπεναι B* (-παιναι B^{b}) θεραπαινε ℵ ‖ 17 εικετευον A ‖ 22 διωκεται ℵ | εμπεπλασθαι ℵA ‖ 28 ερειται A ‖ 29 ευλαβηθηται ℵAC |υμις ℵC

XX 2 αντεριν A | συνιεται ℵ* ‖ 5 εξεσιον A ‖ 7 απολιται ℵ ‖ 9 προσθησι A ‖ 12 κρυψι A ‖ 13 φισεται A | εμμεσω B* (εν μ. B^{b}) ‖ 15 εξαιμεσθησεται B* (εξεμ. B^{b}) ‖ 19 διεταν A ‖ 23 επαποστιλαι ℵ ‖ 26 κατεδετε ℵ καταιδεται C ‖ 27 επαναστεη A

XXI 2 ακουσαται bis C ‖ 3 καταγελεσετε (sic) C ‖ 5 εμαι C ‖ 10 εγγαστρι A ‖ 11 προσπεζουσιν ℵ ‖ 17 ωδεινες B* (ωδιν. B^{b}) ‖ 19 αντα-ποδωσι ℵ ‖ 20 διασωθιη ℵ δειασωθειη C ‖ 22 διακρινι ℵ ‖ 23 κρατι ℵ ‖ 27 επικισθε ℵ επικεισθαι AC ‖ 28 ερειται C ‖ 29 σημια ℵ ‖ 31 αντα-ποδωσι ℵ ‖ 33 χιμαρρου B* (χειμ. B^{ab}) C ‖ 34 παρακαλιτε ℵ παρακα-λειται A

XXII 3 μελι ℵC ‖ 7 πινωντων ℵA ‖ 9 εξαπεστιλας ℵ ‖ 10 εξεσιος A ‖ 12 υβρι B*vid (υβρει $B^{?}$) A | εται-πινωσεν B* (εταπειν. B^{ab}) ℵAC ‖ 14 οραθησετε ℵ ‖ 21 υπομινης A ‖ 23 ταπινωσης B* (ταπειν. B^{ab}) ℵA ‖ 24 χιμαρρ. B* (χειμ. B^{ab}) ‖ 27 εισα-κουσετε ℵ | δωσι ℵ ‖ 28 αποκατα-στησι ℵ | εστε A ‖ 29 εταπινωσας B* (εταπειν. B^{ab}) ℵ ‖ 30 ρυσετε A^{vid}

XXIII 2 χιρος ℵ | βαρια ℵA ‖ 6 ισχυει B* (ισχυι B^{b}) | απιλη ℵ ‖ 9 περιβαλι ℵ ‖ 11 εκκλεινω B ‖ 17 η-διν A | επελευσετε A

XXIV 2 ποιμενι] ποιμαινι ℵ ποι-μαινει A ‖ 4 εξεκλειναν B ‖ 8 εχιν ℵ ‖ 9 εταπινωσαν B* (εταπειν. B^{ab}) ℵAC ‖ 10 πινωντων ℵA ‖ 11 ηδισαν ℵ (item 13) ‖ 16 σκοτι ℵAC ‖ 18 κατ-αραθιη B* (-θειη B^{ab}) | αναφανιη B* (-νειη B^{ab}) ℵ ‖ 20 αποδοθιη ℵ | συν-τριβιη ℵ ‖ 21 στιραν ℵ ‖ 23 μαλα-κεισθεις A | υγιασθηνε ℵ

XXV 3 παρελκυσεις A παρεκυσις C | πιρατας ℵ

XXVI 2 βραχειων ℵ ‖ 4 ανηγγιλας ℵ ‖ 5 γιτονων B* (γειτ. B^{ab}) ‖ 7 εκ-τινων ℵ ‖ 12 ισχυει B* (-σχυι B^{b}) ‖ 13 κλιθρα B* (κλειθρ. B^{ab}) A

XXVII 3 θιον ℵ | ρεινει B* (ρινι B^{b}) ‖ 4 λαλησιν ℵ* (-σειν ℵ$^{c.c}$) C | χιλη ℵ ‖ 6 προωμε ℵ ‖ 7 εκχθροι A ‖ 11 χιρι ℵ ‖ 15 ουθις ℵ ‖ 17 αληθειυοι A ‖ 19 διηνυξεν ℵ ‖ 22 επιρειψει B* (επιριψ. B^{b}) ℵ ‖ 23 χιρας ℵ

XXVIII 2 γειυεται Bℵ | ισα] εισα C ‖ 3 σκοτι AC ‖ 5 ωσι ℵ ‖ 6 σαπφι-ρου AC ‖ 7 πετινον ℵ ‖ 8 αλλαζονων A ‖ 9 εξετινεν ℵC | χιρα ℵ ‖ 15 δωσι ℵ | συνκλισμον B*ℵA ‖ 16 ονυχει A | σαπφιρω ℵ ‖ 17 ουχ B* (ουκ B^{b}) ℵA ‖ 19 ουχ B* (ουκ B^{b}) ℵ ‖ 21 πε-τινων ℵC

XXIX 2 θιη ℵ ‖ 3 σκοτι ℵAC ‖ 5 λειαν B* (λιαν B^{b}) ‖ 7 πολι ℵA | πλατιαις ℵAC ‖ 11 εξεκλεινεν BC ‖ 12 χιρος ℵ ‖ 13 ευλογεια A ‖ 16 ηδιν A ‖ 19 διηνυκται ℵ διηνυκτε A ‖ 22 περιχαρις ℵC | εγειυοντο B ‖ 23 δει-ψωσα A ‖ 25 εκαθεισα A | ωσι ℵ* (-σει ℵ$^{c.a}$)

XXX 1 μερι ℵA ‖ 3 ενδια A | λειμω B* (λιμ. B^{b}) | εκθες A ‖ 4 σειτα ℵ ‖ 10 εφισαντο A ‖ 11 εξαπεστιλ. ℵ ‖ 14 πεφυρμε A ‖ 18 ισχυει B* (ισχυι B^{a}) ‖ 21 εμαστειγωσας B* (εμαστιγ. B^{b}) ‖ 29 σιρηνων B* (σειρ. B^{ab}) ℵ

XXXI 7 εξεκλειυεν B* (εξεκλιν. B^{b}) ‖ 8 σπιραιμι ℵ ‖ 10 αραισαι ℵ* (αρεσ. ℵ$^{c.a}$) | ταπινωθειη ℵ ‖ 13 θεραπε-νης A ‖ 14 αιτασιν A ‖ 16 χριαν A ‖ 22 κλιδος ℵA | βραχειων ℵA | συντριβιη ℵ ‖ 26 φθειυουσαν B* (φθιν. B^{b}) A ‖ 27 χιρα ℵ ‖ 31 θεραπαινε A | λειαν B* (λιαν B^{b}) ℵ ‖ 35 εδε-δοικιν ℵ ‖ 36 ανεγειυωσκον C

XXXII 1 τρις A ‖ 4 υπεμινεν ℵ ‖ 7 υμις ℵ | εσται B* (εστε B^{ab}) ‖ 8 ουκ B* (ουχ B^{ab}) ‖ 11 ενωτιζεσθαι A | εται-σηται A ‖ 13 προσθαιμενοι C ‖ 18 ο-λεκι C ‖ 19 χαλκαιως A ‖ 20 χιλη ℵ ‖ 21 εσχυνθω A

XXXIII 1 λαλειαν A ‖ 2 ηυξα ℵ ‖ 3 χιλεων ℵ ‖ 6 διηρτισε ℵA ‖ 7 ουκ B* (ουχ B^{b}) ℵ | βαρια ℵA | εστε A ‖ 16 ανακαλυπτι ℵ ‖ 18 εφισατο ℵA |

πεσιν AC || 20 επιθυμησι A || 21 αποδιξη ℵ || 23 χειλιοι BA || 24 πεσιν ℵAC || 25 απαλυνι A || 26 εισελευσετε A || 29 τρις A

XXXIV 2 ενωτιζεσθαι AC || 3 δοκειμαζει A | γευετε A || 10 κατασσων C || 14 εναντειον C || 17 μεισουντα ℵ || 19 επεσχυνθη ℵ || 20 δισθαι A | εκκλεινομενων BC || 24 εξεσια A || 25 ταπινωθησεται ℵ || 27 εξεκλειναν B || 32 οψομε A

XXXV 2 κρισι ℵ || 7 χιρος ℵ || 11 πετων ℵ || 16 ανοιγι ℵ

XXXVI 1 προσθις ℵ || 2 μινον ℵ || 5 ισχυει B* (ισχυι B^{b}) || 7 νεικος B* (νικ. B^{ab}) || 8 χιροπεδες ℵ χειροπαιδαις A || 16 εκχθρου A || 18 αδικειας A || 19 εκκλεινατω B || 22 ισχυει B* (ισχυι B^{b}) || 27 αριθμητε A || 28 εσκειασεν A || 30 εκτενι ℵ || 31 κρινι ℵ δωσι ℵ || 32 ενετιλατο ℵ

XXXVII 5 ηδιμεν A || 14 στηθει A || 16 εξεσια A || 23 ισχυει B* (ισχυι B^{b})

XXXVIII 2 κρυπτειν] κρυπτ$\bar{\imath}$ A || 10 ορεια B* (ορια B^{b}: item 20) | κλιθρα B* (κλειθρ. B^{ab}) ℵA || 11 ουκ A || 15 βραχειονα ℵ || 17 ανυγονται ℵ || 26 ουχ] ουκ B* (ουχ B^{b}) ℵA || 29 εκπορευετε A || 32 αξις ℵ || 37 εκλεινεν B || 39 θηρευσις ℵ || 40 καθηντε A || 41 σειτα ℵ

XXXIX 1 κερον ℵ | ωδεινας B* (ωδιν. B^{b}) ℵ: item 2 || 2 πληρις ℵ || 3 ωδεινας B* (ωδιν. B^{b}) ℵA || 8 κατασκεψετε A || 10 παιδιω A (item 21) || 17 συνεσι A || 21 παιδιον A | ισχυει B* (ισχυι B^{b}) || 22 βασιλι ℵ* || 26 ακειντος B* (ακιν. B^{b}) A || 27 υψουτε A | νοσσειας B* (-σσιας B^{b}) || 32 εκκλεινει B

XL 3 με] μαι A || 4 βραχειων A || 6 αποστιλον ℵ | ταπινωσον B* (ταπειν. B^{b}) ℵA || 11 οσφυει ℵ || 14 ενκαταπεζεσθαι ℵ || 20 ρεινα B* (ρινα B^{b}) || 21 χιλος ℵA || 24 δησις ℵ || 27 γεινομενον ℵ

XLI 2 υπομενι ℵ* (-νει $\aleph^{c.c}$) || 3 ελεησι ℵ || 9 ιδος A || 10 κεομεναι B* (καιομ. B^{ab}) | αισχαραι A || 11 καμεινου B* (-μιν. B^{b}) | κεομενης B* (καιομ. B^{ab}) A || 20 σισμου B* (σεισμ. B^{ab}) ℵA || 22 χαλκιον ℵA || 24 ενκαταπεζεσθαι ℵA

XLII 2 αδυναται ℵA || 3 φιδομενος A | οιαιται A | ηδιν A || 5 νυνει ℵ || 8 λαβεται ℵ | πορευθηται ℵA | ελαλησαται C || 11 ηδισαν A || 12 τετρακισχιλειοι C | χειλια B | θηλιαι ℵAC | χειλιαι B || 13 τρις A || 15 ουκ C | βελτειους B* (-τιους B^{b}) ℵ || 16 γεναιαν C || 17 b ερμηνευετε A || 17 d πολι (bis) C | πα.διω ℵA

ΣΟΦΙΑ ΣΑΛΩΜΩΝΟΣ

I 2 πιραζουσιν ℵ || 4 εισελευσετε A | κατοικησι ℵ || 5 απαναστησετε A || 8 ουδις A || 9 διαβουλειοις B* (-λιοις B^{b}) | ηξι A || 11 φυλαξασθαι ℵA | φεισασθαι BℵA || 12 ζηλουται ℵA | επισπασθαι ℵA || 13 τερπετε A || 14 βασιλιον A

II 2 ρεισιν B* (ρισ. B^{b}) | κεινησει B* (κιν. B^{b}) κινησι ℵ || 4 παρελευσετε A | ακτειναν B* (ακτιν. B^{b}) || 5 ουδις ℵ || 10 φισωμεθα A || 12 ονειδειζει B* (-διζει B^{b}) ονιδιζει ℵ ονιδειζει A || 13 επαγγελλετε A | εχιν A || 16 απεχετε A || 17 αληθις ℵ | πιρασωμεν ℵ | εκβασι ℵA || 18 χιρος ℵ* (χειρ. $\aleph^{c.a}$) || 19 υβρι ℵA || 22 εκρειναν B || 23 ικονα A || 24 πιραζουσιν ℵ

III 5 επιρασεν ℵ || 13 στιρα ℵ

IV 1 κρισσων ℵA | γεινωσκεται ℵ || 6 γοναιων A || 7 εστε ℵ || 14 ειδοντες ℵ || 16 τελεσθισα ℵ || 19 πρηνις ℵ* (-νεις $\aleph^{c.a}$)

V 1 θλειψαντων B || 2 δινω ℵA || 3 ονιδισμου B* (ονειδ. B^{ab}) ℵ || 10 ευρ$\bar{\imath}$] A || 11 ουκ B* (ουχ B^{b}) | σημιον B* vid (-μειον B^{ab}) ℵA || 13 ημις ℵ | σημιον ℵA || 14 λελαπος A | μνια A || 16 βασιλιον B* (-λειον B^{ab}) A | βραχιονει ℵ || 18 ενδυσετε A

VI 2 ενωτισασθαι ℵA || 4 εκρινηται

ℵ | επορευθηται A ‖ 7 μεικρον ℵ ‖ 9 μαθηται A | παραπεσηται A ‖ 12 θεωριται ℵ ‖ 13 φθανι ℵ ‖ 15 τελιοτης ℵ ‖ 20 βασιλιαν ℵ ‖ 21 βασιλευσηται A ‖ 25 παιδευεσθαι ℵA | ωφεληθησεσθαι ℵ

VII 5 ουδις ℵ ‖ 6 ιση] ειση ℵ ‖ 8 προεκρεινα B | συγκρισι A ‖ 14 εστιλαντο ℵ ‖ 16 χειρει B* (-ρι B^b) | ημις ℵ | φρονησεις A ‖ 17 στοιχιων ℵ ‖ 21 τεχνειτις B* (-νιτις B^b) ‖ 22 ευκεινητον B* (ευκιν. B^b) ‖ 24 κεινησεως ℵA | κεινητικωτερον A ‖ 27 κατασκεναζι A

VIII 1 διατινει B* (-τειν. B^{ab}) ℵ ‖ 2 αγαγεσθε B* (-σθαι B^{ab}) ℵ ‖ 4 ερετις ℵ ‖ 6 φρονησεις C | τεχνειτις B* (-νιτις B^b) ‖ 8 ποθι C | ενιγματων C | σημια ℵ | προγινωσκι ℵ* (-σκει $ℵ^{c.c}$) ‖ 9 παρενεσις C ‖ 11 οψι C ‖ 12 πλιον A ‖ 15 με] μαι A* (με A^a) | ανδριος ℵAC ‖ 16 προσαναπαυσομε ℵ ‖ 18 χιρων ℵ | ομειλιας C | ευκλια A | περιηιν A ‖ 19 τε] ται C

IX 5 συνεσι C ‖ 6 τελιος ℵC ‖ 7 προιλω A ‖ 8 ορι C | πολι C ‖ 10 εξαποστιλον ℵC ‖ 13 θελι A* (-λει $A^{a?}$) C ‖ 14 διλοι ℵC ‖ 15 βαρυνι ℵA | βριθι A βρηθι C ‖ 16 ικαζομεν AC

X 1 εξιλατο AC ‖ 7 απειστουσης C | μνημιον ℵAC ‖ 8 λαθιν C ‖ 10 ευθιαις ℵC | εδιξεν C (item 14) ‖ 14 βασιλιας ℵC ‖ 15 θλειβοντων B ‖ 16 σημιοις ℵC ‖ 21 ηνυξεν ℵ

XI 4 σε] σαι C ‖ 6 λυθρωδι C ‖ 7 δαψειλες ℵ ‖ 8 διξας C | δειψους A ‖ 9 επιρασθησαν ℵ ‖ 14 δειψησαντες A ‖ 15 επαπεστιλας ℵC ‖ 16 αμαρταν ℵ* (-νει $ℵ^{c.c}$) ‖ 17 ηποροι ℵ | θρασις ℵ* (-σεις $ℵ^{c.a}$) AC ‖ 18 δινους ℵAC ‖ 19 συνεκτρειψαι B* (-τριψ. B^b) ‖ 20 πεσιν ℵ ‖ 21 ισχυιν A | κρατι ℵC ‖ 22 ρανεις C ‖ 25 εμινεν A ‖ 26 φιδη ℵAC

XII 2 νουθετις ℵ ‖ 4 εχθειστα ℵ ‖ 6 γονις ℵ ‖ 8 εφισω ℵAC | απεστιλας ℵC ‖ 9 παραταξι ℵ | δινοις C | εκτρειψαι B* (-τριψ. B^b) ‖ 11 αδιαν B* (αδειαν B^{ab}) ℵA ‖ 13 μελι ℵ* (-λει $ℵ^{c.c}$) | διξης ℵ ‖ 15 διεπις ℵ | καταδικασε ℵ* (-σαι $ℵ^{c.a}$) ‖ 16 φιδεσθαι ℵA ‖ 17 τελιοτητι B* (τελειοτ. B^{ab}) ℵ ‖ 18 φιδους ℵ | διοικις ℵ | δυνασθε ℵ ‖ 25 εμπεγμον A ‖ 26 πεγνιοις ℵ | πιρασουσιν ℵ* (πειρ. $ℵ^{c.c}$)

XIII 5 θεωρειτε ℵ ‖ 7 πιθονται ℵA | οψι ℵA ‖ 9 ταχειον A ‖ 10 απικασματα ℵA ‖ 13 εμπειρεια B* (-ρια B^b) εμπιρια ℵ ‖ 14 τινει A | ευτελι ℵ* (-λει $ℵ^{c.c}$) | καταχρεισας B* (-χρισ. B^b) bis | φυκι ℵ* (-κει $ℵ^{c.c}$) ‖ 16 αδυναται ℵ | χριαν ℵ* (χρειαν $ℵ^{c.c}$) A | βοηθιας ℵ ‖ 17 αισχυνετε A ‖ 19 πορεισμου A

XIV 4 δικνυς B* (δεικν. B^{ab}) ‖ 5 θελις ℵ* (-λεις $ℵ^{c.c}$) ‖ 6 κυβερνηθισα ℵ ‖ 7 γεινεται ℵ ‖ 11 ιδωλοις A ‖ 12 ευρεσις ℵ ‖ 13 εστε ℵ ‖ 17 οικῖ A ‖ 18 τεχνειτου B* (-νιτου B^b) ‖ 25 απιστεια C ‖ 27 ιδωλων ℵ

XV 5 τε] ται C ‖ 7 πλασσι ℵ (item 8, 9) ‖ 8 απατηθις ℵ ‖ 9 καμνιν A | αντεριδεται ℵ | μιμειτε C ‖ 13 διμιουργῶι C ‖ 15 ρεινες B* (ριν. B^b) ℵ ‖ 18 εκθιστα ℵ ‖ 19 επιποθησε C | ευλογειαν C

XVI 4 επελθιν ℵ ‖ 5 εμινεν ℵC ‖ 8 επισας ℵ ‖ 9 απεκτιν. ℵ ‖ 13 εχις ℵ* (-χεις $ℵ^{c.c}$) ‖ 14 αποκτεννι C | παραλημφθισαν C ‖ 16 ισχυει B* (ισχυι B^b) ℵC | εμαστειγωθησαν B* (εμαστιγ. B^b) | χαλαζες ℵ* (-ζαις $ℵ^{c.a}$) ‖ 17 πλιον A ‖ 18 κρισι ℵ ‖ 22 υπεμινε C ‖ 24 επιτινεται ℵAC | ανειεται ℵ ανιετε A ‖ 25 δωραια ℵ | υπηρετι ℵ* (-τει $ℵ^{c.c}$) ‖ 26 διατηρι C ‖ 27 βραχιας A | ακτεινος B* (ακτιν. B^b) | θερμενομενον AC ‖ 28 εντυγχανιν ℵ* (-νειν $ℵ^{c.c}$) C ‖ 29 ρυησετε A

XVII 2 παιδηται C | κατακλισθεντες ℵAC | εκιντο ℵA ‖ 3 λανθανιν ℵ | αφεγγι C | δινως ℵA ‖ 4 αμιδητοις AC^{vid} ‖ 6 διεφενετο AC | εκδιματουμενοι ℵ* (εκδειμ. $ℵ^{c.c}$) A ‖ 7 εμπεγματα ℵA | φρονησι ℵ ‖ 8 υπεισχνουμενοι A | διματα ℵ* (δειμ. $ℵ^{c.c}$) | απελαυνιν ℵ* (-νειν $ℵ^{c.c}$) | καταταγελαστον C ‖ 10 προσιδιν ℵ* (προσειδιν $ℵ^{c.a}$) ‖ 11 διλον ℵ | μαρτυρι ℵA | συνιδησει ℵ ‖ 13 πλιονα

A ‖ 15 *εφνιδιος* ℵ | *εφρουριτο* ℵ ‖ 16 *κατακλισθεις* ℵAC ‖ 18 *αλυσι* C ‖ 20 *φωτει* ℵ$^{c.c}$ ‖ 21 *βαρια* ℵ

XVIII 1 *επεπονθισαν* ℵ ‖ 4 *σκοτι* A | *κατακλιστους* ℵ ‖ 6 *εκινη* ℵ* (*εκειν.* ℵ$^{c.c}$) ‖ 12 *επι* ℵ | *γενεσεις* ℵ* (*-σις* ℵ$^{c.c}$) ‖ 14 *σειγης* ℵ ‖ 15 *βασιλιων* ℵ | *ολεθρειας* B ‖ 16 *ανυποκριτον*] *o* 2° om ℵ* (*-τον* ℵ^{1}) ‖ 17 *φαντασειαι* B* (*-σιαι* B^{c}) | *ονιρων* ℵ ‖ 18 *ριφις* ℵ ‖ 19 *ονιροι* ℵ ‖ 20 *πιρα* ℵA* (*πειρ.* A^{a}) | *θραυσεις* ℵA | *εμινεν* ℵ ‖ 21 *λιτουργιας* B* (*λειτ.* B^{ab}) ℵ | *εξειλασμον* Bℵ$^{c.c}$ | *δικνυς* B* (*δεικν.* B^{ab}) ‖ 22 *ισχυει* B* (*ισχυι* B^{b}) ℵ ‖ 25 *πιρα* ℵ

XIX 1 *προηδι* ℵ ‖ 6 *γενι* ℵ ‖ 7 *αναδυσεις* ℵ | *παιδιον* ℵAC ‖ 11 *αιδεσματα* B* (*εδ.* B^{ab}) ‖ 15 *επι* A ‖ 16 *δινοις* C ‖ 17 *αχανι* ℵ | *σκοτι* ℵ* (*-τει* ℵ$^{c.c}$) C | *εζητι* ℵ* (*-τει* ℵ$^{c.c}$) ‖ 18 *στοιχια* ℵC | *ικασαι* A ‖ 19 *χερσεα* ℵA | *μετεβενεν* A

ΣΟΦΙΑ ΣΕΙΡΑΧ

Προλογ. 6 *πλιον* ℵAC ‖ 17 *περιγενηθις* C ‖ 21 *παροικεια* B* (*-κια* B^{b}) ‖ 22 *φιλομαθ*[C

I 18 *ιρηνην* ℵ* (*ειρ.* ℵ$^{c.c}$) ‖ 24 *χιλη* ℵA ‖ 26 *χορηγησι* C ‖ 28 *απιθησης* B* (*απειθ.* B^{ab}) A ‖ 29 *χιλεσιν* ℵA ‖ 30 *εμμεσω* B* (*εν μ.* B^{b})

II 1 *πιρασμον* ℵC ‖ 4 *δεξε* C | *ταπινωσεως* B* (*ταπειν.* B^{ab}) ℵC ‖ 5 *ταπινωσεος* B* (*ταπειν.* B^{ab}) ℵA ‖ 7 *αναμινατε* ℵC | *εκκλεινητε* B | *πεσηται* AC ‖ 8 *πτεση* ℵC ‖ 9 *ελπισαται* C ‖ 10 *εμβλεψαται* C | *ιδεται* C | *ενεμινεν* ℵC ‖ 13 *παριμενη* ℵ ‖ 14 *ποιησεται* ℵAC ‖ 15 *απιθησουσιν* B* (*απειθ.* B^{ab}) ℵ ‖ 16 *ευδοκειαν* C ‖ 17 *αιτοιμασουσιν* A | *ταπινωσουσιν* B* (*ταπειν.* B^{ab}) ℵC ‖ 18 *χιρας* ℵ (bis)

III 3 *εξειλασεται* Bℵ* ‖ 7 *αναπαυσι* C ‖ 8 *τειμα* ℵ ‖ 10 *ατιμεια* C | *ατιμειαν* ℵ ‖ 11 *ονιδος* AC | *αδοξεια* C ‖ 13 *ισχυει* B* (*ισχυι* B^{b}) ‖ 15 *ευδεια* B* (*ευδια* B^{b}) ‖ 18 *ταπινου* ℵ ‖ 20 *ταπινων* B* (*ταπειν.* B^{ab}) ℵC ‖ 21 *ζητι* C ‖ 22 *χρια* AC ‖ 29 *διανοηθησετε* ℵ ‖ 30 *αποσβεσι* A | *εξειλασεται* B ‖ 31 *ευρησι* C

IV 2 *πινωσαν* ℵAC | *απορεια* A ‖ 5 *καταρασασθε* ℵC ‖ 7 *μεγιστανει* ℵ*AC | *ταπινου* B* (*ταπειν.* B^{ab}) ℵ ‖ 8 *κλεινον* B ‖ 9 *χιρος* ℵ* (*χειρ.* ℵ$^{c.c}$) ‖ 10 *γεινου* ℵ (item 29) ‖ 13 *κληρονομησι* A ‖ 14 *λιτουργησουσιν* ℵ* (*λειτουργ.* ℵ$^{c.a}$) ‖ 17 *δειλειαν* B* (*-λιαν* B^{b}) *dιλιαν* ℵ *διλειαν* AC ‖ 18 *ευθιαν* ℵ ‖ 19 *χιρας* ℵ* (*χειρ.* ℵ$^{c.c}$) ‖ 20 *φυλαξε* C ‖ 30 *εισθι* C ‖ 31 *λαβιν* C

V 2 *ισχυει* BC ‖ 5 *εξειλασμου* Bℵ | *γεινου* ℵ ‖ 6 *εξειλασεται* Bℵ ‖ 7 *αναμεναι* A ‖ 10 *συνεσι* ℵA ‖ 11 *γεινου* ℵ | *ακροασι* AC ‖ 12 *χιρ* ℵ* (*χειρ* ℵ$^{c.c}$) ‖ 13 *λαλεια* C

VI 1 *γεινου* ℵ | *ονιδος* ℵ ‖ 3 *καταφαγεσε* C | *απολεσις* C | *αφησις* C ‖ 6 *ιρηνευοντες* ℵ* (*ειρ.* ℵ$^{c.c}$) | *χειλιων* B ‖ 7 *πιρασμω* ℵ ‖ 8 *παραμινη* ℵ* (*-μεινη* ℵ$^{c.c}$) C ‖ 9 *ονιδισμου* ℵ$^{c.a}$ (om ℵ*) AC ‖ 10 *παραμινη* ℵ$^{c.a}$ (om ℵ*) A ‖ 12 *ταπινωθης* ℵA ‖ 19 *κοπιασις* ℵC ‖ 20 *απεδευτοις* ℵ ‖ 23 *συμβουλειαν* A ‖ 24 *πεδας*] *παιδας* A ‖ 25 *προσοχθεισης* C ‖ 26 *δυναμι* ℵA ‖ 29 *αι πεδαι*] *ε πεδ.* ℵ* (*αι π.* ℵ$^{c.a}$) ‖ 33 *κλεινης* B ‖ 34 *στηθει* A | *προσκολληθητει* A

VII 2 *αποστηθει* A | *εκκλεινει* B *εκκλινι* ℵ ‖ 6 *ζητι* ℵ | *θησεις*] *θεισεις* C ‖ 9 *προσενεγκε* C ‖ 10 *ελαιημοσυνην* ℵ ‖ 11 *ταπινων* B* (*ταπειν.* B$^{a\,(vid)}$) ℵC ‖ 13 *ψευδεσθε* ℵ ‖ 14 *αδολεσχι* ℵ | *πληθι* ℵ ‖ 15 *εκτεισμενην* A ‖ 27 *ωδεινας* B* (*ωδιν.* B^{b}) ℵ ‖ 30 *λιτουργους* B* (*λειτουργ.* B^{ab}) ‖ 32 *εκτινων* ℵ ‖ 34 *υστερι* ℵ ‖ 36 *αμαρτησις* A

VIII 1 *χιρας* ℵ ‖ 2 *εξεκλεινεν* B ‖ 4 *προσπεζε* A | *απεδευτω* ℵ ‖ 5 *ονι-*

διζε B* (ονειδ. Bab) ονειδειζε A ‖ 8 λιτουργησαι B* (λειτουργ. Bab) ℵ ‖ 9 χριας ℵA ‖ 10 ενκαθεισιη A ‖ 12 γεινου B* (γιν. Bb) ‖ 15 ποιησι ℵ ‖ 16 καταβαλι C ‖ 19 εκφενε AC

IX 3 στεριζομενη ℵA ‖ 4 ενδελεχειζε A ‖ 8 καλλει] καλλι C | ανακεεται AC ‖ 9 εκκλεινη B ‖ 10 πιεσε C ‖ 13 επιγνωθει A | εμμεσω B* (εν μ. Bb) AC ‖ 16 συνδιπνοι C ‖ 17 χιρι ℵ* (χειρι ℵc.c) | τεχνειτων B* (τεχνιτ. Bb) ℵ ‖ 18 μεισηθησεται B* (μισηθ. Bb) ℵ

X 2 λιτουργοι B* (λειτ. Bab) ℵ ‖ 3 πολεις C | οικεισθησεται C | συνεσι B* (-σει Bab) ‖ 7 μεισητη B* (μισ. Bb) ℵ ‖ 9 υπερηφανευετε A ‖ 14 καθιλεν A ‖ 15 ταπινους ℵC ‖ 20 εμμεσω B* (εν μ. Bb) C | εντειμος ℵ ‖ 25 λιτουργησουσιν B*ℵ* (λειτουργ. Babℵc.c) C ‖ 27 κρισσων AC

XI 1 ταπινου ℵC | εμμεσω B* (εν μ. Bb) C: item 8 ‖ 2 καλλι A ‖ 3 πετηνοις ℵAC ‖ 5 επει C ‖ 6 χιρας ℵ ‖ 11 υστεριται C ‖ 12 ισχυει B* (ισχυι Bb) C | ταπινωσεως ℵAC ‖ 19 ειπιν ℵA | φαγομε A | καταλιψει B* (-λειψει Bab) ℵ ‖ 20 στηθει A | ομειλει B* (ομιλει Bb) ομιλι ℵ ‖ 21 εξαπεινα A ‖ 22 ταχεινη A | αναθαλλι ℵ* (-θαλλει ℵc.a) ‖ 23 χρια ℵ ‖ 27 κακωσεις A ‖ 30 περδειξ B* (-διξ Bab) ‖ 33 τεκτενει A ‖ 34 απαλλοτριωσι ℵ

XII 3 ελαιημοσυνην ℵ ‖ 5 ταπινω ℵ ‖ 6 εμεισησεν A ‖ 11 ταπινωθη ℵ ‖ 12 καθεισης A ‖ 15 εκκλεινης B ‖ 16 χιλεσιν A | ανατρεψε A | σε] σαι A | αιματος] εματος A ‖ 17 ευρησις C

XIII 2 κοινωνησει] κοινωνησι ℵ ‖ 4 χρησειμευσης A | καταλιψει B*ℵc.c (-λειψ. Bab) καταλιψι ℵ*A ‖ 6 χριαν ℵAC | δωσι C | χρια A ‖ 7 καταλιψι C | κεινησει ℵA ‖ 8 ταπινωθης B* (ταπειν. Bab) ℵ ‖ 11 εισηγορισθε C | πλιοσιν A | λαλειας A | πιρασι ℵ* πειρασι ℵc.c ‖ 12 φισηται C ‖ 13 περιπατις C ‖ 18 νενη ℵA ‖ 19 κυνηγεια B* (-για Bb) C ‖ 20 ταπινοτης ℵ ‖ 22 ταπινος ℵ

XIV 6 βασκενοντος C ‖ 7 εκφενει C ‖ 8 βασκενων A ‖ 12 υπεδιχθη B* (υπεδειχθ. Bab) A ‖ 13 εκτινον B* (εκτειν. Bb) ℵ ‖ 15 καταλιψεις B* (καταλειψ. Bab) ℵ | διερεσιν ℵ* ‖ 19 εκλιπει ℵA ‖ 25 χιρας ℵ* (χειρας ℵc.c)

XV 5 εμμεσω C ‖ 8 ψευστε A ‖ 9 ουχ] ουκ ℵ ‖ 11 εμεισησεν B* (εμισ. Bb: item 13) ‖ 12 χριαν ℵA ‖ 14 χιρι ℵ* (χειρι ℵc.c) ‖ 15 ποιησε A ‖ 16 εκτενις ℵ ‖ 20 ενετιλατο ℵ | αμαρτανιν ℵ* (-νειν ℵc.c)

XVI 1 ευφρενου ℵ ‖ 3 κρισσων A | αποθανιν ℵ | εχιν ℵA ‖ 6 εθνι ℵ | απιθει ℵ ‖ 7 εξειλασατο B | ισχυει B* (ισχυι Bb) ‖ 8 εφισατο ℵA ‖ 11 ει] ϊ A | εξειλασμων B ‖ 12 κρινι ℵ* (-νει ℵc.c) ‖ 17 πλιονι A | κτισι ℵA ‖ 19 συνσιονται ℵA ‖ 21 κατεγις A ‖ 27 επινασαν ℵA ‖ 28 απιθησουσιν B* (απειθ. Bab) ℵ

XVII 3 κατ] καθ B*ℵ* (κατ Ba?bℵc.a) ‖ 7 υπεδιξεν ℵ (item 12) ‖ 10 ενεσουσιν A ‖ 9 μεγαλια ℵ ‖ 13 μεγαλιον C ‖ 14 ενετιλατο ℵ ‖ 19 ενδελεχις ℵ ‖ 22 συντηρησι ℵC ‖ 23 αντα ποδωσι C ‖ 25 επιστρεφαι A | απολειπαι A ‖ 26 μεισησον B* (μισ. Bb) ℵA ‖ 29 εξειλασμος B ‖ 31 φωτινοτερον A | ηλειου ℵ | εκλιπει ℵC

XVIII 4 εξαγγιλαι ℵ | μεγαλια C ‖ 8 χρησεις A ‖ 12 εξειλασμον B ‖ 16 αναπαυσι C | κρισσων ℵAC ‖ 17 ουχ B* (ουκ Bb) ℵA | καιχαριτωμενω C ‖ 18 ονιδιει ℵAC | δοσεις A εστηκι ℵ ‖ 20 εξεταζαι A | εξειλασμον B ‖ 21 αρρωστησε A | ταπινωθητι B* (ταπειν. Bab) ℵC | διξον C ‖ 22 μινης ℵC ‖ 23 γεινου ℵC ‖ 25 λειμου B* (λιμ. Bb) C ‖ 26 ταχεινα B* (ταχιν. Bb) ℵAC ‖ 29 ακρειβεις B* (ακριβ. Bb) ‖ 33 γεινου ℵ

XIX 9 μισησι ℵC ‖ 11 ωδεινησει B* (ωδιν. Bb) ‖ 15 γεινεται ℵ ‖ 17 απιλησαι ℵC ‖ 22 φρονησεις A ‖ 24 κριττων ℵA ‖ 25 πανουργεια A ‖ 27 προφθασι C ‖ 28 αμαρτιν ℵ ‖ 29 απαντησαιως A

XX 5 μεισητος B* (μισ. Bb: item 15) ‖ 8 μεισηθησεται B* (μισ. Bb) ℵ ‖ 10 δοσεις A | λυσιτελησι A |

δειπλουν A ‖ 11 ταπινωσεως ℵ ‖ 15 ονιδισει ℵA ‖ 16 ουχ B* (ουκ B^b) ‖ 18 πτωσεις A ‖ 21 αμαρτανιν ℵ ‖ 25 ψευδι A ‖ 28 εξειλασεται B ‖ 29 φειμος ℵ

XXI 3 ιασεις A ‖ 8 χιμωνα B* (χειμ. B^{ab}) ℵA ‖ 12 πανουργεια A ‖ 16 εξηγησεις A | επει C | χιλους ℵ ‖ 19 πεδαι] παιδε AC ‖ 21 χλειδων ℵ κλιδων A | βραχειονι ℵ ‖ 22 πολυπιρος ℵ ‖ 23 πεπεδευμενος ℵA ‖ 28 μολυνι ℵC

XXII 2 εκτειναξει A | χιρα ℵ* (χειρ. ℵ$^{c.c}$) ‖ 4 κληρονομησι C ‖ 5 καταισχυνι A | θρασια ℵC ‖ 6 πενθι C | διηγησεις AC | μαστειγες B* (μαστιγ. B^b) ‖ 11 ηδειον ℵ ‖ 13 φυλαξε BA | εντειναγμω C | εκκλεινον B | ακιδιασης C ‖ 15 υπενεγκιν A ‖ 16 ημαντωσις A | διλιασει B* (δειλ. B^{ab}) ℵC διλειασει A ‖ 18 κιμενοι ℵ | δειλι A | υπομινη ℵ* (-μειν. ℵ$^{c.c}$) ‖ 19 εκφενει C ‖ 20 πετινα ℵ | ονιδιζων B* (ονειδ. B^{ab}) ονειδειζων A ‖ 22 ονιδισμου ℵ | δολειας A ‖ 23 διαμεναι A ‖ 24 καμεινου Bℵ ‖ 26 φυλαξετε A ‖ 27 χιλεων ℵ

XXIII 1 πεσιν ℵA ‖ 2 φισωνται A | χιλεσιν A ‖ 9 εθεισης ℵ αιθισης A ‖ 13 απεδευσιαν A ‖ 15 ονιδισμου B* (ονειδ. B^{ab}) ℵ ‖ 18 κλειυης B* (κλιν. B^b) ‖ 19 φωτινοτεροι ℵA ‖ 21 πλατιαις ℵ ‖ 23 ηπιθησεν ℵ ‖ 26 καταλιψει B* (καταλειψ. B^{ab}) ℵ | εξαλιφθησεται B* (εξαλειφθ. B^b) ℵ | κριττον ℵA ‖ 27 καταλιφθεντες B* (καταλειφθ. B^b)

XXIV 1 εμμεσω A ‖ 5 βαθι ℵ ‖ 8 ενετιλατο ℵ (item 23) ‖ 10 ελιτουργησα B*ℵ* (ελειτουργ. B^{ab}ℵ$^{c.c}$) ‖ 14 φυνιξ A | παιδιω A ‖ 16 εξετινα ℵ ‖ 21 πινασουσιν ℵA | πεινοντες B* (πιν. B^b) ‖ 22 ουχ] ουκ B* (ουχ B^b) ‖ 30 παραδισον ℵA ‖ 32 φωτειω B* (-τιω B^b) ‖ 33 καταλιψω B* (-λειψ. B^{ab}) ℵ

XXV 2 προσωχθεισα B* (-χθισα B^b) ℵ ‖ 6 πολυπιρεια A ‖ 16 συνοικησε A ‖ 19 μεικρα ℵ ‖ 20 αναβασεις A ‖ 23 ταπινη B* (ταπειν. B^{ab}) ℵ

XXVI 2 ανδρια A | ευφραινι ℵ ‖ 14 πεπεδευμενης A ‖ 17 λυκνιας B | ιλικια A ‖ 28 δυσει A ‖ 29 εξελιται ℵ

XXVII 5 καμεινος B* (καμιν. B^b) ℵ ‖ 7 πιρασμος B* (πειρ. B^{ab}) ‖ 9 πετινα ℵ ‖ 15 διαλοιδορησεις A ‖ 19 πετινον ℵ ‖ 22 τεκτενει A | ουδις A ‖ 23 εκθαυμασι C ‖ 24 εμεισησα B* (εμισ. B^b) | μεισησει B* (μισ. B^b) ‖ 25 δολεια A ‖ 28 εμπεγμος A | ονιδισμος B* (ονειδ. B^{ab}) C | εκδικησεις ℵA | ενεδρευσι C ‖ 29 παγειδει ℵ

XXVIII 3 συντηρι C | ζητι ℵ* (-τει ℵ$^{c.c}$) ‖ 5 εξειλασεται Bℵ ‖ 6 εμμεναι AC ‖ 7 μηνισης] μωησης A | παρειδε AC ‖ 9 ιρηνευοντων ℵ ‖ 11 ερεις C ‖ 14 καθιλεν C ‖ 19 ουχ] ουκ ℵ ‖ 20 χαλκιοι B* (-κειοι B^{ab}) ‖ 22 φλογει A ‖ 23 παρδαλεις ℵ | λυμανειτε A ‖ 25 μοκλον B* (μοχλ. B^b)

XXIX 1 τηρι ℵ ‖ 2 χριας A ‖ 3 χριαν ℵA ‖ 5 ταπινωσει ℵ ‖ 8 ταπινω ℵ ‖ 12 συνκλισον ℵA | εξελιται ℵ ‖ 14 καταλιψει B* (-λειψ. $B^{b\,(vid)}$) ‖ 17 εγκαταλιψει B* (-λειψ. $B^{b\,(vid)}$) ‖ 22 κρισσων A | αιδεσματα B* (εδεσμ. B^b) ‖ 23 μεικρω ℵ ‖ 27 χρια A ‖ 28 ονιδισμος B* (ονειδ. $B^{a?b}$) A

XXX 1 μαστειγας B* (μαστιγ. B^{ab}) ‖ 8 εκβαινι ℵ ‖ 9 εκθαμβησι AC | λυπησι C ‖ 14 κρισσων (item 17) ℵAC ‖ 15 ενεξεια ℵ ‖ 18 κεκλισμενω ℵA | παρακιμενα ℵ ‖ 19 συμφερι ℵ | ιδωλω C | εδετε A

XXXIII 13 b αιδεσμασιν B* (εδεσμ. B^b)

XXXIV 1 εκτηκι ℵ* (-κει ℵ$^{c.c}$) ‖ 4 ελαττωσι B*A* (-σει $B^{a?b}A^a$) | αναπαυσι C | γεινεται ℵ ‖ 10 ετελιωθη B* (-λειωθη $B^{a?b}$) ℵAC ‖ 14 εκτινης ℵA | χιρα A | συνθλειβου B ‖ 16 μεισηθης B* (μισ. B^b) ℵ ‖ 18 πλιονων A | εκτινης ℵC ‖ 21 αιδεσμασιν B* (εδεσμ. B^b) ‖ 22 ευρησις C | γεινου ℵ ‖ 23 χιλη B*^{vid} (χειλ. B^{ab}) ℵA ‖ 26 καμεινος B* (καμιν. B^b) A ‖ 27 πεινης B* (πιν. B^b) ‖ 29 αιρεθισμω B* (ερεθ. B^b) ‖ 31 ονιδισμου B* (ονειδ. B^{ab}) ℵ

XXXV 1 γεινου ℵ (item 8) ‖ 2 χριαν A ‖ 3 πρεπι ℵ | ακριβη ℵ* (-βει ℵ$^{c.a}$) A ‖ 7 χρια ℵ* (χρεια ℵ$^{c.c}$) ‖ 11 εξεγγρου ℵ ‖ 12 πεζε ℵ ‖ 18 παρειδη A ‖ 23 τηρησεις A

XXXVI 1 πιρασμω ℵ* (πειρ. ℵ$^{c.c}$) ‖ 2 μεισησει ℵ | κατεγιδι ℵ ‖ 11 εμπληθει ℵ ‖ 12 εταπινωσεν B* (εταπειν. B$^{b(vid)}$) ℵ

XXX 26 κατανοησαται C ‖ 27 ενωτισασθαι AC ‖ 30 κρισσον ℵAC | χιρας ℵ ‖ 31 γεινου ℵ ‖ 34 πεδι ℵ | ευρησις C | και 2° κα C* (και C^{a}) ‖ 38 πρεπι C | πιθαρχη B* (πειθ. B^{ab}) ℵAC | παιδας C ‖ 39 ψυχη σου] ψυσου C ‖ 40 ζητησις C

XXXI 5 ωδεινουσης ℵ ‖ 8 τελιωσις B* (τελειωσ. B^{ab}) ℵ ‖ 12 αποπλανησι BℵA | πλιονα A ‖ 16 δειλειασει B* (δειλιασ. B^{b}) διλιασει ℵA ‖ 20 φωτειζων ℵ ‖ 23 εξειλασκεται B ‖ 28 πλιον A ‖ 31 ταπινωθηναι ℵ

XXXII 3 σεμειδαλιν A ‖ 5 εξειλασμος B ‖ 8 λειπενει A ‖ 18 καταβοησεις A ‖ 20 δεησεις ℵA ‖ 21 ταπινου B* (ταπειν. B^{ab}) ℵ ‖ 22 ποιησει A ‖ 23 ανταποδωσι A ‖ 25 ευφρανι ℵ

XXXIII 5 ημις ℵ* (-μεις ℵ$^{c.a}$) ‖ 6 σημια ℵ ‖ 7 βραχειονα ℵ

XXXVI 17 καιισλ ℵ* (ras ι 1° ℵ$^{?}$) ‖ 18 οικτιρησον ℵ ‖ 31 νοσσειαν B* (-σσιαν B^{b}) ℵ

XXXVII 1 εφιλησα ℵ$^{c.a}$ ‖ 4 απεναντει ℵ$^{c.c}$ ‖ 8 γνωθει A | χρια B*^{b} (χρεια B^{a}) A ‖ 11 ευχαριστειας B* (-τιας B^{b}) C ‖ 12 πτεσης B* (πταισ. B$^{b(vid)}$) C | συναλγησι C ‖ 20 μεισητος B* (μισ. B^{b}) ‖ 23 παιδευσι C ‖ 27 πιρασον C ‖ 29 αιδεσματων B* (εδαισμ. B^{b} vid) ‖ 31 προσθησι C

XXXVIII 4 προσοχθειει ℵ ‖ 6 ενδοξαζεσθε ℵ ‖ 8 ποιησι A | ιρηνη ℵ* (ειρ. ℵ$^{c.c}$) ‖ 11 λειπανον A ‖ 12 χρια A ‖ 15 χιρας ℵ* (χειρ. ℵ$^{c.c}$: item 31) ‖ 18 εκβαινι ℵ ‖ 23 αναπαυσι ℵ ‖ 25 διηγησεις A ‖ 27 σφραγειδω] ℵ ‖ 30 καμεινον B* (καμιν. B^{b}) A ‖ 33 ουχ] ουκ ℵ ‖ 34 δεησεις A

XXXIX 4 επιρασεν ℵ ‖ 8 διδασκαλειας B* (-λιας B^{b}) ℵA ‖ 9 εξαλιφθησεται B* (εξαλειφθ. B^{ab}) ℵ ‖ 11 εμμινη ℵ* (-μειν. ℵ$^{c.c}$) C | καταλιψει B* (-λειψ. B^{ab}) C | χειλιοι B ‖ 14 ανθησαται C | αινεσαται C | ευλογησαται C ‖ 15 χιλεων ℵA* (χειλ. A$^{a?}$) | ερειται BA ‖ 16 και] κα C ‖ 17 ειπιν C (item 21, 34) ‖ 24 ευθιαι ℵC ‖ 26 χριας A ‖ 29 λειμος ℵ ‖ 30 εχις C ‖ 31 χριας ℵ ‖ 33 χριαν A

XL 3 τεταπινωμενου B* (τεταπειν. B^{ab}) ℵC ‖ 12 εξαλιφθησεται B* (εξαλειφθ. B^{ab}) C ‖ 14 εκλιψουσιν B* (εκλειψ. B^{ab}) ‖ 16 χιλους ℵ | εκτειλησεται A ‖ 17 παραδισος B* (παραδεισ. B^{ab}) AC ‖ 23 κερον ℵ ‖ 24 θλειψεως B ‖ 25 ευδοκειμειται AC ‖ 26 ελαττωσεις A ‖ 27 παραδισος ℵC | ευλογειας A ‖ 28 κρισσον ℵAC | αποθανιν ℵC | επαιτιν ℵ* (-τειν ℵ$^{c.c}$) επετειν C ‖ 29 αλισγησι C | αιδεσμασιν B* (εδεσμ. B^{b}) | πεπεδευμενος ℵ ‖ 30 επαιτησεις A επετησις C

XLI 2 ισχυει B* (ισχυι B^{b}) εισχυι C | απιθουντι B* (απειθ. B$^{b(vid)}$) ℵC ‖ 5 γειναται ℵ ‖ 6 ονιδος ℵ ‖ 7 δι] δει A | ονιδισθησονται B* (ονειδ. B$^{b(vid)}$) ℵ ‖ 9 [γ]εννηθηται C | γεννηθησεσθαι ℵ | [αποθ]ανηται C | μερισθησεσθαι ℵ ‖ 11 εξαλιφθησεται B* (εξαλειφθ. B^{ab}) ℵC ‖ 12 χειλιοι B ‖ 15 κρισσων ℵAC ‖ 16 εντραπηται C | πιστι A | ευδοκειμειται ℵC ‖ 17 αισχυνεσθαι AC ‖ 19 παροικις C ‖ 21 αφερεσεως C ‖ 22 ονιδισμου B* (ονειδ. B^{ab}) ℵA | ονιδιζε ℵAC

XLII 4 ακρειβειας B* (ακριβ. B^{b}) ‖ 5 εμαξαι C ‖ 6 σφραγεις ℵ | κλισον A ‖ 8 πεπεδευμενος ℵ πεπαιδευμενο (sic) C ‖ 11 λαλειαν C | πολι C | πληθι C ‖ 12 καλλι C | εμμεσω C ‖ 14 κρισσων ℵC | ονιδισμον ℵAC ‖ 18 σημιον ℵ

XLIII 4 καμεινον B* (καμιν. B^{b}) ‖ 6 αναδιξιν B* (αναδειξ. B$^{ab(vid)}$) ℵC | σημιον ℵC ‖ 7 μιουμενος B* (μειουμ. B$^{ab(vid)}$) ℵAC ([μι]ουμ.) ‖ 12 κυκλωσι AC ‖ 13 χειονα ℵ ‖ 14 πετινα A ‖ 16 πνευσετε ℵ ‖ 17 ωνιδισεν B* (ωνειδ. B$^{ab(vid)}$) ℵ | πετινα ℵC | πασσι ℵAC | καταβασεις ℵ ‖ 19 παγισα C |

γείνεται ℵ ‖ 22 ιλαρωσι C ‖ 24 ακοες C ‖ 29 φοβερος] οβερος ℵ ‖ 30 δυνησθαι A | ισχυει B* (ισχυι B^b) ‖ 32 μιζονα ℵ

XLIV 6 ισχυει B* (ισχυι B^b) ℵ ‖ 8 επενους ℵ* (επαιν. $ℵ^{c.a}$) ‖ 13 εξαλιφθησεται B* (εξαλειφθ. $B^{a?b}$) ‖ 16 υποδιγμα B* (υποδειγμ. $B^{a?b}$) ℵ ‖ 18 εξαλιφθη B* (εξαλειφθ. $B^{a?b}$) ℵ ‖ 20 πιρασμω ℵ ‖ 23 ευλογειαις A | διεστιλεν ℵ

XLV 1 ευλογειαις A ‖ 3 σημια ℵ | ενετιλατο ℵ ‖ 4 πιστι ℵ ‖ 9 πλιστοις B* (πλειστ. B^{ab}) A ‖ 11 τεχνειτου B* (τεχνιτ. B^b) | δεσι ℵ | λειθουργου A ‖ 15 χιρας ℵ* (χειρ. $ℵ^{c.c}$) A | εχρεισεν B* (εχρισ. B^b) | ελεω A | λιτουργειν B*ℵ* (λειτ. $B^{ab}ℵ^{c.c}$) ‖ 16 εξειλασκεσθαι B ‖ 23 εξειλασατο Bℵ ‖ 24 μεγαλιον C

XLVI 2 εκκλειναι B ‖ 4 χιρι ℵ* (χειρ. $ℵ^{c.c}$) ‖ 8 χειλιαδων B | μελει A ‖ 9 διεμινεν ℵ ‖ 10 πορευεσθε A ‖ 13 εχρεισεν B* (εχρισ. B^b) ‖ 15 πιστι (1°) ℵ | ηκρειβασθη B* (ηκριβ. B^b) ‖ 20 εξαλιψαι B* (εξαλειψ. $B^{a?b}$)

XLVII 3 επεζεν A ‖ 4 απεκτινεν ℵC | ονιδισμον Σ* (ονειδ. $B^{a\,(vid)\,b}$) ℵC ονιδεισμον A | καταβαλιν A ‖ 9 γλυκενιν C ‖ 10 αινιν ℵ* (-νειν $ℵ^{c.c}$) ενιν C ‖ 11 αφιλεν ℵAC ‖ 16 ιρηνη ℵ ‖ 19 παρανεκλεινας B ‖ 20 επαγαγιν C ‖ 21 απιθη A ‖ 22 εξαλιψη B* (-λειψη B^{ab}) ℵ ‖ 25 εκδικησεις A

XLVIII 1 εκεετο A ‖ 2 λειμον ℵ ‖ 8 χρειων B* (χριων B^b) ℵ ‖ 12 λελαπι ℵAC ‖ 13 ουκ C ‖ 15 κατελιφθη B* (-λειφθη B^{ab}) ‖ 19 ωδεινησαν B* (ωδιν. B^b) ‖ 20 χιρας ℵ* (χειρ. $ℵ^{c.c}$) ‖ 22 ενετιλατο ℵ

XLIX 5 εθνι ℵ ‖ 7 οικοδομιν ℵ ‖ 8 υπεδιξεν ℵ ‖ 10 πιστι ℵ ‖ 13 μοκλους B* (μοχλ. B^b) ‖ 16 κτεισει ℵ

L 6 εμμεσω A ‖ 14 λιτουργων B* (λειτ. B^{ab}) ‖ 15 εξετινεν ℵ | εσπισεν ℵ ‖ 19 λιτουργιαν B* (λειτ. B^{ab}) ℵ λειτουργειαν A | ετελωσαν A ‖ 20 χιλεων ℵ ‖ 21 επιδιξασθαι A

LI 1 εξομολογουμε ℵ ‖ 2 χιλεων A ‖ 3 πλιονων A | θλειψεων B ‖ 4 πνειγμου ℵ ‖ 10 αβοηθησειας ℵ ‖ 11 δεησεις A ‖ 12 εξειλου A | με]μαι A ‖ 16 εκλεινα B ‖ 19 ποιησι ℵ ‖ 25 κτησασθαι A ‖ 28 κτησασθαι B* (-σθε B^{ab}) A | 29 αισχυνθητε ℵ ‖ 30 εργαζεσθαι A

ΕΣΘΗΡ

A 4 σισμος ℵA ‖ 8 απολεσθε $ℵ^{vid}$ ‖ 10 ταπινοι ℵ ‖ 13 χιρας ℵ | επιβαλιν ℵ | υπεδιξεν ℵ

I 6 σχινιοις ℵ | κλειναι B ‖ 7 επεινεν B* (επιν. B^b) ‖ 8 προκιμενον ℵ ‖ 11 βασιλεισσαν B* (βασιλισσ. B^a) | διξαι B* (δειξ. $B^{a?b}$) ‖ 15 δει] δι ℵ ‖ 17 αντιπε (1°) ℵ ‖ 18 τυραννειδες A ‖ 19 βασιλεικον A | γυναικει ℵ | κριττονι B* (κρειττ. $B^{a\,(vid)\,b}$) ℵA ‖ 22 απεστιλεν ℵ | λεξιν] λεζιν $B^{b\,vid}$

II 3 γυνεκωνα ℵ | φυλακει ℵ | γυνεκων ℵ ‖ 7 επεδευσεν ℵ ‖ 9 βασιλεικου ℵA | γυνεκωνι ℵ ‖ 10 ουκ ℵ | υπεδιξεν ℵ (item 20) | ενετιλατο ℵ (item 20) ‖ 13 γυνεκωνος ℵ ‖ 14 γυνεκωνα ℵ ‖ 15 ενετιλατο ℵ* ‖ 23 βασιλεικη A

III 4 υπεδιξεν (2°) ℵ ‖ 7 ετι ℵ

B 1 αρχουσει A ‖ 2 επερομενος ℵ | αναναιωσασθαι ℵ | ιρηνην ℵ ‖ 3 πιστι ℵ ‖ 4 κατατιθεσθε ℵ ‖ 5 τυγχανι] ℵ ‖ 6 σημενομενους ℵ* (σημαιν. $ℵ^2$) | μαχαιρες ℵ | φιδους A

III 14 αιτοιμους A

IV 4 ανηγγιλαν ℵ | απεστιλεν ℵ (item 5) ‖ 5 ακρειβες B* (ακριβ. B^b) ‖ 7 υπεδιξεν ℵ ‖ 8 διξαι ℵ | εντιλασθαι ℵ | παρετησασθαι ℵ | ταπινωσεως ℵ | χιρι ℵ | βασιλι ℵ ‖ 11 εκτινει ℵA | κεκλημε ℵ ‖ 14 απολεισθαι ℵA ‖ 15 εξαπεστιλεν ℵ ‖ 16 φαγγται A | ασειτησομεν ℵ | εισελευσομε ℵ | απολεσθε ℵ ‖ 17 ενετιλατο ℵ

C 5 γειυωσκεις ℵ | υβρι ℵ | προσκυνιν ℵ ‖ 7 και 2°] κε A ‖ 8 φισαι

ℵA ‖ 10 *ειλασθητι* ℵ ‖ 13 *εταπινωσεν* ℵ ‖ 15 *χιρι* ℵ (item 25) ‖ 17 *χιρας* ℵ (item 19) ‖ 24 *μεισος* A ‖ 26 *εμεισησα* B* (*εμισ.* B[b]) | *βδελυσσομε* ℵ (item 27) ‖ 27 *σημιον* B* (*-μειον* B[ab]) ℵ ‖ 30 *χιρος* ℵ

D 9 *θαρσι* ℵ ‖ 15 *διαλεγεσθε* ℵ

V 11 *υπεδιξεν* ℵ | *ηγισθαι* ℵ ‖ 14 *ευφρενου* ℵ

VI 1 *εισφερῖ*] ℵ ‖ 2 *χιρας* ℵ ‖ 4 *κραμασαι* A ‖ 11 *θελι* ℵ ‖ 13 *γυνεκι* ℵ | *ταπινουσθαι* ℵ

VII 7 *παρητιτο* ℵ *παρειτειτο* A ‖ 8 *κλεινην* B ‖ 9 *ωρθωτε* ℵA

VIII 1 *υπεδιξεν* ℵ | *ενοικιωται* ℵ ‖ 3 *προσθισα* ℵ ‖ 4 *εξετινεν* ℵ ‖ 5 *δοκι* ℵ ‖ 6 *δυνησομε* ℵ (bis) | *ειδιν* ℵ ‖ 7 *χιρας* ℵ ‖ 8 *υμις* ℵ | *γραφεται*] *γραφετε* B* (*-ται* B[ab]) A ‖ 9 *εικαδει* A | *ενετιλατο* ℵ ‖ 10 *εξαπεστιλαν* ℵ ‖ 11 *βοηθησαι τε*] *βοηθησεται* ℵ | *αντικιμενοις* ℵ ‖ 12 *τρισκεδεκατη* ℵ

E 2 *πλιστη* ℵ | *μιζον* B* (*μειζ.* B[ab]) ‖ 3 *φεριν* ℵ ‖ 4 *μεισοπονηρον* A | *ανταπερουντες* ℵ* ‖ 5 *πολλακεις* A | *χειριζειν* B* *χιριζειν* B[b]ℵ | *συμφορες* ℵ ‖ 6 *ακερεον* ℵ ‖ 8 *ιρηνης* ℵ | *παρεξομαιθα* A ‖ 11 *βασιλεικου* A | *διατελιν* ℵ ‖ 15 *ημις* ℵ ‖ 17 *αποστελισι* A ‖ 22 *αγεται* A ‖ 24 *πετινοις* ℵ

VIII 15 *βασιλεικην* A

IX 2 *αντικιμενοι* ℵ ‖ 3 *ενεκιτο* ℵ ‖ 15 *απεκτιναν* ℵ ‖ 16 *πεντακισχειλιους* B ‖ 20 *εξαπεστιλεν* ℵ ‖ 21 *αγιν* ℵ ‖ 27 *προστεθιμενοις* ℵ

X 3 *φειλουμενος* A

F 6 *σημια* ℵ

ΙΟΥΔΕΙΘ

I 5 *παιδιω* A ‖ 8 *παιδιον* A ‖ 10 *ελθιν* ℵ[c.a] (om ℵ*) | *ορεια* ℵ ‖ 12 *αναιλειν* A[b] | *θαλασεων* A[b vid] (*θαλασσ.* A*) ‖ 14 *αφεικετο* B* (*αφικ.* B[b]) | *ονιδος* B* (*ονειδ.* B[ab]) A[* vid]

II 1 *εικαδει* A | *μηνος*] *μινος* A ‖ 5 *ισχυει* B* (*ισχυι* B[ab]) ℵ ‖ 6 *ηπιθησαν* B* (*ηπειθ.* B[ab]) ‖ 8 *χιμαρρους* B* (*χειμ.* B[ab]) ‖ 11 *φισεται* A ‖ 15 *δισχειλιους* B ‖ 21 *παιδιου* A | *επεστρατοπαιδευσαν* A ‖ 24 *χιμαρρου* B* (*χειμ.* B[ab]) ℵ ‖ 25 *ορεια* B* (*ορια* B[b]) ‖ 27 *παιδια* BA

III 3 *παιδιον* A ‖ 10 *κατεστρατοπαιδευσαν* ℵ

IV 5 *οραιων* A | *ετιχισαντο* B* (*ετειχ.* B[ab]) | *παιδια* A ‖ 6 *παιδιου* A ‖ 7 *ευχαιρως* A ‖ 9 *εταπινουσαν* B* (*εταπειν.* B[a?b]) ‖ 12 *ονιδισμον* B* (*ονειδ.* B[ab]) A ‖ 14 *λιτουργουντες* B* (*λειτ.* B[ab]) A ‖ 15 *επισκεψασθε* A

V 1 *συνεκλισαν* A | *ετιχισαν* B* (*ετειχ.* B[ab]) A | *παιδιοις* A ‖ 3 *πολις* A ‖ 8 *γοναιων* A ‖ 10 *λειμος* A ‖ 11 *εταπινωσαν* B* (*εταπειν.* B[ab]) ‖ 15 *ισχυει* B* (*ισχυι* B[ab]) ℵ ‖ 17 *μεισων* ℵ ‖ 18 *πολις* A ‖ 19 *κατωκεισθησαν* A ‖ 21 *ονιδισμον* B* (*ονειδ.* B[b (vid)])

VI 3 *ουκ* ℵ ‖ 4 *παιδια* A ‖ 11 *παιδινης* A ‖ 16 *εμμεσω* A[1] (item 17, A) ‖ 19 *ταπινωσιν* B* (*ταπειν.* B[a?b]) ℵ

VII 1 *αναβασις* B* (*-σεις* B[ab]) ‖ 2 *χειλιαδες* (bis) Bℵ | *ιπποιων* A ‖ 3 *παρετιναν* A ‖ 7 *αναβασις* ℵ ‖ 9 *δυναμι* A ‖ 10 *οραιων* A (bis) ‖ 12 *δυναμαιως* A | *παιδες*] *πεδες* A ‖ 17 *χειλιαδες* ℵA ‖ 18 *χιμαρρου* B* (*χειμ.* B[ab]) ℵ | *παιδιω* A | *κατεστρατοπαιδευσαν* ℵA ‖ 26 *επικαλεσασθαι* B* (*-σθε* B[ab]) A | *εκδοσθαι* A ‖ 27 *κρισσον* A | *ουχ* A ‖ 29 *εμμεσω* ℵA ‖ 30 *ελαιος* A | *εγκαταλιψει* B* (*-λειψ.* B[ab]) ℵ

VIII 3 *παιδιω* A | *κλεινην* B ‖ 7 *οψι* A ‖ 12 *εσται* A | *ιστασθαι* B | *εμμεσω* B* (*εν μεσω* B[b]) ‖ 13 *επιγνωσεσθαι* A (item 14) ‖ 14 *ευρησεται* A | *διαλημψεσθαι* A ‖ 18 *πολεις* A ‖ 20 *υπεροψαιται* A ‖ 27 *μαστειγοι* B* (*μαστιγ.* B[b]) ‖ 31 *εκλιψομεν* ℵA ‖ 32 *αφειξεται* B* (*αφιξ.* B[b]) ℵ | *γεναιων* A ‖ 33 *στησεσθαι* A

IX 10 *θηλιας* ℵA ‖ 11 *δυναστια* A

X 3 εχρεισατο ℵ ‖ 5 ελεου B* (ελαιου B^{ab}) ‖ 8 τελιωσαι A ‖ 9 τελιωσιν B* (τελειωσ. B^{ab}) ‖ 18 προσηγγιλᾶ ℵ ‖ 21 κλεινης ℵ ‖ 23 καλλι A

XI 3 νυκτει A ‖ 4 γεινεται ℵ ‖ 10 κατισχυι A ‖ 23 αστια A | ειδι B* (-δει B^{ab})

XII 4 χειρει B* (χειρι B^{b}) ‖ 10 χριαις A ‖ 12 ομειλησαντες B* (ομιλ. B^{b}) A

XIII 1 οψεια B* (οψια B^{b}) | συνεκλισεν A | απεκλισεν A ‖ 2 υπελιφθη B* (υπελειφθ. B^{ab}) | κλεινην B (item 4) ‖ 4 κατελιφθη B* (κατελειφθ. B^{ab}) ‖ 6 κλεινης B (item 7) ‖ 8 ισχυει B* (ισχυι B^{b}) ‖ 13 μεικρου ℵ ‖ 14 αινειτε 2°] αινειται A | ελαιος A ‖ 15 θηλιας A ‖ 20 εφισω A | ταπινωσιν ℵ

XIV 2 καταβησεσθαι A

XV 5 οι 4°] θι A ‖ 7 παιδινη A ‖ 11 κλεινας BℵA ‖ 13 χορια A

XVI 1 εναρμοσασθαι A | επικαλεισθαι A ‖ 3 οραιων A | χιμαρρους B* (χειμ. B^{ab}) ℵ ‖ 4 εμπρησιν A ‖ 5 θηλιας A ‖ 7 ηλιψατο $ℵ^{c.1}$ (om ℵ*) A ‖ 13 ισχυει B* (ισχυι B^{b}) ℵ ‖ 16 μεικρον ℵ

ΤΩΒΕΙΤ

I 4 εκλεγισης A ‖ 5 δαμαλι A | ορεων] οιεων $ℵ^{vid}$ ‖ 8 κατελιφθην B* (-λειφθ. B^{ab}) ‖ 17 πινωσιν A | τιχους A ‖ 20 κατελιφθη B* (-λειφθ. $B^{a?b}$) | βασιλειικον ℵ

II 10 ενεχρειοσαν ℵ ‖ 11 γυναικιοις A

III 2 αληθειην A ‖ 4 ονιδισμου A ‖ 5 κρισις A | αληθειναι A ‖ 6 ονιδισμους ℵA ‖ 8 αποπνειγουσα B* (αποπνιγ. B^{b}) ‖ 9 μαστειγοις B* (μαστιγ. B^{b}) ‖ 13 ονιδισμον ℵA (item 15, A) ‖ 15 ουχ] ουκ B* (ουχ $B^{a?b}$)

IV 13 αχρειοτητι B^{ab} αχριοτητι A | ελαττωσεις A | ενδια A | αχριοτης A | λειμου B* (λιμ. B^{b}) ‖ 15 μεισεις B* (μισ. B^{b}) ‖ 16 πινωντι B* (πειν. B^{ab}) A ‖ 17 εκχαιον A ‖ 19 εξαλιφθητωσαν B* (εξαλειφθ. B^{a}) ℵ ‖ 20 υποδικνυω ℵ

VI 9 ενχρεισαι B*ℵ (-χρισαι $Ba^{?b}$A) ‖ 12 λειαν ℵ ‖ 15 ουχ] ουκ B* (ουχ B^{ab}) ℵ ‖ 18 φευξετε A | επανελευσετε A | λειαν ℵ

VII 1 εχερετισεν A ‖ 9 κρειον ℵ ‖ 12 κομισε ℵ

VIII 4 συνεκλισθησαν A | κλεινης ℵ ‖ 5 κτισις A (item 15) ‖ 12 αποστιλον A ‖ 16 ελαιος A (item 17) ‖ 17 ελαιους A ‖ 20 κεινηθης ℵ | πεινων ℵ

IX 2 κομισε ℵ ‖ 4 λειαν B* (λιαν B^{b}) ℵ

X 3 λειαν B* (λιαν B^{b}) ‖ 5 μελι A ‖ 6 σειγα B* (σιγ. B^{b}) ℵ: item 7 ‖ 8 μινον A ‖ 12 γονις A

XI 2 αιτοιμασωμεν A ‖ 7 ενχρεισον B* (-χρισον B^{b}A) ‖ 14 εμαστειγωσας B* (εμαστιγ. B^{b}) εμαστειγωσεν ℵ ‖ 15 ισχυει ℵ

XII 4 δικαιουτε A ‖ 6 εξομολογεισθαι A | υποδικνυτε ℵ | οκνειται A ‖ 7 ουχ] ουκ B^{*b} (ουχ B^{b}) ‖ 17 φοβεισθαι A | ευλογειται A (item 18) ‖ 19 εθεωρειται A

XIII 2 μαστειγοι B* (μαστιγ. B^{b}) ℵ ‖ 3 εξομολογεισθαι A ‖ 5 μαστειγωσει B* (μαστιγ. B^{b}: item 9) ℵ ‖ 6 θεασασθαι A | εξομολογησασθαι A | εθνη] εθνει A

XIV 2 οψις A ‖ 4 πεπισμαι A ‖ 6 αληθειινως A ‖ 7 ελαιος A | εκλιψουσιν ℵ ‖ 9 ισχυει ℵ ‖ 10 συντελειτε ℵ ‖ 11 εκλιπει ℵ | κλεινης B

ADDENDA

ADDITIONS and corrections to be made in the text (*t*), notes (*n*), and appendix (*a*) of Vol. I., communicated by Dr Nestle—the result of a comparison of the text and 'hands' of B as represented in that volume with his *Supplementum editionum* (Lips. 1887).

Gen xlix 19 *t* αυτον 2°] αυτων B

Exod. iii 22 *a* επιθησεται B ‖ **v** 8 *a* κατ B* (καθ $B^{a?b}$) | 11 *n* αφαιρειτε B ‖ **vi** 15 *t* Ιαμειν B ‖ **vii** 10 *t* εριψεν B ‖ **viii** 17 *t* εν τε] και εν B ‖ **xi** 2 *n* πλησιον] + γυνη περι της πλησιον $B^{c\,(vid)}$ ‖ **xii** 19 *n* γιωραις] adnot φυλαξιν δραπαταις η μετοικους· ει γουν παροικους $B^{?mg}$ ‖ **xiii** 17 *a* ουκ B* (ουχ B^{ab}) ‖ **xx** 21 *n* εστηκει B^{edit} ‖ **xxi** 25 *n* adnot κατειμα αντι κατειματος $B^{c\,mg}$ ‖ **xxv** 9 *a* ημισυς ter BA ‖ **xxvii** 12 *t* βασεις] pr αι B : item 13 *t* ‖ **xxxi** 6 *t* πονησουσιν] ποιησουσιν B ‖ **xxxiv** 29 *t* Μωυσης (1°) B ‖ **xxxvii** 2 *t* πηχεων (1°) πηχων (2°) B | 7 *a* επ B* (εφ $B^{b?c}$) | 9 *a* επ B (bis) | 13 *t* πεντε και δεκα] πεντηκοντα B ‖ **xxxviii** 7 *n* τον δευτερον] του δευτερου B^{ab} | 24 *n* του πυρειου B^{*b} το πυρειου B^{a} ‖ **xxxix** 22 *t* τω Μωση] om τω B

Lev. v 15 *n* η αν B^{ab} | 19 *n* πλημμελιαν B^{a} ‖ **vii** 9 *n* οσα εαν] ος αν $B^{*\,vid}$ | 10 *n* ο $B^{a\,vid}$ ‖ **viii** 7 *n* αυτον 2°] αυτω $B^{*\,fort}$ | 29 *t* Μωση (2°) B 33 *n* θυρας] θυρας B* ‖ **xi** 27 *n* εσται υμιν B^{a} ‖ **xiii** 43 *n* αυτο $B^{c\,vid}$ ‖ **xix** 31 *t* ενγαστριμυθοις B ‖ **xx** 21 *t* γυναικα] pr την B ‖ **xxi** 18 *n* τυφλος (om η χωλος) B^{c} ‖ **xxiii** 4 *n* αγιαι as B^{c} | 22 *a* υπολιψη B

Num. i 49 *t* Λευει] pr την B ‖ **vii** 60 *t* Γαδαιωνει B | 84 *n* υιων] pr αρχοντων (sine των) B^{ab} ‖ **xi** 5 *n* σικυου B^{b} | 15 *t* δ] δε B ‖ **xvi** 3 *t* Μωυσῆ B ‖ **xx** 5 *t* ανηγαγες B | 27 *n* αυτω Κυριος B^{ab} | 28 *t* τον Ααρων] om τον B ‖ **xxi** 1 *t* κατεπρονομευσαν B | 26 *n* εστιν 1°] ει B^{b} ‖ **xxii** 17 *n* οσα] ο B^{ab} ‖ **xxiv** 7 *t* βασιλεια (2°)] pr η B ‖ **xxvii** 13 *n* om οψει αυτην $B^{*\,vid}$ ‖ **xxxii** 2 *n* Εσεβαμα B^{ab} | 35 *t* Σωφαρ B ‖ **xxxiii** 34 *n* dele εν Σεβρωνα B^{ab} | 35 *n* εις] εν B^{ab} | 55 *n* εαν 2°] αν B^{ab} ‖ **xxxiv** 10 *t* Αρσεναειν B ‖ **xxxv** 8 *t* κατακληρονομησουσιν] κληρονομησουσιν B

Deut. i 3 *n* αυτω Κυριος B^{a} | 8 *n* Ιακωβ] pr τω B^{ab} ‖ **ii** 20 *t* Ζοχομμειν B | 30 *n* om ως B^{ab} (*dele* om εις B^{ab}) ‖ **iii** 10 *t* Εδραειν B ‖ **v** 6 *a* εξαγαγαγων B | 33 *n* μακροημερευητε B^{ab} ‖ **vii** 6 *t* προειλατο B | 8 *t* Κυριος υμας B | 20 *n* om και 1° B* ‖ **viii** 4 *a* τεσερακοντα B^{edit} ‖ **xiv** 23 *n* dele om επικληθηναι etc | 24 *n* αυτον] + επικληθηναι το ονομα αυτου εκει $B^{ab\,(mg)}$ ‖ **xv** 18 *t* om σε B ‖ **xxiii** 2 *t* και] ουδε B ‖ **xxviii** 61 *n* leg τουτου pro την μη γεγραμμ. ‖ **xxxii** 6 *t* om και επλασεν σε B | 42 *t* om και η μαχαιρα μου φαγεται κρεα αφ αιματος B ‖ **xxxiii** 27 *n* om και 2° $B^{*\,vid}$ (hab $B^{ab\,(mg)}$)

Jos. xi 3 *t* γην] την B ‖ **xii** 7 *n* του Λιβανου B^a | 16 *t* Ηλαδ] Ηααδ B ‖ **xiii** 3 *a* Χαναναιων B | 5 *t* Γαλγαδ] Γαλγαα B | 10 *t* εβασιλευσεν] βασιλευς εν B | 21 *n* αρχοντας Ναρα (pro αρχοντα εναρα) $B^{?vid}$ ‖ **xix** 26 *t* Ελειμελεκ B ‖ **xxi** 44 *n* κς αυτους $B^?$ ‖ **xxiv** 20 *a* λατρεσητε B

Jud. vi 35 *t* om εν 3° B | 39 *t* δη 2°] δε B ‖ **ix** 20 *t* Βηθμααλλων bis B ‖ **xi** 31 *t* εαν] pr os B ‖ 33 *t* Εβελχαρμειν B ‖ **xxi** 17 *t* τω Βεν. B

Ruth ii 8 *n* θυγατηρ B

1 Regn. ii 1 *t* επ εχθρους μου] επι εχθρους B | 12 *t* οι υιοι] om οι B ‖ **iii** 2 *t* ηδυνατο B ‖ **v** 6 *t* η χειρ] om η B | 8 *t* om Ισραηλ 2° B ‖ **vi** 20 *n* αναβησηται B ‖ **vii** 1 *t* τον υιον] om τον B ‖ **ix** 13 *t* om εις 1° B ‖ **x** 5 *t* Ναβαλ B ‖ **xiii** 2 *t* om και 4° B | 16 *t* εν 2°] εις B ‖ **xiv** 1 *t* η ημερα] om η B ‖ **xv** 23 *n* τα ρημα B* ‖ **xxvi** 25 *t* αυτου 2°] pr την οδον B ‖ **xxix** 1 *t* Αεδδων B ‖ **xxx** 14 *t* τον Γελβ. B

2 Regn. iv 8 *t* ειπαν B ‖ **vi** 19 *t* εκαστō B ‖ **ix** 13 *t* om αυτος B ‖ **x** 19 *n* εθεντο B^{ab} ‖ **xv** 18 *t* Χεττει] pr ο B ‖ **xvi** 2 *n* πειν B^{*vid} | εκλελυμ.] ειλελυμ. B^{vid} | 20 *n* Αχιτοφελ B* (Αχειτ. B^{ab}) | 23 *t* του Αχειτ.] τω Αχειτ. B ‖ **xvii** 25 *t* Ιοθορ B ‖ **xviii** 9 *n* η ημιονος B^{ab} bis | 11 *n* εορακας B* (εωρ. B^{ab}) ‖ **xix** 27 *t* ως] pr ενωπιον B ‖ **xxi** 18 *n* Οεβοχα] sign var lect adscr $B^{?mg}$ ‖ **xxiii** 4 *t* θεω B | 23 *n* εις B^{*b} προς B^a ‖ **xxiv** 6 *t* Ναδασαι B

3 Regn. iv 4 *t* Σαδουχ B | 9 *t* Μαχεμας B | Βαιθλαμαν B | 13 *t* Ερεταβαμ B ‖ **vi** 17 *a* το πλευρον bis scr B ‖ **vii** 16 *n* και 1° non inst B^b ‖ **viii** 1 *n* συντελεσεν B | 36 *t* λαω] δουλω B ‖ **x** 7 *n* ουκ εισιν] sign var lect adscr $B^{?mg}$ | 21 *t* om και 3° B ‖ **xi** 34 *a* αντιτασσομενος bis scr B | 35 *a* δεκα] δεδα B^{edit} ‖ **xii** 21 *a* εξεκλησιασεν B | 24e *t* ην] η B ‖ **xvi** 7 *t* om υιου B ‖ **xxii** 7 *n* pro 32 *bis* leg 32 (2°)

4 Regn. i 9 *a* πεντηκοντα B^{edit} ‖ **iii** 4 *n* ην] μη B ‖ **xii** 5 *n* βεδεκ] adnot τα δεοντα $B^{?mg}$ ‖ **xvi** 15 *t* αυτω] αυτο B ‖ **xvii** 24 *t* κατωκισθησαν 2°] κατωκησαν B ‖ **xxii** 13 *t* om τουτου B | 14 *t* Θεκκουαυ B

END OF VOL. II.

CAMBRIDGE

PRINTED BY C. J. CLAY M.A. AND SONS

AT THE UNIVERSITY PRESS

THEOLOGICAL PUBLICATIONS OF

The Cambridge University Press.

THE HOLY SCRIPTURES, &c.

HEBREW.

A short Commentary on the Hebrew and Aramaic Text of the Book of Daniel, by A. A. BEVAN, M.A., Fellow of Trinity College. Demy 8vo. 8*s.*

GREEK.

The Old Testament in Greek according to the Septuagint. Edited by the Rev. Professor H. B. SWETE, D.D. Crown 8vo. Vol. I. Genesis—IV Kings. 7*s.* 6*d.* Vol. II. I Chronicles—Tobit. 7*s.* 6*d.*
[Vol. III. *In the Press.*

The Book of Psalms in Greek according to the Septuagint. Being a portion of Vol. II. of the above work. Crown 8vo. 2*s.* 6*d.*

The Parallel New Testament Greek and English. The New Testament, being the Authorised Version set forth in 1611 Arranged in Parallel Columns with the Revised Version of 1881, and with the original Greek, as edited by the late F. H. A. SCRIVENER, M.A., D.C.L., LL.D. Crown 8vo. 12*s.* 6*d.* (*The Revised Version is the joint Property of the Universities of Cambridge and Oxford.*)

Greek and English Testament in parallel columns on the same page. Edited by J. SCHOLEFIELD, M.A. *New Edition, with the marginal references as arranged and revised by* DR SCRIVENER. 7*s.* 6*d.*

Greek and English Testament. THE STUDENT'S EDITION of the above on *large writing paper.* 4to. 12*s.*

The New Testament in the Original Greek, according to the Text followed in the Authorised Version, together with the Variations adopted in the Revised Version. Edited by the late F. H. A. SCRIVENER, M.A., D.C.L., LL.D. Small Crown 8vo. 6*s.*

Biblical Fragments from Mount Sinai, edited by J. RENDEL HARRIS, M.A. Demy 4to. 10*s.* 6*d.*

Notitia Codicis Quattuor Evangeliorum Græci membranacei viris doctis hucusque incogniti quem in museo suo asservat Eduardus Reuss Argentoratensis. 2*s.*

London: Cambridge Warehouse, Ave Maria Lane.

SYRIAC.

The Harklean Version of the Epistle to the Hebrews, Chap. XI. 28—XIII. 25. Now edited for the first time with Introduction and Notes on this version of the Epistle. By ROBERT L. BENSLY. Demy 8vo. 5*s.*

LATIN.

The Latin Heptateuch. Published piecemeal by the French printer WILLIAM MOREL (1560) and the French Benedictines E. MARTÈNE (1733) and J. B. PITRA (1852—88). Critically reviewed by JOHN E. B. MAYOR, M.A. Demy 8vo. 10*s.* 6*d.*

The Missing Fragment of the Latin Translation of the Fourth Book of Ezra, discovered and edited with Introduction, Notes, and facsimile of the MS., by Prof. BENSLY, M.A. Demy 4to. 10*s.*

Codex S. Ceaddae Latinus. Evangelia SSS. Matthaei, Marci, Lucae ad cap. III. 9 complectens, circa septimum vel octavum saeculum scriptvs, in Ecclesia Cathedrali Lichfieldiensi servatus. Cum codice versionis Vulgatae Amiatino contulit, prolegomena conscripsit, F. H. A. SCRIVENER, A.M., LL.D. Imp. 4to. £1. 1*s.*

The Codex Sangallensis (Δ). A Study in the Text of the Old Latin Gospels, by J. RENDEL HARRIS, M.A. Royal 8vo. 3*s.*

The Origin of the Leicester Codex of the New Testament. By J. R. HARRIS, M.A. With 3 plates. Demy 4to. 10*s.* 6*d.*

ANGLO-SAXON.

The Four Gospels in Anglo-Saxon and Northumbrian Versions. By Rev. Prof. SKEAT, Litt.D. One Volume. Demy Quarto. 30*s.* Each Gospel separately. 10*s.*

ENGLISH.

The Authorised Edition of the English Bible (1611), its Subsequent Reprints and Modern Representatives. By the late F. H. A. SCRIVENER, M.A., D.C.L., LL.D. Crown 8vo. 7*s.* 6*d.*

The Cambridge Paragraph Bible of the Authorized English Version, with the Text revised by a Collation of its Early and other Principal Editions, the Use of the Italic Type made uniform, the Marginal References remodelled, and a Critical Introduction, by the late F. H. A. SCRIVENER, M.A., LL.D. Crown 4to., cloth gilt, 21*s.*

THE STUDENT'S EDITION of the above, on *good writing paper*, with one column of print and wide margin to each page for MS. notes. Two Vols. Crown 4to., cloth, gilt, 31*s.* 6*d.*

The Lectionary Bible, with Apocrypha, divided into Sections adapted to the Calendar and Tables of Lessons of 1871. Cr. 8vo. 3*s.* 6*d.*

London: Cambridge Warehouse, Ave Maria Lane.

The Book of Ecclesiastes. Large Paper Edition. By the Very Rev. E. H. PLUMPTRE, late Dean of Wells. Demy 8vo. *7s. 6d.*

The Gospel History of our Lord Jesus Christ in the Language of the Revised Version, arranged in a Connected Narrative, especially for the use of Teachers and Preachers. By Rev. C. C. JAMES, M.A. Crown 8vo. *3s. 6d.*

A Harmony of the Gospels in the words of the Revised Version with copious references, tables &c. Arranged by Rev. C. C. JAMES, M.A. Crown 8vo. *5s.*

Wilson's Illustration of the Method of explaining the New Testament, by the early opinions of Jews and Christians concerning Christ. Edited by T. TURTON, D.D. Demy 8vo. *5s.*

SERVICE-BOOKS.

A Classified Index to the Leonine, Gelasian, and Gregorian Sacramentaries of Muratori. By H. A. WILSON, M.A., Fellow of Magdalen College, Oxford. Demy 8vo. *5s.* net.

Breviarium ad Usum Sarum. A Reprint of the folio edition by Chevallon and Regnault, Paris, 1531. Edited by F. PROCTER, M.A. and CHR. WORDSWORTH, M.A. Demy 8vo.

Vol. 1. Kalendar and Temporale. *18s.*

Vol. 2. Psalter &c. *12s.*

Vol. 3. Sanctorale. With an Introduction, lists of editions from the papers of H. Bradshaw, and complete Indexes. *15s.*

The three volumes together *£2. 2s.*

Breviarium Romanum a FRANCISCO CARDINALI QUIGNONIO editum et recognitum iuxta editionem Venetiis A.D. 1535 impressam curante JOHANNE WICKHAM LEGG. Demy 8vo. *12s.*

The Greek Liturgies. Chiefly from original Authorities. By C. A. SWAINSON, D.D., late Master of Christ's College. Cr. 4to. *15s.*

The Pointed Prayer Book, being the Book of Common Prayer with the Psalter or Psalms of David, pointed as they are to be sung or said in Churches. Royal 24mo. cloth, *1s. 6d.*

The same in square 32mo. cloth, *6d.*

Wheatly on the Common Prayer, edited by G. E. CORRIE, D.D., late Master of Jesus College. Demy Octavo. *7s. 6d.*

The Cambridge Psalter, for the use of Choirs and Organists. Specially adapted for Congregations in which the "Cambridge Pointed Prayer Book" is used. Demy 8vo. cloth, *3s. 6d.* Cloth limp cut flush, *2s. 6d.*

The Paragraph Psalter, arranged for the use of Choirs by the Right Rev. B. F. WESTCOTT, D.D., Lord Bp. of Durham. Fcp. 4to. *5s.*

The same in royal 32mo. Cloth, *1s.* Leather, *1s. 6d.*

London: Cambridge Warehouse, Ave Maria Lane.

The Homilies, with Various Readings, and the Quotations from the Fathers given at length in the Original Languages. Edited by G. E. CORRIE, D.D., late Master of Jesus College. Demy 8vo. *7s. 6d.*

Two Forms of Prayer of the time of Queen Elizabeth. Now First Reprinted. Demy Octavo. *6d.*

THEOLOGY.

Sayings of the Jewish Fathers, comprising Pirqe Aboth and Pereq R. Meir in Hebrew and English, with Critical Notes. By C. TAYLOR, D.D., Master of St John's College. [*New Edition. Preparing.*

The Palestinian Mishna. By W. H. LOWE, M.A. Royal 8vo. *21s.*

Chagigah from the Babylonian Talmud. A Translation of the Treatise with Notes, etc. by A. W. STREANE, B.D. Demy 8vo. *10s.*

Psalms of the Pharisees, commonly known as the Psalms of Solomon, by H. E. RYLE, B.D. and M. R. JAMES, M.A. Demy 8vo. *15s.*

The Witness of Hermas to the Four Gospels. By C. TAYLOR, D.D. Master of St John's College, Cambridge. Fcap. 4to. Buckram. *7s. 6d.* Net.

Fragments of Philo and Josephus. Newly edited by J. RENDEL HARRIS, M.A. With two Facsimiles. Demy 4to. *12s. 6d.*

The Rest of the Words of Baruch: A Christian Apocalypse of the year 136 A.D. The Text revised with an Introduction by J. RENDEL HARRIS, M.A. Royal 8vo. *5s.*

The Teaching of the Apostles. Newly edited, with Facsimile Text and Commentary, by J. R. HARRIS, M.A. Demy 4to. *21s.*

A Collation of the Athos Codex of the Shepherd of Hermas. Together with an Introduction by SPYR. P. LAMBROS, PH.D., translated and edited with a Preface and Appendices by J. ARMITAGE ROBINSON, B.D. Demy 8vo. *3s. 6d.*

The Philocalia of Origen. The Greek Text edited from the Manuscripts, with Critical Apparatus and Indexes, and an Introduction on the Sources of the Text. By J. ARMITAGE ROBINSON, B.D.
[*In the Press.*

Theodore of Mopsuestia's Commentary on the Minor Epistles of S. Paul. The Latin Version with the Greek Fragments, edited from the MSS. with Notes and an Introduction, by Professor H. B. SWETE, D.D. Vol. I., containing the Introduction, and the Commentary upon Galatians—Colossians. Demy Octavo. *12s.*

Volume II., containing the Commentary on 1 Thessalonians—Philemon, Appendices and Indices. *12s.*

The Acts of the Martyrdom of Perpetua and Felicitas; the original Greek Text now first edited from a MS. in the Library of the Convent of the Holy Sepulchre at Jerusalem, by J. RENDEL HARRIS and SETH K. GIFFORD. Royal 8vo. *5s.*

The Diatessaron of Tatian. By J. RENDEL HARRIS, M.A. Royal 8vo. *5s.*

TEXTS AND STUDIES: CONTRIBUTIONS TO BIBLICAL AND PATRISTIC LITERATURE.

Edited by J. ARMITAGE ROBINSON, B.D., Fellow and Assistant Tutor of Christ's College.

Vol. I. **No. 1. The Apology of Aristides on behalf of the Christians.** Edited from a Syriac MS., with an Introduction and Translation by J. RENDEL HARRIS, M.A., and an Appendix containing the chief part of the Original Greek, by J. ARMITAGE ROBINSON, B.D. Demy 8vo. [*Reprinting.*

No. 2. The Passion of S. Perpetua: the Latin Text freshly edited from the Manuscripts with an Introduction and Appendix containing the Original Latin Form of the Scillitan Martyrdom; by J. ARMITAGE ROBINSON, B.D. 4*s.* Net.

No. 3. The Lord's Prayer in the Early Church: with Special Notes on the Controverted Clauses; by F. H. CHASE, B.D., Christ's College. 5*s.* Net.

No. 4. The Fragments of Heracleon: the Greek Text with an Introduction by A. E. BROOKE, M.A., Fellow of King's College. 4*s.* Net.

Vol. II. **No. 1. A Study of Codex Bezae:** by J. RENDEL HARRIS, M.A. 7*s.* 6*d.* Net.

No. 2. The Testament of Abraham. By M. R. JAMES, M.A., with an Appendix containing Translations from the Arabic of the Testaments of Abraham, Isaac and Jacob, by W. E. BARNES, B.D. 5*s.* Net.

The following are in course of preparation:

The Rules of Tyconius: freshly edited from the MSS., with an examination of his witness to the Old Latin Version: by F. C. BURKITT, M.A.

Apocrypha Anecdota: containing the Latin Version of the Apocalypse of Paul, the Apocalypses of the Virgin, of Sedrach, of Zosimas, &c.: by M. R. JAMES, M.A.

The Homeric Centones: by J. RENDEL HARRIS, M.A., University Lecturer in Palaeography.

The Curetonian Syriac Gospels: re-edited with a new translation into English: by R. L. BENSLY, M.A., Lord Almoner's Reader in Arabic.

Tertullianus de Corona Militis, de Spectaculis, de Idololatria with Analysis and English Notes, by G. CURREY, D.D. Crown 8vo. 5*s.*

London: Cambridge Warehouse, Ave Maria Lane.

Sancti Irenæi Episcopi Lugdunensis libros quinque adversus Hæreses, edidit W. WIGAN HARVEY, S.T.B. Collegii Regalis olim Socius. 2 Vols. Demy Octavo. 18*s.*

Theophili Episcopi Antiochensis Libri Tres ad Autolycum. Edidit Prolegomenis Versione Notulis Indicibus instruxit GULIELMUS GILSON HUMPHRY, S.T.B. Post Octavo. 5*s.*

Theophylacti in Evangelium S. Matthæi Commentarius. Edited by W. G. HUMPHRY, B.D. Demy Octavo. 7*s.* 6*d.*

M. Minucii Felicis Octavius. The text newly revised from the original MS. with an English Commentary, Analysis, Introduction, and Copious Indices. By H. A. HOLDEN, LL.D. Cr. 8vo. 7*s.* 6*d.*

S. Austin and his place in the History of Christian Thought. Being the Hulsean Lectures for 1885. By W. CUNNINGHAM, D.D. Demy 8vo. Buckram, 12*s.* 6*d.*

Works of Isaac Barrow, compared with the original MSS A new Edition, by A. NAPIER, M.A. 9 Vols. Demy 8vo. £3. 3*s.*

Treatise of the Pope's Supremacy, and a Discourse concerning the Unity of the Church, by I. BARROW. Demy 8vo. 7*s.* 6*d.*

Select Discourses, by JOHN SMITH, late Fellow of Queens' College, Cambridge. Edited by H. G. WILLIAMS, B.D., late Professor of Arabic. Royal Octavo. 7*s.* 6*d.*

Pearson's Exposition of the Creed, edited by TEMPLE CHEVALLIER, B.D. 3rd Edition revised by R. SINKER, D.D. Demy 8vo. 12*s.*

An Analysis of the Exposition of the Creed, written by the Right Rev. Father in God, JOHN PEARSON, D.D. Compiled by W. H. MILL, D.D. Demy Octavo. 5*s.*

De Obligatione Conscientiæ Prælectiones decem Oxonii in Schola Theologica habitæ a ROBERTO SANDERSON, SS. Theologiæ ibidem Professore Regio. With English Notes, including an abridged Translation, by W. WHEWELL, D.D. Demy 8vo. 7*s.* 6*d.*

Lectures on Divinity delivered in the University of Cambridge. By JOHN HEY, D.D. Third Edition, by T. TURTON, D.D., late Lord Bishop of Ely. 2 vols Demy Octavo. 15*s.*

Cæsar Morgan's Investigation of the Trinity of Plato, and of Philo Judæus. 2nd Ed., revised by H. A. HOLDEN, LL.D. Cr. 8vo. 4*s.*

Christ the Life of Men. Being the Hulsean Lectures for 1888. By Rev. H. M. STEPHENSON, M.A. Crown 8vo. 2*s.* 6*d.*

Complete Catalogues forwarded on application.

London: C. J. CLAY AND SONS,
CAMBRIDGE UNIVERSITY PRESS WAREHOUSE,
AVE MARIA LANE.

427903
Bible - Greek (O.T.)
The Old Testament in Greek; edby Swete.
Vol.2
Bible
Greek(O.T.)
S

University of Toronto
Library

DO NOT
REMOVE
THE
CARD
FROM
THIS
POCKET

Acme Library Card Pocket
LOWE-MARTIN CO. LIMITED